τὰ ἱμάτια αὐτοῦ καὶ ἀγοράσει μάχαιραν, » ὡς ἐναντία προβάλλονται καὶ μαχόμενα. Ἐγὼ δὲ οὕπω μὲν λέγω τὰ ἄλλα, ἀλλ' ἐκεῖνο, πῶς ἡ τῶν ῥητῶν ἐφεξῆς καὶ κατὰ συνέχειαν σύνθεσις οὐκ ἐδυσώπει φυγεῖν τὴν τῆς μάχης ὑπόληψιν, παραπέμπει δὲ μᾶλλον ἐλθεῖν ἐπὶ ζήτησιν καὶ τὸ βάθος ἀνιχνεύειν τοῦ προστάγματος; Ἅμα γὰρ καὶ ἐν τῷ ἀκαρεῖ μήτε λήθης ἐμπιπτούσης, μήτε γνώμης ἀστατούσης, οὐ μὴν οὐδὲ βίας ἰσχυούσης, ἀλλ' οὐδ' ἀκοῆς τὸ διάφορον ὑποβαλλομένης, πῶς ἐνῆν τὸν αὐτὸν τἀναντία ἐπισημαινόμενον νομοθετεῖν αἱρεῖσθαι ἃ καὶ φεύγειν προσέταττεν; Ἀλλ' εὐγνώμονος μὲν ἴσως ἂν εἴη λαβεῖν ἐντεῦθεν τῆς θεωρίας ὑπόθεσιν· τὸ δὲ καὶ ῥητῶς τὸν χρόνον ἀμείβειν καὶ τοῖς ῥᾳδιουργοῦσιν ἀντιστήσεται· ὅτι γάρ φησιν, « Ἀπέστειλα ὑμᾶς· — Νῦν δὲ λέγω ὑμῖν· » ἄλλῳ δὲ καὶ ἄλλῳ καιρῷ ἑτέραν καὶ ἑτέραν ἐναρμόζειν ἐντολήν, οὐ μόνον οὐδὲν ἄτοπον, ἀλλ' ἐσθ' ὅτε μᾶλλον οἰκειότερον, ἢ εἴ τις τὰ αὐτὰ προστάττει, τοῦ κατὰ τὸν καιρὸν διαφόρου ἐξ ἀνάγχης ζητοῦντος διάφορα.

ς'. Ἀλλὰ γὰρ οὕτω τῶν εἰρημένων διεσκευασμένων, τινὲς προκείμενον ἐπιλυόμενοί φασι τὸν κοινὸν Δεσπότην τοὺς μαθητὰς πάλαι μὲν παιδοτριβοῦντα, καὶ πρὸς τὸ τῆς ἀκτημοσύνης εἰσάγοντα στάδιον, μηδὲν αὐτοῖς τῶν προσύλων καὶ χαμαὶ καθέλκειν δυναμένων ἐπιτρέψαι συνεφέλκεσθαι, μηδ' ἂν εἴη οἷς ὁ ῥέων βίος οὗτος καὶ πρὸς τὴν φθορὰν ἑλαύνων συνέχεται· εἴωθε γὰρ πολλάκις καὶ μάλιστα τοῖς ἀτελεστέροις ἢ τῶν ἀναγκαίων μέριμνα, καὶ τῶν περιττῶν καὶ ὑπὲρ τὴν χρείαν τὴν σπουδὴν κατ' ὀλίγον συνεπισύρεσθαι, καὶ πολλὴν τῇ ψυχῇ τὴν λύμην συγκατεργάζεσθαι. Διὰ τοῦτο, φασὶν, ὁ Σωτὴρ ἄρτι μυσταγωγουμένοις ἀπεῖπε τότε μηδὲν τοῖς μαθηταῖς τῶν γηΐνων καὶ σωματικῶν συνεφέλκεσθαι· ὕστερον δὲ τὸν ἀγῶνα διηνυκότας ἀνύβριστον, καὶ πεῖραν ὅσον ἔδει δόντας ἐν οἷς τοῦ σαρκικοῦ κατεφρόνησαν, ἔτι δὲ καὶ τοῦ σωτηρίου πάθους λοιπὸν ἐστηκότος, μεθ' ὃ πολλῶν πειρασμῶν νιφάδες τοὺς ἀγωνιστὰς περιστοιχίζειν ἠφίεντο, καὶ χειμὼν ἀνυπόστατος διωγμῶν καὶ θλίψεων ὑπεδέχετο, διὰ ταῦτα τὴν τῶν μετρίων κτῆσιν καὶ ἃ συγκροτεῖ τὴν ζωὴν μὴ διαῤῥυῆναι, συγχωρεῖ. Τοῦ γὰρ τῆς φιλοχρηματίας πάθους τῶν ἀποστολικῶν ἠθῶν τε καὶ τρόπων ἐξ αὐτῆς κρηπῖδος ἀνατραπέντος, καὶ τοῦ διωγμοῦ σφοδρὸν καὶ ἀνυπόστατον πνέοντος, ἐχρῆν τι παραμύθιον εἰς ἐφόδιον φέρειν τῆς πανταχόθεν ἐπηρεαζομένης ζωῆς· καὶ οὐδ' ἐν οὐδ' ὅλως θατέρᾳ τῆς ἐντολῆς ἡ ἑτέρα λυμαίνεται· ὥσπερ οὐδ' εἴ τις στρατιώτην μετὰ νίκας καὶ τρόπαια τῶν πολεμικῶν ἀγώνων τέως ἀπάγων δίδωσι πιεῖν καὶ ὅσα εἰρήνη χαρίζεται· ἢ εἴ τις εἰς διδασκάλου μὲν φοιτῶντα ἄλλαις συνασκεῖ μελέταις, τὸν ἔφηβον δὲ διεξιόντα βαθυτέροις νόμοις καὶ ὑψηλοτέραις ἐγγυμνάζει θεωρίαις· καὶ ποίμνιον μὲν ἄλλοις ἔθεσι καὶ θεσμοῖς εὐθηνεῖται, τὸν ποιμένα δὲ οὐχ ἡ αὐτὴ τοῦ βίου τρίβος κατευθύνει.

ζ'. Ἀλλ' οὕτω μέν τινες εἰς συμφωνίαν τὰς ἐν τοῖς

si quis non habet, vestimenta sua vendet gladiumque emet. » Ego vero, aliis interim omissis, illud rogo, cur non ea quæ ibi consequenter dicuntur, contextusque structura, suffecerint ad excludendam omnem repugnantiæ opinionem; imo vero non impulerint ad exquirendum altiusque vestigandum præcepti sensum arcanum? Nullo enim interjecto temporis spatio, neque subrepente oblivione, neque mentis inconstantia, neque vi aliqua ingruente, neque rumore quolibet rem diversam subjiciente, qui fieri poterat ut idem contraria approbans, eadem facere juberet, quæ cavere imperaverat? Imo hominis prudentis erit hinc sumere explicandæ rei argumentum. Illud etiam contradicentium levitati adversatur, quod diversa tempora diserte Servator innuit; cum enim, inquit, « Misi vos; — Nunc autem dico vobis. » Jam quod diversis temporibus diversa præcepta congruant, non solum non est absurdum, verum etiam quandoque aptius, quam si quis eadem imperet, etiamsi diversitas temporis necessario diversam rem postulet.

6. Quæ cum ita se habeant, nonnulli ut propositam quæstionem solvant, aiunt communem Dominum discipulos olim erudientem atque in pauperiatis curriculo exercentem, nulla eos re materiali atque humi deprimere solita sivisse abripi, ne illis forte fluxus hic mundus, qui ad interitum ducit, adhæreret. Solet enim sæpenumero, præcipue imperfectioribus, victus necessarii cura, rerum quoque superfluarum quasque usus non postulat paulatim studium ingerere, multumque animæ detrimentum afferre. Propterea, dicunt, Servator nuper initiatis discipulis interdicebat, quominus terrenis rebus corporeisque distraherentur. Deinde autem agone jam honorifice peracto, documentoque satis edito quantopere carnalia spernerent, Dominica insuper passione instante, postquam tentationibus innumeris athletæ propemodum obruendi erant, atque intolerabili persecutionum angustiarumque procellæ objiciendi; idcirco modicæ rei familiaris possessum concedit, quo scilicet vita sustentaretur. Namque avaritiæ vitio ex apostolicis moribus vitaque funditus everso, persecutione autem vehementer atque intolerandum in modum flante, æquum erat solamen aliquod ac tanquam viaticum circumferre vitæ quaquaversus calamitatibus appetitæ. Neque alterutrum præceptum ab altero prorsus læditur. Veluti si quis militem post victorias atque tropæa bellicis certaminibus aliquandiu subducens, potu recrearet vel cæteris quæ pace suppeditantur. Vel si quis puerum dum in ludo magistri versatur certis quibusdam imbueret rudimentis, tum vero in ephebos productum gravioribus institutis celsioribusque doctrinis exerceret. Denique qui grex est, aliis ritibus atque præscriptis bene se habet; qui autem pastoris munere fungitur, non eadem vitæ semita commode utitur.

7. Sic ergo nonnulli Scripturarum varias senten-

Digitized by Google

ilas ad concordiam trahunt. Aliis vero quædam aliæ, præter prædictas, solutiones haud minus placent. Aiunt igitur, quo tempore discipuli primum erudiebantur ac tyronum ordinem tenebant, opus fuisse ut nulli alii rei partem tribuere cogitationum permitterentur; ut nimirum ad ediscendam exercendamque Servatoris doctrinam tota mente vacarent: præsertim quia magister ipse aderat, suppeditabatque ex tempore non solum ea sine quibus vita ruit, verum etiam manus eorum ita implebat, ut illaboratas epulas multis turbis impertiri possent. Sed enim cum jam ipsi imperfectorum rudimenta excessissent, atque a statu perfecto prope abessent, magister autem præsentiam suam voluntaria salutarique nece paulo post ipsis erepturus esset; tum etiam prædicationem iisdem commissurus, atque ad magistrorum pastorumque prærogativam promoturus; tunc eos admonuit, minime esse vetitum quominus necessarium vitæ viaticum secum ferrent: qui mos eo tempore inceptus, curæ quoque asseclis impendendæ ortum dedit; id quod ex ipsis rebus deinde gestis cognoscere licet. Namque ante pedes apostolorum pretia domorum agrorumque allata ponebant: vicissimque singulis id quod usui esset suppeditabatur.

8. Insuper aliud quoque præclare considerandum exhibent. Creator ipse omnium rerum et conservator, dum omni cura terrestri discipulos possessuque arcebat, marsupium tamen habebat, et qui aliquid injicerent non respuebat. Quare hoc quoque præcepto haud prorsus opibus interdicit, sed ne his simus obnoxii ac dediti: nam et ipse, ut diximus, non habendo habebat: nempe egentium tantummodo causa, et ob eorum solandas angustias, atque ad necessitatis depulsionem quamdam atque medelam. Sicuti ergo minime repugnabat, ipsum ferre loculos, illis simul interdicere quominus quidquam retinerent; ita non est contrarium, olim quidem eos ad asperum paupertatis arduumque culmen contendisse; postea vero modica rei necessariæ possessione multis se sollicitudinibus expedivisse, ac summarum angustiarum solamen obtinuisse. Sed præter hæc, imo vero in primis, cum videris, aiunt, paupertatis præmium divitias, tum demum cogitando clarius intelliges non esse hæc invicem peremptoria, neque pugnare mandatum non possidendi cum illo quod ejus rei copiam facit: dummodo prius illud de homine pecunia perturbari solito dictum putes; possessio autem rei familiaris vacuum te perturbatione relinquat. Quomodo enim mentis liberalitas et paupertatis sublime studium multiplicem opum mirabilemque copiam pareret ac germinaret, si forte confligerent inter se justa possessio et paupertatis doctrina? Quinam vero est hujus rei testis? quis adeo sermonis auctor? nimirum ipse communis hominum Servator ac Dominus, qui propria omnia propter eum deserentes, centuplicem fructum relaturos denuntiavit: neque hactenus præmium circum-

ρητοῖς συνάγουσι διανοίας· οἱ δὲ τὰ μὲν ἄλλα τῶν προτεθειμένων οὐκ ἔλαττον ἀγαπῶσι· φασὶ δὲ τῶν μαθητῶν πρότερον μὲν εἰσαγομένων καὶ τελειουμένων τάξιν ἐπεχόντων, ἀναγκαῖον εἶναι περὶ μηδὲν ἄλλο τοὺς λογισμοὺς μερίζεσθαι ἐπιτρέπειν, ὅλον δὲ τὸν νοῦν πρὸς τὴν μάθησιν τῶν σωτηρίων καὶ μεταχείρισιν ἐπεστράφθαι· ἄλλως τε καὶ τοῦ διδασκάλου παρόντος καὶ παρέχοντος αὐτοσχεδίως οὐχ ὅσα μόνον ἡ φύσις οὐκ ἔχουσα λύσιν ἔχει, ἀλλὰ καὶ χεῖρας πολλοῖς πλήθεσι τροφὴν ἀγεώργητον ὑπηρετουμένας. Ἐπειδὴ δὲ αὐτοὶ μὲν τὴν τῶν ἀτελῶν ὑπερανέδραμον παιδαγωγίαν, ἐγγυτέρω δ' ἐγένοντο τοῦ τελείου, αὐτὸς δὲ ἤδη τῷ ἑκουσίῳ καὶ σωτηρίῳ θανάτῳ τῆς σωματικῆς αὐτοὺς ἀποστερεῖν ἐπλησίαζε παρουσίας, καὶ πρός γε τὸ κήρυγμα αὐτοῖς ἐγχειρίζειν, καὶ εἰς διδασκάλων καὶ ποιμένων προνόμιον ἀναβιβάζειν, ἀκώλυτον αὐτοῖς τότε τὰ ἀναγκαῖα τῆς ζωῆς ἐψώδια φέρειν ἀποφαίνει· ὅπερ, ἐκεῖθεν φυὲν τὴν ἀρχήν, καὶ τὴν τῶν διδασκομένων πρόνοιαν ἐκαρποφόρει, ὡς ἐπ' αὐτοῖς ἔστι τοῖς ἔργοις προϊὸν ἰδεῖν· καὶ γὰρ παρὰ τοὺς πόδας τῶν ἀποστόλων τὰς τιμὰς τῶν οἰκιῶν καὶ τῶν ἀγρῶν φέροντες ἐτίθουν, καὶ ἐδίδοτο ἑκάστῳ καθ' ὅ ἄν τις χρείαν εἶχεν.

η'. Ἀλλὰ καὶ τοῦτο καλῶς ἐπιθεωρεῖν ὑποτίθενται. Αὐτὸς ὁ Δημιουργὸς καὶ συνοχεὺς τοῦ παντὸς, ὅτε συμπάσης ἀπῆγε τοὺς μαθητὰς περιπαθείας προσύλου καὶ κτήσεως, γλωσσόκομον εἶχε καὶ τοὺς βάλλοντας ἀπεδέχετο· ὥστε οὐ τὸ μὴ κεκτῆσθαι ἁπλῶς, ἀλλὰ τὸ μὴ τούτοις ἔχεσθαι καὶ προσηλῶσθαι, καὶ διὰ τῆς ἐντολῆς ταύτης κωλύει· ἐπεὶ καὶ αὐτὸς, ὥσπερ ἔφημεν, εἶχεν οὐκ ἔχων· ἕνεκεν γὰρ τῶν δεομένων, καὶ παραμύθιον τῶν ἀπορουμένων, καὶ τῆς ἀνάγκης ἀποστροφήν τινα καὶ λύσιν. Ὥσπερ οὖν οὐκ ἐναντίον αὐτὸν μὲν γλωσσόκομον φέρειν, ἐκείνους δὲ μηδὲν συνεπιφέρειν ὅλως ἀπαγορεύειν, οὕτως οὐκ ἔστιν ἐναντίον οὐδὲ πάλαι μὲν αὐτοὺς πρὸς τὸ τῆς ἀκτημοσύνης τραχύ τε καὶ δυσπρόσοδον ἀνατρέχειν, ὕστερον δὲ καὶ τῇ συμμέτρῳ τῶν ἀναγκαίων κτήσει τῶν πολλῶν ἀνίεσθαι πόνων, καὶ τῆς ἐσχάτης ἔχειν παραμύθιον στενοχωρίας. Ἀλλὰ γὰρ καὶ πρὸς τούτοις, μᾶλλον δὲ πρὸ τῶν εἰρημένων, ὅταν ἴδῃς, φασὶ, τῆς ἀκτημοσύνης ἆθλον τὸν πλοῦτον, σαφέστερον ἂν ἐπιστήσας συνήσῃ ὡς οὐκ ἔστιν ἀλλήλων ἀναιρετικὰ, οὐδὲ διαμάχεται ἡ ἐντολὴ τοῦ μὴ κεκτῆσθαι πρὸς τὴν ἐπιτρέπουσαν κεκτῆσθαι, ἂν τὸ μὲν συνάπτῃς δηλονότι τῷ ἐμπαθεῖ, ἡ κτῆσις δέ σοι τοῦ πάθους ἐλεύθερον. Πῶς γὰρ ἂν τὸ ἀφιλάργυρον τῆς γνώμης καὶ τὸ τῆς ἀκτημοσύνης ἀνυπέρβλητον εἰς τὸ πολλαπλάσιον καὶ θαυμασιώτερον ἐβλάστανεν ἄν, καὶ ἐκαρποφόρει τῆς περιουσίας τὸ ἄφθονον, εἰ διὰ μάχης ἀλλήλοις ἡ δικαία κτῆσις καὶ ὁ τῆς ἀκτημοσύνης λόγος προῆεσαν; Καὶ τίς μάρτυς; τίς δὲ παραστάτης τοῦ λόγου; Αὐτὸς ὁ κοινὸς τοῦ γένους Σωτὴρ καὶ Δεσπότης, ὃς τοῖς δι' αὐτὸν λιποῦσι πάντα τὰ αὐτῶν ἑκατονταπλασίονα λήψεσθαι ἐπηγγείλατο· καὶ οὐδὲ μέχρι τούτων τὸ ἔπαθλον περιέγραψεν, ἀλλ' ἔτι πρὸς τὸ μεῖζον, καὶ

Digitized by Google

οὐδ' ὅσον ἔστιν εἰπεῖν μεῖζον, ἐξαίρει καὶ ὑπερτίθησι· τὴν γὰρ τῶν οὐρανῶν βασιλείαν κλῆρον αὐτοῖς ἐπιφέρει.

θ'. Τοιαῦτα μὲν οὖν καὶ οἱ μετὰ τοὺς πρώτους συμφωνεῖν ἀλλήλοις τὰ ἱερὰ κατασκευάζοντες λόγια· καὶ δῆλον ὡς ἑκατέρα μοῖρα διὰ τῆς κατὰ τὸ πρόσωπον περιστάσεως ἐλκύσαι τὴν λύσιν ἐνεδυναμώθη τοῦ ἀπορήματος· ἕτεραι δὲ παρ' ὅσον ἐπήλθομεν δόξαι ἐκ τῶν αὐτῶν μὲν ἐγγὺς ἐκείναις ἀφορμᾶν ἔσχον τὴν κίνησιν· οὔτε δὲ ταῖς προλαβούσαις οὔτε πρὸς ἀλλήλοις τὰ αὐτὰ διασώζουσι τέλη· ἀπὸ μὲν γὰρ τῆς τῶν προσώπων ἑτερότητος, καὶ αὐταῖς τὸ ἄπορον λύεται. Λέγουσι δὲ τὴν μὲν προτέραν ἐντολήν, ἥτις τὸν τῆς ἀκτημοσύνης εἰσέφερε νόμον, πρὸς τοὺς μαθητὰς ὡς ἀληθῶς εἰρῆσθαι, κἀκείνοις ἐφαρμόζειν μόνοις, καὶ ὅσοις τὸ τῆς φιλοσοφίας ἔντονον καὶ παραπλήσιον ἄλυτον διὰ βίου μένει· τὴν δὲ δευτέραν οὐδὲν μὲν παρακινεῖν τοῦ περὶ τῆς ἀκτημοσύνης τοῖς ἀθλητὰς δεδομένου νόμου, πρόσωπον δὲ ὑποβάλλειν μὲν τῶν μαθητῶν, εἰς ἑτέρους δὲ τὴν ἀναφορὰν ἔχειν. Ἀλλ' ἑκατέρᾳ μὴν δόξῃ τὰ κοινὰ μέχρι τούτου· σχίζεται δὲ τὸ λοιπὸν θατέρας ἡ ἑτέρα· καὶ ἡ μὲν πρόσωπον ὑποτιθεμένη ὅσον πολιτικόν τε καὶ τοῦ μιγάδος οὐδὲν ἀνέχει, ἅτε δὴ πρὸς μείζονα φιλοσοφίαν δυσανάγωγόν τε καὶ δυσήνιον· τούτοις δὲ ἄρα ὑπαγορεύει διοικονομεῖσθαι καὶ τὴν τῶν μετρίων κτῆσιν, καὶ τῆς τοὺς μαθητὰς ἀθλοθετούσης νομοθεσίας ἐλευθέρους τούτους ἀφίησιν· ἡ δὲ τοὺς Ἰουδαίους τῶν μαθητῶν ἀντεισάγουσα προφητείαν εἶναι τῆς δευτέρας τὰ ῥήματα διατίθεται κατὰ παντὸς τοῦ γένους, ἥτις καὶ πρὸς ἔργον ἐκβέβηκεν, Οὐεσπασιανοῦ καὶ Τίτου εἰς πολιορκίαν τῆς Ἱεροσολύμων πόλεως καταστάντων, οἳ, καὶ ταύτην πολέμου νόμῳ παραστησάμενοι, μαχαίρας ἔργον τὸ Ἰουδαίων ἔθνος ἐπέδειξαν. Τότε γὰρ δὴ τότε οἷς μὲν ἡ κτῆσις ἔπιπλά τε καὶ ὅσα ἄλλα κομίσαι ῥᾴδια, ταῦτα φέροντες εἰς τὰς ἐπέκεινα τῆς Ἰουδαίας πόλεις τῆς οἰκείας ἀπέτρεχον μητροπόλεως· οἱ δ' ἄλλως πλούτῳ βαρυνόμενοι, ἢ καί τισιν ἑτέροις τρόποις ἐνεσχημένοι, οὗτοι δὴ τῇ πόλει μένειν ἐξαπαιτούμενοι, ξίφη καὶ μαχαίρας καὶ τὰς ἄλλας πολεμικὰς πανοπλίας ἐξωνεῖσθαι συνηλαύνοντο, τοῦ πολέμου πρὸς τὴν πρᾶξιν καὶ μὴ βουλομένους ἐπαναγκάζοντος· καὶ τοῦτο δὴ τοῦτο εἶναι ὃ τὸ δεσποτικὸν προαπεθέσπισε στόμα· « Νῦν δὲ ὁ ἔχων βαλάντιον ἀράτω ὁμοίως καὶ πήραν· ὁ δὲ μὴ ἔχων πωλήσει τὰ ἱμάτια αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν· » τοῦτο δὲ ἄρα καὶ χρησμοῖς ἄνωθεν προδηλοῦσθαι· « Συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας, καὶ τὰ δρέπανα εἰς σειρομάστας, » τοῦ θείου προκαταγγέλλοντος. Οὕτως οὖν φασὶν, οὐδαμῶς μάχεσθαι τὸ μὴ ἔχειν ζώνην μήτε ὑποδήματα μήτε πήραν, πρὸς τὸ « Νῦν δὲ ὁ ἔχων βαλάντιον ἀράτω ὁμοίως καὶ πήραν· ὁ δὲ μὴ ἔχων πωλήσει τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν. »

ι'. Ἀλλά γε τοῖς οὕτω τὴν ἀπορίαν ἐπιλυομένοις ἀντιπεσεῖται μὲν ἴσως αὐτὰ τὰ δεσποτικὰ ῥήματα· « Ὅταν γὰρ ἀπέστειλα ὑμᾶς, » φησί. Καὶ, « Νῦν δὲ

scripsit, sed magis extulit et cumulavit, ita ut nihil majus dici queat: regni videlicet cœlestis hæreditatem illis adjecit.

9. Hæc aiunt qui post illos priores dant operam, ut sacra oracula inter se consonent. Et sane exploratum est partem utramque a personæ circumstantia ad conciliandam dubii solutionem vires colligere. Cæteræ vero, quantum novimus, sententiæ ex iisdem fere principiis manant; neque tamen sive cum prioribus sive ipsæ secum ad finem usque consentiunt. Nam et ipsæ quidem a personarum diversitate quæstionem solvunt: cæteroqui prius præceptum, quod paupertatis legem sanciebat, discipulis revera aiunt traditum, hisque solis congruere, nec non iis hominibus qui religiosi instituti parem severitatem insolubiliter per omnem vitam amplexi sunt. Altero autem mandato haud infirmari aiunt latam perfectioribus illis paupertatis legem; idque personam quidem prætendere discipulorum, verumtamen alios homines reapse spectare. Hactenus sententiæ utrique commune aliquid inest. Deinde in diversa abeunt: etenim altera personam proponit ab omni quidem re politica ac populari abhorrentem, cæteroqui sublimioris vitæ haud capacem neque patientem: his, inquam, hominibus modicum rei familiaris possessum attribuit, eosdemque legis ejus, quæ discipulis coronata certamina indicit, immunes esse sinit. Altera vero sententia Judæos discipulorum loco ponens, in posterioris mandati verbis vaticinium contra universam gentem contineri ait: quod sane exitum nactum est, cum Vespasianus ac Titus Hierosolyma urbem obsidione cinxerunt; qui post hanc belli jure subactam, Judæos gladiis consumendos tradiderunt. Tunc enim quorum possessio supellex erat et quidquid facile asportari poterat, id in alias extra Judæam urbes ferentes, a sua metropoli diffugiebant: dum alii interim divitiis gravati, aut quolibet modo detenti, dum urbanæ stationis tenaces sunt, mucrones et enses atque alia arma bellica coemere festinabant, bello ad id invitos urgente. Atque hanc rem nimirum Dominico ore prædici; nunc vero qui habet crumenam, sumat pariter et peram: quas si quis non habet, divenditis vestimentis gladium acquiret. Id ipsum antiquioribus quoque oraculis significatum fuerat, propheta dicente: « Aratra vestra in gladios, et falces in lanceas concidite[7]. » Sic igitur verba: « Ne habeatis zonam neque calceamenta neque peram, » negant pugnare cum his. « Nunc qui habet crumenam, sumat pariter et peram: qui vero non habet, vestimenta sua vendet, gladiumque coemet. »

10. Sed enim his qui hac ratione controversiam dirimunt, ipsa fortasse Dominica verba contradicunt: « Cum misi vos, » inquit. « Nunc autem dico

[7] Joel. III, 10.

Digitized by Google

vobis; » non aliis sed vobis ipsis, quos antea prædicatum misi. Quare locus recipiendæ personarum mutationi nullus est. Imo vero quid consentaneum, vel quem nexum habent verba : « Nunc qui habet crumenam, sumat pariter et peram, » cum pauperiatis mandato? Cur enim pauper crumenam haberet? Jam ipsa peræ cum crumena assumptio, quodnam, quæso, Judaici exitii vaticinium innuit? Sane hæc opinionum indagatio si libero judicio fiat, prædictarum quoque sententiarum nonnullis obstabit, neque sinet indubiam solutionem evadere. Namque olim interdixisse discipulis, deinde concessisse, opes; his, inquam, mandatis qui fieri potest ut accommodetur dictum illud : « Nunc qui habet crumenam, sumat et peram? » rursusque illud : « qui autem non habet, divenditis vestibus gladium emet? » Neque vero, si vel hæc concedantur, idcirco apparet prioris mandati apud eos qui acceperant observantia: alioqui nullus crumenæ locus esset. Posterius autem mandatum non tam possidendi copiam facit, quam superioris violationem coarguit. Quæ cum ita se habeant, nihilominus sacros illos interpretes propter sua priora tentamina piumque animum divinis præconiis efferre decet. Opum quippe hermeneuticarum initium inde traxerunt ii, qui illos consecuti sunt, interpretes, seminibus nimirum acceptis ac solutionum accuratiorum primitiis. Idque magis illis patrum jus erga nos asserit, nosque omnis observantiæ debitores demonstrat, quod nimirum acribus eorum conatibus ac laboribus, nunc demum ad apicem videre licet sacrarum Litterarum interpretationem provectam, nec cuipiam inscitiæ aut dubitationis ansam jam esse relictam.

11. Quod si forte aliquis sancti Spiritus instinctu dicat, prædictas offensiones declinandi causa, plerasque earum quæ in divina Scriptura videntur contradictiones, inscitia malitiave eorum fieri qui textus illos oppugnant; id, inquam, recte admodum justeque dicetur. Etenim partim haud considerant circumstantias quibus repugnantiæ auferuntur, partim vero improbitate sua difficultatem exaggerant. Attamen personarum circumstantia haud magnopere præsenti argumento prodest, sed ipsarum potius sacrarum litterarum diligens consideratio, inscitiæ sordes puritate sui sensus hinc ejiciet. Sequere me igitur cogitatione tua, meamque operam comitare. Primo quidem Dominus haud jubet discipulos crumenam gerere, verum eos qui hanc haberent, peram quoque simul ferre sinit. Qui, quæso, hæc inter se dissonant, vel quomodo sibi adversantur? in discipulorum numero habere ac prædicare eos qui paupertatis mandatum curant; violatoribus autem indulgere, atque ejus rei præceptum antiquare. Etenim infirmæ menti severitas regulæ inutilis est; et qui superiore vita neglectum legis præ se tulit, is inhibet ulteriorem legislatoris providentiam. Conceditur ergo, ut diximus, habentibus crumenam etiam pera; vel potius futu-

A λέγω ὑμῖν· » οὐκ ἄλλοις ἀλλ' ὑμῖν αὐτοῖς, οὓς καὶ κηρύσσειν ἀπέστειλα· ὥστε νῦν ἡ τῶν προσώπων ὑπαλλαγὴ οὐδεμίαν εὑρίσκει χώραν ἀποδοχῆς. Οὐ μὴν ἀλλὰ καὶ τίνα λόγον, ποῖον δὲ συνδιασώσει εἰρμὸν τὸ, « Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω καὶ πήραν, » πρὸς τὴν τῆς ἀκτημοσύνης ἐντολήν; Πῶς γὰρ ἂν ὁ ἀκτήμων βαλάντιον ἔχοι; Τίνα δὲ προφητείαν τὸ προσλαβεῖν τῷ βαλαντίῳ καὶ πήραν τῆς τῶν Ἰουδαίων ὑπογράφει καταστροφῆς; Ἀλλ' ἡ τοιαύτη μὲν ἔρευνα τῶν λογισμῶν ἀδεκάστῳ κρίσει καὶ τῶν ἔμπροσθεν ἀποδεδομένων λόγων ἐνίοις τισὶ διανοίαις ἐμποδὼν ἂν σταίη, καὶ οὐκ ἂν συγχωρήσειε τὴν λύσιν ἀναμφισβήτητον προελθεῖν· τὸ γὰρ πάλαι μὲν τοῖς μαθηταῖς ἀποκωλῦσαι, ὕστερον δ' ἐπιτρέψαι τὴν κτῆσιν· ταύταις δὲ ταῖς ἐντολαῖς πῶς ἂν

B ἐφελκυσθείη συναρμόσαι τὸ, « Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω καὶ πήραν; » καὶ τὸ, « Ὁ δὲ μὴ ἔχων πωλήσει τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν; » Οὔτε γὰρ εἰ ταῦτα δοθείη, τῆς προτέρας ἐντολῆς οὐδαμῶς ἐπιγινώσκεται τοῖς λαβοῦσιν ἡ φυλακή· οὐ γὰρ ἂν χώραν εἶχε τὸ βαλάντιον. Καὶ ἡ δευτέρα δὲ οὐκ ἐπιτροπὴν εἰσάγει μᾶλλον τοῦ κτήσασθαι, ἀλλ' ἔλεγχον τοῦ μὴ φυλάξαι τὰ πρότερα· ἀλλὰ γὰρ τοὺς μὲν ἱεροὺς ἐκείνους ἄνδρας ἄγειν τε χρεὼν καὶ θειάζειν τῆς τε πρώτης ἐπιβολῆς καὶ τῆς εὐσεβούσης γνώμης· καὶ ὅτι τὴν ἀρχὴν τῆς εὐπορίας ἐκεῖθεν οἱ μετ' αὐτοὺς ἀνεδέξαντο, σπέρματα

C λαβόντες καὶ ἀπαρχὰς ἀκριβεστέρων ἐπιλύσεων καὶ τό γε πατέρας αὐτοὺς μᾶλλον ἡμῖν ἐπιγράφων, καὶ τροφείων ἡμᾶς ἀποφαίνον χρεώστας, ὅτι ταῖς συντόνοις αὐτῶν ἐπιβολαῖς καὶ φιλοπονίαις, εἰς ἄκρον ἔστιν ἰδεῖν τὰ πλεῖστα τῶν ἱερῶν γραμμάτων τὴν ἐργασίαν ἀπειληφότα, καὶ μηδεμίαν ἀγνοίας ἢ ἀμφισβητήσεώς τισι καταλελοιπότα πρόφασιν.

ια'. Φαίη δ' ἄν τις ἴσως ὁδηγῷ τῷ Πνεύματι χρώμενος, ὥστε καὶ τὰς εἰρημένας λαβὰς ἐκφυγεῖν, ὡς τὸ μὲν πολλὰ τῶν φαινομένων ἐν τῇ θείᾳ Γραφῇ μάχεσθαι παρὰ τὴν ἄγνοιαν ἢ τὴν κακουργίαν τῶν τοῖς ῥητοῖς ἐπιβαλλόντων, ὀρθῶς τε καὶ δικαίως εἴρηται· οἱ μὲν γὰρ οὐ συνορῶντες τὰ περιστατικὰ δι' ὧν τὰ μαχόμενα λύεται· οἱ δὲ κακομηχανοῦντες τὴν ἀπορίαν κρατύνουσι· πλὴν ἀλλά γε νῦν ἡ ἀπὸ τοῦ προσώπου περίστασις οὐδὲν μέγα τῇ παρούσῃ θεωρίᾳ συμβάλλεται, αὐτῶν δὲ μᾶλλον τῶν ἱερῶν

D γραμμάτων ἡ ἀκριβὴς συνεξέτασις ἐξ ἑαυτῶν διασκεδάζεται ἐπιθολοῦσαν ἄγνοιαν τῇ καθαρότητι τοῦ νοήματος. Καί μοι συνδιασκόπει τοῖς λογισμοῖς καὶ συνακολούθει τῷ ἐγχειρήματι. Πρῶτον μὲν ὁ Δεσπότης οὐκ ἐπιτάττει τοὺς μαθητὰς βαλάντιον αἴρειν, ἀλλὰ τοὺς ἔχοντας, καὶ πήραν συνεπιφέρειν ἀφίησι. Ποῦ τοίνυν ταῦτα ἀσύμφωνα, καὶ πῶς; ἂν ἀλλήλοις μάχοιτο; μαθητὰς μὲν ποιεῖν καὶ δεικνύναι τῆς ἀκτημοσύνης νομοφύλακας, τοὺς ἠθετηκότας δὲ συγχωρεῖν, κἀπὶ τῶν ὁμοίων λύειν τὸ πρόσταγμα· ἀῤῥώστημα γὰρ γνώμης κανὼν ἀκριβείας ἀσύμφορον· καὶ ὁ δοὺς τοῖς προλαβοῦσι τῆς ὀλιγωρίας τὸν ἔλεγχον, αὐτὸς ἀναχαιτίζει τοῦ νομοθέτου τὴν ἐπὶ τοῖς μέλλουσι πρόνοιαν. Συγχωρεῖται μὲν οὖν, ὡς ἔφημεν, τοῖς κτησαμένοις τὸ βαλάντιον καὶ ἡ

Digitized by Google

πήρα· ἢ, εἰ βούλει, προαναφωνεῖται τῆς ἐσομένης πολιτείας τοῖς μὴ τὰ φθάσαντα συντηρήσασιν ὁ τρόπος· ἐναντίον δὲ τῇ ἐντολῇ, δι' ἧς οἱ τελειωθέντες τὴν ἀκτημοσύνην κατώρθωσαν, οὐδαμῶς ἂν τοῦτο συνοραθείη. Ὁρᾷς πῶς ἐξ αὐτῆς τῆς λέξεως καθαρῶς ἡ λύσις προέρχεται, μηδὲν ἐργώδες μηδὲ περινενοημένον παρέχουσα· « Ἀλλὰ νῦν, φησίν, ὁ ἔχων βαλάντιον, ἀράτω ὁμοίως καὶ πήραν. »

ιβ'. Δύο τάξεις νῦν, ὃ καὶ ἐπὶ πάσης ἄλλης ἔστιν εὑρεῖν ἐντολῆς, συνορῶνται· οἱ μὲν κατορθοῦσιν, οἱ δὲ τὸ πρόσταγμα παραβαίνουσι· τοῖς μὲν κατωρθωκόσι καὶ τῶν μειζόνων ὁ πόνος πιστεύεται, τοῖς δ' ἐῤῥᾳθυμηκόσι, οὐδὲν ἄλλο βάρος ἐπιτίθεται· ἀλλὰ καὶ συγχωρεῖται τὸ φθάσαν, ἵνα μὴ τὸ πᾶν ἐξ ἀπογνώσεως ἀπολέσωσι. Ἔδωκε τοῖς μαθηταῖς μηδὲν κεκτῆσθαι· οὐδὲν αὐτοῖς τῶν ἀναγκαίων ἐπιλέλοιπεν, οὐ μικρὸν, οὐ μέγα· οὐχ εὗρον ἀφορμὴν οὐδεμίαν οὐδ' αἰτίαν πλάσαι παραβάσεως· καὶ μάρτυρες αὐτοὶ τοῦ μηδενὸς ἐν ἐνδείᾳ νομοφυλακοῦντες καταστῆναι. « Μή τινος γάρ, » φησὶν, « ὑστερήσατε; » οἱ δὲ « Οὐδενός. » Ἐπεὶ οὖν ὁμοτίμως μὲν ἡ ἐντολὴ ἐδόθη, ὁμοτίμως δὲ τὸ τῆς χρείας ἄφθονον ὑπῆρχεν· ἀλλ' οἱ μὲν, οὐ δέον συνεπιφέρειν, βαλάντιον εἶχον· οἱ δὲ τῆς ἐντολῆς ἦσαν· τοὺς μὲν ὑπεριδόντας τὸ πρόσταγμα, ἅμα μὲν ἐλέγχων, ἅμα δὲ ἀφεὶς φέρεσθαι τῇ γνώμῃ, καὶ οὐ συγκλείων εἰς βίαν· ἅμα δὲ εἰ βούλει καὶ προαναφωνῶν αὐτοῖς τῆς πολιτείας τὸ μέλλον, « Ὁ ἔχων, φησὶ, βαλάντιον, ἀράτω ὁμοίως καὶ πήραν. » Προανεκήρυξε γὰρ ὁ παραβὰς οἷς ἔρθασε πράξας, καὶ τῆς ἐντολῆς ἀλογήσας, οἷαν καὶ περὶ τοῦ συστοίχων τὴν ἐν τῷ μέλλοντι διάθεσιν δείξει· τοῖς δὲ καθαρῶς ἀσπασαμένοις τὸ πρόσταγμα, τῆς γνώμης αὐτῶν ἀποδεξάμενος τὸ στερῤῥὸν, καὶ τὸ κεφάλαιον τῶν κατορθωμάτων ἐν ἀγῶνος μοίρᾳ χαρίζεται καὶ πρὸς τὸ τῆς φιλοσοφίας ἄκρον οἷς εἰσάγει ἀναφέρει.

ιγ'. Διό φησι πρὸς ἑκατέρους τοῦ λόγου σχιζομένου· Νῦν δὲ ὅτε μάλιστα τὸ πάθος ἥκει τὸ ἐμὸν, καὶ ὁ καθ' ὑμῶν ἐπὶ μέγα κρατύνεται πόλεμος, καὶ πολλῶν ἔλεγχον δώσουσι λογισμοί· οἷς μὲν ὁ τῆς ἐντολῆς λόγος οὐδ' οὕτω χαλεπὸς ὢν οὐκ ἐφυλάχθη, τούτοις ἀκολουθήσει μετὰ τοῦ βαλαντίου καὶ ἡ περιποίησις τῆς πήρας· οἷς δ' ἀνωτέρω γενέσθαι τῆς ἀθετήσεως διεπονήθη, οὗτοι καὶ τὸ τέλος οἰκεῖον τῶν προηγωνισμένων ἐπιθήσουσι· καὶ τοὺς μὲν τῆς ἄκρας φιλοσοφίας, καὶ διὰ τοῦτο καὶ τῆς ἀκτησίας κατενηνεγμένους, ἡ τῶν πολλῶν μέριμνα καὶ ἡ φροντὶς ὑποδέξεται· οἷς μετὰ τοῦ βαλαντίου καὶ ἡ πήρα, καὶ ὅσα ἂν τὸ εὐπερίστατον ἐπιτάττῃ τοῦ βίου, οὐ διαλείψει δι' ὄχλου γινόμενα· τοῖς δέ γε τηρήσασιν ἐν σπουδῇ καὶ πόνοις τὸ ἀγώνισμα. Ἐπεὶ τοῦτο, φησὶν, ὑμῖν ὀρθῶς τε καὶ ἐπιμελῶς διαπέπρακται, καὶ τὸ τῆς ἀκτημοσύνης ἄλθον ὥσπερ ἀῤῥαγῆ κρηπῖδα τῶν μελλόντων ἀγώνων ἐπήξατε, λείπεται δὲ παρεσκευασμένους ἔτι μᾶλλον καὶ ἑτοίμους ὑμᾶς εἶναι νῦν ἢ πρότερον πρὸς τὸν ὑπὲρ ἐμοῦ θάνατον· ἤδη γὰρ κἀγὼ τὸν ὑπὲρ τοῦ κόσμου ὑπέρχομαι. Εὖ δὲ ποιοῦντες προαπέθεσθε μὲν πάντα τὰ τοῦ βίου· οὐδὲν δ' ὑμῖν ἐπισύρεται τῶν μεθέλκειν δυναμένων ἀπὸ τοῦ μὴ

A rum vitæ genus eorum, qui priora mandata minime observaverunt, prædicitur. Verum id profecto haud contrarium apparet mandato illi, cui perfecti discipuli obsequentes, paupertatem sedulo retinuerunt. Viden' ut ex ipsa locutione perspicue solutio fluat, sine ullo vel labore vel subtili excogitatione: « Nunc vero qui habet crumenam, sumat pariter et peram! »

12. Duos hic hominum ordines (ut in alio quovis jusso deprehendere licet) videmus: alii scilicet mandatum curant, alii violant: recte agentibus majoris quoque molis labor concreditur; socordibus nullum insuper pondus adjicitur, imo et illud prius remittitur, ne omnia desperatione pessumdent. Mandavit discipulis nihil ut possiderent: B nihil iis necessarium, sive id parvum esset sive magnum, defuit; nullam occasionem causamve confingere potuerunt, cur obedientiam abjicerent. Quin ipsi testati sunt nulla se egestate laboravisse dum ei præcepto obsequerentur. « Nunquid, » ait, « vobis defuit? » responderunt, « Nihil. » Quandoquidem igitur commune mandatum erat, communis quoque fuit victus copia. Verumtamen alii contra officium crumenam habuerunt, alii mandato adhæserunt. Quare mandati violatores simul reprehendit, et simul suo quemque permittit arbitrio ferri, nullaque vi cogit. Simul autem, si ita placet, prædicens illis futuram ipsorum vitam: « Qui habet, ait, crumenam, sumat pariter et peram. » Nam qui antea deliquit, mandato contempto, is satis portendit qualem postero quoque tempore in re simili animum gesturus sit. Contra eorum, qui accurate rem imperatam fecerunt, constans ingenium probans, summam quoque perfectionem in agonis partem largitur, eosque ad religiosæ vitæ culmen monitis suis subvehit.

13. Quamobrem ait utrique ordini, bipartito sermone: Nunc cum maxime passio mea appropinquat, bellumque magnum contra vos ingravescit, multorum denique revelabuntur cogitationes. Etenim illos, a quibus superius mandatum, licet non ita arduum, violatum fuit, eos, inquam, post crumenam consequetur peræ quoque adjectio: contra illi, quibus curæ fuit ut ab inobedientia caverent, D coronidem quoque idoneam prioribus actibus imponent. Hinc eos qui a sublimi philosophia ideoque etiam a paupertatis laude exciderunt, multarum rerum sollicitudo et cura excipiet: eosdemque præter crumenam et peram, cætera etiam, quæ vitæ lautitia exigit, turmatim circumsistent. At vero illis qui sedulo et fortiter in proposito opere perseveraverunt, quoniam hoc, inquit, recte et diligenter a vobis peractum certamen est, ac paupertatis laborem ceu immobilem futurorum agonum columnam constituistis, superest ut nunc apprime morti pro me obeundæ parati sitis: nam et ego necem pro mundo mox subiturus sum. Bene autem est, quod antea mundana omnia abjecistis: nihil ut vos pelliciat eorum, quæ impedire possent, quomi-

Digitized by Google

nus lætabundi ad summam rei veniatis, nempe ad eædem mei causa patiendam. Pronum oppido vobis erit alacribus fieri, atque extremum amiculum tradere, et mei gratia mortem cum vita commutare. Id enim commodissime omnium prædicta verba significant, crumenam non habere, vestimenti venditio, gladius : veluti ne novissimo quidem amiculo perfectus paupertatis assecla parsurus sit, verum illud quoque cessurus, dum expedite currit ad gladium. Hinc non ait *vendat* aut *emat* ; sed *vendet* et *emet :* quibus verbis neque legem neque jussum statuit; et tamen rem futuram ante denuntiat. Scilicet haud mando, inquit, ut hæc fiant, sed futuri præscius ante edico, fore ut præcepti custodia ad extremum quoque et insigne facinus viam vobis muniat : illa enim suadebit vobis, ut necem quoque mei causa libenter adire velitis, omni cura sæculari vacetis, nihil corporale sectemini, cuncta ad meum famulatum referatis. Quod autem haud alius rei gratia gladios memoret arcano Dominicus sermo, jamdiu parabolis uti solitus, nisi ut eos suæ ac discipulorum passionis symbolum faciat, manifeste enucleat in subsequentibus. Cum enim respondissent discipuli præsto esse gladios duos, nihil præterea ab iis exquisivit, puta vel ut vestem divenderent, vel an ii, quibus esset crumena, peram quoque sumpsissent, neque ad alias eos transtulit cogitationes; sed « Satis est, » ait : scilicet signis res quæ portenditur circumscripta est; atque hæc assequendo scopo sufficiunt. Totum quippe negotium gladii duo oculis subjiciunt, et quid sibi velit symbolum patefaciunt. Alter enim gladius Dominicæ passionis imago erat, alter Evangelii genuinorum et sine fuco discipulorum, qui cunctis infra Domini charitatem locatis, novissimum quoque amiculum exuunt, atque omni terrestri re, imo et ipsa natura, nudati, simul ac occasio athletas evocat, ad necem pro dilecto ovantes convolant.

14. Atque ita hæc etiam quæ in manibus est disputatio consonantiam dictorum demonstrat, haud equidem personarum differentia, quam divinæ Scripturæ locutio hic non patitur, sed consequentibus factis, et progrediente sermonis ordine symbolicam verborum significationem aperiens. Profecto licet non solum prædictis modis simulamentum pugnæ cognoscere, sed aliis etiam multo iis, qui dicti sunt, pluribus, quorum expositio atque percensio, peculiaris cujusdam, non præsentis, tractationis est. Nihil tamen vetat quominus aliquot perstringamus, qui etiam nonnullis aliis dubitationibus tuis, si quis rem tecum considerabit, responsionem suppeditabunt. Nam multa eorum, quæ minime inter se pugnant, si partim secundum œconomiam dicantur, partim secundum naturæ ordinem, tuque ea minime discernas, contradictionis fucum facient. Œconomia

A χαίροντας ἐλθεῖν ἐπὶ τὸ πάντων κεφάλαιον τὴν ὑπὲρ ἐμοῦ σφαγήν· ἔψεται πάντως ὑμῖν προθύμους εἶναι, καὶ τὸ ἔσχατον ἀποδοῦναι περιβόλαιον, καὶ ἀλλάξασθαι τῆς ζωῆς τὸν ὑπὲρ ἐμοῦ θάνατον. Τοῦτο γὰρ σημαίνοι ἂν τῶν εἰρημένων πάντων εὐστοχώτερον τὸ βαλάντιον μὴ ἔχειν, καὶ ἡ τοῦ ἱματίου πρᾶσις, καὶ ἡ μάχαιρα· ὡσανεὶ ὅταν περ οὐδὲ τοῦ ἐσχάτου περιβολαίου ὁ τὴν τῆς ἀκτημοσύνης τελεσάμενος φείσεται, ἀλλὰ κακεῖνο δώσει χωρῶν εὐθύμως πρὸς μάχαιραν. Διὸ οὐ *πωλησάτω*, φησὶν, οὐδὲ *ἀγορασάτω*, ἀλλὰ *πωλήσει* καὶ *ἀγοράσει*· ἅμα μὲν οὐ νόμον, οὐδ' ἐπίταγμα τὰ ῥήματα ποιῶν, ἅμα δὲ καὶ τὸ μέλλον προαγορεύων· οἷον, Οὐκ ἐπιτάσσω, φησὶ, τοῦτο γένεσθαι, ἀλλ' εἰδὼς τὸ γενησόμενον προλέγω, ὡς ἡ τῆς ἐντολῆς φυλακὴ καὶ τὸ ἔσχατόν που καὶ B μέγα ὑμῖν προϋπογράφει κατόρθωμα· ἐκείνη γὰρ πείσει καὶ τὸν ὑπὲρ ἐμοῦ θάνατον ἡδέως ἐλέσθαι, τὸ πάσης ὑμᾶς βιωτικῆς ἐλευθέρους εἶναι μερίμνης, πρὸς τὸ μηδὲν ἐπιστρέφεσθαι τῶν σωματικῶν, τὸ πάντα πρὸς τὴν ἐμὴν ἀναφέρειν θεραπείαν. Ὅτι δὲ οὐ μᾶλλον ἑτέρου τινὸς χάριν τὰς μαχαίρας ὁτὰ ἀπ' ἀρχῆς προβλήματα φθεγγόμενος αἰνιγματίζεται λόγος, ἢ σύμβολον αὐτὰς πεποιημένος τοῦ τε οἰκείου πάθους καὶ τῶν μαθητῶν, σαφῶς ἀναπτύσσεται τοῖς ἑφεξῆς. Ἀποκριναμένων γὰρ τῶν μαθητῶν ὡς μάχαιραι δύο εἰσὶν, οὔθ' ἕτερόν τι προσαπῄτησε παρ' αὐτῶν, οἷον ἱμάτιον πωλῆσαι, ἢ τοῖς ἔχουσι τὸ βαλάντιον, εἰ καὶ ἡ πήρα προσείληπται, οὔτε πρὸς ἄλλην διάνοιαν μετεβίβασεν, ἀλλ' Ἱκανόν ἐστι, φησίν· ἀντὶ τοῦ περιεγράφη τοῖς συμβόλοις τὸ μηνυόμενον, καὶ ἀρκούντως C ἔχει παραστῆσαι ταῦτα τὸν σκοπόν. Αἱ γὰρ δύο μάχαιραι τὴν χρείαν ὅλην ὑπογράφουσι, καὶ τοῦ συμβόλου τὸ βούλημα διαγγέλλουσι· καὶ γὰρ τούτων ἡ μὲν παραβολὴν ἐπεῖχε τοῦ δεσποτικοῦ πάθους, ἡ δὲ τῶν γνησίων τε καὶ ὡς ἀληθῶς τοῦ λόγου μαθητῶν οἷς ἅπαντα τῆς εἰς τὸ Δεσπότην εὐνοίας ἀλλασσομένοις καὶ αὐτὴ προσαποδεύεται ἡ τελευταία περιβολή· γυμνοὶ δὲ τῶν περιγείων, ἀλλὰ καὶ αὐτῆς τῆς φύσεως, χαίροντες ἔδραμον πρὸς τὴν, ὅταν ὁ καιρὸς ἐκάλει τοὺς ἀθλητὰς, ὑπὲρ τοῦ ποθουμένου σφαγήν.

ιδ'. Ἀλλὰ τοιαύτην μὲν καὶ ἡ νῦν τῶν ῥητῶν τὴν συμφωνίαν δεικνῦσα θεωρία, τῇ μὲν τῶν προσώπων οὐ χρησαμένη διαφορᾷ, ὅτι μηδ' ἐπέτρεπε τοῦτο τῆς ἱερᾶς Γραφῆς ἡ φωνὴ, ὑπ' αὐτῶν δὲ τῶν ἐκβεβηκότων πραγμάτων καὶ τῆς καθ' εἱρμὸν προόδου τοῦ D λόγου τὴν συμβολικὴν τῶν ῥημάτων σημασίαν ἀναπτύσσουσα. Ἔστι μὲν οὖν, ἔστιν οὐ κατὰ τοὺς εἰρημένους μόνον τρόπους τὴν φαντασίαν τῆς μάχης ἁπαντῶσαν λαβεῖν, ἀλλὰ καὶ κατ' ἄλλους πολλῷ τῶν εἰρημένων πλείονας, ὧν ἡ στοιχείωσις καὶ συγκεφαλαίωσις ἰδιαζούσης, ἀλλ' οὐχὶ τῆς νῦν ἐστιν ὑποθέσεως. Πλὴν οὐδὲν κωλύει καί τινας αὐτῶν διελθεῖν, οἳ καὶ πρὸς ἄλλα τινὰ τῶν σῶν ἀπορημάτων τοῖς συνεπισκοποῦσι πόρον παρέχονται. Πολλὰ μὲν γὰρ τῶν οὐ μαχομένων, ἂν τὸ μὲν οἰκονομίᾳ λέγῃ, τὸ δὲ τῆς φύσεως τὸ ἀκόλουθον, σὺ δὲ μὴ διαστείλῃς, πλάνην ποιεῖ ἀντιθέσεως· οἰκονομία (10) δὲ λέγοιτ'

NOTÆ.

(10) De hoc sacro vocabulo multus est Suicerus in *Thesauro*, quem cum fructu adibis.

Digitized by Google

ἂν κυρίως μὲν ἡ τοῦ Λόγου φρικτικὴ ὑπὲρ ἐννοίας ἐνανθρώπησις. Καὶ καθ' ἕτερον δὲ τρόπον τῶν ἀκριβεστέρων νόμων ἡ ἐπί τινα χρόνον ὑποστολὴ ἢ σχολὴ ἢ τῶν ἀνειμένων εἰσφορὰ πρὸς τὴν τῶν δεχομένων ἀσθένειαν, διοικονομοῦντος τοῦ νομοθέτου τὸ πρόσταγμα. Προκύπτουσι δὲ τῆς πρώτης οἰκονομίας, οὐδὲ τῆς δευτέρας ἐχούσης τὸ ἀδιαίρετον, καὶ ἄλλοι τρόποι διάφοροι. Αὐτίκα ὁ Σωτὴρ ἠγωνία τε καὶ παρῃτεῖτο τὸν θάνατον, ἀλλὰ καὶ ἐξουσίαν εἶχε θεῖναι τὴν ψυχὴν αὐτοῦ καὶ πάλιν λαβεῖν αὐτήν. Καὶ ὅρα ὡς, εἴ τις μὴ τὸ μὲν τῇ οἰκονομίᾳ δοίη, τὰ δὲ τῇ ἐξουσίᾳ τῇ θείᾳ, ἑαυτὸν τοῖς ἐναντίοις περιτρέψειε. Καὶ τό γε νῦν τῆς οἰκονομίας ὄνομα φύεται μέν, ὥσπερ εἴρηται, ἀπό γε τῆς δηλούσης τὴν ἐνανθρώπησιν, ἥτις καὶ κυρίως ἂν καὶ πρώτως οἰκονομία τῷ ἀξιώματί τε καὶ τῷ αἰτίῳ τῆς ἐξ αὐτῆς λέγοιτο· οὐ μὴν εἰς ὅλον ἐκείνῃ συμφύεται· σχίζεται γὰρ εἰς δύο τέως καὶ αὖτη· καὶ τὸ μὲν αὐτῆς ἐπὶ μᾶλλον, τὸ δὲ ἐπ' ἔλαττον τῷ σημαινομένῳ συμβιβάζεται. Εἰ μὲν γάρ τις τὴν ἀγωνίαν καὶ τὴν τοῦ θανάτου παραίτησιν καθ' ὃ γέγονεν ἄνθρωπος λαβεῖν ἐθελήσοι, οἰκονομίαν ἐντεῦθα τὴν μᾶλλον προσφυομένην ἕξει τῷ προταχθέντι ῥήματι· εἰ δ' ἀγωνιᾷν καὶ παραιτεῖσθαι τὸν θάνατον, οὐκ αὐτὸ τοῦτο διότι γέγονεν ἄνθρωπός τις ὑπολάβοι (πολλοῖς γὰρ καὶ τῶν μαρτύρων καὶ ἀσκητῶν ἑκούσιος ὁρμὴ καὶ χαρὰ πρὸς τὸν θάνατον), ἀλλ' οἰκονομεῖσθαι νῦν τὴν ἀγωνίαν καὶ τὴν τοῦ θανάτου παραίτησιν εἰς βεβαίωσιν μὲν τῆς ἐνανθρωπήσεως, ἔλεγχον δὲ φθάνοντα τῶν ὑποθεμένων φαντασίαν τὸ φρικτὸν τῆς ἐνανθρωπήσεως καὶ παράδοξον, τὴν ἐπ' ἔλαττον οὕτως συναπτομένην τῆς οἰκονομίας φωνὴν πρὸς τὴν τῆς μάχης λύσιν εὗρεν ἐπίκουρον· πλὴν ἀλλ' οὐδὲν ἔλαττον ἑκατέρωθεν ἡ φαντασία τῆς μάχης ἐλαύνεται.

A vero principaliter dicitur Verbi incarnatio supra omnem intelligentiam admirabilis. Rursus alio modo œconomia intelligitur severi juris ad certum tempus remissio atque justitium; vel etiam immunium pensitatio propter ægros recipientium animos præstita; sic videlicet legislatore mandatum suum moderante. Exsistunt autem e priore œconomia (neque posterior ipsa abhorret) alii quoque modi plures. Exempli causa, Servator in agonia positus mortem deprecabatur [8]. Atqui idem potestatem habebat deponendi animam, atque iterum sumendi eam [9]. Constat, nisi quis prius illud œconomiæ ascribat, alterum vero divinæ potestati, ipsum se contradictionibus implicaturum. Et hoc loco quidem œconomiæ nomine intelligitur, ut diximus. B incarnatio, quæ præcipue primitusque ob dignitatem suam et efficientiam merito dicitur œconomia. Neque tamen prædictum nomen in hac una notione consistit. Nam et ipsa notio interdum in duas scinditur; quarum altera magis, altera minus cum re intellecta congruit. Nam si quis agoniam mortisque deprecationem quatenus homo erat intelligere volet, is œconomiam præposito nomine maxime dignam habebit: sin agoniam] pati et mortem deprecari, haud a Christi humanitate repetet (propterea quod multi martyres piique athletæ sponte atque alacriter ad necem properaverunt); verum idcirco positum esse in agonia Jesum et mortis fugam appetivisse judicabit, ut humanitatis suæ fidem faceret, atque ut in antecessum eos refelleret, qui admirabile atque inopinum incarnationis opus phantasiæ ascripturi erant; qui, inquam, C sic opinabitur, is œconomiæ vocabulum secundario sensu ad repugnantiæ conciliationem auxiliarium habebit: æque tamen utrinque simulata repugnantia expellitur.

ιε'. Εἰσὶ δὲ καὶ παρὰ τούτοις οἰκονομίας διάφορα μὲν σημαινόμενα, τῆς αὐτῆς δ' ὅμως λαχόντα γενέσεως, πλὴν ἀλλά γε νῦν μυρία μὲν καὶ ἄλλα τῶν εἰς ἀπορίαν ἀναφερομένων, τῇ ἐπικρίσει τε καὶ διαλήψει τοῦ τὴν κυρίως οἰκονομίαν δηλοῦντος ὀνόματος ἡ λύσις ἐκεῖθεν πρὸς τὸ σαφὲς ἄγει· ἐπιλύσεως δὲ οὐδὲν ἔλαττον διὰ ταύτης τύχοι ἂν ἢ δι' ἄλλης ἐφόδου καὶ τὸ, « Τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκα ὑμῖν; » καὶ, « Ἐγὼ καὶ ὁ D Πατὴρ ἓν ἐσμεν. » Συγκρούειν μὲν γὰρ ἀλλήλοις δοκεῖ πως τοῖς ἀσυνέτοις ἡ ῥαδιουργοῦσι τὰ ῥητά· ἀλλ' ὅ γε σοφὸς τῆς ἀληθείας λόγος τὴν μὲν τῶν φωνῶν τῇ ἀκηράτῳ καὶ μακαρίᾳ τῆς θειότητος ὑποφέρων φύσει, τὴν δὲ καθ' ἣν αὐτὴν ὁ Λόγος τὴν ἡμετέραν οὐσίαν προσείληφεν, πᾶσαν διωθεῖται ἀμφισβήτησιν. Οὐκ ἀποστατήσειε δ' ἂν τοῦ εἰκότος καὶ εἴ τις τῇ αὐτῇ διαλύοιτ' ἂν ἐπισκέψει καὶ τὸ, « Ὁ Πατήρ μου μείζων μού ἐστι· » δεῖται μὲν γὰρ συνετῶν καὶ καθ' ἑαυτὸ τοῦτο τὸ ἱερὸν χωρίον ἀκροατῶν. Μᾶλλον δ' ἂν δεηθείη καὶ τῆς εἰρημένης φωνῆς ἥτις ἐδήλου τὴν ἰσότητα Πατρὸς, συνεξεταζομένης καὶ συμπαραβαλλομένης αὐτῷ· εἰ γὰρ καὶ ἑτέραις

15. Sunt autem præter has aliæ quoque et variæ vocabuli œconomiæ significationes, quæ tamen ab eadem origine manant. Denique alia innumera quæ ad dubitandum trahunt, judicio et discretione nominis quod principaliter incarnationem significat, declarationem perspicuam consequuntur. Et hac quidem ratione, nihilo secius quam alia, solutionis compotes fieri licet. Veluti in hoc loco: « Cur me quæritis interficere hominem qui veritatem locutus sum vobis [10]? » Tum: « Ego et Pater unum sumus [11]. » Stultis oppido hominibus leviqueque meute præditis contraria hæc dicta videntur: sed enim sapiens veritatis sermo alterum quidem dictum ad immortalem beatamque divinitatis naturam referens, alterum ad humanam cum Christus communem nobis substantiam sumpsit, universam profligat ambiguitatem. Neque a justa sententia recedet, si quis eodem consilio explicet etiam, « Pater major me est [12]. » Nam cum sacer hic locus per se prudentes auditores postulat, tum multo etiam magis indiget, ut supradicta vox, quæ cum Patre æqualitatem significat, adjungatur huic juxtaque ponatur. Nam si aliis

[8] Luc. XXII, 43. [9] Joan. X, 18. [10] Joan. VIII, 40. [11] Joan. X, 30. [12] Joan. XIV, 28.

Digitized by Google

quoque patriis notionibus simulata ipsorum pugna concordiam exhibet; veluti quia vocabulum *major* ad causam refertur; *unum* autem naturæ æqualitatem significat; sequitur ut œconomiæ quoque sermo, qui in se recipit vocem *major*, liberam errore comprobet per vocem *unum* Patris cum Filio æqualitatem. Porro nihil prohibet quominus ii sermones qui adhærente sibi contentione laborant, diversis hanc propulsent argumentis. Et quidem hoc ipsum, de quo nunc agimus, « Pater major me est, » aliis a me rationibus, quæ mentem auditorum pervicerunt, omni dubitatione expeditum fuit, cum probabili ut arbitror solutione.

A πατρικαῖς ἐπιστασίαις ἡ ἐν αὐταῖς φαινομένη μάχη τὴν συμφωνίαν προήνεγκεν, οἷον ὅτι τὸ μὲν *μείζων* εἰς τὸ αἴτιον (11) ἀναφέρεται, τὸ δὲ *ἕν* μηνύει τῆς φύσεως τὴν ἰσότητα, ἀλλ' οὖν καὶ ὁ τῆς οἰκονομίας λόγος εἰς ἑαυτὸν τὸ *μείζων* ἀναδεχόμενος, ἐλευθέραν ἐπηρείας τὴν τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν διὰ τοῦ *ἑνὸς* συγκατασκευάζει ἰσότητα. Οὐδὲν δὲ κωλύει τοὺς τὴν ἔριν ἐπιτιθεμένην αὐτοῖς ὑποφέροντας λόγους διαφόροις ἀποσκευάζεσθαι ταύτην ἀφόδοις· ἐπεὶ καὶ ὅπερ νῦν εἴρηται, « Ὁ Πατήρ μου μείζων μού ἐστιν, » ἑτέρας παρ' ἡμῶν ἐπισκέψεσιν, αἳ τὴν τῶν ἀκροατῶν ὑπόληψιν ὑπε[ρε]βάλοντο, τῆς ἀπορίας ἀνεκαθάρθη, οὐ μεμπτὴν, οἶμαι, τὴν λύσιν ἀπενεγκάμενον.

16. Præter hactenus dicta, et præter necessitatem et immunitatem, ii qui difficultatem calumniose sermones clamitant, auctorum suorum sycophantiam coarguunt. Quare et communis Dominus et Creator generis atque Servator Davidem, qui panes oblationis comedit, de læso jure absolvit. Nam utpote legislator, naturam legis vimque cognoscens, et quibus actibus moderandis lex sit posita probe sciens, injurios equidem et qui per contemptum peccant, pœna dignos sæpe declaravit: verumtamen iis quibus amor et reverentia legum inest, sed necessitas cum infirmitate conjuncta amorem reverentiamque labefactat, veniam mollitudinis impertitur, neque in hos sine misericordiæ affectibus sententiam fert. Sicuti beatum quoque Davidem de læsis legibus absolvit; iis qui panes abstulerant haud audacem legum contemptum exprobrans; sed quia naturæ robur non satis mentis proposito respondebat, id eis in defensionis loco ponens, absolutionem decernit clemens Jesus. Et aliæ quidem controversiæ multæ ad liquidum hac ratione deducuntur.

B ις'. Χωρὶς δὲ τῶν εἰρημένων καὶ παρὰ τὴν ἀνάγκην καὶ τὴν ἄδειαν, οἱ εἰς τὸ ἄπορον ἐπηρεαζόμενοι λόγοι συκοφάντας τοὺς ἐπιτιθεμένους αὐτοῖς ἀπελέγχουσιν. Ἐξ οὗ καὶ ὁ κοινὸς Δεσπότης καὶ πλάστης τοῦ γένους καὶ Σωτὴρ τὸν Δαβὶδ τοὺς ἄρτους φαγόντα τῆς προθέσεως, νόμων ἀφίησιν ἀθετήσεως. Ὡς γὰρ θέμενος, καὶ εἰδὼς τὴν τε φύσιν καὶ ἰσχὺν τοῦ νόμου, καὶ ὧν ὁ νόμος τὴν πολιτείαν ἐτάθη ῥυθμίζειν, τοὺς μὲν ὑβριστὰς, καὶ οἷς ὑπεροψία ποιεῖ τὴν παράβασιν δικαιοῖ τὴν δίκην ἐν ἄλλοις πολλάκις ὑπέχειν· οἷς δὲ στοργὴ μὲν καὶ αἰδὼς τῶν νόμων, ἀνάγκη δὲ τὴν στοργὴν καὶ τὸ αἰδούμενον διὰ τῆς ἀσθενείας ἐκλύει, συγγνώμην διδοὺς τῇ ἀτονίᾳ καὶ σπλάγχνοις ἐλέους τούτους ἀνακρίνων. Καθάπερ δὲ καὶ τὸν Δαβὶδ νόμων παραβάσεως ἀπολύει, τοῖς ἐνεγκαμένοις οὐχ ὑπεροψίαν ἐγκαλῶν τολμῆσαι τῶν νόμων, τῆς δ' ἐν τῇ φύσει ῥώμης οὐ συμπαρατεινομένης τῇ γνώμῃ, καὶ τοῦτο λόγον αὐτοῖς τιθέμενος ὁ φιλάνθρωπος γράφει τὴν ἐλευθερίαν. Καὶ πολλὰ ἄλλα τῶν ἀπορουμένων εἰς τὸ εὔπορον διὰ τῆς αὐτῆς ἐπιβολῆς μεθοδεύεται.

17. Cæteras autem circumstantias recensere quid interest? Nam et ipse per se lectionis modus, si cuique sententiæ proprium vocis sonum accommodet, aditum omni dubitationi obstruit: sin apta vocis ratio a significatu suo demutetur, res perspicua in obscuram vertitur. « Ego vos elegi, » ait Servator discipulis [14]. Itemque, « Nos (13) ego elegi vos [15]? Si quis igitur utramque ex his periodis eodem vocis tono figuret; vel vice versa priorem interrogative, alteram ita efferat ut priorem oporteret, rem manifestam ad perplexitatem trahet, et ea quæ nulli criminationi obnoxia erant, in culpa ponet. Nam qui elegerat, cum electionis suæ conscius esset, atque hanc discipulis in mentem revocaret, ne antiquum scilicet benevolentiæ erga se debitum oblivionis fluctibus abriperetur, atque ut eos promptio-

C ιζ'. Τί δὲ δεῖ τὰς ἄλλας ἐπεξιέναι περιστάσεις; Αὐτὸς καθ' ἑαυτὸν ὁ τῆς ἀναγνώσεως τρόπος οἰκείως μὲν τοῖς νοήμασι τῆς φωνῆς τὸν ἦχον ἐναρμοζόμενος, πάσης ἀπορίας ἀποτειχίζει πάροδον· ἀπαλλαττομένης δὲ τῆς καταλλήλου φωνῆς τῷ νοήματι, εἰς τὸ ἀδιανόητον τὸ σαφὲς καταδύεται· « Ἐγὼ, φησὶν, ἐξελεξάμην ὑμᾶς, » πρὸς τοὺς μαθητὰς ὁ Σωτὴρ· καὶ, « Οὐκ ἐγὼ ἐξελεξάμην ὑμᾶς (12); » Εἴ τις οὖν ἑκατέραν τῶν προκειμένων περίοδον τῷ αὐτῷ τῆς φωνῆς κατασχηματίσειε τόνῳ, ἢ τὸ ἀνάπαλιν τὴν μὲν προτέραν ἐν ἐρωτήσει, τὴν δὲ δευτέραν ὅπερ ἦν τῆς προτέρας ἀποφηνάμενος προενέγκοι, τὰ σαφῆ ποιήσει δυστέκμαρτα, καὶ τὰ λαβῆς ἁπάσης ὑπερανεστηκότα ἐπίμωμα. Ὁ γὰρ ἐκλεξάμενος, εἰδώς τε ὡς ἐξελέξατο, καὶ τοῖς μαθηταῖς τὴν ἐκλογὴν ἐπὶ μνήμης φέρων, ὡς ἂν τό τε ἀρχαῖον χρέος τῆς εἰς αὐ-

[14] Marc. II, 25. [15] Joan. XV, 16. [16] Joan. VI, 71.

NOTÆ.

(11) De vocabulo αἴτιον, de aliis Dei Patris nominibus et de toto hoc loco theologico legesis præclaras SS. Patrum auctoritates apud Petavium, *Theol. dog. de Trin.* v, 5.

(12) Antiqua scilicet Græcorum scriptura carebat nota illa interrogandi, qua nunc perspicuitatis gratia utimur. Reapse vix in codicibus recentissimis prædicta nota conspicitur.

(13) Si *nonne* Latine dicas, vim sententiæ Photianæ infringes.

Digitized by Google

τὸν εὐνοίας μὴ ῥεύματι λήθης ὑποσύροιτο, καὶ πειθηνίους μᾶλλον τοῖς προσταττομένοις ἔχοι, δῆλον ὡς οὐκ ἀπαγορεύων οὐδ' ἐξαρνούμενος ὅπερ ἔπραξε, ἀλλ' ἐπιβεβαιούμενος μᾶλλον δι' αὐτῆς ἐρωτήσεως· « Οὐκ ἐγὼ, φησὶν, ἐξελεξάμην ὑμᾶς ; » Εἰωθε γὰρ ἐν πολλοῖς ὁ λόγος ἐκεῖνα τῶν εὐεργετημάτων ἐρωτήματα ποιεῖν, ἃ περιφανεστάτην ἔχει τὴν ἐνάργειαν, καὶ οὐκ ἔστιν οὐδενὶ τῶν λαβόντων ἐξαρνεῖσθαι τὴν χάριν. Ὑπάγοιτο δ' ἂν τῷ αὐτῷ κανόνι καὶ τὸ, « Ἐὰν ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου ἀληθής ἐστι. » Καὶ, « Ἐὰν ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής ; » Εἰ γὰρ καὶ ἑτέρᾳ διασκέψει τὸ δοκοῦν ἐνταῦθα διαμάχεσθαι λύσιν εὑρίσκει (14), ἀλλ' οὖν οὐδεὶς ἂν ἐπιτιμήσειεν ὁρῶν πρὸς τὴν δίκην, καὶ εἴ τις μὴ ἀποφαινομένου λέγοι τὸ, Ἡ μαρτυρία μου οὐκ ἀληθής, ἀλλὰ διὰ τῆς ἐρωτήσεως ἀπογυμνοῦντός τε καὶ ἀνακαλύπτοντος τὴν τοῖς Ἰουδαίοις ἐμβαθυνομένην καὶ ἀνελιττομένην τῆς ἀποστασίας τε καὶ κακουργίας γνώμην. Εἰ μέντοιγέ τις τὰς ἀποφάσεις ἐν ὁμοίῳ σχήματι τῶν καταφάσεων τῇ ἀναγνώσει διεξίοι, μάχης ὡς ἀληθῶς ἑαυτὸν καὶ ταράχου ἐμπλήσει, κἂν τῆς θεορημοσύνης τὸ θαυμάσιον πάσης ἐπιβουλῆς καὶ ἐναντιώσεως ὑπεραν-ψωκισμένον ὁρᾶται. Τῆς αὐτῆς δ' ἂν εἴη διασκέψεως καὶ ἡ, « Μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ οὐκ ἐγήγερται ἐν τοῖς γεννητοῖς τῶν γυναικῶν, » Δεσποτικὴ μαρτυρία· εἶτα, « Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι· » ἐρωτηματικῆς γὰρ ἀναγινωσκομένης τῆς, « Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι ; » φωνῆς, οὐδεμία δὴ μικρολογίας εὑρίσκεται χώρα, οὐ μὴν ἀλλ' οὐδὲ περινοίας ἄλλης δεήσεται ἡ τῶν προκειμένων ῥημάτων σαφήνεια. Ἀλλὰ γὰρ τοῦτο μὲν καὶ ἰδίας ἐν ἄλλοις ἔτυχεν ἐργασίας (15). Τοιοῦτον ἂν εἴη καὶ τὸ, « Καθεύδετε (16) τὸ λοιπὸν καὶ ἀναπαύεσθε ; οὐ γὰρ ἀποφαινομένου τὸ ῥῆμα, ἐν ἐρωτήσει δὲ ποιουμένου τὴν τῆς ὀλιγωρίας ἐπιτίμησιν· οἷς ἐπιφέρεται ἀκόλουθόν τε καὶ συναρμοζόμενον τὸ, « Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. » Οὐ γὰρ ἂν ἄλλως ἑτοιμότερον ἡ τῶν ῥημάτων συνέπεια ἐλευθεροῦσαν ὑπέλθοι ψῆφον τοῦ μηδὲν μάχεσθαι, εἰ μὴ τὸ, « Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε, » τὴν ἐρωτηματικὴν διὰ τῆς ἀναγνώσεως προσάλλοιτο ἐπιτίμησιν· καὶ μυρία ἄλλα.

A res mandatis curandis faceret; hunc patet neque retractare quod egerat neque negare, sed ipsa potius confirmare interrogatione : Non ego, inquit, elegi vos? Solemus enim in sermone ea beneficia interrogando commemorare, quæ indubitam evidentiam habent, et quorum nemini bene his adferto licet gratiam inficiari. Sub eamdem regulam cadit etiam illud : « Si ego mihi ipsi testimonium do, testimonium meum verax est [16]. » Item, « Si ego mihi ipsi testimonium do, testimonium meum non est verax [17] ? » Quanquam enim alia quoque consideratione quod hic videtur pugnare dirimitur, nemo tamen objurgabit dicamve impinget, si quis dicat non esse hoc negativum, Testimonium meum non est verax ; sed ejus qui retegit denudatque in- B situm Judæis atque implicitum apostasiæ et improbitatis ingenium. Si quis igitur affirmationes eodem tenore quo negationes inter legendum pronuntiet, is enimvero pugna seipsum ac perturbatione complebit; etiamsi divini oraculi dignitas incursioni omni et contrarietati superior esse videatur. Illud etiam pari cautela tractandum est Dominicum testimonium : « Major Joanne Baptista inter filios mulierum nemo surrexit. » Deinde : « Qui autem minimus est in regno cœlorum, hic major illo est [18]. Interrogative enim prolata voce. Minimus autem in regno cœlorum major illo est? neque prædictum testimonium perimitur, neque ullus cavillando locus superest. Quin adeo nulla præterea solertia opus erit ut supra dicta verba inclarescant. Sed C enim hic locus alibi quoque peculiarem nactus est lucubrationem. Hujusmodi erit etiam : « Dormitis jam et requiescitis [19] ? » non enim pronuntiativa locutio est, sed ejus qui interrogando socordiam objurgat. Cui sermoni subtexitur consectaneus alius et congruus : « Surgite, eamus hinc [20]. » Neque enim promptius aliter sermonis series ab omni contradictione felici calculo liberabitur, quam si « Dormitis jam et requiescitis » interrogativam in legendo præ se ferat increpationem. Ejus generis innumera sunt.

ιη'. Κακουργήσειε δ' ἂν τις τῶν τὰ τοιαῦτα τολμᾷν εἰωθότων παρὰ τὴν σύγχυσιν τῆς αἰτίας τὸ κακούργημα διαπλέκων, καὶ πρὸς τὸ, « Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, » τὴν ἀντεπενεχθεῖσαν τῷ τυπτήσαντι Δεσποτικὴν φωνὴν, « Τί με δέρεις ; » ὡς ἀντιπράττουσαν προβαλλόμενος (17)· ἀλλ' εἰς τὸ ἐμφανέστατον

18. Maligne aliquis eorum, quibus hæc artificia familiaria sunt, versutiam suam cum causæ perturbatione miscebit, dum ei locutioni, « Siquis te percusserit in dextra gena, præbe illi et alteram [21]; » opponet Christi responsum, qui percussori ait, « Cur me cædis [22] ? » Verum ubi perspicue patefactum fuerit causam rei esse aliam, criminatio illico

[16] Joan. VIII, 14. [17] Joan. V, 31. [18] Matth. XI, 11. [19] Matth. XXVI, 45. [20] Joan. XIV, 31. [21] Matth. V, 30. [22] Joan. XVIII, 23.

NOTÆ.

(14) In amphilochiana quæstione 98.

(15) Lege quæstionem amph. 122 (nunc 309) apud Wolfium, et in epistola Photii 180. (nunc q. 98).

(16) Terminatio τε indicativi æque modi et imperativi apud Græcos propria est. Verumtamen in Latina lingua huic ambiguitati locus non est : quare in vulgato Bibliorum nostrorum textu interrogare non licet.

(17) Quæstionem hanc aliis verbis versat Photius etiam in Amphilochiana 157 (nunc 135), quam Wolfius edidit.

Digitized by Google

refelletur. Etenim homini qui pecuniæ aut aliarum opum aut corporis detrimentum passus fuerit, mandat pacis Deus ne repugnet, atque ut omnium indici persecutionem injuriæ permittat. Verum enimvero ubi quispiam scelestas manus intulerit, non ut alicui prædictarum rerum noceat, sed ut in oris contumelia rem præcipuam pessumdet, nempe religionem; tunc demum haud æque animo injuriam pati jubemur, ne patientiæ obtentu audaciorem impium reddamus, neu silentio augeamus hosti animos, quo pietati petulantius insultet. Huic divus etiam Paulus, ceu sincerus Evangelii discipulus, sapienter præcepto parvit [93]. Idcirco etiam tribuno Romanum incussit timorem, ne salutis propriæ, quam facile consequi poterat, ultro proditor videretur, ac pietatis cederet inimico. Ideo denique uberrimus eos repressit refutationibus, qui religioni calumnias struebant [94]. Et quidem fortissimorum quoque martyrum egregius chorus adversus tyrannos ob eamdem causam constanti lingua firmisque oculis armabatur, pietatem oratione tuens, ac superstitionis flagitium coarguens. Quoad enim tyrannus veram ipsam accusationem maligno animo dissimulat, aliis interim sycophantiis ceu quibusdam velitationibus athletam exercens, silere præstat clementerque molestiam pati. Verum ubi aulæo sublato, haud jam personatus contra religionem aggreditur fabulam, tum denique strenui viri est, et cum Deo gratum opus tum Dominici facti æmulum, verbis adversantibus uti, neque per silentium malis histrionibus Dei cultum prodere; imo vero hunc ab omni criminatione atque impetu vindicare, tum veridica scilicet oratione tum etiam animi strenuitate. Nocet aliquis pecuniæ, agris, vel contumeliosam quoque manum corpori affert? patienter ferre decet, constantia mitigare iracundiæ flammam, damnique contemptu insatiabilem avaritiæ sitim inhibere. Ubi tamen piacularium atque impiorum instar, honesti moris asseclæ religionisque præcones, ab harum virtutum hostibus traducentur malisque irretientur, tunc haud taciti injuriam perferemus; sed quia iniqua patimur pii, et quia Evangelii sacrario vis infertur, mente linguaque audebimus. Nam cum priore rerum conditione silentium miræ virtutis significatio est, posteriore tamen si forte vocem contineamus, impietatis audaciam contra evangelicum verbum exacuemus.

A καθισταμένου, ὡς ἡ αἰτία διάφορος, θᾶττον ἀπαιτεῖται τὸν ἔλεγχον. Καὶ γὰρ τῷ μὲν εἰς ἀργύριον ἢ κτῆσιν ἄλλην καὶ αὐτὸ τὸ σῶμα τὴν ζημίαν ὑπομένοντι μὴ ἀντεπεξιέναι, παραχωρεῖν δὲ τῷ κριτῇ τῶν ὅλων, τῆς εἰρήνης Θεὸς ἐπιτάττει τὴν ἐκδίκησιν. Ἐπειδὰν δέ τις τὰς ἀδίκους ἐκτείνῃ χεῖρας οὐχ ὅπως εἴς τι τῶν εἰρημένων τὴν βλάβην ἐνστίξειεν, ἀλλ ἐν τῇ τοῦ προσώπου ὕβρει τὸ πρεσβευόμενον λοιδήσηται τὴν εὐσέβειαν (18), τότε μὴ φέρειν ῥᾳθύμως τὴν ὕβριν προσταττόμεθα, μηδὲ σιγῇ συγκατασκευάζειν τῷ ἐχθρῷ τὸν προπηλακισμὸν τοῦ σεβάσματος Ταύτην καὶ ὁ θεῖος Παῦλος, ἅτε δὴ γνήσιος τοῦ λόγου μαθητής, ἐν σοφίᾳ τὴν ἐντολὴν κατωρθώσατο· τοῦτο μὲν Ἐλύμαν τὸν μάγον (19) ἐπιβουλεύοντα τῷ κηρύγματι στερήσει τῶν ὄψεων, ἀναστέλλων τε τοῦ τολμήματος καὶ δίκην ἀπαιτῶν· τοῦτο δὲ τῷ χιλιάρχῳ τὸν Ῥωμαϊκὸν ἐπισείων φόβον, ἵνα μὴ, ῥᾷον ὂν ἀνασώσασθαι, τῆς σωτηρίας προδότης ἀλῷ, καὶ τῷ τῆς εὐσεβείας ὑποκατακλινόμενος ἐχθρῷ· τοῦτο δὲ μακροῖς ἐπιστομίζων ἐλέγχοις τοὺς τὴν συκοφαντίαν κατὰ τῆς πίστεως συσκευάζοντας. Καὶ τῶν καλλινίκων δὲ μαρτύρων ὁ θεῖος χορὸς διὰ τὴν αὐτὴν αἰτίαν πρὸς τοὺς τυράννους ἐπαῤῥησιάζοντο ἀπτοήτῳ γλώσσῃ καὶ δυσωπήτοις ὀφθαλμοῖς τὸν ὑπὲρ τῆς εὐσεβείας λόγον συνείροντες, καὶ τῆς ἀσεβείας τὸ δύσφημον διελέγχοντες. Ἐν οἷς μὲν γὰρ ὁ τύραννος τὸν τοῦ μαρτυρίου λόγον ἔνδον κακούργως ἀποκρυπτόμενος ἄλλαις ἐπηρείαις, ὥσπερ τισὶ προαγωνίσμασι, τὸν ἀθλητὴν δοκιμάζει, σιγᾷν ἄμεινον καὶ πράως φέρειν τὴν ἐνόχλησιν· ἐπειδὰν δὲ τὴν σκηνὴν διαλύσας, ἀπρόσωπον τὴν κατὰ τῆς εὐσεβείας εἰσέρχεται κωμῳδίαν, τότε δὴ, τότε γενναῖόν τε καὶ φίλον Θεῷ, καὶ τῆς Δεσποτικῆς ἐργασίας μίμησις, ἀντεπεξιέναι λόγοις, καὶ μὴ τῇ σιωπῇ προδιδόναι ταῖς κωμῳδίαις τὸ λατρευόμενον· κρεῖττον δὲ παρέχειν λαβῆς ἁπάσης καὶ συσκευῆς, τοῦτο μὲν ἀληθέσι λόγοις, τοῦτο δὲ τῷ τῆς ψυχῆς παραστήματι. Εἰς ἀργύριόν τις ἐπιβουλεύει, εἰς ἀγροὺς, ἢ καὶ χεῖρα ὕβρεως ἐπανατείνεται τῷ σώματι; ἀνεξικάκως προσήκει φέρειν, μακροθυμίᾳ διαπραῦνειν τὸ φλεγμαῖνον τῆς ὀργῆς, καὶ τῆς φιλαργυρίας, ἀλιγωρίᾳ τῆς ζημίας, ὑποστέλλειν τὸ ἄπληστον. Ἀλλ' ὡς ἐναγεῖς, ὡς ἀσεβεῖς τοὺς τῆς ἀρετῆς ἐργάτας καὶ τῆς εὐσεβείας κήρυκας ὁ ταύτης ἐλαύνει ἐχθρὸς καὶ κακοῖς παραδίδωσιν, οὐ σιγῇ τὴν ὕβριν οἴσομεν, ἀλλ' ὡς ἄδικα μὲν πάσχοιμεν εὐσεβοῦντες αὐτοὶ, ἄδικα δὲ πάσχοι τὸ σεπτὸν τοῦ κηρύγματος, καὶ γνώμῃ καὶ γλώσσῃ παῤῥησιασόμεθα. Ἐκεῖ μὲν γὰρ ἡ σιγὴ θαυμασίας ἐστὶν ἀρετῆς ὑποτύπωσις· ἐνταῦθα δὲ τὸ σιγᾷν καταθρασύνεσθαι τῶι λόγῳ μᾶλλον παρακαλεῖ τὴν ἀσέβειαν.

[93] Act. XIII, 8. [94] Act. XXII, 25.

NOTÆ.

(18) Cicero in *Or. post red.* in sen. v, et Lactantius, *Inst.* v, 9, caput dicunt partem hominis sanctissimam. Photius autem anagoge nititur.

(19) *Elymas* vocabulum significat *Persam* (Polychron. ad Dan. cap. VII, 2). Magi autem genus hominum Persarum. Photio nomen proprium visum est *Elymas*. Ad hunc Actuum apostolicorum locum respexisse arbitror Menandrum historicum in Excerptis a me editis Porphyrogeniti (t. II Coll. Vat. p. 359) ubi exstat epigramma de alio mago recentiore Persa prædictioni evangelicæ obsistente.

Digitized by Google

ιθ'. Ὑπάγοιτο δ' ἂν τῷ αὐτῷ τῆς διακρίσεως τύπῳ καὶ ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα τῷ κορυφαίῳ ποινὰς εἰσπραττόμενοι, καὶ ἡ ἕως ἑβδομηκοντάκις ἑπτὰ ἐντολὴ μετροῦσα τοῖς ἁμαρτάνουσι τὴν συγχώρησιν. Καὶ γὰρ διὰ μὲν τῆς ἐντολῆς αὐτός τε Πέτρος καὶ ἡμεῖς τὰ εἰς ἑαυτοὺς ἁμαρτήματα πολλάκις ἀφιέναι διδασκόμεθα· τὴν δ' εἰς τὸ θεῖον ὕβριν οὔτε παρῆκεν ἐντολὴν ἔχομεν, οὔτε παρεῖδεν ἐκεῖνος, ὅς γε τοὺς ἠσεβηκότας καὶ νοσφισαμένους μὲν τὰ ἀνάθήματα, ψευσαμένους δὲ τὸ Πνεῦμα τὸ ἅγιον, τὴν ἐσχάτην δίκην ἀπῄτησε. Ναὶ δὴ καὶ ὁ τοῦ κορυφαίου μὲν συνόμιλος, οὐκ ἐλάττοσι δὲ πρεσβείοις τῶν ἄλλων μαθητῶν φέρων τὸ προνόμιον, Παῦλον λέγω πάλιν τὸν τῆς οἰκουμένης διδάσκαλον· ἀλλὰ γὰρ οὗτος ὁ θεῖος ἀνὴρ ἐν τῷ λέγειν· « Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε, » καὶ πάλιν· « Ἀλέξανδρος ὁ χαλκεὺς πολλά κακά μοι ἐνεδείξατο, » ἀπολυθείη ἂν τῆς δεκούσης ἐναντιώσεως. Τὸ μὲν γὰρ δίκην δοῦναι τὸν ἠδικηκότα ἐπαρᾶσθαι, ὁ προπηλακισμὸς ποιεῖ καὶ ὁ πόλεμος τοῦ κηρύγματος, ὧν ἐπαίτιος καὶ Ἀλέξανδρος· τὸ δὲ εὐλογίαις ἀμείβεσθαι τοὺς ὑβριστάς, ἐφ' οἷς εἰς ἡμᾶς αὐτοὺς τὸν διωγμὸν παλαμῶνται, διατέτακται.

κ'. Οὐκ ἀγνοῶ δὲ ὡς οὐκ ἀρᾶς ἐπέχειν λόγον τῷ Θεσπεσίῳ Παύλῳ τὰς περὶ τοῦ χαλκέως φωνὰς ἔνιοί φασιν, ἀλλὰ πρόρρησιν μᾶλλον εἶναι τῶν μελλόντων αὐτὸν ἐπ' ἐσχάτῳ δεινῶν καταλαμβάνειν δυσσεβοῦντά τε καὶ τὸν κατὰ τῆς εὐσεβείας πνέοντα πόλεμον· καὶ ταῦτα προανακηρύττειν καὶ ὑπογράφειν διὰ ῥημάτων τὸν κήρυκα· ἅμα μὲν τῆς τοσαύτης λύσσης τὸν ἀποστάτην ἀπάγοντα, ἅμα δὲ καὶ τοῖς συναθλοῦσιν εἰσάγοντα παραμύθιον, τὸ δοῦναι δίκην πάντως τὸν ἐπηρεαστὴν, μηδὲ λαθεῖν ἐφ' οἷς ἔδρασε τὸ τῆς Προνοίας ἀλάθητον· δι' ὧν καὶ τῶν πολλῶν τοὺς ὀκλάζοντας ἀνακτώμενόν τε καὶ πρὸς τὸ θαρρεῖν ἔστι συνορᾷν ἐπανάγοντα. Ἐγὼ δὲ εἰ μὲν μηδαμοῦ κατὰ τῶν ἐπιβουλευόντων τῷ δόγματι μηδεμίαν εἶδον τοῖς ἁγίοις ἢ ἀγανάκτησιν ἢ ἐπιτίμησιν, οὐδ' αὐτὸς ἂν ἀποστροφὴν ἄλλην ἐποιούμην τῆς νομιζομένης νυνὶ μάχης, ἢ τὴν πρόρρησιν· ἀλλ' ὅ γε μάγος Ἐλύμας πλήρης μὲν παντὸς δόλου, πλήρης δὲ ῥαδιουργίας, υἱὸς δὲ καταβοώμενος διαβόλου, καὶ πάσης δικαιοσύνης ἐχθρός· καὶ δὴ καὶ αὐτὰς πικρῶς ἀφῃρημένος τὰς ὄψεις καὶ ὁ κεκονιαμένος τοῖχος, εἴτε τὸ τῆς ἀρχιερωσύνης ἔφερε τυπτομένῳ τῷ ἀθλητῇ γνώρισμα, εἴτε καὶ μή· καὶ ὅσα μὲν ἄλλα πρὸ βραχέος εἴρηται, ὅσα δὲ καὶ τῶν ῥηθέντων πλέον πανταχοῦ τῆς ἱερᾶς φέρεται Γραφῆς. Ἀλλὰ γὰρ ταῦτα δὴ ταῦτα λαμπρῶς οὐ κοινὴν οὐδ' ἀσφαλῆ τὴν διὰ τῆς προρρήσεως καταφυγὴν μοι δεικνύουσι.

κα'. Πλὴν ἡμῖν οὐχ ἑρμηνείας νῦν ἀκρίβεια, παραδείγματα δὲ μόνον ζητημάτων, ὧν ἡ λύσις γυμνάζεται, πραγματεύεται· ἐπεὶ καὶ ἄλλην τινὰ οἶδα του προκειμένου ῥητοῦ διασάφησιν, ἥτις καὶ τὴν ἀρὰν καὶ τὴν πρόρρησιν ἀποκλίνουσα, οὐδὲν χαλεπὸν οὐδ'

19. Porro ad exemplum discriminis sistere licet Ananiam atque Sapphiram, qui apostolorum principi pœnas dependerunt [25], itemque mandatum illud quo peccantibus indulgentiam septuagies septies impertiri jubemur [26]. Sane hoc præcepto tum ipse Petrus tum nos de condonandis multoties adversus nos peccatis admonemur : cæteroqui contumeliam adversus Deum neque nos dissimulare jubemur, neque ipse neglexit Deus, a quo rei qui seposito sacro pretio, Spiritui sancto mentiti fuerant, summo supplicio affecti fuerunt. Profecto etiam principis socius, atque haud minoribus meritis inter alios discipulos prærogativa fulgens (Paulum rursus dico mundi magistrum) ; hic, inquam, divinus vir qui dixerat : « Benedicite persequentibus vos, benedicite et ne maledicatis [27] ; » idem cum postea sic : « Alexander ærarius multa mihi mala intulit : retribuat illi Dominus secundum opera ejus [28] ; » eodem effugio expedietur ab apparente contradictione. Namque ut imprecetur vindictam reo, contemptus atque oppugnatio Evangelii in causa est, quorum reus Alexander : verum benedictionibus remunerari offensores, quatenus nosmet persecutione oppugnant, id demum præceptum est.

20. Non ignoro equidem negare nonnullos, ea quæ divus Paulus de ærario dicit, dirarum vim habere ; sed vaticinium magis esse pœnarum quæ ipsum denique correpturæ erant, impium videlicet et qui religioni bellum conflabat : atque has præconem Paulum designare verbis illis atque prædicere ; dum una studet a tanto furore apostatam revocare, et suis pariter sociis laborum solamen insinuare ; propterea quod maleficus omnino puniendus foret, neque omnituentem Providentiæ oculum facta ejus laterent. Atque his locutionibus multorum demisses animos erigi a Paulo et ad fiduciam revocari videmus. Equidem si nusquam cernerem sanctorum hominum contra dogmatis hostes iracundiam vel invectionem, haud aliud effugium simulatæ hujus repugnantiæ quærerem quam vaticinium. Sed enim cum magus Elymas plenus omni dolo, plenus fallacia et diaboli filius dicatur, atque omnis justitiæ hostis [29] ; cumque idem oculis acerbe multetur ; verba insuper paries dealbatus [30] (sive is pontificatus insignia coram cæso apostolo gerebat, sive secus,) et quotquot paulo ante dicta sunt, et quæ plura dictis in sacra passim Scriptura feruntur ; hæc, inquam, evidenter admodum mihi demonstrant, quam nec obvium neque tutum ad prophetiam perfugium sit.

21. Sed enim haud accurata interpretatio, sed exempla modo quæstionum, cum solutionum tentamine, mihi nunc in manibus sunt. Nam et aliam novi prædictorum verborum declarationem, quæ a diris simul vaticinioque declinans, nihil grave aut

[25] Act. v, 1. [26] Matth. xviii, 22. [27] Rom. xii, 14. [28] II Tim. iv, 14. [29] Act. xiii, 10. [30] Act. xxiii, 3.

Digitized by Google

contumeliosum Alexandro imponit. Etenim a Domino, qui est omnis clementiæ salutisque fons, hominem illum aiunt traditum maleficis, haud equidem puniendi causa creaturam suam neque in eam animadvertendi, verum potius ut a malis operibus revocaret atque ad meliorem frugem traduceret. Qua in re quid, oro, dirarum est? quid vaticinii pœnam clamantis? Sed enim sicuti uni prædictarum sententiarum, ita mihi videntur etiam huic adversari quæ sequuntur verba : « Quem tu quoque cave, valde enim obstitit prædicationi nostræ. » Hæc, inquam, aliis fortasse sententiis adversantur; favent vero interpretibus iis qui locum ad diras referunt.

22. Neque vero nobis obstabit beatus Stephanus [21], martyrum primus, qui interfectores suos bonis verbis non diris remuneratus est; neque ante hunc communis Dominus, qui pro crucifixoribus Patrem exoravit [22]. Quanquam reapse Servatoris oratio habet aliquid altius atque augustius, quam ut nunc indagari pro dignitate queat. Triumphalis tamen martyr quidni nobis patronus causæ adsit? qui Judæos cernens ira inflammatos vecordiaque ebrios, seque cæde penitus impiantes, ipse jam in martyricæ necis limine versans, et jam supplicio adhortationem quamlibet sibi eripiente, neque locum objurgationi largiente, tum quia summi discriminis impendebat hora, tum quia nullus sperabatur fructus increpandi vel adhortandi homines ita percitos; quod reliquum erat, extremum athleta erga suos carnifices expromit officium, atque ut ne illis peccatum imputet, communem Dominum deprecatur. Quis autem hic? nempe is qui longam nuper apud Judæos recitaverat admonitionem atque doctrinam : idem cum eos vidisset adversus hortamenta sua contumaces, atque ad scelus alacriores, juste admodum reprehensionibus atque invectionibus onerans, incircumcisos corde durisque cervicibus, homicidas ac proditores, vocavit atque coarguit, et patrio crimine imbutos, prophetarum scilicet occisoribus genitos. Quare non solum nobis vir hic gratia et sapientia sanctoque Spiritu ac virtute plenus non adversatur, verum maxime favet ac patrocinatur. Quod si verissimus Domini discipulus, martyrumque primus, sententiam nostram factis ipsis secutus est, satis hinc apparet in eodem instituto fuisse magistrum. Ne jam commemorem verba : « Vos ex patre diaboli estis [23]; » et « Generatio prava ac adultera [24]; » et sexcenta alia : quorum et reum esse judaicum populum; simulque coronæ auctorem Dominum in eodem secum opere doctrinaque versantem, seu prædicationis sinceritate seu fundendi sanguinis alacritate, evidenter ac splendide coronatus noster ostendit : etiamsi deinde bonis precibus atque venia, post cæteram omnem

ἐφύβριστον τῷ Ἀλεξάνδρῳ περιτίθησι. Τὸν γὰρ Κύριον, ὃς ἐστι φιλανθρωπίας καὶ σωτηρίας πηγή, τοῦτον ἀποδιδόναι φησὶ τοῖς κακούργοις οὐ τιμωρούμενον τὸ οἰκεῖον πλάσμα, οὐδὲ κολάζοντα, μεθιστῶντα δὲ τῶν φαύλων ἔργων καὶ πρὸς τὴν τῶν ἀμεινόνων πρᾶξιν μεταρρυθμίζοντα. Ὅ τίνος ἂν εἴη ἀρᾶς; τίνος δὲ ποινὰς ἀναβοώσης προρρήσεως; Ἀλλ' οὖν ὥσπερ καὶ θατέρᾳ τῶν ἐπιβολῶν, οὕτω μοι δοκεῖ καὶ ταύτῃ τὰ ἐφεξῆς διαμάχεσθαι· καὶ γὰρ ἐπάγει· « Ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις. » Ἀλλ' ἐμποδὼν μὲν τοῖς ἄλλοις ἴσως ἵστατο ταῦτα· συμφωνεῖ δὲ μᾶλλον τοῖς εἰς ἀρὰν τὸ χωρίον ἀναφέρουσι.

κβ'. Οὐκ ἐναντιώσεται δὲ ἡμῖν οὐδὲν οὔτε Στέφανος τῶν μαρτύρων πρῶτος, τοὺς φονευτὰς εὐλογίαις, ἀλλ' οὐκ ἀραῖς ἀμυνόμενος, οὔτε πρὸ αὐτοῦ ὁ κοινὸς Δεσπότης ὑπὲρ τῶν σταυρούντων τὸν Πατέρα ἐξιλεούμενος. Ἀλλ' ὁ μὲν τοῦ Σωτῆρος λόγος ἔχει τι καὶ τῆς παρούσης ἐρεύνης βαθύτερόν τε καὶ μυστικώτερον· ὁ δὲ καλλίνικος μάρτυς πῶς ἡμῖν οὐ δι' ἀγῶνος ἐλεύσεται; ὅτι, τοὺς Ἰουδαίους βλέπων τοῖς κατ' αὐτοῦ θυμοῖς ἀναφλεγομένους καὶ τῇ ἀπονοίᾳ μεθύοντας, καὶ σφᾶς αὐτοὺς ὅλους τῷ φόνῳ βαπτίσαντας, αὐτὸς ἤδη λοιπὸν ἐπὶ πύλαις ἑστηκὼς τοῦ μαρτυρικοῦ θανάτου, καιρὸν δὲ παραινέσεως πάντα τῆς μιαιφονίας ἀποτειχιζούσης, οὐδεμίαν τε ἐπιτίμησιν ἐνδιδούσης, τοῦτο μὲν ὅτι ἐπὶ ξυροῦ ἵστατο ἀκμῆς, τοῦτο δὲ ὅτι μηδεμία δύνησις τοῖς οὕτω κεκρατημένοις ἐπιτίμησις ἢ παραίνεσις, ὃ λοιπὸν ἦν, τὴν ἐσχάτην ὁ ἀθλητὴς ἐπὶ τοὺς φονευτὰς ἁρπάζει θεραπείαν· καὶ μὴ στῆσαι αὐτοῖς τὴν ἁμαρτίαν τὸν κοινὸν Δεσπότην ἐξαιτεῖ. Τίς οὗτος; Ὁ μακρὰν μὲν αὐτοῖς πρότερον νουθέτησιν καὶ διδασκαλίαν ἀποτείνας· ὡς δ' ἀπειθεστέρους τε τοῖς παραινοῦσι λόγοις, καὶ μᾶλλον ἐώρα πρὸς δυσσέβειαν παροξυνομένους, τότε δή, τότε καὶ μάλα δικαίως, καὶ τοῖς ἐλέγχουσί τε καὶ στηλιτεύουσι τούτους ὑποβαλών, ἀπεριτμήτους τῇ καρδίᾳ καὶ σκληροτραχήλους (17), φονεῖς τε καὶ προδότας, καὶ προγονικὸν τὸ μίασμα φέροντας, ἅτε δὴ προφητοκτόνων τέκνα, δεικνὺς ἅμα καὶ ἀποκαλῶν. Ὥστε οὐ μόνον οὐδαμῶς ἡμῖν ὁ πλήρης χάριτος καὶ σοφίας καὶ Πνεύματος ἁγίου καὶ δυνάμεως οὐ μὲν οὖν ἀνταγωνιστὴς οὐκ ἔστιν, ἀλλὰ καὶ πάντων μάλιστα συναγωνιστὴς καὶ ὑπέρμαχος. Εἰ δ' ὁ γνήσιος τοῦ Δεσπότου μαθητὴς καὶ μαρτύρων πρῶτος δόξαν ἡμῖν τοῖς ἔργοις ἔδειξε μετελθὼν τὴν αὐτὴν, δῆλον ὅτι καὶ τὸν διδάσκαλον· ἵνα μὴ νῦν λέγω· « Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου (18) ἐστέ· » καί· « Γενεὰ πονηρὰ καὶ μοιχαλίς· » καὶ μυρία ἄλλα ὧν τὸ Ἰουδαίων ἔθνος ὑπεύθυνον, τὰ αὐτὰ καὶ τελεσάμενον καὶ διδάξαντα τὸν στεφανοδότην τῷ γνησίῳ μάλιστα τοῦ κηρύγματος, καὶ τῷ δι' αἵματος πόθῳ λαμπρῶς καὶ ἀναμφιδόλως ὁ στεφανίτης παρέστησε· κἂν εὐχῇ καὶ συγγνώμῃ μετὰ προκαταβλη-

[21] Act. vii, 60. [22] Luc. xxiii, 34. [23] Joan. viii, 44. [24] Matth. xii, 39.

NOTÆ.

(17) Cod. σκληροναρδίους.

(18) Vocabulum διαβόλου regi a πατρὸς existimarunt nonnulli teste Photio, qui de patre diaboli disputat in amph. quæst. 88 (nunc 241) apud Wolfium, et prolixius in quæst. 47 codicis Vaticani.

Digitized by Google

θεῖσαν πᾶσαν ἄλλην προνοίας τε καὶ φιλανθρωπίας A μέθοδον ὁ Σωτὴρ τοῦ γένους τοὺς διὰ σταυροῦ θάνατον αὐτῷ ἐπενεγκόντας ἀνέφερεν.

κγ'. Ἀλλὰ ταῦτα μὲν ἴσως καὶ τῆς παρούσης μακρότερον ὑποθέσεως· χωρὶς μέντοι γε τῶν προεκτεθέντων, καὶ παρὰ τὸ διττὸν τοῦ ὀνόματος συνταράξοι ἄν τις τὸ βούλημα τῆς Γραφῆς οὐκ ἐν ὀλίγοις. Αὐτίκα « τὰ κακὰ καὶ οὐκ ἔστιν ἃ μὴ κτίζει Κύριος· » καὶ, « Τῶν κακῶν πάλιν οὐδενός ἐστιν αἴτιος. » Καὶ πῶς ἂν συμβιβασθείη ταῦτα, εἰ μὴ τὸ διττὸν τῆς φωνῆς διαιτήσειε; κακὰ μὲν λέγεσθαι κυρίως τὰ ἁμαρτήματα, ὧν ἐστι καὶ τὸ Θεῖον ἀναίτιον· κακὰ δὲ καὶ τὰ λυποῦντα πάλιν καὶ ἀβούλητα, νόσος καὶ πενία καὶ τραύματα, ἀκρὶς καὶ βροῦχος καὶ ἐρυσίβη καὶ κάμπη καὶ χάλαζα, καὶ ὅσα ἄλλα πολλάκις ἡ Πρόνοια, τὰς τῶν B πλημμελούντων ὁρμὰς ἀναστέλλουσα, καὶ τῶν κηλίδων ἀποκαθαίρουσα, τοῖς ἐνόχοις ἐπαφιέναι καὶ λέγεται καὶ πιστεύεται· οὐ κακύνουσα τὸ ἀνθρώπινον, οὐδὲ πρὸς τὸ χεῖρον τὸ δημιούργημα μεταπλάττουσα, μή τι γένηται· ἀπάγουσα δὲ τῶν κακυνόντων μᾶλλον, καὶ τῇ καταλλήλῳ τοῦ νοσοῦντος θεραπείᾳ τὸ ἠῤῥωστηκὸς τῆς γνώμης πρὸς τὸ ἄμεινον ἐπανάγουσα. Τοιοῦτον ἂν εἴη καὶ τό, « Παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ. » — « Καὶ παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας. » — « Καὶ ἔδωκεν αὐτοῖς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν. » Τῆς γὰρ φωνῆς τὸ ὁμώνυμον κἀνταῦθα, οὐ τυχὸν μὲν διακρίσεως, εἰς ἀτοπίαν συστρέφει τὸ νόημα. Πῶς γὰρ καὶ πότε ψυχικὸν ὄμμα τυφλοῖ ὁ Θεός; πῶς δὲ πάθεσιν ὁ τούτων καθαιρέτης καὶ ἀσεβείᾳ καὶ πλάνῃ C παραδίδωσι; Διακριθέντος δὲ τοῖς σημαινομένοις τοῦ ῥήματος, παντὸς ὁ λόγος σοφίσματος ἀπολύεται. Τὸ γὰρ, *παρέδωκε*, σημαίνει μὲν καὶ τὸ ἐνεχείρισε καὶ παρέπεμψεν, ἢ συνώθησε καὶ συνήλασε· σημαίνει δ' οὐδὲν ἧττον καὶ μάλιστά γε τῷ βουλήματι τῆς Γραφῆς καὶ τὸ συνεχώρησε, καθυφῆκε καὶ ἐνέδωκεν, εἴασε φέρεσθαι ταῖς ὁρμαῖς, ἀφῆκε τὸ ἑκούσιον αὐτοδέσποτον· καθ' ὃ σημαινόμενον ὑπειλημμένου τοῦ *παρέδωκεν*, οὐδὲν τῶν παραλόγων ὅλως ὑφίσταται. Ἀφέλκει μὲν γὰρ τὸ Θεῖον νόμῳ φιλανθρωπίας καὶ προνοίας τῶν παθῶν καὶ ἁμαρτημάτων τὸ ἀνθρώπινον· ἐπειδὰν δὲ μοχθηρίας ὑπερβολῇ τὸ ἀναστελλόμενον τῆς εὐεργεσίας καὶ χάριτος οὐκ ἀνέχοιτο, οὐδ' ἐθέλοι τῷ μεθέλκοντι πείθεσθαι, τότε δή, τότε ὑπενδίδωσι φέρεσθαι τῇ ῥύμῃ τὸ ἀπειθοῦν, καὶ ἀφίησιν D ἀποκεχρῆσθαι τῷ βουλήματι, ἵνα μὴ, ἐπὶ πλέον ἀναστέλλων καὶ ἀναχαιτίζων τῆς ῥοπῆς, δόξῃ διαφθείρειν τὸ αὐτεξούσιον· καὶ ἡ εὐεργεσία καὶ ἡ πρόνοια τοῖς ἀγνώμοσι καὶ ἀχαρίστοις εἰς ἔγκλημα περιτρέποιτο.

κδ'. Κατὰ τοῦτο δὴ τὸ σημαινόμενον ἔθος ἐστὶ παραλαμβάνεσθαι τοῖς ἱεροῖς ἡμῶν Γράμμασι τὸ *ἔδωκε* καὶ *παρέδωκε* καὶ εἴ τι τοιοῦτον· ὅπερ οὐδένα μῶμον οὐδὲ λαβὴν τῇ φιλανθρωπίᾳ καὶ δικαιοσύνῃ τοῦ Θεοῦ οὐδ' ἡντιναοῦν, ὡς πᾶσίν ἐστι φανερὸν, προσάπτει. Οὕτω λέγεται σκληρῦναι πάλιν τὴν καρδίαν Φαραώ· οὐχ ὅτι λαβὼν εἶχουσαν καὶ πειθομένην αὐτοῦ τοῖς προστάγμασιν, εἰς τὸ σκληρὸν καὶ ἀτέρα-

curæ ac dilectionis exhaustam rationem, Servator generis auctores sibi per crucem necis prosecutus est.

23. Verum hæc fortasse longius a præsente proposito abeunt. Et quidem præter hactenus dicta, nominis quoque ambiguitas haud raro fieri potest ut sententiam conturbet. Veluti, « Non est malum quod non faciat Dominus [35]; » rursusque, « Nullius mali auctor Dominus est [36]. » Quomodo hæc, inquam, congruent, nisi ambiguum vocabuli sensum distinguas? Mala scilicet primario sensu dicuntur peccata, quorum Deus causa non est: mala præterea sunt illa quæ molestia afficiunt, nobisque invitis accidunt, morbus, paupertas, vulnera, locusta, bruchus, rubigo, eruca, grando, et quotquot alia sæpenumero reis immitti a divina providentia dicuntur atque creduntur, vel ut ruentes ad peccata mortales cohibeat, vel ut labes abluat: minime vero ut depravet humanum genus, neque ut pejorem conditionem creaturæ suæ faciat Deus; quod absit; imo potius ut a vitiorum irritamentis abstrahat, atque ut congrua laborantis cura, infirmam animi partem ad meliorem frugem revocet. Hujusmodi erit etiam locutio: « Et tradidit eos servire militiæ cœli [37]. » — « Et tradidit eos in passiones ignominiæ [38], » — « Et dedit eis spiritum compunctionis, oculos ne videant [39]. » Nam vocabuli homonymia hic quoque, nisi discernatur, absurdam sententiam parit. Quomodo enim aut quando animæ oculum excæcat Deus? quomodo passionibus, ille qui harum purgator est, et impietati atque errori tradit? Distinctis autem vocabuli notionibus, omni cavillatione expeditur sermo. Nam verbum *tradidit* significat sane: alienæ potestati dedidit, transmisit, compulit: nihilominus, imo vero potissime secundum Scripturæ sensum, concessit, indulsit, permisit, ferri sivit impetu suo, arbitrium esse liberum passus est: juxta quam notionem verbo *tradidit* intellecto, nulla absurditas sequitur. Avocat enim Deus ingenito bonitatis providentiæque suæ more a passionibus ac peccatis hominea: verumtamen ubi hi, superante malitia, frenos a divina beneficentia gratiaque injectos indignantur, noluntque retrahenti morem gerere, tum demum sinit cursu suo contumaces ferri; atque arbitrio abutendi copiam facit: ne si forte vehementius inhiberet ac sisteret propensionem, liberæ voluntatis facultatem pessumdare videretur: atque ita beneficia ejusdem vis ac providentia vecordibus atque ingratis crimini verteretur.

24. Hac igitur ratione solent Scripturæ nostræ verbis uti *dedit* et *tradidit* et horum similibus: id quod nullum probrum nullamque ansam vituperandi Dei bonitatem atque justitiam, ut cuique exploratum est, parit. Sic rursum Deus dicitur induravisse cor Pharaonis [40]: non quod illud molle pridem suisque jussibus docile, ad duritiem, pertinaciam, contumaciamque converterit; sed quia diu

[35] Amos III, 6. [36] Jac. I, 13. [37] Act. VII, 42. [38] Rom. I, 26. [39] Rom. XI, 8. [40] Exod. VII, 3.

Digitized by Google

data opera ut cor illud ab inobedientia et refractario spiritu revocaret, postquam Ægyptium nullo modo cedentem neque ad obedientiam reversum sensit, imo vero se totum in contraria repugnantique sententia obfirmantem; Deus qui nunquam liberi vim arbitrii lædit, sivit eum sua voluntate ferri, qui meliori consilio morem gerere recusabat. Neque erit absurdum, siquis hoc loco vocem *induravit* sic fere intelligat, ut durum regis cor atque præfractum Deus editis prodigiis evidentius coarguerit, et contumaciam ejus quasi triumpho ostentaverit, desperatumque et intractabile mentis vulnus, nondum omnibus satis cognitum, manifesta luce impertiverit. Prodigiorum sane magnitudo cum omnis adhortationis suasionisque fines excesserit, neque tamen Pharaonis animum expugnaverit, nonne summam atque insanabilem cordis ejus duritiam demonstravit? Sic ergo locutiones, « Dedit Deus *vel* tradidit in passiones ignominiæ; » itemque, « Et induravit cor Pharaonis, » quaslibet calumniæ insidias astumque frustrantur.

25. Jam quid opus est me cætera homonyma persequi? siquidem vel *quis* syllaba præter distinctionis leges posita, non mediocrem perturbationem confusionemque ignaris harum legum creat. *Quis* enim, de qua nunc agimus, syllaba interrogationem significat. Tum vero cum ea quoque negatione construitur, quæ vel apprime illi adversatur, cum vocabulo scilicet *nemo*. Alias autem indefinitam rem ostendit. Sed neque admirationis stuporisque vim recusat. Quin adeo ad raritatem quoque indicandam adhibetur, nec non ad objurgationem; interdum quoque ad perplexitatem atque dubitationem. Denique quia restrictio modestis hominibus familiaris est, ne humilitatem quidem neque alia similia non significat. Plenæ exemplorum sacræ Litteræ sunt: quas circumstantias nisi quis discernat, et suum cuique voci officium tribuat, nihil attinet dicere, quantis erroribus mentem suam inficiet. Atque id ipsa locutionum prolatione perspicuum fiet. Exempli gratia: « Quis est iste rex gloriæ [41]? » Et: « Quis es tu, ut respondeamus his qui nos miserunt [42]? » et quotquot similia vel interrogationem significant, vel nullam quæstionem commovent. Quod si quis propter vocabuli similitudinem, locutiones quoque: « Quis novit mentem Domini? aut quis consiliarius ejus fuit [43]? » et: « Quis ante dedit illi ut ei retribuatur [44]? » et: « Quis est homo qui vivet, nec mortem videbit [45]? » si quis, inquam, has locutiones propter eamdem vocabuli formam, ad eamdem notionem vi pertrahet, procul admodum a veritate aberrabit. Quippe hæ cum negandi vim habeant, interrogandi rationem non recipiunt. Nemo enim vel mentem Domini

A μνον καὶ ἀπειθὲς μετεπλάσατο, ἀλλ' ὅτι μεθέλκων καὶ ἀνακόπτων τῆς ἀπειθείας καὶ τοῦ ἀντιτύπου φρονήματος, ἐπείπερ οὐδαμῶς εὗρεν ὑπενδιδόντα καὶ πρὸς πειθὼ μεθιστάμενον τὸν Αἰγύπτιον, ἀλλ' ὅλον ἑαυτὸν ποιοῦντα τοῦ ἀντιθέτου καὶ ἀντι[τε]ταγμένου βουλήματος, ὁ μηδαμοῦ φθείρων τὸ αὐτεξούσιον ἀφῆκε τῇ γνώμῃ φέρεσθαι τὸν οὐ βουληθέντα πεισθῆναι τῇ κρείττονι. Εἴη δ' ἂν ἀπᾷδον οὐδὲν καὶ εἴ τις ἐνταῦθα τὸ *ἐσκλήρυνεν* ἀντὶ τοῦ, σκληρὰν οὖσαν καὶ ἀπότομον αὐτὸς διὰ τῶν ἐπενεχθέντων σημείων μᾶλλον ἐξήλεγξε, καὶ τὴν ἀπείθειαν ἐθριάμβευσε· καὶ τὸ τῆς γνώμης ἀμείλικτόν τε καὶ ἀνίατον, οὕπω τοῖς πᾶσιν οὕτω γνώριμόν τε καὶ περιδόητον περιφανῶς ἐστηλίτευσεν. Ἡ γὰρ τῶν θαυμάτων ὑπερβολή, παρακλήσεως καὶ πειθοῦς ἁπάσης τοὺς νόμους νικῶσα, τοῦ Φαραὼ δὲ τῆς γνώμης ἐλαττουμένη, πῶς οὐκ ἀνυπέρβλητον αὐτοῦ καὶ ἀθεράπευτον τὴν σκληροκαρδίαν παρίστησιν; Οὕτω μὲν οὖν τὸ, « Ἔδωκεν ὁ Θεὸς, » καὶ « παρέδωκεν εἰς πάθη ἀτιμίας, » καὶ, « Ἐσκλήρυνε τὴν καρδίαν Φαραὼ, » πᾶσαν συκοφαντίας ἐκφεύγει περιδρομὴν καὶ δεινότητα.

κε'. Τί δὲ τὰ ἄλλα με δεῖ τῶν ὁμωνύμων ἐπέρχεσθαι; ὅπου γε καὶ ἡ *τίς* συλλαβὴ, τοὺς τῆς διαστολῆς λανθάνουσα νόμους, οὐ τὴν τυχοῦσαν σύγχυσιν καὶ ταραχὴν τοῖς μηδὲν τούτων ἐπικοινωνοῦσιν εἰσάγει. Καὶ γὰρ δηλοῖ μὲν αὐτὸ τοῦτο καὶ τὸ ἀνὰ χεῖρα τὴν ἐρώτησιν· συμφθέγγεται δὲ καὶ τῶν ἀποφάσεων ἥτις αὐτῷ μάλιστα διαμάχεται, τῇ *οὐδείς* (19). Ἄλλοτε δὲ τὸ ἀόριστον σημαίνει· οὐ μὴν οὐδὲ θαυμασμοῦ καὶ καταπλήξεως τάξιν ἀπαρνεῖται· ἀλλὰ καὶ πρὸς τὸ σπάνιον ὑποφέρεται, ἐπιτίμησιν δὲ πάλιν ἔσθ' ὅτε καὶ ἀμηχανίαν καὶ διαπόρησιν· ὅτι δὲ καὶ προσδιορισμὸς τοῖς φιλοσοφοῦσι καθωμίληται, οὐδὲ τὴν εὐτέλειαν οὐδὲ τοιαῦτα ἕτερα παρατρέχει. Καὶ τῶν παραδειγμάτων τὰ ἱερὰ γέμει Γράμματα· ἅπερ εἴ τις μὴ φιλοκρινήσῃ, μηδ' ἑκάστῳ τῆς φωνῆς τὸ προσῆκον ἀπονέμοι, οὐδὲ λόγου δεῖ, πλάνης ὅσης τοὺς ἑαυτοῦ λογισμοὺς ἀναπλήσει. Καὶ τοῦτο κατάδηλον ἀπ' αὐτῆς γε τῆς τῶν ῥημάτων παραθέσεως· αὐτίκα τὸ, « Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; » καὶ τὸ, « Τίς εἶ σὺ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς; » καὶ ὅσα τοιαῦτα ἐρώτησίν (20) τε δηλοῦσι καὶ οὐδεμίαν ἀπορίαν κινοῦσιν. Εἰ δέ τις διὰ τὴν τῆς φωνῆς ὁμοιότητα, καὶ τὸ, « Τίς ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; » καὶ, « Τίς προέδωκεν αὐτῷ καὶ ἀνταποδοθήσεται αὐτῷ; » καὶ, « Τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον; » εἴ τις οὖν καὶ ταῦτα διὰ τὸν αὐτὸν τύπον τῆς φωνῆς πρὸς τὴν αὐτὴν διάνοιαν ἐκβιάσοιτο, πολὺ ἂν τῆς ἀληθείας ἀποσφαλείη· ταῦτα γὰρ, τὴν τῆς ἀποφάσεως ἐπέχοντα δύναμιν, τὴν τῆς ἐρωτήσεως οὐκ ἀναδέχεται τάξιν. Οὐδεὶς γὰρ οὔτε νοῦν ἔγνω Κυρίου, οὔτε σύμβουλος αὐτοῦ γέγονεν· οὐ μὴν ἀλλ' οὐδ' ἔστιν ἄνθρωπος ὃς ζήσεται, καὶ οὐκ ὄψεται θά-

[41] Psal. XXIII, 8. [42] Joan. I, 22. [43] Rom. XI, 34. [44] ibid., 35. [45] Psal. LXXXVIII, 49.

NOTÆ.

(19) Nempe οὐδείς τις, Latine *nemo quisquam*. (20) Cod. ἀπόκρισιν, *responsionem*.

Digitized by Google

νατον· οὐδ' ἑτέρῳ δὲ πάλιν τῶν εἰρημένων συμφέρεται, εἰ καὶ τῇ προόδῳ τοῦ ῥήματος οὐ διήλλακται· οὐδὲ τὸ, « Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ [*cod.* Ἰσραὴλ] εἰς Ἰεριχώ· » τὸ γὰρ ἀόριστον ἡ φωνὴ νυνὶ σημαίνει τῶν ἄλλων ἀποστήσασα· ὥσπερ καὶ τὸ, « Εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ, » τὴν τοῦ προσδιορισμοῦ χρείαν ἀναπληροῦν. Ἀρκεῖ γὰρ καὶ μνήμη μόνον ἑνὸς παραδείγματος τὴν χρῆσιν ἐπιδεῖξαι τῆς φωνῆς, ὡς οὐδενὶ τῶν προτεταγμένων συμβιβάζεται.

A novit, vel ejus consiliarius fuit; neque est homo qui victurus sit, mortemque non visurus. Neque hæ rursus cuiquam ex ante dictis locutionibus congruunt, etiamsi terminatio vocabuli nequaquam differt: neque item: « Homo τις erat in regione Ausitide [46]; » et: « Homo τις Hierosolymis Jericuntem veniebat [47]. » Vox enim hic ostendit indefinitum aliquid, atque a superioribus sententiis abludit. Veluti et illud: « Sunt τινὲς de hic præsentibus, qui non gustabunt mortem, donec videant regnum Dei [48], » restrictionis officium implet. Sufficit autem vel unius exempli mentio indicando vocabuli usui, nempe qui nulli superiorum congruit.

κϛ'. Τίνα δ' ἂν ἔχοι κοινωνίαν πρὸς τὰ προλαβόντα, εἰ καὶ τῆς φωνῆς ἀπαράλλακτος ὁ ἦχος, τὸ, « Τίς ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ; » καὶ, « Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; » καὶ, « Τίς εἶ σὺ ὁ κρίνων ἀλλότριον οἰκέτην; » καὶ, « Τίς ἐπάταξε τὸν Ἀβιμέλεχ υἱὸν Ἱεροβοάμ; » καὶ, « Τίς ἐστιν οὗτος ὁ κρύπτων με βουλήν; » Ταῦτα γὰρ εἰς ἀγανάκτησιν μὲν καὶ ἐπιτίμησιν ἀφορῶσιν, οὐδὲν δὲ ὅμοιον τῶν προδεδηλωμένων παριστῶσιν. Εἰ δέ τις καὶ ταῦτα εἰς τὸν τῆς ἐρωτήσεως μεθελκύσει νόμον, ἵνα μὴ πρὸς τὰ ἄλλα λέγω, ἄγνοιάν τε κατηγορήσοι τοῦ Θείου, καὶ οὐ καταμέμφεσθαι τὰς πράξεις διὰ τῆς φωνῆς, ἀλλὰ μαθεῖν ζητεῖν ἐξ ἀγνοίας τὸν παρασχόντα τὴν τοῦ πρᾶξαι ἄδειαν· ναὶ δὴ καὶ τὸ, « Τίς εἰμι ἐγώ; Κύριός μου, Κύριος· καὶ τίς ἐστιν ὁ οἶκος τοῦ πατρός μου; » ἐπὶ τοσοῦτον ἐμφανεστάτην φέρει τὴν παραλλαγήν, ἐφ' ὅσον ἀπαράλλακτον προάγει τὴν φωνήν· εὐτελείας γὰρ ὁμολογίαν ἰδίας, καὶ τῆς πρὸς Θεὸν εὐχαριστίας γνώμην ἀναφαίνει· οὐ μὲν εἰς ἐρώτησιν, οὐδὲ πολλοῦ δεῖ πρὸς ἐπιτίμησιν ἢ ἀγανάκτησιν, ἢ πρὸς ἄλλο τι τῶν προειρημένων τὸν λογισμὸν διαβιβάζει.

B 26. Sane quid commune habent cum suprascriptis, quanquam vocis sonus haud immutatur, locutiones hæ? videlicet: « Quis tibi nuntiavit te esse nudum [49]? » — « Quis te Dominum constituit judicemque nostrum [50]? » — « Quis es tu, qui alienum servum judicas [51]? » — « Quis percussit Abimelechum Jeroboami filium [52]? » — « Quis est qui me sententiam celat [53]? » — Nimirum hæ locutiones ad indignationem objurgationemque spectant, nihil autem simile prædictarum exhibent. Quod si quis eas ad interrogationis regulam traheret, nequid præterea dicam, ignorantiam quoque in Deo coargueret; neque ab eo reprehendi hac voce actiones hominum suaderet, verum operam dari ab eodem propter suam inscitiam ut sciat aliquid, C qui aliis facultatem agendi suppeditat. Utique et illud: « Quis sum ego? Dominus meus, Dominus; et quæ est domus patris mei [54]? » tanto magis hæc diversitatem rei palam faciunt, quanto similiore voce dicuntur. Significatur enim propriæ vilitatis confessio, gratusque adversus Deum animus. Neque licet hic cogitare interrogationem, multoque minus objurgationem aut indignationem, aut quemlibet e prædictis modum.

κζ'. Τὸ μέντοι σπάνιον εἴπερ τι ὅλως δηλοῖ τὸ, « Τίς σοφὸς, καὶ φυλάξει ταῦτα; » καὶ τὸ, « Τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; » καὶ, « Ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; » Εἰ γὰρ καὶ μὴ πάντες, ἀλλ' οὖν γέ τινες καὶ πεπιστεύκασι, καὶ τὴν φρουρητικήν τε καὶ κυβερνητικὴν καὶ παντοκρατορικὴν τοῦ Θεοῦ δύναμιν ἐκ τῆς περὶ αὐτοὺς καὶ τῆς περὶ τὸ σύμπαν εὐεργεσίας τε καὶ προνοίας συνιδεῖν ἠξιώθησαν, καὶ τῆς ἐκεῖθεν μαρμαρυγῆς ταῖς λαμπηδόσι τὸν νοῦν ἐλλαμφθῆναι. Πῶς δ' αὐτίκα τὸ θαῦμα καὶ τὴν ἔκπληξιν οὐκ ἀφίησιν ὁ λέγων· « Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; » καὶ, « Τίς ἐστιν οὗτος, ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουσιν αὐτῷ; » ὅπερ οὐδεμία τῶν προτεταγμένων φωνῶν οὐ μὲν οὖν οὐκ εἶχεν ἰσχὺν σημαίνειν. Προσθείη δ' ἄν τις τοῖς εἰρημένοις καὶ τὸ, « Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ; » καὶ, « Τίς ἂν με θείη κατὰ μῆνα ἡμερῶν τῶν ἔμπροσθεν; » καὶ, « Ταλαίπωρος ἐγὼ ἄνθρωπος! τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; » Εὐ-

27. Jam etiam raritatem quam quod maxime hoc vocabulum designat. Nempe: « Quis sapiens, et custodiet hæc [55]? » et: « Quis credidit auditui nostro, et brachium Domini cui revelatum est [56]? » Nam si minus cuncti, certe aliquot crediderunt; quibus sane conservatricem, rectricem, D dominamque omnium Dei vim tum e beneficiis in se mundumque totum collatis, tum etiam e providentia contueri dignanter concessum fuit: quorum luminum radiis collustrati, mentis tenebras dispulerunt. Nonne vero admirationem stuporemque prodit is qui ait: « Quis est iste veniens ex Edom [57]? » — « Quis est hic, cui mare ventique obediunt [58]? » quem sane significatum, dictarum antea locutionum nulla præ se fert. Adde his, si libet: « Quis dabit capiti meo aquam [59]? » — « Quis me ponet juxta mensem superiorum dierum [60]? » Et: « Infelix ego homo! quis me liberabit de corpore mortis hujus [61]? » Scilicet hæc hominem in

[46] Joh. I, 1. [47] Luc. X, 30. [48] Luc. IX, 27. [49] Gen. III, 11. [50] Exod. II, 14. [51] Rom. XIV, 4. [52] II Reg. XI, 21. [53] Job. XLII, 3. [54] II Reg. XVIII, 18. [55] Psal. CVI, 43. [56] Isa. LIII, 1. [57] Isa. LXIII, 1. [58] Marc. IV, 40. [59] Jerem. IX, 1. [60] Job XXIX, 2. [61] Rom. VII, 24.

Digitized by Google

angustiis ad preces confugientem exhibent, cum sententiarum priorum nulla congruunt : et vota quidem pro malorum depulsione continent, non tamen vel interrogationem, vel modestiæ significationem, vel indefinitum quid, vel aliquam increpationem; neque rursus raritatem, neque gratiarum actionem, neque admirationem vel stuporem.

28. Præterea istud etiam mecum considera : « Quis decipiet Achaabum [62] ? et, « Quem mittam [62a] ? » et : « Quis ibit ad populum [63] ? » Nonnullam hæc quidem speciem habent, fore ut sub aliquo e præcedentibus modis concludantur, re tamen vera aditum illuc non inveniunt, sed provocandi potius, vel modi nescio cujus sententiam continent. Illud autem : « Quæ enim fortitudo mea ut sustineam ? aut quodnam tempus meum ut perferam [64] ? » quidni alium sensum sibi deposcet, ita ut consilium minime injurium Deo sit ? Ille enim calamitatibus pressus, dum vitæ brevitatem viriumque infirmitatem et paucitatem declarare studet, his quæ dixi verbis et illa simul mala, et suum ob ea mœstum defessumque animum aperit. Insuper illud : « Num quis novit an eum deprehensurus sim [65] ? » et : « Quis novit, utrum sit reversurus [66] ? » hæc, inquam, dubitanter dicta, si ita intelligantur, nequaquam sententiam obscurabunt, nullaque auditorem ambiguitate irretient. Sin eadem a prædicta significatione recedent, perplexitas auditorem obruet, contraria prorsus illi perspicuitati, quæ rectæ intelligentiæ fructus est. Atque hujus vocabuli tis multas alias differentias a me prætermissas, qui scrutari sacros Libros voluerit, profecto inveniet, quas et aliis ostendere non secus ac deprehendere, perfacile negotium est.

29. Non solum autem unica interdum brevis dictio multiplici significatu prædita, siquando haud convenienter intelligatur, mentem etiam cordatorum hominum obscurat atque conturbat; sed litterulæ quoque aberratio, additio vel detractio, vel dirum quid aliquoties parit, vel certe absurdum solet efficere. Atque ut cætera interim omittam, si quis verbum ἔκτησε longa syllaba præditum, brevi scribat (ἔκτισε) atque ita intelligat in ea locutione « Dominus ἔκτησε (nempe *creavit* pro *possedit*) me initium viarum suarum ad opera sua [67], » deinde ad Arii sententiam inclinet; is contra filii divinitatem linguam acuet. Sed Arii sævitatem multifariam insectari et coarguere pronum est : præsertim quia verbum ἔκτησε, haud per iota litteram. sed per eta pronuntiandum si quis demonstret, is loquacem hæreticæ superbiæ audaciam ad silentium turpe compellet. Nam verbum hoc longa littera prolatum, nullo modo naturam imminuit, neque intra minorem modulum coarctat, neque ad

A χῆς μὲν γὰρ καταφυγὴν ἐξ ἀμηχανίας τὰ εἰρημένα δηλώσει, εἰς οὐδὲν δὲ τῶν προδιεσταλμένων συνε[νε]χθείη· καὶ ἀπαλλαγῆς μὲν ἐξαίτησιν τῶν συνεχόντων, οὐ μὴν ἐρώτησιν, οὐδὲ προσδιορισμὸν, οὐδὲ τὸ ἀόριστον, οὐδ' ἐπιτίμησιν, ἀλλ' οὐδὲ τὸ σπάνιον, ἀλλ' οὐδὲ εὐχαριστίαν, ἢ εὐτέλειαν, οὐδὲ θαῦμα καὶ ἔκπληξιν ὑπογράφει.

κη'. Σὺ δέ μοι κἀκεῖνο προσεπιζήτει, τὸ, « Τίς ἀπατήσει τὸν Ἀχαάβ ; » καὶ, « Τίνα ἀποστελῶ ; » καὶ, « Τίς πορεύσεται πρὸς τὸν λαόν; » Φαντασίαν μέν τινα παρέχεται ὡς δυνατὸν ὑφ' ἓν τῶν προδιευκρινημένων ἀναχθῆναι· οὐ μήν γε καὶ τῇ ἀληθείᾳ πάροδον εὑρίσκει, ἀλλὰ προκλητικῆς μᾶλλόν ἐστι διανοίας, ἢ ἑτέρου τινὸς τύπον διασώζει. Τὸ δὲ, « Τίς γάρ μου ἡ ἰσχὺς, ὅτι ὑπομένω ; ἢ τίς μου ὁ χρόνος, B ὅτι ἀνέχομαι ; » πῶς οὐχ ἕτερόν τι σημαινόμενον ἐπιζητήσει, δι' οὗ τὸ ἐκείνου βούλημα οὐκ ἐξυβρίσει ; Τὸ γὰρ βραχὺ καὶ ἄτονον καὶ ὀλιγοχρόνιον τοῦ βίου καὶ τῆς ἰσχύος ὁ τῇ ταλαιπωρίᾳ ἐκτρυχωθεὶς παραστῆσαι βουληθεὶς, διὰ τούτων τῶν ῥημάτων ἐκεῖνά τε ἅμα καὶ τὸν ἐπ' αὐτοῖς ὀλοφυρόμενον νοῦν καὶ ἀπειρηκότα ἀναπτύσσει. Ἀλλὰ γὰρ καὶ τὸ, « Τίς ἄρα γνοίη, ὅτι εὕροιμι αὐτόν ; » καὶ τὸ, « Τίς οἶδεν εἰ ἐπιστρέψει ; » κατὰ διαπόρησιν εἰρημένα, εἰ οὕτως προσληφθείη, οὐδὲν μὲν τὴν διάνοιαν ἀμαυρώσει, εἰς οὐδεμίαν δὲ ἀμφιβολίαν τὸν ἀκροατὴν περιτρέψει· ἐκπεσόντα δὲ τῆς τοιαύτης σημασίας, οὐδὲν ἔλαττον ἢ ὅπερ ἐβούλετο δηλοῦν ὀρθότης τοῦ σημαινομένου, ἀπορίας αὐτὸν ἀναπλήσσει. Καὶ οὐ ταύτας μόνον, ἀλλὰ καὶ πολλὰς ἄλλας διαφορὰς τῆς προκειC μένης φωνῆς παραλελειμμένας ὁ βουλόμενος τὴν ἱερὰν ἀναλεγόμενος Γραφὴν εὑρήσει, ἃς οὐδὲν ἔργον οὔτε αὐτὸν λαθεῖν οὔτε τοῖς ἄλλοις ἐκκαλύψαι.

κθ'. Οὐ μόνον δὲ μία λέξις καὶ τότε βραχεῖα κατὰ πολλῶν μὲν ὑποκειμένων φερομένη, οὐ προσφυῶς δὲ παραλαμβανομένη, τὸν νοῦν τῶν ὀρθῶς ἐχόντων ἐπιθολοῖ καὶ διαταράττει, ἀλλὰ καὶ γράμματος παραλλαγὴ, ἢ πρόσθεσις καὶ ἀφαίρεσις, εἰ καὶ μὴ χαλεπὸν ἀποσκευάσαι, ὅμως ἄτοπόν τι ἀπαντᾷν εἰῶθε παρασκευάζειν. Καὶ ἵνα νῦν ἐάσω τὰ ἄλλα, ἀλλὰ γὰρ καὶ τὸ *ἔκτησεν* εἴ τις μηκυνόμενον διὰ τοῦ βραχυνομένου (21) καὶ γράψειε καὶ νοήσειεν ἐν τῷ, « Κύριος ἔκτησέ με ἀρχὴν ὁδῶν [cod. ὁδὸν] αὐτοῦ D εἰς ἔργα αὐτοῦ· » εἶτα πρὸς τὴν τοῦ Ἀρείου γνώμην ἀποκλίνοι, κατὰ τῆς τοῦ Υἱοῦ θεότητος τὴν γλῶσσαν ὀξύνοι· οὗ τὸ δύσφημον πολλαχῶς μὲν ἐῤῥαπίζειν καὶ διελέγχειν ῥᾷον, ἀλλ' οὐδὲν ἔλαττον καὶ ὅτι τὸ *ἔκτησεν* οὐ τῆς διὰ τοῦ ἰῶτα γραμμῆς, διὰ δὲ τῆς τοῦ ἦτα προφερόμενον ὁ ὑποδεικνὺς ἀνακαλύπτων, εἰς σιγὴν αἰσχύνης τοῦ αἱρετικοῦ φρονήματος τὸ λάλον θράσος συνελάσει· ἡ γὰρ μετὰ τοῦ μεγέθους προϊοῦσα λέξις οὐκ ἐλαττοῖ τὴν φύσιν, οὐ μὲν οὖν οὐδὲ συστέλλει πρὸς τὸ βραχύτερον, οὐδὲ εἰς κτίσμα

[62] III Reg. XXII, 20. [62a] Isa. VI, 8. [63] Jerem. XV, 5. [64] Job VI, 11. [65] Job XXIII, 3. [66] Jon. III, 9. [67] Prov. VIII, 22.

NOTÆ.

(21) Hinc cognoscimus Photium pronuntiavisse unico sono tam *eta* quam *iota*. De re legesis disputantem Villoisonum Proleg. ad Homer. p. IV, et *Anecdot. Gr.* tom. II, p. 126 seqq.

Digitized by Google

τὴν ἄκτιστον οὐσίαν κατάγει· μή τι γένηται· οἰ- A creaturæ conditionem substantiam increatam redi-
κείωσιν δὲ μᾶλλον καὶ πρόσληψιν καὶ κοινωνίαν git; quod absit; sed necessitudinem potius et so-
τῶν ὁμοφυῶν Πατρὸς ὑπογράφει καὶ Υἱοῦ. Ὁ γὰρ cietatem communionemque unitæ naturæ Patris
διαστατῶς πανταχοῦ συνὼν τῷ γεννήματι γεννήτωρ, Filiique describit. Qui enim distincte simul exsistit
καὶ μηδὲν ἀπότομον καὶ διῃρημένον τῆς ἐκείνου βου- cum genito genitor, nihilque separatum aut divisum
λῆς καὶ γνώμης κατὰ δημιουργίαν μηδὲ κατὰ πρό- ab ejus voluntate ac mente in creationis ac provi-
νοιαν πράττων, δῆλον ὅτι μετ' οἰκειώσεως καὶ προσ- dentiæ opere facit, hunc patet fore ut non sine
λήψεως τῶν βουλευμάτων τῶν τοῦ Υἱοῦ πάντα ἂν conjuncto socioque Filii consilio omnia producat ac
καὶ προαγάγοι καὶ προνοίας ἀξιώσῃ. Οἷς γὰρ ἀπαρ- providentia dignetur. Quibus enim similis inest
άλλακτον καὶ κοινὸν τὸ ἀξίωμα καὶ ἡ φύσις καὶ communisque dignitas, natura et potestas, his ni-
ἐξουσία, τούτοις δηλονότι καὶ τὸ δημιουργεῖν καὶ mirum creare etiam et condere inseparabile erit
προάγειν, ἀμέριστόν τε καὶ ἀδιάστατον, καὶ παραλ- atque indistinctum, neque ulla consilii dissensio
λαγὴν τῆς γνώμης οὐ φέρον οὐδεμίαν. Ὅ καὶ ἡ παρ- accidet : id quod præsens etiam testatur locutio.
οῦσα συνεπιμαρτύρηται ῥῆσις· ἐπί τε γὰρ τῇ κοσμο- Nam sive in universi creatione, sive in lapsi nostri
γενείᾳ τοῦ παντὸς, καὶ ἐπὶ τῇ ἀνακαινίσει καὶ σω- generis atque in perniciem decidui renovatione ac
τηρίᾳ τοῦ παρολισθήσαντος ἡμῶν γένους καὶ κατα- B redemptione, communem esse docet Patri Filioque
πεσόντος εἰς συντριβὴν, κοινὴν καὶ τὴν δημιουργίαν creationem ac providentiam. Nam et universi ex
εἶναι καὶ τὴν πρόνοιαν Πατρὸς καὶ Υἱοῦ ἐκδιδάσκει· nihilo exitus, et naturæ nostræ deorsum per se
ἥ τε γὰρ τῶν ὅλων ἐκ μὴ ὄντων πρόοδος, καὶ ἡ τῆς ruentis instauratio ac reparatio, id omne, inquam,
ἡμετέρας φύσεως εἰς τὸ χεῖρον ἀπονευσάσης ἐπὶ τὸ a Patris et Filii et Spiritus creatione procedit. Tum
ἄμεινον ἀνάκτησις καὶ ἐπιστροφὴ, δῆλον ὅτι τῆς τοῦ vero brevis aut longa scripturæ prædictæ positio,
Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ Πνεύματός ἐστι δημιουρ- ut id exempli instar sit, ambiguitatem hoc modo
γία; καὶ προνοίας· ἀλλ' ἡ μὲν ἐκ τοῦ συστέλλεσθαι dissipat. Similiter verbum ἐγέννησεν, si unius lit-
καὶ μηκύνεσθαι γραφὴ, ὡς ἐπὶ παραδείγματος εἰ- teræ ν inscitia vel astu detrimentum patiatur,
πεῖν, τὴν ἀπορίαν οὕτως διασκεδάζει. Ὡσαύτως καὶ creatam naturam asserit. Verumtamen si quæ ablata
τὸ *ἐγέννησεν* ἀφαίρεσιν μὲν ἐξ ἐπιβουλῆς ἢ ἐξ fuerat littera resumatur, unita et consubstantialis
ἀγνοίας τοῦ ἑνὸς ν πεπονθὸς, κτισμάτων ὕπαρξιν natura revocatur. Multa alia sive in profanis scri-
ἐπεισάγει· λαβὸν δὲ τὸ ἀφαιρεθὲν, πρὸς τὸ ὁμοφυές ptis sive in sacris nostris oraculis deprehendere
τε καὶ ὁμοούσιον κατευθύνει· καὶ πολλὰ δὲ ἄλλα licet, quæ sub eamdem considerationem cadunt.
κατά τε τοὺς ἔξω λόγους κἀν τοῖς ἱεροῖς δὲ καὶ ἡμετέροις χρησμοῖς φωράσειέ τις εἰς τὴν αὐτὴν ἀνα-
φερόμενα σκέψιν.

λ'. Οὐ μόνον δὲ γράμματος ἑνὸς πρόσθεσις καὶ C 30. Neque vero unius tantummodo litteræ ad-
ἀφαίρεσις οὕτω πολλῶν πραγμάτων καταστροφὴν jectio vel subductio, tot rerum subversionem mu-
καὶ ἀλλοίωσιν ἀπεργάζεται, ἀλλὰ καὶ τόνου χρῆ- tationemque facit, verum etiam accentuum usus
σις (22) οὐκ εὔκαιρος, τό τε ῥῆμα ἀνθ' ἑτέρου, καί- intempestivus facit ut aliud pro alio vocabulum sit,
τοι τῆς γραφῆς ἀναλλοιώτου μενούσης παρέδειξεν quanquam immota scriptura maneat; tum ad sen-
ἕτερον, καὶ εἰς νόημα παντελῶς ἀλλοτριώτατον τὸν tentiam plane diversam mente abstracta, aut im-
νοῦν ἐκτοπήσασα, ἢ δυσσεβῆ δόξαν ἢ γελώμενον λῆ- pium sensum aut ridiculas ineptias invehit. Sed
ρον συνήγαγε· τί δὲ λέγω γράμματα; ὅπου γε καὶ cur litteras dico, quandoquidem interpunctio (qui
αὐτὸ τὸ πάντων βραχύτατον ἡ στιγμὴ κακουργούμε- brevissimus omnium apex est) prava interdum aut
νον ἢ παρορώμενον, καὶ τῆς οἰκείας μετατιθέμενον neglecta, suove loco demota, multiplices magnasque
λήξεως, παντοδαπὰς μὲν καὶ μεγάλας αἱρέσεις ἀπ- hæreses peperit ? Stultorum autem multo tempore
έτεκεν· ἀφρόνων δὲ πολὺν χρόνον κατενεμήθη φρο- mansere opiniones, piisque hominibus ut de im-
νήματα, καὶ τοῖς εὐσεβοῦσιν ὥστε θριαμβεῦσαι τὰ pietatis dogmatibus triumpharent, diuturnorum
τῆς δυσσεβείας δόγματα, μακρὰ παρέσχε τὰ ἀγωνί- certaminum causa fuerunt. Exempli causa, ut cæ-
σματα. Αὐτίκα, ἵνα τὰ ἄλλα παρῶ, ὁ μετάρσιος ἄν- tera prætermittam, vir ille in cœlum mortalis ad-
θρωπος καὶ τῆς οἰκουμένης διδάσκαλος ὁ μέγας D huc sublatus, et mundi doctor, magnus apostolus,
Ἀπόστολος ἔν τισι τῶν αὐτοῦ γραμμάτων (Κορίν- in suis quibusdam litteris (nempe in ea quæ scripta
θιοι δὲ τὴν ἐπιστολὴν ὑποδέχονται) οὕτω φησίν· « Ἐν est ad Corinthios epistola) sic ait ; « In quibus
οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα Deus hujus sæculi excæcavit cogitationes incredu-
τῶν ἀπίστων, εἰς τὸ μὴ ἐναυγάσαι αὐτοῖς τὸν φωτι- lorum, quominus his illucesceret lumen Evangelii
σμὸν τοῦ Εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ. » ἀλλ' gloriæ Christi [46]. » Equidem qui ita locutus est,
ὁ μὲν τοῦτο εἰπὼν, θαυμάσιόν τινα καὶ τῶν οὐρα- mirificam quamdam vocibusque in cœlo auditis
νίων ἀπηχημάτων ἐπάξιον νοῦν τοῖς τετελεσμένοις dignam sententiam discipulis sapientiæ suæ imper-

[46] II Cor. IV, 4.

NOTÆ.

(22) Res notissima lexicographis, quos inter adi seu Cyrillum seu Philoponum.

Digitized by Google

titus est. At enim Manetis Marcionisque scelesti asseclæ locutionem hanc ad sensum suum captivam quodammodo pertrahunt : qui videlicet dum inter *Deus* et *hujus sæculi* interpunctionem fieri non sinunt, eo sceleris progressi sunt, ut non solum ipsi gravissime religionem læderent, verum etiam sacris Litteris causam affingerent adversandi Deo : ita ut alter sit Deus, qui invisibilium rerum ac spiritalium dominatum creationis causa tenet; alter autem ab ipsis prædicetur Deus præsentis sæculi, et earum rerum, quæ huic cohærent similesque sunt, creator. Sed enim insana circa dictum hoc cavillatio, alibi quoque et sæpenumero futilis demonstrata fuit : præcipue vero convincitur, quia non sinit interpunctionem statione sua quiescere. Tum denique quia præsens sæculum modo quidem temporis spatium, modo vero etiam flagitiosos actus, qui per hanc vitam germinare solent, significat. Quare si quis etiam illam circa interpunctionem malitiam impunem esse sinat, nihilominus hæreticorum sententiam funditus perimet. Malorum enim operum atque actuum cum sator et incitator diabolus sit ; hunc si forte talium rerum dominum et auctorem et deum etiam dicamus, verbis inflexis maxime ad eorum opinionem qui illius malitiæ morigerantur, nullum hinc apostatica improbitas lucrum faciet. Nam et gentium idola, casso sane nomine, sed tamen dicebantur dii. Et diabolus quidem creaturæ alicujus vel rerum firmam certamque substantiam habentium nunquam deus dicetur vel existimabitur : cæteroqui ad pravos affectus quod attinet et peccatum, quibus ipse et gaudet atque lætatur, et alios fraudulenter illicere nunquam desinit ; quoad quidem ita se geret, nemo eum pernicioso hoc infelicique dominatu atque imperio pollere negabit.

31. Et sacrum quidem Pauli dictum probe novi, non prælicta solum demonstratione, apostatarum sensum vitare ; verum etiam omissa interpunctionis mentione, nihilominus posse temeritatem illorum infringi. Nam sicuti verus Deus noster universi creator, Deus cœli terræque, nihilominus dicitur etiam Deus Abrahami et Isaaci atque Jacobi, et Deus consolationis, et Deus pacis ; neque tamen idcirco cæterarum similium ejusdemque ordinis rerum non est Deus : imo potius quia dicitur prædictorum elementorum et hominum bonitatisque Deus, aliarum quoque rerum Deus comprobatur ; ita cum dicitur hujus sæculi Deus, a parte simul intelligitur simulque prædicatur rerum omnium Deus, sive quæ ad spiritalium sive quæ ad sensilium ordinem pertinent. Quin adeo si latiore sensu dictum hoc intelligatur, facile id rursus calumniatorum insidias evadet. Mentes nimirum incredulorum hujus sæculi Deus excæcat ; hoc est indignas judicat defæcatarum rerum contemplatione, cujus ope contingeret eis Evangelii lumine collustrari. Incredulis enim hujus sæculi hominibus rebellare atque adversari Domino suo Creatorique permittitur;

A τὴν ἐκείνου σοφίαν μυσταγωγεῖ. Οἱ δ' ἀπὸ Μάνεντος καὶ Μαρκίωνος δυσσεβεῖς ἁρπάσαντες τὴν φωνήν, καὶ πρὸς τὴν ἰδίαν αἰχμαλωτίσαντες ὁρμήν, εἶτα μεταξὺ τοῦ *Θεὸς* καὶ *τοῦ αἰῶνος τούτου* οὐ παρέντες κεῖσθαι τὴν στιγμὴν, εἰς τοσαύτην ἦλθον δυσσεβείας ὑπερβολὴν, ὡς μὴ μόνον τὰ ἔσχατα δυσσεβεῖν, ἀλλὰ καὶ ταῖς ἱεραῖς φωναῖς ἀνάπτειν τὴν αἰτίαν τοῦ θεομαχεῖν· καὶ ἕτερον μὲν εἶναι δοξάζειν Θεὸν ὃς τῶν ἀοράτων τε καὶ νοητῶν τῆς δημιουργίας ἔχει τὴν ἀρχὴν, ἕτερον δὲ τὸν τοῦ παρόντος αἰῶνος, καὶ ὅσα σύστοιχα τούτου καὶ ὁμοταγῆ, ἀνακηρύττειν Δημιουργόν. Ἀλλ' ἡ μὲν περὶ τὸ ῥητὸν φρενοβλαβὴς ἐπιβουλὴ καὶ ἄλλοτε μὲν πολλαχόθεν δείκνυται σαθρὰ, οὐδὲν δὲ ἧττον διελεγχθείη ἂν καὶ ὅτι μὴ τὴν στιγμὴν ἐπὶ τῆς οἰκείας χώρας ἀφῆκεν ἡρεμεῖν· B ἐπεὶ καὶ ὁ παρὼν αἰὼν ποτὲ μὲν αὐτὴν τὴν χρονικὴν παράτασιν, ἔσθ' ὅτε δὲ καὶ τὰς ἀτόπους πράξεις, αἳ κατὰ τὸν παρόντα βίον εἰώθασιν ἀναφύεσθαι σημαίνει· ὥστε καὶ εἴ τις αὐτοῖς τὸ περὶ τὴν στιγμὴν κακούργημα ἐνδώσει, οὐδὲν ἔλαττον αὐτῶν τὸ φρόνημα καθαιρούμενον διελέγχει. Τῶν γὰρ πονηρῶν ἔργων καὶ πράξεων ἄτε δὴ σπορεὺς καὶ ὑποβολεὺς ὁ ἀρχέκακος ὢν, εἰ κύριος αὐτῶν καὶ δημιουργὸς καὶ θεὸς ῥηθείη, πρὸς τὴν δόξαν μάλιστα τῶν ὑπηρετουμένων αὐτοῦ τῇ πονηρίᾳ τῶν ῥημάτων μεθαρμοζομένων, οὐδὲν ἂν ἡ ἀποστάτις ἐπιβουλὴ κέρδος εὑρήσει· ἐπεὶ καὶ τὰ τῶν ἐθνῶν εἴδωλα, οὐκ ἦσαν μὲν ὅπερ ἐλέγοντο, ἐλέγοντο δ' ὅμως θεοί. Θεὸς μὲν γὰρ δημιουργίας τινὸς ἢ πραγμάτων C ἐχόντων σταθηρὰν καὶ γνωριζομένην ὑπόστασιν, οὐ μὲν οὖν οὐκ ἂν οὔτε λεχθείη οὔτε νομισθείη· ἐκθέσμων δὲ παθῶν καὶ ἁμαρτίας, οἷς ἥδεται καὶ τρυφᾷ καὶ τοὺς ἄλλους πρὸς αὐτὰ δι' ἀπάτης ἕλκειν ἄπαυστον ἔχει τὸ φιλονικεῖν, μέχρις ἂν ταῦτα ἐνεργῇ, οὐδεὶς αὐτὸν οὔτε τῆς ὁλεθρίου ταύτης καὶ ἀθλίας κυριότητος, οὔτε μὴν τῆς ἀρχῆς ἀπαλλάξει.

λα'. Οἶδα δ' ὅτι τὸ ἱερὸν τοῦ Παύλου ῥητὸν, οὐ μόνον ἐκ τῆς τοιαύτης θεωρίας τὴν δόξαν διαφεύγει τῶν ἀποστατῶν, ἀλλὰ καὶ εἴ τις τὸν περὶ στιγμῆς λόγον ἐάσει, οὐδὲν ἔλαττον αὐτῶν καταισχύνῃ τὸ προπετές. Ὥσπερ γὰρ ὁ ἀληθὴς Θεὸς ἡμῶν καὶ τοῦ παντὸς Δημιουργὸς, Θεὸς οὐρανοῦ καὶ γῆς, λέγοιτ' ἂν καὶ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ Θεὸς παρακλήσεως, καὶ Θεὸς εἰρήνης, καὶ οὐδέπου D διὰ ταῦτα τῶν ὁμοταγῶν καὶ συστοίχων οὐκ ἔστι Θεὸς, ἀλλὰ μᾶλλον ἐξ ὧν λέγεται τούτων, καὶ τῶν ἄλλων συνεισάγεται Θεός· οὕτω καὶ Θεὸς τοῦ αἰῶνος τούτου λεχθεὶς, ἀπὸ μέρους καὶ τοῦ παντὸς, ὅσα τε εἰς νοητὴν λῆξιν καὶ ὅσα πρὸς αἴσθησιν ἀναφέρεται, συνεπινοεῖται καὶ συνανακηρύττεται· οὐ μὴν ἀλλὰ καὶ καθ' ὑπέρθεσιν τὸ ῥητὸν ἐκληφθὲν, πᾶσαν ῥᾳδίως τῶν ἐπηρεαζόντων διαφεύγει λαβήν. Τὰ γὰρ νοήματα τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ὁ Θεὸς τυφλοῖ· τουτέστιν ἀνάξια κρίνει τῆς τῶν κεκαθαρμένων θεωρίας· δι' ἧς αὐτοῖς ἐνῆν τὸν φωτισμὸν ἐναυγασθῆναι τοῦ Εὐαγγελίου. Οἱ μὲν γὰρ τοῦ νῦν αἰῶνος ἄπιστοι, καὶ στασιάζειν καὶ προσφιλονεικεῖν ἀφίενται τῷ οἰκείῳ Δεσπότῃ καὶ Δημιουργῷ· ἐν δὲ τῷ μέλλοντι ὅτε πᾶν γόνυ κάμψει αὐτῷ ἐπουρα-

Digitized by Google

νίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται αὐτῷ, οὐδεὶς αὐτῶν οὔτε ἀποστασίας οὔτε φιλονεικίας ἢ ἀγνοίας εἰς τὸ μὴ συνιδεῖν τὴν κατὰ πάντων κυριότητα καὶ τὸ κράτος, ἐπιπροσθήσει γνόφος ἢ ἀχλύς.

3. Sed enim Mosi nulla necessitas scopusve aderat, cur cœlorum regnum manifestaret. Porro multa, ut diximus, quæ sensum excedebant, dum orbis initia scriberet, prætermisit. Jam si quis forte dicere velit, figurate nec sine ænigmate ipsum quoque regnum cœlorum a Mose innui, dum ait : « In principio fecit Deus cœlum et terram [19]; » huic nos nequaquam adversabimur. Neque enim ullo modo affirmamus Mosem, qui tanto prodigio dignus fuit ut Deum ipsum conspexerit, rem talem tantique negotii ignoravisse : verum ea, quæ multi ferre nondum poterant, reticebat, vulgique auribus ineruditis valde parcebat : interim dum semina aliquot in sublimiores perfectioresque mentes immittebat, easque altioribus ac mirabilioribus contemplationibus fortasse initiabat. Propterea, aiunt, dum sensibilis mundi creationem scribit, sigillatim omnia persequitur, quæ ad eam rem pertinent : verumtamen cum cœli genesim narrat, quæcunque cœlestia ad terrestrem mundum referuntur, ea pariter accurato sermone digerit, solis, inquam, et lunæ stellarumque dominatum atque naturam : quæ autem a terrestri fabrica ornamentove recedunt, quæque proprie ad supernam stationem pertinent, hæc haud æque disserit. Quod si in his ita se gessit, multo magis in illis quæ prædictis excelsiora sunt. Horum, inquam, sublimiorum perspicuam accuratamque enarrationem Creatori Dominoque omnium Christo Deo nostro reliquit : qui nobiscum terræ incolis diversatus, et cœlestes doctrinas ac divina mysteria impertiens, regnum quoque cœlorum nos edocuit. Quamobrem aliæ quoque leges et promissiones et minæ ac benedictiones, quæ corporeum quid sapiebant, ad Mosis partes semper pertinent : verum communis Servator generis, qui sibi officium sumpsit omni errore hominem liberandi, cœlestia nobis credentibus ac divina bona nuntia-

γ'. Ἀλλὰ γὰρ Μωσεῖ μὲν οὐκ ἦν ἀνάγκη οὐδὲ σκοπὸς ἀναπτύσσειν τὴν βασιλείαν τῶν οὐρανῶν· πολλὰ γὰρ, ὥσπερ ἔφημεν, τὴν κοσμογένειαν ἀναγράφων τῶν ὑπὲρ αἴσθησιν παρῆλθεν· εἰ δὲ τυπικῶς τις καὶ ἐν αἰνίγματι καὶ αὐτὴν τὴν τῶν οὐρανῶν βασιλείαν ὑποσημαίνειν ἐθέλοι λέγειν, ἐν τῷ εἰπεῖν, « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, » οὐδὲν πρὸς αὐτὸν διοισόμεθα (32)· οὐδὲ γὰρ οὐδὲ τοῦτό γέ φαμέν ποθεν ὡς ἠγνόει ταῦτά τε καὶ τὰ τοιαῦτα ὁ τηλικούτου καὶ τοσούτου θεάματος τῆς θεοπτίας ἠξιωμένος Μωσῆς· ἀλλ' ὅτι τοῖς πολλοῖς ἀνέκφορα διετήρει, καὶ τῆς μὲν συγκλύδου ἀκοῆς φειδὼ πολλὴν ἐποιεῖτο, τοῖς ὑψηλοτέροις δὲ καὶ τελειοτέροις σπέρματα καταβάλλων, τῶν ὑψηλοτέρων τε καὶ θαυμασιωτέρων ἴσως διετέλει θεωρημάτων· καὶ γάρ, φασὶ, διὰ τοῦτο τὴν μὲν τοῦ αἰσθητοῦ κόσμου δημιουργίαν εἰπὼν, λεπτουργεῖ τε καὶ ἐπεξέρχεται καὶ ἃ συμπληροῦσι τοῦτον· τὴν δὲ γένεσιν ἀναγραψάμενος τοῦ οὐρανοῦ, ὅσα μὲν αὐτοῦ πρὸς τὸν περίγειον κόσμον ἀφορᾷ, καὶ ταῦτα παραπλησίως διεξῆλθεν, ἡλίου καὶ σελήνης, καὶ τὴν ἀστέρων κυριότητά τε διαλαβὼν καὶ φύσιν· τὰ δὲ τῆς περιγείου ἀπονεύοντα διακοσμήσεως, καὶ ὅσα τῆς ἀνωτέρω λέξεώς ἐστι, οὐχ ὁμοίως διέλαβεν· εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον οὐδ' ὅσα ὑπεραναβέβηκε τούτων· καταλιμπάνει δὲ τὴν τούτων σαφῆ καὶ διευκρινημένην διήγησιν τῷ Πλάστῃ καὶ Δεσπότῃ πάντων Χριστῷ τῷ Θεῷ ἡμῶν, ὃς ἐπιδημήσας ἡμῖν τοῖς ἐν γῇ, καὶ τὰ οὐράνια καὶ τὰ θεῖα παραδιδοὺς μαθήματά τε καὶ μυστήρια, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν ἐξηγήσατο· ἐπεὶ καὶ τὰ ἄλλα, νομοθεσίαι τε καὶ εὐαγγελίαι, ἀραί τε καὶ εὐλογίαι, τὸ σωματικώτερον ἔχουσαι, πανταχοῦ τῷ Μωσεῖ παραλαμβάνονται· ὁ δὲ κοινὸς τοῦ γένους Σωτὴρ ὅλον τὸν ἄνθρωπον ἀπαλλάξαι τῆς πλάνης προθέμενος, τὰ ὑπουράνια καὶ θεῖα ἡμῖν τοῖς πειθομένοις ἐπηγγείλατο ἀγαθά· ὥσπερ καὶ τοῖς ἀπειθοῦσιν ὑπέδειξεν, ὡς ὑποδέξεται αὐτοὺς οὐ τὰ πρόσκαιρά τε καὶ χρόνῳ

[19] Gen. I, 1.

NOTÆ.

(30*) Paradisi intellectualis nomen a paradiso terrestri derivatum fuisse, nemo inficias it. Cæteroquin sanctarum ante Christum animarum quietas sedes a terrestri paradiso Adami distinguendas esse, satis docet Scriptura cum ait Christum post obitum ad inferos descendisse. Quare et ad illa apud Lucam verba ad latronem recte monent sacri interpretes terrestrem paradisum non esse ibi intelligendum.

(31) De hac Græcorum quorumdam opinione et nos ipsi alibi locuti sumus, et Muratorius singulari opere latissime disputavit. Et quidem contra Græcos suo copiose disserit Eustratius ab Allatio editus.

(32) Quæstionem hanc rursus tractat Photius in Amphilochiana decima sexta, aliis quidem verbis, cæteroquin iisdem sæpe argumentis utens; quam rem nuntiatam Roma Neapolim ante hos annos fuisse video cl. Andresio prodrom. *Anecd. Gr.* p. 85. Sed tamen ad hunc locum Photius in decima sexta aliter judicare videtur. Huic enim opinioni nonnullorum propositæ sic contradicit : Ἀλλὰ τοῦτο μὲν οὐκ ἂν ῥᾳδίως ἀγαπήσῃ ἡ ἀλήθεια, ὅτι τε λίαν ἐκβεβίασται, καὶ ὅτι εἰπὼν οὐρανῶν ποίησιν, περὶ τῆς τῶν οὐρανῶν βασιλείας τοὺς Ἰουδαίους οὐδὲν ἧττον ὠφέλησεν ἢ εἰ παντελῶς ἀπεσιώπησε· καὶ πολλὴ ἄλλη πρὸς ταύτην τὴν ὑπόληψιν ὑπεναντίωσις.

Digitized by Google

καταμαραινόμενα λυπηρὰ, ἀλλ' ὅσα δι' αἰῶνος ἀπεράντου παρατεινομένην ἔχουσι τὴν πεῖραν τῶν ἀλγεινῶν.

δ'. Εἰ δὴ καὶ ἀγωνιστήριον ἦν ὁ παράδεισος, ἐν αὐτῷ γὰρ τὸ γυμνάσιον τῷ πρωτοπλάστῳ προτέθειτο, πῶς ἂν εἴη τῷ αὐτῷ καὶ βραβεῖον καὶ στάδιον; οὐκοῦν ὁ παράδεισος προοίμιον μὲν τῆς βασιλείας τῶν οὐρανῶν, οὐ βασιλεία δέ· καὶ μακάριον μὲν καὶ πολυέραστον ἐνδιαιτηθῆναι τῷ χωρίῳ, μακαριώτερον δὲ καὶ ἐρασμιώτερον τὸ εἰς τὰς οὐρανίας ἐκεῖθεν παραπεμφθῆναι σκηνάς· καὶ τὸ ἀρχηγὸν δὲ φῶς, ὅπερ ἀναχεόμενον πρὸ τῆς τοῦ ἡλίου δημιουργίας, τὴν ἡμέραν ἐποίει, βασιλείαν οὐρανῶν ὑψηλοτέραν τε καὶ θειοτέραν καὶ ὡς ἀληθῶς οὐράνιον λῆξιν ἡμᾶς ἐννοεῖν, ἢ τὸν παράδεισον, ἀπευθύνει· ἐν ᾗ τοῖς ἀξιωθησομένοις ἐνδιαιτᾶσθαι τὴν χρείαν ἀποπληρώσει· καὶ εἴη ἂν εἰκότι λόγῳ ἀναλογίαν διασῶζον τὸ οὐράνιον σῶμα πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν, ἣν συνδιασώζει πρὸς αὐτὴν ἡ γῆ· ἐκείνη τε γὰρ πρὸς τὸ ὁρώμενον οὐράνιον κῦτος τάξιν ἐδάφους ἐπέχουσα φαίνεται· αὐτός τε πάλιν ἐδάφους ἀναπληρώσει χώραν τοῖς ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ, τὴν δίαιταν ἀξιωθεῖσι λαχεῖν· οὐδὲν οὖν ὅλως ἔστιν ἀπορεῖν τοῦ λοιποῦ πῶς τοῦ Δεσπότου Χριστοῦ κατὰ τὴν αὐτοῦ σωτήριον παρουσίαν οὐράνιον ἡμῖν καὶ διδάσκοντος καὶ ἐπαγγειλαμένου βασιλείαν, ὁ θεράπων αὐτοῦ Μωσῆς ἢ οὐδ' ὅλως ἢ ὡς ἐν αἰνίγματι ταύτης ἐμνήσθη· οὐδὲ πότερον ταυτόν ἐστιν ἢ ἕτερον ὁ παράδεισος καὶ ἡ βασιλεία τῶν οὐρανῶν.

vit: sicuti etiam non credentibus demonstravit, fore ut illos haud temporalis vel aliquando cessatura pœna excipiat, sed quæ sensum potius doloris in infinitum ævum extendat.

4. Quod si præterea paradisus certaminum præmium est; illic enim primo homini propositum virtutis exercitium fuit; qui fieri potest ut idem homini locus palma esset et stadium? Sequitur ergo ut paradisus præludium quidem regni cœlorum fuerit, non tamen ipsum regnum. Et in eo quidem versari loco beatum ac desiderabile est; multo tamen beatius atque optabilius est ad cœlestes sedes illinc emitti. Et quidem lux illa primigenia, cujus effusio, ante solem conditum, diem efficiebat, exemplo nobis est, ut intelligamus regnum cœlorum vere esse cœleste habitaculum, multoque excelsius diviniusque, quam paradisus, in quo quidem cœlesti habitaculo, hi qui eo digni fuerint, voti omnis compotes fient. Prorsus videtur justa ratione cœleste firmamentum eam analogiam erga regnum cœlorum tueri, quam erga ipsum firmamentum tellus: hæc enim cœlesti, quem suspicimus, fornici vicem pavimenti præstare videtur. Rursus ipse cœlestis fornix pavimenti instar erit iis qui cœlorum regnum incolendi digni erunt. Ergo deinceps non erit ambigendum, cur nam Christus, quo tempore inter homines salutariter versatus est, cœleste nobis promiserit nuntiaveritque regnum; ejus vero famulus Moses vel nullo modo, vel certe non sine ænigmate regni ejusdem mentionem fecerit. Neque denique est dubitandum utrum idem sit an quid diversum, paradisus et regnum cœlorum.

ΕΡΩΤΗΣΙΣ Ζ'.

Εἰ τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν, ἐν ποίοις αἰῶσιν ὁ τοῦ Χριστοῦ πλοῦτος εἰς ἡμᾶς ἐπιδειχθήσεται;

QUÆSTIO VII.

Si finis sæculorum nobis advenit, quibusnam sæculis Christi divitiæ in nos ostendentur?

Edita a Maio, *nov. Coll.*, t. IX, p. 5-6. Conciliantur Pauli verba I Cor. x, 11, cum verbis Eph. II, 7.

Οὐκ ἄπορον δὲ οὐδ' εἰ τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν, ἐν τοῖς ἐπερχομένοις αἰῶσι τὸν πλοῦτον αὐτοῦ ἐπιδείξασθαι εἰς ἡμᾶς τὸν κοινὸν τοῦ γένους σωτῆρα καὶ λυτρωτήν. Ἐπὶ μὲν γὰρ τῷ τέλει τῶν αἰώνων ἡμεῖς ἐσμεν, ὅσοι τὸν παρόντα κόσμον ἤδη μαραινόμενόν τε καὶ καταῤῥέοντα πρὸς τέλος ἐτάχθημεν παραμετρεῖν, ἐπερχομένους δὲ αἰῶνας ἐκείνους δεῖ νοεῖν, ὅσοι τῇ τῶν μελλόντων ἀδιαδόχῳ παραπολαύσει συμπαρατεινομένην ἔχουσι φύσιν τὴν ἑαυτῶν. Ὅρα δέ μοι καὶ οὕτως· ἐν μὲν τοῖς αἰῶσιν, ὧν εἰς ἡμᾶς τὰ τέλη κατήντησε, τὸ πρὸ τῶν αἰώνων ὁρισθὲν μυστήριον ἐπὶ κοινῇ τοῦ ἀνθρωπίνου γένους σωτηρίᾳ πέρας ἔλαβέ τε καὶ ἐτελέσθη· ὅπερ ἐστὶν ἡ τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἕνωσίς τε καὶ ἐπιδημία· ἐν δὲ τοῖς ἐπερχομένοις ἐπιτελεσθείη ἂν ἡ τῶν ἀνθρώπων πρὸς Θεὸν ἀνοδός τε καὶ ὑψηλοτέρα συνάφεια· καὶ τὸ κατὰ χάριν ἡμᾶς γενέσθαι θεοὺς, μηκέτι πρὸς τὰ χείρω τὴν μεταβολὴν δεχομένους. Ἔτι δὲ ἐν μὲν τοῖς αἰῶσιν, ὧν εἰς τὰ τέλη κατηντήσαμεν, τὴν ἐργασίαν τῶν ἐντολῶν ἀπαιτούμεθα· καὶ πρὸς τὸ γυμνάσιον ἀποδυόμεθα· ἐν δὲ τοῖς ἐπερχομένοις τά τε τῶν πρακτέων ἐπίχειρα κομιζόμεθα καὶ τῶν βραβείων ἀξιούμεθα, ὅτε δὴ ὄντες καὶ ὁ πλοῦτος τῆς

Non incertum est quoque, si finis sæculorum nobis advenit, divitias suas in nos ostendisse communem generis nostri Salvatorem et Redemptorem. In fine enim sæculorum sumus nos quicunque in hunc mundum jam flaccidum et ad finem suum vergentem missi sumus incolendum; supervenientia autem sæcula illa esse cogitandum est quæ æternarum in futura deliciarum participantia protensam obtinent eorum naturam. Sed mihi et sic considera: sæculis illis quorum finis in nos advenit, definitum ante sæcula mysterium pro communi hominum generis salute terminum accepit et perfectum est; qui terminus est Dei apud homines mansio et incolatus; supervenientibus autem sæculis perfectus erit hominum ad Deum reditus et altior cum illo conjunctio. Tunc etiam secundum gratiam facti erimus dii neque ad pejora conversionem capientes. Adhuc autem his sæculis quorum finis advenit, a nobis præceptorum adimpletio exigitur, et ad luctam accingimur; supervenientibus autem eorum quæ agenda sunt præmia accipimus, et victoriæ laurea digni judicamur, quando et divitiæ dominicæ bonitatis et largitionis ineffabili verbo et incomprehensibili ratione copiosissime nobis subministrabuntur. Si vis, præsentibus quidem sæcu-

Digitized by Google

lis corruptibili corpore vitam nostram perficimus, supervenientibus autem corruptionem incorruptione mutantes, sic infinitum ævum percurremus. Et rursus sæculis præsentibus insurgens in nos et nos impediens peccatum subimus; supervenientibus autem, neque in nos pugnam, aut agens peccatum, sed neque occulte in nobis stans aut stare valens reperiemus. Multa et alia sexcenta his addi possent quibus differentia inter directa ad finem sæcula et ea quæ in infinitum manent facile discernitur. Atque ita præposita verba non invicem opponuntur, neque inter se pugnant.

A Δεσποτικῆς χρηστότητος καὶ φιλοτιμίας ἀῤῥήτῳ λόγῳ καὶ ἀκαταλήπτοις λογισμοῖς ἡμῖν ἐπιδαψιλεύοιτο. Εἰ βούλει δὲ ἐν μὲν τοῖς περατουμένοις αἰῶσι φθαρτῷ σώματι τὸν βίον ἡμῶν διανύομεν, ἐν δὲ τοῖς ἐπερχομένοις τῆς φθορᾶς τὴν ἀφθαρσίαν ἀμειβόμενοι, οὕτω τὸν ἀτελεύτητον διατελοῦμεν αἰῶνα. Καὶ πάλιν ἐν μὲν τοῖς παροῦσι τὴν κατεξανισταμένην ἡμῶν τὴν ἁμαρτίαν καὶ διενοχλοῦσαν ὑφιστάμεθα· ἐν δὲ τοῖς ἐπερχομένοις οὐκέτι καταστρατηγοῦσαν οὐδὲ ἐνεργουμένην, ἀλλὰ μηδὲ ὑφεστῶσαν ὅλως εὑρήσομεν, μηδὲ δυναμένην ὑφίστασθαι. Πολλὰ δ' ἄν τις καὶ ἄλλα μυρία τούτοις ἐπιθείη, δι' ὧν ἡ διαφορὰ τῶν τε πρὸς τέλος ἐπειγομένων αἰώνων καὶ τῶν εἰς ἀπέραντον διαμενόντων ῥᾳδίως καταλαμβάνεται· καὶ ὡς τὰ προκείμενα ῥητὰ οὐδὲ ἀλλήλοις ἀντινομοθετεῖ οὐδὲ διαμάχεται.

QUÆSTIO VIII.

Quomodo dicitur filios Dei peccatum non facere, qui juxta eamdem Scripturam ex aqua et Spiritu nascuntur; et tamen multos videmus per baptismum filios Dei effectos peccatum facientes;

ΕΡΩΤΗΣΙΣ Η'.

B *Πῶς τὰ τέκνα τοῦ Θεοῦ λέγεται ἁμαρτίαν μὴ ποιεῖν, εἶναι δὲ ταῦτα ἡ αὐτὴ λέγει Γραφὴ τὰ δι' ὕδατος καὶ Πνεύματος γεννηθέντα, καὶ πάλιν πολλοὺς ὁρῶμεν τοὺς διὰ βαπτίσματος υἱοποιηθέντας τὴν ἁμαρτίαν διαπραττομένους;*

Edita a Maio, l. c. p. 6-8. De verbis I Joan. III, 9; et quomodo his non obstet, quod baptizatos, qui vere filii Dei sunt (Joan. III, 5) adhuc peccantes videamus.

Si quicunque ex aqua et Spiritu sancto generantur, ii sunt filii Dei; filii autem Dei, ut divus Joannes clamat, peccatum non faciunt, quæris et disceptas quomodo, postquam per lavacrum regenerationis tanta gratia digni habiti sumus, ad peccatum deferamur. Sed antequam verba resolvamus quæ sibi invicem contradicere videntur, ipsum in se Apostoli dictum examinandum est: quomodo omnino homo filius Dei factus peccatum non potest facere? Quidam igitur dicunt illud ipsum Joannem explicantem addere: quoniam semen ipsius in eo manet; quod quidem semen est sane docendi peritum verbum; exiit enim qui seminat seminare. Illo autem semine in anima radices agente et manente, non potest peccare qui hoc semine assimilationem cum C generante Deo possidet. Illo autem semine ex cogitatione nostra ejecto, statim diaboli semen in illius locum injicitur, et zizaniorum germinatio incipit. Plures quidem sic propius, ut mihi videtur, ad veritatem steterunt illud apostoli dictum interpretando. Alii autem simplicius dicunt neque justum justitiam colentem, neque sapientem sapientiam adimplentem, neque alium quemque suum nomen a virtute trahentem eo quod illam peragat et adimpleat, unquam peccati exstiturum factorem.

Sed hoc quidem, quanquam a quibusdam dictum est, non altitudinem apostolicæ sententiæ videtur attigisse. Non enim callidum est scire, sed neque docere justum juste agentem non injustitiam admittere, neque sapientem intemperanter non vivere dum sapit. Melius forte esset et hoc modo intelligere eum qui ex Deo natus est et semen ejus in se ipso concepit, nempe virtutem (omne enim donum perfectum desursum est, descendens a Patre luminum), et perfectus est in ea, ita ut in illius habitum pure transierit, non habens sibi admistum mali semen, eum, inquam, non posse peccatum facere; id est, non habere voluntatem ad cupiditates

Εἰ δι' ὕδατος καὶ Πνεύματος οἱ γεννηθέντες τέκνα Θεοῦ χρηματίζουσι, τὰ δὲ τέκνα τοῦ Θεοῦ, ὡς ὁ θεσπέσιος Ἰωάννης βοᾷ, ἁμαρτίαν οὐ ποιεῖ, ἐπερωτᾷς καὶ διαπορεῖς πῶς μεθ' ὃ τοῦ λουτροῦ τῆς παλιγγενεσίας τοῦ τηλικούτου χαρίσματος ἠξιώθημεν, πρὸς ἁμαρτίαν καταφερόμεθα. Ἀλλὰ πρό γε τῆς λύσεως τῶν δοκούντων ἔχειν ἐναντιότητα ῥημάτων, αὐτὸ καθ' αὐτὸ τὸ ἀποστολικὸν ἐπισκεπτέον ῥητόν· πῶς ὅλως ἄνθρωπος τέκνον Θεοῦ γεγονὼς ἁμαρτίαν οὐ δύναται ποιεῖν; Τινὲς μὲν οὖν φασιν, ὡς αὐτὸς ἐκεῖνος ἐπιλυόμενος ἐπάγει τὸ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ· τοῦ γὰρ δεσποτικοῦ σπέρματος ἦτοι διδασκαλικοῦ λόγου· Ἐξῆλθεν γάρ, φησὶν, ὁ σπείρων τοῦ σπεῖραι· τούτου δὴ τοῦ σπέρματος ἐν τῇ ψυχῇ ῥιζωθέντος καὶ παραμένοντος οὐ δύναται ποιεῖν ἁμαρτίαν ὁ ἐκείνου τοῦ σπόρου τὴν ἀφομοίωσιν πρὸς τὸν γεγεννηκότα κτησάμενος Θεόν· παραιρεθέντος δὲ τοῦ τοιούτου σπέρματος ἐκ τῆς διανοίας ἡμῶν, αὐτίκα ὁ τοῦ ἐχθροῦ ἀντικαταβάλλεται σπόρος, καὶ ἡ τῶν ζιζανίων βλάστη λαμβάνει ἀρχήν. Ἔνιοι μὲν οὕτως, ὡς ἔμοιγε δοκεῖ, καὶ τῆς ἀληθείας ἐγγὺς τὸ ἀποστολικὸν ῥητὸν νενοήκασιν. Οἱ δὲ ἁπλούστερόν φασιν, ὡς οὔτε ὁ δίκαιος τὴν δικαιοσύνην πράττων, οὔτε ὁ σώφρων τὴν σωφροσύνην ἐπιτελῶν, οὐ μὴν ἀλλ' οὐδ' ἄλλος παρώνυμος ἀπὸ τῆς ἀρετῆς ἐν ᾧ ταύτην τελεῖ καὶ διαπράττεται, οὔμενουν οὐκ ἄν ποτε καὶ τῆς ἁμαρτίας ὑπάρξειε δημιουργός.

Ἀλλὰ τοῦτο μὲν εἰ καί τισιν εἴρηται, οὔ μοι δοκεῖ τοῦ ὕψους τῆς ἀποστολικῆς ἐφικέσθαι διανοίας· οὐδὲ D γὰρ σοφὸν εἰδέναι, ἀλλ' οὐδὲ διδάσκειν, ὡς ὁ δίκαιος δικαιοπραγῶν οὐκ ἀδικεῖ, ἀλλ' οὐδὲ ὁ σώφρων οὐκ ἀκολασταίνει ἐν τῷ σωφρονεῖν· ἄμεινον δὲ ἂν ἴσως εἴη κἀκεῖνο συνιδεῖν, ὡς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ καὶ τὸ σπέρμα αὐτοῦ ἐν ἑαυτῷ συλλαβὼν ἦτοι τὴν ἀρετὴν (πᾶν γὰρ δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων) καὶ τελειωθεὶς ἐν αὐτῇ ὡς καὶ ταύτης καθαρῶς εἰς ἕξιν ἐλάσαι, μὴ ἔχων ἐπιμιγνυμένην ἑαυτῷ τοῦ κακοῦ τὴν σπορὰν, ὁ τοιοῦτος οὐ δύναται ποιεῖν ἁμαρτίαν· τουτέστιν, οὐκ ἔχει τὴν γνώμην ῥέπουσαν πρὸς τὰ πάθη, οὐδὲ

Digitized by Google

πρὸς ἐκεῖνα τὸν νοῦν ἐπιστρεφόμενον. Ὥσπερ γὰρ ἡ ἀδίδακτος φύσις ἰσχυρὸν τὰ παρὰ φύσιν ἀποστρέφεσθαι, οὕτως ἡ ἐκ διδασκαλίας διὰ τῆς τῶν ἀγαθῶν πράξεως γυμνασίας ἐπιγινομένη ἕξις μεγάλην λαμβάνει τὴν ἰσχὺν εἰς τὸ πρὸς μηδὲν τῶν φαύλων ἐπιῤῥεπῶς ἔχειν καὶ τούτοις ἐφήδεσθαι· ἀλλ' ἡ μὲν τοῦ ῥητοῦ καθ' ἑαυτὴν σκέψις τοιαύτη τις ἂν εἴη. Ἐπιλύοιτο δ' ἂν καὶ ἡ κατὰ συμπλοκὴν τῶν ῥητῶν προκειμένη ἀπορία οὐδὲν ἔλαττον καὶ δι' ἑνὸς ἑκάστου τῶν εἰρημένων· οὐδὲν γὰρ ἄπορον οὔτε τὸν ἔχοντα τοὺς σπερματικοὺς λογοὺς ἐν ἑαυτῷ βλαστάνοντας, εἴτε τῶν ἀρετῶν εἴησαν, εἴτε τῆς εὐσεβείας αἱ καταβολαί, τότε μὲν μηδαμῶς ἀποδέχεσθαι τὴν ἐπισπορὰν τοῦ πονηροῦ· ἐπειδὰν δὲ τοῦ κακοῦ βλαστήματος ἔρημοι καταστῶμεν, τότε πρὸς τὴν τῶν ζιζανίων ὑποδοχὴν παρασκευασαμένους ὁρᾶσθαι· ἀλλ' οὐδὲ τὸν πράττοντα τὴν ἀρετὴν ἐπειδὰν ταύτην εἰλικρινῶς πράττῃ, ἀνενέργητον αὐτὸν πρὸς τὴν κακίαν εἶναι· ἀμελήσαντα δὲ τῶν καλῶν ἔργων πρὸς τὰ χείρονα κατενεχθῆναι, οὐδεὶς ἂν διαμφισβητήσῃ.

A serpentem, neque mentem ad illas conversam. Quemadmodum enim indocta natura violenter ea quæ supra naturam sunt aversatur, ita ille ex doctrina per bonarum actionum exercitium factus habitus vim magnam accipit ut nullis malis serpat aut nullis delectetur. Ea quidem esset hujus dicti in se investigatio. Solveretur et difficultas in verborum connexione sita non minus per unumquodque dictorum. Non enim dubium est quin is qui seminalia verba habet in se ipso germinantia, sive virtutum sint, sive pietatis jacta semina, minime in se mali sationem admittat; cum autem malo germine vacui stamus, tunc in zizaniorum acceptationem accingentes nos videamur, sed neque eum qui virtutem agit, adversus malum, inefficacem esse; eum autem qui pulchros actus negligit ad pejora B deferri, nemo est qui disceptat.

Λυθείη μὲν ἂν ὥσπερ εἴρηται διὰ τούτων καὶ ἡ δοκοῦσα κατ' ἀρχὰς τῶν ῥητῶν ἐναντιολογία· οἰκειωτέρα δὲ καὶ ἰδιάζουσα λύσις εἴη ἂν αὐτῇ προσαγομένη τοιαύτη. Διττός ἐστιν ὁ τῆς ἄνωθεν υἱοθεσίας τρόπος· ὁ μὲν ἐκ μόνης τῆς φιλοτιμίας τοῦ υἱοθετοῦντος ἐπιδεικνύμενος, ὁ δὲ μετὰ συνεισφορᾶς τῆς ἡμετέρας σπουδῆς, καθ' ἣν ἡ τῶν ἀρετῶν συνεισάγεται ἐργασία· καὶ ἡ δοθεῖσα τῆς υἱοθεσίας ἄνωθεν χάρις τῇ ἀπὸ τῆς γνώμης συνελθοῦσα τῶν ἀρετῶν πράξει, ὅλον ἀναμορφοῖ τὸν υἱοθετούμενον πρὸς τὴν ὁμοίωσιν καὶ τὸν χαρακτῆρα, καθ' ὅσον ἐστὶν ἀνθρώπῳ μιμήσασθαι δυνατὸν τὸν γεγεννηκότα Θεόν. Οὕτως μὲν οὖν ὁ κατὰ τοῦτον τὸν τρόπον χρηματίσας τέκνον Θεοῦ, καὶ οὕτω βεβαίαν καὶ ἀμετακίνητον τὴν υἱοθεσίαν κτησάμενος, ἀναλλοίωτον λαμβάνει τὴν ἕξιν τοῦ C καλοῦ, καὶ μισεῖ τὴν ἁμαρτίαν καὶ ἀποστρέφεται, καὶ οὐκ ἐθέλει ταύτην οὐδαμῆ ποιεῖν. Ὁ μέν τοί γε τῆς Δεσποτικῆς ἀπολαύσας φιλοτιμίας, μηδὲν δὲ τηλικοῦτον συνεισενεγκὼν ὡς βεβαίαν τὴν υἱοθεσίαν δεῖξαι, καὶ ἑαυτὸν ἄξιον ταύτης διὰ τῶν ἔργων παραστῆσαι, οὗτος δὴ οὗτος κἂν τῆς υἱοθεσίας ἔτυχεν, ἣν ἡ Δεσποτικὴ χαρίζεται φιλοτιμία, τῷ ταύτην οἰκείᾳ γνώμῃ καὶ σπουδῇ μὴ συγκροτεῖν, εὐχερῶς φέρεται πρὸς τὰς τῶν ἁμαρτημάτων πράξεις· τὸ μὲν ἀπὸ τῆς χάριτος δοθὲν σπέρμα, οἷον ἀτελεσφόρητον καταλιπών, τὸ δὲ ἀπὸ τοῦ πονηροῦ ἐπισπαρὲν, τελεσφορούμενόν τε καὶ γεωργούμενον οἰκείᾳ ῥᾳθυμίᾳ· ὅπερ καὶ περιφέρων ἐν ἑαυτῷ, εἰκότως ἀντὶ τοῦ τέκνον εἶναι Θεοῦ, τέκνον χρηματίζει τοῦ διαβόλου.

Per hæc quidem solveretur, ut dictum est, illa primo intuitu apparens oppositio; magis propria vero et accommodatior esset illi admota solutio talis. Duplex est hujus filiationis modus: unus quidem ea sola adoptantis largitione ac studio demonstratus; alter vero, adjuncto proprio nostro studio, vi cujus introducitur virtutum operatio; et data superne filiationis gratia cum voluntaria virtutum praxi conveniens, totum transformat filium adoptatum ad similitudinem et characterem, quantum homini licet intueri eum qui genuit Deum. Sic quidem ille qui se hoc modo filium Dei gerit atque ita solidam et immutabilem adoptionem possidet, inconcussam accipit habitudinem boni et a peccato abhorret, nec illud vult quoquo modo facere. Qui tamen illa Domini largitione fruitus est neque satis curavit ut solidam adoptionem ostenderet et se hac esse dignum operibus ostenderet, ille sane, quanquam adoptionem sortitus est quam Domini largitur affectio, quia non eam propria voluntate et ardore confirmat, ad peccatorum actus facile fertur. Illo quidem, quod gratia datum est, semine imperfecto relicto, quod a malo seminatum est propria indolentia perficitur et colitur; quod in se conferens homo, merito non est filius Dei, sed filius diaboli.

ΕΡΩΤΗΣΙΣ Θ'.

Πῶς τοῦ θεοπάτορος Δαβὶδ εἰπόντος, « Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, » καὶ ἑξῆς, ὁ τούτου παῖς Σολομὼν ἀποφαίνεται, « Μέγα ἄνθρωπος καὶ τίμιον ἀνήρ; »

QUÆSTIO IX.

Quomodo Davide Dei patre dicente: « Homo tanquam fenum dies ejus, » Salomon ejus filius declarat: « Est aliquid magnum homo, et aliquid honore dignum vir? »

Edita a Maio, l. c, p. 8-9. Quomodo Davidis verba Psal. CII, 14, 15, cum Salomonis effato, Prov. XX, 6 (juxta LXX) conveniant.

Τὴν τῶν ἀνθρώπων φύσιν ὡς τὰ πολλὰ καὶ ὁ Θεῖος Δαβὶδ κατευτελίζων, καὶ ὁ σοφὸς μεγαλύνων Σολομὼν, οὐκ ἐναντίαν ἀλλήλοις ἀντεισάγουσι δόξαν· οὐ γὰρ οὗτοι μόνον τοιαύτας ἀποφάσεις περὶ τοῦ ἀνθρωπείου γένους ποιοῦνται, ἀλλὰ καὶ πολλαχοῦ τῆς θείας Γραφῆς εὑρήσεις, τοῦτο μὲν ἐπαίρουσαν τὴν

Humanam naturam plerumque et divinus David parvi faciens et sapiens Salomon magnificans non oppositas inter se sententias introducunt. Non enim illi solummodo de humano genere talia declarant, sed et in plerisque sacræ Scripturæ locis invenies eam attollentem quidem nostram naturam,

Digitized by Google

rursus autem eam vilipendentem et deprimentem ; nec tantum Scriptura, sed et quicunque nostrorum sanctorum Patrum veram sapientiam inde mystice docti sunt, diversas sententias de humano genere statuentes, non ea sententiarum differentia rebellionem aut pugnam in se ipsos et in alios concitasse videntur, sed concordiam et concentum servantes reperiuntur. Quomodo autem eas differentes sententias nulla in veritatem pugna aut oppositio sequatur, hinc facile est intelligere. Duplicem constitutionem habet homo, et duplicem vixit vitam, unam quidem ante prævaricationem et alteram post violationem legis. Ejus autem constitutio ex una parte lutum et cinis est, ex altera vero omnipotentem naturam et iis omnibus quæ sunt imperantem imitatur. Quæcunque igitur hominem attollunt et sursum statuunt, vel ei datæ dignitatis magnitudinem exhibent, vel beatam et felicem ante prævaricationem vitam ; quæcunque autem illum depretiant et deprimunt, ex una parte mala post transgressionem gravia ostendunt, ex altera vero illum esse pulverem et in terram dissolvi, manifeste demonstrant. Sed hæc dicimus tanquam prima et dominantia principia describentes. Ex his autem multa et alia nascuntur : conterminum est enim quomodo homo cum factus sit et possit, si velit, deus effici, nec habeat necessitatem, si velit, ad pejora illum impetum attollentem vertere, mille laudes obtinere dignus sit ; stolidus autem et brutus, ne dicam improborum dæmoniorum malitiæ consors effectus, mille subjiciatur exprobrationibus ; et ante hæc omnia vitæ voluptatibus ac deliciis mentem exercens, sexcentis quotidie circumfundatur malis, vix aliquando illud : Vanitas vanitatum et omnia vanitas[89] valens intelligere. Se autem ratione a mundo segregans et ab omnibus quæ in mundo circumstant nugis, maxima fruitur voluptate, et antequam futura bona assequatur, tanquam imagine et præludio illius multæ felicitatis præsenti tempore fruitur. Neque igitur pater filio adversatur, pater, inquam, David sapienti Salomoni, dum alter laudat, alter vero deprimit hominem, neque divina Scriptura sibi ipsi pugnat, sed neque Patrum nostrorum divinus chorus nunc quidem humanam naturam deificantium, nunc autem parvi pendentium, et ad ultimam vilitatem redigentium. Et sepositis quæ dicta sunt, quomodo corporis affectiones et quotidiana nostra damna non nos deprimerent? Conversio autem mentis ad contemplationem et supernæ voluptatis puritatem, quomodo nostram vitam non beatam ac felicem præstarent?

ἡμετέραν φύσιν, τοῦτο δὲ πάλιν κατευτελίζουσαν καὶ κάτω τιθεῖσαν· οὐ μόνον δὲ ἀλλὰ καὶ ὅσοι τῶν ἡμετέρων ἱερῶν Πατέρων ἐκεῖθεν τὴν ἀληθινὴν ἐμυσταγωγήθησαν σοφίαν, καὶ οὗτοι διαφόρους δόξας θέμενοι περὶ τὸ ἀνθρώπινον, οὐκ ἐν τῷ διαφόρῳ τῶν ψηφισμάτων στάσιν ἢ μάχην πρὸς ἑαυτοὺς ἢ πρὸς ἀλλήλους φαίνονται συνεισενεγκόντες, ἀλλ' ὁμόνοιάν τε καὶ συμφωνίαν ὁρῶνται διαπεπραγμένοι. Πῶς δὲ διάφορα ἀποφαινομένων οὐδεμία μάχη ἢ ἐναντίωσις πρὸς τὴν ἀλήθειαν ἐπακολουθεῖ, ἐντεῦθεν ἔστιν ῥᾴδιον λαβεῖν. Διπλῆν τὴν κατασκευὴν ὁ ἄνθρωπος ἔχει, καὶ διπλοῦν ἐπολιτεύσατο βίον· τὸν μὲν πρὸ τῆς παραβάσεως, τὸν δὲ μετὰ τὴν ἀθέτησιν τῆς ἐντολῆς· ἡ δὲ κατασκευή, τὸ μὲν αὐτοῦ πηλός ἐστι καὶ κόνις, τὸ δὲ τὴν παντοκρατορικὴν καὶ δεσποτικὴν τῶν ὄντων ἁπάντων ἐξεικονίζει φύσιν· ὅσα οὖν ἐπαίρει τὸν ἄνθρωπον καὶ ἄνω ἵστησιν, ἢ τοῦ δοθέντος αὐτῷ ἀξιώματος τὸ μέγεθος ὑπεμφαίνει, ἢ τὸν πρὸ τῆς παραβάσεως μακάριον καὶ εὐδαίμονα βίον· ὅσα δὲ εὐτελίζει καὶ κάτω τίθησι, τοῦτο μὲν τὰ μετὰ τὴν παράβασιν τίθησιν ἀλγεινά, τοῦτο δὲ καὶ ὅτι χοῦς ἐστι καὶ εἰς γῆν ἀναλύει, παρίστησιν σαφῶς. Ἀλλὰ ταῦτά φαμεν οἱονεὶ τὰς πρώτας καὶ κυριωτάτας ἀναγράφοντες ἀρχάς. Ἐκ δὲ τούτων πολλὰ καὶ ἄλλα φύεται· μεθόριον γὰρ ὥσπερ ὁ ἄνθρωπος γεγονὼς καὶ δυνάμενος εἴπερ βούλοιτο θεωθῆναι, οὐκ ἔχων δὲ ἀνάγκην ἂν περ βούλοιτο πρὸς τὰ χείρω ῥέψαι ἀναστέλλουσαν τὴν ὁρμήν, θεούμενος μὲν τῶν μυρίων ἐπαίνων ἄξιός ἐστι τυγχάνειν, ἀποθηριούμενος δὲ καὶ κτηνώδης γενόμενος, ἵνα μὴ λέγω τῇ τῶν πονηρῶν δαιμόνων παραμιλλώμενος κακίᾳ, μυρίοις ὑποβάλλεται ψόγοις· καὶ πρό γε τούτου περὶ τὰ ἐν τῷ βίῳ τερπνὰ καὶ ἡδέα τὸν νοῦν ἐνησχολημένος, μυρίοις καθ' ἑκάστην περιαντλεῖται κακοῖς· μόλις ποτὲ τὸ ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης, δυνάμενος συνιδεῖν· ἑαυτὸν δὲ τῷ λόγῳ χωρίζων τοῦ κόσμου, καὶ τῶν ἐν τῷ κόσμῳ περιστάσεων καὶ ἀδολεσχιῶν τῆς ὅτι μάλιστα εὐδαιμονίας ἀπολαύει· καὶ πρὸ τοῦ τυχεῖν τῶν ἐκεῖθεν ὡς ἐν εἰκόνι τῷ παρόντι, καὶ ἐν προοιμίῳ πολλῆς τῆς μακαριότητος ἐντρυφᾷ· ὥστε οὔτε ὁ πατὴρ τῷ παιδὶ μάχεται, ὁ θεοπάτωρ, φημί, Δαβὶδ τῷ σοφῷ Σολομῶντι, ὁ μὲν ἐπαινῶν, ὁ δὲ κατάγων τὸν ἄνθρωπον, οὔτε ἡ θεία Γραφὴ διαμάχεται ἑαυτῇ, ἀλλ' οὐδὲ τῶν Πατέρων ἡμῶν ὁ θεῖος χορὸς, ποτὲ μὲν τὴν ἀνθρώπου ἐκθειάζοντες φύσιν, ποτὲ δὲ κατευτελίζοντες καὶ εἰς ἔσχατον συγκατακλείοντες ταπεινότητος· καὶ χωρὶς δὲ τῶν εἰρημένων τὰ περὶ τὸ σωμάτιον πάθη καὶ αἱ καθημεριναὶ λῶβαι πῶς οὐ κατευτελίζουσι τὰ ἡμέτερα ; ἡ δὲ πρὸς θεωρίαν ἐπιστροφὴ τοῦ νοῦ καὶ τὸ ἐκεῖθεν τῆς ἡδονῆς καθαρὸν, πῶς οὐ μακρίαν ἡμῶν καὶ εὐδαίμονα τὴν πολιτείαν ὑποδεικνύουσι ;

QUÆSTIO X.

Quare dæmoniaco morbo ægrotantes, lunaticos evangelista vocat ?

ΕΡΩΤΗΣΙΣ Ι'.

Τί δή ποτε τοὺς δαιμονίᾳ νόσῳ κακουμένους, σεληνιαζομένους ὁ εὐαγγελιστὴς ὀνομάζει ;

Edita a Maio, l. c. p. 9-10; explanans cur evangelista (Matth. IV, 44; XVII, 14) dæmoniacos vocet lunaticos.

Lunaticos evangelista a dæmone obsessos vocat, non lunam affectionis causam assignans, neque

Σεληνιαζομένους ὁ εὐαγγελιστὴς τοὺς δαιμονίᾳ κατόχους ὀνομάζει νόσῳ, οὐχὶ τὴν σελήνην αἰτίαν

[89] Eccle. I, 2

Digitized by Google

τοῦ πάθους ἀναγράφων, οὐδ' ὅτι αὐτὴ τὸν ἄνθρωπον τοῦ ἁλῶναι τῷ κακῷ τὰς ἀφορμὰς παρέχει, ἀλλ' ἐθίμοις τῷ πλήθει καὶ γνωρίμοις ὀνόμασι τὰς τοῦ Δεσπότου θαυματουργίας σπουδάζων διηγεῖσθαι· οὐ γὰρ ἦν αὐτῷ σκοπῷ ἀττικῶς εἰπεῖν, ἀλλὰ σαφῶς τὴν ἀλήθειαν διδάξαι· τοῦτο δ' ἂν ὑπάρξαι, εἰ τῇ κοινῇ χρήσει τῶν ὀνομάτων καὶ ὡς ἐπιχωριάζει τὸ ἔθος τὰ γεγονότα τις ἀπαγγελεῖ· ἄλλως τε δὲ οὐδ' ἐμπεδὼν ἦν τοῦ ῥήματος ἡ χρῆσις τῷ κηρύγματι τῆς εὐσεβείας· ἐπεὶ γὰρ πολλοὶ τῶν ἡλίῳ καὶ σελήνῃ λελατρευκότων ἔμελλον κατήκοοι τῶν Δεσποτικῶν γίνεσθαι θαυμάτων, ἐκ τῆς παρ' αὐτοῖς ὑπολήψεως καὶ τῆς τῶν ῥημάτων χρήσεως, τῆς ἀρχαίας αὐτοὺς καὶ δυσσεβοῦς ἀπαλλάττει πλάνης, μονονουχὶ τούτους ἀνακαλούμενος καὶ βοῶν· Ἄνθρωποι, πῶς σελήνῃ καὶ ἡλίῳ τι σέβας ἀνάπτετε καὶ θεοὺς καὶ εὐεργέτας νομίζετε, ἐξ ὧν ὑμεῖς ὡς ἂν αὐτοὶ καὶ τῷ ῥήματι φαίητε τηλικαῦτα μὲν μαθήματα φέρετε, τοσαύτη δὲ λύμῃ τῷ ἀνθρωπίνῳ γένει ἐπινέμεται; δέον σελήνης καὶ τῶν ἄλλων ἀπαλλάττεσθαι, οὕτως ἀλεπῶς καὶ ἀθλίως, ὡς ὑπειλήφατε, διατεθέντων ὑμῶν· τῷ δὲ καὶ τούτων καὶ ἄλλων μυρίων παθῶν νέμοντι τὴν ἐλευθερίαν καὶ τὰ αἰώνια ἐπιδαψιλευομένῳ ἀγαθὰ, ἐκείνῳ καὶ τὸ σέβας ἀνάπτειν καὶ τὴν λατρείαν προσάγειν καθαρῶς· οὕτως οὐδὲν προσίσταται τῆς κοινῆς καὶ ἐθίμου λέξεως ἡ χρῆσις τοῖς εὐσεβέσι λογισμοῖς.

A quia maligno hominem occupandi occasiones præbet, sed plebi usitatis et notis vocibus Domini miracula nitens exponere. Non enim attendebat attice loqui, sed clare veritatem docere, quod fieri debebat, si communi nominum usu et ut solitum est, facta enuntiarentur. Aliunde non obstabat verbi usus pietatis annuntiationi : cum enim multi eorum qui soli et lunæ servierant, Domini miracula audire deberent, ex eorum opinione et verborum usu, ab antiquo et impio errore eos liberat, fere eos invocans, et clamans : Homines, quomodo lunæ et soli aliquam adhibetis venerationem et deos et benefactores eos putatis, ex quibus ut ipso verbo dicere videmini, tanta quidem mala accipitis, tantum autem exitium hominum genus depascit ? Oportet vos B a luna et cæteris separari, cum tam male et tam infeliciter, ut ipsi opinamini, dispositi sitis ; illi autem qui ab istis et aliis sexcentis malis liberat et cœlestia bona largitur et venerationem adhibere et puram adorationem offerre : itaque piis principiis nihil contradicit communis et usitatæ vocis adhibitio.

Ἤκουσα δέ τινων λεγόντων ὡς ἄλλοτι τὸ σεληνιάζεσθαι παρὰ τὸ δαιμονᾶν ὁ εὐαγγελιστὴς οἶδεν· οὐ γὰρ ἂν εἰπὼν σεληνιαζομένους, ἐν ταὐτῷ προσέθηκε καὶ δαιμονιζομένους· καὶ εἶναι τὸν σεληνιαζόμενον οὐχ ὑπὸ δαίμονος ἐνεργούμενον, ἀλλ' ὑπό τινος ἑτέρου νοσήματος, ὃ τὰς ἀρχὰς ἀπὸ τῶν ἐν σώματι σεσηπότων χυμῶν λαμβάνει· οὗτοι δὲ μᾶλλον αὔξονται καὶ σφοδρότερον ἐπιτίθενται τῆς σελήνης πλησιφαοῦς οὔσης· καὶ γὰρ πολλὰ τῶν ἄλλων ὑγρῶν καὶ ἐν ὑγρῷ διαιτωμένων, ὥσπερ ὄστρεά τε καὶ τὰ τοιαῦτα, τότε μᾶλλον ὁρᾶται πρὸς αὔξιν ἐπιδιδοῦντα, οὐκ αὐτοδεσπότῳ κράτει τῆς σελήνης τοῦτο πραττούσης, ἄπαγε, ἀλλὰ τῆς ἀπορρήτου δημιουργίας τοῦ πάντα ἐν σοφίᾳ πεποιηκότος τοιαύτας αὐτῇ τὰς ἐνεργείας ἐγκαταθεμένου. Καὶ γὰρ, φησὶν, ὡς τὸ ἐν αὐτῇ θερμὸν φύσεως χλιαρᾶς ὑπάρχον, ἐπειδὰν τῶν ἡμετέρων σωμάτων ταῖς βολαῖς ἐπιψαύσι, ἀνάχυσιν μὲν τῶν ἐν ἡμῖν ὑγρῶν παρασκευάζει, διαφόρησιν δὲ καὶ ἀπόκρισιν τῶν ἀναχυθέντων διὰ τὸ μὴ σφοδρὰν εἶναι τὴν θέρμην, ὥσπερ τὴν ἐκ τοῦ ἡλίου, οὐ ποιεῖ· τούτων δὲ τῶν χυμῶν οὕτως ἀναχυθέντων ἐν τῷ σώματι καὶ συνταραχθέντων, μᾶλλόν τε τὸ νόσημα ἰσχύει, καὶ μᾶλλον ἐπιτιθέμενον τῷ ἐγκεφάλῳ καὶ τῇ κεφαλῇ, διαστρέφει τε τὸ ζῶον, καὶ ἀλλοιοῖ, καὶ τὰς φυσικὰς παραποδίζον ἐνεργείας ῥήγνυσθαί τε καὶ σπαράσσεσθαι παρασκευάζει· καὶ διὰ τοῦτο ὑπὸ τοιούτου κατόχους νοσήματος καὶ τὸ πλῆθος σεληνιαζομένους καλεῖ, καὶ καλεῖν οὐδέν ἐστιν ἐμποδών. Ἔστι δέ τις καὶ παρὰ ταῦτα λόγος ἕτερος· ὡς δαιμονιῶσι μὲν καὶ οὗτοι οὓς οἱ πολλοὶ λέγουσι σεληνιαζομένους· τὰ δαιμόνια δὲ διαβάλλειν τὰ κτίσματα τοῦ Δημιουργοῦ τοῖς ἀνθρώποις ἔχοντα σπουδὴν, ἐπιτηρεῖ τὰς αὐξήσεις τῆς σελήνης· καὶ τότε τὴν ἐπίθεσιν καὶ τὸ πάθος ἐκδηλότεροι ποιεῖ· ἵνα κακῶς

Audivi nonnullos dicentes aliud lunaticum esse et aliud a dæmone obsideri evangelistam significasse : non enim, postquam dixit lunaticos, adjecisset et dæmonium habentes : et esse lunaticum non a dæmone exagitatum, sed alio quodam morbo C qui principium ex corruptis in corpore humoribus capit : illi autem dicunt hos humores magis et acrius augescere, cum luna plena est. Multa enim aliorum humidorum et in humido viventium, ut sunt ostræa et alia hujuscemodi, tunc temporis maxime videntur incrementum accipere, non propria potentia id operante luna, absit, sed arcana operatione ejus qui omnia in sapientia fecit hanc virtutem illi intus deponente. Etenim, inquit, tepidæ naturæ qui in ea est calor, cum nostra corpora ictibus suis attingit, humores qui in nobis sunt confundit, confusorum autem dissipationem et excretionem, eo quod non satis ardet calor, ut calor solis, non facit. His autem humoribus ita in corpore confusis et conturbatis, eo magis valet D morbus ; et magis cerebro et capiti additur, torquetque animal et mutat, et naturales vires cum impediat, eæ franguntur et dissipantur. Et idcirco illos qui tali morbo tenentur vulgus lunaticos nominat, et quin sic eos nominet nihil obstat. Est et ultra hæc alter sermo qui dæmonium habere dicit eos quos vulgus lunaticos vocat ; dæmonia vero calumniandis Creatoris operibus apud homines intenta, diligenter incrementa lunæ observare, et tunc malum augere et evidentius facere, ut pessimas causas esse pulchra Dei opificia opinari persuadeant et inde Creatorem blasphement. Sed hic quidem sermo non rationem affert cur tali dictione divinus Apostolus usus sit ; sed quomodo sine

Digitized by Google

dæmonia speculantia lunæ phases tunc nobis acrius insultent et in nos tyrannidem exerceant. Attamen quia multa dicta sunt, nihilque piis principiis adversetur, quisque eam quam voluerit opinionem sequatur.

A αἴτια τὰ καλὰ τοῦ Θεοῦ δημιουργήματα πείσωσιν ὑπονοεῖν, κἀκεῖθεν βλασφημήσωσιν τὸν Δημιουργόν. Ἀλλ' οὗτος μὲν ὁ λόγος οὐ διά τί κέχρηται τοιαύτῃ λέξει ὁ θεῖος ἀπόστολος γνώμην εἰσάγει· ἀλλά τί δήποτε ἐφεδρεύοντα τὰ δαιμόνια τῆς σελήνης τοὺς καιροὺς, τότε καθ' ἡμῶν σφοδρότερον ἐπιπηδᾷ καὶ τὴν τυραννίδα κρατύνει. Πλὴν πολλῶν εἰρημένων καὶ οὐδενὸς τῷ εὐσεβοῦντι διαμαχομένου λογισμῷ, τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ κρατείτω.

QUÆSTIO XI.

Quare cum Adamus peccasset et mortis pœnam incurrisset, ejus filius qui non peccavit tamen ante ipsum mortem subierit;

ΕΡΩΤΗΣΙΣ ΙΑ'.

Διὰ τί τοῦ Ἀδὰμ ἡμαρτηκότος καὶ τὸ τοῦ θανάτου δεξαμένου ἐπιτίμιον, ὁ τούτου παῖς μηδὲ ἡμαρτηκὼς προτελευτᾷ;

Edita a Maio, loc cit., p. 10-12.

Profundior et excelsior de hac re sermo forsan ingredi libenter in divinorum judiciorum abyssum vult, humanas sententias superans, exceptis iis quæ ad nostram cognitionem devenerunt. Accipit quidem Adamus suam pœnam, oritur autem ejus filius, ut ipse mali auctor suis oculis mortis pondus et afflictionem intuens, ad intelligentiam culpæ magis deveniat; ut metu et angore pressus pœnitentia et dolore sceleris sibi molliorem reddat pœnam. Omnis enim comminatio, omnis intentata pœna tunc timidum reddit, cum alicunde malorum experientia in reorum notitiam venit. Neque enim si non mortuum Adamus filium novisset, neque omnia quæ mors secum affert horrenda conscivisset, non illum magnum et auxilio carentem agonem, non mentis turbationem, non ejus a corpore separationem, non quæcunque alia sequuntur dissolutionem et putrefactionem, pestilentem odorem, et pulverem, et saniem et vermes. Videt igitur Adamus in alio quidquid inest in propria pœna terribile et intolerabile; quod videns, magis quanta fuerit culpa intelligit; et ideo manu ducitur ad pœnitentiam, et filio orbatus jam animæ suæ salutem lucratur. Si quis vero non morte propria tolerabiliorem Adamo filii mortem cogitaret, inveniret multos patres talis cogitationis testes, qui multoties morientes ipsi filii sui sæpissime salutem emunt. Prævenit igitur Adamum juxta hunc sermonem et ante mortem, filii pœna ipsi definita, graviori ictu quam mors est, intoleranda nempe tristitia correptum.

B Ὁ μὲν βαρύτερος καὶ ὑψηλότερος περὶ τούτου λόγος ἐμφιλοχωρεῖν ἴσως εἰς τὴν τῶν θείων κριμάτων ἐθέλει ἄβυσσον, τοὺς ἀνθρωπίνους λεπὼν λογισμοὺς, πλὴν ὅσα καὶ εἰς ἡμετέραν γνῶσιν κατέβη. Λαμβάνει μὲν Ἀδὰμ τὸ ἐπιτίμιον, προτελευτᾷ δὲ ὁ τούτου παῖς, ἵνα τοῖς ὀφθαλμοῖς ὁ ὑπεύθυνος τὸ τοῦ θανάτου βαρὺ καὶ ἐπώδυνον καθορῶν, εἰς συναίσθησιν μὲν μᾶλλον τοῦ ἁμαρτήματος καταστῇ, εἰς φόβον δὲ καὶ ἀγωνίαν ἐμβὰς, μεταμελείᾳ καὶ πένθει τοῦ τολμηθέντος ἑαυτῷ καταπραΰνῃ τὴν ποινήν· καὶ γὰρ πᾶσα μὲν ἀπειλὴ, πᾶσα δὲ ἐπανατεινομένη δίκη τότε καθίσταται φοβερὸν, ἡνίκα ποθὲν ἡ πεῖρα τῶν δεινῶν εἰς γνῶσιν ἔλθοι τῶν ὑπευθύνων· οὐδὲ γὰρ οὐδ' εἰ μὴ τεθνηκότα ὁ Ἀδὰμ ᾔδει τὸν παῖδα, οὐδ' ἂν οὐδ' ὅσα ὁ θάνατος συνεπιφέρεται φρικτὰ συν-

C ᾔδει, οὐ τὸν πολὺν ἐκεῖνον καὶ ἀδοήθητον ἀγῶνα, οὐ τὸν θόρυβον τῆς ψυχῆς, οὐ τὸν μερισμὸν αὐτῆς ἀπὸ τοῦ σώματος, οὐδ' ὅσα ἄλλα ἕπεται, λύσις, καὶ σῆψις, καὶ δυσωδία, καὶ χοῦς, καὶ ἰχῶρες, καὶ σκώληκες. Ὁρᾷ τοίνυν ὁ Ἀδὰμ ἐν ἑτέρῳ τοῦ ἰδίου ἐπιτιμίου τὸ φοβερὸν καὶ ἀνυπόστατον· καὶ ὁρῶν, μᾶλλον τὸ μέγεθος τοῦ πταίσματος συναισθάνεται· καὶ διὰ τοῦτο χειραγωγεῖται πρὸς τὴν μετάνοιαν· καὶ κερδαίνει λοιπὸν παιδὸς στερηθεὶς, τῆς ἑαυτοῦ ψυχῆς τὸ σωτήριον. Εἰ δὲ καὶ θανάτου τις οὐδὲν ἀνεκτότερον τὴν ἀποβολὴν τοῦ παιδὸς ἐπιλογίσοιτο τῷ Ἀδὰμ, εὑρήσει πολλοὺς πατέρας τῆς τοιαύτης διανοίας μάρτυρας, οἳ πολλῶν ἰδίων θανάτων τὴν τοῦ παιδὸς αὐτῶν πολλάκις σωτηρίαν ἀλλάσσονται· φθάνει τοιγαροῦν τὸν Ἀδὰμ κατὰ τὸν λόγον τοῦτον καὶ πρὸ τοῦ θανάτου, τοῦ παιδὸς τὸ ἀφορισθὲν αὐτῷ ἐπιτίμιον, βαρυτέρᾳ θανάτου πληγῇ, τῇ ἀφορήτῳ λύπῃ ἁλισκόμενον.

Tu vero mihi et tertium hoc diligenter considera. Tres viros totus mundus tunc habebat cives; femina autem cum ipsis vivebat unica. Quorum alii quidem genitores, alii vero filii erant generantium. Adamus quidem non subjicitur pœnæ, propter eam quam sermo causam attulit. Et Eva ex una parte propter eamdem causam morti non subjicitur, ex alia autem parte, quia cum una esset femina, ejus absentia totum genus, generatione sublata, cum ea traxisset in exitium. Attamen neque Cain datam ex insidiis mortem subire oportebat; pejor quidem erat ille, melior autem erat Abel; et quomodo poterat fieri ut is qui ab omni dolo et invidia et alia qualilet malitia mundus erat, homicidas in fratrem

D Σὺ δέ μοι καὶ τρίτον ἐπιθεώρει· τρεῖς ἄνδρας ὁ σύμπας κόσμος πολίτας εἶχε τότε· γυνὴ δ' αὐτοῖς συνεπολιτεύετο μία· ὧν οἱ μὲν γεννήτορες, οἱ δὲ παῖδες ἦσαν τῶν γεννησαμένων. Ὁ μὲν Ἀδὰμ οὐχ ὑπάγεται τῇ δίκῃ, δι' ἣν ὁ λόγος ἔδωκεν αἰτίαν· καὶ ἡ Εὔα δὲ τοῦτο μὲν διὰ τὴν αὐτὴν αἰτίαν οὐχ ὑποβάλλεται τῷ θανάτῳ, τοῦτο δὲ ὅτι καὶ μιᾶς οὔσης γυναικὸς, ὁ ταύτης ἀφανισμὸς ὅλον τὸ γένος, τῆς γενέσεως ἀνῃρημένης, συνήλαυνεν εἰς φθοράν. Οὐ μὴν ἀλλὰ οὐδὲ τὸν Κάϊν ὁ ἐξ ἐπιβουλῆς εἶχε λόγον διαδέξασθαι θάνατος· χείρων μὲν γὰρ οὗτος, ἀμείνων δ' ἦν Ἄβελ· καὶ πῶς οἷόν τε ἦν τὸν καὶ δόλου καὶ φθόνου καὶ τῆς ἄλλης κακίας καθαρεύοντα μιαιφόνους ἐπαφεῖναι χεῖρας τῷ ἀδελφῷ; λείπεται δὴ ἐκεῖ-

Digitized by Google

ων εἰ; τὸν ἐξ ἐπιβουλῆς ὁρμῆσαι θάνατον τοῦ ἀδελφοῦ, ὃς καὶ πρὸ τῆς ἀθέσμου ταύτης πράξεως, ἐλύπει μὲν οἷς ἐκαρποφόρει Θεὸν, εἰς φθόνον δὲ τοῦ μηδὲν ἠδικηκότος ἀνηρέθιστο, πονηρᾷ δὲ γνώμῃ καὶ βουλῇ δολίᾳ τὰς ἑαυτοῦ χεῖρας εἰς τὴν ἀδελφοκτονίαν ἐτρέπιζε. Καὶ ὅρα μοι κἀνταῦθα τῆς Προνοίας τὸ σοφόν τε καὶ ἀνεξιχνίαστον· δι' ὧν γὰρ ἐνόμιζεν ὁ πονηρὸς κρατεῖν τὰς χεῖρας κατὰ τῶν ἀμεινόνων ἐπανιστῶν, δι' ἐκείνων αὐτῷ τὰ προοίμια τῆς καταστροφῆς ἀπαντᾷ· συγχωρεῖ μὲν γὰρ ὁ τῆς θείας τε καὶ ὑπὲρ ἔννοιαν οἰκονομίας λόγος, ἔργον ἀδίκων καὶ μιαιφόνων χειρῶν τὸν Ἄβελ γενέσθαι, καὶ προφθάνει τὸν φύντα ἐπὶ τῷ θανάτῳ ὁ παῖς. Ἀλλὰ γίνεται τοῦ ᾅδου τὸ κράτος καὶ ἡ πρώτη καταβολὴ ἀσθενής· εἰ μὲν γὰρ τὸν Ἀδὰμ ἐδέξατο πρῶτον, ἰσχυρὸς ἂν αὐτῷ ὁ θεμέλιος ἐπήγνυτο, τὸν θείᾳ κατα- B δικασθέντα ψήφῳ τοῦτον ὑποδεξαμένου καὶ πρῶτον. Ἐπεὶ δὲ τὸν ἀναίτιον ἐξ ἐπηρείας ὑπεβάλλετο, αὐτόθεν αὐτοῦ ἀνατετραμμένον [Cod. νου] τὸ κράτος εὑρίσκεται ὡς σαθρὸν ἐξ ἀρχῆς ὑποβαλλομένου θεμέλιον· καὶ γίνεται προοίμιον τῆς παντελοῦς καταλύσεως τοῦ ᾅδου ὁ τοῦ δικαίου ἐξ ἐπηρείας θάνατος.

manus injiceret? Restat ut ille mortem ex insidiis A in fratrem aggrediatur, qui et ante illam injustam actionem, ex iis quæ Deo frater offerebat, mœrore afficiebatur, et in invidiam ejus qui non fecerat injuriam excitabatur, pessima autem mente et perfido consilio suas manus in fratris necem convertit. Et vide mihi et in hoc Providentiæ sapientiam investigabilem : iis enim quibus putabat pessimus se victurum manus contra meliores erigentem, iisdem illi prolusio catastrophes occurrit. Permittit enim divinæ et supra cogitationem œconomiæ ratio ut opus injustarum et homicidarum manuum Abel fiat ; et præcedit genitorem ad mortem filius ; sed infirmatur in primo illo ictu inferni potentia. Si enim Adamum primum invasisset, solidum illi fundamentum fixum esset, cum hunc divino decreto damnatum suscepisset et primum ; cum autem insontem eo injuria dejiceret, inde ejus concussa potentia reperitur tanquam ab initio putridum supponentis fundamentum ; et fit proœmium absolutæ inferni dissolutionis justi mors ex injuria.

ΕΡΩΤΗΣΙΣ ΙΒ'.

Περὶ τοῦ ὅτι οὐ μάχεται κἂν τισι δοκῇ τὸ, « Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα, » καὶ τὸ, « Οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. »

QUÆSTIO XII.

Non exsistit contradictio, etsi quibusdam videatur, inter illud : « In judicium ego in mundum veni, » et illud : « Non veni ut judicem mundum, sed ut salvem mundum. »

Edita a Maio, l. c., p. 12-13. De apparente contradictione inter verba Christi Joan. IX, 39 et Joan. XII, 47.

Τὸ, « Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα· » καὶ τὸ, « Οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον, » οὐ μόνον οὐδεμίαν ἐναντιότητα πρὸς ἄλληλα φέρουσιν, ἀλλὰ μᾶλλον καὶ πολλὴν τὴν ἀκολουθίαν καὶ τὴν συμφωνίαν δεικνύουσιν. « Εἰς κρῖμα γάρ, φησὶν, ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα· » οἱ γὰρ ὀφείλοντες βλέπειν ἐκόντες τυφλώττουσιν· καὶ ὅσοι τυφλώττειν ἐνομίζοντο, πρὸς τὸ φῶς τῆς ἀληθείας ἐδείχθησαν βλέποντες· οἱ μὲν γὰρ τὴν σωτηρίαν οὐ προσήκαντο· οἱ δὲ παραγενομένῃ προσέδραμον· ὥστε κἂν ἡ ἐμὴ, φησὶν, ἔλευσις ἐπὶ σωτηρίᾳ τοῦ κόσμου γεγένηται, ἀλλ' οὖν οἱ ἐθελοκάκῳ ροπῇ πρὸς τὴν ἰδίαν ἀπαυθαδιαζόμενοι λυσιτέλειαν, κρῖμα ἑαυτοῖς τὴν ἐμὴν παρουσίαν κατεπράξαντο. Τί οὐ [Cod. οὖν] πῦρ κατάγεις, οὐδὲ τὴν γῆν αὐτοῖς ἀνασείεις; οὐδὲ τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ ἀνοίγεις, καὶ βυθίζεις αὐτῶν τὴν ἀπόνοιαν; ὅτι « Οὐκ ἦλθον, φησὶ, κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι, » ἀλλ' ἀνακαλέσασθαι· διὰ τοῦτο μακροθυμῶ, διὰ τοῦτο ταμιεύομαι τὴν κρίσιν· οὐ γὰρ κρίσεως καιρὸς τῆς πρώτης D μου παρουσίας ὁ καιρὸς, ἀλλὰ φιλανθρωπίας, ἀλλὰ συμπαθείας, ἀλλ' εὐμενείας, ἀλλὰ ἀνακλήσεως. Οὕτως οὐ μόνον οὐδεμίαν μάχην ἀλλήλοις ἐπιφέρουσιν οἱ προκείμενοι θεῖοι χρησμοὶ, ἀλλὰ καὶ πλεῖστον, ὡς ὁρᾷς, τὸ ἐναρμόνιον διασώζουσιν· ἄλλως τε δὲ καὶ κρῖμα καὶ κρίσις συμφέρονται μὲν ἐν πολλοῖς, ἀναδέχονται δὲ καὶ διαφοράν· τὸ μὲν γὰρ κρῖμα μᾶλλον δηλοῖ τὸ κατάκριμα, ἡ δὲ κρίσις εἰς τὴν τοῦ προσήκοντος ἀπονέμει διανέμησιν· εἰς κρῖμα οὖν ἐλήλυθεν ὁ Σωτὴρ εἰς τὸν κόσμον, τουτέστιν εἰς

Illud : « In judicium ego in mundum veni, » et illud : « Non veni ut judicem mundum, sed ut salvem mundum, » non modo nullam contradictionem inter se ferunt, sed contra multam congruentiam et concentum ostendunt. « In judicium enim, inquit, ego in mundum veni ; » qui debent enim aspicere, volentes obcæcantur, et qui obcæcati putabantur, lumen veritatis monstrati sunt intuentes. Alii quidem salutem non acceperunt, alii autem adductæ saluti accurrerunt ; ita ut, etsi meus, inquit, adventus pro mundi salute factus sit, sed ii qui prava voluntatis inclinatione ad propriam arroganter se gesserunt utilitatem, judicium sibi meam præsentiam effecerint. Quid igitur ignem non immittis, neque terram illis concutis, neque cataractas cœli aperis et demergis illorum dementiam ? quia « non veni, inquit, ut judicem mundum, sed ut salvem, » sed sursum eum vocem ; quapropter patientia utor, quapropter differo judicium ; non enim judicii tempus, primi adventus mei tempus, sed misericordiæ, sed compassionis, sed benevolentiæ, sed hortationis. Sicque non modo nullam pugnam inter se ferunt prædicta divina oracula sed maximum, ut vides, concentum servant. Aliunde autem judicium (κρῖμα) et judicatio (κρίσις) concordant quidem in multis, admittunt tamen et differentiam. Judicium enim magis ostendit damnationem, judicatio autem in debiti inclinat distributionem. In judicium ergo venit Salvator in mundum, id est in damnationem factus est iis qui

Digitized by Google

noluerunt ad suam utilitatem aspicere, neque diligentiam adhibuerunt ut suam redemptionem agnoscerent. Illis igitur in judicium factus est communis nostrum omnium Salvator ; non quod ipse pœnam eos incurrisse auctor sit, sed quod ipsi suam salutem in mortiferum sibi transformaverint venenum. Illud enim, *ut videntes*, etc. non est causæ indicatio, sed eorum annuntiatio qui mala voluntate et mente pejora melioribus anteposuerunt; se ipsos enim subjectos judicio declarare neque communem Salvatorem accipientes, malitiæ eorum est revelatio, nihil autem ad dicentem pertinet se venisse non ut judicet mundum, sedut salvet.

Contra vero testatur bonitatis pelagus immensum se multos ab errore retraxisse, et non parentes et se sub judicium ponentes non multare, neque punire, neque damnare, sed erga eos qui non parent benignum esse : « Totam diem enim, inquit, extendi manus meas ad populum non parentem et contradicentem. » Damnatio igitur fit apud nos, versatus Salvator malitia eorum qui ipsum acceperunt, non judicat illos neque punit, extremæ benignitatis gratia, et quia priorem ejus adventum non judicii tempus, sed œconomiæ et compassionis ostendere ei est in animo. Si quis autem velit juveniliter vim intendere et mutare judicium in discretionem et separationem, in sacris quidem Litteris non, ut arbitror, hanc vocem id sonantem, contra usum firmum inveniet ; reperiet fortasse quoad hos sensus cogitationes non satis probantes, ut : «Nolite credere quia veni mittere pacem super terram ; non veni pacem mittere sed gladium ; veni enim dijudicare hominem contra patrem ejus, et nurum contra socrum suam; et, cujus ventilabrum in manu ejus, et purgabit aream suam, et frumentum quidem congregabit in horreum, paleam autem comburet igne inexstinguibili ;» et quædam hujuscemodi alia. Attamen neque ita sacrorum verborum pugna illi qui sic eam instruit, inter illud, inquam, « In judicium ego in hunc mundum veni, » et illud, «Non veni judicare mundum,» ullo modo conflabitur. Salvator enim ut mundum pacificaret et Patri reconciliaret eos qui olim illi infensi erant, venit; et quidem medium parietem munimenti solvens cum iis quæ deorsum sunt illa quæ sursum univit et in pace constituit ; si vero quidam pacem in inimicitiam mutaverunt, et unionem in tumultum fecerunt, non in causa est qui pacem præbuit et unionem, sed illi qui se ipsos ab iis qui Patri conjuncti erant et pacis bonis fruebantur, separaverunt.

A κατάκριμα γέγονεν ἐκείνοις ὅσοι μὴ διαβλέψαι πρὸς τὴν ἑαυτῶν ἠθέλησαν λυσιτέλειαν, μηδὲ σύνεσιν παρέσχον ἐπιγνῶναι τὴν ἑαυτῶν ἀπολύτρωσιν· τούτοις οὖν εἰς κρῖμα γέγονεν ὁ κοινὸς ἡμῶν Σωτήρ· οὐκ αὐτὸς αἴτιος τοῦ δίκην ὀφείλειν αὐτοὺς γεγονὼς, ἀλλ' ἐκείνων τὸ σωτήριον εἰς ὀλέθριον ἑαυτοῖς μετασκευασαμένων φάρμακον. Τὸ γὰρ, ἵνα οἱ βλέποντες καὶ ἐξῆς, οὐκ αἰτίας ἐστὶν ἔνδειξις, ἀπαγγελία δὲ τῶν ἐθελοκάκῳ γνώμῃ τὰ χείρω τῶν κρειττόνων ποιησαμένων ἐπίπροσθεν. Τὸ μὲν οὖν ἐνόχους ἑαυτοὺς κρίματος ἀποφῆναι καὶ μὴ παραδεξαμένους τὸν κοινὸν Σωτῆρα, τῆς ἐκείνων ἐστὶ μοχθηρίας ἀπόδειξις· ἀντιπίπτει δὲ οὐδὲν πρὸς τὸν εἰπόντα ἐλθεῖν οὐκ ἐπὶ τὸ κρῖναι τὸν κόσμον ἀλλ' εἰς τὸ σῶσαι.

B Τοὐναντίον οὖν μαρτυρεῖ φιλανθρωπίας πέλαγος ἄπειρον, ὅτι τε πολλοὺς τῆς πλάνης ἀνείλκυσε, καὶ ἀπειθήσαντας καὶ ὑπὸ κρῖμα θέντας ἑαυτοὺς οὐκ εὐθύνει, οὐδὲ κολάζει, οὐδὲ κατακρίνει, ἀλλὰ πρὸς ἀπειθοῦντας χρηστεύεται· οὐδὲ ὅλην γάρ, φησὶ, τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα. Κατάκριμα οὖν γίνεται παραγενὸς ὁ Σωτὴρ διὰ μοχθηρίας τῶν παραδεξαμένων αὐτόν· οὐ κρίνει δὲ τούτους οὐδὲ τιμωρεῖται διὰ φιλανθρωπίαν ἄκραν, καὶ τὸ τὴν προτέραν αὐτοῦ παρουσίαν μὴ κρίσεως καιρὸν ἀλλ' οἰκονομίας καὶ συμπαθείας ἐπιδεῖξαι βούλεται. Εἰ δέ τις ἐθέλοι νεανικώτερον ἐκβιάτασθαι, καὶ μεταλαβεῖν τὸ κρῖμα εἰς διάκρισιν καὶ διαχωρισμὸν, παρὰ μὲν τοῖς ἱεροῖς γράμμασιν, οὐκ ἂν οἶμαι τὴν λέξιν τοῦτο σημαίνουσαν κατὰ χρῆσιν ἀδιάπτωτον εὕροι· εὑρήσει δ' ἴσως διαC νοίας οὐδ' ἀποφαινούσας πρὸς τὰ τοιαῦτα σημαινόμενα· οἷον μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν· ἦλθον γὰρ δικάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ, οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ τὸν μὲν σῖτον συνάξει εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ· καί τινα τοιαῦτα ἕτερα. Πλὴν οὐδ' οὕτως ἡ τῶν ἱερῶν ῥημάτων μάχη τῷ ταύτην διασκευαζομένῳ λέγω δὴ τό τε, Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα· καὶ τὸ, Οὐκ ἦλθον κρῖναι τὸν κόσμον ἀλλὰ σῶσαι, οὐμενοῦν οὐδαμῶς συγκροτηθήσεται. Ὁ μὲν γὰρ σωτὴρ εἰρηνεῦσαι τὸν κόσμον καὶ καταλλάξαι τῷ Πατρὶ τοὺς D ἐκπεπολεμωμένους πάλαι αὐτῷ παραγέγονε· καὶ δὴ καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ περιελὼν, τοῖς κάτω τὰ ἄνω συνῆψέ τε καὶ εἰρηνοποίησεν· εἰ δέ τινες ἑαυτοῖς τὴν εἰρήνην εἰς ἔχθραν μετέστησαν, καὶ τὴν διαλλαγὴν εἰς διάστασιν ἀπειργάσαντο, οὐχὶ τοῦ τὴν εἰρήνην παρασχόντος οὐδὲ τοῦ καταλλάξαντος ἡ αἰτία, ἀλλὰ τῶν διασπασάντων ἑαυτοὺς καὶ διακοψάντων ἀπὸ τῶν καταλλαγέντων τῷ Πατρὶ, καὶ τῶν τῆς εἰρήνης ἀπολελαυκότων ἀγαθῶν.

Digitized by Google

ΕΡΩΤΗΣΙΣ ΙΓ'.

Εἰ τὸ ἐν κολάσει διηνεκεῖ εἶναι πολλῷ χαλεπώτερον, τοῦ [cod. *τὸ*] *γὰρ ἀληθόσι καὶ ὀδύναις κατατείνεσθαι, τὸ* [cod. *τοῦ*] *μηδὲν τοιοῦτον πάσχειν πολλῷ ἄμεινον, πῶς ὁ Θεὸς τοὺς ἐν ἁμαρτίαις, φασὶ, μέλλοντας τὸν βίον κατατρίβειν παρήγαγε, τὸ χεῖρον ἢ τὸ ἄμεινον προελόμενος ;*

A

QUÆSTIO XIII.

Si in æterna pœna versari multo deterius est quam omnino vita non uti (nihil enim pati multo melius est quam doloribus cruciatibusque divexari), cur Deus homines illos qui in peccatis vitam consumpturi erant, creavit, rem pejorem præ meliore eligens ?

Edita a Maio *Nov. Coll.* t IX, 14, 15.

Forsitan autem illa solutio ad propriam pervenit perspicuitatem; sed adhuc propius eundum est. Itaque dicimus hoc, omnia nempe esse bona ad creationis et naturæ rationem referri; illud vero alia eorum esse munda, et alia immunda non ad creationis neque naturæ, sed ad sacrificii et humanæ opinionis rationem; creatio autem et natura ad opinionem et sacrificium non rata mensura dirimuntur, præsertim sacrificiis et opinionibus non iisdem omnino in eodem judicio stantibus; et quia non ab initio creationis alia quidem pura et alia impura distinguebantur, ex quadam vero circumstantia hanc differentiam acceperunt. Ægyptiis enim apud quos Israelitica gens serviebat multa animalia ut deos venerantibus, cum iis valde sane pulchris male uterentur, ne et Israelitica gens in hunc pessimum usum abduceretur et divinum cultum brutis adhiberet, immunda illa legislator Moyses merito nuncupavit; non enim ex creatione immunditiæ participabant, absit, neque natura immunda erant, sed non munde, profane autem et impie nimis Ægyptiaca natio iis utebatur. Etsi vero quædam eorum quæ apud Ægyptios dii habebantur, ut bovem et hircum, in mundorum numerum Moyses retulit, nihil contra prædictam doctrinam neque contra proprium scopum perfecit; etenim eorum quæ apud eos ut dii colebantur, alia quidem immunda vocans, alia autem immolationi et sanguini et morti vovens, ab eorum cultu Israelitas, et a damno illis inde nascente pariter avertit; quod enim abominandum est et immolandum et epulo præparatum, non credi potest esse deus ab iis qui ita animo afficiuntur.

Igitur creatio Dei opera omnia valde pulchra produxit; et natura omnium est optima; hominum vero insani et exleges usus multa ex creatis profanando alia quidem existimari et appellari immunda fecerunt, alia vero, etsi hanc ab immunditia denominationem effugerunt, tamen iidem usus Dei amico causam præbuerunt altera methodo intelligendi, et ea a profanatione eximendi; et utroque modo ex Israelitarum mente polytheismum

A τοῦτο καὶ σοφὸν φιλοτέχνημα τῶν λίαν ἐστὶ καλῶν· τοῖς δὲ ζῶον ἔμψυχον αὐτὸ καὶ λογικὸν καὶ θεὸν ἀναπλάσασι, καὶ ἀντὶ τοῦ Δημιουργοῦ τῷ δημιουργήματι τὸ σέβας ἀνάψασι, καὶ οἷς ἐξὸν μὲν χρῆσθαι ὡς κτίσματι τὸν ὁμόδουλον, τούτοις δὴ τούτοις τὸ κάλλιστον τῇ φύσει, ὀλέθριόν τε καὶ κάκιστον ἀναδείκνυται, οὐδὲν μὲν αὐτὸ τῆς οἰκείας καὶ ἐμφύτου καλλονῆς ἀποβαλὸν, παρὰ δὲ τὴν ἀγνώμονα τῶν ὁμοδούλων τόλμαν καὶ παράχρησιν ἔσχατον αὐτοῖς κακὸν γεγονός· οὕτως ἕτερόν ἐστι φύσεως καλλονὴ καὶ χρῆσις ἀπρόσφορος· πάντα μὲν οὖν λίαν καλὰ τῷ λόγῳ τῆς φύσεως· ἡ δὲ τούτων χρῆσις οὔτε πᾶσι καλὴ, οὔτε πάντων ὁμοία, οὐ μόνον πρὸς τὴν ἀνθρωπίνην παραβαλλομένη φύσιν, ἀλλ' οὐδὲ τῶν ἄλλων πρὸς ἄλληλα.

B Τάχα δὲ οὐδ' ἡ λύσις αὕτη πρὸς τὴν ἰδιάζουσαν κατῆλθε σαφήνειαν, ἀλλ' ἔτι δεῖ κατιέναι πλησιαίτερον· διό φαμεν τὸ μὲν καλὰ λίαν εἶναι πάντα, εἰς τὸν τῆς δημιουργίας καὶ φύσεως λόγον ἀναφέρεσθαι· τὸ δὲ τὰ μὲν αὐτῶν εἶναι καθαρὰ, τὰ δὲ ἀκάθαρτα, οὐδὲ εἰς τὸν τῆς δημιουργίας, οὔτε μὴν εἰς τὸν τῆς φύσεως, ἀλλ' εἰς τὸν τῆς θυσίας καὶ τῆς ἀνθρωπίνης ὑπολήψεως· δημιουργία δὲ καὶ φύσις πρὸς ὑπόληψιν καὶ θυσίαν, οὐδὲ ῥητῷ μέτρῳ διατειχείζεται, μάλιστά γε τῶν θυσιῶν καὶ τῶν ὑπολήψεων οὐχὶ τῶν αὐτῶν διὰ παντὸς ἐπὶ τῆς αὐτῆς ἱσταμένων κρίσεως· καὶ ὅτι οὐδ' ἀπ' ἀρχῆς τῆς δημιουργίας τὰ μὲν καθαρὰ, τὰ δὲ ἀκάθαρτα διεστέλλετο· ἀπό τινος δὲ περιστάσεως τὴν διαφορὰν ταύτην ἐδέξατο. Αἰγυπτίων γὰρ ἐν οἷς τὸ Ἰσραηλιτικὸν ἔθνος ἐθήτευε πολλὰ τῶν ζώων εἰς θεῶν ἀναφερόντων σέβας, ἐπειδήπερ αὐτοῖς λίαν οὖσι καλοῖς κακῶς ἐκέχρηντο, ἵνα μὴ καὶ τὸ Ἰσραηλιτικὸν γένος εἰς ἐκείνην τὴν φαύλην ἀπενεχθῇ χρῆσιν, καὶ τὸ θεῖον σέβας τοῖς ἀλόγοις περιάψῃ, ἀκάθαρτα ταῦτα νομοθετῶν ὁ Μωσῆς δικαίως ὠνόμασε· μέτοχον γὰρ ἀκαθαρσίας οὐκ ἀπὸ τῆς δημιουργίας, ἄπαγε, οὐδ' ἡ φύσις εἶχε τὸ ἀκάθαρτον, ἀλλ' ὅτι οὐ καθαρῶς, μᾶλλον δὲ βεβήλως λίαν καὶ ἀνιέρως, τὸ Αἰγυπτίων ἔθνος τούτοις ἐπεχρήσατο. Εἰ δὲ καί τινα τῶν θεοποιουμένων παρὰ τοῖς Αἰγυπτίοις ὁ Μωσῆς ὥσπερ τὸν βοῦν καὶ τὸν τράγον εἰς τὴν τῶν καθαρῶν τάξιν ἀπέκρινεν, οὐδὲν οὐδὲ παρὰ τὴν προκειμένην θεωρίαν, οὐδὲ παρὰ τὸν οἰκεῖον σκοπὸν διεπράξατο· καὶ γὰρ τῶν θειαζομένων παρ' αὐτοῖς τὰ μὲν βδελυκτὰ καλέσας, τὰ δὲ σφαγῇ καὶ αἵματι καὶ ἀναιρέσει

D δοὺς, τῆς τούτων λατρείας τοὺς Ἰσραηλίτας καὶ τῆς αὐτόθεν αὐτοῖς ἀναφυομένης βλάβης ὁμοίως ἀπεκώλυσεν· οὔτε γὰρ τὸ βδελυκτὸν οὔτε τὸ σφαγιαζόμενον καὶ θοίνῃ προκείμενον οὐκ ἂν νομισθείη τοῖς οὕτω περὶ αὐτὰ διακειμένοις θεός.

Ἡ μὲν οὖν δημιουργία τοῦ Θεοῦ τὰ δημιουργήματα πάντα λίαν καλὰ προηγάγετο· καὶ ἡ φύσις πάντων ἔχει τὸ ἄριστον· ἀνθρώπων δὲ παράλογοι καὶ ἔκθεσμοι χρήσεις πολλὰ τῶν δημιουργηθέντων βεβηλώσασαι, τὰ μὲν ἀκάθαρτα καὶ νομίζεσθαι καὶ καλεῖσθαι παρεσκεύασαν· τὰ δὲ κἂν τὴν ἀπὸ τῆς ἀκαθαρσίας κλῆσιν διέφυγεν, ἀλλ' οὖν παρέσχον τῷ θεόπτῃ αἰτίαν συνιδεῖν ἑτέρᾳ μεθόδῳ, καὶ ταῦτα τῆς βεβηλώσεως ἐκτεμεῖν· καὶ δι' ἑκατέρου τρόπου τῶν

Digitized by Google

Ἰσραηλιτῶν τῆς διανοίας τό τε πολύθεον ἐξελεῖν, καὶ τὸ ἀκατάγνωστον πραγματεύσασθαι· καὶ γὰρ καὶ κλῆσις ἀκάθαρτος καὶ χρῆσις τὸ θυόμενον εἰς γαστέρα παραπέμπουσα, οὐδὲν θεῖον οὐδὲ σεπτὸν ἐννοεῖν περὶ αὐτῶν, ἀλλ' οὐδὲ ψιλήν τινα φαντασίαν παραχωρεῖ ἀναδέχεσθαι. Εἰ δέ τις ἐρεῖ, Πῶς οὖν τῷ Νῶε τῆς Μωσαϊκῆς νομοθεσίας οὔπω δοθείσης καθαρὰ καὶ ἀκάθαρτα διακρίνειν καὶ συνεισάγειν τῇ κιβωτῷ προστετάχθαι εἴρηται; πρόληψις μὲν γάρ ἐστι τὸ σχῆμα· καὶ εἰ μὴ ἐξ ὧν τότε ἐγνωρίζοντο τὰ ζῶα, ἀλλ' ἐξ ὧν ἔσχατον ἐπεγνώσθησαν ὠνομάσθησαν, οὐδὲ παρὰ τὸ τοῦ εἰρημένου λόγου ἴδίωμα· καὶ γὰρ καὶ τὴν Γένεσιν οὐχὶ Νῶε γράφει, ὃς τῆς νομοθεσίας ὑπῆρχε πρεσβύτερος, ἀλλὰ Μωσῆς ὁ περὶ καθαρῶν καὶ ἀκαθάρτων νόμον ἐκθέμενος· εἰ δὲ καὶ ὁ νόμος ὕστερον ἔθετο, ταῦτα τῷ Νῶε προανεκηρύττετο, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ τοῦ κοινοῦ ναυαγίου μήπω στάντος, τὴν γνῶσιν λαβὼν εἶχεν ἀδίστακτον· πῶς οὖν συνῆκε καθαρῶν καὶ ἀκαθάρτων διαφορὰν ἐνωτιζόμενος; διάκρισιν τούτων καταπράξασθαι, τοῖς ἐγγὺς εἰρημένοις καὶ τοῦτο συμπεριείληπται· ὁ γὰρ τὸ παγκόσμιον ναυάγιον πρὶν ἐπιστῆναι διαγνοὺς, καὶ σπέρμα τῷ ἀνθρωπίνῳ γένει διασώσασθαι παρὰ Θεοῦ χάριν εἰληφὼς, οὗτος οὐδὲ τὴν τῶν καθαρῶν καὶ ἀκαθάρτων διάγνωσιν ἄνωθεν λαβεῖν, καὶ τῶν ὀνομάτων ἡ χρῆσις οὐκ ἐπεχωρίαζεν, οὔμενουν οὐδαμῶς ὑστερίζων ἦν.

A auferre et damnationem ab eis avertere valuit. Etenim vox impura nuncupat, et usus immolata in ventrem immittit, neque divinum aut venerandum aliquid de iis cogitari licet, sed neque vel levem quamdam ideam accipi de eorum deitate. Si quis autem interrogaverit quomodo Noemus, nondum data Mosaica lege, dictus sit jucunda et immunda discernendi et in arcam introducendi mandatum accepisse? hæc figura est quam prolepsim vocant. Etsi enim non ex his quibus tunc noscebantur animalia, sed ex his quibus ultimo cognita sunt, nominati sint, nihil dicti verbi proprietati adversatur. Etenim non scripsit Noe Genesim, qui lege antiquior fuit, sed Moyses ipse qui de mundis et immundis legem statuit. Si autem ea quæ posterius B sancivit, Noemo prænuntiata fuerint, nihil mirum; quoniam communi naufragio nondum adventante, non dubiam accepit de illo notitiam. Quomodo autem intellexerit mundorum et immundorum differentiam, cum jussus est ea distinguere, iis quæ modo dicta sunt percipi potest; qui enim universale naufragium antequam adveniret, præscivit, et seminis humano generi conservandi gratiam a Deo accepit, ille mundorum et immundorum intelligentiam de sursum accipere, etsi nominum usus non adhuc frequens fuerit, nullo modo sane imperaverat.

ΕΡΩΤΗΣΙΣ Κ'.

Διὰ τί τῆς αἱρέσεως ἀφιστάμενος ὁ ἄνθρωπος τὸν βίον οὐκ ἔχων ἐπίμωμον πρὸς ἱερωσύνην ἀνέρχεται· ὁ δὲ κηλίδων σωματικῶν γεγονὼς ὑπεύθυνος, κἂν τῶν ἀθεμίτων ἀποστῇ πράξεων, πρὸς τὸ τῆς ἱερωσύνης τέλος οὐκ ἀνάγεται;

QUÆSTIO XX [*al.* XIX].

Quare ex hæresi egressus homo, si vitam agat irreprehensibilem, ad sacerdotium pervenit; qui autem maculis corporeis inficitur, etiamsi ab injustis abstineat, ad sacerdotii dignitatem non invehitur? C

Edita a Maio, l. c., p. 20-21. Cur defectus corporis irregularitatem quoad ordines constituat, non vero conversio ex hæresi.

Τὸ δ' εἰς ἀπορίαν προαγόμενον πρόβλημα, τί δήποτε τῶν πλημμελημάτων τὸ χαλεπώτατον λιπὼν τὴν αἵρεσιν ἄνθρωπος εἰς ἱερωσύνην, μὴ τῶν ἄλλων ἔργων μαχομένων, παραγγέλλειν δύναται· ὁ δ' ὀρθόδοξον φέρων τὸ φρόνημα, ἐμφύλῳ τὴν χεῖρα μιάνας αἵματι, ἢ τάφους ἀνορύξας, ἢ κατενεχθεὶς μέχρι σώματος εἰς κατενοχλοῦσαν ἡδονὴν, ἢ ἄλλης τινὸς οὐκ εὐαγοῦς πράξεως ἔνοχος γεγονὼς, οὐκέτι οὐδὲ πρὸς μετάνοιαν ἐπιστρεφόμενος, οὐδὲ διδοὺς πληροφορίαν μὴ διστάζουσαν τοῖς ἀδεκάστως κρίνουσι, τῶν μολυσμάτων κεκάθαρται· ἀλλὰ γὰρ οὐδεὶς τῶν τοιούτων, μηδὲ τῶν ἄλλων ἀρετῶν ἐπιμαρτυρούντων, οὔμενουν οὐ νομίζεται τῆς ἱερωσύνης ἐπάξιος.

In dubitationem nunc adducitur istud problema: quare is qui peccatorum gravissimum hæresim nempe reliquit, sacerdotium, nisi alia ejus opera prohibeant, ambire possit; ille vero qui orthodoxos habet sensus, manum vero fratris sanguine polluerit, vel sepulcra violaverit, vel corpus funesta voluptate fedaverit, vel aliam quamdam non mundam actionem admiserit, neque si ad pœnitentiam convertatur neque si incorrupte judicantium opinione, plene satisfecerit, impollutus evadat. Nemo enim, talibus aut aliis virtutibus protectus, sacerdotio dignus judicatur.

Τὸ μὲν οὖν ζήτημα παλαιόν τε καὶ τὴν τοιαύτην προαγωγὴν οἰκειούμενον· εἰ δέ τινες ὀρθῶς ἐπελύσαντο, ἡδέως ἂν αὐτῶν μαθητὴς γενοίμην· διδάξαιμι δ' ἂν ἴσως εἰ καὶ μὴ ἄλλους, σὲ δὲ πάντως· ὡς ὅσοι μὲν δυσσεβεῖν εἶχοντο γνώμης προῆλθον οὐχ αἱρουμένης τὸ φαῦλον, ἀλλ' ἐπιζητούσης τὸ ἄμεινον, ἀποσφαλέντες δὲ τοῦ ἱεροῦ τῶν κρειττόνων ἔρωτος, πρὸς τὸ χεῖρον δ μὴ προέθεντο ἀπηνέχθησαν· ἡ μὲν ἀπ' ἀρχῆς ὁρμὴ τούτοις ἦνθει τὸ ἀγαθόν· ἡ δὲ ἀποτυχία δύναιτ' ἂν καταφεύγειν εἰς τὸ τῆς φύσεως ἀπομαραινόμενον καὶ ἀσθενές· καὶ οὗτοι μὲν τῶν χειρόνων

Quæ quidem quæstio antiqua est, et hoc modo D solet enuntiari; si qui vero recte eam solverunt, libenter me eorum discipulum constituerem. Docebo autem forte, si minus alios, te saltem omnino; qui quidem impii habebantur a voluntate progressi sunt malum non eligente, sed bonum investigante, sacro autem optimorum amore privati, ad malum quod non præposuerunt, delati sunt; a principio enim amoris terminus iis florebat bonum; eorum porro infelix exitus posset ad corruptionem et infirmitatem naturæ confugere; et ii a pejoribus

Digitized by Google

conversi, vident misericordiam benevole eos respicientem. Qui vero ab initio se male agere sciunt, et ad malum suum animum firmant, conversis ad pœnitentiam multam contra ipsos præstantiam præbent. Alii enim bonis desideriis adhæserunt, et nolentes in contrariam abierunt partem; alii autem ab initio mala elegerunt, et eorum sententia mors iis accidit; aliis quidem optimum videbatur quod laudabant, ita ut opinione sua superbirent, et mortem forte potius subirent quam sua dogmata denegarent; alii vero malum adeo noscebant, ut nemine etiam sciente, in se actione sua erubescerent, et difficile sibi persuaderent se omnes fugere. Cum igitur ab initio bonus esset scopus, (ad optimum enim tendebant) et mutatio per scientiam solido munimento imponetur, vera dijudicatione eam stabiliente, immotam, ut plurimum, suæ ad pietatem conversionis vim servant. Aliis vero malum erat ab ipso exordio desiderium. Non enim eos fugiebat se ad inordinata accedere, et etiam peracta conversio non immutabilitate solidatur. Nihil enim illi iis quæ antea sciebant adjecerunt, quibus firmius stabilirentur, sed propria libertate ad utrumque prorumpente voluntate, nec certe scire quam ad partem inclinatura sit sinente, non facile eis omnimoda adhibetur fides si dicant se non ad priorem vilitatem redituros esse. Adde, si velis, et hanc rationem : apud alios et prior et posterior opinio eodem modo, ne dicam posteriorem fortius agere, libere ostenduntur; sed igitur secunda non cedit priori, ut multitudini nota fiat, de aliis vero suum peccatum triumphum agit. Amant enim homines et aliena experiri; quæ vero in silentio et solitudine agitur pœnitentia non modo sua obscuritate populum fugit, sed invidiam habet amare inquirentem, non autem evidenter et manifeste purificationem invenientem : oportet autem neque parvulorum quemquam scandalizare.

Non tamen omnibus exhibet conversionem quemadmodum peccatorum olim cognitionem exhibuit.

μεταναστάντες, εὐμενῶς αὐτοῖς ὁρῶτιν τὴν συγγνώμην ἐπιβλέπουσαν· οἱ δὲ φαῦλον μὲν εἰδότες ἀπ' ἀρχῆς τὸ πραττόμενον, πρὸς ἐκεῖνο δὲ τὸν νοῦν ἀπερείδοντες, πολλὴν κατ' αὐτῶν παρέχονται τοῖς πρὸς εὐσέβειαν μεταβαλλομένοις τὴν ὑπεροχήν· οἱ μὲν γὰρ ὁρμῆς ἀντείχοντο τῆς ἀγαθῆς, εἰς τοὐναντίον δὲ μὴ τοῦτο προθέμενοι παρεσύρησαν· τοῖς δὲ τῶν τε φαύλων ἦν ἡ κατ' ἀρχὰς αἵρεσις, καὶ κατὰ σκοπὸν συνέβαινεν ἡ ἀπώλεια· καὶ τοῖς μὲν οὕτως ἐδόκει τὸ δοξαζόμενον βέλτιστον, ὡς ἐπιγαυριᾷν τε τῇ δόξῃ καὶ θάνατον ἕστιν ὅτε προαιρεῖσθαι τῶν δεδοξασμένων τῆς ἐξομόσεως· τοῖς δὲ τὸ κακὸν ἐπὶ τοσοῦτον ἐγνωρίζετο, ὡς καὶ μηδενὸς ἔξωθεν συνειδότος, καθ' ἑαυτοὺς ἐπερυθριᾷν τῇ πράξει, καὶ εὐχῆς ἔργον εἶναι νομίζειν λαθεῖν ἅπαντας. Ἐξ ὧν οὖν ἀπ' ἀρχῆς ἀγαθὸς ἦν ὁ σκοπὸς, πρὸς γὰρ τὸ ἄριστον ἔβλεπον, καὶ ἡ μεταβολὴ προῖοῦσα δι' ἐπιγνώσεως ἐπὶ στερρᾶς κρηπῖδος ἐβάλλετο, τῆς ἀληθοῦς αὐτὴν πηγνυμένης διακρίσεως, ἀσάλευτον οὕτοι κατὰ τὸ πλεῖστον τηροῦσι τῆς ἐπὶ τὴν εὐσέβειαν μεταβολῆς τὸ κραταίωμα· τοῖς δὲ φαύλη τε ἦν ἐξ αὐτῆς κινήσεως ἡ ὁρμή· οὐ γὰρ ἠγνόουν ἄτοπον ἁπτόμενοι, καὶ τῆς μεταθέσεως γεγενημένης μὲν, οὐκ ἐχούσης δὲ τῷ ἀμεταθέτῳ στηρίζεσθαι· οὐδὲν γὰρ οὗτοι τῶν προεγνωσμένων πλέον προσειλήφεσαν, ἐνοῖς ἂν ἑδραιοθείεν σταθερώτερον, ἀλλ' ἐπισκιρτώσης τῷ αὐτοδεσπότῳ τῆς γνώμης ἑφ' ἑκάτερα ἄδηλόν τε τὴν κρίσιν παρεχομένης ἐφ' ὃ ῥέψειεν, εἰκότως οὐκ ἔστιν αὐτοῖς πίστιν ῥᾷον παρασχεῖν, ὡς οὐ μηκέτι εἴησαν εἰς τὴν προτέραν ἐπανιόντες φαυλότητα. Πρόσθες εἰ βούλει καὶ διότι τοῖς μὲν καὶ ἡ προτέρα δόξα καὶ ἡ μεταγενεστέρα κατὰ τὸν ἴσον τρόπον, ἵνα μὴ λέγω καὶ πολλάκις προέχουσα, παῤῥησιάζεται· ἀλλ' οὖν οὐκ ἔστιν ἡ δευτέρα τῆς προτέρας πρὸς τὴν τῶν πολλῶν ἐπίγνωσιν δευτερεύουσα· τοῖς δὲ τὸ μὲν ἁμάρτημα θριαμβεύεται· φίλον γὰρ ἀνθρώποις διακωδωνίζειν τὰ ἀλλότρια· ἡ δὲ μεταμέλεια ἐν ἡσυχίᾳ τε καὶ καταμόνας πραττομένη οὐχ ὅτι μόνον τῷ λανθάνοντι ἐκφεύγει τοὺς πολλοὺς, ἀλλ' ὅτι καὶ τὸν φθόνον ἔχει πικρὸν ἐξεταστὴν, οὐχ ὅτι περιφανῆ καὶ κατάδηλον τῆς καθάρσεως· δεῖ δὲ μηδὲ τῶν μικρῶν μηδένα σκανδαλίζειν· οὐμενοῦν οὐ παρέχεται παραπλησίαν πᾶσιν ὥσπερ δὴ τοῦ ἐλαττώματος τὴν ἐπίγνωσιν.

QUÆSTIO XXI [*al.* XX].

Quænam in nostris sacris Litteris subjecta notio sit vocabulo respondit *; tum ipsi videlicet, tum aliis ad hujus similitudinem conformatis dictionibus.*

ΕΡΩΤΗΣΙΣ ΚΑ'.

Ἐπί τίνος παραλαμβάνεται παρὰ τοῖς ἱεροῖς ἡμῶν λογίοις ἡ τοῦ ἀπεκρίθη φωνή· αὐτή τε καὶ τὰ παρὰ ταύτην ἐκ τῆς αὐτῆς σχηματιζόμενα λέξεως;

Edita a Maio, *Nov. Collect.*, t. I, p. 59.

1. Cum multa sint multiplicis significationis vocabula, ita ut non pauci auctores integri operis argumentum de his elaborandum susceperint; nil mirum erit, nedum aliqua controversia dignum, si quæ ejusmodi voces in nostris quoque sacris Litteris contineantur. Nam et apud eos, qui Attica lingua studiose utuntur, non solum occurrunt dictiones aliquot sive in epidictico sive in historico dicendi genere quæ multifariam significantiam habent, verum etiam quæ in contrarios sensus unum idemque vocabulum dispertiuntur. Exempli gratia

α'. Πολλῶν ὄντων φωνῶν πολυσήμων, ὥστε καὶ πραγματείαν ὁλόκληρον οὐκ ὀλίγοις ἐπελθεῖν περὶ αὐτῶν ἐξεργάσαθαι, οὐδὲν ἀπεικὸς ἂν εἴη οὐδέ τινα παρέχον ἀπορίαν τοιαύτας φωνὰς ὁρᾶθαι κἀν τοῖς ἱεροῖς ἡμῶν ἐνούσας λογίοις· καὶ γὰρ παρ' οἷς ἡ ἀττικὴ σπουδάζεται γλῶσσα, οὐ μόνον ἔστιν εὑρεῖν φωνὰς κατὰ τοὺς ἐπιδεικτικούς τε καὶ ἱστορικοὺς τῶν λόγων τὸ πολύσημον ἐμποιουμένας, ἀλλὰ καὶ πρὸς ἀντικειμένας διανοίας τὴν αὐτὴν φωνὴν ἀποσχιζομένων. Αὐτίκα Πλάτων μὲν ἄλογον τὴν παρθένον λέγει, καὶ δοκεῖ τι σοφὸν λέγειν, οὕπω γὰρ ἐπέδη λέχους·

Digitized by Google

ἀλλ' ὁ αὐτός τε πάλιν καὶ πολλοὶ ἄλλοι τὴν ἐν λόγοις δευτέραν οὐκ ἔχοντες τάξιν, τὴν συνιοῦσαν ἀνδρὶ πρὸς λέχος σημαίνουσι τῷ ὀνόματι. Πάλιν σοφιστὴν ἔστιν ἀκούειν τὸν τὰς λογικὰς τέχνας διδάσκοντα· δεύτερον δὲ ᾧ τὸ λεκτικὸν εἶδος ἐπήσκηται· καὶ τρίτον ὅς τις τὴν ἐν τοῖς λόγοις γυμνασίαν τῶν πλησιαζόντων πρὸς τὴν ἐπηρεάζουσαν ἔριν διέφθειρεν. Ἀλλὰ γὰρ καὶ τὸ σταθερὸν οὐ τὸ στάσιμον μόνον, ἀλλὰ καὶ τὸ ἰσχυρὸν, καὶ θερμὸν, καὶ ὀξὺ σημαῖνον εὑρίσκεται. Καὶ δὴ καὶ τὸ φαῦλον, οὐ τὸ κακὸν μόνον, οὐδὲ τὸ μοχθηρὸν, οὐδὲ τὸ ἀπρεπές· ἀλλὰ καὶ τὸ μέγα, καὶ τὸ μικρόν· ὡσαύτως δὲ καὶ τὸ ῥᾴδιον, καὶ τὸ ἁπλοῦν καὶ ἀπόνηρον, καὶ τὸ τυχὸν, καὶ τὸ ἁπλῶς περιείληφε. Ναὶ δὴ καὶ τὸ πυνθάνεσθαι δοκοῦν πρὸς ἓν ἀναφέρειν, διαφόρων ἐστὶν ἀποφυάδων ῥίζα· προβάλλεται γὰρ τότε μανθάνειν, καὶ τὸ ἱστορεῖν, καὶ ἐρωτᾷν, καὶ τοιαῦθ' ἕτερα. Ὁ δὲ πελανὸς ἡ λέξις πέμμα τε ἐξ ἀλεύρου θυσίαις ἐπιτήδειον δηλοῖ· δηλοῖ δὲ καὶ τὸν περὶ τῷ στόματι πεπηγότα ἀφρόν· ἀλλὰ καὶ τὸ ὀπῶδες δάκρυον πεπηγός τε καὶ ἐξηραμένον, οἷον κόμμι, καὶ τὰ ὅμοια· καὶ τέταρτον τὸν ὀβολὸν ὅσον τοῖς μάντεσιν εἴωθε δίδοσθαι μισθός. Καὶ τὸ ὁμόσε δὲ τὸ ἐπίῤῥημα δηλοῖ μὲν τὸ ἐξεναντίας· ἡ δὲ τῶν ἀρχαίων χρῆσις ἐπιδείκνυσιν αὐτὸ καὶ ἀντὶ τοῦ σχεδὸν, καὶ ἀντὶ τοῦ ἐγγὺς παραλαμβανόμενον. Οὐ μὴν ἀλλὰ καὶ τὸ νῦν δὴ, οὐ τὸ παρὸν ἤδη μόνον, ἀλλὰ καὶ τὸ μικρὸν ἔμπροσθεν γεγονὸς ὑποβάλλεται. Ἥδη δὲ καὶ τὸ κομψὸν (53) εἰς πολλὰ μερίζεται σημαινόμενα· τό τε γὰρ περίτρανον καὶ τὸ τεχνικόν. Τὸ δὲ πολυθρύλλητον ἦ δ' ὅς, καὶ ἦν δ' ἐγὼ, ἡ τοῦ Πλάτωνος φιλοτιμία· ἀλλὰ γὰρ τὸ ἦ δ' ὅς, σημαίνει μὲν ὡς ἐπίπαν τὸ ἔφη δὲ οὗτος· ἀλλὰ καὶ τὸ ἔφη μόνον, τοῦ συνδέσμου καὶ τοῦ ἄρθρου παρέλκοντος ἐνταῦθα χώραν ἐχόντων· ἢ μηδὲ συνδεσμὸν, μηδὲ ἄρθρον ὑπεμφαινόντων, ἀλλὰ τῆς ὅλης φωνῆς μερῶν ὑπαρχόντων, ἡνίκα μηδὲ γένος μηδ' ἀριθμὸν δύναιτ' ἂν παρεμφαίνειν ἡ λέξις· ἐξ οὗ καὶ καθορᾶται τὸ ἦ δ' ὅς οὐ μόνον ἐπὶ τοῦ θήλεος μεθελκόμενον, οἷον ἔφη αὕτη, ἀλλὰ καὶ πρὸς πλῆθος ἀπὸ τῆς ἑνικῆς φωνῆς περιτρεπόμενον· σημαίνει γὰρ καὶ τὸ ἔφασαν· εἰ δὲ καὶ τὸ ὦ φίλος δηλοῖ, οὕτω παρέχειν ἐστὶν ἀξιοπιστίαν Κριτόβουλος (53*)· ἀλλὰ τοσαῦτα μὲν τέως παραδηλοῖ τὸ ἦ δ' ὅς. Τὸ δὲ ἦν δ' ἐγὼ, καίτοι γε τὸν ὅμοιον σχηματισμὸν ἔχον, εἰς τρία τέμνεται ταῦτα, εἴς τε τὸ ἔφην δ' ἐγὼ, καὶ εἰς τὸ ἁπλῶς ἔφην, ὅπερ ὁμοίως ἐπί τε ἀῤῥένων παραλαμβάνουσι καὶ θηλειῶν. Καὶ τὸ θράττειν δὲ, σημαίνει μὲν τὸ ταράσσειν καὶ τὸ ἐνοχλεῖν· σημαίνει δὲ καὶ τὸ νύσσειν καὶ κινεῖν· ἀλλὰ καὶ τὸ δυσωπεῖσθαι, καὶ τὸ ὑφορᾶσθαι. Καί γε καὶ τὸ τευτάζειν εὑρήσεις κατὰ διαφόρων ὑποκειμένων φερόμενον· καὶ γὰρ ἀντὶ τοῦ πραγματεύεσθαι παραλαμβάνεται, καὶ ἀντὶ τοῦ σκευωρεῖσθαι, στρατεύεσθαί τε καὶ διατρίβειν, καὶ φροντίζειν ἐνίοτε· ἐπιστρεφῶς δὲ πράττειν τι καὶ ἐνεργεῖν· καὶ μὴν καὶ σπουδάζειν, καὶ δεῖπνον παραθεῖναι·

A Plato ἄλοχον appellat virginem, videturque sapienter loqui, quia vocis etymologia feminam innuit tori adhuc expertem. Sed tamen idem Plato, aliique plures non inferioris subsellii auctores, eam quæ viro societate thalami conjuncta est hoc vocabulo indigitant. Item σοφιστὴν dicimus tum eum qui logicas disciplinas tradit, tum etiam qui dicendi artem profitetur, tertio denique illum qui scholasticum auditorum suorum exercitium ad fallacem contentionem vitiose traducere solet. Præterea σταθερὸν, non solum stabile, verum etiam validum et fervidum, et acre significare comperimus. Tum φαῦλον non pravum tantummodo et improbum et indecorum, sed etiam magnum, imo et parvum; itemque facile et simplex et innoxium et fortuitum B quodlibet et incogitatum denotat. Et quidem verbum quoque πυνθάνεσθαι, quod unum sensum spectare videtur, complurium germinum radix est. Quandoque enim exprimit discere, et explorare, et sciscitari, et alia ejusmodi. Jam dictio πελανὸς valet placentam ex farina sacrificiis idoneam: sed tamen valet etiam spumam circa os adhærentem: nec non crassam lacrymam concretam atque arefactam ceu gummi, et similia: quarto denique obolum, qui hariolis mercedis ergo porrigi solet. Porro ὁμόσε adverbium significat ex adverso, quanquam in usu veterum usurpatur etiam pro quasi et prope. Quin etiam νῦν non pro nunc solum sed etiam pro nuper facto ponitur. Jam vero et κομψὸν in multas tribuitur significationes; nam C et perspicuum denotat et garrulum et versutum et aptum ad persuadendum, et denique artificiosum. Quid vero illud solemne ἦ δ' ὅς, et ἦν δ' ἐγώ, qui Platonis ornatus est? ἦ δ' ὅς, quidem per se omnino significat, dixit hic: sed etiam dixit simpliciter; ita ut copulativa particula et articulus relativus hoc loco frustra sint: imo vero neque conjunctionis neque articuli vice fungantur, sed integri vocabuli partes sint: quotiescunque hæc dictio neque generis neque numeri rationem habet. Quare videre licet ἦ δ' ὅς non solum femineo genere adhibitum, ita ut sonet dixit ipsa, verum etiam ad multitudinem indicandam hoc singularis numeri vocabulum aliquando conversum: nam dixerunt quoque D significat. Porro utrum dicatur etiam pro o sodes, nondum satis credibile fecit Critobulus. Hactenus de significationibus dictionis ἦ δ' ὅς. Jam dictio ἦν δ' ἐγὼ, quæ pari formæ ratione utitur, in tres notiones tribuitur; nempe dixi ego; et simpliciter dixi; quod rursus tam masculinis quam femineis personis assumitur. Age vero et θράττειν perturbare significat, et molestia afficere; vellicare item atque concutere; nec non pudorem ingerere, et revereri. Deinde et τευτάζειν non sine sensuum varietate prolatum videbis: nam et pro satagere ca-

NOTÆ.

(53) De vocabuli κομψον apud ipsum Photium in *Bibliotheca* significationibus variis disserui egomet in præfatione ad novas Dionysii Halic. partes ed. Mediol. præf. cap. 14.

(53*) In Lexico Photii Κριτόλαος.

Digitized by Google

p tur, et pro moliri aliquid, et pro militare, et pro diversari, et quandoque pro curam gerere, et pro sedulo aliquid agere atque effectum dare : nec non pro officium exhibere et cœnam apponere. Præterea familiaria hæc videsis quam non unum evolvant significatum : exempli gratia ἐπιειχῶς et ἐπὶ κόρῃς ; illud quidem et abunde valet et moderate et festive ; hoc autem et verberari in capite significat, et etiam in genis. Sed neque ἐπισκηπτόμενον unum significat, sed et firmiter menti infixum, et demonstratum, et quod a morienle mandatum est, et insuper quod adversatur. Pertinet ad varii significatus vocabula etiam δυσωπεῖσθαι : nam et revereri denotat, et metuere cum suspicione, et tetrico vultu esse. Quidam vero linguæ Græcæ apprime periti, quamquam Atticus minime lepos est, vocem hanc etiam pro pudere accipiunt. Et quidem vulgi consuetudo utitur hac voce ad supplicandum atque ad exorandum. Vox δεῦρο, cum age significat et huc, tum ne ab adesdum quidem abhorret. Adde his γενναῖον, quod cognatum sonat, et bonum, et nobilem, et strenuum æque. Similiter cernis ἄτοπον non solum coarguere pravum et improbum, sed etiam quod alienum loco est ; nam et hoc ἄτοπον dicitur ; sicuti etiam non provisum, ceu de quo suspicari non licuit : tum vero valet etiam peregrinum, inopinum, mirum et rationi non consentaneum. Insuper ἀρνύμενον de permutato dicitur et de acquisito : sub eadem vero voce concludere licet etiam φυλάττων. Sed neque ἀεὶ non vult dividi ; quin imo in contrarias scinditur partes, valet enim, quod omnes sciunt, semper : et tamen contrarium quoque denotat, id est usque ad certum tempus et quadantenus. Tum et ἕως quandoque definitum tempus circumscribit ; quandoque terminos indignatus, sinit tempus in infinitum extendi. Manant ex ἀντικρυς continuo, directim, recta via, valide, sapienter, aperte : nec non simpliciter et accurate. Quod si extremam rejiciat consonam, atque accentus ab initio ad finem trajiciatur (ἀντικρὺ), tum ex se gignit e regione et ex adverso. Viden etiam vocabulum ἄρα ? non illud aio quod accentum distrahit atque in duas extendit partes, verum id quod eadem prosodia metimur, et quod a dubitativo distinguitur. Hoc itaque significat conjunctionem syllogisticam : exprimit etiam intensionem quamdam expletivam : sumitur denique loco dictionis ut videtur, ut apparet. Considera etiam ἀτεχνῶς circumflexum quot in sensus subdividatur. Significat enim vere, simpliciter, perfecte, sincere ; imo et valide et omnino. Ἄττα quoque varie explicatum invenies : modo enim scribitur pro quæ, modo pro quæ quidem : modo etiam pro aliquando, atque in similes abit significatus. Præter hactenus dicta, hoc quoque notissimum vocabulum so-

A ὅρα δὲ καὶ τὰ συνήθη ταῦτα οὐχὶ μίαν ἐθέλοντα σημασίαν περιπτύσσειν· αὐτίκα δὴ τὸ ἐπιεικῶς καὶ ἐπὶ κόρῃς· τὸ μὲν εἰς τε τὸ ἱκανῶς καὶ μετρίως, καὶ εἰς τὸ ἀστείως ἐπιμερίζεται, τὸ δὲ ἐπὶ κόρῃς τὸ κατὰ κεφαλῆς τύπτεσθαι σημαίνει, καὶ μὴν καὶ τὸ ἐπὶ τῶν σιαγόνων· οὐδὲ τὸ ἐπισκηπτόμενον δὲ εἰς ἓν περιγράφεται, ἀλλὰ καὶ τὸν ἐναπερειδόμενον δηλοῖ, καὶ τὸν ἐνδεικνύμενον, καὶ τὸν ἐπὶ τελευτῆς ἐντελλόμενον, καὶ πρὸς τούτοις τὸ ἐναντιούμενον. Ὡσαύτως δὲ τῶν πολυσήμων ἐστὶ καὶ τὸ δυσωπεῖσθαι· ὑφορᾶσθαι γὰρ ἀπαγγέλλει, καὶ τὸ φοβεῖσθαι μεθ' ὑπονοίας, καὶ τὸ σκυθρωπάζειν· ἔνιοι δὲ τῶν ἑλληνικὴν γλῶσσαν ἐξακριβούντων, εἰ καὶ μὴ τῶν ἀττικῶν ἡ κομψία (34), καὶ ἀντὶ τοῦ αἰδεῖσθαι τὴν φωνὴν παραλαμβάνουσιν· ἡ μέν τοι συνήθεια ἐπὶ τοῦ ἱκετεύειν καὶ παρακαλεῖν κέχρηται. Καὶ τὸ δεῦρο δὲ μετὰ B τοῦ σημαίνειν τὸ ἄγε, καὶ τὸ ἐνταῦθα, οὐδὲ τὸ ἐλθὲ ἀποστρέφεται. Σκόπει δὲ καὶ τὸ γενναῖον, ὅπως τόν τε συγγενῆ δηλοῖ καὶ τὸν ἀγαθὸν, ἀλλὰ καὶ τὸν εὐγενῆ, καὶ τὸν ἀνδρεῖον, οὐκ ἔλαττον. Ἴδοις δ' ἂν καὶ τὸ ἄτοπον, οὐ μόνον τοῦ κακοῦ καὶ τοῦ μοχθηροῦ κατηγορούμενον, ἀλλὰ καὶ κατὰ τοῦ μὴ τόπον ἔχοντος· ἄτοπον γὰρ κἀκεῖνο λέγουσιν· ὥσπερ καὶ τὸ ἀνυπονόητον, οἷον ὃ μὴ ἔστι τοπάσαι· ἀλλ' ἔτι περιέχει καὶ τὸ ξένον, καὶ παράδοξον, καὶ θαυμάσιον, καί γε καὶ τὸ παράλογον. Ἐπὶ τούτοις καὶ τὸ ἀρνύμενον πρός τε τὸ καταλλαττόμενον ἀποδίδοται, καὶ τὸ περιποιούμενον· περιλαμβάνοιτο δ' ἂν ὑπὸ τῆς αὐτῆς φωνῆς καὶ ὁ φυλάττων (35). Οὐδὲ τὸ ἀεὶ δὲ περιπτύσσεται τὸ ἀμέριστον, ἀλλὰ καὶ εἰς ἐναν- C τίας ἀποσχίζεται μερίδας· σημαίνει μὲν γὰρ τὸ διαπαντὸς, ὃ καὶ πάντες ἴσασι· σημαίνει δὲ καὶ τὸ ἀντικείμενον, οἷον τὸ ἕως τινὸς, καὶ μέχρι τινός. Καὶ αὐτὸ δέ γε τὸ ἕως, ποτὲ μὲν ὡρισμένον χρόνον περιγράφει, ποτὲ δὲ τὴν περιγραφὴν ἀπαρνούμενον, ἐᾷ τὸν χρόνον πρὸς τὸ ἀόριστον παρατείνεσθαι. Καὶ μὴν καὶ τὸ ἄντικρυς ἀποφύεται τότε διαμπερὲς, καὶ εὐθὺ, καὶ ἐπ' εὐθείας, καὶ τὸ ἰσχυρῶς, καὶ σοφῶς, καὶ τὸ ἰθύς· ἀλλὰ καὶ τὸ ἁπλῶς καὶ ἀκριβῶς. Εἰ δὲ τὸ τελευταῖον ἀποβάλλει σύμφωνον, τῆς ἀρχῆς τὸν τόνον τοῦ τέλους ἀναλαμβάνοντος, καὶ τὸ κατέναντι, καὶ ἐξεναντίας ἀναβλαστάνει. Οὐχ ὁρᾷς δὲ καὶ τὸ ἄρα ; οὐ λέγω δὲ ὃ τόνον τε διατέμνει, καὶ εἰς δύο μέρη περίστησιν, ἀλλ' ὃ κατὰ τὴν αὐτὴν προσῳδίαν D ῥυθμίζεται, καὶ πρὸς τὸ διαπορούμενον διαστέλλεται· σημαίνει μὲν σύνδεσμον τὸν συλλογιστικόν· σημαίνει δὲ καὶ τὸν δὴ τόνον παραπληρωματικόν· παραλαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ὡς ἔοικε καὶ ὡς φαίνεται. Ἐπισκόπει δὲ καὶ τὸ ἀτεχνῶς περισπώμενον, ὅσαις διανοίαις ὑποτέμνεται· τῇ τε γὰρ σημασίᾳ τοῦ ἀληθῶς καὶ τῇ τοῦ ἁπλῶς καὶ τελείως καὶ ἀδόλως, καὶ μὴν καὶ τῇ τοῦ ἰσχυροῦ καὶ καθάπαξ, προέρχεται πληθυνομένου. Εὕροις δ' ἂν καὶ τὸ ἄττα διαφόρως προαγόμενον· νῦν μὲν γὰρ τὸ ἅτινα, νῦν δὲ τὸ τινά· ἄλλοτε δὲ τὸ ἃ ἄν· καὶ ἄλλοτε τὸ ποτὲ σή-

NOTÆ.

(34) Si vocabulum κομψία exiges ad regulam cognati κομψὸν, satis varium vel potius incertum hoc in loco significatum habebis.

(35) *Odyss.* 1, 5.

Digitized by Google

μαίνειν ἐθέλοι, καὶ εἰς τοσαῦτα καταμερίζεσθαι. Ἐπὶ δὲ τοῖς εἰρημένοις καὶ ὁ σοφὸς τοῦτο δὴ τὸ πρόχειρον, σημαίνει μὲν τὸν μετεσχηκότα σοφίας τινός· ἰδίως δὲ καὶ τὸν λογικαῖς τέχναις προσανακείμενον· ἔπειτα δὲ καὶ τὸν συνέσει τῶν ἄλλων προέχοντα· ἐφ' οἷς καὶ ὃν ἀρεταὶ κοσμεῖν ἴσασιν· ἀλλά γε δὴ καὶ τὸν ἐπιτήδειον· καὶ πρὸς ὅ τι ἂν ὁρμήσῃ, θεωρούμενον ἕτοιμον· ἐξ οὗ καί φασι Σοφὸς ἦν τοῦ κακοποιῆσαι, καὶ σοφὸς ἀρετὴν μετελθεῖν. Συνταγείη δ' ἂν οὐκ ἀπεικότως τούτοις καὶ τὸ θεσπέσιον· καὶ γὰρ καὶ τοῦτο σημαίνει μὲν τὸ θεῖον· σημαίνει δὲ καὶ τὸ πρᾶον, ἀλλὰ καὶ τὸ θαυμάσιον καὶ τὸ πολύ. Καὶ τὸ κομιδῇ δὲ εἴς τε τὸ λίαν διαιρεῖται καὶ εἰς τὸ παντελῶς καὶ εἰλικρινῶς τε δὴ καὶ τελείως. Ἀλλὰ καὶ τὸ τέως διαφόρους διανοίας περιέχει· καὶ γὰρ τάττεται μὲν καὶ ἐπὶ τοῦ τέως· τάττεται δὲ καὶ ἐπὶ τοῦ πρίν· ἀλλὰ καὶ ἐπὶ τοῦ ἕως τινός· δηλοῖ δὲ καὶ τὸ ἐπὶ τοσοῦτον. Καὶ ὁ ἀλάστωρ δὲ σημαίνει μὲν ἁπλῶς τὸν κακοῦργον· σημαίνει δὲ καὶ τὸν αὐτοχειρίᾳ φόνον εἰργασμένον· ἀλλά γε δὴ καὶ τὸν ἐπεξιόντα τούτους ὡς τὰ ἄλαστα ἐπισκοποῦντος, καὶ τοὺς εἰργασμένους εἰσπράττοντα δίκας· ἔνθεν παρ' αὐτοῖς καὶ ὁ Ζεὺς ἀλάστωρ. Εὔροις δ' ἂν καὶ τὸ πῦον εἰς πέντε διαιρούμενον σημαινόμενα· εἴς τε τὰς πρὸ τοῦ γάλακτος ῥανίδας τῶν θηλῶν ἀποθλιβομένας· καὶ εἰς αὐτὸ τὸ γάλα· καὶ μὴν καὶ εἰς τὸ μεταβεβληκὸς αἷμα καὶ δὴ καὶ εἰς τὸ γαλακτῶδες ὑγρὸν, ὅπερ καὶ ὀρρὸν καλοῦσι· τινὲς δὲ πῦον καλοῦσι καὶ τὸ νέον τῷ χθεσινῷ συνεψηθὲν γάλα. Οἶδε δὲ καὶ τὸ εἶεν διάφορα σημαίνειν· καὶ γὰρ παραλαμβάνεται μὲν ὡς ἀρχὴ λόγου· παραλαμβάνεται δὲ καὶ ἐπὶ κατανεύσεώς τε καὶ συγκαταθέσεως· οἱ δὲ συλλαμβάνοντες ἄμφω τὰ εἰρημένα συγκατάθεσίν τε δηλοῦν αὐτὸ βούλονται τῶν ἐν τῷ λόγῳ προειρημένων, καὶ ἀρχὴν τῶν μελλόντων εἰρῆσθαι· ἀλλὰ καὶ ἀντὶ τοῦ ἄγε δὴ τῇ φωνῇ κέχρηνται· τοῖς δὲ παραλαμβάνεται καὶ κατὰ τοῦ ἐπαΐω καὶ συνίημι. Καὶ πολύστιχον ἂν τις ἀπαρτίσῃ βίβλον, οὐκ ἐὰν ποθὲν τὰς πολυσήμους φωνὰς ἁπάσας περιλαβεῖν ἐθελήσοι, ἐργῶδές τε γὰρ τοῦτο καὶ πλησίον τῶν ἀνεφίκτων, ἀλλ' ἐὰν εἰς ἓν συναγαγεῖν βουληθείη τὰς ἐπὶ πλέον τῶν ἄλλων συνήθεις, καὶ τοῖς λόγοις μᾶλλον ἐπιπολαζούσας· οἷα δὴ καὶ ἡμῖν ἐπράχθη τὴν τῶν μειρακίων ἡλικίαν, ὡς καὶ αὐτὸς οἶσθα, παραλλάττουσι (36)· νυνὶ δὲ καὶ ὅσαι εἴρηνται, τὴν χρείαν αὐτάρκη παρέχονται· καὶ οὐδὲ ἐπὶ τοσοῦτον ἂν ὁ περὶ αὐτῶν προῆλθε λόγος· φίλον γὰρ ἀεί μοι διευλαβεῖσθαι τὸ ἀπειρόκαλον· εἰ μὴ πολλάκις περὶ ἑνίας τῶν διευκρινηθέντων λέξεων πολλοὺς οἶδα συζητοῦντας καὶ σπουδὴν εἰς μάθησιν συνεισάγοντας.

β'. Ἀλλὰ γὰρ τοσαύτης ἀφθονίας εὑρισκομένης τῶν πολυσήμων ἐν τοῖς τῶν ἀρχαίων συντάγμασιν, ὧν ὁ βίος εἴπερ τι ἄλλο λογάδων λέξεων ἡ σοφία, τί κωλύει καὶ ταῖς ἡμετέραις ἱερολογίαις, αἷς τῶν σωτηρίων ἔργων σκοπὸς ἡ διδασκαλία καὶ ἡ παραίνεσις, διαφόρων ὑποκειμένων σήμαντρα παραλαμβάνειν

φός, designat quidem eum qui aliqua sapientia praeditus est: peculiariter tamen qui logicis doctrinis dat operam: item qui prudentia cæteris antecellit: item virtutibus exornatum: item rebus gerendis idoneum, et qui ad consequendum propositum bene instructus videtur: unde et illud effatum, Sciens erat et male faciendi, et æque virtutem exercendi. Cum his non absurde coacervabitur etiam θεσπέσιον, quod explicatur divinum, itemque mite et mirificum et copiosum. Jam et κομιδῇ dividitur in valde, et prorsus, et manifeste, et universim, et perfecte. Τέως quoque complures significatus complectitur: nam ponitur pro interim, et pro prius, et pro usque dum, et pro in tantum. Atque ἀλάστωρ significat quidem simpliciter maleficum; sed tamen significat etiam qui manu propria cædem facit: insuper et eum qui hujusmodi scelestos persequitur, nempe qui in maleficia animadvertit, pœnasque a reis reposcit: unde etiam Jupiter ab ethnicis dictus ἀλάστωρ. Πῦον quoque senties in quinque significatus abire: nempe significat stillas papillarum ante lac expressas, lac ipsum, tum et sanguinem corruptum, tum denique subviridem humorem lacteum quod serum vocant. Imo nonnulli πῦον appellant novum lac cum hesterno concoctum. Verbum quoque εἶεν diversa significare solet: nam et initium orationis est; et ad concessionem consensumque adhibetur. Nonnulli vero utrumque amplectentes prædictum significatum, voce hac et approbationem ante dictorum in sermone demonstrari aiunt, et initium mox dicendorum. Utuntur hac voce etiam pro age vero. Quidam denique accipiunt etiam pro audio et pro intelligo. Amplum conficere liceret volumen, non dico ob coacervandas undique varii significatus voces (nam id operosum et prope impossibile), sed si quis vel usitatiores tantummodo congerere vellet, et quæ in sermonem frequentius incurrunt; cujusmodi opus a me ipso confectum fuit, ut scis, quo tempore e pueris excedebam. Nunc tamen quæ hactenus dixi, rei præsenti abunde sufficiunt. Imo ne tandiu quidem sermonem produxissem (nam mihi ab insolentia cavendi mos perpetuus fuit), nisi sæpenumero animadvertissem circa nonnullas cæteroqui probe exploratas voces, multos adhuc disputare, studiumque ad eas cognoscendas conferre.

2. Age vero cum tanta sit significationum variarum copia in scriptis veterum, quorum vitæ curriculum in scientia præcipue deligendorum verborum consumptum fuit; quid ni nostræ quoque Scripturæ sacræ, quarum tamen finis est salutarium operum magisterium et suasio, quid ni, inquam,

NOTÆ.

(36) Hinc cognoscimus qua ætate Lexicon suum confecerit Photius; quam lucubrationem antehac ineditam, nostra demum ætate vulgavit Lipsiæ an. 1808 G. Hermannus, non tamen sine gravi lacuna inter A et E.

Digitized by Google

verba notionibus aliis atque aliis prædita complectantur? Quare et ἀπεκρίθη, quod tibi vocabulum sæpe dubitationem injecisse ais, (ut nunc omittam significantiam, separatum est; et quas medici apprime callent, sudoribus digestum, et excretum, et vasis effusum, et in hoc desivit) pro divinarum, inquam, litterarum usu ἀπεκρίθη significat id, quod nemo nescit, responsum ad interrogationem. Sæpe etiam expletivum vocabulum est; interdum sermonis exordium est; tum etiam denotat eorum quæ dicta fuerunt admissionem; item oravit, deprecatus est; tum denique interrogavit quoque significare comperies. Jam ejus significatus, quem omnes norunt, multa atque obvia testimonia sunt. Veluti, « Respondens Simon Petrus ait : Tu es Christus Filius Dei vivi [86]. » Nam Dominicæ interrogationi quæ præcesserat, « Vos autem, quem me esse dicitis » suam et condiscipulorum sententiam princeps subdidit. Item in ea locutione : « Respondit dicens : Qui habet duas tunicas, impertiat illi qui caret [87] ; » idem sensus cognoscitur; erudit enim turbas, quæ eum rogaverant quonam pacto salutem consequerentur. Sicuti etiam : « Respondit eis Joannes dicens : Ego aqua baptizo; medius autem vestrum est, quem vos nescitis [87]. » Namque verbum, respondit, eumdem usum et hoc loco conservat. Sexcenta alia ejusmodi sunt. Sed enim locutionem : « Illo tempore respondens Jesus dixit : Confiteor tibi, Pater cœli et terræ [88] ; » hanc, inquam, constat a præcedente sententia discretam esse, atque initii locum tenere. Nam neque interrogatio præcesserat, neque cuiquam loquenti subjungebatur; verum ipse Jesus sermonem exordiens gratias Patri egit. Simile est etiam : « Respondens archisynagogus, stomachans quod Sabbato medicinam fecisset Jesus [89]. » Item : « Respondens pontifex dixit ei : Adjuro te per Deum vivum, dic nobis num tu sis Christus Dei Filius [90]. » Rursus sermonis initium continent verba hæc : « Respondens Jesus dixit : Qui receperit vos in nomine meo, me recipit; et qui me recipit, non me recipit, sed eum qui misit me [91]. »

3. Porro autem verba illa : « Respondens Jesus dixit : O mulier, magna est fides tua; fiat ut vis [92] : » ad nullum prædictorum usuum referuntur, sed præcedentis sermonis admissionem sistunt. Nam cum Chananitis miserabiliter exposuisset filiæ suæ morbum, medelamque petisset; cumque eadem asperiorem precum suarum repulsam patienter excepisset, dixissetque : « Utique, Domine, etiam catelli herilis mensæ reliquiis vescuntur; » hac admissa oratione subditur : « Tunc respondens Jesus ait illi : Magna fides tua; fiat tibi ut vis. » Constat enim Jesum bonæ supplicisque feminæ oratione admissa, fidem ejus laude mactavisse, medelamque largitum esse. Ejusdem sententiæ sunt etiam hæc : «Respondens Jesus dixit illi, Beatus es Simon fili Jonæ, quia caro et sanguis non revelavit tibi [93]. »

ὀνόματα; διὸ καὶ τὸ ἀπεκρίθη, ὅπερ σε πολλάκις εἰς ἀμφιβολίαν ἔφης ἐμβαλεῖν· ἵνα οὖν ἐάσω τὸ διεχωρίσθη· καὶ ὃ μάλιστα παῖδες ἰατρῶν ἴσασι τὸ διεφορήθη τε, καὶ ἐξεκρίθη, καὶ ἐξεχύθη, καὶ εἰς τοῦτο κατέληξεν· ἀλλ' ἐφ' ὧν γε συνήθως ἐστὶ τῶν θεοσόφων ἡ χρῆσις λογίων, σημαίνει μὲν τὸ ἀπεκρίθη, καὶ ἣν οὐδεὶς ἀγνοεῖ διάνοιαν, ἥτις καὶ πρὸς τὴν ἐρώτησιν ἀποδίδοται· πολλάκις δὲ καὶ παραπληρώματος ἐπέχει τάξιν· ἄλλοτε δὲ καὶ ἀρχὴν ἀναπληροῖ λόγου· ναὶ δὲ καὶ τὸ διαδέξασθαι τὸν προρρηθέντα λόγον ὑποβάλλεται· καὶ μὴν καὶ τὸ ἱκέτευσε καὶ ἐδέησε, εὕροις δ' ἂν σημαῖνον, καὶ τὸ ἐρώτησε· μαρτύρια δὲ τοῦ μὲν παρὰ πᾶσιν ἐγνωσμένου, πολλά τέ ἐστι καὶ λαβεῖν πρόχειρον, οἷον, « Ἀποκριθεὶς Σίμων Πέτρος εἶπε· Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Καὶ γὰρ πρὸς τὴν Δεσποτικὴν ἐρώτησιν τὴν προλαβοῦσαν, Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; τὴν αὐτοῦ γνώμην ὁ κορυφαῖος καὶ τῶν συμμαθητῶν ἀποδίδωσι. Καὶ ἐν τῷ, « Ἀπεκρίθη δὲ λέγων αὐτοῖς. ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, » ἡ αὐτὴ καθορᾶται γνώμη· τοῖς γὰρ ἐρωτήσασιν ὄχλοις ὅθεν καρπώσονται τὴν σωτηρίαν, ὑποδείκνυσιν. Ὥσπερ καὶ τὸ, « Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων· Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε. » Εἰς γὰρ τὴν αὐτὴν καὶ τοῦτο χρείαν ἀναφέρεται· καὶ μυρία ἄλλα. Τὸ δὲ, « Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, » δῆλον ὅτι τῆς μὲν προειρημένης ἐννοίας διέστηκεν, ἀρχῆς δὲ χώραν ἐπέχει· οὔτε γὰρ ἐρώτησις προηγήσατο, ἀλλ' οὐδέ τινα λέγοντα διεδέξατο, ἀλλ' αὐτὸς ὁ Ἰησοῦς ἀρχὴν ἐμβαλὼν τῷ λόγῳ, τὴν εὐχαριστίαν τῷ Πατρὶ προσηνέγκατο. Ὡσαύτως καὶ τὸ, « Ἀποκριθεὶς ὁ ἀρχισυνάγωγος ἀγανακτῶν ὅτι τῷ Σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς· » ναὶ δὴ καὶ τὸ, « Ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ, Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ ζῶντος, εἰπὲ ἡμῖν εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Ἀρχὴν δ' ἂν ἐπέχοι λόγου καὶ τό· « Ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν· Ὃς ἐὰν δέξηται ὑμᾶς ἐπὶ τῷ ἐμῷ ὀνόματι, ἐμὲ δέχεται· καὶ ὃς ἂν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με. »

γ'. Ἐν μέντοι γε, « Ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, Ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις, » εἰς οὐδέτερον μὲν ἀναφέρεται τῶν εἰρημένων, διαδοχὴν δὲ λόγου συνεισάγει· τῆς γὰρ Χαναναίτιδος ἐλεεινολογουμένης μὲν τὸ τῆς θυγατρὸς πάθος, τὴν θεραπείαν δὲ αἰτουμένης, καὶ πρὸς τὴν ἀποτρέπουσαν τὴν σπουδὴν αὐτῆς ὕβριν εὐγνωμονούσης καὶ λεγούσης, » Ναὶ, Κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν, » ἐπάγεται κατὰ διαδοχὴν ἐκεῖνον τὸν λόγον, « Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, Μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις· » δῆλον γὰρ ὅτι τοὺς τῆς εὐγνωμοσύνης καὶ δεήσεως λόγους δεξάμενος ὁ Ἰησοῦς τὴν πίστιν αὐτῆς ἐμεγάλυνε, καὶ τὴν θεραπειαν παρέσχετο, Εἰς τὴν αὐτὴν δὲ διάνοιαν ἀφορᾷ καὶ τὸ, « Ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ, Μακάριος εἶ, Σίμων

[86] Matth. xvi, 16. [87] Luc. iii, 11. [88] Matth. xi, 25. [89] Luc. xiii, 14. [90] Matth. xxvi, 63. [91] Marc. xi, 30. [92] Matth. xv, 28. [93] Matth. xvi, 17.

Digitized by Google

βαρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψε σοι · διαδεξάμενος γὰρ τῷ λόγῳ τὴν ἀνακηρύξασαν αὐτὸν ὁμολογίαν Χριστόν τε καὶ Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος ὑπολαβὼν (37) ἐπιφέρει τὸν μακαρισμόν. Τῆς αὐτῆς δ' ἂν εἴη συστοιχίας καὶ τὸ, « Ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης λέγων, Διδάσκαλε, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν· » καὶ πολλὰ τοιαῦτα. Ἡ δὲ κατὰ τὴν μεταμόρφωσιν τῆς θεοφανείας ἱστορία τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν παράγουσα συλλαλοῦντας τῷ Δεσπότῃ, καθ' ἣν καὶ ὁ Πέτρος ἐδεῖτο γενέσθαι αὐτοῖς σκηνὰς τρεῖς, ἐν τῷ « Ἀποκριθεὶς ὁ Πέτρος, » τὴν ἱκεσίαν καὶ τὴν δέησιν σημαίνει· ὥσπερ πάλιν καὶ τὸ, « Ἀποκριθεὶς ὁ Πέτρος εἶπε, Κύριε εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρὸς σὲ ἐπὶ τὰ ὕδατα· » καὶ γὰρ τῆς δειλιώσης γνώμης τοὺς μαθητὰς ἀπάγοντος τοῦ Ἰησοῦ καὶ λέγοντος, « Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε, » δραξάμενος ὁ Πέτρος ἀφορμῆς εἰς ἱκεσίαν αὐτὸν καθιστώσης, « Κύριε, εἰ σὺ εἶ, φησὶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα· » δῆλον γὰρ ὅτι τὸ ἀποκριθεὶς ἐνταῦθα ἱκεσίαν καὶ δέησιν σημαίνει· ὥσπερ καὶ ἐν οἷς τὰ λόγια φησι, « Ἀποκριθεὶς ὁ Πέτρος εἶπε, Φράσον ἡμῖν τὴν παραβολὴν ταύτην · » καὶ γὰρ καὶ τοῦτο χρείαν ἱκεσίας καὶ δεήσεως ἐμφαίνει. Τίσι δ' ἂν οὐκ ἂν γένοιτο δῆλον ὡς τὸ ἀπεκρίθη ἔσθ' ὅτε καὶ ἀντὶ τοῦ ἀπεδέξατο καὶ συγκατέθετο τίθεται; τοῦ γὰρ Σωτῆρος ἡμῶν τὰς ἐν τῷ νόμῳ δύο πρώτας ἐντολὰς ἀπηγγελκότος, καὶ τοῦ γραμματέως συμφωνήσαντός τε καὶ τῇ τοῦ Δεσπότου συγκαταθεμένου κρίσει, ἐπάγει ὁ εὐαγγελιστὴς, « Καὶ ὁ Ἰησοῦς ἰδὼν αὐτὸν ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ · Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ. » Καὶ γὰρ εὔδηλον ὡς τὴν ὁμολογίαν καὶ συγκατάθεσιν τοῦ γραμματέως διὰ τοῦ ἀπεκρίθη τὰ λόγια παρεδήλωσε.

δ'. Παρέλκοντος δ' ἂν εἴη δηλωτικὸν, ὁπηνίκα ὁ ἀρχισυνάγωγος ἀσθενοῦσαν ἐπιθανάτιον τὴν θυγατέρα καταλιπὼν, τὸν Ἰησοῦν μὲν ἐδεῖτο σωτῆρα γενέσθαι παραγεγονότα τῆς παιδός · ἐν δὲ τούτῳ τῆς φήμης αὐτῷ τὸν θάνατον ἐπαγγελούσης, ἐπάγει ὁ εὐαγγελιστὴς, « Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ, Μὴ φοβοῦ, μόνον πίστευε · » ἐμφανὲς γὰρ ὡς εἰ καὶ μηδαμῶς παρεντεθείη τὸ ἀπεκρίθη, οὐδὲν ἧττον τὸ ὑπόλοιπον τοῦ λόγου τὴν αὐτὴν παρίστησι διάνοιαν · τοιοῦτον δὲ καὶ τὸ, « Ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ, Εἰ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ δὲ οὐδέποτε · » ὅτι μέν τοι παρέλκον ἐστὶν ἐνταῦθα τὸ ἀποκριθεὶς, καὶ ὁ εὐαγγελιστὴς Μάρκος ἐκδιδάσκει μάλιστα · καὶ γὰρ αὐτὸ τοῦτο διερχόμενος τὸ χωρίον ὑπὲρ ὃ Ματθαῖος σὺν τῷ ἀπεκρίθη διηγήσατο, αὐτὸς οὐδὲν ὅλως τῆς φωνῆς δεηθείς, « Ὁ δὲ Πέτρος ἔφη αὐτῷ, Εἰ πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ · » οὕτω δὲ σαφῶς ἐπιδείκνυται παρέλκον καὶ ἐν τῇ κατὰ τὸν Πιλάτον ἱστορίᾳ, ὅτε τὸν Ἰησοῦν ἐπεχείρει τῆς τῶν Ἰουδαίων ἀπολύειν μιαιφονίας · ἑκατέρου γὰρ τῶν

A Namque his verbis Petri confessionem admittens, qua eum et Christum et Dei viventis Filium prædicaverat, beatum illum vicissim edicit. Ejusdem generis est : « Respondit ei Joannes dicens : Magister, vidimus quemdam in nomine tuo dæmonia ejicientem, qui in comitatu nostro non est[94]. » Et multa hujusmodi. Jam in divinæ transfigurationis historia, in qua Moses atque Elias cum Domino loquentes sistuntur, quo tempore Petrus rogabat ut his tria tabernacula fierent, verbis illis « respondens Petrus » rogatio et preces significantur. Rursus illis similiter : « Respondens Petrus dixit : Si tu es, Domine, jube me ad te venire super aquas[95]. » Nam cum Jesus a timiditate consilii discipulos revocaret, diceretque, « Bono animo estote : ego B sum, nolite timere ; » Petrus hinc captata obsecrandi occasione : « Domine si tu, inquit, es, jube me ad te venire super aquas[96]. » Satis enim patet verbo, respondens, denotari hoc loco preces atque obsecrationem. Sicuti etiam ubi Scriptura ait : « Respondens, Petrus dixit, Edissere nobis parabolam hanc[97] ; » nam id etiam precum ac postulationis vice fungitur. Cui vero non est exploratum, vocabulum respondit usurpari etiam pro annuit et assensus est? Nam cum Servator duo præcipua legis præcepta proposuisset, scriba autem in hanc sententiam pedibus iret, Dominique judicium confirmaret; prudente Jesus responso cognito, ait illi : « Non magnopere abes a regno Dei[98]. » Hinc C prorsus patet, verbo illo respondit designari a sacris Litteris deditionem animi scribæ atque consensum.

4. Insuper etiam redundans vox est *respondit*, veluti cum archisynagogus, qui reliquerat filiam mortali morbo conflictantem, Jesum rogabat ut puellam morte ereptum iret. Cum vero interim fama ad parentem esset allata de illius obitu, subdit evangelista : « Audita re Jesus respondit illi : Ne timeas, tantummodo crede[99]. » Constat enim, etiamsi verbum respondit minime fuisset interpositum, nihilominus reliqui sermonis eamdem fore sententiam. Tale est et illud : « Respondens Petrus dixit D ei : Etiamsi omnes in te scandalizati fuerint, ego autem haudquaquam[1]. » Sane quod hic vox respondit redundet, Marcus apprime evangelista docet : namque in eadem narratione versans, in qua Matthæus verbo respondit utitur, ipse hujus vocis subsidio non invocato sic scribit : « Petrus autem dixit ei : Etsi omnes scandalizati fuerint, non tamen ego[2]. » Sic aperte demonstratur redundare hoc verbum in historia quoque rerum coram Pilato gestarum, quo tempore hic Jesum Judæorum cædi

[94] Marc. IX, 37. [95] Matth. XVII, 4. [96] Matth. XIV, 28. [97] Matth. XIII, 36. [98] Marc. XII, 34. [99] Marc. V, 36. [1] Matth. XXVI, 33. [2] Marc. XIV, 29.

NOTÆ.

(37) Vocabulum ὑπολαβὼν pro *respondens* late illustrat Wetstenius ad Luc. X, 30.

Digitized by Google

subducere nitebatur. Nam duobus evangelistis non sine verbo respondit orationem suam construentibus, divus tamen Lucas eumdem actum conscribens, neque omnino verbo respondit utens, satis demonstravit cæteros redundanter fuisse locutos. Ait quippe Lucas : « Rursus igitur Pilatus populum allocutus est, dum Jesum liberare satageret [3]. » Permulta sane ejusmodi erunt : sed enim nobis non est propositum multitudinem testimoniorum colligere, verum exemplo tantummodo, etiamsi id unum esset, significatus hujus veritatem palam facere. Sane et ab ea locutione, quæ curationem inclinatæ mulieris consecuta est, respondens autem archisynagogus cum stomacho [4], si quis verbum respondens subtrahat, reliqua sermonis pars integram adhuc retinebit sententiam suam. Atque ita perspicue demonstratum existimo, verbum respondens et initii vice sæpe fungi, et admittentis præcedentem sermonem, et expletivæ quoque dictionis ; et denique deprecationi inservire.

5. Quod vero etiam interrogandi vim habeat, evidenter cognoscitur e Petri principis locutione. Nam cum sacra historia Ananiæ fata et Sapphiræ exponit, pœnamque mendacii mortem ; mox attexit: « Et uxor ejus eventus nescia supervenit. » Tum pergit dicere : « Responditque ei Petrus : Dic mihi utrum tanti agrum vendideritis [5] ? » Nam quæ nunc magis propria excogitari potest significatio verbi respondit, quam interrogavit ? Veluti etiam illud : « Responderunt Judæi, dixeruntque illi : Quodnam signum ostendis, quia hæc facis [6] ? » Item illud : « Respondit eis Jesus : Nonne ego vos duodecim elegi [7] ? » Lectionem utroque loco vim interrogandi habere exploratum est. Neque eatenus significationes verbi respondit pertingunt; verum id aliquando ad nullum prolatum ore verbum refertur, sed occultis hominum cogitationibus occurrit. Veluti, « Cernens Pharisæus qui Jesum convivio exceperat, dixit intra se : Hic si esset propheta, nosset utique quæ quantaque mulier eum attingat, nempe peccatrix [8]. » Nunc certe, quanquam nulla interrogatio præcesserit, neque exordium consecutæ orationis fiat, neque alii cuipiam e prædictis modis locutio accommodetur, addit evangelista : « Et respondens Jesus dixit illi : Simon, habeo aliquid tibi dicere. » Deinde interrogative prosequens, impias hominis cogitationes castigavit, eumque ad pietatem ac fidem pro sua clementia direxit. Neque enim dubitare licet, quin verba *respondens Jesus dixit illi*, ejusdem Jesu quam diximus expositioni præposita, adversus animi arcanos motus intorqueantur. Paris insuper formæ illud est : « Respondens Jesus legisperitis [9] : » quod item perturbatis seditiosisque illorum mentibus oppositum fuit, quo tempore hydropicum coram stantem viderunt : qui cum ad misericordiam flecti deberent, non tamen de sua

A δυο εὐαγγελιστῶν μετὰ τοῦ ἀποκριθεὶς τὴν τοῦ λόγου σύνταξιν προενεγκαμένου, ὁ θεόσοφος Λουκᾶς τὴν αὐτὴν ἀναγράφων πρᾶξιν, οὐδ' ὅλως χρησάμενος τῷ ἀποκριθεὶς, ἔδειξε τοὺς ἄλλους κατὰ τὸ παρέλκον χρησαμένους τῇ φωνῇ· ἔφη γάρ, « Πάλιν οὖν ὁ Πιλάτος προσεφώνησε θέλων ἀπολύσαι τὸν Ἰησοῦν· » καὶ πολλὰ ἂν εἴη τοιαῦτα· ἡμῖν δὲ οὐ συλλέγειν ἐστὶ πλῆθος μαρτυριῶν σκοπὸς, ἀλλὰ παραδείγματι μόνον ἐνδείξασθαι, κἂν τῷ ἑνὶ περιγράφοιτο, τοῦ σημαινομένου κατάδηλον τὴν διάνοιαν· ἐπεὶ καὶ τὸ ῥηθὲν μετὰ τὴν θεραπείαν τῆς συγκυπτούσης γυναικὸς, ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος ἀγανακτῶν, εἴ τις περιέλοι τὸ ἀποκριθεὶς, τὸ ἄλλο μέρος τῆς φράσεως ἀκήρατον τὴν αὐτὴν ἀναπτύσσει διάνοιαν· οὕτω μὲν, οἶμαι, σαφῶς ἐπιδέδεικται ἀρχῆς τε λόγον πολλάκις B ἐπέχειν τὸ ἀποκριθεὶς, καὶ διαδοχὴν ἡγησαμένων ῥημάτων, καὶ παρέλκοντος τόπον ἔχειν, καὶ ἱκεσίας ἀναπληροῦν χρείαν.

ε'. Ὅτι δὲ καὶ τὴν ἐρώτησιν ὑπέρχεται, ἡ τοῦ κορυφαίου Πέτρου παρίστησιν ἐναργῶς φωνή· τὸ γὰρ κατὰ τὸν Ἀνανίαν καὶ Σάπφειραν πάθος ἀπαγγέλλων ὁ λόγος, καὶ τῆς ψευδολογίας τὸν εἰσπραχθέντα θάνατον, συνῆψε μὲν, « Καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς, εἰσῆλθεν· » ἐπάγει δὲ, « Καὶ ἀπεκρίθη αὐτῇ ὁ Πέτρος, Εἰπέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; » τί γὰρ ἂν ἕτερον οἰκειότερον εὑρεθείη ὑπὸ τοῦ ἀπεκρίθη νυνὶ δηλούμενον, ἢ τὸ ἠρώτησεν; ὥσπερ καὶ, « Ἀπεκρίθησαν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, C Τί σημεῖον δεικνύεις ὅτι ταῦτα ποιεῖς; » ναὶ δὴ καὶ τὸ, « Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; » φανερὸν γὰρ ἐπὶ τούτων, ὡς ἑκατέρα λέξις τὴν τοῦ ἠρώτησε δύναμιν ἔχει. Οὐ ταῦτα δὲ μόνον τὸ ἀπεκρίθη σημαίνει, ἀλλ' ἔσθ' ὅτε μὴν καὶ πρὸς οὐδὲν τῶν προφορικῶν ῥημάτων ἐπιφέρεται, πρὸς δὲ τὴν ἐνδομυχοῦσαν τῶν ἀνθρώπων διάνοιαν ἀπευθύνεται, ὡς ἐπὶ τοῦ, « Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ, Οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν· » ὅρα γὰρ μηδὲ μιᾶς ἐρωτήσεως προηγησαμένης, μηδ' εἰς ἀρχὴν τοῦ ἑξῆς ἀναφερομένου λόγου, μηδ' ἄλλο τι τῶν προειρημένων τῆς φράσεως συνεισαγούσης, ἐπάγει ὁ D εὐαγγελιστὴς, « Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτὸν, Σίμων, ἔχω σοί τι εἰπεῖν· » καὶ δι' ἐρωτήσεως προελθὼν, τό τε βλάσφημον τῶν διαλογισμῶν ἐπερράπισε, καὶ πρὸς τὸ θεοσεβὲς καὶ ἀδίστακτον, ὅσα τε τῇ αὐτοῦ φιλανθρωπίᾳ, μετερύθμισεν· οὐκ ἄδηλον γὰρ ὡς τὸ, « Ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτὸν, » προταττόμενον τῆς προῤῥηθείσης ἑρμηνείας, πρὸς τὴν ἐν τῷ βάθει τῆς καρδίας κίνησιν τῶν διαλογισμῶν εἴη ἂν ἀποδεδομένον. Ὁμοστοιχεῖ δὲ τῷ ῥηθέντι καὶ τὸ, « Ἀποκριθεὶς ὁ Ἰησοῦς πρὸς τοὺς νομικοὺς, » ἐπαγόμενον τῇ κατὰ τὴν διάνοιαν αὐτῶν ταραχῇ καὶ στάσει, ἡνίκα τὸν ὑδρωπικὸν ἔμπροσθεν

[3] Luc. xxiii, 20 ; Matth. xxvii, 21 ; Marc. xv, 12. [4] Luc. xiii, 14. [5] Act. v, 3. [6] Joan. ii, 18. [7] Joan. vi, 71. [8] Luc. vii, 39. [9] Luc. xiv, 3.

Digitized by Google

αὐτῶν ἱστάμενον ἐθεώρουν· καὶ δέον τῷ πάθει πρὸς ἔλεον μεταβαλέσθαι, οἱ δὲ τῆς ἀπονοίας οὐ μεθίεντο. Τὴν αὐτὴν δ' ἂν παρέχοιτο σημασίαν καὶ τὸ, « Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀμὴν, Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, Μετάβηθι εἰς τὴν θάλασσαν, μεταβήσεται· » καὶ γὰρ ὅσα γε κατὰ τὶ πρόχειρον τῆς συνεπείας, πρὸς τὴν ἐν τῷ βάθει τῆς καρδίας μελέτην ἀπεδίδοτο ἂν τὸ ἀποκριθείς, εἰ μὴ Μάρκος ὁ θεσπέσιος ἀπαγγέλλων τὸ χωρίον σαφέστερον, εἰς τὴν τοῦ λόγου διαδοχὴν τὴν σημασίαν μεθίστησιν· εἰπὼν γάρ, « Καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ, Ῥαββὶ, ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήραται, » εἰσάγει τὸν Ἰησοῦν διαδεχόμενον τὸν λόγον καὶ λέγοντα, « Ἔχετε πίστιν Θεοῦ· ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύει ὅτι ὃ λαλεῖ γίνεται, ἔσται αὐτῷ ὃ λέγει. »

ς'. Εἰ μέν τοι γε τῶν Λογίων ἡ αὐτὴ περικοπὴ μὴ ἐφ' ἑνὸς μόνου τῶν εἰρημένων ἐπιθεωρηθεῖη παράδειγμα, ἀλλὰ μεθελκυσθῆναι δύναιτο εἴς τε τὴν ἀπαρχὴν καὶ τὴν διαδοχὴν τοῦ λόγου, τάχα δὲ καὶ εἰς τὸ παρέλκον, οὐδ' οὕτως τῶν σημαινομένων ὁ ἀριθμὸς πρὸς τὸ βραχύτερον συσταλήσεται, ἀλλὰ τὴν ἴσως συνδιασώσει ποσότητα· ἀρκεῖ γὰρ τὸ πλῆθος μὴ καταβιβάζειν, κἂν ἕνια τῶν παραδειγμάτων εὑρεθείη μὴ πρὸς ἕν τι μόνον, ἀλλὰ καὶ πρὸς διάφορα τῶν σημαινομένων ἀναφέρεσθαι δυνάμενα, ἐπειδάν τι τούτων ὅλως εὑρίσκοιτο τὴν τοῦ ἑνὸς σημασίαν ἐξοικειούμενον. Τὸ γὰρ συνεμπίπτειν πῶς ἀλλήλοις ἐπ' ἐνίων ῥητῶν τὰ διάφορα σημαινόμενα, οὐκ ἔστιν αὐτῶν τοῦ πλήθους ἀναίρεσις· ἐπείπερ οὐδὲ ἐξ ὧν συμβαίνουσιν, ἀλλ' ἐξ ὧν παραλλάττουσι, χαρακτηρίζονται. Θὐκοῦν ἀπὸ τῆς διαφορᾶς ἕκαστον προσῆκε σκοπεῖν, καὶ τὸ εἶδος φυλάττειν ἀσύγχυτον, ἀλλ' οὐκ ἐξ ὧν εἰς κοινωνίαν συνάγονται, τὴν ἐν αὐτοῖς διαφθείρειν ἑτερότητα.

ζ'. Οὐ μόνον δὲ τοῦ *ἀπεκρίθη* διάφοροι σημασίαι, ὡς ὁ λόγος ἔδειξεν, ἀποφύονται, ἀλλὰ καὶ τὸ *ἠρώτησε* δύο τινῶν τὸ ἐλάχιστον ὑποκειμένων παρὰ τοῖς ἱεροῖς ἡμῶν λογίοις ἀπαγγέλλει διάνοιαν· ὧν ἡ μὲν καὶ τοῖς ἔξωθεν ἐπιπολάζει, ἡ καὶ τὴν ἀπόκρισιν ἀπαιτεῖν εἴωθεν· ἡ δὲ πόῤῥωθεν μὲν ταύτης τῆς διανοίας διίσταται, σημαίνει δὲ τὸ *παρεκάλεσε* καὶ *ᾐτήσατο*, ἥτις οὐκ ἔλαττον τῆς προειρημένης ἐν τοῖς θεοσόφοις χρησμοῖς ἐπιφαίνεται πλεονάζουσα· τὸ γὰρ, « ἠρώτα ἐλεημοσύνην· » καὶ, « ἠρώτησαν αὐτὸν, Ῥαββὶ, φάγε· » καὶ, « Ἐρωτῶ σε, ἔχε με παρῃτημένον· » καὶ τὸ, « Ἠρώτα τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ· » καὶ μυρία ἄλλα τὴν τοῦ ἱκετεύειν καὶ δεῖσθαι οὐδένα λανθάνει τὴν χώραν ἐπέχειν· παραλαμβάνεται δὲ καὶ τὸ ἠρώτησε καὶ ἀντὶ τοῦ προσέταξεν, ἐνετείλατο, καὶ εἶπεν. « Ἐμβὰς γὰρ, φησὶν, ὁ Ἰησοῦς εἰς ἓν τῶν πλοίων ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· » οὐδὲ γὰρ ἀποκρίσεώς ἐστιν ἀπαίτησις ἡ φωνὴ, οὐδὲ τὸ

vesania quidquam remittebant. Eadem videretur significatio dictionis : « Respondens Jesus dixit illis : Amen, amen dico vobis, si fidem habueritis neque hæsitaveritis, non solum ficus prodigium patrabitis ; verum etiam si huic forte monti dixeritis, Commigra in mare, commigrabit [10]. » Nam quod attinet ad naturalem sermonis contextam, verbum sane respondens referretur ad mentis arcanam cogitationem, nisi divus Marcus, qui locum hunc explicatius edisserit, verbi significatum ad sermonis prævii admissionem exprimendam traduceret. Etenim cum dixisset : « Recordatusque Petrus, ait illi : Magister, en ficus cui male precatus es exaruit ; » facit Jesum sermoni huic occurrentem sic : « Habetote Dei fidem. Amen quippe dico vobis, qui huic monti dixerit, Tollere hinc et in mare projicitor, si modo in corde suo non dubitet, sed id fore, quod ait, credat, fiet ei secundum suam locutionem [11]. »

6. Quod si aliquando Scripturæ sacræ eadem pericope non ad unius e prædictis modis exemplum sumitur, verum et ad initium et ad admissionem sermonis trahi potest, fortasse etiam ad redundantiam ; non idcirco tamen significationum numerus arctior fiet, sed quantitatem suam conservabit. Nam ne numero quidquam detrahatur, sufficit (etiamsi aliquot exempla sint quæ non ad unum, sed ad varios significatus referri queant), sufficit, inquam, si quod in his omnino exemplum exsistat, quod unius rei significatum sibi vindicet. Non enim quia nonnullarum vocum variæ significationes invicem incurrunt, idcirco perimitur harum numerus : nam neque ideo quia congruunt, sed quia differunt, characterem accipiunt. Ergo cujusque differentia spectanda est, et sua cuique species servanda : non autem idcirco quia alicubi congruunt, diversitas abolenda.

7. Sed enim variæ significationes, ut sermo meus hactenus ostendit, non ex uno *respondit* verbo gignuntur ; verum etiam verbum *rogavit* [12] duorum saltem significatuum nostris in Scripturis sententiam tuetur ; quorum alter profanis quoque auctoribus familiaris est, responsionemque elicere solet ; alter vero a prædicto vehementer differt, denotat enim *precatus est* et *postulavit*. Atque hic significatus haud minus altero in divinis oraculis frequens occurrit. Nam « rogabat eleemosynam ; » et « Rogaverunt eum, Magister, manduca [13] ; » et : « Rogo te, habe me excusatum [14] ; » et : « Rogabat eum quidam Pharisæus, ut secum cibum caperet [15] ; » et in pluribus aliis locis verbo huic notionem precandi subesse neminem latet. Imo vero rogavit sumitur etiam pro imperavit, in mandatis dedit, edixit. « Conscensa, ait Scriptura, Jesus Simonis navicula, rogavit eum ut a terra paulum subduceret [16]. » Etenim id verbum haud hic responsionem

[10] Matth. xxi, 21. [11] Marc. xi, 21. [12] Act. iii, 3. [13] Joan. iv, 31. [14] Luc. xiv, 10. [15] Luc. vii, 36. [16] Luc. v, 4.

Digitized by Google

poscit; neque oravit significat; sed mandati nutusque vice fungitur. Idque maxime ex iis, quæ hanc locutionem præcedunt et quæ subsequuntur, cognoscitur : non solum quia, dum magistrali sermone uteretur, dumque populum avide audientem haberet, sibique ut doctori honores debitos exhibentem, par erat Servatorem cum dignitate loqui; sed quia et paulo post, dum simili actione uti Petrum juberet Jesus, pro *rogavit*, evangelista ponit simili vi *dixit*. Etenim « *Dixit*, ait, Simoni : Reduc in altum, atque in prædam retia vestra demittite [17]. » Scilicet utrumque verbum *rogavit* et *dixit* imperativam vim habent. Sed quæ summatim hactenus dixi satis videntur necessitati tuæ facere. Profecto enim te non latebit, dictorum huc usque memorem, quis quibusnam sacræ Scripturæ locis significatus verbi *respondit* idoneus futurus sit. Cætera autem vocabula, quorum varia significatione sacræ Litteræ utuntur, partim jam oratione mea comprehensa fuerunt, partim vero, divina nos clementia mitius respiciente, mox fortasse exponentur.

A παρεκάλεσεν ἐνταῦθα σημαίνει, ἀλλ' ἐπιτάγματος καὶ ἐντολῆς προβάλλεται χρείαν· καὶ τοῦτο μάλιστα τότε ἡγούμενον τοῦ λόγου καὶ τὸ ἐπαγόμενον παριστᾷ· οὐχ ὅτι μόνον διδασκαλικῷ λόγῳ χρώμενος, καὶ τὸν ὄχλον ἔχων ἡδέως προσέχοντα, καὶ τὴν προσήκουσαν διδασκάλῳ τιμὴν νέμοντα, τοὺς λόγους ὁ Σωτὴρ μετ' ἐξουσίας ἐποιεῖτο, ἀλλ' ὅτι καὶ μετ' ὀλίγον παρὰ πλησίῳ πράξει χρῆσθαι τὸν Σίμωνα κελεύοντος τοῦ Ἰησοῦ, ἀντὶ τοῦ *ἠρώτησεν* ὁ εὐαγγελιστὴς *τὸ εἶπε* τῆς ὁμοίας χρείας προτάττει· « Εἶπε γὰρ, φησὶ, πρὸς τὸν Σίμωνα, Ἐπανάγαγε πρὸς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν· » προστακτικὴν γὰρ ἄμφω δύναμιν ἔχει. Ἀλλὰ ταῦτα μὲν ὡς ἐν κεφαλαίῳ καὶ τὴν σὴν οἶμαι χρείαν ἱκανὰ πληρῶσαι· οὐ γὰρ ἂν σε λήσεται μνήμην ἔχοντα B τῶν εἰρημένων, ποίαις τῶν ἱερῶν λογίων περιόδοις τίνα τῶν τοῦ *ἀπεκρίθη* σημαινομένων ἐφαρμοσθείη· τῶν δ' ἄλλων ῥημάτων οἷς τὰ ἱερὰ γράμματα ἐπὶ διαφόρων πραγμάτων ἐχρήσατο, τὰ μὲν ἤδη λόγῳ περιείληπται, τὰ δὲ τῆς θείας φιλανθρωπίας εὐμενέστερον εἰς ἡμᾶς ὁρώσης τάχα ἂν ὑποβληθήσεται.

QUÆSTIO XXII [*al.* XXI].

Quare non prius quam statueret Joseph Mariam dimittere, astitit angelus hanc curam præveniens et tollens; sed nonnisi cum a cura ad actum transiit, tum prohibiturus supervenit? Et quare Virginem Josephi mulierem dicit?

ΕΡΩΤΗΣΙΣ ΚΒ'.

Τί δήποτε πρὶν διανοηθῆναι τὸν Ἰωσὴφ ἀπολῦσαι τὴν Μαριὰμ, μὴ ἐπέστη ὁ ἄγγελος αὐτὴν προαναστέλλων τὴν μελέτην, ἀλλ' ὅτε πρὸς τὴν πρᾶξιν ἀπὸ τῆς μελέτης κατέβη, τότε κωλύσων ἐφίσταται; καὶ διὰ τί τὴν Παρθένον, γυναῖκα λέγει τοῦ Ἰωσήφ;

Edita a Maio, *Nov. Coll.*, t. IX, p. 21-24. Enarratio in Matthæum I, 18-20.

De proposita quæstione et beatorum Patrum nostrorum non pauci disseruerunt; et scio quosdam ex iis dixisse tunc temporis angelum astitisse et a proposito illum removisse, ne fide careret cum annuntiaret Virginem concipere, sed in utero gestatum gestationis testem ut haberet. Forsan et alii tales quasdam attulerunt rationes præ attrahente divinæ sapientiæ motu. Mihi autem videtur et dictorum et factorum unumquodque propriam vim habere, quando proprium exspectat tempus; quod enim non est opportunum, solet, ut plerumque, efficaciæ vim frangere. Quando igitur in consiliorum inopiam decidit Joseph, tunc astitit angelus sensuum contentioni finem impositurus. Quando enim in incerto fuerit, et contrariis consiliorum ventis fluctuarit, agendi cura manifestum fecit : « Volebat enim, inquit, secreto eam dimittere; » non autem secreto aut quovis modo id statuisset, si spuria sobole tumescere uterum persuasum habuisset; sed contra cum justus esset et amans, et legis transgressionem magis quam qui maxime odisset, legum vindicationi matrimonii furtum omnem in ipsum ortam suspicionem solvens prodidisset, suam autem excellentem justitiam servasset : sed minime hoc persuasum habebat, ut patet. Multa enim pignora præbebat Virgo quæ talem illius suspicionem avertere valebant : vitæ accuratam diligentiam, studiorum sanctimoniam, dis-

C Περὶ τοῦ προκειμένου ζητήματος καὶ τῶν μακαρίων ἡμῶν Πατέρων οὐκ ὀλίγοι διέλαβον· καὶ οἶδα τινὰς αὐτῶν εἰπόντας, διὰ τοῦτο τηνικαῦτα τὸν ἄγγελον ἐπιστῆναι καὶ τῆς ὁρμῆς τὸν δίκαιον ἐπισχεῖν, ἵνα μὴ δεηθῇ πίστεως ἑτέρας κύειν ἐπαγγέλλων τὴν Παρθένον, ἀλλ' ἔχῃ τὸ κυοφορούμενον μάρτυρα τῆς κυοφορίας. Τάχα δ' ἂν καὶ ἕτεροι τοιαύτας τινὰς ἀπέδοσαν αἰτίας καθόσον εἶχυσε τῆς ἄνωθεν σοφίας. Ἐμοὶ δὲ δοκεῖ τῶν λεγομένων τε καὶ πραττομένων τότε τὴν οἰκείαν ἰσχὺν ἕκαστον παρέχειν, ὅτε τὸν οἰκεῖον καιρὸν ἀναμένει· τὸ γὰρ ἄκαιρον περιθραύειν εἴωθεν ὡς τὰ πολλὰ τῆς ἐνεργείας τὴν δύναμιν· ὅτε οὖν εἰς ἀπορίαν λογισμῶν κατέστη ὁ Ἰωσὴφ, τότε τὴν ἔριν ὁ ἄγγελος ἐπέστη λύων τῶν λογισμῶν. Ὅτε δὲ διεπορεῖτο καὶ ταῖς τῶν διαβουλιῶν ἀντιπνοίαις D ἐκυμαίνετο, δῆλον ἡ μελέτη τῆς πράξεως ποιεῖ· « Ἠβουλήθη γὰρ, φησὶ, λάθρα ἀπολῦσαι αὐτήν· » οὐκ ἂν οὔτε λάθρα δηλονότι οὔτε ὅλως ἐκπέμψαι βουληθεὶς, εἰ νόθου γονῆς τὸν ὄγκον ἐπέπειστο τῆς γαστρός· ἀλλὰ τοὐναντίον δίκαιος ὢν καὶ ἐραστὴς καὶ παρανομίαν εἴτις ἄλλος μισῶν, νόμῳ ἂν καὶ τιμωρίᾳ τοῦ γάμου τὴν κλοπὴν, λύων τε πᾶσαν ὑπόνοιαν εἰς αὐτὸν ἀναφυομένην πονηρὰν, καὶ τοῦ δικαίου τὴν προστασίαν οὐ προδιδούς· ἀλλὰ τοῦτο μὲν οὔμενουν οὐδόλως ἐπέπειστο· πολλὰς γὰρ ἡ Παρθένος τὰς πίστεις, αἳ τὴν τοιαύτην αὐτοῦ ὑπόληψιν ἀφῄρουν παρεῖχε, τὴν ἀκρίβειαν τοῦ βίου, τῆς ἀναστροφῆς τὴν σεμνότητα, τὸ καθαρὸν τῆς διαίτης, καὶ πρὸ

[17] Luc. v, 4.

Digitized by Google

τούτων τὸ ἐκ λαμπροῦ γένους προελθεῖν (βασιλικῆς γὰρ καὶ ἱερατικῆς κατήγετο φυλῆς), τὴν ἐν ἱερῷ τῆς πρώτης ἡλικίας ἀνιέρωσιν· ταῦτα καὶ τούτων πλείονα μακρὰν ὑπονοίας οὐχὶ τῆς ὁρώσης εἰς εὐθύνας, ἀλλ' οὐδὲ τῆς τὸ ἀπρεπὲς εὐλαβουμένης τὸν πρεσβύτην ἐποίει· οὐδὲ ἐκεῖνο δὲ πάλιν ᾔδει τὴν κύησιν τῆς θείας ἐνεργείας εἶναι· ὑπὲρ ἔννοιαν γὰρ ἀνθρωπίνην καὶ λόγον ἅπαντα τῆς περὶ ἡμᾶς Θεοῦ κηδεμονίας τὸ ἔργον ὑπῆρχε. Διόπερ τοὺς λογισμοὺς ἐνοχλούμενος, οὐκ εἶχε συνορᾷν ὅπερ ἀνδιαπραξάμενος τὴν τε τοῦ δικαίου μὴ καθυβρίσῃ κλῆσιν, καὶ Θεῷ συνδιασώζων τὸ εὐάρεστον ὀφθείη.

Ὅτε τοίνυν ἐν τοῖς τοιούτοις διεκλονεῖτο, καὶ ἡ πρὸς θάτερον ροπὴ τῆς ἀνθρωπίνης κρίσεως αὐτὸν ἐπελελοίπει, τότε λίαν ἁρμοδίως καὶ κατὰ καιρὸν ὁ ἄγγελος ἦκε στηρίζων αὐτοῦ τὴν κεκινημένην διάνοιαν, ἐφ' οὕπερ ἔδει μένειν ἀκλόνητον, καί φησιν· « Ἰωσὴφ υἱὸς Δαβίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ Πνεύματός ἐστιν ἁγίου· τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· » μηκέτι, φησὶν, τῆς ἀμηχανίας ἔσο, μηδέ σε δόξαι μαχόμεναι διαπορεῖν ἀναπειθέτωσαν τὸ πρακτέον· ἐκ Πνεύματός ἐστιν ἁγίου τὸ ἐν αὐτῇ γεννηθέν· ἁγίου δὲ Πνεύματος παρουσία, καὶ θέλημα σαρκὸς, οὐκ οἷόν τέ ἐστιν, οὐδέ σε λέληθεν, εἰς ἓν συνελθεῖν, οὐδὲ τὴν αὐτὴν ἐξοικειοῦσθαι πρᾶξιν· παράδοξος ὁ λόγος, ἀλλὰ παραδοξοτέρου τόκου ἐστὶν εὐαγγέλιον· « Ἐκ Πνεύματός ἐστιν ἁγίου, » καὶ « Τέξεται υἱόν· » ὅρα καὶ πρὸ τῆς γεννήσεως τὸν υἱόν· καὶ γεννηθέντος ἔστω σοι τεκμήριον τοῦ ἐκβεβηκότος ἡ πρόῤῥησις καὶ τῆς ἄλλης τῶν Εὐαγγελίων ἀληθείας· ὁ γὰρ ἔτι τὸ κρυπτόμενον ἐν τοῖς θαλάμοις τῆς φύσεως καὶ εἰδὼς καὶ προανακηρύττων υἱὸν, οὗτος καὶ τεχνίτης γέγονε τῆς ἄνευ σπορᾶς ὑπὲρ λόγον δημιουργηθείσης σαρκὸς, καὶ τῆς παρθενίας φύλαξ, ὥσπερ μετὰ τὸν τόκον, οὕτω καὶ πρὸ τοῦ τόκου μὴ διαλύων τὰ σήμαντρα. « Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· » ἀλλὰ καὶ ἡ κλῆσις ἄνωθεν ἔχει τὴν κρίσιν· Ἰησοῦς γὰρ « ὅτι σώσει τὸν λαὸν αὐτοῦ. » — « Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκα σου. » Ταῦτα γὰρ οὐ πάντα μόνον ἀφαιρεῖται φόβον, ἀλλὰ καὶ μεγάλης θυμηδίας καὶ ἐλπίδων ἀνελπίστων χαρίζεται πλοῦτον· « Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. » Γυναῖκα σὴν τὴν Παρθένον ἀκούων ἔχεις ἐκ τῆς φωνῆς τὴν πρὸς πᾶσαν ἀνδρὸς ὁμιλίαν καθαρότητα. Εἰ γὰρ ᾧ συνῄφθη νόμῳ τὸ τῆς παρθενίας, ἀνέπαφόν τε καὶ ἀκήρατον συνδιέσωσε, πῶς ἂν ἑτέρου τινὸς ἔρωτα παραδέξασθαι; κἂν γοῦν σκιάν τινα καταλίπῃ ὑπολήψεως, σοῦ γυνὴ νόμῳ γεγενημένη μνηστείας κρείττω καὶ ὑψηλοτέραν ἑαυτὴν καὶ τῶν νομίμων διετήρησεν, ἑτέρῳ παρανομεῖν πῶς ἂν ὑπέστη χώραν παρασχεῖν; καὶ τῆς ἐκείνου χάριτος ὕβριν ἀλλάξασθαι, ἢ μηδὲ χωρὶς ὕβρεως ἀνασχομένη τῆς παρθενίας ἐξίστασθαι; Ἔχεις οὖν παρὰ σεαυτῷ τῆς καθαρότητος τὴν μαρτυρίαν ἀπαράγραπτον· διὸ « Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· » οἷς γὰρ πρὸς σὲ τὸ τῆς παρθενίας ἀμόλυντον διεσώσατο, τούτοις καὶ τοὺς ἀναντιῤῥήτους πορίζεσθαι· γυνή σου, φησὶν, ὁρᾷς, καὶ

ciplinæ puritatem, et ante omnia illius ex illustri genere ortum (ex tribu nempe regia et sacerdotali nata erat), ejus in templo a teneris consecrationem; hæc et his plura adhuc longe a suspicione non tantum ad accusationem tendente, sed etiam indecentiam formidante, senem removebant. Sed neque rursus sciebat hanc conceptionem divina operatione effectam, supra rationem enim et sensum humanum est Dei in nos misericordiæ opus. Itaque mente conturbata non valebat intelligere quid faceret, ut justi appellationem non fœdaret, et Deo placere perseveraret.

Cum igitur talibus perturbaretur, nec ad ullam partem humani judicii motus illum inclinaret, tunc apte et opportune venit angelus qui agitatam ejus mentem firmaret et doceret ubi absque sollicitudine deberet sedere. Et ait: « Joseph, fili David, noli timere accipere Mariam conjugem tuam; quod enim in ea natum est, e Spiritu sancto est; pariet autem filium et vocabis nomen ejus Jesum; » nec jam sis, inquit, incertus neque pugnantes sententiæ ut dubites persuadeant: quod faciendum est a Spiritu sancto est in ea natum. Spiritus sancti vero præsentia et voluntas carnis nequeunt, ut scis, in unum convenire neque eumdem actum sibi vindicare; incredibilis sermo, sed incredibilioris partus evangelium est: « De Spiritu sancto est, » et « Pariet filium. » Vide et ante nativitatem filium; et cum natus fuerit, sit tibi in testimonium ut et de omni evangeliorum veritate, hujus eventus prædictio. Qui enim quod adhuc in sinu naturæ absconditum est et scit et prænuntiat filium, ille artifex est hujus sine semine supra rationem creatæ carnis, et virginitatis custos, ut post partum, sic et ante partum sigilla non solvit. « Et vocabis nomen ejus Jesum. » Sed et appellatio suam desursum habet significationem; Jesus enim, « quia salvabit populum suum. » — « Ne timeas accipere Mariam conjugem tuam. » Hæc enim non modo omnem tollunt timorem, sed et magnæ lætitiæ et insperatæ spei largiuntur divitias: « Ne timeas accipere Mariam conjugem tuam. » Conjugem tuam virginem audiens, habes ex hac voce ab omni hominis commercio munditiam. Si enim sub ea lege quæ innexa est virginitatem intactam et immaculatam servavit, quo modo alterius amorem admisisset? Et si umbram quamdam suspicionis adhuc reliquerit, reor tua matrimonii jure facta seipsam majorem et excelsiorem et legitimis servavit, quomodo alteri legem transgrediendi sustinuisset locum præbere? Et ex ejus amore opprobrium incurrere, quæ nec sine opprobrio noluit virginitate excedere? Habes igitur et prope teipsum incircumscriptum munditiæ testimonium. Ideo, « Noli timere accipere Mariam conjugem tuam. » Quibus enim quoad te virginitatis integritatem servavit, iis et inconcussa argumenta præbet; uxor tua, inquit, ut audis, a me ipso dicitur, et eam non cognovisti. Si autem ex quo hoc uxoris nomen sibi assumpsit, totum hoc tempus ab omni tecum com-

Digitized by Google

mercio mundum ostendit, quomodo non manifestum est illam omne alterius commercium vitavisse, cujus neque humana neque divina vos uxorem eam nominavit?

Ita igitur angelus hac uxoris appellatione eam mundam esse ab omni immunda suspicione Josephum docet. Nominaret autem forte eam uxorem et quia nulla curarum quæ de uxore virum sollicitant eam justus privabat. Et alia providens eam non negligebat, et domi cohabitantem circumloquebatur, et omni probro et calumnia, quemadmodum sapientis uxoris maritus, eam superiorem studebat videre. Si autem et uxorem dixit, quia sponsi ordinem Joseph habebat, et ut sponsos mos ipse, etiamsi nondum thalamum ingressi sint, non prohibet viros appellari, sic et quæ virginitatem adhuc servant, mulieres eorum permittit nuncupari, non deceret me hoc rejicere. Etenim et Jacob patriarcha, cujus nondum commercio usus erat Rachel, mulierem suam manifeste vocat. Dicit ad Laban, postquam jam sui servitii tempus complevit. « Da uxorem meam, completi sunt enim dies mei, ut ingrediar ad eam [18]. » Sic priscus mos est mulieres eas quæ sunt sponsæ vocare. Ita ut inde videre sit mulieris appellationem minime virginem contristare voluisse. Virginis autem nomini non contradicere mulieris nomen patet ex generis distinctione, in hominem et mulierem naturam dividens. Mulieris enim verbo non solum quæ hominem non cognoverunt, neque eæ solum quibus contingit ut, virginitate permanente, adolescentiæ finibus egrediantur; sed et femina ante juventutem vel etiam recens nata comprehenditur. Quemadmodum, ut patet, nomen viri participant et qui pueros genuerunt et qui inter juvenes numerantur, sed et qui hujus ætatis usque ad teneros descendunt. Sic igitur ea solito usu facile perceptu est mulieris vocem non auferre quod virginitatem decet. Mulierem enim non semel, sed et sæpius Evam vocat Adami uxorem virgineo adhuc ornatam decore et puris paradisi floribus vernantem, et longe a transgressione, et Dominico mandato stantem et nuditate, et bestiæ consilio excelsius institutum suum ferentem; quando (et eos non licet pro ipsa rerum evidentia imputare) imperturbatos ferebat corporeæ voluptatis sensus, quæ sæpius vocata est Adami mulier, meliore vocatione digna judicata quam ut carnalium desideriorum pugnis misera efficeretur.

παρ' ἐμοῦ λέγεται, καὶ πεῖραν αὐτῆς οὐκ ἔχεις· εἰ δ' ἐφ' οὗ τὸ τῆς γυναικὸς ἥρμοσεν ὄνομα, τοῦτον ἡ Παρθένος ἔδειξε καθαρεύοντα τῆς πρὸς αὐτὸν ὁμιλίας, πῶς οὐκ εὔδηλον ὅτι καὶ παντὸς ἄλλου, οὗ μήτε ἀνθρώπινος μήτε θεῖος λόγος ὀνομάζων ὤφθη γυναῖκα;

Οὕτω μὲν οὖν ὁ ἄγγελος διὰ τῆς προσηγορίας τῆς γυναικὸς καθαρεύειν πάσης οὐκ εὐαγοῦς ὑπολήψεως τὸν Ἰωσὴφ ἐκδιδάσκει. Ὀνομάζει δ' ἂν ἴσως αὐτὴν γυναῖκα, καὶ διότι περὶ γυναικὸς ὅσαι φροντίδες ἔχουσιν ἄνδρα, οὐδεμιᾶς ταύτην ὁ δίκαιος ἀπεστέρει. Τά τε γὰρ ἄλλα προνοούμενος αὐτῆς οὐκ ἠμέλει, καὶ οἴκοι συνοῦσαν περιεῖπε, καὶ μώμου παντὸς καὶ διαβολῆς ἁπάσης, οἷα δὴ κόσμιος ἀνὴρ γυναικὸς σωφρονούσης ἀνωτέραν ἐσπούδαζε καθορᾶσθαι. Εἰ δὲ καὶ γυναῖκα προσεῖπε, διότι μνηστῆρος τάξιν ὁ Ἰωσὴφ εἶχεν, ὥσπερ δὲ καὶ τοὺς μνηστῆρας τὸ ἔθος, κἂν οὔπω συνῆλθον εἰς εὐνήν, οὐ κωλύει προσαγορεύειν ἄνδρας, οὕτω δὴ καὶ ὅσαι τὴν παρθενίαν ἔτι διασώζουσι, γυναῖκας αὐτῶν δίδωσι καλεῖσθαι, οὐδὲν ἐμοὶ διαφέρεσθαι προσήκει· καὶ γὰρ καὶ Ἰακὼβ ὁ πατριάρχης, ἧς οὔπω καταστὰς ἦν εἰς πεῖραν ὁμιλίας, τὴν Ῥαχὴλ λέγω, γυναῖκα αὐτοῦ περιφανῶς ὀνομάζει. Φησὶ πρὸς Λάβαν, ἤδη τὸν τῆς δουλείας ὅρον ἐκπεπληρωκώς, « Ἀπόδος τὴν γυναῖκά μου, πεπλήρωνται γὰρ αἱ ἡμέραι μου, ὅπως εἰσέλθω πρὸς αὐτήν. » Οὕτως ἐστὶ παλαιὸν ἔθος γυναῖκας καὶ τὰς μεμνηστευμένας ὀνομάζειν. Ὥστε κἀντεῦθεν ἔστι λαβεῖν ὡς μηδὲν ἡ τῆς γυναικὸς προσηγορία παραλυπεῖν ἐθέλει τὴν παρθενίαν. Ὅτι δὲ πρὸς τὴν παρθένον τὸ τῆς γυναικὸς οὐ μάχεται ὄνομα, ἤτε συνήθης τοῦ γένους διαίρεσις εἰς ἄνδρα καὶ γυναῖκα τέμνουσα τὴν φύσιν, ποιεῖ φανερόν. Τῷ γὰρ τῆς γυναικὸς ῥήματι οὐχ ὅσαι μόνον ἔλαβον γνῶσιν ἀνδρὸς, οὐδ' ὅσαις γέγονεν ἐν τῷ τῆς παρθενίας ἀπαραλλάκτῳ τὴν τῶν νεανίδων ἡλικίαν ὑπαλλάττειν, ἀλλὰ καὶ τὸ πρὸ τῆς ἀκμῆς θῆλυ μέχρι τοῦ νεογενοῦς περιλαμβάνεται· ὥσπερ δηλονότι τῆς προσηγορίας μετέχουσι τοῦ ἀνδρὸς ὅσοι τε παῖδας ἔφυσαν καὶ ὅσοι τῶν ἡβώντων τὴν τάξιν ἐπέχουσιν, ἀλλὰ καὶ ὅσοι τῆς ἡλικίας ταύτης μέχρι βρέφους ὑποδεδήκασιν. Οὕτω μὲν οὖν καὶ ἀπὸ τῆς εἰθισμένης χρήσεως ἔστιν λαβεῖν ὡς ἡ τῆς γυναικὸς οὐκ ἀφαιρεῖται φωνὴ τῆς παρθενίας τὸ δίκαιον· γυναῖκα γὰρ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις τὴν Εὔαν ὀνομάζει τοῦ Ἀδὰμ ἔτι τοῖς παρθενικοῖς ἐμπρέπουσαν ὡραΐσμασιν, καὶ τοῖς ἀκηράτοις ἄνθεσι τοῦ παραδείσου ἐναρίζουσαν, καὶ πόρρω τῆς παραβάσεως καὶ τῆς Δεσποτικῆς καθισταμένην ἐντολῆς καὶ τῆς γυμνώσεως καὶ τῆς τοῦ θηρίου συμβουλῆς ὑψηλότερον τὸ πολίτευμα φέρουσαν· ὅτε καὶ αὐτοὺς οὐκ ἔστι σοι ἀπ' αὐτῆς τῆς τῶν πραγμάτων ἐνεργείας λογίσασθαι, ἀνενοχλήτους ἔφερε τοὺς λογισμοὺς σωματικῆς ἡδονῆς, ἡ πολλάκις ἐξονομασθεῖσα γυνὴ τοῦ Ἀδὰμ, κρείττονος ἀξιουμένη κλήσεως ἢ σαρκικῶν ἐρεθισμάτων ἐνταλαιπωρεῖσθαι μάχαις.

QUÆSTIO XXIII [*al.* XXII].

Quid significat illud : « Ecce Adam factus est tanquam unus ex nobis, sciens bonum et malum. »

ΕΡΩΤΗΣΙΣ ΚΓ'.

Τί σημαίνει τὸ, « Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν »

Edita a Maio, l. c., p. 24-27, in Gen III, 22.

Scio igitur quosdam dicere ironicum sermonem

Οἶδα μὲν οὖν ὡς τινες τὸν εἰρωνα λόγον διὰ τῶν

[18] Gen. XXIX. 21.

Digitized by Google

προκειμένων ῥημάτων φασὶ προσνηνέχθαι, καὶ ὀνειδίζειν τὸν Ἀδὰμ ἐφ' οἷς ὑπέρογκα φαντασθεὶς καὶ ἃ φιλανθρωπία τοῦ Πλάσαντος χερσὶ κατεῖχεν, ἐξ ἰδίας ἀβουλίας ἀπώλεσεν· οἱ δὲ γείτονα προκομίζοντες λόγον, ἕτερόν τι νομίζουσι λέγειν. Διασύρεσθαι γὰρ, φασὶ, καὶ διαχλευάζεσθαι τοῖς παροῦσι λόγοις τὴν τοῦ Ἀδὰμ περιπέτειαν. Καὶ ἄλλοις ἔδοξεν ἐπεγελᾶσθαι τὴν πρᾶξιν, δι' ἣν ὑψηλότερον τῆς αὐτοῦ φύσεως τοῖς λογισμοῖς ὁ ἄνθρωπος ἀναδραμὼν, καὶ ἧς ἠξιώθη τάξεως παρὰ τοῦ Πλάσαντος ἐφεστάναι, κατηνέχθη. Παραπλήσια ταῦτα καὶ ἀπὸ τῆς αὐτῆς ἐπιβολῆς τὴν πρόοδον λαβόντα, εἰ καὶ πρὸς διαφόρους ζυγοῦσι παραφυάδας ἀποσχίζεσθαι, ἐγὼ δὲ ταῦτα μὲν οὐκ ἂν οἰηθείην σοφὸν ἀποδοκιμάζειν, ἀκολουθότερον δ' ἂν φαίην κατανοεῖν ἑτέρας εἶναι διανοίας παραστατικὸν τὸ ἱερὸν ἐκεῖνο χωρίον· ποίας ταύτης; Ἐπειδήπερ ὁ Ἀδὰμ ἀντὶ τοῦ νομοθετεῖσθαι, νομοθέτου ἀξίωμα ἥρπασεν· ἀντὶ τοῦ κηδεμονίας καὶ παιδαγωγίας τῆς ἄνωθεν ἀπολαύειν, τῇ ἰδίᾳ γνώμῃ καὶ προνοίᾳ τὰς τοῦ βίου πράξεις κατεπίστευσε, καὶ τὴν ῥώμην ἔχειν ἐνόμισεν ἄνευ θείας ἐπιροπῆς καὶ τῆς τοῦ κρείττονος ἐπινεύσεως, ἐξαρκεῖν αὐτῷ διακρίνειν τὸ καλὸν ἀπὸ ταῦ χείρονος (οὐ γὰρ ἂν μὴ ταῦτα διαθέμενος καὶ κυρώσας παρ' ἑαυτῷ, οὔμενουν οὐκ ἂν ὑφῶσαι δόξαν ἑαυτὸν ὑπέδραμεν εἰς τὸ μέγεθος τῆς πρώτης ἀρχῆς, ᾗ κρίνειν τε καὶ διακρίνειν τοῦ πονηροῦ τὸ καλὸν, σοφία ἔμφυτος καὶ ἀπερινόητος ἐξ ἀϊδίου περίεστιν, ἀλλ' οὐδ' ἂν προτάττειν ὁρμὴν ἐτόλμησεν τὴν αὐτοῦ τῆς ἁπάντων δεσποζούσης τε καὶ πάσας χάριτας διαγνώσεως πηγαζούσης καὶ διακρίσεως· οὐδ' ἂν τὴν θείαν ἐντολὴν παρ' οὐδὲν θέμενος, ὅλην αὐτοῦ τῇ γνώμῃ τῶν πρακτέων διοίκησιν ἐνεχείρισεν)· ἐπεὶ οὖν, φησὶν ὁ Θεὸς, τοῖς ἔργοις παρέσχε τὸν ἔλεγχον, ἑαυτῷ καταπιστεύσας τοῦ βίου τὴν πρόνοιαν καὶ οὐκέτι τοῖς ἡμετέροις ὑποκύπτειν ἐθέλει προστάγμασιν, ἀλλὰ τό γε δοθὲν αὐτῷ αὐτεξούσιον πρὸς τὴν τοῦ δεδωκότος ὕβριν ἀπεχρήσατο, καὶ ἐνόμισεν ἑαυτὸν εἶναι ὡς ἕνα ἐξ ἡμῶν, νομοθέτην νομοθετούμενον, προνοητὴν οὐ προνοίας δεόμενον, δεσπότην οὐ δεσποζόμενον, ἄμεινόν ἐστιν αὐτὸν ἐκβληθῆναι τοῦ παραδείσου, διὰ δύο μάλιστα ταῦτα· ἵν μὲν ἵνα μὴ τρυφῆς εἰς ἄκαιρόν τε καὶ ἀπαιδαγώγητον ἀπόλαυσιν καταστάς, χείροσι καταλισθήσῃ παραπτώμασι, καὶ δεύτερον, ἵνα τοῖς τῆς ὑπερορίας κώλοις ἐνταλαιπωρούμενος, ἀπ' αὐτῶν πείρας μάθοι τῆς τε οἰκείας τὸ μέτρον δυνάμεως, καὶ ὡς πολὺ αὐτῷ λυσιτελέστερον ἦν, τῆς ἡμῶν προνοίας ἐξάπτεσθαι τὰ τῆς διανοίας καὶ τῆς πολιτείας κινήματα, ὅσον τε καθέστηκεν ἐνδεὴς τοῦ γινώσκειν ἀφ' ἑαυτοῦ τε τὸ καλὸν καὶ τὸ πονηρόν.

A prædictis verbis prolatum esse et Adamum opprobrio afficere quod superba imaginatus esset et ea quæ Conditoris benevolentia manibus retinebat, propriæ imprudentiæ causa perdidisset; alii vero, affinem rationem afferentes, alterum quid dicere student. Irrideri enim, inquiunt, et præsertim verbis Adami infortunium confundi. Et alii censuerunt irrideri actionem qua altius propria natura suis cogitationibus homo ascendens, ex eo etiam ordine in quo eum erigere dignatus erat Conditor, dejectus est. Proxima ea et ab eodem incepto iter suscipientia, etsi differentibus videantur deinde propaginibus. Ego vero non sapientis esse crederem ea rejicere, rectius autem dicerem aliud indicare sacrum illum locum. Quid igitur? B Postquam Adam, potius quam legi obediret, legislatoris dignitatem abripuit; potius quam cura et institutione divina frueretur, propriæ voluntati et vitæ prudentiæ actus credidit; et vim existimavit se habere absque ope divino et majore impulsu bonum a malo discernendi (nisi enim hæc apud se statuisset et stabilisset, non sane opinionem concepisset se ad majestatem primæ dignitatis erigendi, cui judicandi et discernendi bonum a malo inest naturalis et incomprehensibilis ab æterno sapientia; neque ausus esset propriam sapientiam sapientiæ huic anteponere, quæ omnibus dominatur et omnes scientiæ et discretionis gratias effundit, neque divinum mandatum nihili faciens, C cunctam agendi rationem propriæ voluntati commisisset); postquam igitur, inquit Deus, operibus se reum constituit, sibi ipsi fidens, in vitæ, providentia, et noluit meis obedire mandatis, et dato sibi libero arbitrio, ad injuriam illius qui illud ei dedit, abusus est, et credidit se ipsum esse ut unum ex nobis, legislatorem et non legis subjectum, providentem et non providentia egentem, dominum et non sub dominio constitutum, melius est eum a paradiso expelli, propter duo hæc præsertim: primo quidem ne, in funesta et indocili deliciarum fruitione stans, gravioribus offendat casibus; et secundo, ut exsilio afflictus, ex ipsis operibus et dolorum experimento discat et propriæ virtutis mensuram, et quantum ipsi commodi conferat D nostræ providentiæ proprii instituti et voluntatis motus adaptare, et quam a se ipso bonum et malum discernere impar sit.

Ταύτης δὲ τῆς διανοίας οἶμαι καὶ Σύμμαχον ἐγγὺς γεγονότα τὴν περιοχὴν τοῦ ῥητοῦ ἐκδεδωκέναι· « Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν ἀφ' ἑαυτοῦ καλὸν καὶ πονηρόν. » Αἱ δὲ ἔμπροσθεν εἰρημέναι τοῦ ῥητοῦ διηγήσεις ἐδίδασκον ἂν ἡμᾶς μὴ πρὸς ἕτερόν τι βλέπειν εἰ γε σύνηθες ἡμῖν ἐνῆν ὁρᾶν τοῖς ἱεροῖς ἡμῶν λογίοις ἐν τῷ διασύροντί τε καὶ εἰρωνικῷ καὶ διαγελῶντι τρόπῳ τὰ ἀντικείμενα τοῖς

Huic sensui propius accessisse Symmachum puto, et hujus dicti argumentum prodidisse: « Ecce Adam factus est quasi unus ex nobis, sciens bonum et malum [19]. » Quæ autem prius datæ sunt explanationes, nos non aliud esse prospiciendum docerent, si modo soleremus in nostris sacris oraculis sub irrisionis et ironiæ et diasyrmi forma opposita iis quæ prætenduntur significata et figurata videre,

[19] Gen. III, 22.

Digitized by Google

et.... per litteras valet. Nihil enim impedit omnino quin pro paucitate et insolentia verborum errari possit. Sed quomodo non solveret irrisionis et ironiæ et cavillationis vim ad parabolæ et similitudinis modum facta dictio? Contra enim si consequentiam habeant quæ dicta sunt, omne necesse erat verbum observari, quod injuriarum severitatem et acerbitatem mulcere posset. Ea autem vox : *ut unus ex nobis* vim ironiæ proscindit, et opprobrii mulcet acerbitatem. Non idem est dicere in objurgationem, multum sane abest : « Ecce Adam factus est unus ex nobis ; » et, « tanquam unus ex nobis. » Unum quidem simplicem et vividam et lethalem inducit irrisionem ; alterum vero per parabolam et similitudinem temperat et imminuit exprobrationem et rationem quamdam subjiciet irridere simul et irrisionem auferendi, cum ab initio liceret nullo modo irrisionis formam subire.

Ad hæc et illud animadverte. Si irridentis, si irrisionem exprimentis esset sermo dicens : « Ecce Adam factus est quasi unus ex nobis ; » quam habeat cum eo connexionem et consequentiam quod sequitur, non potest deprehendi. Perinde est ac si diceret : Postquam Adamus a spe decidit, qua erectus supercilia attollebat, ab incepto irrationabili vel invitus subsedit ; postquam superbiæ humiliatio successit ; postquam nuditatis pudor eum circumvenit ; deinde quod sequitur : quapropter decebat eum ejici a paradiso, ne quod audaciæ illi supererat et voluntatis superbia audaciorem manum reddentia ad rapinam impellerent eorum, quæ prius ne attingere quidem conatus erat. Num hæc aliquem consequentiæ rationem habent, aut sensum ab omni contradictione purum servant? Quod autem postea adhuc sequitur, nihil amplius ostendit quam quod dictum est. Dicit enim : « Et nunc ne forte extendat manum et apprehendat fructum de ligno vitæ et comedat et vivat in æternum [20]. » Quomodo non patet, si eo quod de sua spe et exspectatione deciderit, irridetur, ut his ostensum est, et omnem suam vim infirmitate mutaverit, et suæ fiduciæ propter jactantiam subierit jacturam, nec propriis viribus potuerit protegi, et eum his quibus antea protegi decuerit, tanquam voluntatis peccatum et vulnus mentis generositati afflictum sufficerent, illum a secunda audacia recedere? Manifestum est etiam nostram in ejus lapsum irrisionem et juvenilium cogitationum infirmitatem evidenter proscribere? Prohibere enim ne quid de ligno vitæ apprehendat.... eum et post transgressionem satis virium habuisse ut faceret quod antea nequibat, testatur. Nemo enim aliqua re aliquem interdicit qua jam natura exclusus est.

Dictum est tamen a quibusdam doctissimis illud : « Ecce Adam factus est tanquam unus ex

[20] Gen. xxix, 21.

προτεινομένοις παραδηλούμενά τε καὶ αἰνιγματιζόμενα καὶ.... ον διὰ γράμματος ἰσχύει. Οὐδὲν γὰρ ἐν πλάτει κωλύει λόγων παρεμπίπτειν κατὰ τὸ σπάνιον καὶ τὸ ἄηθες. Ἀλλὰ πῶς οὐκ ἐκλύσειε τοῦ διασύρειν καὶ εἰρωνεύεσθαι καὶ ἐπιγελᾷν τὸν τόνον ἡ κατὰ παραβολὴν γεγενημένη καὶ ὁμοίωσιν λέξις ; Τοὐναντίον γὰρ εἴπερ εἶχεν ἀκολουθίαν τὰ εἰρημένα, ἅπαν ἔδει παραφυλάττεσθαι ῥῆμα τὸ ἀπότομον καὶ πικρὸν διαπραῦνον τῶν ὀνειδισμῶν· ἡ δὲ, ὡς εἷς ἐξ ἡμῶν, τὸ δριμὺ τῆς εἰρωνείας ὑποτέμνεται καὶ τὴν τραχύτητα καταλεαίνει τοῦ προπηλακισμοῦ. Οὐ γὰρ ἴσον εἰπεῖν εἰς ἐπίπληξιν, οὐδὲ πολλοῦ δεῖ, « Ἰδοὺ γέγονεν Ἀδὰμ εἷς ἐξ ἡμῶν, » καὶ, « ὡς εἷς ἐξ ἡμῶν· » τὸ μὲν ἄκρατον καὶ σφοδρὸν ἐπάγει καὶ καίριον τὸν χλευασμόν· τὸ δὲ διὰ τῆς παραβολῆς καὶ ὁμοιώσεως κεκραμένην πως καὶ μετριάζουσαν τὴν ἐπιτίμησιν ποιεῖ, καί τινα λόγον ὑφέξει χλευάζειν τε ἅμα καὶ τὴν χλεύην ὑφαιρεῖσθαι, ἐξὸν ἀπ' ἀρχῆς τὸν τρόπον μηδόλως ὑπελθεῖν τῆς χλεύης.

Ἐπὶ δὲ τούτοις κἀκεῖνο συλλογίζου· εἰ διασύροντος, εἰ διαγελῶντος, εἰ εἰρωνείας προβάλλοντος ὁ λόγος ἦν ὁ λέγων, « Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν. » τίνα πρὸς αὐτὴν συνάφειαν ἡ ἀκολουθίαν ἕξει τὸ ἐπαγόμενον, οὐκ ἂν ἐθελήσῃ γνῶσιν παρασχεῖν· ὅμοιον γὰρ ὡσεὶ ἔλεγεν· Ἐπειδὴ τῶν ἐλπίδων καταπεσὼν ὁ Ἀδὰμ, αἷς ὀχούμενος τὰς ὀφρῦς ἀνέσπα, ὁρμῆς μὲν καὶ ἄκων τῆς ἀλόγου καθυφῆκε· τὸ γαυρίαμα δὲ κατήφεια διεδέξατο· καὶ αἰσχύνη τῆς γυμνώσεως αὐτὸν περιετείχισεν· εἶτα τὸ ἐπαγόμενον· διὰ τοῦτο προσῆκεν αὐτὸν ἐκβληθῆναι τοῦ παραδείσου, ἵνα μὴ τὸ περιγεγονὸς αὐτῷ θράσος καὶ τὸ ὑπέρογκον τοῦ φρονήματος θρασυτέραν τὴν χεῖρα ἀπεργασάμενα εἰς τὴν ἁρπαγὴν ἐκείνων συνελάσῃ, ὧν οὐδ' ἅπτεσθαι πρότερον οὐδεμίαν τόλμαν ἐπεδείκνυτο. Ἆρα γὰρ ἔχει τινὰ ταῦτα λόγον ἀκολουθίας, ἢ συνδιασώζει καθαρεύουσαν μάχης διάνοιαν ; Καὶ μὴν οὐδὲν μᾶλλον ἕτερον τὸ ἐπαγόμενον ἢ τὸ εἰρημένον δηλοῖ· λέγει γὰρ, « Καὶ νῦν, μήποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα. » Πῶς γὰρ οὐκ ἐπίδηλον, εἰ ἐφ' οἷς τῆς προσδοκίας διέπεσεν ἐχλευάζετο, ὡς τούτοις ἐδείκνυτο, πᾶσαν τε δύναμιν εἰς τὸ ἀσθενὲς μεταβεβλημένος, καὶ τῆς ἐφ' οἷς ἐσοβαρεύετο παῤῥησίας ὑποστὰς ἀφαίρεσιν, καὶ οὐ περιτειχίζεσθαι συνεχόμενον οἰκοθεν, προσῆκον ἦν ὧν ὀπετειχίζετο πρότερον, ὡς αὐτῆς τῆς τοῦ βουλήματος διαμαρτίας καὶ τὸ περιθραυσθῆναι τὸ γενναῖον τοῦ φρονήματος ἱκανῶν ὄντων, δευτέρας αὐτὸν ἀπάγειν θρασύτητος ; ἐμφανὲς δὲ καὶ ὡς ἡμῶν χλεύη κατὰ κατάπτωσιν αὐτοῦ τῶν νεανικῶν λογισμῶν καὶ ἀσθένειαν στηλιτεύει περιφανῶς. Τὸ δὲ κωλύειν αὐτὸν τοῦ ξύλου τῆς ζωῆς μετασχεῖν τὸ ἀ.....μετὰ τὴν παράβασιν καὶ ἀνδρίζεσθαι ποιεῖν ἃ μὴ πρότερον ἠδύνατο, μαρτυρεῖ. Οὐδεὶς γὰρ ἀπείργει τὸν οἰκοθεν ἀπειργόμενον. Ἀλλ' ἐκ πολλῶν μὲν ὀλίγα ταῦτα.

Εἴρηται μέντοι γε τισὶ τῶν χαριεστέρων τὸ, « Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, » οὐ πρὸς τὴν τῆς

Digitized by Google

Τριάδος ὑπεροχὴν τὴν ἀναφορὰν ἔχειν, ἀλλ' εἰς τὸ πλῆθος ἀφορᾷν τῶν λειτουργικῶν καὶ ἀσωμάτων δυνάμεων. Ἐγὼ δὲ τοῦτον τὸν λόγον μετὰ τοῦ ἐνέχεσθαι ταῖς προειρημέναις αἰτίαις, οὐδ' ὁρῶ τίνα χῶραν ὅλως ἔχει παρεντεθῆναι ἐνταῦθα. Οὔτε γὰρ τὴν συμβουλὴν τοῦ ὄφεως διασύρει, οὐδὲ ἀγγέλων φύσιν ὑπελθεῖν ἐρωτά ποθεν λαβεῖν ὁ Ἀδὰμ ἐφωράθη. Οὐδὲ ἦν πολὺ πόῤῥω δόξης τῆς ἀγγελικῆς διεστὼς, κατὰ τὸν παράδεισον τὰς διατριβὰς ἔχων, καὶ τῆς ἀθανασίας ἐπί γε τῇ προνοίᾳ τοῦ Πλάσαντος ἀπολαύων· διὰ ταῦτα τοίνυν οὐ ῥᾴων εἰμὶ τῇ τοιαύτῃ τοῦ ῥητοῦ συνεπινεύειν ἑρμηνείᾳ· μάλιστα δὲ καὶ διότι περ τὸ ἀντὶ ὀνόματος παραληφθὲν τοῦ λόγου μέρος εἰς τοιοῦτον σχηματίζεται τύπον. Τάχα δ' ἂν καὶ ἑτέροις τεθεώρηται τῶν εἰρημένων θειότερά τε καὶ τελειότερα. Ἐμὲ δὲ μήτε μνήμην ἔχειν τούτων ἡ τῶν πολλῶν καὶ ἀλλεπαλλήλων πειρασμῶν πληγὴ παραχωροῦσα, μηδ' εἰς ἔρευναν καθίστασθαι μηδεμίαν ἄδειαν παρεχομένη, εἰς τοῦτο γὰρ ἡμᾶς ὁ τῶν ἀνθρώπων φθόνος συνέκλεισεν, ἃ παρῆν εἰπεῖν ἐξ ὧν συνεῖδον κατὰ τὴν σὴν φιλομαθεστάτην ἀξίωσιν οὐκ ἐπέσχεν οὐδεμία· καίπερ . . . . . σιγῆς πρόφασις· ἀλλὰ κατὰ μὲν ἐπιβολὴν κεφαλαιώδη καὶ σύντομον καὶ καιρὸν τοιοῦτον ἀρκέσοι τὰ εἰρημένα. Εἰ δέ τι καὶ σὺ τούτοις προσθείης οὐκ ἔλαττον σαυτῷ ἢ καὶ ἡμῖν γε τοῖς διδασκάλοις τὴν χάριν ἀνταποδοίης· ἴσως δ' ἂν τινος ἀφορμῆς παρὰ σοῦ πορισθείσης, καὶ ἡμῖν ἂν γένοιτο τῆς Μωσαϊκῆς θεοπτίας οὐ πόῤῥω τὴν σπουδὴν ἡμῶν διωθουμένης, μάλιστά γε καὶ τῶν συνεχόντων παθῶν εὐμενείᾳ τοῦ κρείττονος ἐλαττουμένων, σοφώτερόν τι περὶ τῶν προκειμένων διανοηθῆναι.

A nobis; » non ad Triadis excellentiam referri, sed respicere ad multitudinem sanctarum et incorporearum potestatum. Ego vero, præterquam quod prædictis causis subjacet hic sermo, non video quem locum habeat hic interseri. Neque enim serpentis consilium obtrectat, neque angelorum naturam suscipiendi amorem concepisse Adam visus est. Non longe a gloria angelica stabat, dum in paradiso commorabatur et providentiæ Creatoris beneficio immortalitate fruebatur. Propterea non libenter tali hujus verbi explanationi acquiescerem; præsertim quia pro nomine suscepta sermonis pars in talem transfertur figuram. Forte et ab aliis inventa sunt iis quæ dicta sunt diviniora et perfectiora. Me vero neque etiam eorum memoriam tenere B persuasit multorum et sibi succedentium conatuum ictus nullam ad investigationes statuendas securitatem præbens. Ad id enim nos hominum invidia perduxit ut quæ paratus eram dicere ex his quæ intellexi, juxta tuam dignitatem, dicere minime securum sit. Quamvis .... silentii prætextus. Sed pro brevi et summaria responsione et pro tali tempore hæc sufficiant dicta. Si autem et tu his adjiceres, non minus tibi quam nobis magistris tuis gratiam rependeres. Forsan vero si quiddam aggredereris ipse, Mosaica visione non procul ardorem nostrum removente, præsertim vero malis et continuis affectibus potentioris benevolentia imminutis, adesset aliquid sapientius de præcedentibus C cogitari.

ΕΡΩΤΗΣΙΣ ΚΔ'.

Πῶς θελητός τε καὶ ἀθέλητος τῷ Πατρὶ ὁ θάνατος λέγοιτ' ἂν εἶναι τοῦ Χριστοῦ· καὶ πῶς πάλιν ὁ αὐτὸς συνέλθοι τῷ πονηρῷ θελητός τε ἅμα εἶναι καὶ ἀθέλητος.

QUÆSTIO XXIV [*al.* XXIII].

Quomodo et voluntaria et involuntaria Patri mors Christi dici queat fuisse. Et quomodo rursus accidat ut eadem mors diabolo voluntaria simulque involuntaria fuerit.

Edita a Maio, *Nov. Coll.*, t. I, p. 74.

α'. Ἡ μὲν οὖν ἀπορία γλαφυρωτέρας τινὸς θεωρίας ἀπαιτεῖ καὶ διακρίσεως λόγον· οὐκ ἔστι δ' ἀπρόσδεκτον ἐπικουρίας ἑκάτερον τῶν ἀπορουμένων, ἀξιόλογον ἐπιδειχθῆναι· δεῖ δ' οὖν ἐκεῖνα πρότερον εἰς τὴν ἐνισχύουσαν ῥοπὴν ἀναγαγόντας, οὕτω κατὰ τὴν προσήκουσαν τάξιν καὶ τὴν λύσιν ἐπάγειν πειρᾶσθαι· ἀλλὰ γὰρ ὅτι μὲν θέλημα τοῦ Πατρὸς ἦν ὁ D σταυρὸς τοῦ Χριστοῦ, αὐτὸς ἡμᾶς ὁ Σωτὴρ διδάσκει ἐν τῇ τοῦ θανάτου παραιτήσει λέγων· « Πλὴν οὐχὶ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω, » ἡνίκα τὸ πάθος, τῆς ἀνθρωπίνης φύσεως τὴν ἀληθείαν ἐπιδεικνὺς, ἀπηύχετό τε καὶ ἀθέλητον ὠνόμαζεν· οὐ μόνον δὲ τότε, ἀλλὰ καὶ ἡνίκα ἐπετίμησε τῷ Πέτρῳ, φρόνημα μὲν τοῦ Θεοῦ εἰπὼν τὸν ἑκούσιον θάνατον αὐτοῦ· φρόνημα δὲ διαβόλου, ᾧ δὴ καὶ ὁ Πέτρος, ἐξ οὗ καὶ τὴν ἐκείνου κλῆσιν κατεδικάζετο, τηνικαῦτα συνυπήγετο, εἰ καὶ μὴ ἐκ τῆς αὐτῆς διαθέσεως· ὁ μὲν γὰρ ἐκ φιλοστοργίας καιρὸν οὐκ ἐχούσης, ὁ δὲ τὴν ἡμῶν ἐξ ὧν ἐκακούργει καὶ ἐνήδρευε σωτηρίαν· ἀλλ' οὖν εἰς ἓν συνέῤῥεον, καίτοι γνώμης ἐκμαχο-

1. Quæstio hæc paulo altioris meditationis atque disceptationis orationem postulat. Neque argumenta desunt, quibus utraque dubitatio satis gravis demonstrari potest. Ergo opus est, ut primum dubia hæc suis singula momentis corroborata, exponamus; deinde ut convenienti ordine ad eorumdem solutionem aggrediamur. Sane quod Patris voluntate crucem Christus pertulerit, ipse nos Servator certiores facit, dum necem ab se deprecans ait: « Verumtamen non mea voluntas, sed tua fiat [21]; » quo tempore scilicet ut humanæ naturæ veritatem confirmaret, mortem aversabatur sibique involuntariam aiebat. Neque tunc solum, sed etiam cum Petrum increpuit, Dei consilio mortem, quam sponte obiturus erat, decretam ait [22]; diaboli autem molimine tunc prohibitam, itemque a Petro, qui ob id diaboli nomine ad ignominiam notatus fuit. Neque tamen eodem animi instinctu uterque ciebatur; sed intempestiva benevolentia Petrus; salutis nostræ odio ac persecutione diabolus. Cæteroqui reapse eodem confluc-

[21] Matth. xxvi, 39. [22] Matth. xvi, 23.

Digitized by Google

bant quamquam diversa mente perciti, nempe ut ne Christus pateretur : cujus passio humanæ naturæ passionibus medicinam fecit. Nam cum cerneret princeps malitiæ auctor illibatum illud Deoque dignum corpus physicis, quæ tamen dedecore omni carebant, passionibus obnoxium, insidias ei moliebatur, easque effectas dare studebat. Rursus in eo observans divinæ dignitatis splendorem per prodigia coruscantem, cohibebatur ac pedem referebat : ac modo Dominicam volens mortem, modo eamdem nolens, a versutia sua ad consilii inopiam transibat. Sed denique timorem vesania superavit. Nam cædium auctorem suus magis mos delectavit, quam timor inde oriens absterruit. Sic igitur evidenter sacræ nostræ Scripturæ prædicant voluntariam Patri mortem Filii fuisse, involuntariam autem diabolo. Et tamen quod idem diabolus crucis supplicium infligendum vel apprime curaverit, tum ex aliis conjecturis, tum ex hac indubia colligere licet, quia videlicet Judaicam ipse gentem ad facinus concitavit, quo Servatoris cædes peracta fuit. Atqui exploratum æque est, Filii passionem præter Patris voluntatem contigisse; id quod progrediente oratione luculentius declarabitur.

2. Age vero, quæstionis jam statu proposito, sequitur ut mentis ratiocinio et consideratione noscamus, etiamsi forte circa eamdem rem, Dominicam nempe mortem, contraria dicantur, haud hæc tamen secundum modum eumdem dici. Namque unum dicitur, quatenus ærumna est quam Christus patitur; alterum, quatenus fructus paritur. Fructus autem ejus necis fuit, salus humani generis reconciliata, diabolique tyrannis deleta. Hinc patet hanc rem fuisse Patri placitam ac voluntariam, atque ejus totius erga homines providentiæ summarium. Quidni vero et illud perspicuum sit, Christi nimirum obitum ab inimici nostri voluntate alienum fuisse, eique cladem maximam intulisse? Nam Filii cædes, qui erat naturalis passionis effectus, per se quidem Patri neque jucunda erat neque grata, imo indignationis apprime merens atque furoris; sicuti e contrario nihil erat ex diaboli sententia magis, nihil eidem charius aut amabilius. Quamobrem clemens Servator illa precum suarum formula veniam iis qui se læserant curans; « Pater, ait, condona illis hoc peccatum; non enim animadvertunt quid agant [33]. » Adeo Filii cædes contra Patris voluntatem fiebat, ut multam huic iracundiam commoveret; ac necesse fuerit læsum ipsum, deprecatorem fieri, quo rei pœnitentia expiati pœnas evaderent. Neque repugnat, Patrem Filii necem voluisse pariter ac noluisse : nam quod eam vellet, fructus præstantia in causa erat; quod vero nollet, id facinus per se spectatum faciebat.

3. Nam veluti imperator si fortem militem cernat vulnera excipientem, vulneribusque hostium ordines consumentem, ipsomet belli duce prostrato; lætatur equidem quod victoriam strenuus hic de adversariis

μένης ὡρμημένοι, τὸ μὴ βούλεσθαι παθεῖν τὰ πάθη τῆς ἀνθρωπίνης ἴσατο φύσεως· ὁρῶν μὲν γὰρ ὁ τῆς κακίας γενεσιουργὸς τὸ πανάχραντον ἐκεῖνο καὶ θεοπρεπὲς σῶμα τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις ὑποκείμενον πάθεσι, τὴν ἐπιβουλὴν ἐβούλευέ τε καὶ εἰς ἔργον ἄγειν ἐσπούδαζεν· ὁρῶν δὲ πάλιν διὰ τῶν θεοσημείων τῆς θεϊκῆς ἀξίας τὴν αἴγλην ὑπεραστράπτουσαν, συνεστέλλετό τε καὶ ἀνεδύετο, καὶ πρὸς τὸ θέλειν τε ἅμα καὶ μὴ θέλειν τὸν Δεσποτικὸν θάνατον ὑποφερόμενος, τὴν μηχανὴν εἶχεν εἰς ἀμηχανίαν καταστρέφουσαν· ὅμως ἐνίκα τὸ δεινὸν ἡ ἀπόνοια· τῷ γὰρ τῆς μιαιφονίας τεχνίτῃ μᾶλλον αἱρετὸν τὸ σύνηθες, ἢ φοβερὸν ὁ ἐπιφυόμενος φόβος· οὕτω γοῦν ἐμφανῶς τῶν ἱερῶν ἡμῶν Λογίων θελητὸν εἶναι τῷ Πατρὶ τὸν θάνατον ἀνακηρυττόντων τοῦ Υἱοῦ, ἀθέλητον δὲ τῷ πονηρῷ· τὸ γὰρ ὅτι παντὸς αὐτῷ μᾶλλον ὁ διὰ σταυροῦ θάνατος ἠγωνίζετο, λαβεῖν ἔστι καὶ ἐκ πολλῶν ἄλλων καὶ ὅθεν οὐκ ἄδηλον· καὶ γὰρ τὸ Ἰουδαίων ἔθνος ἐκείνου κακουργεῖν ἀνακινοῦντος, τὸν κατὰ Σωτῆρος ἐπαλαμῶντο θάνατον· ἀλλ' ὁμοίως μὲν ἐπίδηλον καὶ ὡς οὐχὶ τῷ Πατρὶ τὸ πάθος τοῦ Υἱοῦ θελητόν· ἔτι δὲ τοῦ λόγου προϊόντος, ἐπὶ πλέον δηλωθήσεται.

β'. Ἐπεὶ οὖν εἰς τάξιν ἦχθη ταῦτα διατυπώσεως, διαλογίζεσθαι προσῆκε καὶ σκοπεῖν, ὡς εἰ καὶ περὶ τοῦ αὐτοῦ πράγματος τἀναντία λέγεται, τοῦ Δεσποτικοῦ, φημὶ, θανάτου, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον· ἀλλὰ τὸ μὲν ἐξ αὐτοῦ τοῦ πάθους ὃ πέπονθε λέγεται, τὸ δὲ ἐκ τοῦ ἐκβεβηκότος· τὸ μὲν γὰρ ἐκβεβηκὸς διὰ τοῦ θανάτου, ἡ σωτηρία τοῦ γένους ἐπράχθη τῶν ἀνθρώπων, καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἡ καθαίρεσις· ὃ δῆλον ὅτι θελητόν τε τῷ Πατρὶ καὶ εὐδοκία, καὶ τῆς αὐτοῦ προνοίας συμπάσης περὶ τὸ ἀνθρώπινον γένος τὸ κεφάλαιον· τοῦτο δὲ πῶς οὐκ εὔδηλον ὅτι καὶ τῷ ἐχθρῷ ἀθέλητόν τε καὶ ἐσχάτη πληγή; τὸ μέντοιγε σφαγιασθῆναι τὸν Υἱὸν, ὅπερ ἦν ἡ διὰ τοῦ πάθους προϊοῦσα πρᾶξις, καθ' ἑαυτὸ μὲν οὔτε ἡδὺ τῷ Πατρὶ οὔτε εὐπρόσδεκτον, ἀλλὰ καὶ λίαν ὀργῆς ἄξιον καὶ θυμοῦ· ὥσπερ δὴ τῷ πονηρῷ καταθύμιόν τε καὶ πάντων ἐρασμιώτατον τῶν τερπνῶν· διὸ καὶ ὁ φιλάνθρωπος ἡμῶν Σωτὴρ ἐν τύπῳ μεθοδεύων προσευχῆς τὴν ἄφεσιν τῶν ἐξυβρισάντων εἰς αὐτὸν, « Πάτερ, φησὶν, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασιν τί ποιοῦσιν· » οὕτω μὲν ἀθέλητον τοῦ Παιδὸς ἡ σφαγὴ τῷ Πατρὶ, καὶ πολλὴν τὴν ἀγανάκτησιν ἀνακινοῦσα· ὡς καὶ αὐτῆς δεῖσθαι τῆς δεήσεως τοῦ ἠδικημένου, ἐφ' ᾧ διὰ μετανοίας καθημαγμένους, μὴ δοῦναι δίκην τοὺς ἠδικηκότας· καὶ οὐκ ἐναντίον τὸ θέλειν καὶ μὴ θέλειν τὸν θάνατον τοῦ Υἱοῦ τὸν Πατέρα· τὸ μὲν γὰρ, ἐκ τοῦ ἐκβεβηκότος κατορθώματος· τὸ δὲ, ἐξ αὐτῆς τῆς προκαταρχούσης λέγεται πράξεως.

γ'. Καθάπερ γὰρ εἴ τις στρατηγὸς τὸν ἀριστέα βλέπων δεχόμενον τραύματα, καὶ τοῖς τραύμασι τῶν ἐναντίων τὰς παρατάξεις κενοῦντα, καὶ αὐτὸν τὸν ἀρχηγὸν τοῦ πολέμου καταβάλλοντα, χαίρει μὲν οἷς

[33] Luc. xxiii, 34.

Digitized by Google

τὸ τρόπαιον κατὰ τῶν ἀντιπάλων ὁ ἀριστεὺς ἵστησι, καὶ τοῖς τραύμασι πρὸς τὸ παράδοξον βλέπων τοῦ κατορθώματος οὐκ ἀλγύνεται· καθ' ἑαυτὰς δὲ τὰς πληγὰς λογοθετῶν, καὶ ταύτας ἐπιστρεφόμενος, οὐχ' ἡδέως ὁρᾷ τραυματίαν τὸν τὴν νίκην ἀναδησάμενον· οὕτω δὲ καὶ ὁ Πατὴρ, οἷς μὲν ἐώρα τὸν Υἱὸν τοῦ ἀνθρωπίνου γένους τὸν πολέμιον ταῖς ἐπὶ τοῦ σώματος πληγαῖς καταβάλλοντα, τῆς Θεῷ πρεπούσης εὐφροσύνης ἦν, καὶ ταῖς τοῦ Παιδὸς ἀνδραγαθίαις ἐσεμνύνετο· οἷς δ' ὁ φίλτατος τετραυματισμένος ἦν ταῖς πληγαῖς καὶ τοῖς μώλωψι, καθ' ἑαυτό γε εἰς αἵρεσιν οὐκ ἀνέφερε· μᾶλλον δ' ἐνταῦθα πλέον τὸ τῆς θελήσεως, ἥπερ ἐν τῷ παραδείγματι· ἐκεῖ μὲν γὰρ ἀρχομένων τῶν τραυμάτων, ἐπείπερ ἄδηλος ἦν ἡ νίκη, πικρὸν τὸ θέαμα τῷ στρατηγῷ, τῆς τροπῆς τῶν ἐχθρῶν οὔπω παρούσης, κατεφαίνετο· ἐνταῦθα δὲ ἀπ' αὐτῶν τῶν τραυμάτων, μᾶλλον δὲ καὶ πρὶν ἢ τοὺς μιαιφόνους τὸν Σωτῆρα τοῖς τραύμασι ἐνυβρίσαι, λαμπρόν τε καθεωρᾶτο τὸ τρόπαιον, καὶ οὐδὲν ἧττον ἢ ὅτε τοῖς ἐναγεστάτοις ἑτοιμᾶτο τὰ ἀτόλμητα· Θεῷ τε γὰρ καὶ τὰ μέλλοντα πάρεστι, καὶ ἡ γνῶσις ἀμφοῖν πρόεισι δι' ἴσου· οὐδὲν κατ' αὐτό γε τοῦτο τῶν ἐπιγενομένων, οὔτε τῶν πάλαι γεγονότων, οὔτε μὴν τῶν ἤδη παρόντων, τὸ ἧττον ἀποφερομένων· οὐδὲν οὖν ἄπορον ἔτι παραδέχεται, τὸ θελητὸν εἶναι τῷ Πατρὶ τὸν θάνατον τοῦ Υἱοῦ καὶ ἀθέλητον· οὐδὲ τὸ σπουδὴν μὲν αὐτὸν εἶναι καταπραχθῆναι τῷ ἀρχηκάκῳ τῆς φύσεως ἡμῶν ἐχθρῷ, πάσης δὲ μᾶλλον χαλεπωτέραν πληγὴν φέρειν τὸ προελθὸν πέρας ἀπὸ τῆς σπουδῆς· ὁ μὲν γὰρ πονηρὸς τῷ αἵματι χαίρων καὶ περιχανὼν τοῦ Σωτῆρος, οὕπω τῆς χαρᾶς τοῖς σπλάγχνοις ἐμβαθυναμένης, τήν τε ἀνίατον ἔσχε καταλαμβάνουσαν πληγὴν, καὶ τὸν ὄλεθρον ἀπαραίτητον· ὁ δὲ Πατὴρ οὐκ ἀρεσκόμενος αὐτόθεν τῇ τοῦ αἵματος χύσει, ἥρέσθη τε μάλιστα συμπροϊὸν τὸ τέλος ὁρῶν, καὶ περιχαρῶς προσεδέξατο· οὐκ αὐτὸ τοῦτο φιλῶν τὴν σφαγὴν τοῦ Παιδὸς, ἀλλ' ἐκ τοῦ τέλους, ὡς εἴρηται, καὶ ταύτην ἐξοικειούμενος, καὶ εἰς εὐδοκίας λόγον μεταποιῶν.

δ'. Καὶ ἔχεις κἀντεῦθεν εἰ βούλει καὶ ἀπορήματος παλαιοῦ πρὸς λύσιν ὁρῶσαν ἀναφυομένην ἀφορμήν· τὸ δὲ ἀπόρημα εἰ καὶ τοῖς τὰ θεῖα φιλοσοφοῦσιν οὐκ ἄδηλον, ἀλλ' οὖν εἰς κοινὴν ἁπάντων γνῶσιν εἰπεῖν λυσιτελέστερον· εἰ λύτρον ἐδόθη τὸ σωτήριον αἷμα τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἀνέῤῥυσιν τοῦ γένους ἡμῶν μεθοδεῦον, τίς ὁ λαβών (ὅτι); Πατρὶ μὲν γὰρ οὐχ ἥδυ τοῦ Παιδὸς ἡ σφαγή· τῷ δὲ λῃστῇ πῶς οὐ τολμηρὸν καὶ φονεῖ, δοῦναι Κύριον αἵματος γενέσθαι τοῦ δεσποτικοῦ; πολλὰ μὲν γὰρ καὶ ἄλλα τὴν διάλυσιν παραστήσει τοῦ ζητήματος, ὧν οὐκ ἄκαιρον ἴσως μετ' ὀλίγον ἐπιμνησθῆναι· τὸ δὲ διὰ τῶν ῥηθέντων προϊὸν, ὁ Πατὴρ μὲν δέχεται τὸ αἷμα τοῦ Παιδὸς πόθῳ τοῦ ἐκβεβηκότος· ὁ δὲ πονηρὸς ἑτοίμα μὲν καὶ ἐθρασύνετο λαβεῖν, ἀντέλαβε δὲ τῆς τυραννίδος

referat, neque ejus vulneribus, dum præclarum facinus spectat, dolet; sed tamen postea plagas ipsas per se considerans, atque his commotus, cruentam victoriam haud læto animo aspicit: sic Pater quatenus generis humanæ hostem a Filio suo acceptis in corpore vulneribus profligatum videbat, dignam Deo lætitiam capiebat, Filiique fortitudine gloriabatur: quatenus vero charissimus ille plagis atque vibicibus oneraliatur, id per se, inquam, æquo animo non ferebat. Cæteroqui plus voluntatis in passione Christi, quam in proposito exemplo versatum est. Nam quod attinet ad exemplum, dum vulnera quidem imponuntur, incerta adhuc victoria, tetrum imperatori spectaculum est, nondum hostibus inclinatis; verum in Christi passione ipso vulnerum initio, imo priusquam cruenti illi Servatorem plagis afficerent, splendidum coruscabat tropæum: neque minore perspicuitate quam postea visum est, cum ii scelesti immane facinus jam perpetraverant. Quippe Deo futura quoque præsentium instar sunt, isque pari utriusque temporis scientia utitur: et seu quæ adhuc eventura sunt, seu quæ jamdiu præterierunt, seu denique quæ in præsenti adsunt, æquali apud Deum conditione fruuntur. Jam nullam itaque dubitationem patitur, quod Filii obitus et voluntarius Patri fuerit et involuntarius. Rursus æque indubitatum est, studiose in facinus ab antiquo naturæ nostræ hoste fuisse curatum; itemque acerbissimam omnium cladem, re effecta, diabolum suo sibi studio intulisse. Etenim his qui Servatoris cruore gaudebat eique inhiabat, gaudio suo visceribus nondum recepto, mortiferum vulnus atque ineluctabile exitium perpessus est. Contra Pater, etsi sanguinis effusione illico non est gavisus, nihilominus, rei exitum spectans, summopere delectabatur, atque hunc eum ingenti lætitia exspectabat: haud sane quod Filii cædem per se ipsam expeteret; sed ob ejus fructum, ut diximus, hanc amplectens atque in rei placitæ loco ponens.

4. Porro autem hinc potes veteris quoque quæstionis dissolvendæ occasionem ultroneam, si libet, capere: quæ sane quæstio quanquam sacræ scientiæ studiosis non est incognita, nunc tamen non sine fructu ad communem omnium notitiam proferetur. Si pretii loco Servatoris sanguis datus fuit, qui nostri generis a captivitate redemptionem curaret, quis ejus receptor est? Patri certe haud erat grata Filii cædes: latroni autem et homicidæ diabolo quidni sit nefarium Dominici sanguinis potestatem tribuere? Aliæ quidem multæ quæstionis solutiones sunt, quas paulo post memorare non erit fortasse intempestivum: sed hæc speste ex ante dictis fluit, quod nempe Pater Filii sanguinem boni fructus studio suscepit; diabolus autem cum furore et audacia ad

NOTÆ.

(38) Super hac quæstione celebratum postea fuit apud Græcos multorum episcoporum concilium, sub Manuele imp. Comneno, quod accurate commemorat etiam Ephræmius a me editus in Cæsaribus v. 4742 seqq. Ipsos prædicti concilii actus ego brevi editurus sum.

Digitized by Google

accipiendum raperetur, tyrannidis suæ vice versa pernicieni retulit, atque inopinam et sine medela plagam : de qua pridem suspicans, partim quidem ad crucem ruebat, partim retinebatur atque a sacrilego impetu abstinebat. Atque adeo quæstio hæc jam non poterit piorum auribus esse molesta. Cæteroqui nihil vetat quominus nuper promissa faciamus. Redemptis pretium duplici sub notione considerare licet, nimirum ut captivorum redimias, atque ut captivorum Domino donum. Christi sanguis quatenus redimiarum vice fungitur, sane pretium redemptionis dici potest; verumtamen quatenus donum mangoni est, illo nomine uti nequit. Et quidem alia multa redemptionis proprie dicto pretio insunt, quæ arcanæ huic et inenarrabili œcónomiæ non congruunt. Siquidem qui pretium dedit, quia rei ejus deinceps dominus esse non potest, detrimentum necessarium patitur : contra qui accipit, lucro augetur, fitque rei dominus, quæ in ejus potestate antea non erat. Nunc omne contra est. Qui pretium obtulit (quandoquidem omnia in Dei potestate sunt, neque ipsius Abelis neque martyrum sanguis ab ejus providentia dominioque abfuit), hic, inquam, nullum cepit detrimentum. Nam quis omnino dicere velit, ab eo qui famulorum suorum, et quorum sanguis exhaustus fuit, curam gerit, quique mortuorum ut viventium clamores audit; quis, inquam, dicat, salutarem et qui orbem vivificat sanguinem, in thesauris providentiæ suæ ab eo non fuisse incolumem conservatum, atque ab omni corporea corruptione protectum? Non igitur damnum pertulit qui pretium contulit : imo universi generis nostri clemens Jesus salutem lucratus est. Qui vero se accepturum putabat, dum de suo unice lucro cogitat, illam quoque amisit, cujus vires tantopere jactabat, tyrannidem. Quare Dominicus salutaris sanguis pretium revera redemptionis est, quia nos captivitate expedivit : sed idem a redemptionis pretio differt, tum quia illi, qui naturam nostram fraudulenter servitio oppressit, non est oblatus; tum quia pretii quidem præclarum lucrum esse solet, nullo damno comite : attamen diabolo captivorum hero duplicatum potius summumque damnum evenit. Præterea redemptionibus aliis pacifica verba præeunt; hic dum pretium redemptionis persolvitur, justum Dei judicium, quam firmissime olim decreverat in hostem pœnam, eam hoc potissimum tempore facinoribus ejus inflixit. Denique in cæteris redemptionibus fœdera quædam vel ad longum vel ad breve tempus feriuntur; in hac, de qua agimus, nihil tale suspicari licet. Atque ejusmodi aliæ plurimæ differentiæ sunt. Quare fieri non potest ut oratio necessitatem præ se ferat, quemadmodum eam obtendere potest, cum vox redimiæ primario sensu intelligitur. Nam figurate hoc loco, si unquam alias, vox accipitur.

A αὐτοῦ τὴν καθαίρεσιν καὶ τὴν ἀπροσδόκητόν τε καὶ ἀνίατον πληγήν· ἣν καὶ ὑπιδόμενος, ἅμα τε ἐπεκήδα τῷ σταυρῷ, καὶ ἅμα συνεστέλλετό τε καὶ ἀφίστατο τῆς θεομαχούσης ὁρμῆς· καὶ οὐκέτι παρενοχλεῖν οἶμαι τὸ τῆς ἀπορίας ἰσχὺν ἕξει τὰς τῶν εὐσεβούντων ἀκοάς· πλὴν οὐδὲν κωλύει πρὸς τὴν ἐπαγγελίαν ἐλθεῖν· ὡς ἐπεὶ τὸ λύτρον πρὸς δύο τινὰ τὴν ἀναφορὰν ὡς ἐπίπαν ἔχει, ῥύσιόν τε τῶν κατεχομένων εἶναι, καὶ δῶρον ὁρᾶσθαι τῷ κατέχοντι· ὡς μὲν ῥύσιον τῶν κατεχομένων, λύτρον ἂν εἴη τὸ σωτήριον αἷμα, ὡς δὲ δῶρον τοῦ κατέχοντος, οὐδαμῶς· ἐπεὶ καὶ πολλὰ ἄλλα τῷ κυρίως λεγομένῳ προσόντα λύτρῳ τῇ ἀφράστῳ ταύτῃ καὶ ὑπὲρ λόγον οὐ πρόσεστιν οἰκονομίᾳ· καὶ γὰρ ὁ μὲν τὸ λύτρον διδοὺς, οὐκέτι
B δυνάμενος εἶναι Κύριος ὧν παρέσχε, τὴν ζημίαν ἔχει κατὰ τὸ ἀπαραίτητον ἀκολουθοῦσαν· κερδαίνει δ' ὁ λαβὼν [καὶ] καθίσταται δεσπότης ὧν πρότερον τὴν ἐξουσίαν οὐκ εἶχε· ἐνταῦθα δὲ τοὐναντίον ἅπαν· ὁ μὲν καταθέμενος τὸ λύτρον (καὶ γὰρ πάντα ἐν τῇ χειρὶ αὐτοῦ, καὶ οὐδὲ τοῦ Ἄβελ αἷμα, οὐ μὴν οὐδὲ τῶν μαρτύρων ἔξω τῆς αὐτοῦ καθέστηκε προνοίας καὶ χειρὸς) οὐδὲν μὲν δηλονότι ἐζημίωται· τίς γὰρ ἂν ὅλως εἰπεῖν ἐνοήσῃ, ὡς μὲν τῶν θεραπόντων αὐτοῦ, καὶ ὧν ἐκενώθησαν αἱμάτων ἔστι λόγος αὐτῷ, καὶ μετὰ θάνατον ὡς ἀθανάτων βοώντων ἀκούει; τὸ δὲ σωτήριον καὶ ζωοποιὸν αἷμα τοῦ κόσμου οὐκ ἐν τοῖς ἀθανάτοις τῆς αὐτοῦ προνοίας ταμείοις συνέχει ἀνώλεθρον αὐτῷ, καὶ φθορᾶς σωμάτων ἀνέπαφον συντηρούμενος (39);
C οὐκ ἐζημίωται τοίνυν οὐ μὲν οὖν ὃ τὸ λύτρον καταθέμενος, ἀλλὰ καὶ τοῦ γένους ἡμῶν παντὸς ὁ φιλάνθρωπος προσεκέρδησε τὴν σωτηρίαν· ὁ δὲ λαβεῖν νομίσας, ὅτι λαβεῖν μόνον ἐνόμισε, καὶ αὐτὴν προσαπώλεσεν, ἐφ' ᾗ τε μέγα ἐφρόνει καὶ ἣν ἐνισχύειν ἐνόμισεν αὐτοῦ τυραννίδα· ὥστε τὸ σωτήριον καὶ δεσποτικὸν αἷμα καὶ λύτρου χώραν ἂν ἐπέχοι, ἀνεκομίσατο γὰρ ἡμᾶς τῆς αἰχμαλωσίας, καὶ τοῦ λύτρου παραλλάσσει, ὅτι μηδὲ προσενέχθη τῷ τὴν ἡμετέραν φύσιν ἀπάτῃ δουλωσαμένῳ· καὶ ὅτι ἐν μὲν τῷ λύτρῳ τὸ κέρδος ὁρᾶται μέγα, μηδὲ μιᾶς συνεπινοουμένης ζημίας· ἐν δὲ τῷ κατέχοντι τοὺς αἰχμαλώτους, διπλῆ
D μᾶλλον δὲ παντελὴς ἡ ζημία· εἰ βούλει δὲ καὶ δεύτερα τῶν μὲν ἄλλων λύτρων συμβατήριοι προηγοῦνται λόγοι, ἐνταῦθα δὲ τοῦ λύτρου μελετωμένου, ἡ δικαία κρίσις ἐκ παλαιτάτου τῷ πολεμίῳ τὸ ἄσπονδον καταψηφιζομένη, ἔτι μᾶλλον τηνικαῦτα τὴν τοιαύτην ἐξ ὧν ἐκεῖνος ἔπραττεν ἐπιβάλλει καταδίκην· καὶ δὴ καὶ ἐπὶ μὲν τῶν ἄλλων, σπονδαὶ πάντως ἢ ἐπὶ πολὺν ἢ ἐπ' ὀλίγον συνίστανται χρόνον· ἐν δὲ τῷ παρόντι λύτρῳ οὐδ' ἐπινοίᾳ λαβεῖν ἔστι ψιλῇ τοιοῦτόν τι προενηγμένον, καὶ πόσα ἄλλα τοιαῦτα· ὥστε χώραν ὁ λόγος προτείνεσθαι ἀνάγκην οὐκ ἔχει, ὃν τρόπον ἐπὶ τοῦ κυρίως δύναται προβάλλεσθαι λύτρου· ἐκ μεταφορᾶς γὰρ ἐνταῦθα, εἴπερ ἀλλαχοῦ, παρείληπται ἡ φωνή.

NOTÆ.

(39) Notandus hic Photii locus propter famosam de sanguine Christi fuso versatam inter catholicos theologos quæstionem.

Digitized by Google

ε'. Καὶ δῆλον ὡς οὐ χρὴ βιάζεσθαι συνεφαρμόττειν τοῖς κατὰ μεταφορὰν λεγομένοις, ὅσα πάντως παρέπεσθαι εἰωθε τῷ κατὰ τὴν ἀπ' ἀρχῆς θέσιν τῆς φωνῆς ὠνομασμένῳ· δεῖ γὰρ εἰς κοινὸν ἀναγαγεῖν τύπον, ἃ νῦν ἐπὶ τοῦ προταθέντος ἐγυμνάσθη προβλήματος· ὡς ἂν πρὸς πολλὰ εἴη τῶν αὐτὴν ἀπορίαν συνάγεσθαι δυναμένων, ἐξ ἑτοίμου καὶ καθολικωτέρας ἀφόδου τὴν λύσιν ἐπάγειν, καὶ τὸ συνταράττον ἀποσκευάζεσθαι, οὐ τοῦτο δέ φημι, ἅπαγε, ὡς τοῖς τροπικοῖς τῶν ὀνομάτων οὐ δεῖ κεχρῆσθαι· σύντροφος γὰρ ἡμῖν οὐ πολὺ τῶν κυρίων ἔλαττον ἡ χρῆσις αὐτῶν· καὶ εἴ τις ἀφέλοι ταύτας ἔκ τε τῆς ἀνὰ χεῖρα ὁμιλίας, καὶ ἐξ αὐτῆς γε τῶν συγγραμμάτων τῆς ἑρμηνείας, καὶ μάλιστά γε τὰς πολλὴν ἐχούσας τὴν ὁμοιότητα καὶ ἐγγύτητα πρὸς τὰς οὐδὲν τετραμμένον παρεχομένας, οὐκ ἐπὶ πολὺ ἔλαττον εἰς στενὸν κομεῖ τὴν τῶν λόγων συγκλείσει χρείαν· ὡς πολλὰ τῶν πραγμάτων μηδ' ἔχειν ὀνόματι δηλῶσαι, ἢ εἴ τις τὴν κυριότητα τῶν ὀνομάτων τῆς ἡμετέρας χρήσεως ὑπερόριον ποιήσει· οὔκουν ἀχρηστίαν ἔτι καταγινώσκειν τῶν ἀπὸ τῆς τροπῆς τὴν γένεσιν ἐχόντων ὀνομάτων· ἀλλ' ἐκεῖνο φαίην ἂν ὡς εἰδέναι χρὴ λέξεως ἰδίωμα κυρίως τε λεγομένης καὶ κατὰ μετάθεσίν τινα τοῖς πράγμασιν ἐπιτιθεμένης· καὶ χρῆσθαι μὲν ταῖς φωναῖς ὡς ἐπιτρέπει τὸ ἔθος, μὴ μέντοιγε τὰ ὑπ' αὐτῶν σημαινόμενα εἰς τὴν αὐτὴν ἐξ ἀνάγκης συνάγειν τε καὶ συνδιαπλέκειν φύσιν· μεγάλων γὰρ γένοιτ' ἂν τοῦτο σφαλμάτων αἰτία, καὶ ἀπορίαι δόξουσι προκύπτειν, ἀπορίας μὲν τῇ ἀληθείᾳ λόγον οὐδένα προβεβλημέναι, τῇ δὲ μὴ κατὰ λόγον χρήσει τῶν σημαινομένων, οὐ πρὸς ἑτέρους μᾶλλον ἢ καθ' ἑαυτῶν τῶν οὕτω χρωμένων ταῖς φωναῖς τὴν ἀπορίαν ἐπινοούντων.

ς'. Αὐτίκα μάρτυρας καλοῦμεν τοὺς ὑπεραθλήσαντας Χριστοῦ, καὶ τὰ αἵματα αὐτῶν προσαγαγεῖν φαμὲν τῷ Θεῷ καλῶς γε καὶ δικαίως· ἀλλ' ἐκ μεταφορᾶς τῶν ὀνομάτων ἑκάτερον λέγεται· ἀπὸ γὰρ, οὗς ἡ πολιτεία μάρτυρας καλεῖν οἶδεν οἱ πάρεισιν ἐπὶ βεβαιώσει τῆς κατὰ τὸν βίον ἀληθείας, καὶ πίστιν δι' ὧν ἴσασιν ἐπάγουσι τοῖς προτεινομένοις, ἀπὸ τούτων καὶ τοὺς τῆς εὐσεβείας ἀγωνιστὰς ὀνομάζομεν μάρτυρας· καὶ γὰρ ὡς ἀληθῶς οὗτοι τὴν ἐνυπόστατον θεολογοῦντες ἀλήθειαν, ἐνώπιον τυράννων καὶ βασιλέων ἐμαρτύρησαν· καὶ προσενεγκεῖν αὐτῶν τὰ αἵματα τῷ Χριστῷ φαμεν, μετενεγκόντες τὴν προσφορὰν ἀφ' ὧν τε Ἄβελ ὁ δίκαιος τὰ τῶν ἀρνῶν ἐστεατωμένα, καὶ Ἀβραὰμ τὰ διχοτομήματα, καὶ τοὺς ἄρτους καὶ τὸν οἶνον ὁ Μελχισεδὲκ τῷ Ἀβραάμ· εἰ βούλει δὲ καὶ τὴν δεκάτην τῷ Μελχισεδὲκ ὁ προσδεξιωθείς. προσενήνοχε· καὶ δῆλον ὡς ἕκαστος τῶν προσενεγκόντων, ἕτερον προσήνεγκε παρ' ἑαυτὸν, καὶ μηδὲν ἀνιαρὸν ὑφιστάμενος, οὐδέ τι τῶν μελῶν περικοπτόμενος· οἱ δὲ τοῦ Χριστοῦ μάρτυρες οὔτε τι κεχωρισμένον προσήνεγκαν, οὐδ' ἀπαθεῖς τὸ σῶμα προσφέροντες ἔμειναν· ἀλλ' οὐδὲ κληθέντες ὑπό τινος, μαρτυρεῖν ἐφεστήκασιν, ἀλλ' αὐτοκλήτῳ γνώμῃ τὴν θαυμαστὴν ἐκείνην καὶ θεόλογον μαρτυρίαν ἐμαρτύρησαν· εἴ τις οὖν μὴ διαστείλας τὰ τοῦ μάρτυρος σημαιγόμενα, ἐπὶ θατέρου τὰ τοῦ ἑτέρου συμ-

A 5. Profecto constat non esse adnitendum ut ad ordinem metaphoricorum trahamus ea, quæ prorsus sectari solent id quod appellatum fuit secundum primam vocis positionem. (Nam me jam oportet ad generalem formam redigere id quod hactenus de proposito themate disputavi. Sic enim licebit et aliis multis, quæ eamdem perplexitatem creare possent, expedite et communiore ratione solutionem adhibere, atque obscuritatem avertere.) Cave autem putes, me verborum metaphoricorum usum interdicere: est enim nobis horum innata familiaritas, non minus propemodum quam eorum quæ proprio sensu efferuntur. Ac si quis ejus generis verba ex hoc ipso, qui in manibus est, tractatu, vel a Scripturarum enarratione submoveat, præsertim valde B similia ac proxima illis, quorum nullus tropus est; is haud multo secius arctis admodum finibus sermonis usum concludet. Quin adeo multæ res sunt, quas ne nomine quidem appellare possumus, nisi proprietas nominum procul usu quotidiano submoveatur. Ergo non licet inutilitatis accusare nomina illa, quæ a metaphora originem ducunt: sed vis potius cujusque vocabuli cognoscenda est, sive proprie usurpati, sive cum aliqua translatione rebus impositi. Atque verbis utendum est prout consuetudo fert, non autem illorum significantiæ ad eamdem naturam necessitate cogendæ et convolvendæ sunt. Hinc enim magni orientur errores, ac dubia passim emergent; quæ quidem veram nullam perC plexitatem exhibebunt, verumtamen ob absurdum significatuum usum, hi qui ita vocabula usurpant, non tam aliis quam sibi dubitationes creabunt.

6. Exempli gratia testes (martyres) vocitamus eos qui pro Christo certamen subierunt, eosque sanguinem suum obtulisse Deo dicimus. Præclare id quidem et merito: sed tamen sine metaphora neutra locutio est. Nam quia politica consuetudo testes appellat eos qui ad confirmandam quotidianarum rerum veritatem adsunt, fidemque quatenus sciunt suppeditant judicio certantibus, horum, inquam, exemplo religionis quoque athletis testium nomen imposuimus. Etenim hi revera substantialem veritatem theologica oratione coram tyrannis ac regibus D testati sunt. Hosque obtulisse Christo sanguinem dicimus, metaphora oblationis ex Abele justo sumpta, qui arietum adipes; et ex Abrahamo, qui divisas carnes; nec non a Melchisedeco, qui Abrahamo panes et vinum obtulit; imo et ab hoc qui susceptarum rerum decimas Melchisedeco attribuit. Cernimus autem singulos hos rem a seipsis diversam obtulisse, nihil molestum passos, nullisque suis membris amissis. Atqui Christi martyres nihil ab se alienum exhibuerunt, neque dum id sacrificium facerent, incolumia corpora retinuerunt. Sed neque ab aliquo postulati testimonio dicendo adfuerunt, verum ipsi spontaneo consilio mirum illud theologicumque testimonium præbuerunt. Si quis igitur indistinctis vocabuli *testis* significatibus, alterutri

Digitized by Google

id accommodabit quod alterius est, nonne aures imperitiorum quæstionibus onerabit? Neque minus ipse se fallet, dum se quæstionem in medium proferre judicabit, quam reapse non rerum difficultas exhibet, sed ipsius imperita vocabulorum usurpatio. Dicet enim hic etiam, ut facile puto, si testes sanguinem offerunt, quis hunc recipit? Si Christus, quomodo dici potest clemens hic sanguinibus hominum delectari? Si diabolus recepit, curnam ii voluissent suum hosti sanguinem libare? Ubinam vero judex, qui æquo jure cum disceptantibus agat? Disceptantes autem, quorum alterutri testis ad victoriam testimonium dat, quinam sunt?

7. Innumera ejusmodi a forensibus testibus sumpta ad sacros transferet testes, quicunque inepto studio quæstionum tenetur, aut quem in re seria fabulas venditare aut jocari non pudet. Atqui perfacilis solutio est, si ad primam dubitationum speciem dicamus, Christum quidem haud athletarum cruore sed mente delectatum, cædem eorum sanguinemque exhaustum recepisse. Neque facile minus dicas, cæsos fuisse pro Christo testes et sanguinem effudisse; id enim proprie dicitur, non figurate. Verum dictiones *obtulerunt* et *offerebant* et aliæ ejusmodi, in verbis translatis numerandæ sunt. Neque igitur necessarium est exquirere cuinam obtulerint: sicuti nihil opus est quærere, quonam ii pacto dici queant obtulisse, quorum corpora exhausto sanguine exanimata fuerunt. Quomodo enim offerrent, cum nihil a se distinctum afferrent, secus ac fit ab illis qui proprie offerunt? Hæc, inquam, omnia tantopere absunt a forma dubitativa, ut negligere satius sit, ne forte tibi videamur non immerito reprehendendi, quia cum ludentibus dimicemus. Nam sicuti in re seria ludere insanum est, sic in ridiculis serio agere dignissimum risu est. Si quæ vero locutiones absunt quidem a manifesta absurditate, neque semet ipsæ refutant, sed tamen perturbationem confusionemque multorum auribus creant, hominibus videlicet qui discernere nesciunt verba tropo carentia, ab iis quæ troporum legibus figurantur; facilius, inquam, est si differentiæ earum considerentur, propulsare ac dissolvere umbratilis controversiæ subtilitatem. Deligendæ igitur voces sunt, collocandæque quo loco adhiberi solent. Scire etiam oportet utramque circumstantiam, ita ut distincti serventur significatus et proprietas. Hinc specimen esto. Forensis testis dum uni e disceptantibus favet, alterum iniquum coarguit: at judex interim æquam sententiam hominibus reddit. Verum in sacro teste ubinam hic rerum status? vel undenam libera dicendi copia? Rursus athleta adversarium manibus pugnisque verberans, ac denique superans, victoriæ coronam impetrat: hic autem qui percutitur ac vulneratur, flammaque aut ferro interficitur, vel aliis cruciatuum generibus, quæ carnificum contra humanam naturam crudelitas ob enecandos homines excogitavit, hic, inquam, victoriæ corona insignitur. Atque

A διδάζειν φιλονεικήσει, ἆρ' οὐκ ἐκπλήσει ἀποριῶν τὰ ὦτα τῶν ἀπειρότερον ἀκουόντων; σφαλείη δὲ οὐδὲν ἔλαττον αὐτὸς ἀπορίαν οἰόμενος προκομίζειν, ἣν οὐχ ἡ τῶν πραγμάτων δυσκολία παρέσχεν, ἀλλ' ἡ ἐκείνου τῶν ὀνομάτων οὐκ ἐν γνώσει μεταχείρισις· ἐρεῖ γὰρ κἀνταῦθα ῥᾷον, Τῶν μαρτύρων προσενεγκάντων τὸ αἷμα, τίς ὁ προσδεξάμενος; Εἰ μὲν γὰρ ὁ Χριστὸς, καὶ πῶς ὁ φιλάνθρωπος ἀνθρώπων αἵμασιν ἐπαγάλλεται; εἰ δ' ὁ πονηρὸς, καὶ πῶς ἠνέσχοντο τῷ ἐχθρῷ τὸ οἰκεῖον αἷμα σπείσασθαι; ποῦ δ' ὁ κριτὴς, ὃ; τὴν ἴσην γνώμην τοῖς κρινομένοις διένειμεν; οἱ δὲ κρινόμενοι, ὧν ὁ μάρτυς θατέρῳ τὴν ἐπὶ νίκῃ ῥοπὴν παρασχεῖν ἐφέστηκε, τίνες;

B ζ'. Καὶ πόσα ἄν τις τοιαῦτα λαβὼν ἀπὸ τῶν κατὰ τὴν πολιτείαν μαρτύρων ἐπὶ τοὺς θεολόγους διαβιβάσειε μάρτυρας, ᾧ φορυτὸς ἔρως ἀποριῶν, καὶ μυθολογεῖν καὶ παίζειν κἀν τοῖς σπουδαίοις ἀνύβριστον. Καὶ γὰρ οὐδὲν ἔργον πρὸς τὸ πρῶτον σχῆμα τῶν ἀπορημάτων εἰπεῖν, ὡς οὐχὶ τῷ αἵματι τῶν ἀθλητῶν, τῇ δὲ γνώμῃ συναρεσκόμενος ὁ Χριστὸς, καὶ τὴν σφαγὴν καὶ τὸ κενωθὲν αἷμα προσεδέξατο· ὥσπερ οὐδὲ τὸ ἐπενεγκεῖν ὡς ἐσφάγησαν μὲν οἱ μάρτυρες ὑπὲρ Χριστοῦ, καὶ τὸ αἷμα ἐξέχεαν, τοῦτο κυρίως καὶ οὐ τροπικόν· τὸ δὲ προσήνεγκαν καὶ προσέφερον καὶ τὰ τοιαῦτα, ῥημάτων ἐστὶν ἐξοικειουμένων τὴν τροπήν· οὔκουν οὐδ' ἀναγκαῖον ἐπιζητεῖν τίνι προσήνεγκαν· ὥσπερ οὐδὲ ζητεῖν πῶς οἱ νεκρωθέντες τὸ σῶμα τῇ κενώσει τοῦ αἵματος δύναιντ' ἂν προσενεγκεῖν λέγεσθαι· πῶς δὲ προσέφερον, οὐχ ἕτερον προσάγοντες, ὅπερ ἐστὶ τῶν κυρίως προσφερόντων; τὰ γὰρ τοιαῦτα τοσοῦτον ἀπέχει τοῦ διαπορητικοῦ τύπου, ὡς ἄμεινον ὑπεριδεῖν, μή ποτε ἄρα σοι δόξωμεν συμπλεκόμενοι τοῖς παίζουσιν, οὐκ ἔξωθεν τοῦ εἰκότος συνδιαβάλλεσθαι· ὥσπερ γὰρ ἐν τοῖς σπουδαίοις παίζειν ἀσύνετον, οὕτω πρὸς τὰ γελοιότερα σπουδάζειν καταγέλαστον· τὰ δὲ τῆς ἐμφανοῦς μὲν ἀτοπίας καὶ οἴκοθεν ἐχόντων τὸν ἔλεγχον ἀνακεχωρηκότα, ταραχὴν μὲν καὶ θάρυβον προτεινόμενα ταῖς τῶν πολλῶν ἀκοαῖς, καὶ οἷς οὐκ ἔστι κρίσις διαστέλλειν τῶν ἄνευ τροπῆς προαγομένων φωνῶν, ἃς ὁ τῆς τροπῆς νόμος ἐσχημάτισεν· ἐπεὶ ῥᾷόν ἐστι τοῖς τὸ διάφορον αὐτῶν ἐπεσκεμμένοις, ἀποκρούεσθαι καὶ διαλύειν τῆς δοκούσης ἀπορίας τὸ περίεργον· δεῖ δ' οὖν λέγειν μὲν τὰς φωνὰς καὶ τιθέναι ἐφ' ὧν D φέρειν εἰώθαμεν· εἰδέναι δὲ τὰ ἑκάτερα παρεπόμενα, καὶ φυλάττειν αὐτῶν ἀσύγχυτον καὶ τὸ σημαινόμενον καὶ τὸ ἰδίωμα· ὁρᾷ δὲ ἔστι κἀντεῦθεν· ὁ μάρτυς ὁ πολιτικὸς ἕνα τῶν δικαζομένων συνιστῶν, τὸν ἕτερον συκοφάντην ἀπελέγχει τοῦ κριτοῦ τὴν γνώμην ἴσην διανέμοντος τοῖς προσώποις· ἐν δὲ τῷ θεολογοῦντι μάρτυρι, ποῦ σχέσις; ἢ πόθεν ἔχει παῤῥησίαν ἡ τοιαύτη; πάλιν ὁ ἀθλητὴς τὸν ἀντίπαλον χερσὶ καὶ πυγμαῖς παίων, καὶ κατακρατῶν εἰς τέλος, τοῦ νικητικοῦ τυγχάνει στεφάνου· ἐνταῦθα δὲ βαλλόμενός τε καὶ τιτρωσκόμενος, καὶ πυρὶ θανατούμενος ἢ σιδήρῳ, ἢ δι' ὧν ἄλλων ἐπενόησεν ἡ δήμιος ὠμότης κατὰ τῆς ἀνθρωπίνης φύσεως τοὺς ἀνθρώπους ἐξαγαγεῖν τῆς ζωῆς, τὰ τῆς νίκης ἐστὶν ἀναδούμενος διαδήματα· καὶ ἐπὶ μυρίων ἄλλων ἡ

Digitized by Google

διαφορά· πῶς οὖν οὐ παράλογον ἐν ἑκατέρῳ τῶν σημαινομένων τὰ αὐτὰ ζητεῖν ἐπιθεωρεῖν; καὶ ἃ προσῆν τῷ ἑτέρῳ, τὰ αὐτὰ θατέρῳ περιάπτειν ἐκβιάζεσθαι;

η'. Πολλὰ μὲν οὖν τῶν ἐπὶ διαφόρων πραγμάτων ταττομένων ὀνομάτων ἐμφανεστάτην ἔχει τὴν διαφοράν· ὡς μηδέ τινα τῶν εἰς ἄκρον ἀναισχυντίας ἢ ἀσθενείας ἡκόντων χωρὶς αἰσχύνης ἢ εὐλαβείας μετενεγκεῖν ἐπὶ θάτερον ἃ τῷ ἑτέρῳ διωμολόγηται· πολλὰ δὲ κρύφιον φέρει τὴν ἑτερότητα, ὡς ὁ μάρτυς, ὡς ὁ ἀθλητής, ὡς τὸ λύτρον, ὡς τὸ τρόπαιον, ὡς τὰ τοῦ ᾅδου βασίλεια, ὡς μυρία ἄλλα ἐφ' ὧν ἐστι ῥᾴον καὶ αὐτὸν πολλάκις ἀπάτης λαβεῖν τὴν ἀπορίαν παραδυόμενον, ἢ ἑτέροις τὴν ἀπάτην προάγειν ἐν τῷ λανθάνοντι· δεῖ δ' οὖν ἐκ τῶν ἐμφανεστάτην ἐχόντων τὴν παραλλαγὴν καὶ παντελῶς ἐπιπόλαιον τῶν προτεινομένων τὴν διάλυσιν, τὸν κανόνα λαβεῖν, καὶ ἀπευθύνειν τῇ κοινῇ μεθόδῳ καὶ ἃ πολλὴν τὴν ἐγγύτητα πρὸς ἄλληλα κεκτημένα, τὸ τῆς ἀπάτης σχῆμα πιθανώτερον προβάλληται, καὶ οὕτως ἀπ' ἐκείνων τὴν κρίσιν ἁπλανῆ καὶ ἐπὶ τούτων συνδιασώζειν· αὐτίκα τὸ πτερύγιον τοῦ ἱεροῦ· τὸ δὲ πτερύγιον οἷς μέλει τῆς Ἀττικῆς γλώττης, οἱ μὲν ἀετὸν, οἱ δὲ καὶ ἀέτωμα καλοῦσι, καὶ στέγασμα φασὶν εἶναι τοῦτο τῶν ἱερῶν οἴκων, τῷ σχήματι τὴν πτῆσιν τοῦ ζῴου μιμούμενον, ὃ δὴ καὶ πτερὸν ἔνιοι καλοῦσιν· οἱ δὲ διαστέλλουσι τὸ πτερὸν καὶ τὸ πτερύγιον τοῦ ἀετοῦ τε καὶ τοῦ ἀετώματος· φασὶ γὰρ εἶναι τὸ δηλούμενον ὑπ' αὐτῶν, τὸ πρὸ τῶν ἱερῶν ἐκ λίθου πρὸς ὕψος ἀνατεινόμενον μᾶλλον κατεσκευασμένον οἰκοδόμημα· πλὴν ἀλλὰ γὰρ εἴ τις προτείνας τὸ πτερύγιον, διερωτῴη πότερον ἐξήπλωτο τῷ ἀέρι καὶ ὑπηρέτει κινούμενον τῷ ὄρνιθι τὴν πτῆσιν, ἢ συνέσταλτό τε καὶ συνεπτύσσετο, καὶ εἰς τὸ σχῆμα τῶν ἠρεμούντων τὸ πτηνὸν συνῆγεν, οἶμαι ἂν ἀντὶ τοῦ λύσιν αἰτεῖν τῆς ἀπορίας, γέλωτα παρασχεῖν· καίτοι γ' ἂν ἴσως καὶ ἐπινευστερίσαιτο, ὡς ὁπότερον ἄν τις δοίη, ἀδύνατα λέγων φωραθήσεται· οὔτε γὰρ ἐκτεταμένον τὸ πτερύγιον ὄγκον σώματος καὶ βάρος ἐπιβαῖνον ἀνέχειν δύναται, οὔτε τὴν κατὰ συστολὴν θέσιν ἔχον· πολλῷ μᾶλλον οὐδὲ τὴν ἐπίβασιν ὅλως παραδέχοιτ' ἄν· ἆρα γὰρ οἱ τὰ τοιαῦτα προάγοντες ἀντὶ τοῦ συνάγειν εἰς ἀπορίαν ἑτέρους, οὐ πολὺ πρότερον ἑαυτοὺς εἰς χλεύην ἀπάγουσιν; Ἐρεῖ γὰρ, οἶμαι, ῥᾳδίως καὶ τῶν ἐπιτυγχανόντων ἕκαστος, ὡς, Ὦ βέλτιστοι, ταῦτά που τὰ δριμέα διαπορήματα ἐπὶ μὲν τοῦ ἑτέρου σημαινομένου ἀπορίαν ἐμποιήσειεν, ἐνταῦθα δὲ καὶ οὐδ' ἕτερον ἔνεστιν εἰπεῖν, καὶ οὐδεμία φαίνεται πρόφασις ἀπορίας ἀνακύπτουσα· ἀπὸ γοῦν τῶν οὕτω περιφανεστάτην τὴν διαφορὰν ἐχόντων, εὐχερέστερόν ἐστι καὶ οὐδὲν ἐργῶδες, καὶ ἐπὶ τῶν ἐγκεκρυμμένην ταύτην φερόντων, τῷ κοινῷ χρωμένους κανόνι, τὰς ἀπορίας εἰς εὐπορίαν μεταβάλλειν.

θ'. Τρόπαιόν ἐστιν ὁ σταυρὸς τοῦ Χριστοῦ κατὰ τοῦ διαβόλου ἱστάμενον· καὶ τροπαίων τὸ λαμπρότατον, ὅπου γε καὶ αὐτὸς ὁ τύπος αὐτοῦ τῷ ἀέρι χαρασσόμενος, πᾶσαν αὐτῷ συμφυγαδεύει τὴν δύναμιν· καὶ οὐδήπου δεῖται βαθυτέρας περινοίας, εἴ τις εἰς ἀπο-

aliæ præterea innumeræ differentiæ sunt. Quidni itaque sit absurdum, in utraque re significata easdem circumstantias exquirere? et quæ uni congruunt, easdem ad alteram vi pertrahere?

8. Multa igitur ex iis nominibus, quæ diversis rebus imponuntur, manifestissimam differentiam habent: quare nec ulli homines quanquam apprime impudentes vel ingenio imbecillo præditi, sine pudore aut metu transferre solent ad rem alteram quod alterius proprium est. Multa tamen subobscuram diversitatem continent, ut testis, ut athleta, ut redimiæ, ut tropæum, ut inferorum regnum, ut alia plurima: in quibus facilius est ipsum falli qui quæstionem ingredietur, quam aliis fucum facere in re latente. Oportet itaque ex ils quæ manifestissimam transmutationem habent, atque omnino tritam contradictionis suæ solutionem, normam sumere: atque ad communem methodum illa quoque exigere, quæ quia valde invicem propinqua sunt, erroris speciem credibilioris suppeditant: atque ita ex his certum judicium de aliis quoque facere. Exemplo sit πτερύγιον (pinnaculum) templis. Πτερύγιον Atticæ linguæ studiosi, alii aquilam, alii fastigium (aquilæ figura præditum) atque tectum esse aiunt sacrorum ædificiorum, cujus figura volantem avem imitatur: quam ædificii partem nonnulli etiam pinnam appellant. Alii distinguunt pinnam et pinnaculum [a] sive aquilæ sive fastigii. Aiunt enim his significari partem illam ædificii lapideam, altiusque elatam, quæ sacrarum ædium frons est. Si quis tamen pinnam seu pinnaculum inculcans, rogaret utrum id expanderetur in aere, commotumque avis volatui faveret? an potius contraberetur atque complicaretur, avisque quiescentis speciem exhiberet? credo equidem excitatum iri potius ab hoc risum, quam curatum ut quæstio solvatur. Fortasse etiam novo alio argumento utetur, nempe quod alterutrum quis concedat, impossibilia dicere deprehendetur. Nam neque extensa pinna gravitatem corporis pondusque impositum sustinere potest, neque item cum est complicata. Illud vero præcipuum, quod ascensum in aera non patitur. Nonne qui talia in medium ferunt, nedum aliis dubitationes haud creant, sed ipsos, se multo citius ludibrio objiciunt? Existimo enim quemvis facile sic dicturum: O boni, hæ peracutæ dubitationes cum aliis fortasse significatibus quæstionem conflabunt; hic tamen neutrum dici potest, nullaque ansa dubitandi hinc exsistit. Ex his igitur, quæ tam exploratam differentiam habent, facilius est nulliusque laboris, eorum etiam, quorum differentia abstrusior est, communi regula adhibita, perplexitatem perducere ad liquidum.

9. Tropæum est contra diabolum Christi crux excitatum; et quidem splendidissimum, quandoquidem vel ejus typus in aere impressum quamlibet cum illo potestatem fugat. Neque tamen altiore certandum est acumine, si quis forte de hoc voca-

[a] Matth. IV, 5.

Digitized by Google

bulo quæstionem aliquam conflandam susceperit : namque e superius dictis solutionem deprehendere persacile est. Si crux, inquit, aliquis, tropæum est, quis id erexit? nam si ipse victor, cur jam temere Judaico populo Christi cædes imputatur? Quod si illud Judæi statuerunt (quod reapse extra aleam contentionis est) quonam pacto Christus contra diabolum constituisse tropæum dicitur? Item si quis de regno inferorum sermonem injiciens, pergat porro dicere : si est inferorum regnum, sine dubio intelligitur quoque rex. Et quidem ait Paulus [25] veritatis præco, regnavisse mortem ab Adamo ad Mosem, non in eos solum quorum peccatum secundum Adami similitudinem erat, verum in eos quoque qui ejus exemplo peccaverunt. Quod si rex est, regi autem lege et subditorum suffragio dignitas attribuitur; cui hæc dignitas suppetit, quomodo consentaneum sit, eum honoris loco perpeti justi muneris abdicationem? Nam utraque locutio, et quidem ex eodem fortasse fonte, rem studiose pensantibus et dubitationem suppeditat et explanationem. Præcipue vero ex ante dictis prona responsio manat. Est enim satis exploratum, tropæi nomine dici crucem, a tropæo bellico voce translata : siquidem Christus præclare hostem vi propria superavit; non autem quod ipse crucem constituerit : hanc enim sacrilega gens defixit; neque uti tropæum de hoste, verum ut communis Servatoris supplicium. Sed tamen ille malitia eorum in victoriam de hoste versa, cruce, tanquam tropæo usus est. Neque igitur Judæorum impietas tropæum statuit, neque rursus Servator hominum crucem sibi defixit : sed quod illi lignum ad Domini supplicium defixerant, hic ad salutem naturæ nostræ tropæi forma donavit. Item inferorum regnum dicitur, reginaque mors; non quod decretis suffragioque subditorum dominatum in eos impetraverit; hæc enim regis vocabulo proprie dicto conveniunt; sed quia quam rex terrenus liberam potestatem in subditos suos exercet, eamdem sibi mors peccati causa vindicavit : atque ob id et regina mors et inferorum regnum translatis appellationibus dici possunt. Et sane mortis erat in nos ante crucem potentia invicta, omni spe resurrectionis præcisa et exstincta : verum enimvero cum Dominica passio vim illius omnino abstulerit, jure meritoque dicimus regnum ejus esse direptum.

A ρίαν διαπλάσαι τὸ ῥῆμα προέλοιτο· ἐκ γὰρ τῶν προειρημένων, εὐφωρότατον ἔχει τὴν διάκρισιν· οἷον εἰ τρόπαιον ὁ σταυρὸς, τίς ὁ στήσας τὸ τρόπαιον; εἰ μὲν ὁ νικήσας, τί μάτην τὸ Ἰουδαίων ἔθνος εἰς χριστοκτονίαν διαβάλλεται; εἰ δ' αὐτοὶ τοῦτον ἐπήξαντο· οὐδὲ γὰρ ἀμφισβητήσιμον τοῦτο· πῶς ὁ Χριστὸς κατὰ τοῦ διαβόλου τρόπαιον στῆσαι λέγεται; Ὡσαύτως δὲ καὶ εἴ τις λαβὼν τῷ λόγῳ τὰ τοῦ ᾅδου βασιλείας, δηλονότι τὸν βασιλέα συνεπάγεται. Λέγει δέ που καὶ Παῦλος ὁ τῆς ἀληθείας κῆρυξ, ὡς ἐβασίλευσεν ὁ θανάτος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, οὐ μόνον ὧν ἦν τὸ ἁμάρτημα καθ' ὁμοιότητα τοῦ Ἀδὰμ, ἀλλὰ καὶ ἐπὶ τοὺς κατ' ἐκείνην τὴν μίμησιν ἁμαρτήσαντας· εἰ δὲ βασιλεὺς, τῷ δὲ βασιλεῖ νόμος τε τὸ ἀξίωμα καὶ ἡ τῶν ὑπηκόων ἐγχειρίζεται ψῆφος,

B ᾧ δὲ ταῦτα περίεστι, πῶς ἂν εἴη λόγον ἔχον τῆς ὅτι δικαίως ἐβασίλευε τιμῆς, ἀντὶ τοῦ γέρας προσλαμβάνειν, ὑπέχειν τὴν στέρησιν; καὶ γὰρ ἑκάτερον τῶν εἰρημένων, ἴσως μὲν καὶ αὐτόθεν, τὴν ἀπορίαν τοῖς ἀκριβέστερον ὁρῶσιν οὐδὲν ἧττον ἢ τὴν λύσιν προβάλλεται· μάλιστα δὲ ἐκ τῶν προειρημένων, ῥᾳδίαν ἕλκουσι τὴν ἀπάντησιν· καὶ γὰρ ἐπίδηλον τρόπαιον μὲν λέγεσθαι τὸν σταυρὸν, ἀπὸ τοῦ κατὰ τοὺς πολέμους τροπαίου τῆς φωνῆς μετενεχθείσης· ἐπεί γε λαμπρῶς καθεῖλεν ὁ Χριστὸς δι' αὐτοῦ τὸν ἐχθρόν· οὐ διότι δὲ τὸν σταυρὸν ἔστησεν· οὐδὲ γὰρ αὐτὸς ἔστησεν, ἐπήξατο μὲν γὰρ αὐτὸν τὸ θεομάχον ἔθνος, οὐχ ὡς τρόπαιον δὲ κατὰ τοῦ ἐχθροῦ, ἀλλ' ὡς τοῦ κοινοῦ Σωτῆρος κολαστήριον· ὁ δὲ τὴν ἐκείνων κα-

C κουργίαν εἰς τὴν κατὰ τοῦ ἐχθροῦ νίκην ἀντιστρέψας, οἷα δὴ τροπαίῳ τῷ σταυρῷ προσεχρήσατο· οὔτε γοῦν τὸ τῶν Ἰουδαίων ἄγος τὸ τρόπαιον ἔστησεν, οὐ μὴν ἀλλ' οὐδ' ὁ Σωτὴρ τοῦ γένους ἑαυτῷ τὸν σταυρὸν συνεπήξατο, ἀλλ' ἐκείνων ἐπὶ κολάσει τοῦ Δεσπότου πηξαμένων, αὐτὸς ἐπὶ σωτηρίᾳ τῆς ἡμετέρας φύσεως εἰς τρόπαιον μετετάξατο· καὶ ᾅδου δὲ βασίλεια λέγεται, καὶ βασιλεὺς ὁ θάνατος, οὐχ ὅτι θεσμοῖς καὶ γνώμῃ τῶν ἀρχομένων τὴν κατ' αὐτῶν ἔσχε κυριότητα, ταῦτα γὰρ τῷ κυρίως σημαινομένῳ διὰ τῆς τοῦ βασιλέως φωνῆς ἕπεται, ἀλλ' ἐπειδήπερ τῶν ἐπὶ γῆς ὁ βασιλεύων τὸ κράτος ἀδέσποτον φέρει κατὰ τῶν ὑπὸ χεῖρα· τοῦτο δὲ ὁ θάνατος διὰ τῆς παραβάσεως ἥρπασεν· ταύτῃ δὲ καὶ βασιλεὺς εἶναι, καὶ τὰ τούτου βασίλεια λέγεσθαι μεταθεμένοις τὸ ὄνομα δύ-

D ναται· καὶ ἦν μὲν αὐτῷ πρὸ τοῦ σταυροῦ καθ' ἡμῶν, ἄμαχος ἡ τοιαύτη ἀρχὴ, πᾶσαν ἀναστάσεως ἐλπίδα περικόπτουσά τε καὶ νεκροποιοῦσα, τοῦ δὲ δεσποτικοῦ πάθους τῆς ἰσχύος αὐτὸν παντελῶς ἀφελομένου, εἰκότως καὶ κατὰ λόγον φαμὲν ἐσκυλεῦσθαι τὰ τούτου βασίλεια.

10. Ergo licet, ut arbitror, alacri animo confidentique lingua dicere, voluntariam simul et involuntariam Patri accidisse Filii necem : et id utrumque de hoste quoque diabolo pronuntiari posse videmus. Dicimus insuper cruci Christum pro nobis subjacuisse, suumque sanguinem clementiæ instinctu profudisse : neque tamen cuiquam obtulisse : non enim ei propositum erat sanguinem offerre, sed passione sua quod perierat conservare. Non igitur

ι'. Ἔνεστιν οὖν, οἶμαι, γνώμῃ τε χαιρούσῃ καὶ παῤῥησιαζομένῃ γλώσσῃ λέγειν, ὅπως τε θελητόν ἐστι καὶ ἀθέλητον ὁ θάνατος τοῦ Υἱοῦ τῷ Πατρί· καὶ ὅπως ἑκάτερον αὐτῶν περὶ τὸν πολέμιον ὁρᾶται λεγόμενον· καὶ ὡς μὲν ὑπὲρ ἡμῶν σταυρὸν ὑπέστη, καὶ τὸ οἰκεῖον ὁ φιλάνθρωπος αἷμα ἐξέχεεν, οὐ προσήνεγκε δὲ τοῦτό τινι· οὐ γὰρ αὐτῷ σκοπὸς ἦν προσενεγκεῖν, ἀλλ' ἐν τῷ πάθει τὸ ἀπολωλὸς ἀνασώσασθαι· οὐ προσήνεγκεν οὖν, εἰ μή τινι κατὰ μεταφο-

[25] Rom. v, 14.

Digitized by Google

ρὰν τὸ ὑπὲρ ἡμῶν παθεῖν αὐτὸν, φίλον ἐστὶν ὀνομάζειν προσενεγκεῖν· ἀκώλυτος γὰρ διὰ τὴν ὁμοιότητα τῆς φωνῆς ἡ χρῆσις ἐν σχήματι λεγομένης τροπῆς· ὥσπερ κεκωλυμένον τῆς τὸ κύριον ἐχούσης προσηγορίας τὸ ἰδίωμα ἐπὶ ταύτης ἀπαιτεῖν· καὶ φανερὸν ὡς οὔτε προσήνεγκεν οὔτε προσέφερεν (40) ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου τὸ σωτήριον καὶ καθάρσιον αἷμα τοῦ γένους ἡμῶν· εἰ καὶ ὁ Πατὴρ ὁ διὰ τὸ ἀπὸ τοῦ πάθους ἐκδεδηκὸς τερπομένῃ καὶ χαιρούσῃ γνώμῃ τὸ αἷμα τοῦ Παιδὸς ὑποδέξασθαι λέγεται· ἀλλὰ ταῦτα μὲν εἰ καὶ τῆς ἐλπίδος ἦν ὧδινεν ἡ ἐξαίτησις ἴσως μὲν ἐντελέστερον, πλήν γε κατὰ τὸν ἐπίτομον προενήνεκται τύπον· ἐπεὶ μηδ' ἐπιλέλησμαι κατὰ τὰς σχολαζούσας μελέτας τοῖς ἱερωτάτοις ἡμῶν δόγμασι πολλάκις ἀκοῦσαι τὴν σὴν ἀρετὴν φυλοκρινούμενα τὰ τοιαῦτα· καὶ ῥᾴδιόν ἐστιν ἐκ τῶν παρόντων εἴ τι καὶ λήθη τῶν λογισμῶν ἀφεῖλετο, εἰς τὴν τῶν παραλελειμμένων συνάγεσθαι μνήμην.

A obtulit : nisi forte cuipiam placet, passionem ejus pro nobis, figurate oblationem appellare. Nihil enim vetat ob vocabuli similitudinem, quominus eo utamur ex forma prædicti tropi : at vetitum contra est, propriæ strictæve appellationis characterem in eadem locutione exquirere. Sine dubio itaque neque offerebat neque obtulit Dei Agnus, qui mundi peccatum abstulit, sanguinem suum salutarem nostrique generis purgatorem : quanquam Pater, ob passionis utilitatem, libenti lætoque animo Filii sanguinem suscepisse dicitur. Jamvero etsi hæc forte supra spem postulationis tuæ paulo plenius disputata fuerunt, nihilominus eadem a summario dicendi genere non recedunt. Neque enim non recordor, tuam sæpe virtutem per scholasticas de augustis nostris dogmatibus exercitationes, hæc accurate digesta audivisse. Est autem facilius, si quid oblivio de cogitationibus nostris detrivit, ope eorum, quæ coram sunt, prætermissorum memoriam recuperare.

B

ΕΡΩΤΗΣΙΣ ΚΕ'.

Τίνος ἡ φωνὴ ἡ λέγουσα· « Τοῦτο δὲ ὅλον γέγονε, » πότερον τοῦ συγγραφέως, ἢ τοῦ Ἀρχαγγέλου;

QUÆSTIO XXV [*al.* XXIX].

Cujusnam vox sit, quæ dicit : « Hoc autem totum factum est [26] ; » evangelistæne, an archangeli?

Edita ab Ant. Scotto, l. c., p. 4-6.

Ὅτι μὲν ἐκπληττομένου καὶ θαυμάζοντός ἐστι τῶν ἔργων, καὶ τῶν λόγων τὸ ὑπερφυὲς, αὕτη τε τοῦ λόγου ἡ περικοπὴ, καὶ τῶν ὀνομάτων ἡ συνθήκη παρίστησι σαφῶς. « Τοῦτο γὰρ ὅλον γέγονε, » φησὶ, ἀντὶ τοῦ, πῶς ὅλον τοῦτο προῆλθε; Πῶς, ὦ τοῦ θαύματος! ἐφάνη τὸ ἐκπληκτον τοῦτο, καὶ γέμον ἐκστάσεως; Πῶς τοιοῦτον ἥλιος εἶδε; Πῶς ἀνθρώποις ἐπεγνώσθη τοιοῦτον; Καὶ ὅτι μετὰ τὸ ἀνακηρύξαι τό τε ἄσπορον τοῦ τόκου, καὶ τὴν ἐκ Πνεύματος ἁγίου σύλληψιν, καὶ τὴν τοῦ Σωτῆρος κλῆσιν, ἣν διότι σώζει, προσείληφε, τὸν λαὸν αὐτοῦ, καὶ τόγε οὐκ ἀπό τινων σωματικῶν νοσημάτων, οἷς καὶ ἰατρῶν πολλάκις χεῖρες ἐπήρκεσαν, ἀλλ' ἀπ' αὐτῶν γε τῆς ψυχῆς ἀῤῥωστημάτων τε καὶ μολυσμάτων ὧν οὐκ ἔστιν εὑρεῖν καθάρσιον οὔτε ἴαμα τῆς θείας χωρὶς εὐμενείας τε καὶ ἐπινεύσεως· διὰ γοῦν τὸ εἰπεῖν τὰ εἰρημένα, καὶ τὴν τοῦ Σωτῆρος, ἀπὸ τῆς κοινῆς εὐεργεσίας ὀνομασίαν, εὐθὺς ἐπήγαγε· « Τοῦτο δὲ ὅλον γέγονε ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· « Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. » Ἀλλὰ ὅτι μὲν ἐκπληττομένου τε, καὶ θαυμάζοντος ἐστὶ τὸ ἄπειρον πέλαγος τῆς περὶ τὸ ἀνθρώπινον γένος προνοίας ἡ προκειμένη φωνὴ, φανερόν.

C

D

Quod stupescentis animi, et factorum verborumque nobilitatem admirantis ea sit vox ; sublimis ipsa orationis particula, nominumque contextus luculenter ostendit. Profecto « hoc totum factum est » adhibuit pro quomodo id omne contigit? Quomodo, (proh mirum!) hoc novitate percellens, et admiratione plenum apparuit? Qui tale factum vidit sol? Quo pacto innotuit hominibus? Patet quoque quod, ubi nuntiatum est quod Filius sine semine foret, atque de Spiritu sancto conciperetur, sumeretque Salvatoris nomen, quod illi congruit, quia salvat populum suum, non quidem ab aliquot corporis morbis, quibus curandis vel medicorum manus sæpe sufficiunt, sed ab ipsis animæ ægrotationibus et vitiis, quorum inveniri nequit, excepta Dei benignitate et indulgentia, curatio et remedium : ubi scilicet hæc omnia, et Salvatoris nomen ex beneficiis unicuique collatis susceptum præmittit, protinus subjiciat : « Hoc autem totum factum est, ut adimpleretur, quod dictum est a Domino per prophetam dicentem : Ecce Virgo in utero habebit, et pariet filium, et vocabunt nomen ejus Emmanuel. » Porro quod obstupefacta mente, atque immensum pelagus divinæ erga humanum genus providentiæ demirante vox proposita oriatur, perspicuum est.

Εἴ τε δὲ ταύτην ἂν εἶπεν ὁ ἄγγελος, εἴ τε καὶ αὐτὸς ὁ εὐαγγελιστὴς, οὐδεμίαν ἐλάττωσιν οὐδετέρωθεν τὰ λόγια ἐπιδέχονται. Τὰ μὲν γὰρ μεγάλην τινὰ τάξιν ἔχοντα πολλάκις, εἴωθε καὶ ἐκ τῆς τῶν προσώπων ποιότητος προσλαμβάνειν τὴν αὔξησιν· ἃ δὴ

Sive autem hanc angelus, sive evangelista pronuntiarit, nequaquam sermo alterutra ex parte auctoritatis imminutionem patietur. Quandoquidem contingit, ut quæ præclarum orationis ordinem habent, ex personarum quoque qualitate splendoris

NOTÆ.

(40) Hosii scilicet et mangoni generis humani ; ut in præcedentibus Photius dixit. Nisi enim ita intelligatur, pugna quodammodo fiet cum iis quæ dicuntur a Paulo in Ep. ad Hebr.

[26] Matth. I, 22.

Digitized by Google

incrementum accipiant : quæ autem sublimitatem in sermone etiam inornato undique exhibent, ipsa quoque per se granditatem quamdam supersiesem præferant ; modo, qui ipsa profert, ineffabilis magnitudinis dignitatem non deprimat. Verumtamen sermonis particula in Archangelum potius subjectum contextum transfert. Neque absurdum videri debet eorum, quæ oculis vel auribus subjiciebantur, testem vocari prophetam ; quia per nomina, quæ natura et notitia ad nos attinent, nostro auditui fides facilius ingeritur. Cæterum neque in propheta sistit testimonium ; sed ab eo ad universalem usque Dominum illud redigit : Etenim « Quod dictum est, inquit, a Domino per prophetam. »

A (40*) ἀμετρήτῳ λόγῳ τὴν ὑπεροχὴν πρὸς πάντα φέρεται, καὶ οἰκοθεν προβάλλεσθαι τοῦ μεγέθους τὸ ἀσύγκριτον, εἴ τις ἂν ὁ (41) λέγων περὶ αὐτῶν εἴη, οὐ καταβιβάζει τῆς ἀνεκφράστου μεγαλειότητος τὸ ἀξίωμα. Πλὴν γε καὶ ἡ προλαβοῦσα τοῦ λόγου περικοπὴ εἰς τὸν Ἀρχάγγελον ἀναφέρει (42) μᾶλλον καὶ τὴν ἐπενεχθεῖσαν συνέπειαν. Καὶ οὐδὲν ἀπεικὸς μάρτυρα καλεῖν τῶν ὁρωμένων τε, καὶ λεγομένων τὸν προφήτην· διὰ γὰρ τῶν συντρόφων ὀνομάτων μᾶλλον, καὶ γινωσκομένων τῇ τῶν ἀνθρώπων ἀκοῇ τὸ τῆς πίστεως ἀδίστακτον παραγίνεται. Ἄλλως τε δὲ οὐδὲ μέχρι τοῦ προφήτου προσάγει τὴν μαρτυρίαν· ἀλλ' ἐκεῖθεν εἰς τὸν κοινὸν Δεσπότην ταύτην ἀνάγει· « Τὸ ῥηθὲν γὰρ, φησὶ, ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου. »

QUÆSTIO XXVI. [*al.* XXV].

Cur natus Christus permiserit sui causa infantium cædem evenire ?

B

ΕΡΩΤΗΣΙΣ ΚϚ'.

Τίνος ἕνεκα γεννηθεὶς ὁ Χριστὸς συνεχώρησε δι' αὐτὸν τὴν ἀναίρεσιν προελθεῖν τῶν νηπίων ;

Edita ab Ant. Scotto, l. c., p. 7.

Tua quidem quæstio pulchra est, atque a commiseratione oritur ; nec aliqua ex infimis videtur, sed jucundius, arbitror, cæteris solutionibus obtinet judicium. Herodis crudelitatem omnibus cognitam atque compertam fieri oportebat. Itaque si ipsam quidem in eos, qui ad virilem pervenerant ætatem, ostendisset, nihil prohibebat, quominus assentatorum et parasitorum natio excusationes aliquas comminisceretur, quibus hujusmodi piaculi immanitatem extenuarent ; atque prætenderent criminibus obnoxios fuisse, quos ipse interfecerat, C nec decuisse regem inulta relinquere flagitia. In pueris autem quidpiam hujusmodi nec cogitandi nec fingendi copiam habebit vel impudentissimus quisque fabulator : sed omni ex parte aperta, atque inexcusabilis barbaries, et conscelerati animi, linguæ, manusque incredibile facinus deprehenditur.

Præterquam quod opus erat, ut novi ac intemerati sacrificii, quodque nostri generis scelus expiaret, primitiæ, ab omni culpa, quæ propria actione patratur, ita procul fuissent, ut et purissima forent, et suminum sacrificium sua oblatione non deturparent. Quapropter e re potius erat infantium chorum, quam hominum aliquibus culpis devinctorum ante Agnum Dei, qui tollit peccatum mundi, im- D molari.

Καλὸν μὲν, καὶ συμπαθείας τὸ σὸν διαπόρημα, οὐ χειρόνων δ' ἴσως, ἀλλὰ καὶ κρίσεως, εἶμαι, γλυκυτέρας τυγχάνει τῶν ἐπιλύσεων (43). Ἔδει τὴν Ἡρώδου πᾶσιν ἐμφανῆ, καὶ κατάδηλον γενέσθαι μιαιφονίαν. Εἰ μὲν οὖν διὰ τῆς εἰς τελειότητα φθασάντων ἡλικίας ἐπεδείξατο ταύτην, οὐδὲν ἐκώλυε τῶν κολάκων καὶ παρασίτων τὸ ἔθνος αἰτίας τινὰς ἀναπλάττειν, δι' ὧν μετριώτεραν αὐτῷ κατεσκευάζετο τὸ τῆς μιαιφονίας ἄγος· ἐνόχους τε κακῶν οὐκ ὀλίγων τοὺς ἀνῃρημένους ἀποφαίνοντας, καὶ βασιλεῖ πρέπον μὴ καταλιμπάνειν ἀτιμώρητα τὰ ἀδικήματα. Ἐπὶ δὲ τῶν νηπίων οὐδὲν τοιοῦτον οὔτε ἐννοῆσαι οὔτε ἀναπλάσαι οὐδ' ὁ τῶν μύθων ἀναιδέστατος εὑρήσει χώραν· ἀλλὰ γυμνὸν διὰ πάντων, καὶ ἀπροφάσιστον ἐλέγχεται τὸ μισάνθρωπον, καὶ τῆς παλαμναίας γνώμης, καὶ γλώσσης, καὶ χειρὸς τὸ ἀνυπέρβλητον.

Ἄλλως τε δὲ καὶ τοῦ καινοῦ καὶ ἀναμαρτήτου θύματος, καὶ τὴν ἁμαρτίαν ἀποκαθαίροντος τοῦ γένους ἔδει τὰ προτέλεια κεχωρισμένα πάσης ἁμαρτίας, ὅσαι γε διὰ τῶν πράξεων πρόεισι, κεκαθαρμένα τε εἶναι, καὶ μὴ καθυβρίζειν τὸ μέγα θῦμα αὐτῶν θυσίᾳ. Διόπερ οἰκειότερον ἦν τὸν χορὸν τῶν νηπίων, ἢ τῶν τισιν ὁλισθήμασιν ἐνεχομένων τοῦ θείου Ἀμνοῦ τοῦ τὴν ἁμαρτίαν αἴροντος τοῦ κόσμου προθυθῆναι.

NOTÆ.

(40*) Medica manu hunc locum indigere quisque videt : vellem legisse saltem τὰ δὲ καὶ ἀμετρήτῳ λόγῳ ὑπεροχὴν πρὸς πάντα φερόμενα καὶ οἰκοθεν, κ. τ. λ., nisi forte id Photio παχυτέρως, et non ἐξειργασμένως, ut ipse inquit, scribenti tribuere malimus.

(41) Ὁ pro ὃς ex scriptoris incuria hic excidisse videtur, vel πλεονάζει τὸ εἴη.

(42) Hanc Photii sententiam non amplector quidem, sed damnare non ausim. Profecto tum orthodoxi, cum heterodoxi scriptores pene omnes, quod sciam, prophetæ testimonium a divo Matthæo potius, quam ab angelo afferri fatentur : quippe evangelistæ, non angeli frequentissime solebant Veteris Testamenti loca, ut suis narrationibus fidem, ac Judæorum benevolentiam conciliarent, memorare : imo ea, quæ sequuntur, *Surgens autem Joseph a somno fecit, sicut præcepit ei angelus Domini*, satis evincunt historicum sermonem jam prius incepisse. Etsi autem res ita se habeat, Photio tamen Patres nonnulli favent, Euthymius videlicet ac Theophylactus, nec non et is, cujus ille auctoritatem magni semper facit, et plerumque sequitur, Joannes, inquam, Chrysostomus, homil. 59 in Matth., ubi adductum Isaiæ oraculum proinde commentatur, ac si ad angelum, non ad hagiographum pertineret.

(43) Ita ex codicibus Vaticano, ac Taurinensi legendum puto : verbis enim, quæ in nostro sunt, γλυκύτερον τυγχάνει τῶν ἐπιλύσεων, quem sensum excuderim ?

Digitized by Google

Εἰ βούλει δὲ καὶ παραμύθιον ταῖς μεγίσταις περι- A
στάσεσιν ἑταζόμενον, ὁρᾷν ἔστιν ἀναφυόμενον ἐντεῦθεν. Σφαγιάζεται γὰρ τὰ βρέφη, ὧν ὁ βίος ἀνεπίδεκτος ἁμαρτίας· ἵν' ἐπειδὰν πάσχωσί τινες, μὴ, διὰ βαρύτητα πλημμελημάτων νομίζοντες πάσχειν, τὴν ἐκ τῶν παθῶν πληγὴν ὑφίστανται βαρυτέραν, ἢ πικροτέραν, καὶ πρὸς ἀπόγνωσιν ὦσιν ἀφορῶντες· ἀλλ' ἵνα τὸ ἀναμάρτητον τῶν βρεφῶν, καὶ τὸ ἐπ' ἐκείνοις τόλμημα τῶν ἀλαστόρων ἔχοντες παράδειγμα ψυχαγωγίας, καὶ ἱκανὸν παρακαλέσαι μακροθυμεῖν, εἰς εὐχαριστίαν διανίστανται τοῦ πάντα σοφῶς τὰ ἡμέτερα οἰκονομοῦντος. Καί γε δὴ καὶ τὸ δι' ὧν ὁ φθόνος οὐδεὶς ἀναφλέγεσθαι χώραν εἶχεν (ἀρτιγενῆ γὰρ βρέφη τίν' ἂν παράσχοι πρόφασιν βασκανίας), ἀλλὰ γὰρ τὸ κατ' ἐκείνων εἰς σφαγὴν οὕτως ἀναίσχυντον, καὶ ἀνιστόρητον ἐξορμῆσαι, ζητήματος B
λύσιν οὐκ ἔστιν ἄπορον παρασχεῖν, οὐδ' εἰς εὐμάρειαν μεταρυθμίσαι, ὅπως, τὸ μισόχριστον τῶν Ἰουδαίων γένος εὐεργετοῦντα, καὶ θεραπεύοντα, νόσους ἀνιάτους τὸν Σωτῆρα ἀντὶ τοῦ δοξολογεῖν, καὶ στεφάνοις ἀμείβεσθαι χαρίτων, σταυρῷ κατεδίκασε, καὶ ἐπονειδίστῳ θανάτῳ. Εἰ γὰρ, ἐφ' ὧν ὁ φθόνος οὐδεμίαν πάροδον εἶχε, σφαγῇ τοὺς ἀναιτίους ὁ τῶν Ἰουδαίων ἡγεμὼν μετῆλθεν, οἱ ταῖς μιαιφονίαις ὑπ' αὐτοῦ παιδοτριβηθέντες, καὶ προγυμνασθέντες τί οὐκ ἂν ἀπετόλμησαν, μάλιστα αὐτῶν τηλικούτου φθόνου στρατηγοῦντος; Καὶ γὰρ ὧν ἔστιν ὁρᾷν ἔργα μεγάλα, καὶ θαυμάσια, καὶ τῶν πολλῶν πρὸς αὐτὰ οὐδὲν ἧττον τὴν θέαν, ἢ τὴν εὔνοιαν ἐπιστρέφοντα, ὅσῳ τοὺς εὐγνώμονας εἰς εὐφημίαν, καὶ θαῦμα γλυκὺ C
καὶ σεβασμιότητα διεγείρει, τοσούτῳ μάλιστα τοῖς ἀχαρίστοις καὶ κακομηχάνοις τὸ ἐξάγιστον τοῦτο πάθος ἐνδυναστεύει καὶ τὸ κοάτος ἄμαγον περιβάλλεται.

Εἰ δέ σοι φίλον καὶ πλείους ἐπιθεωρεῖν αἰτίας, πρῶτος μὲν ὁ δίκαιος Ἄβελ οὐδὲν ὀφείλων, ὅσα γε ἦκεν εἰς οἰκείων ἔργων ὀφειλὴν, παραδοθεὶς, καὶ ὑποβληθεὶς τῷ θανάτῳ σαθρὰν αὐτοῦ τῶν θεμελίων τὴν κρηπῖδα καταβαλλομένην ἔδειξεν. Ἐπεὶ δὲ μετ' αὐτὸν πολλοὶ τῶν ἐνόχων περιετείχισάν τε καὶ ἐξωρόφωσαν αὐτοῦ τὴν οἰκοδομὴν εἰς ὀχύρωμα· ἔμελλε δὲ ὁ Σωτὴρ ἐπ' εὐεργεσίᾳ τοῦ γένους παραγεγονὼς σκυλεύειν αὐτοῦ τὰ βασίλεια· οἱονεὶ δορυφόροι τινὲς καὶ πρόδρομοι τοῦ μεγάλου βασιλέως ἀναμάρτητοί τε, καὶ τοῖς μαρτυρικοῖς αἵμασι περιῤῥεόμε- D
νοι καταλαβεῖν τοὺς ἐν τῷ ᾅδῃ κατεχομένους διοικονομοῦνται, καὶ προαποστέλλονται· ἅμα τε τὴν Δεσποτικὴν παρουσίαν, καὶ κοινὴν ἀπολύτρωσιν διὰ τῆς αὐτῶν ἐπιστασίας εὐαγγελιζόμενοι, καὶ δεικνύντες τὰς σφαγὰς, ἃς διὰ τὸν κοινὸν Ἐλευθερωτὴν ὑπέσχον· καὶ δι' αὐτῶν πιστούμενοι παραγενέσθαι τὸν ὑπὸ προφητῶν ἀνακηρυττόμενον Σωτῆρα τοῦ γένους· καὶ δὴ καὶ τὸν ᾅδην ὁρῶντα τοσαύτην φάλαγγα μυρίων ἀνευθύνων ἁμαρτίαις ἐπιστᾶσαν ἐκδειματῶσαί τε, καὶ τὴν ὅσον οὔπω, μέλλουσαν αὐτῷ παντελῆ καθαίρεσιν διὰ τῶν προοιμίων ἐπιδείξαι. Ἀναμαρτήτων γὰρ, καὶ τότε τοσούτων σφαγῇ καταβάλλει παντελῶς, καὶ ἀφαιρεῖται τὸ τοῦ θανάτου δικαίωμα.

Adde, si placet, quod in gravissimis infortuniis solatium hinc prodire videatur. Enecantur enim pueri, quorum vita peccato carebat, ne cum patiuntur aliqui, ob culparum gravitatem se plecti putantes, plagam ex ipsis animi perturbationibus graviorem, aut acerbiorem reddant, neque in desperationem dejiciantur; sed innocentiam puerorum, simulque in eos exsecrandæ impietatis exemplum habentes (pro argumento solatii, quod ad constantiam hortationi sufficiat, ad gratias agendas ei, qui nostra omnia sapientissime moderatur, excitentur. Porro autem ex eo quod, in quibus nullam succensendi ansam habebat invidia (quam enim nuper nati pueri præberent odii causam?) in his nihilominus usque ad necem adeo impudentem, atque inauditam impietas exarserit, difficile non est quæstionis solutionem depromi, atque in apricum proferri, quanam scilicet ratione Judæorum natio Christo infensissima, fundentem beneficia, atque immedicabiles morbos sanantem Servatorem non modo non laudibus et coronis grati animi ergo mactaret, sed etiam cruce ac morte turpissima damnarit. Si enim innocentes, in quibus nullus invidiæ patebat aditus, Judæorum princeps ad mortem persecutus est, quid non præcipue sub tantæ impietatis auspiciis auderent ii qui ab ipso sævitiæ institutionem ac præludium acceperant? Cum enim grandia et mira spectantur facinora, et quæ multorum non minus attentionem quam benevolentiam sibi conciliant, quanto magis hæc in amicis celebrationem, demirationemque jucundam atque obsequium excitant, tanto in ingratis ac malignis detestabile hoc vitium imperium vimque insuperabilem acquirit.

Quod si tibi plura quoque placeat conspicere hujusmodi crimina, memento quod Abel, primus ille justus cum nulla suarum actionum culpa teneretur, proditus atque per insidias morti subjectus, exsecranda ejusdem vitii fundamentorum principia jacta jam esse ostendit. Quoniam vero post illum multi conscelerati homines invidiæ ipsius sedem muro ac tecto munierunt, atque eam regali fastu Redemptor hominum bono natus spoliaturus erat, tanquam magni regis satellites quidam atque præcursores innocentes, et martyrii sanguine circumfusi ad eos, qui in limbo detinebantur, amplexandos diriguntur præmittunturque, ut sua præsentia simul et Domini adventum atque communem liberationem evangelizarent, mactationemque suam pro communi Servatore toleratam ostenderent, ac Patres per eos crederent a prophetis prædicatum nostri generis Liberatorem adesse; imo etiam ut infernus tanta innumerorum insontium multitudine adveniente terreretur, absolutamque debellationem à se nondum exspectatam per quædam præludia præsentisceret. Scilicet innocentium, et quidem tot puerorum occisio mortis jus prorsus evertit ac destruit.

Digitized by Google

Iis accedit, quod divinæ Sapientiæ consuetudo hac in re mirum quantum effulgeat. Quonam pacto? Solet in omnibus ingenium, et eloquium excedens divina Sapientia ex tristibus ea quæ gaudium et voluptatem præstant, educere, atque ex contrariis contraria comparare. Et primum quidem Josephum fraterna invidia vexatum ad Ægypti imperium evexit. Nisi enim fratres ejus invidos in ipsum oculos conjecissent, neutiquam venditus fuisset, neutiquam, nisi venditus et serviens, et pudicitiæ non erubescens libertatem, latuisset in vinculis detentus : nisi vinculis constrictus esset, duos somniis implicatos non extricasset, neque inde innotuisset Pharaoni, neque fuisset secundum hunc imperio Ægypti potitus. Cernis quantum ex invidia odioque fraterno manarit bonum, et quanta Deus Josephum gloria coronavit?

Alius deinde Pharao contra Israeliticam gentem odio exarsit, ac impius masculis infantibus Nilum pro carnifice constituit. At ex illius feritate factum est, ut pro domuncula, in qua simul multi degebant, quæque nihil a cæteris popularibus differebat, in aula Ægyptiorum regum Moyses enutriretur, inde divina Providentia ostendente quod qui insidiis impetebatur, insidiatorum imperium subacturus esset. Nimirum paulo post mortis pœna afficiens Ægyptium, qui eam contribuli suo inferebat, et jam detectus illinc fugit, ac rursum signis prodigiisque munitus, contra exspectationem exsurgit percutitque Ægyptum, et suam denique gentem a dura liberat servitute : eos autem, quibus serviebant Hebræi, cum omni exercitu maris fluctibus pro fluminis aquis tradit suffocandos. Quare ex eo quia Hebræorum insontes in fluvio enecati sunt, tota natio a servitio redempta est ; ac fremitus Ægyptiorum cum ipsis agminibus, curribus, satellitibusque fluctu obruti sunt.

Et multa quidem hujusmodi ex sacris Ecclesiæ historiis collecta posset quispiam in medium afferre. Eadem itaque ratione per exsecrandam immanemque puerorum cædem coronæ martyribus dignæ, et immarcescibiles ipsis beatis exfloruerunt atque intextæ sunt : imo factum est, ut securi Deo sisterentur, ac perpetuam illam ineffabili gaudio et felicitate cum incorporeis agminibus choream plauderent, beatissimaque et perfecta optabilium rerum visione lætarentur ; quibus quænam interneciones et quænam supplicium acerbitates condignæ æstimabuntur? Quapropter adeo non expediebat iniquam et præproperam infantium mortem quacunque ratione præpedire; ut multo melius fuerit eam permitti ac perpetrari, quo ipsi tantis in æterna et inenarrabili beatitate pullulantibus bonis cumularentur.

Atque hæc quasi ad explendam sacræ scientiæ cupiditatem tibi sufficiant. Quod si quis in arcana cum Paulo verba admissus, nobis melius ea

Πρὸς δέ γε τοῖς εἰρημένοις καὶ τὸ σύνηθες τῆς τοῦ Θεοῦ σοφίας ἐνταῦθα μάλιστα παῤῥησιάζεται. Ποῖον τοῦτο; Εἰωθεν ὡς ἐπίπαν ἡ ἀπερινόητος, καὶ ἀνέκφραστος τοῦ Θεοῦ σοφία ἐκ τῶν ἀνιαρῶν προάγειν, ἃ χαρᾶς ἐστι, καὶ εὐφροσύνης παρεκτικὰ καὶ ἐκ τῶν ἐναντίων πηγάζειν τὰ ἀντικείμενα. Αὐτίκα ἐκ τῆς βασκανίας τῶν ἀδελφῶν τὸν Ἰωσὴφ τὸν φθονηθέντα τῆς Αἰγύπτου κατέστησε κύριον. Εἰ μὴ γὰρ φθονερὸν αὐτῷ ἐπέβαλον ὄμμα οἱ τῶν ὠδίνων κοινωνοί, οὐκ ἂν ἐπράθη, οὐκ ἂν μὴ πραθείς, καὶ δουλεύων, καὶ τὴν τῆς σωφροσύνης οὐκ αἰσχύνων ἐλευθερίαν δεσμωτήριον ὤχησεν· εἰ μὴ δέσμιος ἐγεγόνει, οὐκ ἂν τοὺς ὀνείρους δεδεμένους, διέλυεν· οὐκ ἂν ἐκεῖθεν ἐγνωρίζετο βασιλεῖ, οὐδὲ τὴν μετ' αὐτὸν ἀρχὴν τῆς Αἰγύπτου ἐχειρίστο. Ὁρᾷς ἡλίκον ἐκ φθόνου, καὶ μισαδελφίας ἔφυ ἀγαθὸν, καὶ ὅσας ὁ Θεὸς τὸν Ἰωσὴφ δόξας κατεστέψατο;

Ἄλλος ὕστερον Φαραὼ κατὰ τῆς Ἰσραηλίτιδος φυλῆς ἐξεμάνη, καὶ τοῖς τῶν βρεφῶν ἄῤῥεσι τὸν ποταμὸν ὁ παράνομος ἐπενόησε δήμιον. Ἀλλὰ ἐκ τῆς ἐκείνου μιαιφονίας ὁ Μωϋσῆς ἀντὶ τῆς ἰδίας ἑστίας μιᾶς τῶν πολλῶν οὔσης, καὶ οὐδὲν τῆς τῶν ὁμοφύλων διαφερούσης ἐν τοῖς τῶν Αἰγυπτίων ἀνακτόροις ἀνετρέφετο, αὐτόθεν τῆς θείας προνοίας ἐπιδηλούσης, ὡς ὁ ἐπιβουλευόμενος, αὐτὸς ἐγκρατὴς τῆς τῶν ἐπιβουλευόντων δυναστείας ἔσται. Ἔπειτα γὰρ δίκας φόνου λαβὼν, ὑπὲρ ὧν ἠδίκει τὸν ὁμόφυλον ὁ Αἰγύπτιος, καὶ κατάφωρος γεγονώς τε ἐκεῖθεν, καὶ πάλιν ὀχυρωθεὶς σημείοις τε καὶ τέρασι, καὶ παρὰ δόξαν ἐφίσταται, καὶ μαστίζει τὴν Αἴγυπτον· καὶ τέλος τοὺς μὲν ὁμοφύλους τῆς χαλεπῆς δουλείας ἀπαλλάττει· τοὺς δὲ καταδουλωσαμένους πανστρατιᾷ θαλάττης ἀντὶ τῆς ποταμίου μιαιφονίας ἐναποπνίγει ῥεύμασιν. Ὥστε ἐξ ὧν ὁ Φαραὼ τὰ τῶν Ἑβραίων βρέφη ποταμίῳ θανάτῳ κατεδικάσατο, ἐκ τούτων τε τὸ γένος ἅπαν ἀνεσώθη τῆς αἰχμαλωσίας, καὶ τῶν Αἰγυπτίων τὸ φρύαγμα αὐτῇ στρατιᾷ, καὶ ἅρμασι, καὶ τριστάταις ὑποβρύχιον γεγόνασι.

Καὶ πολλὰ τοιαῦτα ἐκ τῶν ἱερῶν λειμώνων τῆς Ἐκκλησίας ἀνθολογησάμενος ἐπιδείξειεν. Οὕτω δὲ, οὕτω καὶ διὰ τῆς ἀλάστορος καὶ παλαμναίας τῶν νηπίων σφαγῆς οἱ μαρτυρικοί τε, καὶ ἀκήρατοι τοῖς μακαρίοις ἐξήνθησάν τε, καὶ διεπλάκησαν στέφανοι· καὶ τὸ σὺν παῤῥησίᾳ παρίστασθαί τε τῷ Θεῷ, καὶ τὴν ἄληκτον ἐκείνην ἐν ἀδιηγήτῳ χαρᾷ, καὶ εὐφροσύνῃ σὺν τοῖς ἀσωμάτοις τάγμασι συνεξελίσσειν χορείαν, καὶ τοῦ μακαριωτάτου, καὶ ἀκροτάτου τῶν ὀρεκτῶν ἀπολαύειν θεάματος· ὧν πόσαι σφαγαὶ, ποῖαι δὲ τιμωριῶν δριμύτητες ἀντάξια λογισθήσονται; Ὥστε οὐ μόνον οὐκ ἦν ἄμεινον οὐδαμόθεν ἐπισχεῖν τὸν ἔκθεσμόν τε, καὶ ἄωρον τῶν βρεφῶν θάνατον· ἀλλὰ καὶ πολλῷ κρεῖσσον ἐναφεῖναί τε καὶ ἐνδοῦναι προελθεῖν τοσούτων αὐτοῖς ἐκεῖθεν αἰωνίων τε. καὶ ἀδιηγήτων ἀναβλαστησάντων ἀγαθῶν.

Ἀλλὰ ταῦτα μὲν ἔστω σοι τῆς ἱερᾶς φιλομαθίας ὥσπερ τις ἱερὰ ἀφοσίωσις. Εἰ δέ τις τῶν ἀπορῥήτων τοῦ Παύλου ῥημάτων μύστης γεγονὼς, μυστ-

Digitized by Google

γωγεῖν ἡμᾶς ἐθελήσειε τελειότερον, ἡδέως; ἄν, καὶ χάριν ἀνομολογοῦντες ὀφείλειν τῷ ἀνδρὶ, διὰ βίου, καὶ κοινῇ μαθητεύσωμεν.

mysteria pandere voluerit; tunc nos libenter, et gratiam ei fatentes habere, dum vivimus, communi usura discemus (44).

ΕΡΩΤΗΣΙΣ ΚΖ'.

Πῶς λέγοντες Θεὸν μὲν ἕνα, τρεῖς δὲ ὑποστάσεις, καὶ τὸν Πατέρα λέγομεν Θεὸν, καὶ τὸν Υἱὸν κατ' αὐτὸν Θεὸν, καὶ τὸ Πνεῦμα ὡσαύτως· Θεότητα δὲ λέγοντες μίαν, καὶ τρεῖς ὑποστάσεις, οὐκ ἔτι δυνάμεθα λέγειν οὔτε τὸν Πατέρα Θεότητα, οὔτε τὸν Υἱὸν, οὔτε τὸ Πνεῦμα, οὐδ' ἅμα (45);

QUÆSTIO XXVII [*al.* XXVI].

At enim, inquiunt, quod remissionem peccatorum non præstaret Præcursoris baptismus, ipse quoque Servator cum Nicodemo de regeneratione verba faciens indicavit : « Nisi quis renatus fuerit, ait, ex aqua et Spiritu sancto, non potest introire in re-

Ἱερὸν Μάρκον περὶ μὲν ἐκείνου λέγειν, « Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ · » ἐν δὲ τῷ, « Κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, » τὸ Σωτήριον ἀνακηρύττειν βάπτισμα. Καὶ οὕτω φαῖεν ἂν τὸν μακάριον Μάρκον ἑκάτερον τῶν βαπτισμάτων διαστείλασθαι ἐπιμαρτυρούμενον μὴ ἄφεσιν ἁμαρτιῶν παρέχειν, μηδ' αὐτὸν ὁμολογεῖν τὸ βάπτισμα παρεχόμενον · διὰ τοῦτο γὰρ καὶ εἰρηκέναι φιλαλήθει τε καὶ θεοσεβεστάτῃ γνώμῃ · « Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ. »

Εἰ δ' ὁ Μαρκος σαφῶς ἡμᾶς τὴν διαστολὴν τῶν βαπτισμάτων ἐδιδάξατο, τῷ Δεσποτικῷ μὲν βαπτίσματι τὴν τῶν ἁμαρτιῶν ἀπονέμων ἄφεσιν, καὶ Πνεύματι ἁγίῳ διατελεσιουργεῖσθαι · τὸ δὲ Ἰωάννου καὶ ὕδατος εἶναι, καὶ ὀνομάζεσθαι βάπτισμα · δῆλον, ὡς καὶ ὁ Λουκᾶς ἅρα πρὸς τὸν συνευαγγελιστὴν καὶ συνόμιλον τὸ σύμφωνον διασώζων, οὕτω καὶ τὸ τῆς ἀληθείας ἀνύβριστον συνδιαφυλάξει ἀξίωμα · καὶ εἴη ἂν αὐτῷ εἰρημένον τὸ, « Καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, » οὐ περὶ ἐκείνου δήπουθεν, ὅπερ αἱ τοῦ Προδρόμου χεῖρες εἰργάζοντο, ἀλλὰ περὶ τοῦ Σωτηρίου καὶ Δεσποτικοῦ, καὶ ὃ πάντας τοὺς βαπτισαμένους τῶν ψυχικῶν μολυσμάτων ἀπεκάθαιρε. Καὶ γὰρ μετ' ὀλίγον καὶ αὐτὸς εἰσάγει τὸν Ἰωάννην λέγοντα · « Ἐγὼ μὲν ἐν ὕδατι βαπτίζω ὑμᾶς, ἔρχεται δὲ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ · » εἶτα καὶ τὸ ἀξίωμα τοῦ Κυριακοῦ βαπτίσματος, « Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. » Ναὶ μὴν καὶ Μάρκος πάλιν μετὰ τὸ φυγεῖν τοὺς Φαρισαίους καὶ Σαδδουκαίους ὑπὸ τῆς μελλούσης ὀργῆς (οὐδὲ φυγή τις ἂν ἦν, εἰ μὴ τὸ προσδραμεῖν τῷ βαπτίσματι), « Ποιήσατε, ἐπιφέρει, καρποὺς ἀξίους τῆς μετανοίας, » ὡς τοῦ δοθέντος βαπτίσματος οὐκ ἔχοντος ἰσχὺν παρασχεῖν τὴν τελείαν ἁμαρτημάτων ἀπολύτρωσιν. Ἢ τοῦτο μὲν ἂν τις εἰρῆσθαι θείη οὐ πρὸς ἐκείνους, οὓς τὰ τελεσθέντα ῥεῖθρα δεξόμενα τῶν μολυσμάτων ἐπλύνατο · ἀλλὰ τοῖς ὡρμημένοις μὲν ἐπὶ τῷ βαπτίσματι, οὔπω δὲ καταξιωθεῖσι τῆς καθάρσεως. Πλὴν εἴ τις καὶ πρὸς τοὺς ἤδη βαπτισαμένους τὸν προκείμενον λόγον ἁρμόττειν δοίη, οὐδὲ τοῦτ' ἂν ἐξ ἀνάγκης ὀφθείη τὴν ἄφεσιν τῶν ἁμαρτιῶν τοῦ κατὰ τὸν Πρόδρομον βαπτίσματος ἀφαιρούμενον. Ἡ γὰρ καρποφορία τῶν ἀρετῶν ἐγγυτέρω μᾶλλόν ἐστι τῆς κεκαθαρμένης ψυχῆς, ἢπερ ἣν πολλαὶ παθῶν ἄκανθαι καὶ παραφυάδες ζιζανίων, λελυμασμένην τε καὶ ῥυπῶσαν ἐξειργάσαντο · ἀλλὰ αὕτη μὲν ἡ ἐκβολὴ καὶ μετ' ὀλίγον τάχα ἂν τύχῃ καὶ τελειοτέρας διακρίσεως.

Ὅτι δὲ μὴ παρεῖχεν ἄφεσιν ἁμαρτιῶν τὸ τοῦ Προδρόμου βάπτισμα, καὶ ὁ Σωτὴρ, φασὶ, πρὸς Νικόδημον διαλεγόμενος περὶ παλιγγενεσίας ὑπεδήλωσεν · « Ἐάν τις μὴ γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, ἀποφαινόμενος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν

[30] Marc. I, 8. [31] Luc. III, 3. [32] ibid. [33] ibid. 8 non Marci.

Digitized by Google

οὐρανῶν. » Καὶ μὴν ὁ Ἰωάννης ἐν Πνεύματι οὐκ ἐβάπτιζεν, οὐκοῦν οὐδὲ εἰς τὴν βασιλείαν παρέπεμπε τῶν οὐρανῶν· εἰ δὲ μὴ παρέπεμπεν, οὐδὲ τὴν ἄφεσιν ἐδίδου τῶν κωλυόντων τὴν εἴσοδον.

Ἐξ οὖν τῶν εἰρημένων, καὶ δι' ὧν προῆλθεν ἡ ἀμφισβητημάτων παράθεσις, πρός τε τὴν δίαιταν ὁ λόγος ὡρμημένος ἐφέρετο, σκοπεῖν προσῆκε τίνος μὲν ἐν κέρδει καταστήσομεν· ποῦ δὲ στησόμεθα τοῦ ζητήματος, καὶ πρὸς τὸ ἀσάλευτον ἡ διάνοια στηριχθήσεται; Ἀλλὰ γὰρ πρό γε τοῦ τέλους βραχύς τις προηγείσθω τῆς διαίτης λόγος μέχρι νῦν ὑπολειπόμενος. Τό τε γὰρ τοῦ θεσπεσίου Μάρκου λόγιον διπλῇ ἀναβαπτίζειν βαπτίσματος χρείαν ἐκδιάζεσθαι (57) (τὸ γὰρ (58) τοῦ Ἰωάννου μόνον ἀδιάστῳ κρίσει, καὶ ἀποστολικῇ φράσει, ἐπισημαίνεται)· καὶ δὴ καὶ τὸ ἀμφιβαλλόμενον εἰς κατασκευὴν μεταλαμβάνειν διανοίας πρὸς διάφορον ὁμολογίαν ἐναρμοζομένης, ἀνακόλουθον· τοὐναντίον γὰρ ἅπαν τὸ μονότροπον τῶν ἱερῶν ῥημάτων τοῦ Λουκᾶ, δι' ὧν ἐν βάπτισμα τὸ τοῦ Ἰωάννου μόνον τρανῶς ἀπαγγέλλεται, καὶ τῶν ἁμαρτημάτων ἡ ἄφεσις παραδίδοται. Τοῦτο μᾶλλον εἴπερ τινὰ καὶ ἀμφιβολίαν μερισμοῦ παρεῖχεν τὰ τοῦ μακαρίου Μάρκου ῥήματα, εἰς τὴν τοῦ ἑνὸς ἂν ἰθύνετό τε καὶ συναπηρτίζετο βαπτίσματος δήλωσιν. Ἀλλὰ γὰρ καὶ τὸ ἐν ὕδατι βαπτίζειν τὸν Ἰωάννην, ἐν Πνεύματι δὲ τὸν Ἰησοῦν, τὸ μέγεθος ἴσμεν τῆς διαφορᾶς, καὶ τὸ κατὰ παραβολὴν ἀσύγκριτον ἀπαγγέλλει, οὗ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἀφαιρεῖται τῆς ἱερουργίας Ἰωάννου. Ναὶ δὲ καὶ τὸ μετὰ τὸ βάπτισμα καρποὺς ἀξίους τῆς προλαβούσης μετανοίας ἐπιζητεῖν τε παρὰ τῶν βαπτισαμένων, καὶ παραινεῖν ἐπιδείκνυσθαι, ἀλλὰ μὴ καταισχύνειν διὰ τῶν ὑστέρων τὰ φθάσαντα· βεβαιωτικὸν μᾶλλον ἂν εἴη καὶ παραστατικὸν ἐκ (59) τοῦ κεκαθάρθαι διὰ τῆς ἱερουργίας Ἰωάννου τοῖς Ἰορδάνου νάμασι τοὺς λελουμένους· ἀλλὰ οὐκ ἀναίρεσις οὐ μὲν οὖν τοῖς λελουμένοις καθάρσεως.

Τούτων οὕτω διατυπωθέντων, καὶ τῶν ἀντιπίπτειν δοκούντων τῶν μὲν ἐκκαθαρθέντων, τῶν δὲ τὴν συμφωνίαν ἀνθελομένων, μετὰ παῤῥησίας φιλαλήθους, καὶ θεοφιλοῦς ἔξεστι καὶ φρονεῖν, καὶ λέγειν, ὡς παρεῖχε μὲν ἁμαρτιῶν ἄφεσιν τὸ τοῦ Προδρόμου βάπτισμα, οὐ πάντων δὲ, ὥσπερ οὐδὲ αἱ νομικαὶ τελεταὶ καὶ θυσίαι. Οὐδὲ γὰρ οὐδὲ τῶν ἐκ προνοίας φόνων, οὐ μὴν οὐδ' εἴ τις ἀλλοτρίους γάμους διώρυξεν, οὐδ' ὅσα τὸ φρικτὸν ἐκεῖνο καὶ οὐράνιον πῦρ τοῖς ἐνόχοις ζημίαν ἐπέβαλλον· οὐδ ἄλλων πολλῶν ἐξαγίστων καὶ παραπλησίων ἔργων τὴν κάθαρσιν οὔτε ὁ νόμος, οὔτε τὸ Ἰωάννου διεπράττετο βάπτισμα. Ἀλλὰ τούτων ἁπάντων ὁ μὲν νόμος, ὅσα μὴ προλαβὼν ὁ πρῶτος νομοθέτης εἰσεπράττετο, δικαστὴν τὸ ξίφος ἐκάθιζε· τὸ δὲ Ἰωάννου βάπτισμα εἰς τὸ κοι-

gnum cœlorum [55]. » Et Joannes quidem in Spiritu non baptizabat, unde nec immittebat in regnum cœlorum : quod si non immittebat, certe neque illa dimittebat, a quibus ingressus præcludebatur.

Ex his igitur, quæ dicta sunt, et per quæ luctantium argumentorum crevit congeries, et sermo ad nos tandiu distinendos processit, opus esset inspicere quanti pro sua utilitate illud baptisma æstimandum sit. Quando vero a disputatione desistemus, et mens in quadam certitudine confirmabitur? At enim hæc esto velut brevis quædam ante solutionem præmissa diatriba, quæ huc usque producta est. Profecto nec ad baptismatis utilitatem excludendam valet illud divi Marci testimonium, quo demum baptizari præscribitur (nam id solum a Joanne Baptista irrefragabili illo oraculo, et apostolica sententia significatur) : nec quidquid congestum est, ut animi opinioni mihi contrariæ adhærentis astruerentur argumenta, est consentaneum : siquidem contra est totus sacrorum Lucæ verborum uniformis contextus, in quibus de uno tantum Joannis baptismo diserte fit sermo, et culparum remissio traditur. Idque eo magis, quia, si beati Marci verba quamdam distinctionis ambiguitatem afferre videbantur, ea ad unum Joannis baptisma indicandum referri atque accommodari debebant. At vero quod et in aqua baptizaret Joannes, et in Spiritu Jesus, hoc summam esse diversitatis agnoscimus, et quod in comparatione imparitatem prodit, at remissionem peccatorum sacro Joannis ritui non adimit. Præterea si a baptizatis fructus digni susceptæ pœnitentiæ requirebantur, eorumque præscribebatur demonstratio, ne per sequentem pravitatem priora bona fœdarentur; hoc adeo baptizatos sua mundatione non destituit, ut confirmare potius, et astruere videatur, quod per sacram Joannis cæremoniam hominum inter fluenta Jordanis ablutorum corda extergerentur.

His autem ita enucleatis, et quibusdam eorum, quæ invicem adversari videbantur, rejectis, aliis autem ad concordiam redactis, oportet, ut qui et veritatem et Deum diligunt tuto sibi persuadeant, atque fateantur remissionem peccatorum Joannis baptisma præstasse, non omnium tamen, quemadmodum ne ipsæ quidem legales cæremoniæ et sacrificia. Profecto nec homicidia dedita opera patrata, nec alieni conjugii violationes, nec ea, quæ horrendum illum, et cœlestem ignem in reos pro pœna demittebant, nec denique alia multa exsecranda, et similia opera remissionem vel ex lege, vel ex Joannis baptismate consequebantur. Sed pro omnibus his culpis lex quidem, ubi primi legislatoris providentia multam non decreverat, gladium

[55] Joan. III, 5.

NOTÆ.

(57) Ita scribo pro ἐκδεδιάσθη.

(58) Supple ἀπὸ, ne tota ista periodus te quoque torqueat.

(59) Expunge τὸ ἐκ, et sensum habebis planiorem.

Digitized by Google

pro vindice statuebat : Joannis autem baptisma ad universale, et Dominicum, quod suam virtutem multo excederet, amandabat.

Quare et ipse Redemptor noster, cum duritiem cordis et incredulitatem Pharisæorum exprobraret, diceretque, quod animum magis quam fornicarii, et publicani improbum, et inemendabilem gererent; simulque doceret, quinam essent qui converterentur a peccato, et quibusnam criminibus absolverentur : « Venit ad vos, ait, Joannes in via justitiæ, et non credidistis ei[35]; » ita ut Joannes esset, qui per baptismum injustæ vectigalium exactionis, fornicationis, et hujuscemodi scelerum hominibus sincere pœnitentibus veniam præberet. At neque latrones, neque mortuorum spoliatores, neque aliorum nefandorum criminum patratores absolvebat; quoniam hi ne audebant quidem accedere, et facinus suum confiteri, cum conscientia ipsis adversaretur, et pœnam minitaretur ex legibus, nec sineret piacula coram aliis recensere.

Igitur præstabat, ut dictum est, et ipse Præcursoris baptismus peccatorum remissionem, non omnium autem; quippe hæc Dominici ac divinissimi baptismatis peculiaris est virtus : præstabat tamen, dum perfecto Salvatoris sacramento viam sternebat; eratque ante ablutionem ablutio, remissio particularis ante omnimodam remissionem, atque imperfecta mundatio absolutæ mundationi præmissa; sed nullam futurorum bonorum certam promissionem, ac ratam fidem faciebat. Divinus contra, et Christianus baptismus omnia ante commissa nobis indulget; quin etiam robur et fortitudinem, ne denuo secundum priores lapsus concupiscentiæ pareamus, concedit; imo homines in regnum cœlorum infert, et quod majus est, adoptionem filiorum Dei impertitur. Joannis autem baptisma eorum criminum, quæ memoravimus, remissionem, non autem regni cœlestis præbebat hæreditatem, et multo minus ad dignitatem adoptionis homines evehebat (60).

[35] Matth. xxi, 32.

νὸν καὶ Σωτήριον, ὡς πολλῷ μεῖζον ὑπάρχον τῆς ἰδίας ἰσχύος, παρέπεμπε.

Διὸ καὶ ὁ Σωτὴρ ἡμῶν τὴν σκληροκαρδίαν, καὶ τὸ ἀπειθὲς ἐξονειδίζων τῶν Φαρισαίων, καὶ δηλῶν, ὡς τῶν ἐν πορνείᾳ καὶ τελωνείᾳ βιούντων χείρους τὰς γνώμας καὶ ἀδιορθώτους μᾶλλον ἔφερον· καὶ ἅμα διδάσκων, τίνες τε εἶησαν τῶν ἐξ ἁμαρτίας ἐπιστρεφόντων, καὶ τίνων ἁμαρτημάτων ἀπελύοντο, τὸ, « Ἦλθε πρὸς ὑμᾶς, φησὶν, ὁ Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· » ὥστε τελωνείας μὲν, καὶ πορνείας, καὶ τῶν τοιούτων εἴη ἂν ὁ Ἰωάννης διὰ τοῦ βαπτίσματος τοῖς εἰλικρινῶς μετανοοῦσι πραγματευόμενος κάθαρσιν. Οὐ μήν γε λῃστὰς, οὐδὲ τυμβωρύχους, οὐδὲ τοὺς ἄλλους ἀρρητουργοὺς τῶν μολυσμάτων ἀπήλλαττεν· ὅτι μηδὲ θαρρεῖν εἶχον οὗτοι προσιέναι, καὶ ἐξομολογεῖσθαι τὸ τόλμημα, τοῦ συνειδότος αὐτοῖς προαπαντῶντος, καὶ ἀπὸ τῶν νόμων δίκην ἐπισείοντος, καὶ οὐκ ἐῶντος τοῖς ἄλλοις συγκαταλέγεσθαι.

Παρεῖχε μὲν οὖν, ὥσπερ εἴρηται, καὶ τὸ τοῦ Προδρόμου βάπτισμα τῶν ἁμαρτιῶν ἄφεσιν, οὐ πάντων δέ· τοῦτο γὰρ τοῦ Δεσποτικοῦ καὶ θειοτάτου βαπτίσματος τὸ ἐξαίρετον· παρεῖχέ δὲ προευτρεπίζων τῷ Σωτηρίῳ τὴν τελειότητα· καὶ λουτρὸν ἦν πρὸ λουτροῦ, καὶ ἄφεσις ἐκ μέρους πρὸ τῆς παντελοῦς ἀφέσεως, καὶ ἀτελὴς κάθαρσις προοιμιαζομένη τὴν τελειοποιόν· οὐδὲν δὲ ἀσφαλὲς, οὐδὲ ἐχέγγυον περὶ τῶν μελλόντων χαριζόμενον. Τὸ Δεσποτικὸν δὲ καὶ Σωτήριον πάντων μὲν τῶν προλαβόντων ῥύσιον· ῥώμης δὲ παρεκτικὸν καὶ ἰσχύος, μὴ κατὰ τὰς πρώτας ὁλισθήσεις ἔτι πρὸς τὰ πάθη κατασύρεσθαι· καὶ τὸ μὲν εἰς τὴν τῶν οὐρανῶν ἀναφέρει βασιλείαν, καὶ, τὸ μεῖζον πάντων, υἱοθεσίαν χαρίζεται. Τὸ δὲ τὴν μὲν ἄφεσιν, ὥνπερ εἴρηται, παρεῖχεν, οὔτε δὲ βασιλείας οὐρανῶν κληρουχίαν, οὐδὲ πολλῷ μᾶλλον πρὸς υἱοθεσίας ἀναβιβάζει ἀξίωμα.

NOTÆ.

(60) Ut aliqua de hac quæstione dicamus, Joannis et Christi unum idemque fuisse baptisma tribus gradibus, aqua, igne et spiritu ita consecratum, ut aquam Joannes, spiritum Christus, ignem Paracletus dederit, Petilianus commentus est : de quo legendus D. Augustinus lib. II *contra Lit. Petil.* c. 34. Melanchthon autem, Bucerus, et alii, baptismi Joannis et Christi unum idemque fuisse ministerium, eosdemque effectus sine tergiversatione pronuntiarunt. In hos præcipue sacrosancta Tridentina synodus canonem illum edidit sess. VII *De bapt.* can. 1 : *Si quis dixerit baptismum Joannis eamdem vim cum baptismo Christi habuisse, anathema sit.* Porro hanc notam Photio non inurimus; ex eo enim sæpenumero audivimus, quam perspicue baptisma Christi baptismati Joannis longe præstasse fateatur. Hoc autem baptismo peccata non fuisse dimissa ad fidem non pertinere Drouven. *De re sacram. contra hæret.* lib. II, quæst. 5, cap. I, § 4; Estius in IV *Sent.* distinct. 2, § 4, et alii opinantur; atque id propterea non fuisse a concilio definitum, quia nonnulli Patres, præsertim sanctus Optatus Milevitanus lib. III *Contra Parmen.*, sanctus Basilius, hom. 1 de baptismo, sanctus Cyrillus Hierosol. *Catech.* II, hoc affirmare viderentur. Photium autem Cyrilli verba putarim fuisse mutuatum, ubi Joannis baptisma remissionem peccatorum contulisse, baptismum vero Christi adoptionem importare filiorum asseverat. Igitur hac in re Photio aliquantulum possumus parcere, ejusque sententiam non admodum abnormem existimare. Illa autem distinctio, quam inter crimina comminiscitur, dum quædam tantummodo illa ablutione remitti autumat, risu potius excipienda, quam argumentis refutanda videtur. Unde enim id novit? Quomodo divini consilii certior factus est? Qua de causa his, et non aliis limitibus remissionem conclusit? Nos interea communem theologorum catholicorum sententiam ea, qua par est, veneratione tenentes, dicemus per Joannis baptisma *ex opere operantis*, non autem *ex opere operato* fuisse Hebræos culpis absolutos.

Digitized by Google

ΕΡΩΤΗΣΙΣ Λ' (61).

Πῶς τοῦ Σωτῆρος ἡμῶν λέγοντος· « Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἄνευ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, » Παῦλος, ὁ τὸν Χριστὸν ἔχων λαλοῦντα ἐν ἑαυτῷ φησι· « Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; » Ἀντιφθέγγεσθαι γὰρ ἡ τοῦ μαθητοῦ πρὸς τὸν διδάσκαλον φαντασίαν παρέχεται φωνή.

A

QUÆSTIO XXX [*al.* XXIX].

Quomodo, cum Salvator noster dicat: « Nonne duo passeres asse veneunt, et unus ex illis non cadet sine Patre meo, qui in cœlis est [36]? » Paulus, qui Christum in se loquentem habet, inquit: « Numquid de bobus cura est Deo [37]? » Nimirum vox discipuli magistro adversari videtur.

Edita ab Antonio Scotto, l. c., p. 45. De apparente contradictione inter locum Matth. x, 29 et I Cor. ix, 9.

Ὅτι μὲν ἡ τοῦ Θεοῦ πρόνοια καὶ μέχρι τῶν στρουθίων διήκει, καὶ οὐδὲ ἐν αὐτοῖς τὴν αὐτοῦ περιγράφει κηδεμονίαν, ἀλλ' ἤδη καὶ φυτῶν, καὶ βοτανῶν, καὶ ἁπλῶς, ὧν ἐγνώσθη γενεσιουργὸς, τούτων καὶ τῆς διαμονῆς, καὶ οἰκονομίας ἀναλλοίωτόν τε, καὶ ἀδιάδοχον φέρει τὴν φροντίδα, αἵ τε ἄλλαι τρανῶς ἡμᾶς ἐκδιδάσκουσιν Ἱεραὶ Γραφαὶ, καὶ δὴ καὶ ὁ ἔμφυτος λογισμὸς, ὃς τὸν παραγαγόντα, καὶ ὑποστήσαντα ἐκ μὴ ὄντων καὶ συνέχειν τὸ παραγαγόμενον, καὶ προνοεῖσθαι κατὰ τὸν ἑκάστῳ πρέποντα τῆς Προνοίας λόγον ἀπαιτεῖ. Ἐπεὶ καὶ αὐτὸς ὁ Σωτὴρ ἡμῶν φιλανθρώπως ἀπάγων ἡμᾶς τῆς πολλῆς περὶ τὰ ἀνθρώπινα σπουδῆς τε καὶ κατατριβῆς· καὶ τῶν ῥεόντων καὶ διαλυομένων τῆς σχολῆς ἐλευθερίαν τε καὶ ἀπαλλαγὴν εἰσηγούμενος, οὐκ ἀπὸ τῶν στρουθίων μόνον καὶ τῶν ἄλλων πτηνῶν τὴν ἀρίστην ταύτην εἰσήγησιν ποιεῖται, ἀλλὰ δὴ καὶ ἀπ' αὐτῶν γε τῶν βοτανῶν. « Κατανοήσατε γὰρ, φησὶ, τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει· » εἶτα τοῦ ἀμφιάσματος τὸ κάλλος, καὶ τὸ ἀξίωμα· « Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλλετο, ὡς ἓν τούτων, ποιῶν τούτων τῶν μετ' ὀλίγον ἐμβαλλομένων εἰς κάμινον. » Εἰ δὲ τῶν οὕτω μικράν τινα πληρούντων ἀνθρώποις χρείαν (πόσον γὰρ ἀνάφει πῦρ ἡ καλάμη τῶν κρίνων; Ἢ τοῦ χρώματος τὸ ἄνθος ἐπὶ πόσον χαριεῖται τὴν τέρψιν τῷ ὄμματι), τοσαύτην ὁ Θεὸς τὴν πρόνοιαν ἔχει, πῶς οὐχὶ πολλῷ μᾶλλον, καὶ ἀσυγκρίτῳ διαφορᾷ, τῶν ἀνθρώπων; Οὕτω γοῦν οὐ μόνον ἡ τῶν στρουθίων ἀνεῖται γένεσίς τε, καὶ αὔξησις, καὶ διαμονὴ τῷ Θεῷ, καὶ πάλιν ἡ κατὰ τοὺς οἰκείους καιροὺς λύσις, ἀλλὰ καὶ ἡ τῶν ἐν τῷ ἀγρῷ βοτανῶν· ἀπὸ γὰρ τοῦ ἑνὸς εἴδους καὶ περὶ τῶν ἄλλων τῶν ὁμογενῶν ὁ αὐτὸς ἂν τῆς ἀκολουθίας διαβλύνει λόγος· οὕτως οὐ μόνον τῶν βοῶν, ἀλλὰ καὶ αὐτῶν τῶν ἀπαρχῆς ἀτελεστέρας φύσεως τετυχηκότων ἡ κηδεμονία τῆς θείας ἐξῆπται ῥοπῆς.

Τί οὖν ἐστιν, ὃ λέγει Παῦλος ὁ μετάρσιος ἄνθρωπος, ἡ γλῶσσα τοῦ Πνεύματος, ἣν οὐδὲν δυσχερὲς, οὐδὲ πολλοῦ δεῖ μάχης ἀπτόμενον; Νομίμων γὰρ παλαιῶν εἰς μνήμην καταστὰς, ἃ πολλὰ παρὰ τῶν ἀλόγων νομοθετεῖ ζώων, δι' ἐκείνων παιδαγωγοῦντα τὸ λογικόν·

Quod Dei providentia ad passeres usque pertingat et nec his limitibus ejus vigilantia concludatur; sed et arborum, et herbarum, et omnium omnino rerum, quarum creator agnoscitur, conservationi, gubernationique immutabili, ac perpetua cura prospiciat, diserte nos docent tum alia sacrarum Litterarum loca, tum ipsa insita hominibus ratio quæ postulat, ut, qui res e nihilo eduxit, atque disposuit, ipse productas secundum providentiæ rationem unicuique consentaneam conservet, atque gubernet. Quoniam et ipse Redemptor noster, cum nos ex humanarum rerum nimio studio, nimiaque curatione peramanter avocaret; atque ut a fluxorum caducorumque bonorum sollicitudine liberemur avertamurque, nobis suaderet; non a passeribus tantumodo et aliis volatilibus utilissimam hanc cohortationem exorsus est, sed ab ipsis quoque herbis: Etenim « Considerate, inquit, lilia agri, quomodo crescunt; non laborant, neque nent: » deinde de vestimenti elegantia et decore adjecit: « Dico autem, quod neque Salomon in omni gloria sua coopertus est sicut unus ex istis, qui paulo post in caminum immittuntur [38]. » Quod si rebus, quæ tam tenuem utilitatem comparant hominibus (quandiu enim flammam alit liliorum caulis? Aut quandiu flosculus variegatus oculo oblectamentum creat?) Deus, adeo providet, quomodo non multo magis, et immenso discrimine hominum curam gerit? Ita sane non passeres duntaxat, sed et herbæ campi ut nascantur, crescant, et conserventur, et rursus suo tempore intereant, ad Deum pertinet, quandoquidem ab una specie ad res pariter ejusdem naturæ idem ex consequentia sermo procedit: atque ita non modo boves, sed ipsas quoque res, quæ ab ortu suo minus nobilem sortitæ sunt naturam divini vigilantia auxilii non deserit.

Quid itaque est, quod Paulus docet, vir ille excelsus, sancti Spiritus lingua, quam nihil absonum, aut litigiosum decet profari? Sane dum ille veterum legalia præcepta in mentem revocaret, quæ multa de brutis animantibus statuunt, ut per ea hominem

[36] Matth. x, 29. [37] I Cor. ix, 9. [38] Matth. vi, 28.

NOTÆ.

(61) Noster exscriptor hanc quæstionem in codice lis exaravit; et primo quidem loco mutilam, altero autem integram et absolutam exhibuit. Hujus rei causa fuit, nisi conjecturis indulgere fas est, quia hanc ad vocem μέλει pro μέλλει oculos advertit, et magnam orationis partem verbis istis interjectam omisit: deinde vero vocabulorum similitudine deceptum se sentiens, laborem suum instauravit, addiditque hanc ἐπιγραφὴν secundæ exscriptioni: Αὕτη προγραφεῖσα αὖθις γράφεται. Ego vero, ne a Coisliniani, et Taurinensis codicis ordine recederem, ipsam integram sedi suæ restitui, atque hic in lucem edendam putavi.

Digitized by Google

erudiant (veluti non licere ei, qui pullos avium e nido abstulerit, parentes simul tenere [39]; nec in lacte matris suæ agnum coquere [40]; imo, si placet, nec vineam altero semine serere [41]; nec vestem ex variis contextam liciis indui [42]; et plura id genus, cujusmodi est et illud : « Non alligabis os bovi trituranti [43], ») ille, inquam, vir legis doctor, cum in hujus legis abolitæ usu natus esset, ac vellet inde cohortationem exordiri, quod nempe, qui alios ad virtutem incitat, hac prius debeat ipse pollere, et sic deinde auditores ad imitationem allicere ; imo etiam, quod oporteat laborantes debita mercede non fraudari : hæc ex Moysis quoque lege ipse personans subdidit : « Non alligabis os bovi triturranti. » Deinde ne quis diceret : Quid bovum genus ad hominum naturam? Subjicit : Non hic « de bobus cura est Deo. » Nam propter nos hæc de ipsis posita lex est ; non enim ejus promulgatio illorum utilitati intendit neque brutorum gubernationem legum Mosaicarum institutio sibi pro scopo proposuit : sed quæ circa alia versantur animantia, hæc nostri gratia sancita sunt.

Deo itaque curæ sunt boves, ut et aliæ creaturæ non adeo vero ut pro illis leges quoque, et regiminis formas, secundum quas viverent, conderet; at potius, si quod de illis prodiit statutum, id pro humana utilitate, et disciplina meruit promulgari. Atque id magis magisque ex cæteris pariter perspicitur animantibus, de quibus nulla legum latio potest exhiberi. Quænam nimirum de leonibus, quænam de elephantibus, aut de unicornibus, aut de draconibus, aut de innumeris aliis animantium generibus, quorum quædam mansuefieri cernuntur, cætera vero hominum familiaritatem et contubernium prorsus refugiunt, inducta lex est? Hoc profecto cum beatus ille, et divinus vir, melius, quam quivis alius, comperiret, utpote legis doctor, Ecclesiæ tuba, et meus sublimis, tum rerum omnium providentiam in multis epistolis frequenter Deo attribuendam prædicat, tum docet illas de brutis leges, quas Mosaica littera adhibet, non ipsorum viveudi normam definire, neque adeo bruta Dei interesse, ut etiam jura ad ipsorum gubernationem spectantia conscriberet; at potius hæc ad indocilis Judaici populi doctrinam, regimenque sapientissimo et occulto consilio prolata, et litteris credita fuisse tradit.

Patet itaque, quod non modo prædicator documentis magistri in nulla unquam re adversetur ; verum etiam ea documenta confirmatione muniantur, præcipue dum diversis rerum argumentis usus diversitatem convenienter accommodat, et in quovis usu doctrinas inter se distinctas minime confundit; præbetque se piis viris normam, quo pacto debeat

οἷον οὐ δεῖ νεοττοὺς ὀρνίθων τῆς νοσσιᾶς ἀφαιρούμενον καὶ τοὺς γεγεννηκότας λαμβάνειν· οὐδ' ἔψειν ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ, εἰ βούλει δὲ, μηδὲ διαφόροις σπέρμασι τὸν ἀμπελῶνα κατασπείρειν· οὐδ' ἱμάτιον διαφόρων ἐκ νημάτων ὑφασμένον περιδύεσθαι· καὶ πολλὰ τοιαῦτα, ὧν ἐστι καὶ τό· « Οὐ φιμώσεις βοῦν ἀλοῶντα. » Ἐν χρείᾳ τοίνυν ὁ νομομαθὴς ἐκεῖνος, ἄνθρωπος τοῦ πάρετος (62) νομίμου γεγονὼς, κἀκεῖθεν ὑφαίνων τὴν παραίνεσιν, ὡς δεῖ τὸν εἰς ἀρετὴν ἑτέρους προτρεπόμενον, αὐτὸν ταύτης ἀπολαύειν πρότερον, εἶθ' οὕτως ἐπὶ τὴν μίμησιν τοὺς ἀκροατὰς παρακαλεῖν· ἢ, εἰ βούλει, τοὺς κοπιῶντας τῆς ἀπὸ τῶν πόνων παραμυθίας μὴ ὑστερεῖσθαι· ταῦτα καὶ διὰ τῆς Μωσαϊκῆς νομοθεσίας συγκροτῶν, ἐπήγαγεν· « Οὐ φιμώσεις βοῦν ἀλοῶντα. » Εἶτα ἵνα μή τις εἴπῃ· Ἢ τί πρὸς ἀνθρώπων φύσιν τὸ τῶν βοῶν γένος; « Οὐ τῶν βοῶν, φησὶν, ἐνταῦθα μέλει τῷ Θεῷ. » Δι' ἡμᾶς γὰρ ὁ ἐπ' αὐτοῖς ἐτέθη νόμος· οὐ γὰρ ἔχει προηγουμένην τὴν θέσιν ἐπ' ἐκείνων· οὐδὲ τῆς τῶν ἀλόγων πολιτείας ἡ Μωσαϊκὴ νομοθεσία στοχάζεται· ἀλλ' ἅπερ ἑτέροις περιετέθη προσώποις, ταῦτα δι' ἡμᾶς ἐρρέθη.

Μέλει μὲν γὰρ τῶν βοῶν τῷ Θεῷ, ὥσπερ καὶ τῶν ἄλλων κτισμάτων· ἀλλὰ οὐχ ὥστε περὶ αὐτῶν καὶ νόμους ἐκτίθεσθαι, καὶ τῆς πολιτείας τύπους, καθ' οὓς γε βιώσονται· ἀλλὰ καὶ ὧν προῆλθε διάταγμα, διὰ τὴν τῶν ἀνθρώπων χρείαν καὶ παιδαγωγίαν τὴν εἰσφορὰν οἰκειώσατο. Καὶ τοῦτο φανερὸν οὐδὲν ἧττον καὶ ἐκ τῶν ἄλλων ζώων καθίσταται, περὶ ὧν οὐδεμία νόμων εἰσφορὰ διαδείκνυται. Ποῖος γὰρ περὶ λεόντων ; τίς δὲ περὶ ἐλεφάντων, ἢ μονοκερώτων, ἢ δρακόντων νόμος εἰσενήνεκται, ἢ μυρίων ἄλλων γενῶν, ὧν τὰ μὲν ὁρᾶται χειροήθη γινόμενα, τὰ δὲ παντελῶς τὴν πρὸς ἀνθρώπων ὁμιλίαν, καὶ τὸ ὁμορρόφιον ἀποστρέφεται; Τοῦτο γοῦν καὶ ὁ μακάριος ἐκεῖνος καὶ θεῖος ἄνθρωπος, εἴπερ τις ἄλλος, οἷα δὴ μάλιστα καὶ νομομαθὴς, εἰδὼς, τῆς Ἐκκλησίας ἡ σάλπιγξ, ὁ νοῦς ὁ μετάρσιος, καὶ τὴν πρόνοιαν ἀνηρτῆσθαι πάντων πολλαχοῦ, καὶ πολλάκις ἀνακηρύττει Θεῷ, καὶ τοὺς περὶ τῶν ἀλόγων νόμους, οἷς ἐχρήσατο τὸ γράμμα τὸ Μωσαϊκὸν, οὐ διὰ τὸν ἐκείνων βίον θεσπισθῆναι προηγουμένως ἀποφαίνεται· οὐδὲ τοσοῦτον αὐτῶν μέλλειν τῷ Θεῷ, ὥστε καὶ θεσμοὺς εἰς τὴν ἐκείνων πολιτείαν ἀναφερομένους ἀναγράφεσθαι· ἀλλ' ἐπὶ παιδαγωγίᾳ, καὶ νομοθεσίᾳ τοῦ δυσηνίου, καὶ Ἰουδαϊκοῦ ἔθνους, καὶ ῥηθῆναι, καὶ ἀναγραφῆναι σοφωτάτῃ, καὶ συνεπτυγμένῃ κρίσει παραδίδωσι.

Δῆλον οὖν, ὡς οὐ μόνον οὐδὲν οὐδαμῶς ὁ κῆρυξ ἀντιφθέγγεται πρὸς τὰ διδασκάλου διδάγματα· ἀλλὰ καὶ βεβαίωσις αὐτῶν καθίσταται, μάλιστα ἐν τῷ διαφόρῳ τῶν ὑποθέσεων καὶ τὴν διαφορὰν τῆς χρήσεως καταλλήλως διορθούμενος, καὶ φυλάττων ἑκάστῃ χρείᾳ τὸ τῆς θεωρίας διακεκριμένον ἀσύγχυτον, καὶ νόμον τοῖς εὐσεβέσιν ἑαυτὸν προτιθεὶς, ὅπως χρὴ τῶν

[39] Deut. xxii, 6. [40] Exod. xxxiv, 26; Deut. xiv, 21. [41] Deut. xxii, 9. [42] Deut. xxii, 11. [43] Levit. xix, 19; Deut. xxv, 4; I Cor. ix, 9.

NOTÆ.

(62) Τὸ παρέτου suffice τῷ πάρετος, aut scribe παρ' ἔθνος, *legis in gente sua vigentis.*

Digitized by Google

ἱερῶν ἡμῶν Λογίων τὸν νοῦν ἀνιχνεύειν· καὶ τῷ προχείρῳ τῶν ῥημάτων, τῆς διανοίας ἀντιφθεγγομένης, μάλιστα μὴ κατὰ τὸ ῥᾷον παρασύρεσθαι.

A sacrarum Litterarum sensus investigari, nec pro obvia verborum notione, ubi recta ratio repugnat, in re præsertim facili in errorem abduci.

Ἔνεστιν οὖν διδασκάλῳ τῷ κοινῷ τῆς Ἐκκλησίας διδασκάλῳ χρώμενον, οἷς ἔρως μὲν ἡ εὐσέβεια, ἔργον δὲ σοφίας ἡ διάκρισις, καὶ ἡ ἄνωθεν τῶν λόγων χάρις, ἐναυγάζουσα κατὰ μίμησιν τοῦ καθηγεμόνος μεθοδεύοντα, φανερώτερον ἔτι δεικνύναι, ὡς οὐδὲν ἡ τοιαύτη τῶν ῥημάτων χρῆσις οὔτε τι τῶν ἱερῶν ἡμῶν δογμάτων ἐπιλυμαίνεται, οὔτε τινὰ μῶμον ἐπιτρίβεται, ἀλλὰ καὶ τοὐναντίον ἅπαν τὸ σύμφωνόν τε καὶ ἀδιάβλητον συνεργάζεται. Οἷον ἀσπλαγχνίας τις καὶ ἀσυμπαθείας μεθέλκων τινά, ἢ πρὸς ἀπληστίαν ῥέουσαν ἀναχαιτίζων γνώμην, ἢ ταῖς ἰγνύσιν ἀμφοτέραις, τὸ λεγόμενον (63), ἐπιχωλαίνοντα ἀνορθῶν τε, καὶ ὑποστηρίζων, καὶ πρὸς τὴν σωτήριον, καὶ μονότροπον ἀπευθύνων τρίβον, τούτων ἕκαστον τῆς ἀλόγου ῥοπῆς εἴ τις ἄλλας μὲν πολλαῖς παραινέσεσιν ἐπέχειρεν ἀνακτᾶσθαι, συνείρει δὲ μάλα εὐστόχως τε καὶ ἐπικαίρως· οὐ γὰρ ἔμαθες, ἄνθρωπε, παρὰ τῶν Μωσαϊκῶν νόμων, καὶ παραγγελμάτων, μὴ ἕψειν ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ, μηδὲ σπείρειν τὸν ἀμπελῶνα, μηδὲ περιβόλαιον σαυτῷ ποιεῖσθαι, καὶ βδέλον (64) ἐξ ἑτερογενῶν νημάτων ἐρίου τε καὶ λίνου συνυφασμένον; Ἢ οὐ πᾶσιν ἐπίδηλον, ὡς τὰ θεσπίσματα ταῦτα οὔτε ἀρνῶν, καὶ μητρῴου γάλακτος προηγουμένην ἔχει τὴν θέσιν· ἀλλ' οὐδέ γε περὶ ἀμπελῶνος, οὐ μὴν οὐδὲ περὶ τῶν διαφόροις νήμασι συντεθειμένων ὑφασμάτων; Ποῦ γὰρ περὶ νημάτων, ἢ περὶ ἀμπελώνων, ἢ ἀρνῶν, καὶ γάλακτος τῷ Θεῷ μέλει, ὥστε καὶ νόμοις ὑποβάλλειν αὐτά, καὶ μηδὲν αὐτῶν τὴν ἀνθρωπίνην φύσιν, δι' ἣν ἅπαντα προήχθη, διαφέρειν.

Igitur doctorem decet, communi Ecclesiæ doctore utentem, iis, quibus cordi est religio, sapientiæ autem opus est discretio, cœlestisque interpretandi sermones gratia, quæ hominem se sequentem quasi dux illuminat, adhuc evidentius ostendere, quod talis sacrorum oraculorum usus nec aliquod sanctorum dogmatum nostrorum lædat, nec aliquam notam mereatur; sed quidquid inter se refragari videtur, consonas veritates, et nulli criminationi obnoxias conficiat. Ita sane si quis ab inhumanitate atque inclementia alterum revocaret, et pronum ad aviditatem animum coercere, aut utroque poplite, ut aiunt, claudicantem erigere, et solidare vellet, eumque in salutarem rectamque viam dirigere: si quis, inquam, unumquemque horum ab illis rationi adversis propensionibus vel per plures alias adhortationes eruere aggrederetur, nimis apposite opportuneque subjiceret: nonne didicisti, o homo, ab institutis præceptisque Mosaicis, quod nec in lacte matris suæ agnum coqui, nec semen in vinea spargi liceat, nec indumentum tibi aut polymitam vestem ex diversis lanæ, et lini liciis debeas contexere? Nonne omnibus compertum est, quod hujuscemodi statutorum promulgatio nec agnis, nec materno lacti, imo nec vineæ, nec vestimento diversis filis constanti prospiciat? Num eo usque fila, aut vineæ, aut agni, et lac Deo sunt curæ, ut legibus quoque ista subjiciat, et humanæ naturæ, cujus gratia omnia producta sunt, in nulla harum rerum provideat?

Ἀλλὰ δῆλον, ὅτι δι' ἡμᾶς καὶ προὐνοήθη τὴν ἀρχὴν τὰ τοιαῦτα, καὶ γράμμασι διετυπώθη. Τὸ μὲν τῶν ἀρνῶν, εἰ βούλει δὲ, καὶ τῶν στρουθίων, ὡς ἂν ἐπὶ τῶν ἀλόγων τὸ συμπαθὲς καὶ εὔσπλαγχνον παιδαγωγηθέντες, πολλῷ μᾶλλον ἐπὶ τῶν ὁμογενῶν, καὶ τὴν αὐτὴν λαχόντων φύσιν τὸ φιλάνθρωπόν τε, καὶ τὸν ἔλεον ὦμεν ἐπιδεδειγμένοι. Τὸ δὲ ἵνα μὴ πρὸς ἀπληστίαν κεχηνότες τά τε ἄλλα δυστυχῶν φερώμεθα· πολλῶν γὰρ ἡ ἀπληστία κακῶν αἴτιον, καὶ συναπορρεῖν, ὡς ἔπιπαν, εἴωθεν αὐτῇ καὶ, ὃ δικαίως ἂν ἡμῖν ἐξ αὐταρκείας περιεγένετο. Τὰ δὲ γεννήματα (65), ἵνα μὴ τὰς γνώμας ὦμεν ποικίλοι τε, καὶ πολύτροποι, ἐκ διαφόρων ἢ δογμάτων, ἢ ἐθνῶν, ἢ βουλευμάτων ἢ ῥημάτων, ἢ πράξεων συντεθειμένοι, καὶ πρὸς ἑαυτοὺς ἀθλίως τε καὶ καταγελάστως στασιάζοντες.

Atqui perspectum est, quod propter nos ea jam ab initio provisa, et litteris mandata fuerint. Partim (quod scilicet ad agnos, imo et ad passeres attinet), ut nos in bruta commiserationem, et clementiam edocti, multo magis eis qui genus idem eamdemque sortiti sunt naturam, humanitatem et misericordiam exhibeamus. Partim vero (quod ad vineam nempe, et bovem), ne in aviditatem prolabamur, et alias simul patiamur ærumnas: multorum profecto malorum causa est aviditas, et simul cum ipsa, ut plurimum, diffluere solet id quoque, quod juste nobis per frugalitatem obvenit. Cætera denique de liciis eo spectant, ut nec animo simus vario ac versipelli, nec diversis dogmatis, vel moribus, vel consiliis, vel verbis, vel operibus instruamur, nec infeliciter et ridicule a nobis ipsi dissideamus.

Ὥστε οὐ μόνον οὐδὲν, ἡ τοῦ θεσπεσίου Παύλου μέθοδος, οὐδ' ἡ ἐξ αὐτοῦ προχεομένη τῶν δογμάτων αἴγλη τοὺς εὐσεβεῖς λογισμοὺς εἰς διιστάμενόν τινα, καὶ σύγχυσιν παρίστησιν· ἀλλὰ καὶ διδασκαλία δύνα-

Quapropter non modo divi Pauli doctrina, et ab eo emissum dogmatum lumen in aliquam dissensionem confusionemque mentes piorum hominum non inducit: sed etiam hi, qui inde sapientiæ ra-

NOTÆ.

(63) Τὸ λεγόμενον e tacito κατὰ regi Græcæ συντάξεως analogia suadet.

(64) Nisi Βεῦδος refingas, nullum sensum excudes.

(65) In prima quæstionis hujus exscriptione erat νήματα, atque id opportunius.

Digitized by Google

dios possunt aspicere, mirum in modum ediscunt, quo pacto sancti Spiritus oracula cum ejusdem oraculis concilianda sint (66).

ται πρόκεισθαι θαυμαστὴ τοῖς ἐκεῖθεν τὰς τῆς σοφίας ἀκτῖνας ἐναυγάζεσθαι δυναμένοις, ὅπως χρὴ διαιτᾷν μετὰ τοῦ Πνεύματος τὰ τοῦ Πνεύματος λόγια.

QUÆSTIO XXXI [*al.* XXX]. (67)

Quomodo accipiendum est illud, « *Potest Deus de lapidibus istis suscitare filios Abraham* [65]? »

ΕΡΩΤΗΣΙΣ ΛΑ'.

Πῶς νοητέον τὸ, « *Δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ;* »

Edita ab Ant. Scotto, l. c., p. 53. Commentarius in Luc. III, 8; Matth. III, 9.

Obvius hujus oraculi sensus, si penitiorem significationem non inquiramus, poterit utique docere, quod quemadmodum Deus ex diffluenti informique, ac terrea materie finxit animanti corpus, pulveremque ad naturam speciemque humanam conformavit, ita facile minimeque operosum sit ex solidiori lapidum natura, Deo artifice id operis suscipiente, hominum substantiam compingere, ipsosque homines ex tali massa conflatos Abrahæ filios efficere. Etenim non minus, ne dicam et multo magis, mirandum est pulverem ad hominis carnem redigere atque accommodare, quam in corporis viventis opus duram lapidum transformare naturam.

Τὸ μὲν οὖν πρόχειρον τῆς φωνῆς ἄνευ τινὸς βαθυτέρας ἐπινοίας ἐκδιδάσκοι ἄν, ὅτι καθ' ὃν τρόπον ἐκ τῆς εὐδιαχύτου, καὶ ἀπαγοῦς, καὶ γηρᾶς ὕλης συνέπηξεν ὁ Θεὸς, τῷ ζώῳ τὸ σῶμα, καὶ εἰς ἀνθρώπου φύσιν καὶ εἶδος διεμορφώσατο τὴν κόνιν · κατὰ τὸν αὐτὸν τρόπον ῥᾷόν τε καὶ οὐδὲν ἐργῶδες ἐκ τῆς στερεωτέρας φύσεως τῶν λίθων, ἀνθρώπων ὑπόστασιν συντεθῆναι, Θεοῦ τεχνίτου τὴν πλάσιν ἀναδεχομένου, καὶ τέκνα τοὺς γεγονότας ἐκ τοιούτου φυράματος χρηματίσαι τοῦ Ἀβραάμ. Οὐ γὰρ ἧττον εἰς θαῦμα, ἵνα μὴ λέγω καὶ μεῖζω [a], κόνιν εἰς ἀνθρώπου συμπῆξαί τε, καὶ συναρμολογῆσαι [b] σάρκα · καὶ λίθου φύσιν στερεὰν εἰς σώματος ζώου μεταπλάσαι χρείαν.

Præterquam quod non modo primus homo e limo admirabilem duxit originem, sed Loti etiam uxor in salis columnam obdurata, divinam, quam nec effari, nec mente assequi possumus, virtutem prædicat, dum per irrefragabile prodigium pristinæ naturæ sine manifesta corruptione abjectionem fuisse alterius formæ, et substantiæ generationem ostendit : illudque, quod fuit, antea non erat; quod autem fieri non posse humanæ menti videbatur, id priore figura non dissoluta, ipsi substituit. Deus itaque, qui tanta patrabat miracula, et quidem tunc, cum ab una muliercula violati præcepti pœnam sumebat; ipse « qui homines vult salvos fieri, et ad agnitionem veritatis venire [66], » quid pro sua clementia non agat, si filiis Abrahæ suscitandis lapidum conditionem opportunioris futuram usus perspexerit? Neque enim tam facile fuit Judæis Abrahæ multiplicare filios, quorum generis non minima pars rejecta est, quam Deo per lapides eidem multos filios condere.

Ἄλλως τε δὲ οὐ μόνον ὁ πρῶτος ἄνθρωπος ἐκ χόου [c] καὶ παραδόξαν ἔσχε τὴν γένεσιν · ἀλλὰ καὶ ἡ τοῦ Λὼτ γυνὴ εἰς στήλην ἁλὸς ἀπολιθωθεῖσα τὴν τοῦ Θεοῦ δύναμιν ἀδιήγητόν τε καὶ ἀκατάληπτον ἀνακηρύττει, ἐν τῷ ἀδιαλύτῳ τοῦ θαύματος τὴν τῆς φύσεως ἀπόθεσιν ἄνευ ἐπιφανοῦς φθορᾶς, ἑτέρας μορφῆς ἐπιδεικνυμένη, καὶ ὑποστάσεως γένεσιν · καὶ ὃ μὲν γέγονεν, οὐκ ἦν · ὃ δὲ μὴ οἷόν τε ἦν ἀνθρωπίνοις λογισμοῖς γενέσθαι, χωρὶς ὑπέστη τῆς τοῦ πρότερον διαλύσεως. Ὁ τοίνυν Θεὸς ὁ ταῦτα παραδοξοποιῶν, καὶ τότε δίκην εἰσπραττόμενος γύναιον ἓν παραβάσεως ἐντολῆς, « ὁ θέλων τὸν ἄνθρωπον σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, » τί οὐκ ἂν δράσειε διὰ φιλανθρωπίαν [d], εἰ λίθων ὄψεται φύσιν ἐπιτηδειοτέραν παρέχουσαν χρείαν εἰς τὸ γενέσθαι τέκνα τοῦ Ἀβραάμ; Οὐ γὰρ οὕτω ῥᾷον τοῖς Ἰουδαίοις τοῦ Ἀβραὰμ χρηματίζειν τέκνα, ὧν οὐκ ὀλίγον μέρος τοῦ γένους ἐξώσθησαν, ὡς τῷ Θεῷ διὰ τῶν λίθων αὐτῷ πολλοὺς υἱοὺς ἀπεργάσασθαι.

At si quis velit quidpiam propheticum dicto hoc enuntiari, lapides, quos Præcursor tunc memoravit, et ex quibus filios Abrahæ suscitandos prædixit, ii profecto sunt, qui, cum esset Servator sua sponte mortuus, atque universo mundo salus et vita reddita, passi Conditoris obsequio abrupti, atque discissi, et quasi facti pro miraculo prægnantes, multos homines nostræ religioni et parturierunt, et pepererunt. Ii vero sua commotione,

Εἰ δέ τις ἐθέλοι καὶ προφητικὸν ἀνακηρύττειν ἔργον τὸ ῥῆμα, οἱ τότε ῥηθέντες λίθοι τῷ Προδρόμῳ, ἐξ ὧν τῷ Ἀβραὰμ ἐχρησμώδησε ἀνίστασθαι τέκνα, οὗτοι δὴ κατὰ τὸ ἑκούσιον τοῦ Σωτῆρος πάθος [καὶ τὴν παγκόσμιον σωτηρίαν, καὶ ἀνάστασιν], τῷ Δεσποτικῷ ῥαγέντες πάθει, καὶ διασχισθέντες, καὶ οἷον ἐγκύμονες γεγονότες τῷ θαύματι, πολλοὺς τῶν ἀνθρώπων εἰς εὐσέβειαν ὠδίνησάν τε καὶ ἀπέτεκον. Οἷς δὲ [e] λαμπρᾷ τῇ φωνῇ, καὶ οὐρανίῳ κηρύγματι

[65] Matth. III, 9. [66] I Tim. II, 4.

VARIÆ LECTIONES.

[a] N. μεῖζον. [b] N. συναρμόσαι. [c] N. χοός. [d] N. φιλίαν. [e] δὴ N.

NOTÆ.

(66) Si nosse cupis, in quibusnam auctoribus has alioquin pervulgatas propositæ ἀντιλογίας explanationes possis invenire, videsis Tertull. l. v, *Contra Marcionem*, et Theodoret. quæst. 21 in Deuteronomium.

(67) Hæc fere tota quæstio legitur apud Nicetam, Catena in Luc. c. III, Mai *Nov. Collect.* IX, p. 638, 659.

Digitized by Google

τῷ κατ' αὐτοὺς παθήματι, τῆς ἐπὶ τῷ Σωτῆρι τόλμης, καὶ πλάνης τοὺς ἀνθρώπους ἀνακαλοῦντες, καὶ πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας χειραγωγοῦντες, καὶ πρὸς τὸ τῆς παλιγγενεσίας δῶρον ὁρᾷν ἀφορμὰς ἐχαρίζοντο [f] · οὓς καὶ ἡ κοινωνία τῆς πίστεως, υἱοὺς Ἀβραὰμ, καὶ νομίζειν οἶδε, καὶ ὀνομάζειν μᾶλλον, ἢ τοὺς ἐξ αἵματος.

A veluti clara quadam voce, cœlestique præconio homines ab audacia in Redemptorem, atque ab errore revocantes, adducentesque ad veritatis agnitionem, occasionem insuper præbuerunt perspiciendi munus regenerationis : quos homines etiam fidei magis, quam sanguinis conjunctio filios Abrahæ et censeri fecit, et nuncupari.

Εἰ δὲ καὶ διὰ τοῦ γράμματος ἐπιβαίνειν τινὸς ὑψηλοτέρας θεωρίας ἔρως ἔχει σου τὸ φιλόθεον· καὶ λίθοι μὲν ἂν νοοῖντο οἱ τῶν ἐθνῶν πεπωρωμένοι, καὶ σκληροκάρδιοι· ἐξ ἐκείνων δὲ ὁ τοῦ Ἀβραὰμ κλῆρος ἀναπεπλήρωται, μεταβληθέντων ἐκ τῆς πωρώσεως ἐπὶ τὸ συνορᾷν τὸ σωτήριον, καὶ τῆς Ἑλληνικῆς πλάνης εἰς τὴν μυσταγωγίαν τοῦ Πνεύματος. Οὐδὲ οὕτως, οἶμαι, πόρρω ἂν ὀφθείης τῆς νύσσης ἐλαύνων, ἣν ἡ κατάληψις τῆς κατὰ τὴν θεωρίαν ἀληθείας ἐν τῷ σταδίῳ τῆ, Ἐκκλησίας ἐπήξατό τε, καὶ ὑπεστήσατο (68).

Quod si etiam amor progrediendi per litteralem sensum ad aliquam sublimiorem animadversionem te divinis rebus studentem incessat; lapidum quidem nomine ethnici, qui obdurato erant et lapideo corde, possent intelligi : ex illis autem Abrahæ hæreditas completa est, cum e sua duritie ad agnoscendam salutem, et a Græcarum fabularum errore ad Spiritus initiationem traducti sunt. Neque vero hac ratione, arbitror, longe distare videreris a scopo, quem in Ecclesiæ stadio veritatis inventio per meditationem obtenta defixit, atque constituit (69).

ΕΡΩΤΗΣΙΣ ΛΒ.

Τί οηλοῖ, « Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, » καὶ τὰ ἑξῆς;

QUÆSTIO XXXII [*al.* XXXI]. (70)

Quid sibi vult illud : « Cujus ventilabrum in manu ejus [47], » et quæ sequuntur?

Edita ab Antonio Scotto, l. c. p. 56. Commentarius in Matth. III, 12; Luc. III, 17.

Ἐπειδὴ τὸν Σωτῆρα κηρύσσων ὁ Πρόδρομος, ἄλλα τε θεολογῶν περὶ αὐτοῦ διεξῆει, καὶ ὡς « ἐν Πνεύματι ἁγίῳ, καὶ πυρὶ τοὺς προσιόντας αὐτῷ βαπτίσει » (τὸ δὲ *βαπτίσει* τῆς δωρεᾶς τὸν πλοῦτον, καὶ τὸ δαψιλὲς τῆς εὐεργεσίας ἐμφαίνει τε καὶ παρίστησι· καὶ γὰρ ἀπολύτρωσιν, καὶ υἱοθεσίαν παρεχόμενον πανταχόθεν ἡμᾶς περιαντλεῖ τοῖς τῆς χάριτος ἀειῤῥύτοις νάμασι) · ταῦτα εἰπὼν τὰ σωτήρια, καὶ πολλῆς τῆς περὶ ἡμᾶς φιλοτιμίας γέμοντα· ἵνα μὴ δόξῃ τισὶν, ὡς δωρήσασθαι μὲν τηλικαῦτα δῶρα, καὶ ἐν εὐεργεσίᾳ τοσαύτῃ καταστῆσαι παρῆν τῷ Σωτῆρι ἡμῶν βούλησις, καὶ ἰσχύς [i] · τιμωρήσασθαι δὲ, καὶ κολάσαι τοὺς ὑπευθύνους, καὶ ἀπειθεῖς οὐδεὶς αὐτῷ λόγος ἦν ἀνειμένην· διὰ τοῦτο ἐπῆγαγε διορθούμενος τὴν ἀπόφασιν αὐτῶν· « Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ [καὶ διακαθαρίσει τὴν ἅλωνα αὐτοῦ]. » Οἷον οὐ μόνον ἐστὶν εὐεργετικὸς, καὶ χορηγὸς ἄφθονος τοῖς ἐπιτηδείοις τῶν ἀγαθῶν, ἀλλὰ καὶ κολαστικὸς τῶν ἐκθέσμων ἔργων, καὶ τῶν παραβάσεων τιμωρητικός.

Quoniam Præcursor Servatorem prædicans, præter alia, quæ sacro sermone est de eo persecutus, ait etiam accedentes ad se « Baptizabit in Spiritu sancto, et igne [48], » (in verbo autem *baptizabit* gratiæ divitias, ac beneficiorum copiam patefacit, atque proponit : ille enim liberationem adoptionemque filiorum tribuens nos perennibus gratiæ fluentis undique circumfundit) : cum res hujusmodi salutares, et multæ munificentiæ plenas memorasset; ne quibusdam videretur, Redemptori quidem nostro talia concedendi dona, et nos tanta beneficentia cumulandi et voluntatem adesse, et virtutem; reos autem, contumacesque homines ulciscendi, ac plectendi nullam habere rationem; idcirco ad eorum errorem corrigendum subjecit illud : « Cujus ventilabrum in manu ejus, et mundabit aream suam. » Perinde ac si diceret : Ille non modo benefícus est, effususque bonorum largitor erga homines bene dispositos, sed et pravorum operum ultor, et criminum est persecutor

« Τὸ γὰρ πτύον ἐν τῇ χειρὶ αὐτοῦ » ἀντὶ τοῦ· Πρόχειρος αὐτῷ ἡ ἐνταποδοτικὴ τῶν φαύλων πράξεων τιμωρία, ὥσπερ δὴ καὶ τῶν καλῶν ἀντιμισθία [k]. Διὸ ἡ διακρίνουσα καὶ χωρίζουσα δύναμις, καὶ ἐξουσία τοὺς ἐνόχους τιμωρίας τῶν ἀξίων τῆς εὐεργεσίας [πρόχειρος αὐτῷ, ἡ ἀνὰ χεῖρα]. Ἐξ οὗ τὸν μὲν σῖτον, ὃν νῦν ὁ τῶν δικαίων ὀνομαζόμε-

« Ventilabrum enim in manu ejus » idem sonat ac illud : In manibus ejus pœnæ culpis irrogandæ, uti et præmia impendenda virtutibus posita sunt. Quare vis et potestas illa, quæ homines supplicio obnoxios ab iis, qui mercede sunt digni, discernit ac dividit, in promptu illi, sive præ manibus est. Propterea frumentum, cujus nomine justorum

[47] Luc. III, 7. [48] ibid., 16

VARIÆ LECTIONES.

[f] N. χαριζόμενοι. [g] N. βούλει. [h] Nic. lat. Mal. N. C. IX, p. 660, 661, paucis mutatis. [i] N. δύναμις. [j] N. τουτέστι. [k] ἀνὰ χεῖρας αὐτοῦ ἡ διακ. N.

NOTÆ.

(68) Hucusq. Cat. Nic., p. 659.

(69) Hæ propositi oraculi commentationes in SS. Hieronymo, Hilario, Augustino, Ambrosio, Gregorio homil. 20. in Matth. et Euthymio eadem ferme ratione occurrunt.

(70) Prior pars hujus quæstionis occurrit quoque apud Nicetam in Catena Mai, nov. coll. t. IX, p. 660, 661.

Digitized by Google

agmen nunc significatur, in superna horrea congregat, in quibus promptuariis nec tinea, nec esus consumit, nec fures effodiunt, atque subripiunt: sceleratos autem homines, quibus suppliciorum perennitas, tanquam mali culmen, adjicitur, igni inexstinguibili æternum cruciatum continenti traditurus est.

A νος χορὸς, εἰς τὰς ἄνω μονὰς ἀποθησαυρίζει [l], ἐναῖς ἀποθήκαις οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, οὔτε κλέπται διορύσσουσι, καὶ κλέπτουσι· οἷς δὲ τὸ ἀμετάδλητον [m], κακοῦ προσθήκη, τοῖς ἡμαρτημένοις συνεφέλκεται, πυρὶ ἀσβέστῳ τὴν τιμωρίαν οὐκ ἔχοντι λήγουσαν, τούτους παραπέμψειεν.

Verosimiliter autem « ventilabrum in manu ejus» promptam, et expeditam Christi actionem sub ænigmate significat: neque enim per meditationem, neque per moram, neque per argumentationum indaginem meliores a deterioribus discernit; sed e vestigio, et derepente salvandorum partem a damnandis dispescit. Scilicet voluit, secuta est separatio, præcessit judicium, et cum judicio vindex justitia; quippe unico actu in conspectu Dei B sunt universa. Quandoquidem ita astitrix, et ministra judiciorum Dei est potentia puniendi, et justitia; quemadmodum et profusa, et benigna, omnemque gratitudinem excedens remuneratio, qua nobis meliora largitur. Frumentum profecto sacra eloquia illos appellant, qui nobilitate, quam ab initio obtinuerunt, custodita, pristinum etiam, ac salutare semen a Deo naturæ commissum, germanum purumque usque ad ipsam fructus productionem conservarunt: fenum autem, et ignis escam nuncupant eos, in quibus connata zizaniorum immistio spiritus suffocavit culturam, et frugum perfectionem intercepit, imo speratam illarum projecit (71).

Εἰκότως δὲ « τὸ ἐν τῇ χειρὶ αὐτοῦ πτύον, » τὸ πρόχειρον αἰνιγματίζει, καὶ ἕτοιμον· οὐ γὰρ μελέτῃ, καὶ λογισμῶν ἐρεύνῃ διαχωρίζει τῶν βελτιόνων τοὺς χείρονας· ἀλλὰ ἐκ τοῦ εὐθέως, καὶ παραχρῆμα διαστέλλει τῆς σωζομένης μοίρας τὸ τιμωρούμενον. Ἠβουλήθη γὰρ, ἠκολούθησεν ἡ διάκρισις, προῆλθεν ἡ κρίσις, καὶ ἡ τιμωρὸς συμπροῆλθε δίκη· ἁθρόα γὰρ ἐνώπιον Θεοῦ πάντα. Ἐπεὶ καὶ ἡ τιμωρὸς ἐνέργεια, καὶ δίκη πάρεδρός ἐστι, καὶ ὑπηρέτις τῶν τοῦ Θεοῦ κριμάτων· ὥσπερ ἡ ἄφθονος, καὶ φιλάνθρωπος, καὶ κρειττων ἀμοιβῆς ἀνταπόδοσις, δι' ἧς ἡμῖν τὰ ἀμείνω πρυτανεύεται. Σῖτον μέντοι ὀνομάζει τὰ ἱερὰ λόγια, οἵτινες τὴν ἐξ ἀρχῆς εὐγένειαν φυλαξάμενοι καὶ τῆς θεόθεν τῇ φύσει καταβληθείσης ἀρχεγόνου τε, καὶ σωτηρίου σπορᾶς τὸ ἀνόθευτον, καὶ καθαρὸν μέχρις αὐτῆς τῆς καρποφορίας διεσώσαντο· ἄχυρον δὲ, καὶ πυρὸς δαπάνην, οἷς ἡ ἐπιμιξία τῶν ζιζανίων παραφυεῖσα τὴν τοῦ πνεύματος γεωργίαν ἐναπέπνιξε, καὶ ἀτελεσφόρητον ἀπειργάσατο, καὶ πρὸς τὴν τῶν σκυβάλων ἀχρηστίαν τὴν τῶν καρπῶν ἐλπιζομένην ἀπέρριψεν [n] ὡραιότητα.

pulchritudinem ad inutilem acuum conditionem

Illud autem : « Baptizabit in Spiritu sancto, et igne », haud ita accipiendum est, ut duo quædam sint, quæ suæ alternatione naturæ unicam baptismatis virtutem, et perfectionem conficiant. Cujus enim rei sanctissimus Spiritus ibi pro sua operatione adhuc indigebit? Quid autem erit ille ignis simul adjunctus, qui deficientis vacuum complebit? At illud *in igne* nunc una additum est, ut Spiritus vim, et efficaciam mundandi enuntiet. Cum enim sanctissimi Spiritus dona inter se differant, una autem divinarum ejus operationum sit, ut et mundet, et, quod pravum est, destruat, ipsorumque, in quos supervenerit, totam omnino naturam reformet, fieri nequit, ut quidpiam eamdem fœdans abscondatur adhuc et lateat.

C Τὸ δέ γε « Ἐν Πνεύματι ἁγίῳ βαπτίσει, καὶ πυρὶ, » οὐχ ὡς δύο τινῶν τὴν φύσιν παρηλλαγμένων, μίαν τὴν τοῦ βαπτίσματος χρείαν, καὶ τελειότητα ἀποτελούντων. Τίνος γὰρ ἂν καὶ δεήσῃ ἔνθα τὸ πανάγιον Πνεῦμα ἐνεργεῖ; Τί δ' ἂν εἴη συμπαραλαμβανόμενον, ὃ τὴν χώραν ἀναπληρώσει τοῦ λείποντος; Ἀλλά γε τὸ *ἐν πυρὶ* νυνὶ συμπαρεῖληπται τὴν καθαρτικὴν ἀπαγγέλλον τοῦ Πνεύματος δύναμίν τε καὶ ἐνέργειαν. Ἐπεὶ γὰρ διάφορα τοῦ παναγίου Πνεύματος τὰ χαρίσματα· ἓν δὲ αὐτοῦ τῶν θεοπρεπῶν ἐνεργειῶν καὶ τὸ καθαρτικὸν, καὶ τῆς χείρονος ὕλης ἀφανιστικὸν, καὶ, οἷς ἂν ἐπιφοιτήσειεν, ὅλην διόλου τὴν φύσιν ἀναχωνεύειν· μηδὲν τῶν καταῤῥυπούντων αὐτὴν ἐμφωλεύειν ἔτι, καὶ λανθάνειν δυνατόν.

Quare, cum dixisset « in Spiritu sancto», subjecit «et igne», uti dixeris in Spiritu sancto, qui degeneres nostras cupiditates depurgat, atque consumit; a quibus per operationem illam, quæ ignea et efficax simul est, et vi reconflandi prædita, purgati, sanctitatem assequi meremur. « Etenim Deus

D Διὰ τοῦτο εἰπὼν « ἐν Πνεύματι ἁγίῳ, » προσέθηκε « καὶ πυρὶ, » ἵνα εἴπῃς ἐν Πνεύματι ἁγίῳ τῷ καθαρτικῷ τε καὶ δαπανητικῷ τῶν ἐν ἡμῖν τῆς κακίας παθῶν· ὧν διὰ τῆς ἐμπύρου, καὶ δραστικῆς ἅμα, καὶ ἀναχωνευτικῆς ἐνεργείας ἀποκαθαιρούμενοι τῆς ἁγιότητος ἀξιούμεθα. « Καὶ γὰρ ὁ Θεὸς ἡμῶν

VARIÆ LECTIONES.

[l] N. τὰς αἰωνίας. [m] N. ἀμεταμέλητον. [n] ἂν Nic. Hucusque Lat.

NOTÆ.

(71) Quæ Photius hactenus disputavit, nemini videntur nova, si scriptores adit, qui in *Matth.* III, 12, commentantur : fusius tamen, uti solet, Cornelius a Lapide ista persequitur.

Digitized by Google

πῦρ καταναλίσκον ἐστὶ », τήν τε ἄλλην φθοροποιὸν μοχθηρίαν, καὶ ὅσα παρεισέδυ, καὶ ἐναπετάκη ἐξ ἀπροσεξίας τῇ φύσει ἡμῶν.

A noster ignis consumens est [49] » tum omnem aliam corruptionis pravitatem, tum quidquid in nostram naturam ex negligentia irrepsit, eamque contaminavit (72).

ΕΡΩΤΗΣΙΣ ΛΓ.

Πῶς τῆς θεομηνίας τῆς περὶ τὸν Κορὲ, καὶ Δαθὰν, καὶ Ἀβειρὼν γεγενημένης, καὶ δέον τὸ ἄλλο πλῆθος κατεπτηχότας καὶ τὸν περὶ τὴν ψυχὴν κίνδυνον δεδιότας, τό τε τοῦ φρονήματος γαῦρον, καὶ ἀπορεγομένον συστέλλειν, καὶ ἐπιγρώμονας γίνεσθαι τῶν ἡμαρτημένων· οἱ δὲ μηδὲν τοιοῦτον ἐπιδεικνύμενοι κατὰ Μωσέως γογγύζουσιν;

QUÆSTIO XXXIII [*al.* XXXII].

Quomodo cum Core, et Dathan, et Abiron divinam iram experti essent [50], ac reliquæ turbæ exterritæ, vitæque discrimine commotæ, animi audaciam vesaniamque reprimere, et a peccatis resipiscere debuissent, hæ contra nihil hujusmodi exhibentes contra Mosen murmurant [51]?

Edita ab Antonio Scotto, l. c., p. 61. Excursus in Num. xvi, 31.

Ἢ διότι πλῆθος ὄντες ὁρμαῖς ἀλόγοις ἐκδεδιητημένον, καὶ λογισμοῖς ἐνεχόμενον ἰταμωτέροις, ταῖς τοῦ Μωσέως ἐνόμιζον ἐπῳδαῖς, ἢ περιδρομαῖς τὸ Θεῖον θέλγεσθαι, καὶ πρὸς τὸ κεχαρισμένον ἐκείνῳ παραπείθεσθαι, καὶ διὰ τοῦτο τὰς τιμωρίας κατὰ τῶν λυπούντων ὁμογενῶν ἐπαφίεσθαι. Ἐδόκει γε ἐν τοῖς διαβουλίοις τούτοις περιπλανώμενον, καὶ τῇ θρασύτητι συγκροτούμενον, διὰ τῆς σφῶν ἐπαναστάσεως δεδίττεσθαί τε τὸν Μωσέα, καὶ ἀπάγειν τοῦ ἐγχειρήματος, καὶ μήτε τὸ λοιπὸν παροξεύειν τὸν Θεὸν, οἷς αὐτὸν ἐπὶ τὰς κολάσεις παρεκάλει τῶν ἀδικούντων, καὶ δὴ καὶ τῆς θείας ὀργῆς ἀπαλλάττειν τὸ ὁμόφυλον. Οἷς γὰρ αὐτοὶ γνώμης ἀδεκάστου, καὶ ἀπαθείας, καὶ ὀρθότητος ταῖς διανοίαις (72*) οὐχ ὑπέβαλλον τὸ στήριγμα (πρὸς δὲ τὰ πάθη τὴν κρίσιν ἐῤῥύθμιζον), τούτοις οὐ τὸν Μωσέα μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν κοινὸν Δεσπότην καὶ Δημιουργὸν ὑποκεῖσθαι ἐφαντάζοντο.

B Profecto id factum est, quia turbæ insanis animi motibus concitatæ, seque conjecturis implicantes magis magisque temerariis, per Mosis incantationes, atque itinera tortuosa Deum mulceri et allici, atque ad morem ei gerendum induci, ideoque pœnas in miseros contribules irrogari autumabant. Videbantur enim hujusmodi consiliis deceptæ, indulgentesque temeritati, per suam rebellionem consternare Mosen, atque a proposito revocare, ut Deum in posterum non provocaret adversus ipsos, ad quorum scelera plectenda eum sollicitabat, imo etiam totam ab ira divina gentem liberaret. Cupiditates enim, quibus ipsi incorruptæ mentis, et imperturbatæ, rectæque cogitationis frenum non injiciebant (ferebant autem secundum C easdem cupiditates judicium), has non Mosen solum, sed et ipsum communem Dominum et Conditorem pati sibi fingebant.

Ἄλλως τε δὲ καὶ τὸ μέτριον τῆς τιμωρίας κεραννύμενον τῇ μὴ λίαν καταπεπληγμένῃ τῶν ἀνθρώπων γνώμῃ, ἐπιστροφῆς πολλάκις καὶ μεταβολῆς παραίτιον γίνεται, φοβούσης μὲν τῆς κολάσεως, τῷ ὑφειμένῳ δὲ λεαινούσης τὴν τραχύτητα, καὶ συνορᾷν τὸ δέον χειραγωγούσης. Ἀνυπερβλήτου δὲ ταύτης διὰ τὴν ὑπερβολὴν τῶν ἡμαρτημένων φερομένης, ἀντὶ τοῦ πρὸς συγγνώμην ὁρᾶν, ὡς ἐπίπαν τὸ ἀνθρώπινον εἰς ἀπόγνωσιν, καὶ ἀπόνοιαν, καί τοι μὴ δέον, περιτρέπεται· καὶ πρὸς ἀγνωμοσύνην, καὶ δυσφημίαν, ἐπὰν μὴ τοῖς ἔργοις ἔχῃ τὴν ὀργὴν ἐνδείξασθαι, διανίσταται· καίτοι τῷ μᾶλλον φοβοῦντι D μᾶλλον ἔδει τῶν οὐ θεμιτῶν ἀπάγεσθαι, καὶ πρὸς τὸ νουθετοῦν κατευθύνεσθαι, καὶ μὴ κατὰ τῆς ἰδίας σωτηρίας παρατάττεσθαι. Καὶ γάρ φησιν. « Ὅταν ἀπέκτεινεν αὐτοὺς » (ἄλλη τοῦτο τοῦ Ἰσραὴλ, ὡς ἐν ἐλάττοσιν ἀῤῥωστήμασι, νόσος), τότε « ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον, καὶ ὠρθριζον πρὸς τὸν Θεόν. »

Πῶς δὲ οὐ λίαν ἔμπληκτον, καὶ ποινὰς βαρυτέρας ἐκκαλούμενον τὸ μηδὲ τῇ σφοδρότητι τῶν χειρόνων μεθίεσθαι, καὶ τὴν μετάνοιαν ἀνταλλάττεσθαι; Καὶ

Quomodo autem non est hominis admodum obstupescentis, et graviorem advocantis castigationem, ne malorum quidem vehementia mutari, ac pœni-

[49] Hebr. xii, 29. [50] Num. xvi, 31. [51] ibid. 41. [52] Psal. lxxvii, 34.

NOTÆ.

(72) Origenes tract. 9 in Matth., et hom. 24 in Luc. Hilarius, et Hieronymus in Matth. cap. 3, vers. 12, *ignem* hoc loco interpretati sunt ignem purgatorium, quo homines quodammodo post mortem baptizantur, id est a culparum lειψάνοις abluuntur. Alii autem, uti et Photius, ignem intelligunt ipsum Spiritum sanctum : addita est enim σύνθεσις ad explicationem ; ut illa præcipue Spiritus sancti communicatio, quæ in die Pentecostes specie ignis facta est, significetur. Consule expositores.

(72*) Rectius τῆς διανοίας.

Digitized by Google

teutiam suscipere? Is nimirum, qui modica aliqua castigatione non resipuit, spem relinquit se fortasse acriori alia posse ad emendationem perduci. At qui ne per hanc quidem corrigitur, neque sapere melius esse ducit, quam insanire; hic mentis suæ vulnus fatetur esse insanabile. Qui autem non modo in meliorem frugem sese non recipit, sed etiam ad deteriorem potius devenit, ipse reliqua supplicia non nimiam esse punitionem, sed complementum ad justam mensuram, si non lingua, saltem opere, decernere videtur. « Peccasti, ait Dominus, quiesce [83]. »

Sed quid ergo? Si enim proposito oraculo addebatur, quod solus homo ad imaginem Dei factus fuisset, tunc obstaculum fortasse in angelorum natura inveniretur; quia et in ipsis cernuntur ea per quæ Divina natura exprimi posset. At si nihil hujusmodi ibi scriptum invenitur, communio inter
C angelos et humanum genus non modo non aufert datam nobis creatione dignitatem; sed etiam ad veritatis probationem per exemplum comparandam valet. Hoc itaque pacto nec quia rationalem et intelligentem naturam angelus habet, eadem homo carere debet facultate.

At enim qui veritates rite receptas oppugnare student, non, me judice, tantum illas attentare videntur, quantum in se ipsi confutationem vertunt. Hic enim recta cogitandi ratio, et sacræ Scripturæ consentanea doctrina, a sanctis præsertim nostris Patribus elaborata est, ut suppleatur quidquid ab ea omissum est, et quod potest cum sententiis piorum sapientiumque virorum concordare. Qui vero
D doctrinas recte statutas cavillationibus satagunt perturbare, et novitatem sectari student; hi non sentiunt, quod, dum de arguto ingenio captant æstimationem, ipsi se a religiosa, ac pura cogitandi ratione divellant. Hi enim in turpem, propriumque

[99] Dan. x, 13, 20. [1] ibid. 21.

NOTÆ.

(85) Deut. xxxii, 8; sed Photius hic quoque sequitur versionem LXX, uti et Chrysostomus in Epist. ad Coloss. homil. 3; interpres Origenis, in num. hom. 28; D. Gregorius papa, hom. 34; D. Hieronymus, in Michæ lib. II, et Rufinus Aquileiensis in expositione Symboli. Atvero Aquila, et Symmachus reddiderunt κατ' ἀριθμὸν υἱῶν Ἰσραήλ, et Scholiastes inquit : Οὕτω οἱ λοιποὶ ἐκδεδώκασιν ἑρμηνευταί· inter quos Versionis Vulgatæ auctor, qui habet *juxta numerum filiorum Israel* recensetur. Certe quidem scriptum est in textu : לִמְסִפַּר בְּנֵי יִשְׂרָאֵל *Lemispar bene Israel, ad numerum filiorum Israel.*

(86) Ex ingenio τὸ Γραφαῖς supplevi, sed brevitas lacunæ, insequens verbum, et sensus id omnino suadebant.

(87) Ὅσοις pro ὁδοῖς κατασείεσθαι pro κατασίνεσθαι, et καινότητα pro κρινότητα in hac periodo emendasse non me pœniet.

Digitized by Google

animæ absurdis illusionibus obnoxiæ errorem incurrere, imo ineluctabilem in semet ipsi confutationem exhibere videntur. At istos quidem præteramus.

Quidquid autem objectum est contra illud, hominem secundum animæ simplicitatem ad Dei imaginem fuisse conditum, ejusdem furfuris est; non modo quia, ut in angelis, ita et in ipsa anima, per participationem nobilitas, et præstantia nobilissimæ naturæ, et incorporeæ pulchritudinis divinæ, veluti in speculo, cernitur; verum etiam quia in trina facultatum (intellectus, memoriæ, et voluntatis) identitate confusionem effugit distinctio; imo et quia verbum procedit ex animæ natura illud proferente, dum ab ipsa distinctum est, et cum ea relationem oppositionis servat; sed tamen a spiritus natura neque separatum est, neque dissimile.

Hæc autem utique poterunt secum ferre, quod ad imaginem Conditoris homo ab initio sit efformatus. Tibi autem alia, atque alia, quæ hinc petuntur, sine penuria suppetunt exempla. Sapientia enim, vis effectrix, immortalitas, et plura hujusmodi, in homine expressa ex prima illa, et incomprehensibili sapientia, et effectrice vi, atque æternitate, divinæ naturæ similitudinem ferunt. Si quis autem maluerit, veluti ex variis coloribus, similitimam Dei imaginem exprimi; atque ex his omnibus pulcherrimam, et speciosissimam hominis formam effingi, et excudi affirmarit; is non modo imaginem ad naturam nostram proprie pertinentem ostendet, sed etiam ab elegantiore causæ redditione, meo quidem judicio, non excidet.

Itaque nihil est quod ex dictis operibus quid sit imago, aut quid archetypum, aut quid illud, quod ad imaginem Dei conditum est, excogitemus: tametsi imaginis nomine intelligi posset etiam unaquæque earum præstantium, nobiliumque proprietatum, quas hactenus recensuimus; veluti ratiocinandi facultas, qua homo pollet, et quæcunque nuper adducta sunt. Hæc enim imaginem referunt ineffabilis, et incomprehensibilis, quam in Deo contemplamur, ditionis, sapientiæ, creationis, et Verbi illius, quod nec diffluere, nec perturbari potest, atque Patri est consubstantiale. Et certe vis effectrix, dominationis auctoritas, ratiocinandi facultas, et sapientiæ participatio esse possent imago, ad quam homo formatus est, dum non est ipse ea imago (si quis hæc subtiliter expendere, et nominum potestatem ad rigorem persequi supervacaneum non censet), sed secundum ipsam factus est: ut simul et imago, et quod ad imaginem est, plenius intelligantur, nec nobis exemplar ignorare contingat.

Si quis autem ista simul ad imaginem, et exemplar maluerit reducere (scilicet non cogitarit hominem secundum istas proprietates, quæ Dei imago

διανοίας. Ὑβριστικόν τε γάρ, καὶ ἀλόγοις ψυχῆς φαντασίαις ἐνεχομένης πάθος ὑπελθεῖν, καὶ ἀναπόδραστον τὸν ἔλεγχον καθ' ἑαυτῶν ὁρῶνται παρεσχημένοι. Ἀλλὰ τούτους μὲν ἐῶμεν.

Τῆς αὐτῆς δὲ ἂν εἴη συστοιχείας, ὅσον εἰς ἀντιλογίαν φθάνει τοῦ κατ' εἰκόνα Θεοῦ διαπεπλάσθαι τὸν ἄνθρωπον κατὰ (88) τὸ τῆς ψυχῆς ἀσώματον· οὐ μόνον διότι, καθάπερ ἐν τοῖς ἀγγέλοις κατὰ μετοχήν, οὕτω καὶ ἐν αὐτῇ τὸ ὑπερούσιόν τε καὶ ὑπερφυὲς τῆς τε ὑπερουσίου οὐσίας καὶ τοῦ ἀσωμάτου κάλλους ἐνοπτρίζεται· ἀλλὰ ὅτι καὶ ἐν τῇ τριαδικῇ ταυτότητι ἡ ἑτερότης ὁρᾶται τὸ ἀσύγχυτον διασώζουσα· εἰ βούλει δὲ καὶ διότι λόγος πρόεισιν ἐκ ψυχῆς τῆς προαγούσης αὐτὸν φύσεως, τὸ ἀσύστοιχόν τε καὶ κατάλληλον διαφυλάττων, συμπροημένην (89) ἐπιδεικνὺς καὶ τὴν ὁμοταγῆ τοῦ πνεύματος ὑπόστασιν.

Ταῦτα (90)· δ' ἂν καὶ ἔτι διασώζοιτο τὸ κατ' εἰκόνα τοῦ Πλάσαντος ἀπαρχῆς διαμορφωθῆναι τὸν ἄνθρωπον. Ἔνεστι δέ σοι πολλῶν ἐντεῦθεν ὁρμωμένων, καὶ ἄλλων παραδειγμάτων ἀφθονία. Τὸ γὰρ σοφὸν, καὶ τὸ δημιουργικὸν, καὶ τὸ ἀθάνατον, καὶ πολλὰ τοιαῦτα, ἐκ τῆς πρώτης, ἐκείνης, καὶ ὑπὲρ νοῦν σοφίας, καὶ δημιουργίας, καὶ ἀϊδιότητος ἐντετυπωμένα, φέρει τῆς φύσεως τὸ ἀπεικόνισμα. Εἰ δέ τις, ὥσπερ ἐκ διαφόρων χρωμάτων, θεοειδεστάτην οἰκονομίαν διαγράψασθαι θελήσειε· καὶ διὰ τούτων ἁπάντων μορφοῦσθαι, καὶ διατυποῦσθαι, τὴν καλλίστην τε καὶ ὡραιοτάτην μορφὴν τοῦ ἀνθρώπου ἀποφήνειε· μετὰ τοῦ ἰδιάζοντος ἐπὶ τῆς φύσεως ἡμῶν παρέχειν ὁρᾷν τὴν εἰκόνα γλαφυρωτέραν, οὗ μοι δοκεῖ διαπεσεῖν τῆς κατὰ τὴν αἰτίαν ἀποδόσεως.

Οὐκοῦν οὐδέν ἐστιν ἐκ τῶν εἰρημένων ἔργων οὔτε τὴν εἰκόνα λαβεῖν, οὔτε τὸ ἀρχέτυπον ἐννοεῖν, οὐδ' ὃ κατ' εἰκόνα Θεοῦ διαπέπλασται· καίτοι εἰκὼν μὲν ἂν νοηθείη Θεοῦ καὶ ἕκαστον τῶν εἰρημένων καλῶν τε καὶ τιμίων· οἷον τὸ ἐν τῷ ἀνθρώπῳ λογικὸν, καὶ ὅσα ἄλλα προείρηται. Καὶ γὰρ εἰκονίζει ταῦτα τὴν ὑπὲρ λόγον, καὶ ἔννοιαν ἐν τῷ Θεῷ θεωρουμένην βασιλείαν τε, καὶ σοφίαν, καὶ δημιουργίαν, καὶ τὸν ἄῤῥευστόν τε, καὶ ἀπαθῆ, καὶ ὁμοούσιον Λόγον. Καὶ ὁ ἄνθρωπος διαπλάττεται κατὰ τὴν δημιουργικὴν, καὶ βασιλικὴν, καὶ λογικὴν, καὶ σοφίας μέτοχον εἰκόνα, οὐκ αὐτὸς ὢν (ταῦτα εἴ τις λεπταλογεῖν, καὶ πρὸς ἀκρίβειαν ἀνιχνεύειν τῶν ὀνομάτων τὴν δύναμιν ἀπερίεργον νομίζει), ἀλλὰ κατὰ ταυτὴν διαπεπλασμένος· ἵνα καὶ ἡ εἰκὼν, καὶ τὸ κατ' εἰκόνα σαφέστερον θεωρηθείη, καὶ μηδὲ τοῦ πρωτοτύπου ἡ ἄγνοια ἡμῖν περιῇ.

Εἰ δέ τις ταῦτα συναγαγεῖν ἐθελήσοι πρὸς τὴν εἰκόνα, καὶ τὸ πρωτότυπον, οὐδὲν οὐδ' οὕτως διαμαρτάνει. Τὰ γὰρ ἐν Θεῷ μόνῳ καθορώμενα, Θεοῦ ἂν

NOTÆ.

(88) Κατὰ, quod hic refinxi, calligraphus dormitans in καὶ mutaverat.

(89) Συμπροημένην si legas, æque sensum excudes.

(90) Sic puto emendandum pro ταύτῃ.

Digitized by Google

εἴη· καὶ ὁ πρὸς ἐκεῖνα τυπούμενος, πρὸς Θεὸν ἂν οὐκ ἀλόγως τυποῦσθαι ῥηθείη. Ὡσαύτως δὲ καὶ εἰ τὰ ἐν τῷ ἀνθρώπῳ, ὡς ἐν ὕλῃ τὸ ἄῦλον, ὡς παραχθὲν τὸν παράγοντα ἐξεικονίζειν ἔλαβεν ἰσχὺν (γέγονε δὲ ταῦτα χάριτι θείᾳ καὶ δωρεᾷ τοῦ ἀνθρώπου), ἐν τῷ εἰκότι λόγῳ λεχθείη ἂν καὶ ὁ ἄνθρωπος εἰκὼν γεγενῆσθαι Θεοῦ.

A sunt, fuisse conditum) ne is quidem erraret. Quæ enim in solo Deo perspiciuntur, Dei utique sunt; et qui secundum ea factus est, secundum Deum factus non immerito diceretur. Eodem autem pacto si hæc in homine eam Dei similitudinem producere potuerunt, quam spiritus materia, et Creatoris creatura habere potest (hæc autem ex Dei gratia, beneficioque homini collato facta sunt), jure meritoque homo imago Dei factus diceretur.

Διὸ καὶ ὁ θεῖος Γρηγόριος ἔλεγε· « Παρ' ἑαυτῷ δὲ πνοὴν ἐνθεὶς, ὃ δὴ νοερὰν ψυχὴν, καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος. » Συνοπτικῷ γὰρ τύπῳ χαίρων ὁ ἱερὸς ἐκεῖνος ἄνθρωπος, καὶ βραχείᾳ ῥημάτων πλοκῇ πολλῶν νοημάτων ἀπαγγέλλειν περιοχὴν, μικροῦ τοὺς λόγους αὐτοῦ κατὰ τὴν ἰδέαν ταύτην συνδιαποικίλλεσθαι ποιεῖ. Διὸ κἀνταῦθα, « Πνοὴν, εἰπὼν, ἐνθεὶς » (ὃ τὴν δημιουργικὴν ἰσχὺν ἐπεῖχε τῆς ψυχῆς), ἀντὶ τοῦ ταύτην τῇ ἑρμηνείᾳ τὴν διάστασιν ἐξαπλῶσαι, συνοπτικῶς ἀπεφήνατο λίαν. « Ὃ δὴ καὶ νοεραν ψυχὴν, καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος. » Διαπλούμενος δ' αὐτῷ τῷ νοήματι ἔφη· « Ἥτις τὴν νοερὰν ψυχὴν ἐδημιούργησέ τε, καὶ προήγαγεν· ἣν εἰκόνα Θεοῦ εἶδεν ὁ λόγος. »

Quamobrem et D. Gregorius inquit: « Ex se ipse (Deus) spiraculum indidit: qua quidem loquendi ratione animam intelligentem, et imaginem Dei Scriptura significat (91). » Cum enim concisa locutione, et brevi verborum ambitu sacer ille vir multas simul sententias proferre amet, propemodum sermones suos his dictionis coloribus reddit variegatos. Quare hic quoque, dum, inquit « spiraculum indidit » (quod vim operatricem animæ datam innuit), noluit hunc sensum distincte et diffuse enucleare, sed paucis eum satis exposuit subdens: « Qua quidem loquendi ratione animam intelligentem, et imaginem Dei Scriptura significat. » Ipse autem eadem sententia se explicans ait: (spiraculum), « quod animam intelligentem creavit, et produxit, quam nomine imaginis Dei Scriptura significat (92). »

Οὕτω δὲ ἔστι καὶ εἰς δύο συναγαγεῖν τοῦ θεωρήματος τὴν ἑρμηνείαν, καὶ εἰς τρία πάλιν ἐξαπλῶσαι· μᾶλλον δ' εἴ τις καθ' ἕκαστον λεπτολογεῖν τε, καὶ πολυπραγμονεῖν ἐθελήσει τὴν προκειμένην θεωρίαν, τέσσαρα ἂν εἴη εἰσορᾷν· δι' ὧν ἡ σχέσις τοῦ εἰκονιζομένου πρὸς τὸ σφραγιζόμενον τὴν εἰκόνα διασώζει. Ἔστι μὲν γὰρ τὸ Θεῖον ἐν ᾧ τῶν ὑπὲρ αἰτίαν, καὶ κατάληψιν πᾶσαν δυνάμεων ἡ θεοπρεπὴς ἀπαστράπτει τελειότης. Ἔστι δὲ καὶ τὰ τούτων ἀμαρύγματα τὴν ἐκεῖθεν χάριν ἐκ φιλανθρωπίας ἀποματτόμενα, καὶ διὰ τοῦτο τὴν τῆς εἰκόνος κλῆσιν ἐφελκόμενα· ὑφ' οἷς ὁ ἄνθρωπος τέταρτον κατὰ τὴν (93) νῦν εἰρημένην εἰκόνα διαπλαττόμενος ἔχει. Ὥστε οἱ τὴν εἰκόνα, καὶ τὸ κατ' εἰκόνα ἐν διαφόροις ἐπιζητοῦντες, οὐ μέχρι τριάδος ἱστᾶσι τὴν ζήτησιν, ἀλλὰ καὶ τέταρτον, ὃ μηδ' ἐζήτησαν, συνεπάγονται.

Hoc autem pacto propositæ doctrinæ expositio potest ad duo capita (ad ratiocinandi et imperandi facultatem) redigi, quin etiam ad tria (si addas vim operatricem) extendi: potius autem, si quis singula subtiliter persequi, et curiose investigare voluerit, quatuor utique (addita Verbi emanatione) poterunt inveniri; per quæ relatio inter repræsentantem et repræsentatum, intercedens rationem imaginis servat. Est enim Divinitas ea, in qua perfectio facultatum, quæ supra omnem causam et comprehensionem sunt, digna Deo effulget. Sunt autem harum facultatum radii, qui pulchritudinem illinc ex divina clementia acceptam exprimunt, et propterea imaginis nomen sibi vindicant: quorum radiorum quartum quoque habet homo, secundum modo dictam imaginem formatus. Quare qui imaginem et quod ad imaginem est, haud in una re quærendum putant, non usque ad tria capita exquisitionem similitudinis producunt; sed quartum quoque (nempe Verbi emanationem), quod non quæsierunt, adjiciunt.

Ταύτῃ ἄρα καὶ τὸν ἐκπεριώνυμον οἶμαι Γρηγόριον καθυφέντα τῆς πολλῆς ἀκριβολογίας ἀρκεσθῆναι τῇ εἰκόνι καὶ τῷ παραδείγματι. Ἐπείπερ μηδὲ πρόθεσις ἦν αὐτῷ τὸ ῥητὸν καταμερίζειν, καὶ εἰς ὅσα δύναιτο, μέρη (94) συναύξειν· ἀλλ' ἐν πανηγυρικῷ, καὶ δημοτελεῖ λόγῳ χρείαν πληροῦν παρελήφθη τὸ θεώρημα τῷ πλήθει συμπεριφέρουσαν.

Quamobrem præclarissimum Gregorium arbitror, summo locutionis rigori minime vacantem, tantum imagine et exemplari fuisse contentum. Neque enim sibi proposuerat Scripturæ oraculum in minutas partes dispescere, easque, quantum posset, multiplicare: sed cum celeberrimam, publicamque concionem haberet, sibi proposuit sic doctrinam exponere, ut frequentissimo illi conventui plenam afferret utilitatem.

Τινὲς δὲ τὸ « κατ' εἰκόνα » παρειλήφασιν ἀντὶ τοῦ,

Nonnulli vero illud « ad imaginem » scriptum pro

NOTÆ.

(91) In S. Pascha hom. II, p. 680. Edit. Col. 1690.

(92) Ubi id scripserit, nescio; certe in laudata oratione desideratur.

(93) Monosyllabon γῆν huc post τὴν frustra injectum expunxi.

(94) Hariolando illud μέρη ad interstitiolum complendum refinxi, nec me piget. Verbum autem πανηγυρικὸν ab exordio ejusdem orationis edoctus reddidi *celeberrimum*.

Digitized by Google

« per imaginem » autumant. Nam cum Spiritus sanctus, aiunt, uti et Filius sit « splendor et figura [2], et imago (95) immutabilis Patris; » cumque hominis anima per Spiritum, seu Spiraculum immediate condita sit, jure meritoque hominem « per imaginem » omnino creatum, et « ad imaginem » Dei factum, seu divinæ imaginis opus, et præstantissimam esse creaturam dicere possumus; adeoque hanc nominum metalepsin sine impedimento adhibemus. Quamobrem nonnulli eorum, qui sacris Litteris explicandis incubuerunt, non « ad imaginem » hominem fuisse factum dixerunt, sed « in magine » interpretati sunt. Atqui hæc quidem interpretandi ratio, si etiam acceptione digna videatur, nullo pacto veritati officere poterit; imo et alteram hanc propositi oraculi enucleationem subiens, ab ea, meo quidem judicio, nec amabit, nec quæret avelli.

Reperiuntur autem auctores, qui (et hac quidem explicatione illud « ad imaginem « protinus refertur ad divinæ personæ proprietatem ante catalepsin) aiunt: esto illud « ad imaginem » ita dictum de Verbo, ut ad Verbi incarnationem et adventum pertineat. Si enim « Verbum, inquiunt, caro factum est, et habitavit in nobis [3], » et homo fuit « per omnia [4] » præterquam in peccato [5]; utique secundum illam sanctam, et peccato carentem, imo et omne peccatum destruentem imaginem fuisse vel ipsum primum parentem Adam conditum recte censere, et dicere nulla ratione prohiberemur.

En alium modum habes, quasi in porismate ex hujusmodi explicatione procedentem, habesque simul et imaginem, et exemplar, et secundum quamnam imaginem Adam in hominis natura fuerit constitutus. Cum enim Filius sit imago incommutabilis, et consubstantialis Patri, cumque factus sit homo, quales nos sumus, et unam cum assumpta natura confecerit personam; hominem ad eamdem suam conditionem evectum ostendit: atque secundum hanc Verbi incarnati formam [6], et ideam divina sapientia, quæ prævidebat, disponebatque futura, ad primum nostri generis parentem pura, et creatrice manu formandum a suæ benignitatis abundantia adducta est.

Atque hæc maxima, ut arbitror, perspicuitate et diligentia enucleata sunt. Enimvero Anthropomorphitarum delirium esto in eorum animum inductum, qui Deum quavis figura, circumscriptione, et comprehensione carentem ad hominis formam atque figuram pertrahendum insanientes putarunt. Imo neque hoc, quod facile intellectu, et cuipiam obvium est, mente percipere voluerunt; quod

A διὰ τῆς εἰκόνος. Τὸ γὰρ πανάγιον Πνεῦμα, φασὶν, ὥσπερ καὶ ὁ Υἱὸς, «ἀπαύγασμα, καὶ χαρακτὴρ, καὶ εἰκὼν ἀπαράλλακτος, τοῦ Πατρὸς,» ἐπεὶ διὰ τοῦ Πνεύματος, ἤτοι τοῦ ἐμφυσήματος προσεχῶς ἡ τοῦ ἀνθρώπου δεδημιούργηται ψυχὴ, εἰκότως διὰ τῆς εἰκόνος λέγοιτ' ἂν εἰς τὸ ὁλόκληρον ὁ ἄνθρωπος ἀποτελεσθῆναι, καὶ «κατ' εἰκόνα» γεγενῆσθαι Θεοῦ, ἤτοι τῆς θείας εἰκόνος ἔργον, καὶ φιλοτέχνημα χρηματίσαι· καὶ τὴν μετάληψιν τῶν ὀνομάτων ἀκώλυτον εἶναι. Διότι καί τινες (96) εἰς τὴν ἔκθεσιν τῆς ἱερᾶς ἡμῶν Γραφῆς στάντων ἀντὶ τοῦ «κατ' εἰκόνα» εἰπεῖν, ἐν εἰκόνι Θεοῦ διέλαβον τὸν ἄνθρωπον πεποιῆσθαι. Ἀλλ' οὗτος μὲν ὁ λόγος, καὶ παραδοχῆς ἀξιούμενος, οὐδὲν τὴν ἀλήθειαν παραλυπήσειε· καὶ τὴν δευτέραν τῶν εἰρημένων ὑπερχόμενος τάξιν οὐκ
B ἂν ἀγαπήσει, οὐδ' ἐπιζητήσει οὐ μὲν οὖν, κατά γε κρίσιν τὴν ἐμὴν, ταύτης ὑπεραρθῆναι.

Ἔστι δὲ εὑρεῖν, οἷς εἴρηται (δι' ὧν καὶ αὐτόθεν εἰς ἴδιον τὸ «κατ' εἰκόνα» συναναφέρεται (97) πρὸ καταλήψεως)· εἰρήσθω τῷ Λόγῳ τὸ ῥῆμα, διαβαίνειν πρὸς τὴν τοῦ Λόγου σάρκωσιν καὶ ἐπιδημίαν. Εἰ γὰρ «ὁ Λόγος, φασὶ, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν,» καὶ ἄνθρωπος ἐχρημάτισε «κατὰ πάντα,» πλὴν τῆς ἁμαρτίας· κατ' ἐκεῖνο τὸ ἱερὸν, καὶ ἀναμάρτητον ἄγαλμα, ἀλλὰ καὶ πάσης ἁμαρτίας καθαιρετικὸν, καὶ τὸν πρωτόπλαστον Ἀδὰμ δὲ δημιουργηθῆναι καὶ φρονεῖν, καὶ λέγειν ὀρθῶς ἂν οὐδὲν ἀποκωλύσειε λόγος.

C

Καὶ ἔχεις τρόπον ἄλλον, ὡς ἐν πορίσματι διὰ τῆς τοιαύτης θεωρίας προερχόμενον, καὶ τὴν εἰκόνα, καὶ τὸ πρωτότυπον, καὶ καθ' ἣν εἰκόνα ὁ Ἀδὰμ εἰς ἀνθρώπου φύσιν διεμορφώθη. Καὶ γὰρ ἡ εἰκὼν ἀπαράλλακτος, καὶ συμφυὴς ὁ Υἱὸς ὑπάρχων, γεγονὼς δὲ ἄνθρωπος καθ' ἡμᾶς, καὶ εἰς (98) μίαν ὑπόστασιν τῷ προσλήμματι συνελθὼν, ὁμότιμον τὸν ἄνθρωπον ἔδειξεν ἑαυτῷ· καθ' ἣν μορφὴν, καὶ ἰδέαν τῆς σωτηρίου ταύτης σαρκώσεως ἡ τὰ μέλλοντος ἤδη καθορῶσά τε, καὶ οἰκονομοῦσα Θεοῦ σοφία τὸν ἀρχηγὸν τοῦ γένους ἡμῶν χερσὶν ἀχράντοις καὶ δημιουργικοῖς, ὑπερβολῇ φιλανθρωπίας ὑπηγάγετο πλάττεσθαι.

D

Ἀλλὰ ταῦτα μὲν κατὰ τὸ σαφέστατον, οἶμαι, καὶ δι' εὐκρινείας τεθεώρηται. Ὁ γὰρ τῶν Ἀνθρωπομορφιτῶν λῆρος εἰς ἐκείνων (99) ἀπερρίφθω κεφαλὰς, οἳ πρὸς τὴν ἀνθρώπου μορφὴν καὶ τὸ σχῆμα, τὸν ἀσχημάτιστόν τε, καὶ ἀπερίοριστον, καὶ ἀκατάληπτον συγκαθέλκουσιν ἐκμεμηνότες Θεόν. Οὐδὲ τοῦτο ῥᾴδιον ὄν, καὶ πρόχειρον ἠθέλησαν ἐπὶ νοῦν λαβεῖν, ὡς εἰ τὸ Θεῖον ἐξ ἀϊδίου, καὶ οὐχὶ λόγῳ συγ-

[2] Hebr. I, 3. [3] Joan. I, 14. [4] Hebr. II, 17. [5] Hebr. IV, 15. [6] Philipp. II, 7.

NOTÆ.

(95) Sap. VII, 26. Vide tamen, ne Photius hæc de SS. dicens, suo per cuniculos errori viam sternat, ac putet ea, quæ in adductis Scripturæ locis litteris Filio tribuuntur, usurpari posse de SS. quia hic quoque tantum a Patre procedat

(96) Τῆς huc temere insertum evellendum duxi.

(97) Sic placet pro σὺν ἀναφαίνεται.

(98) Hanc πρόθεσιν sensu ductante refinxi.

(99) Ita reor pro εἰκόνων scribendum.

Digitized by Google

καταβάσεως, καὶ φιλανθρωπίας τὴν τοῦ ἀνθρώπου διεμορφοῦτο μορφὴν, εἰς μάτην ἂν ἐγεγόνει ἡ ἐπ' ἐσχάτων τῶν χρόνων διὰ τοῦ Υἱοῦ τοῦ ἡμετέρου φυράματος πρόσληψις.

A scilicet, si Deus humanam formam ab æterno, et non ratione descensus de cœlis et ratione misericordiæ erga homines, habuisset, in vanum Filius in novissimis temporibus corpus nostrum assumpsisset.

Οὐδὲ τὸ Θεῖον καθαρεῦον εἴη (ὦ φρενὸς παρακοπτούσης!) τὰ ἔσχατα κατὰ τὸ ἄρρεν τε καὶ θῆλυ μὴ διαστέλλεσθαι. Καὶ γὰρ τὸ ἱερὸν ἀποφηνάμενον Λόγιον· «Κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτούς·» εὐθὺς ἐπήγαγεν· «Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς·» ὡς τῆς εἰκόνος ἐπιπρεπούσης οὐχὶ μόνῳ τῷ Ἀδάμ, ἀλλ' ὁμοτίμως καὶ τῇ Εὔᾳ προσαρμοζούσης, καὶ δι' αὐτῶν παντὶ τῷ ἀνθρωπίνῳ γένει. Εἰ γὰρ κατὰ σωματικὴν ἐπιφάνειαν, καὶ μορφὴν ὁ ἄνθρωπος διεπλάσθη, τοῦ Θεοῦ τά τε εἰρημένα συνασεβεῖν τῇ ἀπαρχῆς δυσσεβούσῃ πλάνῃ συνέπεται, καὶ ἀνθρωποπαθὲς τὴν ἀνύβριστον ἐξυβρίζειν Θεότητα· τὸ γὰρ ἀνθρωπόμορφον οὐδ' ἀπαλλαγὴν ποθεν παθῶν ἀνθρωπίνων ἐκληρώσατο.

B

Imo neque Deus adeo purus esset (o mentem delirantem!), ut genitales in eo partes secundum masculeum fœmineumque sexum non distinguerentur. Ubi enim sacra Eloquia inquiunt: « Ad imaginem Dei creavit illum; » protinus subdunt: « masculum et feminam creavit illos [r]; » utpote quod imago non solum Adam decoraret, sed Evæ quoque, ac per eos universo hominum generi pari honore congrueret. Si enim homo ad corpoream Dei speciem et formam conditus fuisset; impio hoc errore præmisso, sequerentur non modo illæ impietates, quæ de Deo dictæ sunt, sed etiam quod humanis perturbationibus veneranda divinitas deturparetur; id enim, quod formam humanam habet, nullo pacto humanis perturbationibus carere potest.

Τοιούτων δὲ καὶ τὰ τῆς πλάνης σεβάσματα· καὶ οὐδὲν πεπυρρίκασιν (1) εἰδωλικῇ δεισιδαιμονίᾳ τὴν θεοπρεπῆ, καὶ σεβάσμιον ἡμῶν θεολογίαν συναναφύροντες, καὶ εἰς τοῦτο συνάγειν ἐκβιαζόμενοι. Πολλῶν δὲ, καὶ ἄλλων δυσφημιῶν παρεπομένων, ταῦτα μᾶλλον προκύπτει, καὶ τὴν παράνοιαν λαμπρῶς ἀπελέγχει τῶν εἰς ταύτην τὴν ὑπόληψιν ἑαυτοὺς ἀθλίως ἐναπορρίψάντων.

Anthropomorphitarum autem errorem et ista absurda sequuntur; ac illi cum ethnica superstitione nostram Deo dignam venerandamque theologiam commiscere, et conari, ut ad idem redigantur, non erubuerunt. Cum autem aliæ, atque aliæ absurditates sint, quæ inde sequuntur, hæ magis erumpunt, et insaniam eorum, qui in istam opinionem misere sese projecerunt, luculenter evincunt.

Παραπλησίου δὲ παρανοίας ἔλεγχος ἂν εἴη καὶ τῶν πολυπλάνων Ἰουδαίων ὁ μῦθος, ὃς Υἱὸν οὐ παραδεχόμενος ὁμοούσιον τῷ Πατρὶ, οὐδὲ τῷ Πνεύματι συνομολογεῖν ἐθέλων τὸ κατὰ φύσιν ἀξίωμα τῆς Θεότητος, διὰ μὲν ἀσωμάτου δυνάμεως πρὸς τὴν θείαν φύσιν ἀνάγειν οὐκ αἰσθάνεται βιαζόμενος· τὸ γὰρ «κατ' εἰκόνα ἡμετέραν» τὸν Θεὸν πρὸς τὰς ἀσωμάτους τάξεις οὐκ ἔσχεν εἰπεῖν οὐδεμίαν αἰδώ. Εἰκόνα γὰρ δίδοὺς μίαν, καὶ τὴν αὐτὴν Θεόν τε, καὶ τῶν ἀσωμάτων δυνάμεων, εἰς ταυτὸν ἑκατέρου τὴν φύσιν συνάγει, Δημιουργοῦ τε, καὶ δημιουργήματος ἅπαν ἀφελὼν τὸ διάφορον. Ὧν γὰρ ἡ εἰκὼν ἡ αὐτὴ, καὶ ἀπαράλλακτος, τούτων ἡ φύσις ἑτερότητα παραδέχεσθαι δύναται;

C

Paris autem dementiæ redargui posset illud quoque Judæorum erroribus scatentium commentum, qui, dum Filium non admittunt consubstantialem Patri, dumque nolunt Spiritui sancto divinæ naturæ dignitatem tribuere, interea Filio, et Spiritui incorpoream (creatricem) potentiam tribuentes non animadvertunt, quod cogantur eos ad divinam naturam evehere: si quis enim asserat Deum dixisse ad angelicos ordines: « Faciamus hominem ad imaginem nostram, » is pudori nuntium remisit. Qui enim unam Dei, et angelorum concedit esse imaginem, ipsamque esse Deum, et præditam incorporeis facultatibus, is ad idem reducit Dei, et angelorum naturam; ac omne inter Creatorem et creaturam discrimen tollit. Ea enim, quorum eadem est imago et immutabilis, horum natura potestne diversitatem excipere?

Ἀλλὰ ἐπὶ τοσοῦτον μὲν καὶ ταῦτα, καὶ ὁ λόγος οὐκ ἂν οὐδ' ἥψατο τούτων. Ἀλλ' ὡς ἂν μᾶλλον τῇ παραθέσει τῶν ἀτόπων ὑπολήψεων τὸ τῆς ἀληθείας εἴη κάλλος ἀναλάμπον, ὑπέστη διελθεῖν, ἃ πολλῷ βέλτιον ἦν μηδὲ τοῖς ἀπαρχῆς πρὸς ταῦτα κατενεχθεῖσι, μηδ' ἐν διανοίᾳ βάλλεσθαι.

D

Atque hæc absurda huc usque pervenerunt, et tamen vix pauca eorum delibavimus. Sed ut ineptarum appositione opinionum pulchritudo veritatis magis magisque eluceret, ea duximus esse memoranda, quæ multo melius esset, si neque in res ab initio enucleatas, neque in nostrum animum inseruissemus (2).

[r] Gen. I, 27.

NOTÆ.

(1) Sic lego pro πευρρίκασι.

(2) De hac quæstione sententias SS. Patrum prima fronte discordes, sed facili negotio conciliandas fuse more suo persequitur Dionysius Petavius, *De opificio sex dierum*, lib. II, cap. 2, 3, 4. Eas itaque si cum Photianis doctrinis conferas, quid laudandum, quidque improbandum sit, ipse per te judicabis.

Digitized by Google

QUÆSTIO XXXVII [*Scotto et Coisl. et Taur.* XXXVI].

Quomodo illud : « Oculum pro oculo, et dentem pro dente [a], huic præcepto : « Ego autem dico vobis non resistere malo [b], » id est non referre par pari, neque inimicum ulcisci, non adversatur ?

ΕΡΩΤΗΣΙΣ ΛΖ'.

Πῶς δύναται μὴ ἀντικείμενον εἶναι τὸ, « Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, » πρὸς τὸ, « Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, » τοῦτ' ἔστι μὴ ἐπεξελθεῖν τοῖς ὁμοίοις, μηδὲ ἀμύνασθαι τὸν ἐχθρόν ;

Edita ab Antonio Scotto, l. c., p. 85-87. De antilogia inter Verba Christi, Matth. v, 38-39 et Verba legis Exod. xxi, 24-Lev. xxiv, 20.

Quod majores nostri de hac quæstione excogitarunt, idem profecto nobis est respondendum : quod videlicet hæc duo sibi invicem non adversentur, neque altero constituto alterum evertatur ; sed illud potius via quædam ac præparatio sit, quæ per imperfectiorem reginiinis formam ad perfectam traducit. Qui enim legi mores suos conformare assuevit, is facillius potest aggredi meliora, et ad B sublimiores tendere effingique virtutes. Hoc autem quomodo ad sensus, et actiones oppositas pertineret ?

Cæterum dici potest, quod lex audacem ac temerariam hominis manum a damno in proximo intentando cohibeat, ac pœnæ formidine facinus præpediat : gratia vero, legem non imitata, admonitionem in ultionis locum sufficere curet ; imo jubeat irati animi commotionem lenitate sedari. Quid autem poterit magis, quam hoc, non dissidentes, sed consentientes sensus continere ?

Addendum præterea, quod neutiquam repugnet, ut qui leges condit, ab injustis manibus talionis C pœnam exposcat, nimiæque lenitatis, ac patientiæ limites contrahat, et simul animi perturbationem compescat. Sed horum alterum humanum est, alterum divinum ; et illud quidem damnari non potest, hoc autem est laudibus cumulandum.

Hæc itaque dicenda sunt, atque his proposita difficultas solvenda. At minus opportunum fortasse non esset adjicere, quod prima quidem sententia ad judicem referatur, ne is justam excedat castigationem ; sed talionis jugum plectendis hominibus proponatur, et justitiæ oculus agnoscatur incorruptus : secunda vero ad eum qui in judicium vocat, pertineat, dum ultionis acerbitatem per clementiæ divitias emendat mitigatque ; ne mali expetat augmentum, neque quod damnum odit, et D animadversione dignum censet, hoc ipsum, par pari referendo, multiplicet, neque inexplebilem efficiat indignationem (3).

Ἔστι μὲν οὖν εἰπεῖν, ἃ καὶ τοῖς πρὸ ἡμῶν περὶ τούτου πεφιλοσόφηται τοῦ ζητήματος· ὅτιπερ οὐ διαμάχεται ταῦτα πρὸς ἄλληλα, οὐδ' ἡ θατέρου θέσις ἀναίρεσις τοῦ ἑτέρου καθίσταται· ὁδὸς δὲ μᾶλλόν ἐστι, καὶ παρασκευὴ διὰ τῆς ἀτελεστέρας πολιτείας πρὸς τὸ τέλειον παραπέμπουσα. Ὁ γὰρ ἐθίσας ἑαυτὸν νόμῳ τὰ καθ' ἑαυτὸν ἐπιτρέπειν, οὗτος ἕτοιμός ἐστι καὶ τῶν κρειττόνων ποιεῖσθαι τὴν αἵρεσιν, καὶ πρὸς τὰς ὑψηλοτέρας τῶν πράξεων ἀνατρέχειν, καὶ μεθαρμόζεσθαι. Τοῦτο δὲ πῶς ἂν εἴη τῆς ἀντικειμένης διανοίας, καὶ πράξεως ;

Ἄλλως τε δὲ καὶ ὅτι ὁ μὲν νόμος τὴν αὐθάδη καὶ τολμηρὰν χεῖρα κατὰ τοῦ πλησίον τῆς παλαμναίου πράξεως διὰ τῆς ἀπειλῆς ἀναστέλλει, καὶ τῷ φόβῳ κωλύει τὸ ἄτοπον· ἡ δὲ χάρις οὐδὲ τῇ πρὸς ἐκείνην μιμήσει ἀντιδραματουργεῖν διὰ τῆς παραινέσεως τὴν ἀμύνουσαν ἐπιτρέπει· ἀλλὰ τῇ πραότητι διαλύειν παρεγγυᾶται τοῦ θυμουμένου τὸ κινούμενον. Καὶ τί ἂν εἴη τούτου συμφωνίαν μᾶλλον ἀντὶ τῆς διαφωνίας καταπραττόμενον ;

Καὶ δὴ καὶ ὅτι οὐκ ἔστιν ἐναντίον τὸν κατάρξαντα χειρῶν ἀδίκων τῆς ἰσότητος τὴν ἄμυναν ἀπαιτεῖν, καὶ τὸ λίαν ἐπιεικὲς, καὶ μακροθυμίας ὅρος ἐπιστέλλειν, καὶ κατευνάζειν τῆς ψυχῆς τὸ ταραττόμενον. Ἀλλὰ τὸ μὲν ἀνθρώπινον, τὸ δὲ θειότερον· ὧν τὸ μὲν ἔχει τὸ ἀκατάγνωστον, τὸ δὲ τὸ τῶν ἐπαίνων ἐπάξιον.

Ἔστι μὲν οὖν ταῦτ' εἰπεῖν, καὶ τούτοις τὸ ἄπορον ἐπιλύσασθαι. Οὐδὲν δὲ χεῖρον ἴσως προσθεῖναι, καὶ ὅτι τὸ μὲν πρὸς τὸν κριτὴν ἔχει τὴν ἀναφορὰν, μηδὲν τοῦ δικαίου ποιεῖν προτιμότερον, ἀλλὰ τῆς ἰσότητος τοῖς δικαζομένοις προκεῖσθαι ζυγὸν, καὶ ὀφθαλμὸν ἀδέκαστον δίκης ἐπιγινώσκεσθαι· τὸ δὲ πρὸς τὸν κρινόμενον ἀποδίδοται, μεταῤῥυθμίζον, καὶ καταπραῦνον φιλανθρωπίας πλούτῳ τὸ φλεγμαῖνον τῆς ἀνταποδόσεως· καὶ μὴ ζητεῖν τὸ πάθος συναύξειν, μηδ' ὃ μισεῖ, καὶ κολάζειν νομίζει προσήκειν, τοῦτο τοῖς ὁμοίοις δράμασι πληθύνειν τὸ κακούργημα· μηδὲ τὸ τῆς φιλονεικίας συγκατασκευάζειν ἀχόρεστον.

QUÆSTIO XXXVIII [*Scotto, Coisl. Taur.* XXXVII].

Quidam hoc dubium proponunt : Si non est circumscripta in Filio deitas, caro, quam assumpsit, vel est ubique ; ubi enim est deitas, illam quoque adesse oportet : vel, si est loco circumscripta, ab eo, qui ipsam assumpsit, separata est (4).

ΕΡΩΤΗΣΙΣ ΛΗ'.

Τινὲς διαποροῦσιν, ὡς εἰ ἀπερίγραπτος ἡ ἐν τῷ Υἱῷ θεότης, ἡ σὰρξ, ἣν ἀνέλαβεν, ἡ πανταχοῦ· ἔνθα γὰρ ἡ θεότης, κἀκείνην παρεῖναι δεῖ· ἡ περιγραφομένη τόπῳ, τοῦ προσειληφότος διέστηκεν.

Edita ab Ant. Scotto, l. c., p. 88. Tractatio dogmatica de ubiquitate corporis Christi.

Qui religioni obsequi cupiunt, et Christiana no-

Οὐκ ἦν ἀπορεῖν τῶν εὐσεβεῖν ζητούντων, καὶ τὸ

[a] Exod. xxi, 24, Deut. xv, 21 ; Levit xxi, 20. [b] Matth. v, 39.

NOTÆ.

(3) Alia multa lectu dignissima ad hanc δοκοῦσα ἀντιλογίαν conciliandam reperies apud Chrysostomum hom. 18 in Matth. Augustinum lib. II, *De sermon. Dom.* Hilarium. Euthymium, et Theophylactum, et auctorem *Operis imperfecti* in adductum D. Matthæi locum.

(4) Quod hujus quæstionis peroreve, et interpolatum excerptum ediderit Combefisius, fuse in

Digitized by Google

τῶν Χριστιανῶν μυστηρίων εἰδότων· εἰ ἀπερίγραπτος, καὶ πανταχοῦ ἡ θεότης, πότερον ἡ σὰρξ, ἣν ἀνέλαβεν ὁ Υἱὸς, πανταχοῦ τῷ προστιληφότι παρεκταθήσεται, ἵνα μὴ κεχωρισμένη νοηθῇ, ἢ περιγραφομένη τόπῳ τὴν πρόσληψιν ἀπαρνήσεται; Καὶ γὰρ τούτῳ δὴ τῷ νομισθέντι ἀπορήματι πολλὰ ἂν εἴη, μᾶλλον δὲ τῇ ἀπειρίᾳ, διαμιλλώμενα τὰ ἀθύρματα· καὶ ἵνα μὴ περὶ τῶν φρικτῶν οὐ φρίττειν δόξωμεν, ἐπὶ τῆς ψυχῆς μᾶλλον, καὶ τοῦ σώματος ὁ λόγος τὴν γυμνασίαν ἀναδεχέσθω.

A runt mysteria, hoc dubium proponere non deberent: utrum si non circumscripta sed ubique est deitas, caro, quam assumpsit Filius, assumenti adhærens sit ubique, ne separata concipiatur: an loco circumscripta se assumptam esse negabit? Etenim ad hanc, quam censent difficilem, quæstionem enucleandam, potius autem ad imperitiam arguendam multa possent ludicra responsa proferri: et ne veneranda mysteria non venerari videamur, nostra hæc oratio ad hominum animam et corpus disputationem transferat.

Τί γὰρ κωλύει λέγειν τὸν βουλόμενον, πῶς ἥνωται τῷ σώματι ἡ ψυχὴ μὴ ἐμπεριγραφομένη τόπῳ; Οἷς γὰρ μὴ συμπεριγράφεται, τὴν ἕνωσιν ἀπαρνουμένη, ὡς ἡ τῶν παραληρούντων βούλεται σοφία, διελέγχεται. Καὶ πῶς (ἐγγύτερον, καὶ πρὸς αἴσθησιν φάναι) B τοῦ ἀνθρωπίνου περικεχρωσμένου σώματος, ὅτῳ διὰ χρώματος (5) αὕτη χρωμάτων ἐστὶν ἀνεπίδεκτος· καὶ τοῦ μὲν ἐκ τεσσάρων χυμῶν συγκριθέντος, τῆς ἀπὸ τῶν χυμῶν αὕτη καθαρεύει διαθέσεως· καὶ τὸ μὲν πλήρωσίς τε, καὶ οὐ κένωσις ἐκ διαδοχῆς κύκλῳ προϊοῦσα συνιστᾷ· ἡ δὲ κρείττων ὁρᾶται τῶν τοιούτων στάσεων· καὶ μυρία ἄλλα;

Quid enim vetat, si libeat, dicere: Quomodo anima, dum loco non circumscribitur, corpori copulata est? Nam quibuscum circumscriptionem communem non habet, cum iis conjunctionem, uti vult ista nugantium sapientia, non admittere evincitur. Et quomodo (ut rem propius, et per sensibilia attingamus) dum corpus est coloratum, ipsa sic inter colores exsistens, colores suscipere non potest: et cum corpus ex quatuor succis sit concretum, ipsa hujusmodi materiali conditione caret: et corpus quidem non vacuitas, sed ex humorum susceptione plenitudo undequaque dilatata constituit, anima vero his affectionibus non est obnoxia: atque alia sexcenta?

Καὶ ἀνάπαλιν δ' ἄν τις τὸν λόγον μεταχειρίσαιτο. Ἐρεῖ γάρ, ᾧτινι φίλον περὶ τῶν σπουδαίων μὴ σπουδάζειν, ἀλλὰ ταῖς σοφιστικαῖς ἐπισεμνύνεσθαι ἐν ἴσῳ τῶν ψηφολόγων περιεργείαις· Εἰ ἥνωται τὸ τοῦ σώματος σύγκριμα τῇ λογικῇ ψυχῇ, πῶς οὐκ ἀπάρχον (6) τῆς ἑνωθείσης ἐν τούτῳ γνωριζομένης; C Πῶς δὲ οὐκ ἀναφές; Ἀλλὰ πῶς ὑποκείμενον χρώμασι; Βάρους καὶ ῥοπῆς κενώσεώς τε καὶ πληρώσεων πῶς οὐκ ἐλεύθερον, καὶ μυρίος λῆρος; Καὶ (συλλήβδην τὴν μητρόπολιν τοῦ λήρου φάναι, ἐξ ἧς καὶ τὰ εἰρημένα τοῖς λόγοις ἐμπολιτεύεσθαι πάροδον εὗρε νεανιεύματα) εἰ ἥνωται ἡ ψυχὴ τῷ σώματι, πῶς οὐχὶ ψυχὴ τὸ σῶμα, ἢ οὐχὶ σῶμα ἡ ψυχή;

Ac vice versa poterit quispiam has interrogationes retractare. Inquiet enim is, qui non serio de seriis agere, sed subtilibus pro circulatorum more argutiis sese ostentare voluerit, si corpus animæ rationali consociatum est, quomodo et ipsum, (quemadmodum anima), substantiæ, quæ sibi agnoscitur conjuncta, nequit imperare? Quomodo et ipsum non effugit tactum? Quomodo est coloribus subjectum? Quomodo gravitatis, ponderis, vacuitatis, plenitudinis non est immune; et mille hujusmodi gerræ? Atque (ut uno verbo matricem nugarum proferamus, ex qua et istæ juveniles argutiæ ad sermones invadendos aditum invenerunt), si anima est copulata corpori, quomodo anima non est corpus, aut corpus non est anima?

Εἰ δὲ ταῦτα λέγειν ἐπὶ ψυχῆς, καὶ σώματος γέλως, καὶ νῦν τὴν φύσιν τῆς ἀπορίας τὸ μέγεθος, ἡ σοφιστικὴ κατάδηλος μικροῦ καὶ τοῖς ἀγυμνάστοις τὰ τοιαῦτα γίνεται λέσχη· πόσῳ μᾶλλον ἐπὶ τοῦ θείου Λόγου, καὶ τοῦ καθ' ἡμᾶς προσλήμματος λέγειν τὰ ὁμοια οὐ παντελῶς ἐστι καταγέλαστον καὶ μὴ διακρίνειν εἰδόσι φλυαρίας τε, καὶ ἀπορίας προνόμιον; Εἶπω τὰ ἡμέτερα, μᾶλλον δ' ἃ τῆς φιλανθρωπίας τοῦ Πλάσαντος ἔργα, καὶ πάθη καθέστηκε. Πῶς ἡ Θεότης ἥλοις διαπερονηθέντος τοῦ σώματος, οὐ συντέτρωται, οὐ τῇ λόγχῃ διατέτρηται, οὐκ ἐσταύρωται;

Quod si hæc de anima et corpore effutire risum excitat, et nunc, dum in rebus naturalibus pondus difficultatis est, vel ab ipsis propemodum hominibus rudioribus isthæc garrulitas cavillatoria perspicitur: quanto magis de divino Verbo, et nostra assumpta natura hujusmodi gerras effutire omnino deridiculum est pro iis quoque, qui rem jocularem a difficultate nesciunt discernere? Hic autem adjiciam nostra, sive potius illa, quæ ex operibus, et perpessionibus clementissimi Conditoris nostri erui possunt. Quomodo simul cum corpore clavis per-

NOTÆ.

Prodromo docuit Cl. Joannes Andresius Regiæ bibliothecæ præfectus. Hic autem adnotes velim, quod ipsam jamdudum transtuleram, nonnullasque suppleveram lacunulas, cum Combefisii lacinia mihi oblata est: id autem vel ipse itaque ex versionis varietate perspicies. Ego autem pro re nata monebo et unde incipiat Combefisius, et ubi abrumpat, et ubi desinat, imo quoties a nostra lectione recedat. — Sic exstat in Codice Monacensi Gr. 104, f. 282.

(5) Saltem relingas οὕτω, ut sensus constet.

(6) Perbreve interstitiolum inter ἀπ et τῆς ita complendum censeo.

Digitized by Google

fosso divinitas non est perforata, neque lancea transjecta, neque crucî confixa? Quomodo, cum natura humana vere assumpta hos omnes pateretur cruciatus, Divinitas simul cum patiente fuit, nec tamen ab ipsis attingi potuit? Quomodo ipsa in sua substantia mortem effugit?

A Πῶς πάντα παθόντος ταῦτα τοῦ ἀληθῶς ἐνωθέντος τῇ Θεότητι συγκρίματος, αὕτη τούτοις, συνοῦσα τῷ πεπονθότι, διέμεινεν ἄψαυστος; Πῶς δὲ τὸν θάνατον κατὰ τὸν οὐσιώδη λόγον αὕτη διαπέφευγε;

Etsi Christus Deus noster propter nos esse dicitur verissime mortuus (quippe qui propriam carnem pro nobis morti tradidit), et mansisse in sepulcro, ac triduana resurrectione resurrectionis omnibus communis dedicationem, ac fundamentum statuisse: sed tamen qui idcirco Divinitatem passibilem blasphemarent, redderentur elingues per ea, quæ modo confutationem ex animæ, et corporis conjunctione elicientia dicta sunt, et per alia, atque alia hujusmodi. Qui autem tali non abducuntur errore, sed B alio nihilo tolerabiliori, quam iste memoratorum hominum est, et « *in Christo* » localem carnis circumscriptionem pro divinæ naturæ conjunctione reiiciendam arbitrantur, tum illa « *de anima et corpore,* » tum hæc « *de passionibus Christi absurda* » æque ex eorum propositionibus procedere, et ad ipsos refellendos recta tendere videntur.

Καίτοι λέγεται δι' ἡμᾶς Χριστὸς ὁ Θεὸς ἡμῶν ἀποθανεῖν παναληθῶς (ἅ τε [7] τὴν οἰκείαν σάρκα ὑπὲρ ἡμῶν εἰς θάνατον δεδωκὼς), καὶ τάφον οἰκῆσαι, καὶ τριημέρῳ ἀναστάσει τὴν κοινὴν ἐγκαινίσαι, καὶ θεμελιῶσαι πάντων ἀνάστασιν· ἀλλὰ γὰρ τοὺς μὲν παθητὸν ἐνυβρίζοντας τὸ Θεῖον ἐπιστομίσει πάντως, ἃ προείρηται, τὸν ἀπὸ τῆς ἑνώσεως τῆς ψυχῆς, καὶ τοῦ σώματος ἔλεγχον προβαλλόμενα, καὶ ἄλλα πολλὰ τοιαῦτα. Τοὺς δὲ ἐκείνῃ μὲν τῇ πλάνῃ μὴ συμφερομένους, οὐδὲν δὲ ἐκείνης ἀνεκτότερον ἐχούσῃ προσανακειμένους, καὶ τὴν ἐν τόπῳ περιγραφὴν κατὰ τῆς θείας ἑνώσεως ἀπορρίπτειν διανοουμένους, ἐκεῖνά τε, καὶ τὰ νυνὶ ῥηθέντα ὅμως ἔστι καὶ ἐκ τῶν καθ' ἑαυτοὺς προαγαγεῖν, καὶ ἐπ' εὐθείας ἄγειν τὸν ἔλεγχον (8).

Qui concedit, amice, esse ubique Deitatem, quomodo simul non concedet totam adesse ubique? Hoc enim non minus, quam illud, ad divinam pertinet dignitatem. Quod si tota prorsus est ubique, et cum assumpta carne totus Filius unam habet subsistentiam; etiamsi hic ubique adsit, humana vero natura loco, ac tempore, principio, ac fine, et innumeris aliis definita sit; nullus tamen separationi C simul concipiendæ locus datur. Ille vero divinitatem etiam sine assumpta carne loco circumscriptam sibi fingeret, qui Deum secundum partes esse ubique conciperet, non autem totum, ubi adest, adesse. Atqui id, licet non his ipsissimis verbis, ille dicit, qui ait: Nisi cum divina Verbi subsistentia humanitas dilataretur, ipsi conjuncta esse nequiret. Enimvero dilatatio, seu extensio, seu aliud hujusmodi, et ne his quidem rebus ex toto adesse, quibus liquido aliquis assistit: hæc omnia locum obtinent in substantiis, quæ divisionem admittunt; ac eadem omnia simplicem, indivisibilemque Dei substantiam dispescerent.

Ὁ διδοὺς, ὦ ἀγαθὲ, πανταχοῦ τὸ Θεῖον, πῶς οὐ δώσει καὶ ὅλον πανταχοῦ παρεῖναι; Οὐ γὰρ ἔλαττον εἰς λόγον τοῦτο θεοπρεποῦς ἀξιώματος. Εἰ δὲ ὅλον ὁλικῶς πανταχοῦ, καὶ τῇ ἑνωμένῃ σαρκὶ ὅλος ἑνυπάρχων ὁ Υἱὸς, εἰ καὶ πάρεστι μὲν αὐτὸς πανταχοῦ, ἡ δ' ἀνθρωπίνη φύσις περιώρισται τόπῳ, καὶ χρόνῳ, ἀρχῇ τε, καὶ τελευτῇ, καὶ μυρίοις (9) ἄλλοις· οὐ μὲν οὖν οὐδεμίαν πάροδον τῷ χωρισμῷ συνεπινοηθῆναι παραχωρήσειε (10). Ἐκεῖνος δέ ποτ' ἂν εἴη ὁ τὸ Θεῖον καὶ χωρὶς τῆς προσληφθείσης σαρκὸς περιγενόμενον (11) τόπῳ φανταζόμενος, ὃς κατὰ μέρη τερατεύεται πανταχοῦ παρεῖναι, ἀλλὰ μὴ καθόλου, εἰς ἂν (12) τόποις πάρεστι τὸ Θεῖον. Λέγοι δ' ἂν κατὰ μέρη, κἂν μὴ λέγοι, ὁ φάσκων· εἰ μὴ συμπαρεκτείνοιτο τῇ θεϊκῇ τοῦ Λόγου ὑποστάσει, μηδ' ἡνωμένον αὐτῇ τὸ πρόσλημμα εἶναι. Ἡ γὰρ παράτασις (13), ἢ παρέκτασις, ἢ τὰ τοιαῦτα καὶ τὸ μὴ καθόλου τοῖς οὖσι, μηδ' οἷς ἐπιλάμπει παρεῖναι, τῶν ἐπιδεχομένων ἐστὶ τὸν μερισμόν· καὶ τούτοις τὸ ἐνιαῖον αὐτοῦ, καὶ ἄτμητον κατατεμνομένων (14).

Si Deus, utpote ubique præsens, et continens D omnia, divisus est, profecto in eo extensionem, illamque cum aliis congruentem, atque adeo circumscriptionem, et ipsam cum aliis communem require. Quod si hoc tanquam Deo injurium, atque indignum,

Εἰ μεμέρισται τὸ Θεῖον πανταχοῦ φοιτῶν, καὶ πάντα κατέχον, καὶ παράτασιν ἐπ' αὐτοῦ ζητεῖ, καὶ τὸ συμπαρατεινόμενον, καὶ δὴ καὶ περιγραφὴν, καὶ τὸ συμπεριγράφεσθαι. Εἰ δὲ τὸ δύσφημον, καὶ ἀνάξιον τοῦ Θεοῦ φαντάζεσθαι φεύγοις (φεύγοις ἐ-

NOTÆ.

(7) Erat in nostro codice ἅ τε δ' ἡ τήν· ego duas tantum litterulas spongiæ subjeci.

(8) Quæ huc usque edidimus, ignoravit Combefisius: fortasse ejus excerpti exscriptor his προλεγομένοις commode se posse carere censebat.

(9) Μορίοις legit Combefisius, sed minus opportune.

(10) Ita rectius, quam παραχωρήσαι· ὡς οὔ ποτ' ἄν, quod habet nostrum ms.

(11) Si id tibi non arridet, scribe cum nostro codice ἐν περιγεγραμμένῳ τόπῳ.

(12) Voculam τόποις, a sensu reclamatam, omiserat Combefisianus exscriptor.

(13) Παράστασιν habet Combefisius, quod minus placet.

(14) Hic memoratum excerptum abrumpitur, perinde ac si insequens παράγραφος ad rem non faceret.

Digitized by Google

ἂν, κἂν μὴ φεύγων, ἕως ἂν τῶν νοερῶν κατὰ κίνησιν ἐνεργειῶν, εἰ βούλει δὲ, καὶ τῶν κοινῶν ἐννοιῶν ὁ νοῦς οὐκ εἴη ἀπεληλαμένος), ἐπὶ μεγάλοις ἀτόποις αἰσχύνην ὄφλοις, ῥᾷον ἂν αἴσθησιν λάβοις. ἀπορημάτων τοιούτων προβολεὺς καθιστάμενος. Ὥστε τὸ οἰκεῖον πάθος, καὶ ἀγνόημα προσάπτει τῷ λόγῳ ὁ μεγαφρονῶν ἐν τῷ λέγειν· Εἰ ἥνωται ἡ σὰρξ τῷ Υἱῷ, ἢ πανταχοῦ, καὶ πρὸς τὸ ἀπερίγραπτον μεταβέβληται· ἢ κεχώρισται τῆς Θεότητος μὴ δυναμένη ταύτῃ συμπαρεκτείνεσθαι.

Καίτοι γε τόπῳ μᾶλλον ἀκόλουθον ἐννοεῖν, ὡς εἴπερ τὰ τῆς ψυχῆς ἰδιώματα τῷ σώματι πάρεστιν, ἢ τοῖς τοῦ σώματος ἡ ψυχὴ χαρακτηρίζεται· οὐκ ἂν αὐτοῖς ποθεν ἡ ἕνωσις περιγένοιτο, ἀλλ' οὐδὲ, εἴ τις δοίη, τῶν ἡνωμένων ἡ σύνοδος διασώζοιτο; Μεταβολὴ γὰρ ἂν εἴη τοῦτο θατέρου πρὸς θάτερον· μεταβολὴ δὲ πρὸς τὴν κυρίως ἕνωσιν, τὸ παροιμιῶδες εἰπεῖν, οὐδὲν ἔλαττον, ἢ τὰ Μυσῶν, καὶ Φρυγῶν διέστηκεν ὅρια. Καὶ ὁ τὴν ἕνωσιν πολυπραγμονῶν, καὶ μορμολυττόμενος, καὶ ἀκολούθους ἐπινοίας ἀποσκευαζόμενος, λέληθεν ἑαυτὸν μετάβασιν πρὸς τὴν σάρκα καταψηφιζόμενος· καὶ εἰς τὸν ἐνύλου σαρκὸς, καὶ παρατάσεως καὶ παντὸς πάθους, καὶ προσθήκης ἀπαράδεκτον, καὶ Δεσποτικὸν ὑποπτεύομενος τὴν ἀνάχυσιν (15).

Καὶ οὕπω εἶπον τὸ παρεῖναι τὴν Θεότητα κατὰ τὴν ἕνωσιν τῇ σαρκὶ, καὶ τὸ παρεῖναι πανταχοῦ, εἰ καὶ πρὸς διάφορον ἀναφέρεται καὶ νοῦν, καὶ διάνοιαν (καὶ γὰρ ὁ μὲν τὸ πανταχοῦ γινώσκων, καὶ διορίζων λόγος, οὐδὲ τῆς κοινῆς ἐπιφοιτήσεως τὴν ἐνωθεῖσαν ὑπερορίζει φύσιν· πάντα γὰρ, ὧν ὁ Θεὸς ἠξίωσε κτίστης γενέσθαι, οὐδὲ τῆς κατὰ πρόνοιαν παρουσίας ἀπολαύειν ταῦτα διατειχίζει· ὁ δὲ τὴν καθ' ἕνωσιν πρεσβεύων παρουσίαν (16) τῷ ἐνωθέντι μόνῳ ταύτην ἀφορίζει)· ἀλλὰ οὖν εἰ καὶ κατὰ διάφορον ἔννοιαν ἑκάτερον εἶδος ἀφορίζει τῆς παρουσίας, πλὴν ὁ θατέραν θρασυνόμενος πολυπραγμονεῖν, καὶ διαβάλλειν, οὐδὲ θατέρας φειδόμενος ἐξελέγχοιτ' ἄν (17).

Τοῖς γὰρ αὐτοῖς διαβουλίοις χρώμενος, πῶς, ἂν φαίη, παρέσοιτο πανταχοῦ τὸ Θεῖον μηδενὸς αὐτῷ τῶν, οἷς πάρεστι, πεφυκότος συμπαρεκτείνεσθαι; Οἷς γὰρ παρόντος ἐκείνου τῶν ὄντων ἑκάστῳ, μὴ συμπάρεστιν ἕκαστον, ἀλλ' ἐπὶ τῆς ἰδίας περιγραφῆς μένει, καὶ φύσεως τῆς πρὸς ἐκεῖνο συναφείας ἀποτέτμηται· καὶ τὸ πανταχοῦ παρεῖναι πᾶσι μὴ πέφυκε, μηδὲ τὸ δημιούργημα δύναται συμπαρεκτείνεσθαι τῷ Δημιουργήσαντι. Ἐπιφοιτᾷ τοῖς ἐμψύχοις τὸ Θεῖον, οὐ σύνεστιν αὐτοις καὶ τὰ ἄψυχα. Οὐκοῦν ἀφέστηκε τῆς ἐπὶ ταῦτα ἐπιφοιτήσεως; Ἀλλὰ γὰρ πάρεστι τοῖς ἀψύχοις, οὐδὲ τούτοις πάλιν

A animo fingere abhorres (quippe malis nolis abhorrere hoc debes, si tamen tua mens ab intelligibilibus circa motum operationibus, imo etiam a notionibus communibus non sit remota), seposuisse te in immanibus absurditatibus pudorem facilius utique ipse sentire poteris, qui hujusmodi difficultates protuleris. Quare propriæ mentis vitium atque imperitiam sermone suo prodet homo ille temerarius, qui ait : Si caro Filio conjuncta est, aut est ubique, ac proinde infinita evasit; aut a Divinitate divulsa est, si ad tantam non pervenit immensitatem.

Atqui quanto magis consentaneum est cogitare, quod si animæ proprietates corpori adessent, ac si attributionibus corporeis anima afficeretur; profecto hisce duabus substantiis conjunctio non obveniret, B aut, si ea daretur, certe quidem inter ipsas conjunctas consensus perdurare non posset? Ista enim alterius substantiæ in alteram mutatio foret : mutatio autem tantum a vera conjunctione, quantum Mysia, ut fert proverbium, a Phrygia distat. Atque is, qui hypostaticam conjunctionem nimium scrutatur, et consentaneas notiones repellit, amoliturque, ignorat utique se ista cogitandi ratione Filium in carnis substantiam vertendum censere; ac de eo, qui materialis carnis extensionem, passionem quamlibet, et additamentum nequit excipere, divinamque habet naturam, confusionem suspicari.

Nondum vero dixi Divinitatem carni adesse per hypostaticam conjunctionem, et adesse ubique, C tametsi ad diversum sensum diversamque notionem referantur (dum enim cogitatur, et agitur de Dei præsentia ubique, tunc nec assumpta natura a communi Dei præsentia excluditur; cuncta enim, quorum Deus esse voluit conditor, a præsentia etiam providentiæ suæ minime seponit : dum autem agitur de illa præsentia, quæ ex hypostatica conjunctione oritur, tunc peculiaris præsentiæ modus assumptæ tantummodo naturæ assignatur) : tametsi, inquam, duo hæc ad diversa præsentiæ genera pertineant, tamen qui alteram scrutari, et cavillari auderet, is utique ne ab altera quidem abstinere argueretur.

Qui enim ipsa cogitandi ratione utitur, quomodo, inquiet, adesse poterit ubique Deus, cum nulla D rerum, quibus adest, possit cum eo immensa fieri? Dum enim ille singulis rebus adest, singulæ res simul cum ipso cæteris non adsunt; sed inter proprios continentur limites, ac suapte natura, ne ulterius pertingant, prohibentur : atque ita omnium rerum non est ubique adesse, neque potest creatura eo, quo Creator, pervenire. Assistit Deus rebus animaprædítis, sed res ea carentes una cum ipso illis non assistunt. Num idcirco hæc destituuntur divina præsentia? At enim rebus ille inanimis adest, neque

NOTÆ.

(15) Hic resumit Combefisius laudati excerpti versionem : quantum autem hæc a veri sensus assecutione distet, judicet lector.

(16) Τὸ, παρουσίαν ex Combefisio adjeci.

(17) Quod reliquum est hujus quæstionis, plane in Combefisio desideratur. Huc usque Monac. 101 sæc. XVI, f. 282. V. D. Hardt., *Beitr. fasc.* VII, p. 4.

Digitized by Google

animalia vice versa hisce possunt adesse. An divinam præsentiam *animalia* non admittunt, quia extra præsentiam inanimarum rerum sunt constituta? Quia enim cum illo, qui ubique adest, non extenduntur, ipsius præsentia omnino non frui pueriles istæ futilitates suadere conantur; non enim sapientia sunt memoratæ cavillatorum argutiæ.

Atque hæc per summa capita disserui : tu vero his, quæ dicta sunt, reliqua, si placet, adjicies (18).

A δυνατὸν συμπαρεῖναι τὰ ἔμψυχα. Τὴν αὐτὴν ἄρα κἀκεῖνα ἀπηνέγκατο, τῆς τοιαύτης παρουσίας γεγονότα ὑπερόρια ; Δι' ὧν γὰρ οὐ συμπαρεκτείνεται τῷ πανταχοῦ παρόντι, καὶ τὸ μηδ' ὅλως παραπολαύειν αὐτοῦ τῆς ἐλλάμψεως ὁ νεανίας λῆρος παρακελεύεται· οὐ γὰρ σοφία γε, τῶν σοφιστῶν τὰ σπουδάσματα.

Ἀλλ' ὁ μὲν κεφαλαιώδης τύπος ταῦτα· σὺ δ' ἂν προσθείης ἐκ τῶν εἰρημένων, εἰ βούλει, καὶ τὰ λείποντα.

QUÆSTIO XXXIX [*Scotto, Coisl. Taur.* XXXVIII].

Quomodo, cum Jacobus duos filios ex Rachele susceperit, Josephum, et Benjaminum; Moyses postea Jacobi filios recensens inquit : « Fuerunt autem filii Balla, Gera, et Noeman, et Anchis, et Ros, et Amphim, et Omphimim : Gera autem genuit Arad; » deinde vero subdit : « Hi filii Rachel, quos peperit Jacob (19)*? » Cum itaque Rachel Josephum, et Benjaminum solos pepererit, quomodo liber Genesis et alios nuper memoratos e Rachele Jacobo partos dicit? Solve nodum.*

B

ΕΡΩΤΗΣΙΣ ΛΘ'.

Πῶς, τοῦ Ἰακὼβ δύο παῖδας ἐκ τῆς Ῥαχὴλ ἐσχηκότος, τὸν Ἰωσὴφ, καὶ τὸν Βενιαμίν· εἶτα γενεαλογῶν τοὺς ἀπὸ Ἰακὼβ ὁ Μωϋσῆς, « Ἐγένοντο δὲ, φησὶν, Βάλλα, Γηρὰ, καὶ Νοεμὰν, καὶ Ἄγχις, καὶ Ῥὼς, καὶ Ναμφὶν, καὶ Ὀμφιμίν· Γηρὰ δὲ ἐγέννησε τὸν Ἀράδ· » εἶτα ἐπάγει· « Οὗτοι οἱ υἱοὶ Ῥαχὴλ οὓς ἔτεκε τῷ Ἰακώβ; » Τῆς οὖν Ῥαχὴλ τὸν Ἰωσὴφ, καὶ τὸν Βενιαμὶν μόνους τεκούσης, πῶς τούτους ἡ Γένεσις λέγει ἐκ τῆς Ῥαχὴλ τεχθῆναι τῷ Ἰακώβ; Πορίμωσον ἄπορον.

Edita ab Ant. Scotto, l. c, p. 97. *De genealogia Jacobi*, Gen. XLVI, 21-22.

Ipsa sacrorum Eloquiorum oracula sese interpretantur. Cum enim filiorum Jacobi seriem enumerassent, nec debuissent eorum quoque historiam prosequi, sed ad tertiam generationem vellent pervenire, ordiuntur non ab ipsis proximis parentibus, sed a primo stipite, ex quo hi recta linea descenderunt, et cui divinæ promissiones insignem multiplicandæ prosapiæ gloriam prædicebant. Itaque dum Jacobi in quarta generatione nepotes, qui C Benjaminum avum habebant, Moyses recenset, eorumque multitudinem indicat, ad promissionem, ac eum, qui promissionem acceperat, resilit : atque primam potius adaucti generis causam, quam secundam, ac tertiam hujus promissionis participes assumit, memoratque; et « Hi sunt, inquit, filii Jacob, quos genuit Jacob; » ac ita ex parte Benjamin, et ex ejus linea ad Rachelem et Jacobum recurrens, ad ipsos principium aliorum, quorum series descripta fuerat, refert.

Αὐτὴ ἑαυτὴν διερμηνεύει τῶν ἱερῶν ἡμῶν λογίων ἡ Γραφή. Γενεαλογήσασα γὰρ τοὺς παῖδας τοῦ Ἰακὼβ, καὶ μὴ μέχρι τῶν παίδων τὴν ἱστορίαν περιγράψασα, παρεκταθεῖσα δὲ καὶ πρός γε τὴν τρίτην γενεὰν, οὐ μὴν εἰς αὐτούς γε τοὺς προσεχῶς γεγεννηκότας τοῦ πλήθους ἀναβιβάζει τὴν αἰτίαν, ἀλλὰ εἰς τὸ πρῶτον αἴτιον, ἐξ οὗ καὶ αὐτοὶ παρευθυνόμενοι προῆλθον, καὶ πρὸς ὃν αἱ ἐπαγγελίαι τὴν τοῦ γένους εἰς πλῆθος ἐχρησμολόγουν ἐπιδόξωσιν (20). Ἀπαριθμησάμενος οὖν τοὺς κατὰ τετάρτην γενεὰν ἀπογόνους τοῦ Ἰακὼβ ὁ Μωϋσῆς, οἳ τὸν Βενιαμὶν προπάτορα εἶχον, καὶ τὸ πλῆθος αὐτῶν ἐνδεικνύμενος, πρὸς τὴν ἐπαγγελίαν, καὶ τὸν τὰς ἐπαγγελίας δεξάμενον ἀνατρέχει· τὸ πρῶτον αἴτιον τῆς τοῦ γένους πληθύος ἀντὶ τοῦ κατὰ μετοχὴν δευτέρου, καὶ τρίτου παραλαβών τε, καὶ ὀνομάζων αἰτίου, καί φησιν· « Οὗτοι υἱοὶ Ῥαχὴλ, οὓς ἔτεκε τῷ Ἰακώβ· » διὰ τῆς κατὰ τὸν Βενιαμὶν μοίρας, καὶ τῆς ἐκεῖθεν ἐπὶ τὴν Ῥαχὴλ, καὶ τὸν Ἰακὼβ ἀναδραμὼν, τῶν ἄλλων τῶν προγενεαλογηθέντων τὴν αἰτίαν εἰς τὸν Ἰακὼβ ἀναφέρει.

Hinc vero potes corollarii loco colligere, quod sacris Eloquiis solemne sit, ut et nepotes nuncupent filios, uti et fratrum filios fratres, neque hos solum, ubi sibi invicem (scilicet aliis fratrum filiis) referuntur, sed etiam ubi cum suis patruis comparantur. Etenim perspicue reperimus quemadmodum eos, qui iisdem gradibus a communi stipite distant, fratrum nomine vocatos; ita et eos, qui primitus quidem ex ipsis, deinde vero a cognatis D

Ἐντεῦθεν δέ σοι καὶ ἐν πορίσματος ἀναφέρεται μοίρᾳ, ὅτι σύνηθες τοῖς ἱεροῖς Λογίοις καὶ τοὺς ἀπογόνους υἱοὺς ὀνομάζειν, ὥσπερ καὶ τοὺς τῶν ἀδελφῶν παῖδας ἀδελφοὺς, οὐ μόνον τοὺς κατὰ σχέσιν τὴν πρὸς ἀλλήλους λαμβανομένους, ἀλλὰ καὶ τοὺς ἑκατέρου παῖδας πρὸς ἑκάτερον τῶν ἀδελφῶν παραβαλλομένους. Καὶ γὰρ ἔστιν εὑρεῖν περιφανῶς ὥσπερ τοὺς διὰ τῶν αὐτῶν σχετῶν τῆς γεννήσεως προεληλυθότας ἀδελφοὺς ὀνομαζομένους, οὕτω καὶ τοὺς ἐξ αὐτῶν

NOTÆ.

(18) Viden Ubiquistarum Lutheranorum deliria jam usque a Photianis temporibus derisa? Si plura quæris, perlege præ cæteris Bellarminum *Controvers.* tom. I, lib. III, cap. 9 et seqq., et tom. III, lib. III, cap. 17.

(19) Gen. XLVI, 21. Animadverte, quod locum hunc aliquantulum a versionis Vulgatæ, et LXX viralis lectione diversum hic afferat Photius; ac si non legendo, sed memoriter exscripserit.

(20) Sensui non favebat codicis lectio, quæ habebat ἐπίδοξος ἦν.

Digitized by Google

μὲν, ἐξ ὁμοφυῶν δὲ πηγῶν προαχθέντας, καὶ πρὸς ὕπαρξιν ἀρδευθέντας τὴν τῶν ἀδελφῶν κλῆσιν ἐν τῇ πρὸς ἀλλήλους ἐφελκυσαμένους σχέσει· καὶ οὐκ ἐν τῇ πρὸς ἀλλήλους μόνον, ἀλλὰ κἀπειδὰν αὐτῶν παραλαμβάνωνταί τινες πρὸς τοὺς ἐν τῷ μείζονι βαθμῷ παραβαλλόμενοι τεταγμένους· οἷον ὁ νῦν λεγόμενος ἀνεψιὸς πρὸς τὸν θεῖον, τόν τε προσεχῆ, καὶ ὁ πόῤῥω· καὶ γὰρ καὶ οὗτοι, κατά γε τῶν Λογίων τὸ ἰδίωμα, τὴν τῆς ἀδελφότητος περιπτύσσονται προσηγορίαν.

A fontibus manarunt, et ad exsistentiam producti sunt, eamdem sibi appellationem vindicasse, dum sibi mutuo referuntur; neque solum dum sibi mutuo referuntur, sed etiam dum aliqui eorum cum viris in priori gradu positis comparantur : veluti dum ille, qui nunc dicitur patruelis, cum patruo comparatur, licet hic propior, ille remotior sit (a communi stipite) : etenim isti quoque peculiari sacrarum Litterarum consuetudine fratrum nominationem amplectuntur.

Τοιοῦτόν ἐστι καὶ τὸ μετὰ τὸ πάθος τοῦ Ναδὰβ, καὶ Ἀβιοὺδ ὑπὸ Μωσέως εἰρημένον ἐν τῷ Λευϊτικῷ πρὸς τοὺς υἱοὺς Ὀζιὴλ τὸν Ἐλισαφὰν, καὶ τὸν Μισαὴλ, ἢ Μισαδαὴλ (διττὴ γὰρ ἡ γραφή)· « Προσέλθετε, καὶ ἄρατε τοὺς ἀδελφοὺς ὑμῶν ἐκ προσώπου τῶν ἁγίων ἔξω τῆς παρεμβολῆς. » Καὶ γὰρ ἀδελφοὺς νῦν ἐκάλεσεν οὐ τοὺς λύσαντας μὲν τὰς αὐτὰς μητρικὰς ὠδῖνας, οὐκ εἰς ἀλλοφύλους δὲ λαγόνας (21) ὅμως ἀναφερομένην αὐτῶν ἔχοντας σποράν. Καὶ γὰρ ἦσαν οἱ μὲν περὶ Ναδὰβ παῖδες Ἀαρών· οἱ δὲ περὶ Ἐλισαφὰν υἱοὶ Ὀζιήλ· ὁ δὲ Ὀζιὴλ ἀδελφὸς τοῦ πατρὸς Ἀαρών· ὧν τὸ ἐπιπολάζον ἔθος, τὰς πρὸς ἀλλήλους σχέσεις ὀνομάσαι βουλόμενον, θεῖον τὸν Ὀζιὴλ τοῦ Ἀαρὼν ἐρεῖ, δεύτερον δὲ τῶν περὶ Ναδὰβ, καὶ Ἀβιούδ· τὸν δὲ Μισαὴλ, καὶ Ἐλισαφὰν ἐξαδέλφους μὲν τοῦ Ἀαρὼν, θείους δὲ τῶν περὶ Ναδὰβ, καὶ Ἀβιούδ. Ἀλλὰ γὰρ τούτους ἡ Μωσέως συγγραφὴ ἀδελφοὺς ἐθέλει καλεῖν.

B Hujusmodi et illud occurrit, quod a Mose post Nadabi, et Abiudi mortem ad Elisaphanem, Misaelem, seu Misadaelem (duplici enim pacto scriptum invenitur) Ozielis filios in Levitico dictum est : « Ite, et tollite fratres vestros de conspectu sanctuarii, et asportate extra castra [19]. » Fratres nimirum hoc loco nuncupavit eos, qui quidem non ex eadem parturiente vulva editi sunt; sed tamen originem non a diversis lumbis deducebant. Enimvero Nadab et Abiud erant filii Aaronis; Elisaphan autem, et Misael filii erant Ozielis; Oziel vero frater erat patris Aaronis : quorum mutuis relationibus si more apud nos recepto nomina velimus apponere, Ozielem vocabimus patruum quidem Aaronis, magnum vero patruum Nadabi, et Abiudi : porro Misaelem, et Elisaphanem patrueles quidem Aaronis, patruos vero Nadabi, et Abiudi dicemus. Sed tamen hos Mosis historia fratres amat nuncupare.

Καὶ πολλὰς δὲ συγγενείας ἄλλας σχέσεις, παρὰ τοῖς ἱεροῖς ἡμῶν Λογίοις, τοῖς τε Παλαιοῖς, καὶ δι' ὧν ἡ χάρις ἀπαγγέλλεται, τὴν τῶν ἀδελφῶν ὁρᾷν ἔστιν ἐπισπασαμένας κλῆσιν· ὡς καὶ τὸ παρὰ τῷ ἠγαπημένῳ μαθητῇ, καὶ θεολόγῳ λεγόμενον· « Εἱστήκεισαν παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ Μαρία ἡ τοῦ Κλεόπου. » Πρόδηλον γὰρ, ὡς ἡ τῆς Παρθένου γέννησις οὐδεμίαν εἶχε κοινωνίαν ἄλλου τόκου εἰς τὸν Ἰωακὶμ ἀναφερομένην, καὶ τὴν Ἄνναν, δι' ἣν τὴν τῶν ἀδελφῶν κλῆσιν ἡ σχέσις προσάψαιτο.

Jam vero in sacris Litteris tum Testamenti Veteris, tum ejus, in quo gratia annuntiatur, plures C aliæ conspici possunt cognationis relationes, quæ fratrum nominationem usurpant : uti et illud, quod discipulus dilectus, ac theologus scripsit : « Stabant juxta crucem Jesu Mater ejus, et soror Matris ejus Maria Cleophæ [20]. » Compertum est enim, quod beatæ Virginis generatio cum nulla alia prole Joachimum et Annam habuerit communes, unde sororum nominationem cognatio obtinere potuerit (22).

ΕΡΩΤΗΣΙΣ Μ'.

Τοῦ Δεσποτικοῦ προστάγματος ἐν τῇ Ἐξόδῳ τὸν Μωσέα παρακελευομένου· « Ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα Αἰγύπτου, καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν, καὶ ἐπὶ τὰς διώρυχας αὐτῶν, καὶ ἐπὶ τὰ ἕλη αὐτῶν, καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ, καὶ ἔσται αἷμα· » καὶ τοῦ θαύματος δηλονότι τὸ πέρας εἰληχότος, πόθεν ἕτερον ὕδωρ εὑρέθη, ὅπερ ταῖς τῶν ἐπαοιδῶν μαγγανείαις ὕλη πρὸς τὴν τοῦ αἵματος φαντασίαν ὑπεβλήθη;

QUÆSTIO XL [*Scotto, Coisl. Taur.* XXXIX]. (23)

D *In Exodo Cum Mosen urgeret illud Domini præceptum : « Extende manum tuam super aquas Ægypti, et super fluvios eorum, et rivos, ac paludes, et omnes lacus aquarum..... et sit cruor [21]; » cumque scilicet hoc prodigium evenisset, undenam alia deprompta fuit aqua, quæ incantatorum præstigiis ad miraculi simulamen materiam præbuit [22]?*

Edita ab Ant. Scotto, l. c., p. 101. Excursus in Exodum VII, 19.

Τινὲς μὲν οὖν τῶν μακαρίων ἡμῶν Πατέρων φασὶν, ὡς γείτονα τῆς αὐτῆς θαλάσσης ἐχούσης (εἰς

Nonnulli beatorum Patrum nostrorum docent, quod cum mare ipsum non longe distaret (siquidem

[19] Levit. x, 4. [20] Joan. XIX, 25. [21] Exod. VII, 19. [22] Ibid. 22.

NOTÆ.

(7) Vaticanus codex habet σταγόνας, quod verbum ad semen genitale significandum potuisset detorqueri : Noster autem θαγόνας, quod nullibi occurrit : lector interea, an ego bene emendarim, judicet.

(8) Hæ Photii animadversiones in propositum Geneseos locum nonnihil prodesse poterunt ad alia sacrarum Litterarum oracula explananda, uti est in eodem quoque capite versus 15.

(23) Confer cum hac quæstione Theodoreti quæstionem vicesimam in Exodum.

Digitized by Google

in illud septem quoque Nili ostia immittuntur), inde aquam comportantes illi, qui pharmacis apparandis inserviebant, marinas lymphas præstigiis incantatorum subjecerint, ut ipsas ementito sanguinis colore circumfunderent.

Si quis autem proposito oraculo, ex quo oritur quæstio, mentem advertat, et quæ præcedunt, et quæ sequuntur, accurate perpendat, fortasse inveniet fluvium quidem in sanguinem fuisse conversum, non autem aquas alibi congregatas, nec quæcunque fontibus, aut alio modo propriis limitibus concludebantur. Cum enim Scriptura narraret, quomodo edito miraculo incredibilis ille eventus per singulas partes processerit, et « Convertit, inquit, omnem aquam in sanguinem (24); » non dixit autem simpliciter omnem, sed protinus subjecit « in flumine. » Deinde « et pisces oluerunt, » non simpliciter omnes; non enim marini, sed fluviales. « Ac non poterant bibere Ægyptii aquam (unde?) e flumine. »

Eodem quoque pacto, ubi portenti hujus primordium facto nondum exposito describitur, id ipsum innuitur. Moyses enim inquit : « Stabis tu super ripam fluminis (26); » et paulo post divinum annuntians præceptum subdit : « Hæc dicit Dominus : In hoc cognosces, quia ego Dominus. Ecce ego percutio virga, quæ est in manu mea, aquam, quæ est in flumine; » non quæ est in universa terra Ægypti, sed « quæ est in flumine; » et convertentur in « sanguinem, et pisces (quinam?) qui sunt in fluvio, morientur, » postea « et olebit flumen. » Præterea, « non poterunt Ægyptii aquam bibere (Qualem?) e flumine (27). »

Quapropter locus Exodi propositus, qui inter utrosque modo adductos est, quique divinum refert mandatum, eodem sensu, eademque ratione (si quidem sacris Litteris consentaneum, Deoque charum est mutuam oraculorum concordiam nunquam perturbare), qua secunda narratio intelligi potest, atque hoc : « Extende super aquas Ægypti, » nimirum non super omnes omnino aquas, sed super fluviales. Subdit enim : « Et super fluvios eorum, » etiamsi Ægyptum unus interlueret fluvius, nec multi eam suis alveis persecarent. Moyses igitur duobus nominibus, *aquis* nimirum, ac *fluviis* Nilum indigitat.

Consequenter autem *et rivos* fluminis, *et paludes* ejus, *et omnes lacus aquarum* intelligit ea, quæ ad ipsum erant. Et certe hæ fluviales effusiones in sanguinis naturam conversæ sunt : « Et fuit sanguis in tota terra Ægypti (28), » videlicet in ea, juxta quam flumen decurrebat : atque in ipso *lignum* erat, aut *saxum*, quod aquam continere in alveo et constringere posset. Non enim

αὐτὴν γὰρ ἀπερεύγεται καὶ τὰ ἑπτὰ τοῦ Νείλου στόματα), ἐκεῖθεν τὸ ὕδωρ συγκομισάμενοι, οἷς ὑπηρετεῖν τοῖς φαρμάκοις ἔργον ἦν, παρέσχοντο τῆς θαλάσσης τὰ νάματα τῇ τῶν ἐπαοιδῶν φαρμακείᾳ, βαφῇ περιχρῶσαι τοῦ αἵματος.

Ἴσως δέ τις τῷ προκειμένῳ ῥητῷ, δι' οὗ πρόεισι τὸ ζήτημα, προσέχων, καὶ τά τε προηγούμενα αὐτοῦ, καὶ τὰ ἐπαγόμενα ἐπιμελῶς πολυπραγμονῶν, εὑρήσει μὲν τὸν ποταμὸν μεταβεβλημένον εἰς αἷμα, οὐχὶ δὲ τὰ λοιπὰ τῶν ὑδάτων συστήματα, οὐδ' ὅσα πηγαῖς, ἢ τρόπον ἄλλον περιγραφαῖς ἰδίαις συνέστηκεν. Ἱστοροῦσα γὰρ ἡ Γραφὴ, μετὰ τὸ προελθεῖν τὸ θαῦμα, τὴν κατὰ μέρος τοῦ παραδόξου ἔργου προαγωγὴν, καὶ « Μετέβαλλε, φησὶ, πᾶν τὸ ὕδωρ εἰς αἷμα · » οὐχ ἁπλῶς εἰποῦσα, ἀλλ' εὐθὺς ἐπισυνάπτουσα « ἐν τῷ ποταμῷ. » Εἶτα, « Καὶ οἱ ἰχθύες ἐπώζεσαν, » οὐχ ἁπλῶς πάντες· οὐ γὰρ οἱ ἐν τῇ θαλάσσῃ, ἀλλὰ οἱ ἐν τῷ ποταμῷ. « Καὶ οὐκ ἐδύναντο πίνειν οἱ Αἰγύπτιοι ὕδωρ » (πόθεν;) « ἐκ τοῦ ποταμοῦ. »

Ὡσαύτως δὲ καὶ ἡ ἀπαρχὴ τοῦ κατὰ τὸ θαῦμα διηγήματος, οὔπω τῆς πράξεως ἐπιδεδειγμένης, τὸ αὐτὸ νοεῖν ὑποτίθεται. Καὶ « Στήσῃ γὰρ σὺ, φησὶν ὁ Μωϋσῆς (25), ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ · » καὶ μετ' ὀλίγα, τὸ Δεσποτικὸν πρόσταγμα ἀπαγγέλλων ὁ Μωϋσῆς, « Τάδε λέγει Κύριος, φησίν· Ἐν τούτῳ γνώσῃ, ὅτι ἐγὼ Κύριος. Ἰδοὺ ἐγὼ τύπτω τῇ ἐν τῇ χειρί μου ῥάβδῳ τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ » (οὐχὶ τὸ ἐν πάσῃ γῇ Αἰγύπτου, ἀλλὰ « τὸ ἐν τῷ ποταμῷ »), καὶ μεταβαλεῖ « εἰς τὸ αἷμα, καὶ οἱ ἰχθύες » (τίνες;) « οἱ ἐν τῷ ποταμῷ, τελευτήσουσιν· » εἶτα, « Καὶ ἐποζέσει ὁ ποταμός. » Πρὸς τούτοις, « Οὐ δυνήσονται οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ » (ποῖον;) « τὸ ἐκ τοῦ ποταμοῦ. »

Ὥστε καὶ τὸ μεταξὺ χωρίον ἑκατέρου τῶν εἰρημένων ῥητῶν, τὸ Δεσποτικὸν ἀπαγγέλλον πρόσταγμα δευτέρῳ διηγήματι (εἴπερ οἰκεῖον τῷ Λογίῳ, καὶ θεοφιλὲς μὴ διαφθείρειν αὐτοῦ τὴν συμφωνίαν τὴν πρὸς ἑκάτερον) κατὰ τὸν αὐτὸν ἂν νοηθείη λόγον, καὶ τρόπον, καὶ, « Ἔκτεινον ἐπὶ τὰ ὕδατα Αἰγύπτου, » οὐχ ἁπλῶς ὕδατα πάντα, ἀλλὰ τὰ ἐπὶ τοῦ ποταμοῦ. Καὶ γὰρ καὶ συνεπάγει, « Καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν · » καίτοι ἑνὸς ποταμοῦ τὴν Αἴγυπτον διαῤῥέοντος, ἀλλὰ οὐ πολλῶν αὐτὴν μεριζομένων τοῖς νάμασιν. Ὕδατα οὖν, καὶ *ποταμοὺς* διαφόροις ῥήμασι τὸν Νεῖλον ὀνομάζει.

Ἀκολούθως δὲ καὶ *διώρυχας* τοῦ ποταμοῦ, *καὶ ἕλη* τὰ ἐν αὐτῷ, *καὶ πᾶν συνεστηκὸς ὕδωρ ἐν αὐτῷ*. Καὶ ταῦτα δὴ πάντα τὰ πότιμα ῥεῖθρα εἰς αἵματος φύσιν μετεβλήθησαν· « Καὶ ἐγένετο αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου, » δηλονότι καθ' ἣν ἐπορεύετο ὁ ποταμός· καὶ ἐν αὐτῷ *ξύλον* ἐνῆν, ἢ *λίθος* δυνάμενον ὕδωρ ἀνέχειν, καὶ στέγειν. Οὐ γὰρ τὰ ἐν ταῖς οἰκίαις ξύλα, καὶ οἱ λίθοι, οὐδὲ ὅσα ἐν ὑπαίθρῳ νοτί-

NOTÆ.

(24) Exod. VII, 20. Hic autem, et alibi in hac quæstione ad sensus perspicuitatem magis Græcæ verbis, quam vulgatæ editioni adhærebo.
(25) Legendum fortasse φησὶν ὁ Θεὸς Μωϋσεῖ.
(26) Exod. VI, 15.
(27) Ibid. 17.
(28) Ibid 21.

Digitized by Google

δος αὐτὰ μὴ περισταλαζούσης ἐτύγχανεν· ἀλλὰ ὅσα A ἐν τῷ ποταμῷ, τούτων οὐδὲν τὸ κοινὸν πάθος τῶν ποταμίων ναμάτων διέφυγεν.

Οὐκ ἀγνοῶ δέ τινας « ξύλα, καὶ λίθους » τὰ ξύλινα σκεύη, καὶ λίθινα ἐξειληφότας· οἷς ἱκανὸς ἔλεγχος ἥ τε τῶν ὀστράκων, καὶ τοῦ ὑέλου, καὶ τῆς ἄλλης ὕλης ἀποσιώπησις, ἐξ ὧν τεχνουργεῖται τὰ παραπλήσια· καὶ τὸ ἐπὶ μέγα διενηνοχέναι *ξύλα*, καὶ *λίθους* ὀνομάζειν, καὶ προαγορεύειν σκεύη, ἃ τῆς ὑγρᾶς φύσεως δοχεῖα τέχνῃ, καὶ σοφίᾳ κατασκευάζεται.

Εἰ οὖν τοῦ ποταμοῦ τὸ ὕδωρ, καὶ τῶν ἐν τῷ ποταμῷ πάντων ναμάτων εἰς αἷμα μετεβλήθη· τὰ δὲ B τῆς ἄλλης γῆς Αἰγύπτου νάματα οὐ συμμεταβέβληται· οὐδὲν ἄπορον τοὺς τῶν Αἰγυπτίων γόητας, ὕδωρ ἀλλαχόθεν λαβόντας, τὴν τοῦ αἵματος ὄψιν αὐτῷ, καὶ φαντασίαν περιθεῖναι. Καὶ εἴη ἂν πρὸς μίμησιν μᾶλλον οἰκειότερον πότιμον, καὶ γλυκάζον ὕδωρ παραλαβεῖν εἰς ἐπίδειξιν τοῦ τέρατος, ἢ τὴν ἁλμυρὰν οὐσίαν, καὶ ἄποιον· ἡ γὰρ τῆς ὕλης παραλλαγὴ τῆς πράξεως ὑποτέμνεται τὴν ὁμοιότητα.

Εἰ δὲ τὰ πάντα τῆς Αἰγύπτου ὕδατα τῇ Μωσέως καὶ Ἀαρὼν ῥάβδῳ εἰς αἱμάτων ῥεῖθρα μετέστη, πρῶτον μὲν οὐκ εὔλογον ἦν τῷ πάθει τῶν ἀδικούντων συνυποβάλλειν καὶ τοὺς ἠδικημένους, καὶ δίψει τιμωρεῖσθαι τοὺς, ὑπὲρ ὧν τὰ τοιαῦτα ἐθαυματουργεῖτο. Ἔπειτα οὐδὲ ὁ Φαραὼ φαίνεται διενοχλούμενος ἐπὶ τοσοῦτον τῷ πάθει (ὡς παρὸν πιεῖν ἀλλαχόθεν), οὐδὲ ἐπιταχύνων τὸν Μωσέα τῆς πληγῆς τοὺς C Αἰγυπτίους ἐλευθερῶσαι, ὅπερ ἐπί τε τῶν βατράχων ἐπεποιήκει, καὶ ἐπὶ τῶν παραπλησίων· καίτοι γε χαλεπωτέρα ἡ τοῦ δίψους ὑπῆρχε μάστιξ τῆς διὰ τῶν βατράχων ποινηλασίας. Καὶ τρίτον ἐπὶ τούτοις, εἰ ἅπαν τὸ ἐν Αἰγύπτῳ ὕδωρ μεταβεβλημένον εἰς αἷμα συνῄδεισαν οἱ Αἰγύπτιοι (καὶ γὰρ καταπλήττειν τὴν ἐκείνων ἀπόνοιαν, καὶ μαλάσσειν τὴν σκληροκαρδίαν τὸ θαῦμα ἐπράττετο), οὐκ ἂν οὐδὲ ἐπεχείρουν « διορύττειν τοῦ ποταμοῦ κύκλῳ, ὥστε πιεῖν ὕδωρ· οὐ γὰρ ἐδύναντο πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ. »

Ἡ συμφώνως ἐκδεδώκασι καὶ ἕτεροι τῆς Ἑβραΐδος γλώττης εἰς τὴν Ἑλληνίδα φωνὴν τὴν μετάθεσιν φιλοτιμησάμενοι· ὁ μὲν Σύμμαχος λέγων· « Καὶ D ὤρυξε πᾶσα ἡ Αἴγυπτος κυκλόθεν τοῦ ῥείθρου ὕδωρ (30) τοῦ πιεῖν, ὅτι οὐκ ἐδύναντο πιεῖν ἐκ τοῦ

quæ in domibus erant ligna, et saxa, nec quæcunque sub dio imbrem collectum asservabant, sed quæcunque erant in flumine, nullum horum communem fluviaticæ lymphæ mutationem effugit.

At vero non me fugit quosdam esse, qui « lignorum saxorumque » nominibus lignea, et saxea vasa significari opinentur : ad quos refellendos vel illud sufficiat, quod nulla testarum, vitri, et alius materiæ, unde hujusmodi vasa finguntur, mentio fiat : et quod multum differant inter se, *ligna* et *saxa* nominare, et vasa innuere, quæ ad humidam substantiam excipiendam ars, et industria sibi comparat (30).

Igitur si aqua fluminis, omniumque fluminis effusionum in sanguinem abiit ; illi autem, quæ in aliis Ægypti partibus inveniebatur, idem non obtigit ; difficile non fuit, ut Ægyptiorum præstigiatores lympham aliunde desumentes ei colorem, ac speciem sanguinis induxerint. Et nimirum ad imitationem ostentationemque prodigii, aqua potius potabilis, ac dulcis, quam salsa, et bibi nescia, opportuna esse poterat : siquidem materiæ diversitas operis similitudinem immiuuisset.

Quod si omnes Ægypti aquæ per Mosis et Aaronis virgam in sanguinis fluenta immutatæ fuissent ; primo quidem injustum fuisset opprimentium supplicio oppressos quoque subjicere, et eos, pro quibus talia edebantur miracula, siti torquere. Præterea nec Pharao (utpote cui aqua aliunde præsto erat) hac ærumna nimis perturbari, nec Mosen ad Ægyptios ipsa plaga liberandos urgere, uti quidem ob ranas, et cætera id genus egerat, conspicitur : etiamsi gravius esset, quam ranarum molestia, sitis tormentum. Tertio accedit quod, si omnes per Ægyptum aquas in sanguinem conversas cognovissent Ægyptii (profecto eorum vecordiam excutere, et obduratos animos emollire miraculum debebat), utique ne tentassent quidem « fodere per circuitum fluminis, aquam ut biberent : non enim poterant bibere de aqua fluminis [22]. »

Cui sententiæ concorditer verterunt alii, qui ex Hebraico in Græcum sermonem sacras Litteras transferre studuerunt : et Symmachus quidem inquit : « Et fodit omnis Ægyptus in circuitu fluminis ad bibendum, quia non poterant bibere de profluente. »

[22] Exod. VII, 24.

NOTÆ.

(29) Habet D. Hieronymi Versio vers. 19 : *Sit cruor in omni terra Ægypti, tam in ligneis vasis, quam in saxeis*, cui favet Targum. Etsi enim Hebræus codex habeat ובעציים ובאבנים *ubaghezim, ubabubanim, et in lignis, et in lapidibus*. hoc tamen κατὰ μετωνυμίαν ad vasa referendum ; vel potius τὸ *vasis* necessario subintelligendum. Sic II, Reg. VIII, 4, *mille* ponitur pro *mille currus*, uti habetur 1 Paral. XVIII, 4, et Matth. XXVI, 17 ; *primus* pro *primus dies*, uti dicit Marcus XIV, 12. Videsis in proposita verba Ainsworthum auctorem heterodoxis minime suspectum. Quod autem ἐκ συνεκδοχῆς lignea et lapidea vasa pro cæteris memorari potuerint, recte docuit Malvenda, nec multis indiget argumentis. En igitur quanti habenda sit, quæ vulgatæ versioni hic objicit Photius.

(30) Τὸ ὕδωρ huc interserui ex *Hexaplis* Origenis a Montfauconio editis, in quibus locus ipse forte reperitur : insequens autem Aquilæ ac Theodotionis auctoritas omnino desideratur.

Digitized by Google

Aquila vero ac Theodotio reddiderunt : Fluvialium aquarum a Mose et Aarone facta erat in sanguinem conversio. »

Hæc enim apposita animadversio adjicitur, quod scilicet immundus, corruptus, ac potui ineptus sit factus ille fluvius, quem Ægyptiorum gens Deum nuncupabat, atque uti fructuum, vitæque datorem colebat, et in quem Hebræorum enecandos projiciebat infantes. Clamabat enim etiam eorum sanguis de aquis, ut sanguis Abel de terra [34]. Oportebat ergo Ægyptios impiæ superstitionis, qua aqua innumeris tum perturbationibus, tum corruptionibus obnoxia dignitatem æternæ, imperturbatæ, et immutabilis naturæ sibi vindicabat, dare pœnas, et quidem illis, quibus per eorumdem innocuorum infantium stragem intulerant injuriam : quippe hi in lucem editi sunt, dum contra naturæ legem lucis privatione multabantur. Interea pientissima Dei natura punitionem Ægyptiis infligendam differt : alia vero ratione castigat, et corripit, dum rem inanimem (scilicet Nilum) corrumpit, ac percutit : per quam quidem illi et cædis et impietatis in Deum scelus perpetrarunt.

Si quis autem aquas per universam Ægypti terram in sanguinis substantiam conversas concederet, ne hoc quidem pacto difficile fuisse arguitur, ut Ægyptiorum præstigiatores per suum maleficium viderentur divinam operationem æmulari. Quoniam enim prodigium prænuntiarat Moses, Pharao autem expertus fuerat, et Ægyptiorum incantatores ex virgæ in serpentem mutatione [35] cognoverant, quod comminatio ad eventum esset omnino provehenda (quod enim jam factum erat, rei faciendæ testimonium perhibebat : studebant autem ii non videri per suas machinationes minores) : cum probabiliter nossent, quod ille aquas sub dio, ubicumque exsisterent, esset permutaturus ; simul ac miraculum quidem prænuntiatum erat, sed Dei operatio nondum prodierat ; tantam aquæ quantitatem haurientes, quanta efficiendæ illusioni satis erat, eam et appararunt, et seposuerunt : ut cum opus esset, aquis abundare viderentur, quibus colorem sanguinis asciscentes, incredibilem divinæ operationis gloriam per falsæ illusionem imminuerent.

Nonnulli autem affirmarunt, quod quo tempore Moses fluviales aquas in sanguinem convertebat, simul adessent et ipsi falsitatis molitores sua adhibentes maleficia ; et quod maxima quidem aquæ pars Mosis prodigio inserviret, non parva autem ad magorum usum esset segregata. At vero hoc est et historiæ contrarium, et mirifica sapientissimaque Mosis prudentia indignum ; quia et infensissimum adversarium reddidisset virtutis suæ consortem, ac participem, et cum irreconciliabili sese

[34] Gen. vi, 10.

A ὕδατος τοῦ ποταμοῦ · » καὶ Ἀκύλας δὲ, καὶ Θεοδοτίων ἐκδεδώκασι · « Τῶν ποταμίων ὑδάτων ἡ πρὸς αἷμα παρὰ Μωσέως καὶ Ἀαρὼν ἐγεγόνει μεταβολή. »

Τοῦτο γὰρ τὸ εὔλογον συνεπάγεται, τὸν ποταμὸν βδελυκτὸν γενέσθαι, καὶ λελυμασμένον, καὶ ἄχρηστον ἐκεῖνον, ὃν τὸ Αἰγυπτίων ἔθνος Θεὸν ἐπωνόμαζον, καρποδότην, καὶ ζωοδότην θειάζοντες, καὶ ἐν ᾧ τὰ τῶν Ἰσραηλιτῶν βρέφη ἐναπέρριπτον ἀποκτίννυσθαι. Ἑβόα γὰρ κἀκείνων τὸ αἷμα ἀπὸ τῶν ὑδάτων, ὥσπερ καὶ τοῦ Ἄβελ ἀπὸ τῆς γῆς. Ἔδει γὰρ τοὺς Αἰγυπτίους ποινὰς δοῦναι τῆς τε δυσσεβούσης θεοπλαστίας, δι' ἧς τὸ ὕδωρ καὶ μυρίοις πάθεσι καὶ φθοραῖς ὑποκείμενον, τῆς ἀϊδίου καὶ ἀπαθοῦς καὶ ἀῤῥεύστου φύσεως παρετίθετο (31) ἀξίωμα, καὶ οἷς B δι' αὐτῶν τῶν ἀνευθύνων βρεφῶν ἐπαλαμῶντο τὴν μιαιφονίαν · ὅτι προῆλθον εἰς φῶς, κατὰ τοῦ νόμου τῆς φύσεως αὐτοῦ τοῦ φωτὸς τὴν ἀποστέρησιν εἰσπραττόμενοι δίκην. Ἡ δὲ φιλάνθρωπος φύσις τέως μὲν ἀναβάλλεται τὴν εἰς ἀνθρώπους τιμωρίαν· κολάζει δὲ, καὶ παιδεύει τρόπον ἄλλον, λυμαινόμενος, καὶ μαστίζων τὸ ἄψυχον · δι' οὗπερ ἐκείνοις, καὶ τὸ τῆς μιαιφονίας ἄγος, καὶ τῆς εἰς Θεὸν δυσσεβείας ἐτολμήθη τὸ ἀνοσιούργημα.

Εἰ δὲ συγχωροῖ τις τὰ ἀνὰ πᾶσαν γῆν Αἰγύπτου ὕδατα εἰς οὐσίαν αἵματος μεταστοιχειωθῆναι, οὐδ' οὕτω δείκνυται ἄπορον τὸ καὶ τοὺς γόητας τῶν Αἰγυπτίων τὴν θεουργίαν ἐκμιμήσασθαι δόξαι διὰ τῆς κακουργίας. Ἐπεὶ γὰρ προείρητο μὲν τῷ Μωσεῖ τὸ C θαῦμα, ἠσθάνετο δὲ ὅ τε Φαραὼ, καὶ οἱ τῶν Αἰγυπτίων ἐπαοιδοὶ ἐκ τῆς κατὰ τὴν ῥάβδον εἰς ὄφιν μεταβολῆς ᾔδεισαν, ὡς εἰς ἔργον ἡ ἀπειλὴ πάντως προχωρήσει (τὸ γὰρ ἤδη προγεγονὸς τοῦ γενησομένου μαρτυρία ἦν · ἔσπευδον δὲ κἀκεῖνοι μὴ φανῆναι ταῖς μηχανουργίαις ἐλάττους), εἰκότως εἰδότες, ὡς τὰ πανταχοῦ τῆς γῆς ὕδατα ὕπαιθρα εἰς αἷμα μεταβάλλει · τοῦ θαύματος μὲν ἤδη λεγομένου, οὔπω δὲ τῆς θεουργίας προελθούσης, τηνικαῦτα ὕδατα ἀρυσάμενοι, ὅσα δυνατὰ παραδεῖξαι τὴν φαντασίαν τοῦ σοφίσματος, προπαρασκευάσάν τε, καὶ ἐναπέθεντο· ὡς ἂν ἐν τῷ καιρῷ τῆς χρείας εὐπορουῦντες ὀφθεῖεν ὑδάτων, οἷς τὸ χρῶμα τοῦ αἵματος περιθέμενοι, τὸ παράδοξον τῆς θεουργίας τῇ φαντασίᾳ τοῦ ψεύδους ἐλαττώσουσι.

D

Τισὶ δὲ εἴρηται, ὡς τοῦ Μωσέως παραδοξοποιοῦντος τὸ ποτάμιον ὕδωρ εἰς αἷμα κατὰ τὸν αὐτὸν καιρὸν συμπαρῆσαν καὶ οἱ τοῦ ψεύδους σοφισταὶ ταῖς οἰκείαις χρώμενοι κακοτεχνίαις · καὶ τὸ μὲν πλεῖστον τοῦ ὕδατος τοῦ Μωσέως ὑπηρετεῖτο τῷ θαύματι, οὐκ ὀλίγον δὲ τούτου καὶ τῇ τῶν μάγων χρείᾳ συγκατεμερίζετο. Ἀλλὰ γὰρ τοῦτο παρ' ἱστορίαν τέ ἐστι λέγειν, καὶ τῆς ἐν τῷ Μωσεῖ μεγαλουργοῦ, καὶ πανσόφου προνοίας ἀνάξιον, καὶ δυνάμεως κοινωνὸν, καὶ μεσίτην ποιεῖν τὸν πολεμιώτατον, καὶ ὁμόσπονδον

NOTÆ.

(31) Παρατίθεντο legeram, sed patebat error.

Digitized by Google

παραβάλλειν τὸν ἄσπονδον· οἷς τὴν ἀφορισθεῖσαν αὐτῷ ὕλην τοῦ θαύματος ἐκείνῳ συνδιεκληροῦτο, καὶ συνεμερίζετο. Καὶ ἄλλως οὐχ ἑκών γε ἂν ὁ Αἰγύπτιος εἰς τοῦτο κατέστη παρανοίας τὸν αὐτῷ σεβόμενον ποταμὸν, στήλην τε τῆς μιαιφονίας αὐτοῦ λαμπρὰν ἀνεγείρειν, καὶ λύθροις μιαίνειν, καὶ πρὸς τὸ βδελυρώτερον τὸ τιμώμενον μεταβάλλειν· εἰ καὶ τὸ χρῶμα οὔθ' ἑνίσσοντος (23) τῆς πλανωμένης ἦν ἔργον ὄψεως.

Καὶ τὸ λέγειν ἅπαν μὲν τὸ Αἰγύπτιον ὕδωρ θαυματουργοῦντος Μωσέως ἀπογενηθῆναι εἰς αἷμα, τοὺς δὲ μάγους ἀποροῦντας ὕδατος ἀμεταβλήτου τὸ μεταβεβλημένον εἰς αἷμα λαβεῖν, καὶ κλέψαι τὴν ὄψιν τῶν ὁρώντων ἀντὶ τῆς ἐρυθρᾶς βαφῆς τὴν ὑδατώδη χρόαν φαντάζεσθαι· μετὰ τοῦ μηδὲ τὴν ἱστορίαν μηδὲν τοιοῦτον ἐμφαίνειν, καὶ τοὺς μάγους τέως ἐπισεμνύνεσθαι παρασκευάζει. Τὸ γὰρ φανταστὸν, ὡς ὕδωρ, αἷμα, ὅτι καὶ τὴν φύσιν ἀληθῶς τῇ τέχνῃ τῶν μάγων ἔσχε τοῦ αἵματος, μεγαλορρημονεῖν αὐτοὺς περίεστι, καὶ διπλοῦν ἀνθ' ἁπλοῦ τὸ τέρας ἐργάζεται, αἵματος εἰς ὕδωρ ἀλλοίωσιν, καὶ τὸ ὕδωρ πάλιν εἰς φόνον μεταβαλλόμενον.

Εἰσὶ δὲ οἷς ἐπῆλθεν εἰπεῖν μετὰ τὸ ἐπαναγαγεῖν τὸν Μωσέα τὸ ὕδωρ ἀπὸ τοῦ αἵματος εἰς τὴν αὐτοῦ φύσιν, τότε χρήσασθαι τοὺς ἐπαοιδοὺς ἐπ' αὐτοῦ τῷ σοφίσματι τῆς γοητείας.

Οἱ δὲ λέγουσι καὶ τῶν ἄλλων μᾶλλον εὐλογώτερον, ὡς τὰ μὲν ἄλλα πάντα τῆς Αἰγύπτου ὕδατα εἰς αἷμα μετεβλήθη τῇ μεγαλουργῷ δυνάμει τοῦ Μωσέως· ὅσα δὲ τοῖς Ἰσραηλίταις προὔκειτο εἰς χρῆσιν, τῆς μεταβολῆς διετηρήθησαν κρείττω (οὐδὲ γὰρ ἦν κακοποιεῖν ἀκόλουθον, ὑπὲρ ὧν ἐνέσκηπτον αἱ πληγαὶ τοῖς κακοποιεῖν αὐτοὺς ἐπαρθεῖσιν· οὐδ' ἅμα μὲν ἐκδικεῖν τοὺς αὐτοὺς, ἅμα δὲ διὰ τῆς ἐκδικήσεως κολάζειν· καὶ τὸ τῶν ἀποδείξεων ἐξ ὁμοίων περιούσιον ὑπολοίπων ἐννέα πληγῶν κατὰ διαδοχὴν τοῖς Αἰγυπτίοις ἐπενεχθεισῶν, οὐδεμιᾷ τούτων ὁ Ἰσραὴλ ἐδείχθη καταστιζόμενος)· τοῦ δὲ παρὰ τοῖς Ἰσραηλίταις ὕδατος διαμείναντος ἀμεταβλήτου, τοὺς ἐπαοιδοὺς ἐκεῖθεν λαβόντας, ὕλῃ χρήσασθαι πρὸς τὴν τοῦ οἰκείου σοφίσματος τερατείαν.

Οὕτως οὖν πολλαχόθεν ἔστι συνορᾶν οὐδὲν ἄπορον, καὶ τὸν Μωσέα θαυματουργοῦντα τὴν τοῦ ὕδατος φύσιν εἰς αἷμα μεταβαλεῖν, καὶ τοὺς ἐπαοιδοὺς τῶν Αἰγυπτίων ὕδατος μὴ ἀποστερεῖσθαι, δι' οὗπερ αὐτοῖς ἡ τοῦ φάσματος ὄψις ὑποδραμεῖται τὴν ὀνομασίαν τοῦ θαύματος.

conciliasset; ubi scilicet subtractam sibi miraculi materiam cum eo amice sortiebatur, atqui dividebat. Cæterum non libenter magus Ægyptius eo dementiæ devenisset, ut fluvium, quem colebat, præclarum patratæ innocentium cædis efficeret monumentum, et cruore fœdaret, remque honori habitam in abominabilem permutaret: etiamsi color fluminis nec unitatem suam retinentis esset deceptæ visionis effectus.

Porro si quis diceret Mose miraculum edente cunctas Ægypti aquas sanguinem fuisse factas, magos autem aqua non mutata indigentes aquam accepisse in sanguinem conversam, et oculos intuentium ita decepisse, ut pro sanguineo rubore aqueus color appareret, is et nulla sententiæ suæ in historia vestigia reperiret, et interim gloriam præstigiatoribus majorem compararet. Sanguis enim, qui aqua videbatur, quia magorum arte sanguinis etiam naturam vere retinuit, ipsorum jactationi favet, et pro unico duplex miraculum efficit, sanguinis videlicet in aquam, et aquæ rursus in sanguinem conversionem.

Præterea sunt quibus placuit asserere, quod postquam Moses aquam e sanguine ad pristinam naturam reduxit, tunc in ea incantatores præstigiorum fallaciam exercuerint.

Alii vero, et quidem rectius, quam cæteri, affirmant mirifica Mosis potentia omnes alias Ægypti aquas in sanguinem transiisse; quotquot autem usui Israelitarum inserviebant, mutationis fuisse immunes (neque enim consentaneum erat, ut illi vexarentur, quorum gratia plagæ in homines, qui ad ipsos opprimendos insurgebant, infligebantur: atque ut simul obtinerent acceptæ injuriæ ultionem, et in ultione ipsi punirentur: accedit quod proprium fuerit sex similibus ostentis ex reliquarum novem plagarum, quæ deinceps Ægyptiis immissæ sunt, ut horum nulla Israel afflictus fuisse innuatur (26): cum autem aqua penes Hebræos non mutata permanserit, indidem haurientes incantatores, hanc materiam ad præstigiarum suarum illusionem adhibuisse.

Sic igitur multis modis perspici potest, quod non fuerit difficile, ut et Moses per prodigium aquæ naturam in sanguinem converterit, et Ægyptiorum incantatores aqua non caruerint, per quam ficta sanguinis species nomen miraculi usurparet (25).

ΕΡΩΤΗΜΑ ΜΑ'.

Πῶς νοητέον τό· «Ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραώ;»

QUÆSTIO XLI [*Coisl. Taur.* XL, *Scotto* XLII].

Quænam sententia subjecta est verbis illis: «Ego indurabo cor Pharaonis [26]?»

Edita ab Ant. Scotto, l. c., p. 128, Commentarius in Exod. IV, 21.

Τινὲς μέν φασι σκληρύνειν λέγεσθαι τὸν Θεὸν

Nonnulli quidem docent Deum hoc sensu dici

[25] Exod. VII, 10. [26] Exod. VIII. seqq.

NOTÆ.

(32) Ad significandam aquarum divisionem, quam inter Mosen et magos nonnulli factam somniantur οὔθ' ἑνίσσοντος refinxi, quod erat οὐθὲν ἴσσοντος.

(33) De hac quæstione quædam attigerunt vetus sacrarum Litterarum scholiastes, Theodoretus, D. Augustinus *Quæstion. in Exod.* Lippomanus, et Nicolaus a Lyra. Addatur, si placet, Abenezra, et R. Levi; et inter recentiores Menochius, Clarius, et Grotius.

Digitized by Google

Pharaonis cor indurare, quod, dum contumaciæ tempore eum patienter exspectabat, et nec ipsum, nec ipsius gentem æque pervicacem funditus perdebat, pœnas autem irrogabat leniores; tantam ei ansam superbiendi præbuerit, ut mandata contemneret. Cum enim ille et Dei patientia occasionem augendæ suæ obstinationis et vecordiæ arriperet, a Deo dicitur fuisse obduratus; perinde ac si divina clementia pertinacem ipsi animum, et crudelem inderet, et quodammodo suam ad hoc operam conferret.

A καρδίαν Φαραὼ, ὅτι μακροθυμῶν ἐπ' αὐτῷ κατὰ τὸν καιρὸν τῆς ἀπειθείας, καὶ μήτ' αὐτὸν, μήτε τὸ ἔθνος συναπείθοντας πανωλεθρίᾳ παραδιδοὺς, φιλανθρωπότερον δὲ τὰς τιμωρίας ἐπάγων, παρέσχεν αὐτῷ ἄδειαν ὑπεροψίας, ὥστε τῶν προσταττομένων ὀλιγωρεῖν. Τὴν γὰρ τοῦ Θεοῦ μακροθυμίαν ἀφορμὴν ἐκεῖνος ποιούμενος μείζονος ἀπειθείας τε, καὶ ἀπονοίας, σκληρυνθῆναι λέγεται παρὰ Θεοῦ· οἷα δὲ τῆς θείας φιλανθρωπίας τὸ ἀπειθὲς αὐτῷ, καὶ μισάνθρωπον συνενδιδούσης, καὶ τρόπον τινὰ συγκατεργαζομένης.

At enim istam loci hujus interpretationem multi quidem inoffensis auribus excipiunt, eamque verborum explicationem uti piam amplectuntur: fortasse vero in hanc non planam dubii solutionem quispiam potest insurgere. Et quidem Deus plagas Ægypto suæ infligebat, non ut patientiæ suæ specimen præberet, sed ut Pharaonis, ejusque ministrorum retunderet furorem, atque ut intolerandam duramque Israelitarum vexationem reprimeret. Neque Deus sibi proposuerat Ægyptiam gentem evertere, sed ærumnarum, et castigationum timore efficere, ut illa erga Hebræos misericordior humaniorque fieret, atque ad eos a servitute, et calamitate liberandos facilius, clementiusque induceretur. Non ergo hæc in exordio orationis allata interpretatio loco proposito quadrat, neque verborum sensum acu tangens inconcussam obtinet stabilitatem (20).

Ἀλλὰ γὰρ ταύτην τὴν ἐκδοχὴν τοῦ λόγου πολλοὶ μὲν ἀκοῇ ἀλύπῳ προσδέχονται, καὶ ὡς εὐσεβοῦσαν περιπτύσσονται τὴν τῶν ῥημάτων ἀνάπτυξιν· οὐκ εὔπορον δ' ἄν τις ἴσως ἀνθυποφέρειν παρέχεται λύσιν. B Καὶ μὴν ὁ Θεὸς τὰς τιμωρίας ἐπῆγεν, οὐχ ἵνα τὸ μακρόθυμον αὐτοῦ παραστῇ, ἀλλ' ἵνα τὴν τοῦ Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ θραύσῃ μανίαν, καὶ τὴν ἄσχετον κατὰ τῶν Ἰσραηλιτῶν, καὶ πικρὰν ἀναστείλῃ κακουχίαν. Οὐδὲ προηγούμενον ἦν τῷ Θεῷ τὸ Αἰγύπτιον καταναλῶσαι γένος, ἀλλὰ τῷ φόβῳ τῶν τιμωριῶν, καὶ κολάσεως συμπαθέστερον, καὶ φιλανθρωπότερον παρασκευάσαι διατίθεσθαι πρὸς τὸν Ἰσραὴλ, καὶ τῆς αἰχμαλωσίας αὐτοῦ, καὶ ταλαιπωρίας ἀπαλλαγὴν εὐπειθέστερον αὐτοῖς, καὶ φιλανθρωπότερον δέξασθαι. Οὐκοῦν ὁ ἐξ ἀρχῆς τῆς ἀναπτύξεως λόγος τὴν οἰκείαν λαμβάνει τάξιν, καὶ τὸ καλῶς ἐστοχάσθαι τῆς τῶν ῥητῶν διανοίας ἀναπόβλητον ἔχει τὸ ἀπερίτρεπτον.

At dici nequit, quod rectiore judicio indigeamus, si illud: « Ego indurabo cor Pharaonis interpretemur hoc pacto: cor jam durum, atque indomitum ego magis patefaciam, isto affici vitio, et neque morte, neque suppliciis imminentibus emolliri. » Enimvero duritia cordis Pharaonis cæterorumque, qui ejus animum æmulati humanitatem cum feritate commutarunt, omnibus ostensa et denuntiata est; dum ne tantæ quidem, talesque calamitates duritiam eorum, et obfirmationem emollire, atque obcæcationis vim solvere potuerunt. Atque prinsquam sævitie et inhumanitate excæcaretur Pharaonis animus, patebat quidem, quod ad induendam clementiam non induceretur; sed tamen non patebat, quod adeo durus, adeo superbus, et adeo inflexibilis esset: neque is ullo facinorum suorum sic omnibus innotuit, et indelebile sibi monumentum comparavit; ut quando per incredibilia prodigia flagellatus, in eadem tamen immanitate, et rabie ferina permansit.

Οὐκ ἂν δὲ λέγειν εἴη κρίσεως ὀρθῆς ἐνδεέστερον, C ὡς τὸ, « Ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ, » ἀντὶ τοῦ· Σκληρὰν οὖσαν, καὶ ἀτεράμονα, μᾶλλον ἐπιδείξω τοῦτο πάσχουσαν, καὶ μήτε θανάτου, μήτε τιμωριῶν παρουσίᾳ μαλασσομένην. Καὶ γὰρ ἐπίδηλος μᾶλλον ἡ σκληρότης τῆς Φαραωνίτιδος καρδίας, καὶ τῶν, ὅσοι πρὸς τὴν αὐτοῦ γνώμην ἀμιλλώμενοι τὸ ἀνθρώπινον ἀπεθηριοῦντο, πᾶσιν ἐπεδείχθη, καὶ διηγγέλθη· ἅτε δὲ μήτε τῶν τοσούτων, καὶ τηλικούτων τῶν πληγῶν τὸ σκληρὸν αὐτῶν, καὶ ἀτέραμνον ὑπομαλαξάντων, μήτε τῆς πωρώσεως τὸ ἀκμαῖον ὑπεκλυσαμένων. Καὶ πρὶν τῇ ὠμότητι, καὶ μισανθρωπίᾳ ἐπεπώρωτο, μεταβάλλεσθαι οὐ προσιεμένη πρὸς ἡμερότητα, ἀλλὰ οὖν οὐχ οὕτως ἐγνωρίζετο σκληρὰ, καὶ ἀὐθάδης, καὶ ἀμείλικτος ἡ Φαραωνῖτις ψυχὴ· D οὐδὲ τῶν ἄλλων οὐδενὶ οὕτω πᾶσι διεβεβόητο, καὶ ἀνεστηλοῦτο πρὸς θρίαμβον ἀνεξάλειπτον· ὡς τοῖς παρὰ δόξης ἔργοις μαστιζομένη, καὶ ἐπὶ τῆς αὐτῆς ἀγριότητος, καὶ θηριώδους ὁρμῆς διαμένουσα.

Si quis autem planius quoque velit ea verba interpretari, et illud: « Ego indurabo » intelligat pro « ego sinam et permittam durum fieri.; » certe quidem a religiosa cogitandi ratione neque isthæc commentatio aberrarit: non aggreditur autem pro-

Εἰ δέ τις καὶ ἁπλούστερον ἐθέλοι μεταλαβεῖν τὸ λόγιον, καὶ τό· « Ἐγὼ σκληρυνῶ, » ἀντὶ τοῦ, « Ἐάσω, καὶ παραχωρήσω σκληρὰν γενέσθαι, νοήσει· τῆς μὲν εὐσεβούσης δόξης οὐδ' οὗτος ὁ λόγος διέστηκεν· τῆς μεταβολῆς δὲ τῶν ῥημάτων οὐκ ἰδιάζουσαν ἔχει

NOTÆ.

(34) At istam ego interpretationem minime damnarim, quippe quæ fautores habet præclarissimos: Origenem Philoc. c. 20, Theodoretum, *in Epist. ad Rom.* IX, 17; ac Basilium, *Schol. in Epist. ad Rom.* IX, 28.

Digitized by Google

τὴν μεταχείρησιν, ἀλλὰ εἰς τὴν κοινὴν καταφεύγει λύσιν, δι' ἧς καὶ ἄλλα πλείω τὸ τῆς μεθόδου κοινὸν ἐπιλύεται· ὡς τὸ, « Παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας· » καὶ, « Παρέδωκεν ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῆς καρδίας αὐτῶν· » καὶ, « Καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν· » καὶ, « Ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ Εὐαγγελίου· » καὶ, « Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν· » καὶ, « Πεπώρωκεν αὐτῶν ὁ Θεὸς τὴν καρδίαν· » καὶ, « Ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου (35), » καὶ μυρία ἄλλα.

priam loci hujus interpretationem, sed ad communem confugit solutionem, per quam et plures aliæ difficultates regula communi enucleantur : quemadmodum : illud « Tradidit illos in passiones ignominiæ [29]; » et « Tradidit Deus in desideria cordis eorum [30]; » præterea : « Sicut non probaverunt Deum habere in notitia, tradidit illos Deus in reprobum sensum [31]; » imo, « Excæcavit mentes infidelium, ut non fulgeat illis illuminatio Evangelii [32]; » tum : « Dedit illis (Deus) spiritum compunctionis, oculos, ut non videant, et aures, ut non audiant [33]; » denique : « Induravit cor eorum [34]; » postremo : « Declinasti semitas nostras a via tua [35], » atque alia sexcenta.

Εἰ γὰρ καὶ ἑτέροις ἐφόδοις ἕκαστον τῶν εἰρημένων ἱερῶν Λογίων εἰς τὸ σαφέστατόν τε καὶ ἀστασίαστον καταῤῥυθμίζεται· ἀλλ' οὖν αὕτη ἡ κοινὴ, καὶ κατὰ πάντων τῶν ὁμοίων μεταβολὴ οὐδὲν ἧττον καὶ τοῦ ἐπιθολοῦντος τοὺς λογισμοὺς ἐστιν ἀνακάθαρσις, καὶ οὐ διὰ μακροτέρων τὴν μεταβολὴν ἐπιδείκνυται. Τὸ γὰρ *παρέδωκε* καὶ *ἔδωκε*, καὶ ἕκαστον τῶν εἰρημένων ἀντὶ τοῦ *συνεχώρησεν*, *ἐπέδωκεν*, *εἴασε* λαμβανόμενον οὐ πρὸς τοὐναντίον τῆς ὁρμῆς ἐξεβιάσατο τὸ ἀπροαίρετον κατάρχειν τῆς προαιρέσεως ἠνάγκασε, καὶ τοῦ αὐτεξουσίου τοὺς λογισμοὺς ἀπεστέρησεν (36), ἐν ἴσοις ὅροις ἐκκλείων τὸ ἐφ' ἡμῖν, καὶ τὸ μὴ ἐφ' ἡμῖν, διωρίσατο, οὐδ' ἀκουσίους πρὸς τὸ καλὸν μεθειλκύσατο, οὐδὲ μὴ βουλομένους τῆς προθέσεως ἀνεχαίτισε. Τὸ οὕτω μεταβάλλειν εἰς τὰς ὁμοδυνάμους, καὶ ἀμφιβόλους φωνὰς, τὰς ὅσαι τοῖς πολλοῖς ἐδόκουν ἀπορίαν παρέχειν τῷ τῆς ὁμωνυμίας ἀμερίστως συνεχόμεναι, τῆς τε ἀσφαλοῦς εἴη ἂν ὑπολήψεως, καὶ τῇ μιᾷ θεωρίᾳ πλείω διαλυομένης ζητήματα (37).

Etsi enim aliis explicandi modis unumquodque sacrorum oraculorum, quæ nuper memorata sunt, luculentissimum et inconcussum obtinet sensum; tamen communis isthæc, et ad omnes hujusmodi locutiones pertinens expositio nihilominus sufficit ad refellendas hominis veritatem obscurantis cavillationes, nec per longiores ambages exhibet interpretationem. Illud enim *tradidit*, et *dedit*, et quodvis ex verbis adductis, si prò *permisit*, *nor impedivit*, *sivit* accipitur; non significat, quod Deus vim intulerit voluntati, ut contra inclinationem egerit, aut coegerit voluntarias electiones, involuntario motui obtemperare, et deliberationes libero orbarit arbitrio; sed significat, quod æquis terminis secludens, quæ subjacent, et quæ non subjacent nostræ potestati, ea separarit, neque invitos ad bonum pertraxerit, neque volentes a proposito revocaverit. Qui hoc pacto in æque pollentes, et ambiguas voces transmutat illas, quæ multis negotium facessere videbantur ob æquivocationem sibi inseparabiliter conjunctam; is sententiam non modo tutam, sed et unica regula solventem plures controversias tenere potest.

Πῶς οὖν ἀντὶ τοῦ *παρέδωκε*, καὶ *πεπώρωκε*, καὶ τῶν τοιούτων τὸ *συνεχώρησεν*, *οὐκ ἐκώλυσεν*, *οὐ κατέσχεν*, *οὐ πρὸς βίαν μετέστησεν* ἐκληφθήσεται, καὶ τὰ τοιαῦτα· ὅτι ἐπὶ τῶν ἀνθρωπίνων ᾧ πρόσεστι παρανομίαν, ἢ τινα ἄλλην πλημμέλειαν ἐκκόπτειν, ὁ δὲ τὸν πλησίον ἁμαρτάνειν οὐκ ἐκώλυσεν· οὗτος τὴν αἰτίαν οὐκ ἐκφεύγει μὴ συνεργάσασθαι τῷ ἡμαρτηκότι τὸ ἀτόπημα, καὶ παραδοῦναι λέγοιτ' ἂν τὸν παραπεσόντα τοῖς πάθεσι; Σοὶ γὰρ ἐξὸν ἀσφαλίζεσθαι τὸν πέλας· σὺ δὲ τοῦτον οὐκ ἀνέχων πρὸς τὰ πάθη συνώθισας. Ἐξέτεινε τὴν χεῖρα λαβεῖν τὰ ἀλλότρια· αὐτὸς παρὼν, καὶ ἰσχύων μεθέλκυσον. Τὰ ὄμματα τοῖς τῆς ἀκολασίας προπυ-

Quomodo itaque pro verbis illis *tradidit*, *excæcavit*, atque aliis hujusmodi, intelligentur verba hæc *permisit*, *non impedivit*, *non detinuit*, *non per vim transtulit*, et cætera id genus : cum in humanis rebus si quis flagitio, vel cuipiam culpæ poterat occurrere, et tamen proximi peccatum non præpedivit; is censuram non effugit, quod culpam cum ejus patratore communicarit, et jure diceretur hominem prolapsum malis tradidisse? Tu enim poteras proximum tutari : tu eum non coercens in suas cupiditates compulisti. Extendit ille manum ad aliena usurpanda; tu, si adsis, et valeas, tac retrahatur. Oculos in luxuriæ illecebras injecit;

[29] Rom. I, 26. [30] ibid. 24. [31] ibid. 28. [32] II Cor. IV, 4. [33] Rom. XI, 8. Isa. VI, 9; et Matth. XIII, 14. [34] Joan. XII, 40. [35] Psal. XLIII, 19.

NOTÆ.

(35) Pagina αὐτογράφου inferne, vel superne, ut arbitror, abscissa duplicem utrinque patiebatur lacunam. Quare exscriptor bis in nostro codice spatiolum interjecit, addiditque τὸ λείπει. Nos autem ne mutilam exhiberemus hanc quæstionis solutionem, ex Vaticano codice eam complendam curavimus. Quod igitur ex verbis ἀπὸ τῆς ὁδοῦ σου usque ad τὸ ἀπροαίρετον κατάρχειν, et quod rursus ab οὕτως ὁ δυνάμενος usque ad καὶ τὴν δύναμιν hic intersertum vides, totum id Cl. Hieronymus Amatius Vaticanæ bibliothecæ scriptor nobiscum benignissime communicavit.

(36) Particulam adversativam ἀλλὰ ad sensus perspicuitatem adde lector; nos, uti vides, in versione adjecimus.

(37) Sic legendum pro ζητήματος.

Digitized by Google

modo detur tibi compescendi copia, ipsum avoca. Quod si eum in vitia præcipitem, neque avoces, neque retrahas, neque coerceas, non minus est opus tuum, quam illius, qui in peccata prolapsus est. Ita qui potest crimina impedire, non impedit autem, is criminum patratori cooperari merito diceretur.

A λαίοις ἐπιβάλλει· ἐξόν σοι παύειν, ἀνάστειλον. Ἂν δὲ μὴ ἀναστείλῃς, μηδὲ μεθέλκῃς, μηδὲ ἐπέχῃς φερόμενον, οὐδὲν ἔλαττον τὸ ἔργον σὸν, ἢ τοῦ ἐμβεβηκότος τοῖς παραπτώμασι. Οὕτως ὁ δυνάμενος ἐπέχειν τὰ ἄτοπα, μὴ ἐπέχων δὲ, λέγοιτ' ἂν αὐτὸς τῷ τῶν ἀτόπων ἐργάτῃ συγκατεργάζεσθαι.

Illis autem loquendi modis, quos adhibere solemus de nobis verba facientes, de Deo quoque loquentes similiter uti, nequaquam poterit inopportunum esse, aut minus consentaneum. Imo sæpe quidem Græci, sæpe autem solita sacrarum Litterarum elocutio sic voces usurpant; et quidem in sexcentis locis, ubi tanta est diversitas divinarum rerum ab humanis, ut nec comparatio institui, nec intra naturæ terminos concludi posset (scilicet quoad divinam voluntatem, et potentiam, et beneplacitum, et cætera hujusmodi), non modo propositorum verborum metalepsi nequaquam adversantur; verum etiam ipsam susceptam potius confirmant. In quibus enim voluntas, et potentia, et beneplacitum propriam operationem omnino liberam elicit, secundum theologicam loquendi rationem prædicta nominum permutatio esse comprobatur.

B

Ἀπὸ δὲ τῶν παρ' ἡμῖν συνήθως λεγομένων, καὶ περὶ Θεοῦ τῇ λέξει παραπλησίως κεχρῆσθαι, οὐκ ἂν εἴη δυσχερὲς, οὐδ' ἀνακόλουθον. Ἀλλὰ καὶ πολλὴ μὲν ἡ Ἑλλὰς οὕτω ταῖς φωναῖς ἀποκέχρηται· πολλὴ δὲ τῶν ἱερῶν ἡμῶν Λογίων ἡ συνήθεια· καὶ τὸ (38) μυρίοις ὅσοις ἐν τῷ ἀσυγκρίτῳ καὶ ὑπερφυεῖ πρὸς τὰ ἀνθρώπινα τῆς διαφορᾶς (τήν τε θείαν βούλησιν, καὶ τὴν δύναμιν, καὶ τὴν εὐδοκίαν, καὶ τὰ ὅμοια)· οὐ μόνον οὐδὲν πρὸς τὴν μετάληψιν τῶν εἰρημένων ῥημάτων ἀντιφθέγγεται, ἀλλὰ καὶ μᾶλλον συγκατασκευάζει τὴν ἐπιχείρησιν. Ἐν οἷς γὰρ ἡ βούλησις, καὶ ἡ δύναμις, καὶ ἡ εὐδοκία ἀπαραπόδιστον παντελῶς τὴν οἰκείαν ἐνέργειαν προβάλλεται, ἐγγὺς ἱερολογίας εἶναι τὴν εἰρημένην τῶν ὀνομάτων τεκμηριοῦται μετάθεσιν.

At enim et ista ad exhibendam elementarem quæstionis discussionem tibi sufficiunt (39).

Ἀλλὰ γὰρ ἱκανά σοι καὶ ταῦτα τὴν στοιχειώδη τοῦ ζητήματος παραστῆσαι διάγνωσιν.

QUÆSTIO XLII [*Coisl. Taur.* XLI, *Scotto* XLIII].

Quomodo intelligendum est illud, quod Isaias divino Spiritu afflatus pronuntiavit: « Tu iratus es, et (nos) peccavimus[36]*? »*

ΕΡΩΤΗΜΑ ΜΒ'.

Πῶς νοητέον τὸ, « Σὺ ὠργίσθης, » εἰρημένον τῷ θεολήπτῳ Ἡσαΐᾳ, « καὶ ἡμεῖς ἡμάρτομεν; »

C

Edita ab Ant. Scotto, l. c., p. 135. *Commentarius in Isaiam*, LXIV, 5.

Verbum illud *peccavimus* accipiendum erat, non ut innuat, « facinora virtutibus contraria aggressi sumus; » sed simpliciter, « ea, quæ nobis proposueramus, et studebamus, non attigimus. » Etenim ille etiam *peccare* dici potest, qui aliud quidem sibi constituit conficiendum, animique sui motum ad propositum intendit; in contraria autem incidit, ac insperata tenet pro præstitutis (40).

Ἐνῆν μὲν τὸ *ἡμάρτομεν* ἐκλαβεῖν, οὐχ ὅτι τὰς πράξεις, αἳ τὰς ἀρετὰς λυμαίνονται, προειλόμεθα· ἀλλ' ὅτι ἁπλῶς, ὧν ἡ αἵρεσις ἡμῖν, καὶ ἡ σπουδὴ, τούτων ἀπετύχομεν. Καὶ γὰρ διαμαρτάνειν κἀκεῖνος λέγοιτ' ἄν, ὃς ἄλλο μὲν ἐξανύσαι προῦθετο, καὶ τὴν ὁρμὴν πρὸς τὸ καταθύμιον ἔτεινε, τοῖς ἐναντίοις δὲ περιπέπτωκε, καὶ ἀντὶ τῶν προκριθέντων τοῖς ἀνελπίστοις συνέχεται.

Enimvero hujus generis (ut cæteras interpretationes mox adducendas in præsenti omittam) est illud: « Non in homine via ejus (41); » et: « Nisi Dominus ædificaverit domum, in vanum laboravere-

D

Τοιοῦτον γάρ ἐστιν (ἵνα τὴν ἄλλην τέως ἐξέτασιν τῶν ῥηθησομένων ἐάσω) καὶ τὸ, « Οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ· » καὶ, « Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· »

[36] Isa. LXIV, 5.

NOTÆ.

(38) Τοῖς procul dubio refingendum est.

(39) Calvinus, ut notum est, hoc Exodi loco, tanquam argumentorum suorum Achille, probare conatur, quod Deus directe, ac proprie, impellendo, et cogendo cor Pharaonis obdurarit. Atqui hujusmodi blasphemiam vel ipse Photius exhorruit, ac nigro, ut aiunt, theta trajecit. Imo cætera quoque sacrarum Litterarum oracula, quibus Calvinus ad suam præstruendam doctrinam abutitur, in hac diatriba Photius, quomodo intelligenda sint, satis superque indicavit. Si plura quæris, consule Molinam, Vasquez, Valentiam, Suarez, et alios.

(40) Locum, de quo disputat Photius, sic legit Hebræus: אתה קצפת ונחטא *hattah kat zaphta, vannecheta*, quod LXII seniores peropportune verterunt: Σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν, et cui ad unguem respondet Vulgata D. Hieronymi versio: *Tu iratus es, et* (nos) *peccavimus*. Re enim vera prima Hebræi verbi חטא *chatah* significatio est, ut patet ex *thesi*, quam *Hiphil* appellant grammatici, *aberrare*. Vide Judicum XX, 16. Græci pariter eodem sensu τὸ ἁμαρτάνειν passim usurpant, ut verbum *peccare*. Nimirum quia is, qui delinquit, δικαίου ἁμαρτάνει *a justo aberrat*; idcirco translate tum חטא *chatah*, tum ἁμαρτάνω, tum denique *pecco* translate *delinquo* significant. Per primum igitur, ac proprium verbi sensum propositam Photius difficultatem enucleare conatur.

(41) Jerem. X, 23. Quod hujus diatribæ reliquum est, non codici nostro, sed laudati Amatii humanitati debemus.

Digitized by Google

καί· « Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων· » καὶ τό· « Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ· » καί· « Οἱ βουλὴν ποιοῦντες ἐμβαθυνόμενοι τοῖς διαλογισμοῖς αὐτῶν, καὶ οὐ διὰ Κυρίου· » καὶ γὰρ καὶ οὗτοι, ἀντὶ τοῦ μὴ διαπεσεῖν τοῦ σπουδάσματος, οὐ μόνον διήμαρτον, ἀλλὰ καὶ τὸ οὐαὶ προεπεσπάσαντο. Παραπλήσιον δὲ καὶ τὸ εἰρημένον πρὸς τοὺς πεποιθότας ἐπ' Αἴγυπτον· « Ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ· καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου προσθεῖναι ἁμαρτίαν ἐφ' ἁμαρτίας, οἱ πορευόμενοι καταβῆναι εἰς Αἴγυπτον· » οἷς καὶ ἡ καταφυγὴ, καὶ τῆς βοηθείας ἡ ἐλπὶς εἰς αἰσχύνην, καὶ ὀνειδος περιτρέπεται. Καὶ γὰρ ἑκάστη τῶν εἰρημένων, καὶ πολλῶν ἄλλων παραπλησίων πράξεων, τῆς ἄνω κεχωρημένη ῥοπῆς, οὐκ ἂν τοῦ προτεθέντος τέλους ἐφίκοιτο· οὐδ' ἡ μελέτη πρὸς ἔργον χωρήσει, μὴ τῆς ἄνωθεν προκαταβαλλομένης εὐμενείας τὸ πλούσιον ἔλεος. Εἰ δὲ καὶ ὀργίζοιτο, οἷς ἂν τις τοῖς οἰκείοις διαβουλίοις ἐρείδηται· πῶς οὐκ ἀνάγκη πάντως διαμαρτεῖν τοῦ τέλους, καὶ μηδενὸς τυχεῖν ἑκάστων τῶν εἰς τοῦτο παρενηνεγμένων, ὧν ἡ γνώμη ἠγωνίζετο;

runt, qui ædificant [37]; » præterea : « Nisi Dominus custodierit civitatem, frustra vigilat qui custodit [38]; » et rursus : « Non in fortitudine equi voluntatem habebit, nec in tibiis viri beneplacitum erit ei [39]; » rursus : « Qui consilium faciunt » profundi in cogitationibus suis, « et non per Dominum : » et nimirum hi pro eo ac a proposito non exciderent, non solum inde aberrarunt, sed etiam illud væ sibi promeruerunt. Hujusmodi est et illud, quod dictum est Hebræis in Ægyptum confisis : « Fecistis consilium, et non ex me, et fœdera non per spiritum meum, ut adderetis peccatum super peccatum, qui ambulatis, ut descendatis in Ægyptum : » quibus effugium, et auxilii spes « in confusionem, et ignominiam » convertitur (42-28). Singula enim jam dicta opera, et alia id genus plura, cum superna directione essent destituta, ad propositum sibi finem utique pervenire non poterant; neque ad opus designatum industria perveniet, nisi divina clementia opus ipsum redundanti auspicetur misericordia. Si autem Deus etiam irascitur, eo quod propriis consiliis quispiam innitatur, quomodo necessario non sequitur, ut iste a fine aberret, et nullam rerum ad finem comparatarum, ad quas animus contendebat, contingat?

Ἀλλ' αὐτὴ μὲν τῆς θεωρίας ἡ ἐπιβολὴ πρὸς μὲν τὰ παραταθέντα ῥητὰ, καὶ εἴ τι τούτοις ἐνάμιλλον, τὸ ἡρμοσμένον, καὶ κατάλληλον ἐπιδείκνυται τοῦ νοήματος· οὐ μήν γε τὴν αὐτὴν ἀποδίδωσι χρείαν, καὶ τὴν ἐξαρχῆς ὑπόθεσιν εὐμαράσασθαι (29)· τά τε γὰρ τοῦ λόγου προηγούμενα, καὶ ἡ ἄλλη τῶν ῥημάτων διασκευὴ πρὸς ἑτέραν μᾶλλον προτρέπεται διάνοιαν ἀπευθύνεσθαι. Τί οὖν δεῖ λέγειν, ἢ τό· « Σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν, » οὐχὶ τοῦτο φησίν· « Ὡς τῆς σῆς ὀργῆς προελθούσης ἡ ἁμαρτία ἡμῶν ἐκυρίευσε; » Τοῦτο γὰρ οὐδὲ τὴν θείαν εἴη δικαιοκρισίαν διασώζοντος, οὐδ' αἴτιον εἰσάγειν τὸν ἄνθρωπον, οὐδ' ἐν οἷς ἀπὸ γνώμης πονηρεύεται· ἀλλὰ τὸν πάσης κακίας ἀναίτιον, τοῦτον καταβιβάζει τῇ βλασφημίᾳ πρὸς τὸ ὑπαίτιον· καὶ δὴ καὶ τὸ αὐτεξούσιον παρὰ τὴν ἐξαρχῆς πλάσιν, καὶ δωρεὰν εἰς τὸ δοῦλον, καὶ ὑπεξούσιον μεταπλάττοντα. Εἰ γὰρ, διότι « ὠργίσθη, ἡμάρτομεν, » ἡ ὀργὴ τὴν ἁμαρτίαν ἔτεκεν· ὀργῆς δ' ἀμάχου συνωθούσης εἰς παράπτωμα, τίς ἀντιστήσεται;

At hæc indicata loci propositi expositio sensum ejus ostendit cum adductis sacrarum Litterarum oraculis, et cum cæteris hujusmodi esse congruentem, et consentaneum; verum quid sibi velit, non definit, neque difficultatem a principio propositam plane diluit : siquidem tum ea verba, quæ sunt diatribæ hujus argumentum, tum appositus locorum sacræ Scripturæ apparatus ad aliam potius sententiam dirigi desiderant. Quid ergo dicendum, nisi quod illo : « Tu iratus es, et nos erravimus, » nequaquam hoc innuatur : « Ob iram tuam præcedentem peccatum in nobis dominatum est? » Id enim et divinam læderet justitiam, et hominem, ne eorum quidem in quibus ex animi sententia peccat, causam redderet; sed in Deum, qui cujuscunque culpæ causa esse non potest, culpam per blasphemiam transferret : quin etiam Deum induceret redigentem hominis libertatem contra primitivam creationem, gratiamque in servitutem, et subjectionem. Si enim, quia Deus « iratus est, nos peccavimus; » ira peccatum peperit : dum autem ira ineluctabilis ad peccatum compellit, quisnam resistet?

Διόπερ εἰς τοῦτο μὲν διαλογισμῶν ἀπενεγκεῖν τὰς ἱερὰς φωνὰς, οὐδεμία παρείσδυσις, μάλιστα πολλῶν ἄλλων διδαγμάτων καὶ πανταχοῦ τῆς ἱερᾶς Γραφῆς, καὶ δὴ καὶ ἐν αὐτῷ τῷ προφήτῃ τἀναντία καὶ μαρτυρομένων, καὶ κρατυνόντων. « Μὴ γὰρ, φησὶν, ἐβάρυνε Κύριος τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι·

Quamobrem nulla via est, qua sacra oracula ad hujusmodi deliria possint detorqueri; præsertim cum alia atque alia sint documenta tum ubique in sacris Litteris, tum etiam apud eumdem prophetam, quæ contrarium et testantur et evincunt. Inquit enim : Non aggravata est auris ejus, ut non exau-

[37] Psal. CXXVI, 1. [38] Ibid. 2. [39] Psal. CXLVI, 10.

NOTÆ.

(42-28) Isa. XXX, 1, 2, 3. Sed hic Photius Isaiæ potius sententiam quam verba in medio ponit.

(29) Ex Barberino corrigendum omnino εὐμαρίσασθαι. Supple δύναται, aut aliquid simile; nisi malis infinitivum, contorta aliquantulum συντάξει, ad ἀποδίδωσι referre.

Digitized by Google

diat : sed iniquitates vestræ diviserunt inter vos, et Deum vestrum ; et peccata vestra absconderunt faciem ejus a vobis, ne exaudiret (30).») Quare non quia Deus se avertit, nos peccamus ; nec quia ille præterit, et non exaudit, peccata in nobis dominantur : sed quia peccamus, et delinquimus, Deus et avertit se, et irascitur, et nos derelinquit. Et rursus : Exspectavimus judicium, et non est ; salutem, et elongata est a nobis. » Quid ita ? Multiplicatæ sunt enim iniquitates nostræ coram te, et peccata nostra responderunt nobis ; quia scelera nostra nobiscum, et iniquitates nostras cognovimus : peccare, et mentiri contra Dominum ; et aversi sumus, ne iremus post tergum Dei nostri [40]. »

A ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διϊστῶσιν ανα μέσον ὑμῶν, καὶ ἀνὰ μέσον τοῦ Θεοῦ · καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ ἐλεῆσαι. » Ὥστε οὐκ ἐκ τῆς θείας ἀποστροφῆς τὸ ἁμαρτάνειν ἡμᾶς · οὐδὲ ἐκ τοῦ παρορᾶν, καὶ μὴ ἀκούειν, τῶν ἁμαρτημάτων ἡ ἰσχύς · ἀλλ' ἐξ ὧν ἁμαρτάνομεν, καὶ πλημμελοῦμεν, καὶ ἡ ἀποστροφὴ, καὶ ἡ ὀργὴ, καὶ ἡ ἐγκατάλειψις τοῦ Θεοῦ. Καὶ πάλιν· « Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστι σωτηρία, μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν. » Διὰ τί ; « Πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν · αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν · ἠσεβήσαμεν, καὶ ἐψευσάμεθα · καὶ ἀπέστημεν ἀπὸ ὄπισθεν τοῦ Θεοῦ ἡμῶν. »

Atque hujusmodi loquendi modis scatent tum Veteris Testamenti doctrinæ, tum eæ, in quibus gratia innovatur. Ubi ergo esset sapientia, et intelligentia, si ipsa modo quidem doceret, quod peccati nostri, et aversiones divinæ causa sit Dei ira ; modo autem, quod peccatum pariat aversionem et iram ?

B Καὶ πλήρη τῶν τοιούτων χρήσεων τά τε Παλαιὰ Μαθήματα, καὶ ἐν οἷς ἡ χάρις ἀνακαινίζεται. Ποῦ τοίνυν σοφίας, καὶ συνέσεως, τῆς αὐτῆς νῦν μὲν διδασκούσης, ὡς εἴη τῆς ἁμαρτίας, καὶ ἀποστροφῆς αἴτιον ἡ ὀργή · νῦν δὲ τὴν ἀποστροφὴν, καὶ τὴν ὀργὴν τὴν ἁμαρτίαν ἀποτελεῖν.

At isthæc commentatio, et considerationum industria luculenter quidem exposuit oraculum propositum non ostendere, quod ira peccatum producat ; quid autem ipsum oraculum innuat, nondum perspicue declaravit. Altero itaque expositionis modo utamur, oportet, ac fortasse ea verba hoc sibi volunt : « Iras quidem aliunde in nos excitatas tua propulsavit clementia ac misericordia : quare dum nobis error impendebat, dumque insurgentes hostes irruebant in nos, ut eis nostra ultio committeretur ; prævéniens tua gratia, atque benignitas et disjecit illorum consilium, et nos tam ab ipsorum impetu, quam a nostro errore eripuit. Nunc autem, postquam nihil hujusmodi a tua providentia dispositum conspicitur, sed pro tua benignitate et clementia insurgit ira ; sine impedimento, utpote nemine prohibente, sequitur, ut nos erremus. Illic enim multa erant salutis nostræ perfugia, quia tua miseratio et providentia nostram regebat imbecillitatem : hic autem, quia ira per nostrum erga vitia ardorem incensa est, et nemo impetum coercet, ipsi nostris consiliis in ipsam peccati foveam prolapsi sumus. »

Ἀλλ' αὕτη μὲν ἡ συνεξέτασις, καὶ μελέτη τῶν λογισμῶν, ὅτι μὲν οὐ δηλοῖ τὸ Λόγιον κατάρχειν, τῆς ἁμαρτίας τὴν ὀργὴν, παρέστησε τηλαυγῶς · τί ποτε δέ ἐστι τὸ δηλούμενον ὑπ' αὐτοῦ, οὐκέτι ὁμοίως ὑπέδειξεν ἐμφανῶς. Οὐκοῦν τῆς ἑτέρας ἐπισκέψεως τρόπον ἡ χρεία παρακαλεῖ, καὶ ἴσως ἂν ἐθέλοι τὰ λόγια δηλοῦν· « Ὡς τὰς μὲν ἀλλαχόθεν κινουμένας ὀργὰς ἡ σὴ πολλάκις ἀνέκοψε φιλανθρωπία, καὶ C συμπάθεια · διὸ καὶ ἁμαρτεῖν ἡμῶν προθεμένων, καὶ τὴν ἄμυναν ἐπιτρέπειν ἑαυτοῖς, ἐν τῷ τοὺς ἐπανισταμένους καθ' ἡμῶν φέρεσθαι, ἡ σὴ προφθάσασα χάρις, καὶ εὐμένεια καὶ τὴν ἐκείνων ἐπίνοιαν διεσκέδασε, καὶ ἡμᾶς ἑκατέρας ὁρμῆς, καὶ ἁμαρτίας ἐξήρπασε. Νῦν δὲ ἐπειδὴ μηδὲν ὁρᾶται τοιοῦτον παρὰ τῆς σῆς προνοίας οἰκονομούμενον· ἀλλ' ἀπὸ τῆς σῆς ἀγαθότητος, καὶ φιλανθρωπίας ἡ ὀργή · καὶ τὸ ἁμαρτεῖν ἡμᾶς, ὡς μηδενὸς ἀναστέλλοντος, ἀκωλύτως ἕπεται. Ἐκεῖ μὲν γὰρ πολλαὶ τῆς ἡμετέρας σωτηρίας αἱ ἀφορμαὶ, τῆς σῆς συμπαθείας, καὶ προνοίας συνεχούσης ἡμῶν τὸ εὐόλισθον · ἐνταῦθα δὲ τῆς ὀργῆς ἐκ τῆς ἡμῶν πρὸς τὰ πάθη πυρώσεως ἀναρρίπισθείσης, καὶ μηδενὸς τὴν φορὰν ἐπέχοντος, αὐτοῖς λογισμοῖς εἰς αὐτὸν τὸν τῆς ἁμαρτίας βόθυνον ὠλισθήσαμεν. »

Cæterum postquam ille, qui cuncta, et quidem melius ante creationem, quam si creata fuissent, prævidit, animi et consilii nostri pravitatem incorrupta expenderit justitia, iramque cum judicio conjunxerit, et peccati pœnam constituerit ; dum divina clementia ac benignitas ita in nos se habet, quis decretum revocare, quis adversam sententiam tempore lenire poterit ? quod quidem ibi con-

D Ἄλλως τε δὲ ἐπειδὰν ὁ πάντα προειδὼς, καὶ κρεῖττον, ἢ ὡς γεγονότα, πρὸ γενέσεως, τὸ τῆς γνώμης φαῦλον, καὶ τῆς μελέτης τῇ ἀδεκάστῳ ζυγοστατήσῃ δίκῃ, καὶ τὴν ὀργὴν συνάψῃ τῇ κρίσει, καὶ τὴν ἀμοιβὴν ὁρίσῃ τοῦ ἁμαρτήματος · οὕτω τῆς φιλανθρωπίας, καὶ ἀγαθότητος περὶ ἡμᾶς διακειμένης, τίς μὲν ἀναστεῖλαι τὴν ψῆφον, τίς δὲ τὴν ἀπόφασιν χρόνῳ πραῦναι δυνήσεται· ὅπερ εἰωθεν ἀπαντᾷν, ἐφ'

[40] Isa. LIX, 11, 12, 13.

NOTÆ.

(30) Isa. LIX, 1 et 2. In hoc autem et sequenti Isaiæ loco Photius LXXviralem, ego Vulgatam versionem de more sequar.

Digitized by Google

ὧν ἡ ὀργὴ προλαμβάνει τὸν χρόνον τῆς κρίσεως; Οὐκοῦν τὴν μὲν κίνησιν τῆς ὀργῆς καὶ κατὰ σχολὴν, καὶ μελέτην τῶν πονηρῶν ἡμῶν ἐνθυμήσεων παροξύνει πρόοδος· ἡ δὲ ἐκεῖθεν τολμηθεῖσα πρᾶξις τὰς ἐκ τῆς ὀργῆς τιμωρητικὰς ψήφους προύκαλέσατο. Καὶ δῆλον, ὡς τὸ ἀδυσώπητον τῆς ὀργῆς, καὶ ἀμετάτρεπτον, καὶ ἀκώλυτον ὁ Ἱεροφάντης παραστῆσαι βουλόμενος, ὡς σύνδρομον, καὶ προφθάνον τῷ λόγῳ διέλαβεν. Ἡ γὰρ τῶν φθασάντων κολάσεων, καὶ τιμωριῶν, ἐφ' οἷς ἡμάρτομεν, κρίσις, καὶ ὀργὴ τῷ ἀκωλύτῳ, καὶ ἀτρέπτῳ, καὶ ἀδυσωπήτῳ συναπαρτίζεται καὶ περαίνεται.

Εἰ βούλει δὲ, καὶ διότι τὸ τῆς ὀργῆς πάντως ἐν κρίσει νῦν μὲν ὁρίζεται, νῦν δὲ τῶν ψήφων ἐξενεχθέντων εἰς ἔργον προάγεται, τὸ μὲν κινουμένης, τὸ δὲ πεπραγμένης τῆς ἁμαρτίας, φησίν· « Ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν. » Ἐπιμεριζομένης γὰρ τῆς ὀργῆς, καὶ πρὸς τὸ διττὸν διατυπουμένης, καὶ τῆς μὲν ἐν τῷ κινεῖσθαι τὴν ἁμαρτίαν, τῆς δὲ ἐν τῷ τολμᾶσθαι θεωρουμένης, ἡ μὲν προτέρα φανερὸν, ὅτι τὴν ἔκθεσμον προφθάνει πρᾶξιν· ἡ δευτέρα δὲ συνακολουθεῖ, καὶ συγκαταβάλλεται. Ὥστε τὴν κακουργίαν μὲν ἡ κατὰ τὴν μελέτην ὀργὴ προλαμβάνει· ἣν δ' ἀνῆψεν ἡ τόλμα, συμπαροματρεῖ ταύτῃ, καὶ συνεπιφύεται. Διὸ καὶ κατὰ μὲν τὴν προτέραν διάνοιαν ἔξεστι λέγειν ἀδιστάκτως τε, καὶ εὐσεβοφρόνως, ὡς « Ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν· » ἡ γὰρ κατὰ μελέτην ὀργὴ προϋπάρχει τοῦ ἁμαρτήματος· ἐπὶ δὲ τῆς δευτέρας, οὔτε θεοφιλὲς, οὔτε ἀκόλουθον· οὐ γὰρ ἐκ τῆς ὀργῆς ἁμαρτάνομεν, ἀλλὰ διότι ἁμαρτάνομεν, τὴν ὀργὴν ἐπισπώμεθα.

Παραπλήσιον δ' ἂν εἴη καὶ, εἴ τις ἐντεῦθεν τὴν ὁρμὴν τῷ λόγῳ βαλλόμενος, διὰ λειοτέρου, καὶ οἰκτιζομένου νοήματος ἐπιδείξει φερόμενον· « Οὐκ ἐπέσχες τὴν ὁρμὴν κινηθεῖσης ἡμῶν τῆς γνώμης ἐπὶ τὰς πράξεις τὰς πονηράς· ἀλλὰ προορῶν τὸ ἐκθησόμενον, ὡς ἐκθεθηκὸς (καὶ γὰρ καὶ τὸ ἀκατέργαστον ἡμῶν τὸ σὸν πανεπίσκοπον ὄμμα ἐφορᾷ), τῇ μελέτῃ τῶν φαύλων καὶ τὴν ὀργὴν λαβεῖν ἀρχὴν παρέσχες κινήσεως. Ταύτης δὲ καθ' ἡμῶν ἐν τῷ μετεώρῳ φερομένης ἡ ἁμαρτία θρασύτερον ἡμῶν ἐπιπηδᾷ, καὶ ῥᾳδίαν εὑρίσκει τὴν πάροδον. Τῇ γὰρ μισοπονηρίᾳ τῆς σῆς περὶ ἡμᾶς φιλανθρωπίας ὑπενδιδούσης, καὶ τῷ δικαίῳ τῆς συμπαθείας ὑποχωρούσης· εὐάλωτον τῷ ἐχθρῷ τὸ θήραμα γίνεται. Ἐπεὶ εἴπερ ἦν ἡμῖν πόθεν τὴν σὴν ὀργὴν κινουμένην εἰς εὐμένειαν διαλῦσαι, καὶ ἡ ἁμαρτία ἂν εἰς δειλίαν τὸ θράσος συνέστελλε, καὶ τὸ ἡμέτερον βοηθούμενόν τε, καὶ ἀναῤῥωννύμενον, μᾶλλον ἂν αὐτῆς τὴν προσβολὴν ἀπεσείσατο, ἢ τοῖς ταύτης θηράτροις ἐνέπεσεν. »

Ἴσως δ' ἂν ἐγγύτερον εἴη θεωρούμενον, εἰ καὶ μὴ ταῖς ὑψηλοτέραις ἐπινοίαις συνεπαίρεται τὸ, « Ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν, » εἰς τὸ, Ὠργίσθης, διότι ἡμεῖς ἡμάρτομεν, μεταλαμβανόμενον· καὶ, Διότι ἡμάρτομεν, τὴν καθ' ἡμῶν οὐκ ἐπέσχες ὀργήν.

tingere solet, ubi judicii tempus ira antevertit. Itaque divinæ iræ motum incendit improbarum nostrarum cupiditatum progressio facta et per delectationem morosam et per deliberationem : opus autem inde perpetratum decretum punitionis ab ea ira in nos concitavit. Ac patet quod, ut iram divinam non posse exorari, flecti, ac impediri significaret propheta, in adductis verbis eam quasi operi concurrentem, et prævenientem acceperit. Castigationum enim ultionumque, quæ ob nostra peccata processerunt, judicium et ira vi quadam, quæ impediri, flecti et exorari nequit, explentur, atque ad exitum perducuntur.

Si vis autem, quia ira modo quidem solo judicio omnino terminatur, modo autem edito decreto ad executionem progreditur; atque illud quidem est pro interno peccati motu, hoc vero pro externa ejus perpetratione; idcirco propheta : « Iratus es, inquit, et nos peccavimus. » Cum enim ira hic dividatur, distinguaturque in duas partes; atque altera quidem internum peccati motum, altera vero externam ejus perpetrationem respiciat; patet quod prior illa improbum prævenial opus; isthæc autem posterior consequatur, simulque descendat. Quare delictum quidem ea ira prævertit, quæ ob deliberationem est; ea vero, quæ ob opus perpetratum incenditur, illud comitatur atque adhæret. Quamobrem si prior ira respiciatur, sine dubio, ac impietatis nota dicere fas est : « Iratus es, et nos peccavimus; » siquidem ira ob deliberationem excitata præcedit perpetrationem peccati : si altera autem spectetur, hoc dicere neque religiosum est, neque consentaneum. Non enim ob iram peccamus, sed quia peccamus, iram in nos concitamus.

Neque vero longe abscederemus, si quis, hinc principium interpretationi præbens, mitiori et commiserationem excitante sensu locum propositum ostenderit procedere : « Nempe non cohibuisti impetum animi nostri ad prava opera incitati : sed prævidens futura, uti præterita (etenim id quoque, quod necdum egimus, oculus tuus omnium inspector observat), ob ipsam malorum operum deliberationem effecisti, ut et ira sumeret excitationis suæ principium. Hac autem adversus nos alte efferve-scente, peccatum acriori audacia in nos insilit, et facilem invenit aditum. Cum enim tua erga nos clementia cedit odio peccati, ac misericordia dat justitiæ locum; facili negotio nos venatur inimicus. Quoniam si nobis contingebat iram tuam concitatam ad clementiam flectere; utique non modo peccatum audaciam suam ad timorem revocasset, sed etiam animus noster gratia adjutus, ac roboratus, potius ipsius peccati irruptionem fuisset amolitus, quam in ejus retia incidisset. »

Fortasse vero ad veritatem propius accederemus, tametsi sublimioribus mentis conceptibus non attolleremur; si illud : « Iratus es, et nos peccavimus, » mutaremus in hoc, Iratus es, quia nos peccavimus; et quia peccavimus, iram contra nos haud cohibuisti.

Digitized by Google

Particulam enim conjunctivam vérborum, et sententiarum, quæ sunt in pluribus orationis conceptibus, sive particulam *et*, tum sacræ Litteræ, tum Attici sermonis elegantia sæpe causali sensu amant accipere : ac exempla omnibus comperta sunt. Verumtamen ad recensenda Atticorum scriptorum documenta otium mihi deest, duorum autem Scripturæ locorum recordatus, cæterorum, si forte tibi cordi est, collectionem curandam relinquo. Ait itaque sacer Psaltes, et pater Dei incarnati David : « Da nobis auxilium de tribulatione, et vana salus hominis (31). » Illic enim illud *et*, pro sexcentis aliis exemplis, satis evincit, quod sit causali sensu reddendum, veluti : « Da nobis auxilium de tribulatione, quia vana salus hominis. » Atque vero ipse Isaias (opportunius autem esse utique poterit per eamdem vocem, eumdemque librum ostendere, quod causali modo conjunctio *et* accipiatur), « Væ, inquit, qui in occulto consilium faciunt, et erunt in tenebris opera eorum (32) ; » hoc enim « et erunt, » nemo utique dubitarit, quin causali sensu usurpatum sit ; propterea in eos illud *væ* infligitur.

Sic igitur et hoc : « Iratus es, et nos peccavimus, » nullo labore ac mentis incitatione intelliget ; cum sacrarum Litterarum consuetudo nobis viam aperiat, qua ad rectum sensum prompte, ac inoffensis auribus perveniamus, et loco propositæ difficultatis professionem catholicam, Deoque acceptam servemus incolumem. Etenim communis sententia est, et quidem piis præsertim viris, quod peccantibus nobis Deus irascatur. Atque animadvertendum est quod hujusmodi commentatio, quanto adductis aliis moderatius procedit, tanto minus verbis indigeat circulo vitioso laborantibus, torquentibusque mentem per subtilitates, neque ipsa quispiam possit abuti.

At ne pigeat ulterius rem perpendere : fons enim aquarum animæ utilium ac salutarium sacra Eloquia sunt ; et quanto magis ea meditationibus fodimus, tanto copiosiores veritatum gratiæ inde scaturiunt. Difficile itaque videbatur illud : « Tu iratus es, et nos peccavimus, dum absolute dici, ac de universo hominum genere putabatur intelligi. Quomodo enim quispiam posset vitare peccatum, ubi ipsum divina immisit ira? Quæuam autem justa peccatis pœna irrogaretur, si ad nefas inviti per vim traheremur? Ubi liberum consisteret arbitrium? Atque alia sexcenta erumperent absurda, quorum causa nonne potius propositum oraculum

A Τὸν γὰρ συνδέοντα τὰ ἐν διανοίαις ῥήματά τε, καὶ νοήματα, ἤτοι τὸν *καὶ*, τά τε ἱερὰ ἡμῶν Λόγια, καὶ ἡ Ἀττικίζουσα σπουδὴ αἰτιολογικῶς πολλάκις παραλαμβάνειν βούλεται · καὶ τὰ παραδείγματα πᾶσι γνώριμα. Πλήν γε τὰς μὲν Ἑλληνικὰς χρήσεις οὐ μοι σχολὴ καταλέγειν · δυοῖν δὲ τῶν ἡμετέρων ἐπιμνησθεὶς, τῶν ἄλλων, ἂν ἄρα σοι καταθύμιον, τὴν συλλογὴν φιλοτιμεῖσθαι ἀφίημι. Λέγει τοιγαροῦν ὁ Ἱεροψάλτης, καὶ Θεοπάτωρ Δαβίδ· « Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. » Ἐνταῦθα γὰρ τὸ *καὶ*, ἀντὶ μυρίων ἄλλων παραδειγμάτων, ἀρκεῖ παραστῆσαι, ὡς αἰτιολογικῶς ἀποδίδοται· οἷον, « Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· ματαία γὰρ σωτηρία ἀνθρώπου. » Καὶ αὐτὸς δὲ ὁ Ἡσαΐας (οἰκειότερον δ' ἂν εἴη διὰ τῆς αὐτῆς φωνῆς,
B καὶ τοῦ αὐτοῦ ἐδάφους εἰς τὸ αἰτιολογικὸν εἶδος· ἐπιδεῖξαι τὸν *καὶ* σύνδεσμον μεταλαμβανόμενον) ἔφη · « Οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν σκοτίᾳ τὰ ἔργα αὐτῶν· » τὸ γὰρ *καὶ ἔσται* οὐδεὶς ἂν ἀμφισβητήσειε μὴ οὐχὶ αἰτιολογικῶς εἰρῆσθαι· διὰ τοῦτο αὐτοῖς καὶ τὸ *οὐαὶ* ἐπαφίεται.

Οὕτως οὖν καὶ τὸ, « Ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν, » ἀταλαιπώρως, καὶ χωρίς τινος ἐπιδρομῆς κατανοήσεται, τῆς Γραφικῆς συνηθείας τὸ ἔτοιμον, καὶ δι' ἀκοῆς ἀλύπου παραδύεσθαι πρὸς τὴν ὀρθὴν διάνοιαν παρεχομένης, καὶ τὸ κοινὸν ὁμολόγημα, καὶ θεοφιλὲς ἀντὶ τῆς ἐξ ἀρχῆς ἀπορίας συνδιασωζούσης.
C Ἔννοια γὰρ κοινὴ, καὶ μάλιστά γε τοῖς εὐσεβέσιν, ὡς ἁμαρτανόντων ἡμῶν τὸ Θεῖον ὀργίζεται. Καὶ ὁρᾷν ἔστιν, ὡς ὁ παρὼν λόγος, ὅσον μετριώτερον τοῦ ἀνηγμένου φέρεται, τοσοῦτον τῶν κύκλῳ περιόντων ῥημάτων, καὶ ταῖς περινοίαις ἀποθλιβόντων τὸ νόημα ἀνενδεὲς ὑπάρχει, καὶ κρειττων, ἢ ἀποχρῆσασθαι.

Ἐπισκοπεῖν δ' οὐκ ἀποκνητέον · πηγὴ γὰρ ὑπάρχει ψυχωφελῶν, καὶ σωτηρίων ναμάτων τὰ ἱερὰ ἡμῶν Λόγια · καὶ ὅσον ἂν αὐτὰ τοῖς λογισμοῖς ἀνορύττωμεν, τοσοῦτον ἂν ἀφθόνους πηγάζει τῶν νοημάτων τὰς χάριτας. Ἄπορον οὖν ἐδόκει τό · « Σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν, » ἁπλῶς τε λεγόμενον, καὶ ἐφ' ὅλης τῆς ἀνθρωπίνης ἐξακουόμενον φύσεως. Ποῦ γὰρ ἐνῆν τινα φυγεῖν τὴν ἁμαρτίαν, τῆς θείας
D ὀργῆς ταύτην ἐπαφιείσης; Τίς δὲ δικαία τῶν ἁμαρτημάτων εἴσπραξις, ἀκόντων ἑλκομένων εἰς ἃ μὴ θέμις, τῶν ἐπηρεαζομένων; Τὸ δὲ αὐτεξούσιον ποῦ; Καὶ μυρία ἄλλα, ὧν οὐχὶ τὸ ῥητὸν μᾶλλον αἴτιον ὁρᾶται; Ἀλλ' εἴ τις αὐτὸ πρὸς τὸ κοινὸν ἀξίωμα

NOTÆ.

(31) Psal. cvii, 13. Legit autem Vulgata : *Da nobis auxilium de tribulatione, quia vana salus hominis.* Hebræus autem versioni LXXvirali propius accedens habet : הבה לנו עזרת מצר ושוא תשועת אדם *hachab lanu hbezrath mitztzar vescaub hdam.* Neminem autem vel tironem in Hebraica palæstra præterit *præfixum* ו interdum non conjunctivæ, sed causalis particulæ vicem gerere. Vide præ cæteris Glassium *Gram.* l. iv, tract. 1, observ. 7.

(32) Isa. xxix, 15. Ita sunt transferenda LXXII seniorum verba. Sed D. Hieronymi versio habet : *Væ, qui profundi estis corde, ut a Domino absconditis consilium, quorum sunt in tenebris opera.* At הוי המעמיקים מיהוה לסתר עצה והיה במחשך מעשיהם *hoj hammahhamikim meiehovah Lastir hhetzah, vehaieh bemachscach mahhasehem,* legit Hebræus quod κατὰ λέξιν Latine sonaret : *Væ profunditatibus a Domino ad absconsionem consilii, et erunt in tenebris opera eorum.*

Digitized by Google

ἐπαίρει, καὶ κατὰ πάσης τῆς ἀνθρωπίνης φύσεως εἰρῆσθαι νομίζει· ἐπεὶ, εἴ τις γε αὐτὸ πρὸς τὴν καθολικὴν μὴ ἐκβιάζοιτο ἔννοιαν, ἀλλὰ τοῖς ἰδίοις ὅροις συνέχει περιστελλόμενον, τῶν πλειόνων ἀτοπημάτων ἀνεύθυνον ὁραθήσεται.

A agnoscitur? At ita erit, si quis illud ad communem hominum conditionem evehat, et de tota humana natura dictum esse opinetur : quoniam pluribus absurditatibus immune conspicietur, si quis ipsum ad universalem sensum non detorqueat, sed intra proprios terminos conclusum detineat.

Τί οὖν ἐστιν, ὃ λέγω; Ὅτι περ τοῦ Ἰσραηλιτικοῦ ἔθνους προενήνεκται τῷ Προφήτῃ τὸ ῥῆμα, ἀλλ' οὐ περὶ πάντων ἁπλῶς ἀνθρώπων· καὶ ὅτι οὐδενὶ καταλείπει ἀμφισβήτησιν, αὐτή γε ἡ τῆς προφητείας ἐπιγραφὴ μαρτυρεῖ· « Ὅρασις γὰρ, φησὶν, ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ Ἰερουσαλὴμ ἐν βασιλείᾳ Ὀζίου, καὶ Ἰωαθὰμ, καὶ Ἄχαζ, καὶ Ἐζεκίου. » Καὶ γὰρ, καὶ ἐν οἷς ἑτέρων ἐθνῶν μνήμην ποιεῖται, καὶ ὁράσεις ἀνακαλύπτει, ἀλλὰ γὰρ καὶ τούτων ἡ διήγησις, ὡς ἐπίπαν, εἰς τὸν Ἰσραηλίτην λαὸν ἀφορᾷ· νῦν μὲν μάστιγος αὐτοῖς ἀναπληρούντων χρείαν τῶν ἀλλοφύλων, παρὰ τὰ τοῦ Κυρίου δικαιώματα πορευομένοις· νῦν δὲ κράτος αὐτῶν τῆς θείας ῥοπῆς ἐγχειριζούσης, καὶ νίκην, τῶν Δεσποτικῶν ἐντολῶν ἀντιποιουμένοις.

B Quid igitur dicam? Nempe quod de Israelitica gente, non autem de omnibus omnino hominibus a propheta ea verba prolata sint : quodque nemini de hoc ambigendi relinquatur locus, ipsa utique prophetiæ inscriptio testatur. Inquit enim : « Visio Isaiæ filii Amos, quam vidit super Judam et Jerusalem in diebus Oziæ, Joatham, Achaz, et Ezechiæ [41]. » Revera vel ubi aliarum gentium mentionem facit, revelatque visiones, certe horum etiam enarratio Israeliticum, ut plurimum, populum respicit : quippe modo quidem alienigenæ flagelli partes implebant in eum contra justificationes Domini ambulantem; modo autem ipsi Dominica mandata capessenti alienigenarum potentiam ac victoriam divinum auxilium in manus tradebat.

Ναὶ δὴ καὶ πρό γε βραχέως τοῦ προκειμένου ῥητοῦ, ἵνα τὰ ἄλλα ἐάσω, ἀναμφισβήτητον πᾶσι ποιῶν ὁ προφήτης, ὅτι περὶ τοῦ Ἰσραηλιτικοῦ γένους ἐῤῥέθη τὸ, « Σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν· » οὕτω πως ἔφη· « Ποῦ ἐστιν... ὁ ἀγαγὼν τῇ δεξιᾷ Μωϋσῆν, ὁ βραχίων τῆς δόξης αὐτοῦ... Καὶ ἤγαγεν αὐτοὺς διὰ τῆς ἀβύσσου, ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν... Οὕτως ἤγαγες τὸν λαόν σου ποιῆσαι σαυτῷ ὄνομα δόξης. Ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου, καὶ δόξης... Σὺ γὰρ ἡμῶν εἶ πατὴρ, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς. » Καὶ ὀχληρὸν ἴσως πάντα καταλέγειν.

C Quin etiam paulo ante propositum oraculum, ut cætera præteream, propheta, quo omnibus extra dubitationis aleam poneret, se de Israelitica gente dixisse illud : « Tu iratus es, et nos peccavimus; » sic aliquando inquit : « Ubi est ... qui eduxit ad dexteram Moysen brachio majestatis suæ ... Et eduxit eos per abyssos, quasi equum in deserto non impingentem... Sic adduxisti populum tuum, ut faceres tibi nomen gloriæ. Attende de cœlo, et vide de habitaculo sancto tuo, et gloriæ.... Tu enim pater noster, et Abraham nescivit nos, et Israel ignoravit nos [42]. » Ac molestum fortasse foret omnia percensere.

Ἐπεὶ οὖν περιφανέστατον γέγονεν, ὡς περὶ τοῦ Ἰσραηλιτικοῦ γένους τό· « Ἰδοὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν, » εἴρηται· ἐπιζητεῖν ἐστι λοιπὸν, καὶ διότι εἴρηται. Πολλῶν ἀπολαύσαντες παραδόξων, καὶ ὑπερφυῶν ἔργων· τοῦτο μὲν μαστιζομένην τὴν Αἴγυπτον δι' αὐτοὺς δέκα πληγαῖς ἐωρακότες· τοῦτο δὲ τοὺς πολεμίους ἐπιδιώκοντας ἄνευ χειρὸς, καὶ δόρατος πανωλεθρίᾳ διαφθαρέντας· τοῦτο δὲ τὴν ὑγρὰν φύσιν ξηρὰ τὰ νῶτα πεζοπορεῖν παρασχομένην· στύλον πυρὸς ἐν νυκτὶ πυρσεύοντα πρὸς ὁδὸν εὐθεῖαν· καὶ νεφέλην φωτὸς τὰς ἀπὸ τοῦ Ἡλίου, στέγουσαν ἀκτῖνας, ὡς ἀλυπότερον γίνεσθαι τὴν ὁδοιπορίαν· ἄρτον οὐρανόθεν Μωσαϊκῇ γλώσσῃ γεωργούμενον· καὶ θάλασσαν καὶ γῆν αὐτοσχεδίων θυμάτων τράπεζαν αὐτοῖς παρασκευάζουσαν (33)· ὕδωρ ἐξ ἀκρο-

D Cum igitur luculentissime constet de Israelitica gente hoc : « Ecce iratus es, et nos peccavimus, » fuisse dictum; reliquum est ut, et cur dictum sit, inquiramus. Multis Hebræi incredibilibus, ac naturæ vires excedentibus prodigiis ditati; cum vidissent modo Ægyptum decem plagis propter se flagellatam [43]; modo persequentes hostes sine manu et hasta perditos ac profligatos [44]; modo humidam materiam eis siccum, ut pedibus incederent, solum præbentem [45]; columnam ignis nocte prælucentem, ut rectam caperent viam; et nubem lucis radios a sole emissos tegentem, ut jucundius iter conficeretur [46]; panem cœlitus Mosaica lingua paratum [47]; tum mare, tum terram tumultuariis hostiis mensas eorum exstruentem (34); aquam ex

[41] Isa. I, 1. [42] Isa. LXIII, 11 seqq. [43] Exod. VII, VIII, IX, X, XI. [44] Exod. XIV, 6 seqq. [45] ibid. XX., 1 seqq.; Josue, III, 15 seqq. [46] Exod. XIII, 21 seq. [47] Exod. XVI, 13 seqq.

NOTÆ.

(33) Παρασκευαζούσας numero πληθυντικοῦ ad elegantiorem fortasse σύνταξιν habet Barberinus.

(34) Si hoc loco intelligas cibos a terra et mari conquisitos; fortasse ad res ex Ægyptiorum terra asportatas et ad coturnices vento valido supra mare delatas, Exod. XVI, 13 et Num. XI, 31, id referendum est. Si autem spolia ex profligatis hostibus detracta hic innui opinaris, habes eas quæ ex Ægyptiorum cadaveribus capere potuerunt, Exod. IX, 31, et alias, quæ ex multis captis direptisque urbibus relatæ sunt. Vide, præ cæteris Pentateuchi locis, Deuteronomium, II, 25, et III, 7. Imo et aperte dicitur capite XX, 14, *Comedes de spoliis hostium tuorum.*

Digitized by Google

prærupta rupe inexhaustos edentem fontes [48]: cum his omnibus, quæ nec exprimi, nec intelligi possunt, beneficiis ac donis fruerentur Hebræi; et quodammodo quæcunque ad eos pertinebant, essent peculiari sorte selecta, ac sub communi cæteris hominibus providentia et vigilantia non continerentur; hujuscemodi verba emittunt: « Deus, qui hæc omnia gratis, atque ex sola benignitate nobis impertiebatur, non permisisset nos peccasse; nisi nimiam suam ac ineffabilem erga nos curam, et vigilantiam in iram sivisset permutari. »

Atque hæc dicere et cogitare posset Israel obsecrando, non affirmando; neque proferendo dogma, sed concitando miserationem; neque ut sese negaret esse peccati causam, sed ut lamentationem faceret, suamque deliberatam improbitatem incusaret. Quare ea quoque quæ paternum Dei amorem et misericordiam movere possent, aliis attexit verbis: « Tu pater noster, Abraham nescivit nos ..... a sæculo nomen tuum super nos [49], » et quæcunque alia ad miserationem et clementiam conciliandam adjecta sunt; ut propemodum dicat: « Pro quali (hei mihi!) copia donorum, et gloriæ per universum orbem pervagatæ, qualibus peccatis implicatus, et factus [opprobrium et subsannatio] [50] deprehendor! »

Quod si in duas partes ubique dispesci conspiciuntur Hebræi: nonnulli enim eorum vitulum sibi conflant derelinquentes Deum [51]; atque hi et cæde et morte pœnas facinoris luunt, Mosaicæ sententiæ, aut potius justo Dei judicio subjecti [52]: nonnulli præterea incensum offerunt Deo, his autem terræ hiatus extemporaneum fiunt sepulcrum [53]; porro nonnullos flammæ a Deo immissæ devorant, ut murmurationis crimen ulciscantur [54]; alii contra in Dei misericordiam et in bonam frugem se recipientes, incredibilis illius portenti spectatores ac testes fiunt [55]; ac illorum quidem membra in deserto cadunt, terræque promissæ judicantur indigni [56]; hi autem ab repromissionum assecutione non excidunt [57]; atque alia innumera: cum itaque Israelitica natio ita in duas distingueretur partes, quarum altera resipiscentes, altera perversos complectitur; nihil prohibet, quominus resipiscentium cogitationes confessionesque dicamus esse illud: « Multiplicatæ sunt iniquitates nostræ coram te, et peccata nostra responderunt nobis, quia scelera nostra nobiscum, et iniquitates nostras cognovimus; peccare, et mentiri .... et aversi sumus, ne iremus post tergum Dei nostri [58]; » et quæcunque alia ad eamdem confessionem, compunctionemque pertinent: murmurantium vero,

τόμου πέτρας πηγὰς ἀκενώτους ἀναβλύζον· τούτων ἁπάντων τῶν ὑπὲρ λόγον, καὶ ἔννοιαν εὐεργεσιῶν, καὶ δωρεῶν ἀπολαύων ὁ Ἰσραὴλ, καὶ ὡς πάντα τὰ περὶ αὐτοὺς εἴη πρὸς τὸ ἐξαίρετον ἀποκεκληρωμένα, καὶ οὐ κατὰ τὴν ἄλλην τῶν ἀνθρώπων πρόνοιάν τε, καὶ κηδεμονίαν, ἀφίησι φωνὴν τοιαύτην, « Ὡς ὁ ταῦτα προῖκα, καὶ διὰ μόνην ἀγαθότητα παρασχὼν ἡμῖν, οὐδ' ἂν ἁμαρτεῖν εἴασεν· εἰ μὴ τὴν πολλὴν αὐτοῦ, καὶ ἀνεκδιήγητον περὶ ἡμᾶς φροντίδα, καὶ κηδεμονίαν εἰς ὀργὴν ἀφῆκε περιτραπῆναι. »

Καὶ ταῦτα ποτνιώμενος εἴη ἄν, καὶ λέγων, καὶ διανοούμενος ὁ Ἰσραὴλ, ἀλλ' οὐκ ἀποφαινόμενος· οὐδὲ δογματίζων, ἀλλ' ἐλεεινολογούμενος· οὐδὲ τὴν αἰτίαν τοῦ ἁμαρτάνειν ἀπολυόμενος, ἀλλὰ θρηνολογῶν, καὶ τὴν ἰδίαν ἐθελοκακίαν καταιτιώμενος. Διὸ καὶ, ἃ στοργὴν, καὶ ἔλεον ἀνακινεῖν οἶδε, τοῖς ἄλλοις διαπλέκει ῥήμασιν· « Πατὴρ ἡμῶν εἶ σύ· Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς.... ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς· » καὶ ὅσα ἄλλα συνείρηται συμπάθειαν, καὶ εὐμένειαν ἕλκειν δυνάμενα, μονονουχὶ λέγων· « Ὡς ἀνθ' οἵου πλούτου δωρεῶν, οἵ μοι, καὶ δόξης εἰς τὴν οἰκουμένην διαβοηθείσης, οἵοις ἁμαρτήμασιν ἑαλωκὼς, καὶ ὄνειδος, καὶ μυκτηρισμὸς γεγονὼς ἐξελέγχομαι. »

Εἰ δὲ καὶ πρὸς διπλῆν μοῖραν πανταχοῦ καθορᾶται μεριζόμενος ὁ Ἰσραήλ· οἱ μὲν γὰρ αὐτῶν μοσχοποιοῦσιν ἐγκαταλιμπάνοντες Θεόν· οἱ δὲ φόνῳ, καὶ θανάτῳ τὴν τόλμαν δικάζουσι, τῇ Μωσαϊκῇ ψήφῳ, μᾶλλον δὲ τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ ὑπηρετούμενοι· καὶ οἱ μὲν ἱερατεύουσι τῷ Θεῷ, τοῖς δὲ χάσματα γῆς αὐτοσχέδιος τάφος γίνεται· καὶ τοὺς μὲν φλόγες θεήλατοι κατανέμονται τοῦ γογγυσμοῦ δίκας εἰσπραττόμεναι· οἱ δὲ πρὸς τὸν ἔλεον, καὶ τὴν εὐγνωμοσύνην καταφεύγοντες, θεαταὶ, καὶ μάρτυρες τοῦ παραδόξου θεάματος γίνονται· καὶ τῶν μὲν τὰ κῶλα ἐν ἐρήμῳ πίπτει, καὶ τῆς ἐπηγγελμένης γῆς ἀνάξιοι κρίνονται· οἱ δὲ τῶν ἐπαγγελιῶν οὐκ ἐκπίπτουσι· καὶ μυρία ἄλλα· οὕτως οὖν εἰς δύο μοίρας, εἴς τε τὴν εὐγνώμονα, καὶ ἀγνώμονα, τῆς Ἰσραηλίτιδος φυλῆς διαιρουμένης, οὐδὲν κωλύει λέγειν τῶν μὲν εὐγνωμόνων διανοήματα, καὶ ὁμολογίας εἶναι τό· « Πολλὴ ἡ ἀνομία ἡμῶν ἐναντίον σου· καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν· καὶ ὅτι αἱ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν· ἠσεβήσαμεν, καὶ ἐψευσάμεθα.... καὶ ἀπέστημεν ἀπὸ ὄπισθεν τοῦ Θεοῦ ἡμῶν· » καὶ ὅσα ἄλλα τῆς αὐτῆς ὁμολογήσεως ὑπάρχει, καὶ κατανύξεως· τῶν δὲ γογγυστῶν, καὶ ἀχαρίστων, καὶ ἀγνωμόνων δυσφημίας εἶναι τό· « Ἰδοὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν· » εἰ βούλει δὲ, καὶ τό· « Τί ἐπλάνησας ἡμᾶς

[48] Exod. xvii, 6; Num. xx, 11. [49] Isa. lxiii, 16 seq. [50] Psal. xliii, 14; lxxviii, 4. [51] Exod. xxxii, 1 seqq. [52] ibid. 25 seqq. [53] Num. xvi, 6 seqq. [54] ibid. 23 seqq. [55] Exod. xi, 11 seqq. [56] Num. xiv, 28 seq. [57] ibid. 30. [58] Isa. lix, 12 seqq.

NOTÆ.

(35) Hoc ad eos referendum puto, qui singulis populi castigationibus superstites ob pœnitentiam fuerunt. Nimirum in prima quoque Hebræorum plaga hujusmodi viros fuisse constat. Exod. xxxii, 26.

Digitized by Google

ἀπὸ τῆς ὁδοῦ σου, καὶ ἐσκλήρυνας τὰς καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε; » καὶ ὅσα τῆς αὐτῆς ἀπονενοημένης γνώμης ἐστὶ τοιαῦτα βλαστήματα. rasti cor nostrum, ne timeremus te [39]? » atque erumpunt.

A ingratorumque, ac vecordium blasphemias esse hoc, ecce « Iratus es, et nos peccavimus; » imo et hoc : « Quare errare nos fecisti de viis tuis, indu- alia hujusmodi, quæ ex eadem animi cæcitate

Εἰ γὰρ καὶ ἑτέροις λόγοις τὰ ὕστερον εἰρημένα διαιτᾶσθαι, καὶ καθίστασθαι δύναται πρὸς τὸν εἰρμὸν τῆς ἀκολουθίας, καὶ τὸ τῆς συγκατανεύσεως ἀστασίαστον· ἀλλ' οὖν καὶ ὁ ῥηθεὶς τρόπος ἱκανός ἐστι τὴν τῶν λογισμῶν ἀχλὺν ἀποσκεδάσαι, καὶ τὸ τῆς ἀμφιβολίας νέφος διαλύσασθαι. Καὶ οὐκ ἔστιν ἐνδοιαζόμενον τῆς ἀγνώμονος εἶναι διαθέσεως τῆς δυσφημίας τὰ ῥήματα. Εἰωθότων γὰρ κατὰ Θεοῦ, καὶ κατὰ τῶν αὐτοῦ θεραπόντων γογγύζειν, καὶ κατεξανίστασθαι τῶν συμπληρούντων τὴν ἀγνώμονα, καὶ πεπωρωμένην, καὶ ἀθεράπευτον μοῖραν· ἀκόλουθός ἐστιν αὐτοῖς καὶ μελέτη, μάλιστα καὶ τῶν κακῶν ἁπάντων ἀντὶ τοῦ ἑαυτοὺς αἰτίους νομίζειν, εἰς τὴν τῆς σωτηρίας ἀπάσης πηγὴν, καὶ τῶν καλῶν αἴτιον τὰς αἰτίας ἀναφέρειν.

Etsi enim verba isthæc aliis quoque interpretationibus conciliari, et ad consentanei sensus connexionem, consensionemque inconcussam redigi possunt; prædictus tamen modus sufficit ad discutiendam ratiocinationum caliginem, et nubem ambiguitatis dissolvendam. Neque in dubium revocatur, quin ad vecordem Hebræorum animum blasphemiæ verba pertineant. Cum enim ii, qui vecordium, obduratorum, atque inemendabilium B hominum partem constituebant, contra Deum, ejusque ministros murmurare, atque insurgere soliti fuerint; consentanea etiam ipsis ea cura est, ut et præcipue malorum omnium, pro eo ac sese auctores arbitrentur, causas in totius salutis fontem, originemque bonorum transferant.

Ἀλλ' εἴρηται μὲν, ὅσα εἴρηται· τοῖς δὲ τὴν κριτικὴν ἕξιν τῇ τοῦ παναγίου Πνεύματος δυνάμει χαριτωθεῖσιν ὑπεξίσταμαι διαιτᾶν, καὶ τὰ κρείττω μᾶλλον τῶν ἄλλων ἀποδέχεσθαι, καὶ στέργειν. Ἐπὶ τέλει δέ μοι τοῦ λόγου περιῆλθεν ἡ μνήμη τῆς τοῦ Συμμάχου ἐκδόσεως, ἥτις εἰ κατ' ἀρχὰς ἐπέστη, οὐκ ἂν τοσούτων ἐνθυμημάτων, οὐδὲ περινενοημένων θεωρημάτων πρὸς τὴν λύσιν ἐδεήθημεν. Καὶ γὰρ ἐκεῖνος τὸ ῥητὸν οὕτως ἐκδέδωκεν, « Ὠργίσθης ἡμῖν ἁμαρτόντων· » ὅπερ οὐδὲν ἀμφίβολον, οὐδέ τινα παρέχεται ζήτησιν· φανερὰν δὲ, καὶ κρείττω προτίθησιν, ἢ διαπορεῖσθαι, τὴν διάνοιαν. Ἴσμεν γὰρ, ἴσμεν σαφῶς (37) ἅπαντες τὸ Θεῖον ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν ὀργιζόμενον. Οὐκ ἄδηλον δὲ, ὅτι μὴ μόνον αὐτὴ καθ' ἑαυτὴν ἡ τοιαύτη Ἔκδοσις διαλύειν ἐστὶν ἱκανὴ τὸ ἀπόρημα· ἀλλὰ καὶ ὅτι οὐκ ὀλίγας τῶν προειρημένων ἐπιλύσεων βεβαιοτέρας μᾶλλον ἀποφαίνει· οὐδὲ πρὸς τὰς λοιπὰς διαφερομένη, ἀλλ' ἐπὶ τῆς ἰδίας χρείας διαμένειν ἀπολείπουσα.

At ego quidem dixi, quæ dixi : Hæc autem iis, qui arte critica per Spiritus sancti virtutem præditi sunt, trado, ut concilient, et quæ meliora sunt, præ cæteris amplectantur ac probent. Porro dum diatribæ finem imponebam, venit mihi in mentem Symmachi versio; quam si statim a principio adduxissemus, utique non fuisset opus tantas commentationes, ratiocinationesque ad difficultatis solutionem excogitare. Is enim dictum illud ita C reddidit : « Iratus es nobis peccantibus (36); » quod quidem nullam ambiguitatem, ac nullam quæstionis materiam exhibet; perspicuum autem, et de quo ambigere nemo potest, sensum proponit. Novimus enim, novimus, inquam, luculenter omnes Deum propter peccata nostra irasci. Patet autem hujusmodi versionem non modo ipsam per se ad quæstionem dissolvendam sufficere, sed etiam non paucas ex allatis solutionibus magis magisque confirmare, dum ne discrepat quidem a reliquis, sed ipsas in propriis usibus permanere sinit (38).

ΕΡΩΤΗΣΙΣ ΜΓ'.

QUÆSTIO XLIII [*al.* XLII].

Τί δή ποτε τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος βαπτίζειν μυσταγωγήσαντος, οἱ ἀπόστολοι καὶ μαθηταὶ αὐτοῦ οὐχ οὕτως, ἀλλ' εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ ἐβάπτιζον; D

Curnam cum Dominus et Servator noster Jesus Christus in nomine Patris et Filii et sancti Spiritus baptizare docuisset, apostoli atque horum discipuli non sic, sed in nomine Domini Jesu baptizabant.

Edita ab Ang. Maio, *Nov. Coll.*, I, 90-120. De baptismo in nomine Jesu administrato.

α'. Τινὰς μὲν οὖν τῶν ἱερῶν ἀνδρῶν ἔστιν ἰδεῖν ἱσταμένους πρὸς τὸ ἄπορον, οὐ δι' ὧν τὸ ζήτημα διαλύε-

1. Sanctorum patrum nonnullos video ita in hac quæsti versantes, ut non tam illa argumenta

[39] Isa. LXIII, 17.

NOTÆ.

(36) Gratiæ Photio habendæ, quod hoc ex Symmachi versione λεῖψανον nobis servaverit; deerat enim in eis *Hexaplorum* ἀποσπάσμασι quæ Montfauconius collegerat.

(37) Ita in Vaticano ἐμφατικῶς legitur; Barberinus autem habet tantum ἴσμεν γὰρ σαφῶς.

(38) Calvinistas, qui Deum ad peccatum nos incitantem, imo cogentem somniantur, non minus in hac, quam in præcedenti lucubratione Photius luculentissime refellere, ac ne ex proposito Isaiæ loco novam sumant cavillandi materiam, antevertere videtur. Adnotandum vero quod Munsterus, ac Grotius, cæteroqui Catholicorum δογμάτων non nimis amici, illud *et peccavimus*, cui tota difficultatis moles innititur, *quia peccavimus* exponendum non inficiantur. Photius autem cæteris, quod scio, fusius ac planius proposita prophetæ verba commentatur; ac blasphemias ex Calvini errore erupturas quodammodo præsentit. De quibus videsis Dionysium Petavium *De Deo*, lib. X *De prædest.*, cap. 6 et seqq.

Digitized by Google

proferant, quibus controversia solvitur, sed ea potius quibus veniam impetrent iis qui mandato obtemperare non potuerunt, eosdemque crimine absolvant. Quippe fatentur discipulos non illo modo quo eruditi fuerant baptizavisse, sed in nomine Domini nostri Jesu Christi baptismum impertivisse, secundum œconomiam quamdam ac providentiam hac formula utentes : temporique et in primis instanti necessitati sententiam accommodavisse, dum ex utilitate et placito neophytorum mysticum hunc sacrumque ritum administrabant. Nam quod præ cæteris cernebant in vulgi animis antestare, eorumque cogitationibus perturbationem injicere, hoc apprime procurandum sibi studioseque præmuniendum putabant. Jamvero antestabat atque omnium difficillima videbatur hæc affirmatio, Servatorem scilicet esse Christum, præcipueque Dei Filium et Deum ejusque mandatis esse obediendum. Quod itaque magis indigum magisterii videbant, id cæteris prævertebant, atque ex hujus norma initiandam sacris multitudinem proselytorum existimabant. Quare baptismum haud in Patris et Filii et Spiritus sancti nomine impertiebant, verum Domino Jesu invocato, regenerationis lavacro lotos culpis purgabant : administrantes quidem cum Domini invocatione et appellatione sacrum munus, simulque docentes qui digni hac purgatione fuissent, eos per illum adoptionem consequi : quippe filios Dei per gratiam eum tantummodo posse arrogare, cui naturaliter atque ab æterno Filii atque Dei dignitas inest : qua ex re naturæ quoque unitas Patris et Filii ac Spiritus sancti conspicitur atque patescit. Jam qui adoptionem se per Filium consecutos credebant, eos par erat de ejus quoque divinitate, qui id donum contulerat, haud gravate assentiri. Sic itaque nonnullis visum est controversiam hanc dirimere.

2. Ego vero haud potis sum intelligere, quidquam aptius esse aliud, quod nedum nodum haud expediat, sed potius laqueum injiciat, et quidem non infirmiorem, eo qui supra memoratus est, ad constringendam controversiæ difficultatem. Imo vero demonstratio hæc erit atque accusatio dissidentium ac magistro discipulorum. Nam causa dissidendi haud est equidem dissonantiæ abrogatio, sed judicium de re interpositum, et proprii arbitrii Dominicæ voluntati præmeditata prælatio. Quænam autem gravior necessitas est, quam ut sacra scientia manifestetur, atque ut Trinitatis natura una visque una conjunctis nominibus reveletur? Et quidem discipuli haud recenter initiati fuerant, neque imperfecta adhuc conditione erant, neque voluntaria Servatoris passio non fuerat peracta, neque tegi usque ad tempus idoneum summa controversæ doctrinæ notitia jam postulabat : sed post crucem, post necem, post sepulturam, post inferorum reg-

ται, ἀλλὰ δι' ὧν συγγνώμη τοῖς μὴ δυναμένοις φυλάξαι τὰ προστεταγμένα λύει τὸ ἔγκλημα · ὁμολογοῦσι μὲν γὰρ τοὺς μαθητὰς, μὴ καθ' ὃν ἐδιδάχθησαν τρόπον βαπτίζειν· βαπτίζειν δὲ ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οἰκονομίας τινὸς καὶ προνοίας λόγῳ χρωμένους · καὶ τῷ καιρῷ καὶ τῷ κατεπείγοντι ἔτι μᾶλλον τὴν γνώμην ἁρμόζειν, πρὸς τὸ συμφέρον καὶ εὐπαράδεκτον τοῖς τῷ κηρύγματι προσιοῦσι τὴν μυστικὴν ταύτην καὶ ἱερὰν πρᾶξιν μεθοδεύοντας · ὃ γὰρ τῶν ἄλλων μᾶλλον ἐώρων τοῖς πλήθεσι προϊστάμενον καὶ θόρυβον τοῖς λογισμοῖς αὐτῶν παρεχόμενον, τοῦτο δὴ, τοῦτο προθεραπεύειν τε καὶ προκαταρτίζειν ποιεῖσθαι σπούδασμα · προῖστατο δὲ καὶ δυσπαράδεκτον ἐνομιζετο ὁμολογεῖν τε Σωτῆρα τὸν Χριστὸν καὶ μάλιστα Υἱὸν Θεοῦ καὶ Θεὸν, καὶ τοῖς ἐκείνου πειθαρχεῖν παραγγέλμασιν · ὃ τοίνυν ἐώρων μάλιστα διδασκαλίας δεόμενον, ἐκεῖνο τῶν ἄλλων προὐτίθεντο, καὶ κατ' ἐκεῖνο μυσταγωγεῖν τῶν προσιόντων τὸ πλῆθος ἐδοκίμαζον. Διὸ καὶ βαπτίζοντες οὐκ εἰς Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον ἐβάπτιζον, ἀλλὰ τὸν Κύριον Ἰησοῦν ἐπικαλούμενοι, τῷ λουτρῷ τῆς παλιγγενεσίας τῶν μολυσμάτων τοὺς λελουμένους ἐκάθαιρον · ἱερουργοῦντες μὲν τῇ τοῦ Διδασκάλου κλήσει καὶ ὀνομασίᾳ τὸ δῶρον · δι' αὐτοῦ δὲ εἰς υἱοθεσίαν τοὺς ἀξιουμένους τῆς καθάρσεως διδάσκοντες καταλέγεσθαι · υἱοὺς δὲ Θεοῦ κατὰ χάριν ἐκεῖνον μόνον δύνασθαι ποιεῖν, ᾧ κατὰ φύσιν τε καὶ ἐξ ἀϊδίου τὸ τῆς υἱότητος καὶ θεότητος ἐνυπῆρχεν ἀξίωμα · δι' οὗ καὶ τὸ ὁμογενὲς Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι συνθεωρεῖται καὶ συναναφαίνεται. Οἱ τοίνυν τὴν υἱοθεσίαν διὰ τοῦ Υἱοῦ πιστεύσαντες δέξασθαι, οὐδ' ὅτι Θεός ἐστιν ὁ ταύτην δωρούμενος βραδεῖς ἂν ὀφθεῖεν συγκατατίθεσθαι. Οὕτω μὲν οὖν ἐπῆλθέ τισι τὴν ἀπορίαν ἐπιλύεσθαι.

β. Ἐγὼ δὲ οὐκ εἰμὶ δυνατὸς συνορᾷν πῶς ἂν τις μᾶλλον δι' ἑτέρων ἢ διὰ τούτων ἀντὶ τοῦ λύειν, δεσμὸν ἐπιβάλλειν πειραθείη, οὐκ ἀσθενέστερον τοῦ προτέρου συμπλέκειν τὸ ἄπορον (39). Κατασκευὴ γὰρ μᾶλλον ἂν εἴη τοῦτο καὶ αἰτία τῆς τῶν μαθητῶν διαφωνίας πρὸς τὸν διδάσκαλον. Ἡ γὰρ αἰτία τοῦ διαφωνεῖν, οὐ μὲν οὖν οὐκ ἔστι τῆς διαφωνίας ἀναίρεσις, ἀλλὰ καὶ κρίσιν ταύτῃ συνάπτειν, καὶ τοῦ Δεσποτικοῦ φρονήματος διὰ μελέτης τὸ οἰκεῖον ἀνθαιρεῖσθαι. Τί δ' ἂν καὶ ἕτερον τῶν κατεπειγόντων μᾶλλον εἴη τῆς θεολογούσης ἐκφαντορίας καὶ τὸ τῆς Τριάδος ὁμοφυὲς καὶ ὁμοδύναμον συνεπτυγμένοις ἀνακαλυπτούσης ὀνόμασι; Καὶ τότε μυσταγωγουμένοις οὐκ ἐν ἀρχῇ, οὐ τῶν μαθητῶν ἐν τῷ ἀτελεῖ διακειμένων ἔτι, οὐδὲ τῶν ἑκουσίων καὶ σωτηρίων παθῶν ἐπιτελεῖσθαι μελλόντων, καὶ συσκιάζεσθαι τῷ καιρῷ τῆς ἀκριβείας τῆς ἐν κρίσει διδασκαλίας ἀπαιτούσης· ἀλλὰ μετὰ τὸν σταυρὸν, μετὰ τὴν ταφὴν, μετὰ τὸ σκυλευθῆναι τὰ τοῦ ᾅδου βασίλεια, καὶ δε-

NOTE.

(39) Nos Itali dicimus *scusa peggiore della colpa.*

Digitized by Google

σμοῖς ἀλύτοις παραδοθῆναι τὸν πολέμιον τοῦ γένους ἡμῶν, ἡνίκα τοῦ τάφου ἀνέστη καὶ τὴν κοινὴν ἀνάστασιν ἐνεκαίνισε, τότε δὴ τότε τὴν ἐξουσίαν ἁπάντων τῶν ἐπιγείων καὶ τῶν οὐρανίων ὁ φύσει ταύτην ἔχων τῇ θεϊκῇ καὶ κατὰ τὸ ἀνθρώπινον ἀναδεξάμενος, τότε τὸν βασιλικὸν τοῦτον καὶ σωτήριον νόμον, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ κρείττοσιν ἢ μετέχειν ὕλης ἐπιγείου, ταῖς τῶν ἀποστόλων διανοίαις ἐνεχάραξεν· οἱονεὶ προθέματά τινα δι' αὐτῶν καὶ προγράμματα ἀνὰ πᾶσαν ἁπλώσας τὴν οἰκουμένην, καθ' ἃ καὶ μυεῖσθαι καὶ τελειοῦσθαι τοὺς προσιόντας ἔδει τὴν εὐσέβειαν· « Πορευθέντες γάρ, φησὶ, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίσαντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν (δηλονότι καὶ πρὸ τῶν ἄλλων τὸ νῦν εἰσφερόμενον) πάντα ὅσα ἐνετειλάμην ὑμῖν. »

γ'. Τούτου δὴ τοῦ ἱεροῦ καὶ σωτηρίου προστάγματος, τί ἂν εἴη κατεπείγον μᾶλλον; τί δὲ κρίσεως ἀνθρωπίνης δέομενον, τῆς Δεσποτικῆς φωνῆς ἱερολογούσης τὸ δόγμα, καὶ σφραγῖδος πάσης ἀσφαλέστερον τὴν ψῆφον αὐτῷ περιτιθεμένης; Καί τοι γε εἰ καὶ ἄμφω τὸ κατεπεῖγον ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ διενέμοντο χρείᾳ, ὅ τε σωτήριος φημὶ νόμος, καὶ τῶν μαθητῶν ἡ γνώμη, οὐδ' ἕτερον διεφέρετο νόημα, οὐδ' οὕτως ἦν ἀνεκτὸν τῆς δεσποτικῆς μυσταγωγίας τὴν ὑπηρετοῦσαν γλῶσσαν ἔμπροσθεν ποιεῖν. Εἰ δὲ τῇ θέσει τῶν μαθητῶν ἡ τοῦ διδασκάλου ἀναίρεσις ἕπεται, πῶς οὐκ εἰς τόλμαν ἥκει δι' ἧς ὑβρίζεται τῆς συγγνώμης ἡ χάρις; τὴν μὲν Δεσποτικὴν κρίσιν μὴ τῶν κατεπειγόντων εἶναι νομίζειν, τὴν δὲ τῶν δούλων ἐπίνοιαν τῶν κατεπειγόντων· καὶ παρορᾷν μὲν οὗ μὴ ἔστι χωρὶς ἀπονοίας ὁμολογεῖν τὴν παρόρασιν, στέργειν δὲ καὶ προτιθέναι, ἧς ἡ κρίσις δίκη τοῦ κρίναντος. Ἀλλὰ γὰρ αὐτοί γε περιφανῶς οὕτω τοσαύτης καὶ τηλικαύτης ἐντολῆς ἰσχὺν παρορῶντες καὶ παραβαίνοντες, εἰ ὡς ἀληθῶς ἦσαν τῆς παραβάσεως, πῶς ἂν ἠδύναντο τοὺς τῶν ἱερῶν μαθημάτων ἀκροατὰς παραινεῖν ταῖς Δεσποτικαῖς ἐντολαῖς πειθαρχεῖν καὶ καθαρρυθμίζεσθαι, καὶ τῆς οἰκείας πολιτείας κατὰ ταύτας ποιεῖσθαι τὴν ἐπιμέλειαν; ἴσον γάρ ἐστι διὰ τῆς τῶν ἐντολῶν ἀθετήσεως πειρᾶσθαι φύλακας τῶν προσταγμάτων ποιεῖν, καὶ ἀθετεῖν αὐτοὺς ἀπαιτεῖν τὸ ἐν παραβάσει ἀπαράβατον. Οὗ τί ἂν ὁ ἐχθρὸς εὑρήσει μᾶλλον, δι' οὗ καὶ τὴν διδασκαλίαν ἐπαρθήσεται νοθεύειν, καὶ τὴν ἐσχάτην ὕβριν προσάψασθαι τῷ κηρύγματι;

δ'. Ταῦτα τοίνυν καὶ πολλὰ τοιαῦθ' ἕτερα διὰ τῶν εὐσεβῶν καὶ ἀδεκάστων προϊόντα λογισμῶν, καὶ τὴν νομισθεῖσαν λύσιν αἰτιώμενα ἄλλην τινὰ θεωρίαν τοῦ ζητήματος ἀνιχνεύειν ὑποτίθεται, δι' ἧς καὶ τὸ τῆς ἀπορίας δυσπρόσοδον ἐπὶ τὸ λεῖον καὶ ὁμαλὸν τῆς καταλήψεως ἀνευρύνεται, καὶ ὁ τῶν διαβουλίων ὄχλος διασκεδασθήσεται. Ὅτι μὲν γὰρ τῶν ἱερῶν ἀποστόλων αἱ παναγεῖς καὶ τελεστικαὶ τῆς εὐσεβείας Πράξεις ἱερουργοῦσαι τὸ βάπτισμα ὀνόματι Ἰησοῦ Χριστοῦ λέγονται τοῦτο τελεσιουργεῖν, οὐδεὶς τῶν

*** Matth. xxviii, 19, 20.

A gnum direptum, post generis nostri hostem insolubilibus vinculis traditum, postquam Christus sepulcro evaserat, communisque resurrectionis auspicium dederat; tum demum terrestrium omnium atque cœlestium potestatem, is qui divina natura jam eam tenebat, humana quoque natura recipiens; tunc, inquam, regalem hanc salutaremque legem haud in tabulis lapideis, sed in aliis terrenæ materiæ vilitatem excedentibus, nempe in apostolorum mentibus scripsit: edicto veluti quodam atque programmate universo orbi proposito, cujus verbis initiari et consecrari oportebat quicunque ad religionem accederent; nam; « Euntes, inquit, docete omnes gentes, baptizantes eas in nomine Patris et Filii et sancti Spiritus: erudientes ut omB nia (nempe in primis quod in præsenti mandaverat) quæcunque præcepi vobis observent ***. »

3. Sane hoc sacro Servatoris præcepto quidnam urgentius esse potest? quonam autem judicio hominum opus est, quandoquidem vox Dominica doctrinam hanc tradit, omnique sigillo tutiorem sententiam suam illi circumponit? Atqui si forte lex Servatoris et discipulorum opinio formula aliqua necessaria ad par ac simile officium uteretur, neque illæ duæ sententiæ inter se dissiderent, attamen ne tum quidem ferendum videretur, servilem linguam herili de re sacra doctrinæ anteponi. Quod si reapse discipulorum decreto magistrale ipsum antiquatur, nonne hæc gravis audacia est, quæ veniæ gratiam contumelia afficit? nempe si judicium C Dominicum in rerum necessariarum numero nequaquam habeatur; servorum autem excogitationes in necessariis reputentur: sique negligatur id, cujus neglectum sine vesania fateri non possumus, ametur autem atque anteponatur id, cujus electio damnatio eligentis est. Jam vero discipuli si talis tantique præcepti vim neglexissent ac violavissent, cum se reapse contumaciæ ejus reos præstitissent, num sacræ doctrinæ asseclas hortari poterant ut mandatis Dominicis obedirent, ad eaque se conformarent, suamque vitam ex horum præscripto regerent? Nam qui per ipsam præceptorum violationem, obedientes mandatis homines facere nititur, idem sibi licentiam aufert postulandi ab aliis ne D quod jam peccatum fuerit peccent. Quo quidnam opportunius inveniet hostis, unde et magisterium adulterare ausit, et extremam ignominiam Evangelio aspergere?

4. Hæ atque aliæ hujusmodi a piis profectæ incorruptisque ingeniis contradictiones, quæ justam postulant solutionem, impellunt nos ad indagandam aliam quæstionis explanationem, qua dubii asperitas ad intelligentiæ lævitatem atque planitiem dilatetur, et ambiguitatum molestia dispellatur. Profecto quod sancti religionisque suasores divorum apostolorum Actus baptismum in Christi nomine administratum dicant nemo sana audiendi vi præditus, negare audebit· verumtamen quinam

Digitized by Google

lorum verborum ac nominum sensus significatus sit, haud æque omnes intelligunt. Ait igitur princeps apostolorum Petrus, dum Judæos ad pœnitentiam hortaretur, veniamque iis patratæ cædis offerret : « Baptizetur unusquisque vestrum in nomine Jesu Christi in remissionem peccatorum [23-25]. » Rursumque divino afflatu ad baptizandum centurionem instinctus, Cornelium ipsum et qui cum eo erant regeneratione dignatus est, donum eis remissionis in nomine Domini impertiens. Præterea Ephesi quidam erant discipuli, qui Joannis tantum baptismo loti fuerant : atque hi post auditam Pauli prædicationem, cum iis piaculares ab Apostolo manus in nomine Domini Jesu Christi fuissent impositæ, cœleste adoptionis donum exceperunt, et sanctissimi Spiritus afflatum experti sunt [26]. Sæpenumero alias secundum hanc formulam baptismum administratum haud ægre invenies. Verumtamen, uti jam dictum est, sæpe facilis interpretatio in sacræ mentis sinibus condita, nisi eruditum judicium ac meditationem nanciscatur, neque obscuritate neque apparente repugnantia liberabitur. Namque inconsultus vocibus ipsis assensus, ac verborum prout sonant admissio, et alias multas multoties absurditates peperit, et nunc etiam non in duos solos ritus verendum regenerationis mysterium divideret, sed alios multos e divisione pullulantes exhiberet : siquidem ex incremento primo originem alia traherent; ita ut in multitudinem diduceretur unica atque individua religio, et uniformis atque unimoda sacrorum institutio : quæ rituum varietas minime auferri potest, nisi prima invecta diversitas, quæ divini præcepti prærogativam pessumdedit, simul auferatur.

ἀκοὴν ὑγιαίνουσαν ἐχόντων ἀντιλέγειν ὑποστήσεται. Τίνα δὲ διάνοιαν τὰ τοιαῦτα ῥήματα καὶ ὀνόματα ἀναπτύσσει καὶ διερμηνεύει, οὐκέτι παντός ἐστι συνιέναι. Λέγει μὲν οὖν ὁ κορυφαῖος Πέτρος εἰς μετάνοιαν τοὺς Ἰουδαίους ἐπαλείφων καὶ συγγνώμη. εὐαγγελιζόμενος τῆς μιαιφονίας· « Βαπτισθήτω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν. » Καὶ πάλιν ἐκ θείας ἐπιπνοίας τὸν ἑκατόνταρχον βαπτίσασθαι προτραπείς, αὐτόν τε Κορνήλιον καὶ τοὺς μετ' αὐτοῦ τῆς παλιγγενεσίας ἀξιοῖ, τὸ δῶρον αὐτοῖς τῆς ἀφέσεως ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἱερουργῶν. Καὶ κατὰ τὴν Ἔφεσον δὲ ἦσαν μαθηταὶ οἳ μόνον τῷ τοῦ Ἰωάννου βαπτίσματι ἐβαπτίσαντο· οὓς καὶ ἀκούοντας τοῦ Παύλου διδάσκοντος, ἡ ἱστορία ἀναγράφει ἐπιθέντος αὐτοῖς τοῦ Ἀποστόλου τὰς ἱλαστηρίους χεῖρας εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, τὸ οὐράνιον τῆς υἱοθεσίας δῶρον δέξασθαι, καὶ τῆς ἐπιφοιτήσεως ἀπολαῦσαι τοῦ παναγίου Πνεύματος. Καὶ μυρία δὲ ἄλλα τοιαῦτα κατὰ τὸν ὅμοιον τῶν ῥημάτων τύπον τοῦ βαπτίσματος ἐξενηνεγμένα ἀταλαιπώρως ἐστὶ καταλαμβάνειν. Πλὴν, ὡς εἴρηται, πολλάκις τὸ πρόχειρον τῆς ἑρμηνείας τῷ βάθει καταδυόμενον τῆς ἱερᾶς διανοίας, ἂν μὴ προσλάβῃ τὴν φιλολογοῦσαν βάσανον καὶ μελέτην, τῆς ἀσαφείας καὶ τῆς κατὰ τὴν ὑπόληψιν στάσεως οὐκ ἐθέλει ἀπαλλάττεσθαι. Καὶ γὰρ ἡ κατὰ τὰς φωνὰς ἀδιάκριτος συγκατάθεσις, καὶ ἡ κατὰ τὴν ἀπήχησιν τῶν ῥημάτων παραδοχὴ, ἄλλα τε πολλὰ τῶν ἀτόπων ἐν πολλοῖς πολλάκις ἀπέτεκε· καὶ νῦν ἂν οὐκ εἰς δύο τελετὰς μόνας τὸ φρικτὸν τῆς παλιγγενεσίας διακόψειεν, ἀλλὰ καὶ μυρίας ἄλλας τῇ κατατομῇ προβαινούσας ἐπιδείξει, τὴν πρώτην προσθήκην ἁφορμὴν εὑροῦσα τῶν μετὰ ταύτην· καὶ εἰς πλῆθος ἀπολεπτύνουσα τὸ ἑνιαῖον καὶ ἄτμητον τῆς εὐσεβείας, καὶ τὸ τῆς μυσταγωγίας μονοειδὲς καὶ μονότροπον· ἃς οὐκέτι παραγραφόμενον, οὐδὲ τὴν πρώτην ἐπεισελθοῦσαν, καὶ τὸ προνόμιον τῆς Δεσποτικῆς ἐντολῆς νοθεύσασαν, μὴ οὐχὶ συμπαραγράφεσθαι.

5. Cerne autem, sodes, quot in partes dividat atque dispertiat divinam cœlestemque adoptionis gratiam inconsiderata, ut diximus, verborum observantia, apud eos qui nolunt ad penetrale veritatis permeare. Quippe secundum eorum institutum, qui verba plus æquo suspiciunt, alter quidem ritus in nomine Jesu Christi baptizat, alter tantummodo in nomine Domini. Quamnam igitur ex his formulis in sacri muneris ministratione usurpabimus? Neque enim alternis et pro libito his dictionibus uti licet : et qui alterutram prædictarum abolet, is viam munit ad alias quoque abolitiones constabiliendas. Atque ita ritus cunctos inter se quasi prælio committent ii qui baptismum ex Dominica institutione celebrant. Quod si in mysticæ adoptionis formulis libera sit facultas hoc auferendi, illud adjiciendi; quis jam impediat, quominus alii alias, præter dictas, excogitent initiationes? Quanto igitur justius atque extra omnem controversiam est, eam stabiliter præ arbitrariis formulam retinere, quam ipsius veritatis lingua pro-

ε. Ὅρα δὲ εἰς πόσα κατατέμνει καὶ καταμερίζει τὸ θεῖον καὶ οὐράνιον χάρισμα τῆς υἱοθεσίας ἡ τῶν ῥημάτων ὡς πολλάκις ἔφημεν ἀβασάνιστος προσοχὴ, καὶ τὸ μὴ βούλεσθαι πρὸς τὸ βάθος τῆς ἀληθείας καταδύεσθαι. Ἡ μὲν γὰρ κατὰ τὴν ὑπόθεσιν τῶν πρὸς τὰς λέξεις κεχηνότων, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτίζει, ἄλλη δὲ ἐν τῷ ὀνόματι τοῦ Κυρίου μόνον. Τίνι οὖν τῶν εἰρημένων ἐν τῇ τοῦ δώρου τελεσιουργίᾳ χρησόμεθα; Οὐκ ἔχουσι γὰρ τὸ παραλλάττον οὐδὲ τὸ προκεκριμένον κεχρῆσθαι τοῖς βουλομένοις αἱ φωναί· καὶ ὁ μίαν τῶν εἰρημένων παραγραφόμενος, ἔδωκεν ὁδὸν δι' ἧς ἔξουσι τὸ κράτος καὶ τῶν ἄλλων αἱ παραγραφαί. Καὶ οὕτω πάσας κατὰ πασῶν παρατάττεσθαι συνελάσουσιν οἶμαι κατὰ τὴν δεσποτικὴν μυσταγωγίαν τελοῦντες τὸ βάπτισμα. Καὶ εἰ δέδοται κατὰ τὰς ἐκφωνήσεις τῆς μυστικῆς υἱοθεσίας τὸ μὲν ἀφελεῖν, τὸ δὲ προσθεῖναι, τί κωλύει πάλιν τοὺς βουλομένους καὶ παρὰ τὰς εἰρημένας ἑτέρας ἐπινοεῖν τελετάς; Πόσῳ δὲ μᾶλλον ἀντὶ τῶν οὐκ εἰρημένων ἦν ἡ τῆς ἀληθείας αὐτῆς ἀπεθέ-

[23-25] Act. II, 38; X 48. [26] Act. XIX, 5.

Digitized by Google

σπισε γλῶσσα ταύτην κρατύνειν, καὶ κατὰ ταύτην ἐκτελεῖν τὴν παλιγγενεσίαν ὅσιόν τε καὶ αἰτίας πάσης ὑπεράνεστηκός;

ς'. Καὶ οὔπω εἶπον τῶν ἐλέγχων τὸ ἄμαχον ὅτι δώσουσι κἂν μὴ θέλωσιν οἱ τὴν δεσποτικὴν μυσταγωγίαν ἀπ' ἀρχῆς λιπόντες, ἀπείρους τὰς τῆς μιᾶς υἱοθεσίας τελετάς, καὶ εἰς χλεύην τὸ χάρισμα περιστήσουσι. Βαπτίσουσι δὲ καὶ οὐκέτι τοῦ ἱερέως τὰς θεοπρεπεῖς μυσταγωγοῦντος κλήσεις, ἀλλ' αὐτοῦ γε τοῦ μυουμένου πρὸ τοῦ μυηθῆναι τὴν μυσταγωγὴν πρᾶξιν ἁρπάζοντος, καὶ τότε οὐχ ἑτέρους ἀλλ' ἑαυτὸν καθαίροντος τῷ λουτρῷ τῆς παλιγγενεσίας. Καὶ γὰρ ἐν αὐταῖς ἐστι τῶν ἀποστόλων εὑρεῖν ταῖς ἁγιοπρεπέσι Πράξεσιν, ὡς τῶν μαθητῶν εἷς ὑπάρχων ὁ Ἀνανίας, καὶ θείας δύσεως προσταττούσης εἰς τὸν χορὸν τῶν ἀποστόλων συναγαγεῖν τὴν διώκτην καὶ δεινὸν πολέμιον τῆς εὐσεβείας τὸν οὔπω Παῦλον γεγονότα, ἡνίκα καὶ τὸ σωματικὸν σκότος τῶν δύσεων τῇ τῆς χειρὸς ἁφῇ ὁ μυσταγωγὸς τοῦ μυουμένου περιεῖλε, τότε δὴ τότε ὁ Ἀνανίας πρὸς τὸν ἐκ σκότους εἰς τὸ φῶς καὶ τὸν νοῦν καὶ τὰς ὄψεις μεταβεβλημένον, καὶ νῦν, φησὶ, Τί μέλλεις; Ἀναστάς, βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Κυρίου· σὺ ἐπικαλεσάμενος, ἀλλ' οὐχὶ τινὸς ἑτέρου μυοῦντος οὐδὲ ἐπᾴδοντος τὰς θεολόγους κλήσεις. Τί λέγεις, ὁ μυούμενος πρὶν ἢ τυχεῖν τῆς μυήσεως ἐμυσταγώγει; ὁ τῆς παλιγγενεσίας δεόμενος, αὐτὸς ἐνήργει τὴν παλιγγενεσίαν; ὁ τοῦ ἱερέως χερσὶ καὶ χείλεσι τελειούμενος, αὐτὸς τὸ ἐκείνου ἁρπάζων ἀξίωμα ἑαυτῷ τὴν τελειότητα περιτίθησι; Τὸ γὰρ τοῦ γράμματος ἐπιπόλαιον, ᾧ πεποιῶτες τὴν Δεσποτικὴν ἐντολὴν παραγράφονται, τοῦτο νομίζειν αὐτοὺς καὶ μὴ βουλομένους ἀπαιτεῖ. Τρόπος οὖν οὗτος ἄλλος μυήσεως μηδενὶ τῶν προειρημένων συμφερόμενος. Ὅταν δὲ ὁ κορυφαῖος τὰς καθολικὰς παραινέσεις γράφων τοῖς τῶν Ἰουδαίων ἐν διασπορᾷ, τῷ δρόμῳ τῆς γλώττης καὶ τῷ τάχει τῆς γραφῆς χερσὶν ἀμφοῖν καθυπάτευε (40), τὸ βάπτισμα συνειδήσεως ἀπεθέσπισεν ἀγαθῆς, οὐκ ἐκ τρίποδος χρώμενος μαντικοῦ, ἀλλ' ἐκ θεολήπτου ψυχῆς ἱερολογῶν· ἀλλ' ἄρα οὐχὶ σὺ πάλιν ἁρπάσαις τὴν λέξιν, καὶ μυσταγωγίας ἑτέρας εἰσήγησιν οὐκ ἀνακηρύξαις, καὶ λουτρὸν ἐγκαινίζειν ἁμαρτημάτων καθάρσιον, οὐκ ἐπ' ὀνόματι τοῦ Κυρίου Ἰησοῦ τελούμενον, οὐδὲ κατ' ἄλλον τινὰ τῶν εἰρημένων λόγον μυσταγωγούμενον, ἀλλὰ συνειδήσεως ἀγαθῆς εἰς Θεὸν ὑπάρχον ἐπερώτημα; Ὁρᾷς ὅσοις ἀτόποις ἑαυτοὺς ἐκδιδόασιν, οἷς ἡ τῶν ὀνομάτων ἀβασάνιστος προφορὰ τῆς ἐν τοῖς πράγμασιν ἀληθείας προτετίμηται; Ἀλλὰ τί φημι καὶ ἕτερόν τι τῶν εἰρημένων οὐδενὸς ἀνεπαχθέστερον, ἵνα μὴ λέγω πάντων βαρύτερον; Ἡ τοῦ πνεύματος μεγαλόφωνος σάλπιγξ Παῦλος ὁ μετάρσιος ἄνθρωπος μέγα καὶ περιφανὲς ἀπεσάλπισεν, ὡς εἰς τὸν θάνατον Χριστοῦ ἡμεῖς ἐβαπτίσθημεν. Ἀκούεις, ἄνθρωπε, ἀλλὰ προεῖ-

nuntiavit, atque hujus verbis regenerationem peragere?

6. Nondum tamen invictam protuli opinionis hujus refutationem; nempe quod qui Dominicum initiationis ritum deserere cœperint, ii vel inviti innumerabiles unius adoptionis rationes procudent, gratiamque hanc ludibrio objicient. Baptizabunt enim haud jam sacerdote divinas præeunte invocationes verum ipso neophyto, antequam initietur, mystagogicum actum sibi vindicante: ita ut haud alios sed ipse se lavacro regenerationis expiet. Etenim in sanctis ipsis apostolorum Actibus [36], Ananias ex discipulis unus, cœlesti viso jussus in apostolorum cœtum ascribere persecutorem illum acremque religionis hostem, nondum Paulum effectum; posteaquam corporeas tenebras manu imposita initiator initiato eripuit, tunc demum Ananias homini, qui mentis simul et oculorum visum receperat: Quid moraris, ait? Surge, baptizare, et tuas culpas elue, nomen Domini invocans: tu, inquam, ipse invocans, non alius initians neque divinas invocationes præcinens. Quid ais? tiro nondum initiatus, jam tamen mystagogus erat? regenerationis indigus, auctor fiebat regenerationis? qui sacerdotis manibus labiisque initiandus erat, ipse hujus dignitatem invadens, consecrationem sibimet circumponebat? Nam litteræ superficies, qua freti Dominicum præceptum abrogant, sic eos statuere, etsi præter voluntatem, cogit. Alius igitur hic est initiationis ritus, nullique superiorum similis. Quid vero cum princeps apostolorum generales adhortationes dispersis Judæis scribens, linguæ cursu scripturæque celeritate manibus scilicet ambabus gubernans, baptismum conscientiæ bonæ nuntiavit [37], haud sane fatidico insistens tripodi, sed afflato divinitus animo loquens? nonne tu hac protinus dictione abrepta, consecrationis alterius inventionem prædicabis, novum nempe lavacrum peccata expians, neque id in Domini Jesu nomine peragendum, neque alio quovis prædictorum modorum concelebrandum, sed quod conscientiæ bonæ in Deum interrogatio sit? Hem quantis se absurditatibus implicant hi, qui inconsultam verborum pronuntiationem veritati rerum anteponunt! Cur porro jam memorem exemplum aliud minus molestum, ne dicam omnium gravissimum? Clarissima sancti Spiritus tuba Paulus, ille mortalis adhuc in cœlum sublatus, valide perspicueque personuit, nos in Christi morte fuisse baptizatos. Audin' homo? Atqui idem Paulus antea dixerat, « Quotquot in Christo baptizati sumus [38]. » Ergo duæ jam sunt initiandi formulæ, secundum eorum opinionem qui sine judicio ullo vocabulis utendum esse pronuntiant.

[36] Act. IX, 10 seq. [37] I Petr. III, 21. [38] Rom. VI, 3.

NOTÆ.

(40) Eleganter hoc utitur Photius ignoto nostris fortasse lexicographis consulari verbo; quia sermo est de Ecclesiæ supremo gubernatore Petro, quasi Christianæ reip. consule.

Digitized by Google

πεν αὐτός· « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν. » Οὐκοῦν ἅμα δύο μυσταγωγίαι κατὰ τὴν ὑπόθεσιν τῶν ἀδιακρίτως κεχρῆσθαι δογματιζόντων τοῖς ὀνόμασι.

7. Quid ergo dicendum est? Profecto harum convictionum æqua consideratio non solum coarguit eorum hominum indefinitam rationem, qui varias præter Dominicam initiandi formulas a discipulis traditas incredibiliter fingunt; sed eadem quoque videtur inserere Dominico effato alias voces, quas indifferentiam erga illud haud satis tueri, non absurde causari licet. Atqui revera negotium non ita se habet: non enim voces illæ quidquam fieri statuunt, præter Dominicæ locutionis terminos atque oraculum; neque sibi prærogativam hujus vindicant; sed ipsæ potius ad prædictam illam regenerationis formulam referuntur, atque eamdem tota suorum varietate verborum significant ac designant. Quid igitur dicendum est? quid, inquam, aliud præter id quod jam dictum est? nimirum generali notione dicendum est, omnia quæ regenerationem significant nomina, vice fungi facularum quarumdam lucentium, quæ in divinum illum et originalem et immortalem ac perennem ignem refunduntur. Neque sane ipsæ ignis ille purgatorius sunt, neque per ipsas regeneratio fit: nam unus est qui inenarrabilem gratiam atque adoptionem confert ignis, illæ autem faculæ hunc ostendunt, aliæ quidem clarius, aliæ paulo obscurius ita tamen ut unam eamdemque initiationem mystice atque arcane nobis significent. Profecto considerandi studiosis, atque iis qui ad cognoscendum nominum verborumque sensum gratia spiritus adjuvantur, cuncta quæ supra singillatim dicta fuere, baptismum in Patre et filio et Spiritu sancto prædicant. Verum ii qui in aurium tantummodo limine vocabuli sonum excipiunt, cæco autem interiore judicio utuntur, innumeris circumferri erroribus solent.

ζ'. Τί οὖν δεῖ λέγειν; Ἡ γὰρ τῶν ἐλέγχων ἀδέκαστος συνεξέτασις, οὐκ ἐκείνους μόνους ἐλέγχειν ἔσχε τὸ ἀπαράγραπτον, οἳ διαφόρους μυσταγωγίας παρὰ τὴν δεσποτικὴν τερατολογοῦσι τοὺς μαθητὰς ἐπιδείξασθαι, ἀλλά γε δοκεῖ παρενείρειν ὅλως τῆς Δεσποτικῆς ἱερολογίας προκειμένης ἑτέρας φωνάς, αἳ μὴ κατὰ πάντα πρὸς αὐτὴν τὸ ἀπαράλλακτον διασώζουσιν [a] ἀποφαίνειν οὐκ ἀναίτιον. Τὸ δὲ, οὐδὲν τοιοῦτόν ἐστιν· οὐ γὰρ ἀντινομοθετοῦσι πράττειν παρὰ τὸν ἐκείνης ὅρον καὶ τὸ θέσπισμα, οὐδ' εἰς ἑαυτὰς περιΐστῶσι τὸ ταύτης προνόμιον, εἰς αὐτὴν δὲ μόνην ἀναφέρουσι τὸν τῆς παλιγγενεσίας λόγον, καὶ ταύτην ἐν τῇ ποικιλίᾳ τῶν ὀνομάτων διασημαίνουσί τε καὶ ἀπαγγέλλουσι. Τί οὖν δεῖ λέγειν; τί δὲ ἄλλο παρ' ὃ εἴρηται; καὶ παραδειγματικῶς εἰπεῖν ὅτι πάντα ὅσα τὴν παλιγγενεσίαν ἐπισημαίνονται, οἷον λαμπάδες εἰσί τινες φωταυγοῦσαι, καὶ πρὸς τὸ θεῖον καὶ πηγαῖον ἐκεῖνο καὶ ἀκήρατον καὶ ἀένναον ἀναχεόμεναι. Οὐ μὴν αὗταί γε εἰσὶ τὸ καθάρσιον πῦρ, οὐδὲ κατὰ ταύτας τελεσιουργεῖται ἡ ἀναγέννησις· ἀλλ' ἓν μέν ἐστιν ἐκεῖνο τὸ τὴν ὑπὲρ λόγον χάριν καὶ υἱοθεσίαν χαριζόμενον, ἐκεῖνα δὲ τοῦτο παραδηλοῦσι· τὰ μὲν σαφέστερον, τὰ δὲ αἰνιγματικώτερον καὶ τὴν αὐτὴν ἡμῖν καὶ μίαν μυσταγωγίαν μυστικῶς τε καὶ συνεπτυγμένως ὑποσημαίνονται. Καὶ γὰρ τοῖς μὲν φιλοθεάμοσι καὶ νοῦν ὀνομάτων καὶ ῥημάτων κατανοεῖν χάριν παρὰ τοῦ πνεύματος εἰλήφασιν, ἕκαστον τῶν ἀνὰ μέρος εἰρημένων τὸ εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον ἀπαγγέλλουσι βάπτισμα. Τοῖς δὲ μέχρι τῆς πύλης τῶν ἀκοῶν τὸν ἦχον παραδεχομένοις τοῦ ῥήματος, τὸ δ' ἔνδον κωφὸν προϊεμένοις κριτήριον, μυρίοις ἂν εἴη περιπταίειν τοῖς παραπτώμασιν.

8. Neque in hoc solum, quod nunc versamus, proposito multi re omissa nudis vocibus hærent: verum etiam alias sæpissime: quo fit ut hæretica exoriantur zizania, quæ nullum utilem fructum afferunt, imo vero exitialia venena generant. Aliter se gerit pietas, quæ sane ubique spiritum potius quam litteram consectatur, et religionis fructum percipit, ejusque alimonia fruitur, sine ulla serpentini seminis insitione, imo draconis veteris ne vestigio quidem usquam obvio. Nam cur dicere liceat, baptizare in Christo, aliam esse legem baptismi? item cur alia lex sit, baptizare in Christi morte? Nam si utraque locutio lex initiandi est, profecto leges invicem repugnant. Porro quibus argumentis alterutram convellere machinaberis, iisdem reliquam simul evertes. Similiter si hæ locutiones vim latæ legis haberent, illa jam Dominico ore pronuntiata initiandi formula non immerito videretur inutilis ac supervacanea: vel

η'. Οὐκ ἐπὶ μόνης δὲ τῆς παρούσης ὑποθέσεως ψιλαῖς ταῖς λέξεσι πολλοὶ τῶν πραγμάτων ἀποστάντες περικάθηνται· ἀλλὰ καὶ ἐπὶ μυρίων ἄλλων, δι' ὧν τὰ αἱρετικὰ τῆς Ἐκκλησίας παραφυέντα ζιζάνια, καρπὸν μὲν οὐδένα τρόφιμον γεωργεῖ, δηλητηριώδη δὲ βλαστάνει φάρμακα. Ἀλλ' οὐχ οὕτως ἡ εὐσέβεια, πανταχοῦ δὲ μᾶλλον τοῦ πνεύματος ἢ τοῦ γράμματος γινομένη, καὶ τὸν καρπὸν τῆς εὐσεβείας τρυγᾷ, καὶ τροφῆς ἀπολαύει, οὐδεμιᾶς ἐπιμιγνυμένης αὐτῇ δρακοντείας ἐπισπορᾶς, ἀλλ' οὐδὲ ἴχνος οὐδὲν ὑποφαινούσης τοῦ παλαιοῦ ὄφεως. Ἐπεὶ πῶς ἂν εἴη λέγειν ὡς τὸ εἰς Χριστὸν βαπτίζειν, ἕτερος νόμος βαπτίσματος; πῶς δ' ἄλλος τὸ εἰς τὸν τοῦ Χριστοῦ βαπτίζειν θάνατον; Εἰ γὰρ τῆς μυσταγωγίας νόμος ἦν τούτων ἑκάτερον, ἀλλήλοις ἀντενομοθέτουν ἄν· καὶ δι' ὧν τις ἀνατρέπειν ἐπεχείρει θάτερον, τὸ λοιπὸν συνανέτρεπεν. Ὡσαύτως δὲ καὶ εἰ νόμων εἰσφορᾶς προνόμιον εἶχον τὰ τοιαῦτα, οὐκ ἀλόγως ἂν καὶ ἡ δεσποτικὴ μυσταγωγία εἰς τὸ περιττόν τι καὶ ἄχρηστον παρ-

VARIÆ LECTIONES.

[a] Num scribendum ἃς — διασώζειν?

Digitized by Google

εδύετο· κἀκείνη πάλιν τούτων ἁπάντων εἰσηγεῖτο μετὰ λαμπροτέρας τῆς ἰσχύος καὶ τοῦ ἀξιώματος τὴν ἀναίρεσιν. Οὐκοῦν καὶ ἀπὸ τῆς ἄλληλα τῶν πολλάκις εἰρημένων ῥημάτων ἀποσκευάσασθαι. Ἀλλὰ τί ποτε ἦν ὃ λέγει, ἢ ὅτι διὰ τοῦτο μὴ προηγούμενον ἔργον ἐθέμην τὸ βάπτισμα; « Ἵνα μὴ τῷ πλήθει τῶν βαπτιζομένων δόξαν ἐμαυτῷ περιάπτειν τοῖς βασκάνοις λέγειν, καὶ τὰ κάλλιστα τῷ φθόνῳ βάλλειν βίον ποιουμένοις, πρόφασιν ἐπὶ διαβολῇ παρέξω, καὶ τὴν σωτηρίαν τῶν ἀναγεννωμένων καπηλεύειν, ἐπαίνοις ἰδίοις τὸ δῶρον τοῦ Πνεύματος ἐνυβρίζων. » Καὶ δι' ἄλλων δὲ μυρίων ἔστι συνιδεῖν, ὡς ἡ δόξα καὶ ὁ ἔπαινος καὶ ἡ τιμὴ σημαίνεται τῷ ὀνόματι.

A potius hæc ipsa prædictarum omnium pro sua luculentiore vi ac dignitate abrogationem inveheret. Quare formulæ jam sæpe memoratæ invicem expungerent. Quid autem Pauli illud dictum? se nimirum haud præcipuam dedisse operam ut baptizaret : « Ne, inquit, multitudine baptizatorum gloriam mihimet me quærere dicerent invidi : neve iis calumniandi ansam præberem, qui optima quæque livore suo insectari solent; atque ita salutem renatorum lucro haberem, dum laudibus propriis adversus Spiritus donum injurius fierem[39]. » Demum ex innumeris aliis locis cognoscere possumus gloriam et laudem et honorem vocabulo *nomen* significari.

θ'. Καὶ δὴ διὰ τούτων ἡ τοιαύτη θεωρία, καὶ ἐπ' αὐτὰ τὰ καθέκαστα τῶν ὀνομάτων διαβαίνει. Ἃ δὴ τὸν διαφορισμὸν καὶ τὴν διαστολὴν ποιεῖται τῶν προσώπων· καὶ νῦν μὲν μίμησίν τινα καὶ ὁμοίωσιν τοῦ κατάρξαντος προσώπου πράξεώς τινος μεγαλοπρεποῦς ἀπαγγέλλει· νῦν δὲ φυλακὴν καὶ συντήρησιν τῶν παραγγελμάτων ὑπογράφει. Ταύτῃ γὰρ καὶ εἰς τὸν Μωσῆν οἱ Ἰσραηλῖται βαπτίσασθαι (41) λέγονται· οἷον ἐκεῖνον μιμούμενοι τὴν ὑγρὰν φύσιν πεζοποροῦντες ποσὶν ἀβρόχοις διέβησαν· καὶ τῆς πράξεως ἡγεμόνα ποιησάμενοι, καὶ πρὸς αὐτὸν ὁρᾷν ὅλην τὴν ἐλπίδα ἀναθέμενοι, τῶν Αἰγυπτίων τῆς ἐπιβουλῆς ὤφθησαν κρείττους· καὶ οἷς αὐτοὶ ῥείθροις οὐδὲ τοὺς πόδας ἐνοτίζοντο, τούτοις ὑποβρυχίους γινομένους τοὺς διώκτας ἔβλεπον· καὶ διπλαῖς εὐφροσύναις ἐνετρύφων, τῆς τε τῶν ἐχθρῶν παραδόξου πανωλεθρίας, καὶ τῆς ἰδίας ὑπὲρ λόγον σωτηρίας. Τοιαύτης τινὸς ἀκολουθίας ἔχεται, καὶ ἅπερ τῆς οἰκουμένης ὁ Διδάσκαλος φησίν· « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· διὰ μὲν γὰρ τοῦ » Εἰς Χριστὸν ἐβαπτίσθημεν, « τὸ κατὰ τὴν ἐκείνου μυσταγωγίαν καὶ τὴν παραδεδομένην τελετὴν ἀπαγγέλλει καὶ ἡμᾶς τὴν ἀναγέννησιν ἐπιτελεῖν· διὰ δὲ τοῦ » εἰς τὸν θάνατον αὐτοῦ, « οὐχ ὅτι τὸ λουτρὸν τῆς παλιγγενεσίας τῇ τοῦ Δεσποτικοῦ θανάτου ἐπικλήσει τελεσιουργοῦμεν· μὴ γένοιτο· Εὐνομίῳ γὰρ τὸ ἀνομοίῳ τὸ τοιοῦτον ἐτολμήθη παρανόμημα (42)· ἀλλ' ὅτι οἱ βαπτιζόμενοι εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ὡς ἐν ἱεροῖς συμβόλοις καὶ κρυφιομύστοις αἰνίγμασι τὸν τοῦ Σωτῆρος ἐκμιμοῦνται θάνατον, καὶ ὑπογράφουσι καὶ διατυποῦσιν ἅπερ ἐκὼν ἐκεῖνος ὑπέμεινε· τὴν μὲν τριήμερον ἐν τῷ ᾅδῃ διατριβὴν ἐξεικονίζοντες τῇ τριπλῇ καταδύσει· τῇ δὲ ἴσῃ πάλιν ἀναδύσει, τὴν τριήμερον ἀνάστασιν, δι' ἣν καὶ ἡ ἀποκατάστασις ἡμῖν τοῦ παλαιωθέντος Ἀδὰμ καὶ ὁ ἀνακαινισμὸς συνεξεικονίζεται. Ἐπεὶ καὶ αὐτὸ τὸ εἰς Χριστὸν βαπτίζεσθαι, καὶ τὸ εἰς τὸν θάνατον αὐτοῦ, καὶ εἰς ἓν

B 9. Quin adeo doctrina hujusmodi per singula nomina hoc pacto deducitur. Etenim nomina apprime quidem personarum discrimen distinctionemque efficiunt : et modo quidem imitationem quamdam similitudinemque denotant personæ alicujus, quæ facinus illustre aggreditur; modo autem mandatorum curam atque observantiam significant. Sic enim et Israelitæ in Mose baptizati dicuntur[40] : quippe qui hujus exemplo humidum elementum siccis pedibus permearunt : quem dum sequuntur ducem, dumque in ejus respectu spem omnem collocant, Ægyptiorum laqueis evaserunt : et quibus ipsi fluctibus ne pedum quidem tenus humectati sunt, iisdem obrutos persecutores suos viderunt : duplicique gaudio elati sunt, nempe et C hostium insperato exitio, et suæ salutis miraculo. In hanc ferme sententiam conspirant etiam quæ mundi doctor ait : « Quotquot in Christo baptizati fuimus, in ejus morte sumus baptizati. » Nam verbis « in Christo baptizati sumus, » utique docet, juxta illius ritum mandatamque initiandi formulam, a nobis fieri regenerationem; verbis autem « in ejus morte, » haud sane ait nos lotionem regenerationis cum Dominicæ mortis invocatione peragere; quod absit; namque anomœus Eunomius hoc crimen ausus fuit : sed ait baptizatos in nomine Patris et Filii et Spiritus sancti, quasi sacris symbolis arcanisque mysteriis Dominicum obitum D imitari; atque oculis subjicere et deformare quæ ille sponte perpessus est : scilicet triduanam apud inferos moram triplici mersione repræsentare : rursusque totidem emersionibus resurrectionem tertia die peractam; cujus beneficio redintegratio nobis veteris Adami renovatioque conficitur. Siquidem et locutiones in Christo baptizari, et in morte ejus, et in uno corpore, et in nomine Christi, et aliæ hujusmodi, quod quidem attinet ad nominum verborumque figuram, haud magnopere

[39] I Cor. I, 14. [40] I Cor. X, 2.

NOTÆ.

(41) In concilio generali quinto ed. Colet. t. IX, p. 209, quidam reprehendit Theodorum Mopsuestenum quia locutionem *baptizari in nomine Christi* comparaverat cum hac, *baptizari in Mose*.

(42) Veterum auctorum testimonia, qui hujus criminis Eunomium postulaverunt, profert Ursus cardin. in Dissert. de baptismo in Christi nomine part. II, p. 64 seqq. Legatur etiam Harduinus in dissertatione item de baptismo in Ch. nom. *Thesaur. theolog.* tom. X, part. I, p. 104.

Digitized by Google

discrepare inter se videntur; verumtamen sententiæ vi, et ipsius rei definitione ac notatione, mirum quantum inter se differunt.

τοῦ νοήματος, καὶ διακρίσει καὶ ἀπαγγελίᾳ τοῦ πράγματος, μεγίστην ὅσην τὴν διαφορὰν ἐμφανίζουσιν.

10. Quod autem alio etiam sensu nomen significet prædicationis vim, Pauli initiator Ananias manifeste docuit, cum ea se passurum timeret quæ non temere ex Saulo exspectanda erant. Divino enim recepto oraculo ut persecutorem sacris imbueret: « Audivi, inquit, Domine, a multis de viro hoc, quanta is mala sanctis tuis intulerit in urbe Hierosolymis [31]. » Tum addidit: « Et quidem huc etiam accepta a sacerdotibus potestate venit vinciendi omnes qui hoc nomen invocant [32]. » Atqui fidelium nemini negotium studiumque erat, ut nudum Christi nomen inclamaret, neque ut absque dogmatum rectitudine traditaque ab illo fide, hanc labiorum tenus invocationem, salutiferi nuntii loco haberet. Sed reapse nomen Christi invocantes dicit illos, quos fides in eum ornabat, et qui evangelicorum sacrorum studium præ se ferebant, quique ad pietatem summo conatu enitebantur. Hoc autem quid aliud erat præter quam credere ac prædicare Servatorem nostrum Dei esse Filium, Patrique consubstantialem: « Ego enim, inquit, et pater unum sumus [33]? » nec non sanctum Spiritum a Patre procedentem, atque ab ejus gloria ac divinitate minime alienum? Nam qui naturaliter, imo vero supernaturali maxime et inenarrabili ratione a paterna substantia procedit, hunc oportet producentis gloriam et potestatem et vim secum deferre, atque illibatum inenarrabilis substantiæ characterem retinere. Constat insuper Filium, qui Patris splendor est, omnia secum ferre quibus gignens Pater per radios divinitatis formam Geniti convenustavit, conjunctamque naturam patefecit. Hac igitur theologica initiatione multitudo credentium imbuebatur. Jure autem Servatoris nomen dicuntur invocavisse, quia doctrinæ, cujus ipse antecessor erat, rationem veram hi retinebant.

ι'. Ὅτι μέντοι τὸ ὄνομα καὶ τρόπον ἄλλον τὴν τοῦ κηρύγματος δύναμιν ἀπαγγέλλει (45), ὁ τοῦ Παύλου μυσταγωγὸς Ἀνανίας, ἡνίκα φόβῳ τοῦ παθεῖν ἅπερ ἦν εἰκὸς ὑπονοεῖν τὸν Σαῦλον ποιεῖν, σαφῶς παριστᾷ. Πρὸς γὰρ τὸν χρηματίζοντα αὐτῷ μυσταγωγῆσαι τὸν διώκοντα· « Κύριε, ἀκήκοα, φησὶν, ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ. » Εἶτα· « Καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου· » καίτοι τῶν πιστῶν οὐκ ἦν ἔργον οὐδὲ σπούδασμα οὐδενὶ ψιλὸν τὸ τοῦ Χριστοῦ ὄνομα ἀναβοᾷν· οὐδὲ χωρὶς τῆς δογματικῆς ὀρθότητος καὶ τῆς πίστεως ἣν ἐκεῖνος ἐμυσταγώγησε, τὴν κλῆσιν ἀπαγγελίαν διὰ τῶν χειλέων ποιεῖν· ἀλλά γε νῦν ἐπικαλουμένους ἐκείνους τὸ ὄνομα λέγει τοῦ Χριστοῦ, ὅσους ἡ εἰς αὐτὸν ἐκόσμει πίστις, καὶ τῆς κατ' αὐτὸν μυσταγωγίας ἐνῆν ὁρᾶν ἐραστὰς, καὶ τῆς εὐσεβείας ἀγὼν αὐτοῖς ἡ ἀκρίβεια. Τί δὲ τοῦτο ἄλλο ἦν, ἢ τὸ φρονεῖν καὶ κηρύττειν Υἱὸν μὲν τοῦ Θεοῦ τὸν Σωτῆρα εἶναι, καὶ τῷ Πατρὶ ὁμοούσιον; « Ἐγὼ γὰρ, φησὶ, καὶ ὁ Πατὴρ ἓν ἐσμεν; » Καὶ μὴν τὸ πανάγιον Πνεῦμα ὡς ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον (44), καὶ τῆς αὐτοῦ δόξης τε καὶ θεότητος οὐκ ἀλλοτριούμενον· τὸ γὰρ κατὰ φύσιν μᾶλλον δὲ ὑπερφυεστάτῳ καὶ ἀφράστῳ λόγῳ τῆς πατρικῆς οὐσίας προῖὸν, τοῦ προβαλλομένου τὴν δόξαν καὶ τὴν ἐξουσίαν καὶ δύναμιν ἐν ἑαυτῷ φέρειν οἶδε, καὶ τὸν χαρακτῆρα τῆς ὑπὲρ λόγου οὐσίας ἀπαραχάρακτον συντηρεῖν. Δῆλον δὲ ὅτι καὶ ὁ Υἱὸς ἀπαύγασμα ὢν τοῦ Πατρὸς, ἅπαντα φέρειν ἐν ἑαυτῷ ὅσα γεννῶν ὁ Πατὴρ ταῖς ἀκτῖσι τῆς θεότητος τὴν μορφὴν ὡράϊζε τοῦ γεννήματος, καὶ τὸ συγγενὲς ἀνεκήρυττε. Τῇ τοιαύτῃ τοίνυν θεολόγῳ μυσταγωγίᾳ τῶν πιστευόντων ἐτελεῖτο τὰ πλήθη. Καὶ δικαίως ἂν λέγοιντο τὸ ὄνομα τοῦ Σωτῆρος ἐπικαλεῖσθαι, διότι τοῦ δόγματος οὗ διδάσκαλος ἐχρημάτιζεν, αὐτοὶ διέσωζον τὴν ὀρθότητα.

11. Sed enim progrediens sermo aliis quoque argumentis sententiæ hujus probabilitatem astruet. Quippe Christi oraculum, ut a metu atque consternatione initiatorem Pauli revocet; quem exhorres, ait, ac veluti inimicum salutaris prædicationis extimescis: « Is est mihi vas electionis. » Addit: « Ut portet nomen meum coram gentibus et regibus atque Israelis filiis [34]. » Nempe dicit non solum ab hostili exercitu eum transfugisse, verum etiam in prima acie vexatæ fidei propugnatorem versari.

ια'. Οὐδὲν δὲ ἧττον προῖὼν ὁ λόγος καὶ δι' ἑτέρων παραστήσει τῆς τοιαύτης δόξης τὸ ἀκόλουθον. Λέγει γὰρ ὁ χρηματίζων τῆς πολλῆς ἀγωνίας καὶ τοῦ δέους ἀνακαλούμενος τὸν μυσταγωγὸν τοῦ Παύλου, « Ὅτιπερ ὃν τέθηπας καὶ δέδοικας ὡς πολέμιον τοῦ σωτηρίου κηρύγματος, οὗτός μοι σκεῦός ἐστιν ἐκλογῆς· εἰς τὸ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων υἱῶν τε Ἰσραήλ· » ἀντὶ τοῦ, Οὐ μόνον αὐτὸς τῶν ἐχθρῶν τῆς φάλαγγος ἀπεπήδησεν, ἀλλὰ καὶ προασπιστὴς τῆς πολεμουμένης εὐσεβείας

[31] Act. IX, 13. [32] ibid. 14. [33] Joan. X, 30. [34] Act. IX, 15.

NOTÆ.

(43) Sic v. gr. apud Livium *nomen Latinum* pro *Latina rep.* seu *potentia.*

(44) Dum Spiritum *a Patre* procedere ait, neque *a Filio* addit, oblique saltem hic quoque errorem suum de Filii a solo Patre processione Photius prodit, quem alibi plurimis verbis inculcat, nempe epist. 2, seu libello encyclico. Legenda vero sunt quæ Montacutius copiose disputat contra illam Photii epistolam, nec non cl. A. Schottus ad Amphiloc. quæst. 28. Et quidem res satis ventilata fuit in Florentino concilio, et a catholicis passim theologis; quos inter vide certe Allatium.

Digitized by Google

ἀναδειχθήσεται· καὶ γὰρ ὑπὸ τῶν δυσσεβούντων πολιορκούμενόν τε καὶ κατασειόμενον, αὐτὸς ἀναβαστάσει καὶ ὑποστηρίξει καὶ ἀκράδαντον παραστήσει τὸ θεοσεβὲς κήρυγμα. Τοῦτο γὰρ ἐνταῦθα ἡ τοῦ *ὀνόματος* ἀπαγγέλλει δύναμις, τὴν ἀληθῆ πίστιν, τὸ τῆς εὐσεβείας φρόνημα, τῆς θεολογίας τὸ κήρυγμα, τῆς τοῦ Λόγου σαρκώσεως τὸ μυστήριον· ἐπεὶ τί χαλεπὸν ἦν, τίνων δὲ στηριγμάτων δεόμενον, ἁπλῶς οὕτως καὶ μιᾷ φωνῇ προσαγορεύειν τὸν Κύριον; Καὶ αὐτῶν ἐνίοτε τῶν δαιμονίων ἀναβοωμένων καὶ μετὰ προσθήκης τινὸς τὸ Δεσποτικὸν ὄνομα. Ἀλλὰ δῆλον ὡς νῦν *ὄνομα*, τὸ διὰ Παύλου καταγγελλόμενον κήρυγμα λέγει, καὶ τὸ πρὸς Θεὸν ἀναφερόμενον σέβας, ὑπὲρ οὗ μυρίους καθ' ἑκάστην θανάτους ὁ πρὶν διώκτης ἡδέως ἔφερε, διδάσκων, παραινῶν, μυσταγωγῶν, κηρύσσων τὴν πίστιν, καθ' ἣν αὐτῷ μυσταγωγίαν ὁ Σωτὴρ ἀπεκάλυψεν· «Ἐγὼ γάρ, φησὶν, ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν.»

ιβ'. Καὶ ὅρα συνεχῆς ἡ χρῆσις τοῦ *ὀνόματος*. Διὰ τί; Ἵνα ἡ ἐπιμονὴ τῆς φωνῆς τὸ αὐτὸ πρᾶγμα πολλάκις σημαίνουσά τε καὶ κατάδηλον ποιουμένη, ὥσπερ διὰ τῆς ἀκοῆς ἐντυπώσειε τοῖς λογισμοῖς τὸ τῆς εὐσεβείας μυστήριον καὶ οἷα βασιλικὸν ἐκσφράγισμα ταῖς διανοίαις τοῦτο φέροντες καὶ πρὸς αὐτὸ ἀφορῶντες, μὴ πρὸς πολλὰς εἵημεν ὁδοὺς διαφόροις φωναῖς σχηματιζομένους ἐκτρεπόμενοι. Ὑπὲρ τοῦ μυστηρίου τούτου καὶ τῆς περὶ τὴν πίστιν ἀκριβείας ὁ Παῦλος ἔπασχε τὰ ἀνήκεστα· οὐ γὰρ περὶ ὀνόματος ψιλοῦ, οὐδὲ συλλαβῶν βραχείᾳ συνθέσει, τὸ φρικτὸν καὶ μέγα τῆς πίστεως περιγράφοντος. Διὸ καὶ ἀκούειν ἐστὶ τῶν ἱερῶν πάλιν ἐκδιδασκόντων ῥημάτων· οὐχ οὗτος ἐστὶν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τὸ ὄνομα τοῦτο; Πῶς γὰρ ἐπορθεῖτο λέξις πληγῇ ἀέρος βραχείᾳ περιγραφομένη, καὶ πρὸς μηδένα νοῦν τό γε ἐπ' αὐτῇ, μηδὲ δόξαν θεολόγων ἀναπλουμένη, μηδ' ἀνθρώπων ψυχαῖς ἐνιέναι δογμάτων ἀκρίβειαν δυναμένη, καὶ τὴν ὕπαρξιν χρονικωτέραν οὐκ ἔχουσα τῆς γενέσεως; Ἀλλὰ γὰρ δῆλον ὡς νῦν *ὄνομα*, οὐ τὸ σύνηθες καὶ πᾶσι περιφερόμενον ἐννοεῖν δεῖ, ἀλλὰ τὸ τῆς εὐσεβείας ὅλης ἀπαγγέλλον τε καὶ διασημαῖνον μυστήριον, καὶ τὴν τοῦ κηρύγματος διὰ πάσης ἡμῶν τῆς θεολογίας προϊοῦσαν ἀκρίβειαν. Καὶ γὰρ τὸ τοιοῦτον ὄνομα, ἤτοι τῆς πίστεως ἡ τελείωσις, καὶ ταῖς διανοίαις ἡμῶν ἐμβαθύνεται, καὶ θεμέλιον λαμβάνει ἑδραζόμενον τῇ τῶν πιστευόντων φιλοθέῳ γνώμῃ καὶ τῇ στερρότητι τοῦ φρονήματος. Τοῦτο τὸ ὄνομα ὁ πρὶν μὲν Σαῦλος ἐπολιόρκει, ὁ δὲ μετὰ ταῦτα Παῦλος ἐνώπιον ἐθνῶν καὶ βασιλέων ἐβάσταζεν, ἀπερίτρεπτον τοῦτο καὶ ἀκαταγώνιστον ἰδίοις ἐπιδεικνύμενος ἀγνίσμασι, καὶ πολλὰ τῶν ἐθνῶν ἀπὸ τῆς δυσσεβείας εἰς ταύτην μεθαρμόσας καὶ μυσταγωγήσας τὴν εὐσέβειαν. Δεῖ τοίνυν, ἐπειδὰν τὰ Λόγια λέγῃ ὡς ἐβάπτιζον οἱ μαθηταὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἢ κατ' ἄλλην τινὰ συνθήκην παραπλησίου λόγου συμφερομένην, τῷ προκειμένῳ τῆς ἐκφωνήσεως τύπῳ ἀκολούθως τε καὶ θεοπρεπῶς ἐννοεῖν· καὶ τῶν μα-

A Divinam, inquit, prædicationem ab impiis oppugnatam atque concussam sustinebit ipse atque firmabit immotamque statuet. Ita videlicet hoc loco vocabulum *nomen* sonat veram fidem, piam sententiam, divinæ doctrinæ prædicationem, Verbi incarnati mysterium. Secus enim cur ardua fuisset, vel quibus adminiculis indiguisset simplex nec unius vocabuli fines excedens Domini appellatio [35]? Certe et ipsi aliquando dæmones cum aliquo etiam epitheto Dominicum nomen pronuntiaverunt. Sed prorsus exploratum est, nunc vocabulo *nomen*, prædicandam a Paulo doctrinam dici, devotumque Deo cultum, cujus gratia innumeras quotidie mortes is, qui antea persecutor fuerat, libenter perferebat, docendo, hortando, initiando, prædicando fidem, secundum quam Servator sacra eum religione imbuerat. « Ego enim, inquit, ostendam illi, quanta ipsum oporteat mei nominis causa pati [36]. »

12. Atque adeo videsis perpetuum vocabuli *nomen* usum. Cur autem? Nempe ut constantia vocabuli, quod eamdem rem multoties denotat atque ostendit, vel ipso auditu menti insculpat religionis mysterium; atque ut id ceu regium signaculum pectore impressum ferentes, et ad hoc respicientes, haudquaquam in vias multiplices varietate vocabulorum patefactas divertamus. Hujus causa mysterii atque accuratæ fidei Paulus acerbissimas molestias pertulit. Non enim nudo nomine tenus, neque intra brevem syllabarum compositionem, venerandum magnumque mysterium circumscribebat. Quare rursus audire expedit sacrorum magisterium verborum: Nonne is est, qui vastabat Hierosolymis nomen hoc? Quonam autem pacto dictio quæ brevi æris percussione finitur, vastitatem fecisset? dictio, inquam, quæ nullum per se sensum continet, neque theologicam aliquam sententiam exprimit, neque in hominum animis definitum aliquod dogma imprimere potest; quæ denique exsistentiam haud longæviorem nativitate habet. Perspicuum est itaque, nunc in vocabulo *nomen* haud consuetam illam pervulgatamque significantiam esse intelligendam, sed mysterium potius quo religio universa innititur ac denotatur, nempe exquisitam Evangelii scientiam quæ ex omni nostra theologica disciplina manat. Hoc nomen, seu potius fidei summa, et mentibus nostris insculpitur, et fundamentis utitur pia credentium mente constantiaque sententiæ firmatis. Hoc Saulus nomen vastabat; atque idem postea Paulus coram gentibus regibusque portabat; insuperabile id atque invictum suis ipsis facinoribus exhibens, multasque gentes ab impietate ad veram religionem pertrahens, sacrisque imbuens. Igitur quotiescunque apud sacras Litteras dicuntur discipuli baptizavisse in Christi nomine aut secundum aliam locutionis similis formulam, id intelligendum est digne ac convenienter prout fert pro-

[35] Matth. VIII, 29. [36] Act. IX, 16.

Digitized by Google

positus tesseræ typus, neque indignum aliquid contra discipulos suspicandum; sed fatendum potius, juxta doctrinam Servatoris ac magisterium, apostolos sacram regenerationem perficere solitos, aliosque pariter ad id faciendum erudivisse; ita ut præter Dominicum præceptum cogitarent, dicerent, facerentve nihil.

13. Sed fortasse aliquis ratiocinari pergens, ne dicam altercari, si in nomine, inquit, Patris et Filii et sancti Spiritus baptizabant discipuli, cur nam in nomine Christi aut aliis ejusmodi formulis baptizare dicuntur? Atqui hujus rei notio in supra dictis jam satis exposita est. Sufficit enim, complurium instar, si hæc controversia mori sacrarum Litterarum imputetur; et si is qui hanc sibi tractandam sumit, non tam curiose agere, quam veritati studere, velit. Nam et alia singulari orationis genera pro sua quodque forma idiotismos habere compertum est: nemoque idiotismi gnarus, in alias vestigationes pervagari mentem sinit: quæ res non in divinis solum sermonibus usuvenit, verum in iis etiam quos Attica lingua studiose exornat. Nihil tamen vetat quominus hunc idiotismum paulo fusius exponamus. Quanquam hanc partem ne in superiore quidem oratione negleximus, in qua rerum causas evolvere non omisimus. Nimirum in locutione « In nomine Domini Jesu Christi » atque in aliis hujusmodi (quarum etsi dissimilis sonus, non absimilis tamen neque multiplex sententia est) jure meritoque intelligi fides potest qua Christus discipulos, atque hi vicissim mundum imbuerunt: nam hæc a nomine denotari potest, quia Christus ipse pietatis erga Deum auctor est; et quia in Jesu Dominique mentione docemur contineri summatim conspicique Verbi pro nobis incarnati mysterium. Porro pius quisque hoc duce mysterio tendere dirigique potest ad perfectam Dei cognitionem; haud equidem contrahendo constringendoque intra brevem hanc vocem dogmatum sensu (id enim fieret, si nuda vox proferretur), imo potius dilatando ac perficiendo per fidem ac pietatis consummationem. Quod si denique et hoc audire libet, indivisis et inseparabilis Filius a Patre Spirituque est, quia scilicet ejusdem incomprehensibilis substantiæ et virtutis ac potestatis particeps est. Sed tamen visus fuit atque palpatus postquam carnem nostram assumpsit Filius, factus nimirum oculis nostris conspicabilis tactuque palpabilis: « Quod enim vidimus, ait [Joannes], et manus nostræ contrectaverunt de verbo vitæ; et vita apparuit. Cum igitur ab uno, qui nominatim nobis ob suæ charitatis infinitum pelagus cognoscendum se obstulit, quique ineffabilia nobis mysteria aperuit [37], » a consubstantiali, inquam, Filio, omnipotentis quoque Trinitatis incomprehensibilitatem atque unitatem edocti fuerimus, atque ad reliquam mysterii notitiam deducti, merito nos sane quotiescunque aliquid secundum traditum dogma facimus, merito, inquam, ad auctorem dogmatis rem factam referimus.

[37] I Joan. I, 1, 2.

θητῶν μηδὲν ἀνάξιον ὑπονοεῖν, ἀλλὰ κατὰ τὸ κήρυγμα τοῦ Σωτῆρος καὶ τὴν διδασκαλίαν, ὁμολογεῖν τοὺς ἀποστόλους τελεσιουργεῖν τὴν ἀναγέννησιν, καὶ τοὺς ἄλλους πράττειν ὁμοίως μυσταγωγοῦντας, μηδὲν ἔξωθεν τῆς Δεσποτικῆς ἐντολῆς μήτε ἐννοοῦντας, μήτε λέγοντας μήτε πράττοντας.

ιγ'. Ἀλλὰ γὰρ ἴσως ἂν τισιν ἐπέλθοι λογοθετεῖν, ἵνα μὴ λέγω φιλονεικεῖν, ὡς εἴ γε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐβάπτιζον οἱ μαθηταί, τί δή ποτε εἰς τὸ ὄνομα τοῦ Χριστοῦ λέγονται βαπτίζειν ἢ εἰς τὰ ὅμοια; καὶ γὰρ τοῦτο μὲν διὰ τῶν εἰρημένων ἤδη ἀποχρώντως ἐπιδείκνυται. Ἦρκει γὰρ ἀντὶ πολλῶν ἄλλων τὴν αἰτίαν ταύτην εἰς τὸ τῆς ἱερᾶς ἡμῶν Γραφῆς ἔθος ἀνάγειν, καὶ παραστῆσαι ταύτην οἰκειούμενον, μηδὲ μᾶλλον τοῦ φιλοσοφεῖν τὸ πολυπραγμονεῖν ἀνταλλάττεσθαι. Καὶ γὰρ ἄλλα τε πολλὰ καθ' ἕκαστον εἶδος λόγου δι' ὧν χαρακτηρίζεται καθορᾶται ἰδιώματα· καὶ οὐδεὶς ἐπιγνοὺς τὸ ἰδίωμα, πρὸς ἑτέραν ἀποπλανᾶσθαι τὸν νοῦν ἀφίησι ζήτησιν· καὶ τοῦτο οὐ μόνον ἐπὶ τῶν θεοσόφων λόγων ἐστὶν ἀναθεωρεῖν, ἀλλὰ καὶ ἃ κοσμεῖν φιλοτιμεῖται γλῶσσα ἡ ἀττικίζουσα. Ἡλὴν οὐδὲν κωλύει καὶ τὸ ἰδίωμα πλατύτερον συνεκδιδάσκειν· καίτοι γε οὐδὲ τοῦτο παρεῖδεν ἔμπροσθεν ὁ λόγος, ὅτι μὴ ἑτέρηται τοῦ αἰτιολογεῖσθαι· καὶ γὰρ «Εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ,» καὶ εἰς τὰ παραπλήσια (ὧν ἐν τῷ διαφόρῳ τῶν φωνῶν ἀδιάφορος ἡ διάνοια καὶ μία), δικαίως ἂν ἀναφέροιτο ἡ παρ' αὐτοῦ μυσταγωγηθεῖσα τοῖς μαθηταῖς, καὶ διὰ τῶν μαθητῶν τῷ κόσμῳ, πίστις, τοῦ ὀνόματος τοῦτο παραδηλοῦντος, διότι αὐτὸς ἀρχηγὸς κατέστη τῆς εἰς τὸ θεῖον εὐσεβείας· καὶ διότι ἐν τῇ τοῦ Ἰησοῦ καὶ Κυρίου μνήμῃ διδασκόμεθα συγκεφαλαιοῦσθαι καὶ συνεμφανίζεσθαι τὸ μυστήριον ὅλον τῆς τοῦ Λόγου δι' ἡμᾶς οἰκονομίας. Ἀναπλοῦσθαί τε δύναται τῶν εὐσεβούντων ἕκαστος, καὶ ἀπευθύνεσθαι δι' αὐτοῦ πρὸς τὸ τέλειον τῆς θεογνωσίας· οὐ τῇ βραχύτητι τῆς λέξεως συναποθλίβων καὶ συστενοχωρῶν τὸν νοῦν τῶν δογμάτων (τοῦτο γὰρ ἂν εἴη ψιλὴν τὴν φωνὴν προφέρειν), ἀλλ' ἐμπλατυνόμενος καὶ καταρτιζόμενος τῇ πίστει καὶ τῇ τελειότητι τῆς εὐσεβείας. « Εἰ βούλει δὲ, ἀχώριστός ἐστι καὶ ἀδιάστατος ὁ Υἱὸς τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ὡς τῆς αὐτῆς ὑπερουσίου οὐσίας καὶ δυνάμεως καὶ ἐξουσίας ὑπάρχων. Ὡράθη δὲ καὶ ἐψηλαφήθη σάρκα τὴν ἡμετέραν ἀναλαβὼν ὁ Υἱὸς, καὶ γέγονεν ἡμῖν ὁμμασί τε ληπτὸς, ἁφῇ τε ψηλαφητός. « Ὃ γὰρ ἐθεασάμεθα, φησὶ, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη. Ἐξ ἑνὸς οὖν τοῦ μᾶλλον ἡμῖν διὰ φιλανθρωπίας ἄφατον πέλαγος ἐν γνώσει καθ ἑστῶτος, καὶ τὰ ὑπὲρ λόγον μυσταγωγήσαντος τοῦ ὁμοουσίου, καὶ παντοκρατορικῆς Τριάδος τὸ ὑπερούσιόν τε καὶ ἐνιαῖον ἑλλαμφθέντες, πρός τε τὴν ἄλλην τοῦ μυστηρίου θεωρίαν δι' αὐτοῦ χειραγωγηθέντες, εἰκότως ἄρα καὶ ἐπειδάν τινα πράττωμεν κατὰ τὸ παραδεδομένον δόγμα τελοῦντες, εἰς τὸν παραδεδωκότα ταῦτα δικαιοῦμεν ἀναφέρεσθαι.

Digitized by Google

ιδ'. Ὅπως μέν τοι γε καὶ ὁ Παῦλος κατήγγελλε τὸ A ὄνομα τοῦ Ἰησοῦ, καὶ κατὰ ποῖον σημαινόμενον τοῦ ὀνόματος, κάντεῦθεν δῆλον· μᾶλλον δὲ τῶν ἐκείνου λόγων ἡ χάρις ὧν ἥψατο τῆς καρδίας, ἄδηλον οὐδενί. Νῦν μὲν γὰρ τὸ φρικτὸν καὶ φιλάνθρωπον τῆς σαρκώσεως, καὶ μυσταγωγῶν καὶ κηρύττων ἐδείκνυτο· νῦν δὲ θεολογῶν τὴν Τριάδα ἐπαῤῥησιάζετο, συνανακηρύττων καὶ τὴν ἄλλην τοῦ μυστηρίου δύναμιν θειότητα· ἀλλὰ γὰρ οὐδέν ἐστι οἷον αὐτοῦ ἀκούειν, « Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, δηλονότι τοῦ Πατρὸς ὁ Υἱός, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. » Οὐδὲ γὰρ ἔσχε τὸν κλῆρον τῆς θεότητος ἐκ διαδοχῆς, οὐδὲ ἐπιθέμενος καὶ ἁρπάσας ἐξ ἑτέρου, περιέθετο τὸ κράτος ἑαυτῷ· ἀλλ' ἀπ' ἀρχῆς, ὡς τῆς αὐτῆς ὢν οὐσίας καὶ φύσεως, καὶ μηδεμίαν ταύτης ἀφαίρεσιν μηδαμῶς ὑποστῆναι πεφυκώς. Διὰ τοῦτο μηδὲν ὅλως δυσχερὲς ὑφορώμενος, « Ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών· » καὶ πάλιν, « Εἷς Θεὸς καὶ Πατὴρ ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα· καὶ ἓν Πνεῦμα ἅγιον ἐν ᾧ τὰ πάντα. » Οὕτω δὴ οὕτω καὶ τὴν τοῦ Λόγου οἰκονομίαν ἀνεκήρυττε, καὶ τῆς Τριάδος θεολογίαν ἐκράτυνεν· ἔκ τε τοῦ μὴ ἀφελεῖν τὸ ἐναίσιον ἀπὸ μηδεμιᾶς τῶν τριῶν ὑποστάσεων, ἀλλ' ὁμοτίμως εἰς αὐτὸ ταύτας ἀναφέρεσθαι· καὶ ἐκ τοῦ μὴ τὴν μὲν πάντων, τὴν δὲ τινῶν ἄρχειν καὶ προνοεῖν, ἀλλὰ τὰς τρεῖς πάντων τῶν ὄντων καὶ τὴν δημιουργίαν ἔχειν ὁμοεθνῶς καὶ ὁμοτίμως, καὶ τὴν κυριότητα καὶ τὴν πρόνοιαν.

ιε'. Ὁρᾷς ὅπως ὁ τῆς Ἐκκλησίας διδάσκαλος ἐβάσταζε τὸ ὄνομα τοῦ Χριστοῦ; ἔτι συνόρα· « Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις, περὶ τοῦ Υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβίδ· » πάλιν κάνταῦθα κηρύττεται ἡ Τριάς· Θεὸς καὶ Υἱὸς τοῦ Θεοῦ καὶ Πνεῦμα ἅγιον, καὶ ἡ σάρκωσις συνανακηρυττομένη τοῦ Λόγου. Ἐπεὶ δὲ Υἱὸν Θεοῦ εἶπεν, ἐπάγει δι' ὧν ἀφορίζεται ὁ Υἱός· τοῦ γὰρ ἐπιγνωσθέντος, φησὶ, καὶ ἀφορισθέντος ἐξ ἄλλων τε πολλῶν ἰδιωμάτων ἃ μηδενὶ πρόσεστι, καὶ ὅτι ὃ μηδέποτε γέγονεν, αὐτουργὸς τῆς ἰδίας ἀναστάσεως γέγονεν. Οὐχ ἧκιστα δὲ καὶ ἐξ ὧν τὸ πανάγιον Πνεῦμα ἐπεσκίασέ τε τῷ τόκῳ τὸν ὁμοούσιον Λόγον ἐκ σπέρματος Δαβὶδ συνεργὸν προελθεῖν, καὶ μάρτυς ἐν τῷ βαπτίσματι τῆς ἀψευδοῦς υἱότητος καὶ τῆς ὁμοουσίου θεότητος γεγονώς. Εἰς κόρον ἄν, οἶμαι, λογισθείην τοῖς ἀκροαταῖς προσφέρεσθαι καὶ τὰ περιττὰ φιλότιμος, εἰ πάσας τὰς χρήσεις τοῦ θεσπεσίου Παύλου ἀναγράφοιμι, δι' ὧν ἐθεολόγει τε τὴν Τριάδα, καὶ τῆς σαρκώσεως ἐκήρυττε τὸ μυστήριον, βαστάζων ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων τὸ ὄνομα τοῦ Κυρίου. Διόπερ τοῖς εἰρημένοις ἀρκεσθησόμεθα, οὐδὲν ἔργον ὑπολείποντες, οὐδὲ τοῖς ἐθέλουσι κἀκείνοις, ἀναλέγεσθαι· κατὰ τὰ αὐτὰ δὲ δηλονότι καὶ τῶν ἄλλων μαθητῶν ὁ θεῖος ἐκήρυττε καὶ ἐδίδασκε χορός. Ὡς δὲ ἐκήρυττον, οὕτως ἐβάπτιζον· ἐκήρυττον δὲ ὡς ἡ ἐνυπόστατος αὐτοὺς σοφία θεολογεῖν καὶ κηρύττειν ἐξεπαίδευεν· ὧν ἓν ἦν

14. Quanam igitur ratione Paulus Jesu nomen nuntiaret, et quanam nominis significantia, hactenus patefactum est : præsertim vero id neminem eorum latuit, quorum cor sermonum illius gratia tetigit. Modo enim venerandam et clementissimam incarnationem docebat prædicandoque monstrabat : modo theologica oratione Trinitatem animosius asserebat, cæteram quoque mysterii vim ac divinitatem simul deprædicans. Sed nihil melius de eo audiri potest, quam « Qui cum esset splendor gloriæ et figura substantiæ ejus [38.39] (nempe Filius splendor et figura Patris) non rapinam arbitratus est se esse æqualem Deo [40]. » Non enim successione sortitus divinitatem erat, neque vi detractam alicui potentiam sibi circumposuerat : sed ab initio substantiæ ejusdem naturæque fuit, nullumque hujus detrimentum pati poterat. Idcirco nihil molestum detrectans, « Exinanivit semetipsum, formam servi accipiens [41]. » Et rursus : « Unus Deus et Pater ex quo omnia : et unus Jesus Christus, per quem omnia : et unus Spiritus sanctus, in quo omnia [42]. » Sic omnino Paulus incarnationem prædicabat, Trinitatisque divinam notitiam confirmabat : dum scilicet unitatem nulli trium personarum detraheret, easdemque ad unum æqualiter referret; et dum haud aliam personam cunctis rebus, aliam vero nonnullis dominari et consulere diceret; sed tres personas omnium rerum creationem conjunctim æqualiterque curavisse, iisdemque moderari ac providere.

15. Viden' ut Ecclesiæ doctor Christi nomen portaverit? Sed perge porro considerare : « Paulus servus Jesu Christi vocatus apostolus segregatus in Evangelium Dei, quod promiserat per prophetas suos in Scripturis sanctis, de Filio suo qui factus est ei ex genere David [43]. » Iterum hic prædicatur Trinitas, Deus et Filius Dei et Spiritus sanctus, necnon et Verbi incarnatio simul prædicatur. Jam ubi Dei Filium dixit, adjicit etiam quanam ratione distinguatur Filius. Nam cum cognitus distinctusque jam esset aliis multis proprietatibus, quæ præter ipsum nemini insunt; tum vero quod nunquam antea contigerat, ipse auctor resurrectionis suæ fuit. Item Spiritus sanctus fetum obumbrando, dedit operam ut Verbum consubstantiale ex Davidis genere nasceretur; atque in baptismate filiationi veræ et consubstantiali Divinitati testimonium dedit. Satietatem audientibus creem, nimiusque videar, si cunctas inclyti Apostoli locutiones ascribere velim, quibus theologica oratione Trinitatem nos docuit, et de incarnationis mysterio certiores fecit, nomen Domini coram gentibus regibusque portans. Quamobrem dictis contenti erimus; præsertim quia cætera, si quis volet, nullo negotio coacervare poterit. Atque hoc modo reliquus etiam discipulorum venerandus chorus prædicabat atque docebat. Jam sicuti hi prædicabant, ita etiam baptizabant. Prædicabant autem sicuti ipsos hypostatica sapientia ad theologice loquendum prædicandumque erudiverat.

[38.39] Hebr. I, 5. [40] Philip. II, 6. [41] ibid. 7. [42] I Cor. VIII, 6. [43] Rom. I, 1, 2.

Digitized by Google

Jam in his unum, et quidem nulli secundum, dogma erat, ut lavacrum regenerationis in Patre et Filio et Spiritu sancto peragereturque, atque ut baptizati homines cum harum personarum invocatione ad regenerationem perducerentur. Sic apostolorum divinitus delectus chorus veniæ donum initiatis impertiebat. Sic Paulus baptizabat, quos quidem baptismo tingebat. Sic coram gentibus regibusque Servatoris nomen cum fiducia deferebat : atque hac mente instinctus clamabat : « Rogo vos, fratres, per Dominum Jesum Christum, ut sermonis concordiam sectemini [44]. »

16. Vin' tibi principis quoque apostolici testimonium exhibeam? qui quidem etsi verborum sono haud videtur cum Ecclesiæ more actuque congruere, si tamen scopum ejus cum veritatis studio diligenterque scrutabimur, nihilo is secius, imo vehementius, sacram hanc consuetudinem confirmare ac stabilire videbitur. Is enim Judæam non minus prodigiis quam sacra doctrina peragrans, hominem illum ad Speciosam portam sedentem, cujus pedum bases atque malleoli dissoluti erant, hunc, inquam, verbo instaurans', sanumque mirabiliter sistens : « In nomine, inquit, Jesu Christi, surge et ambula [45]. » Et dictionis quidem formula ineffabili virtute sic fuit prolata : ipse vero princeps vim vocabuli explicans, notionemque nomini subjectam interpretans, prodigio attonitos admonebat quem ipsi aspernati fuerant, crucisque supplicio multaverant, hunc ipsum esse, cujus virtute insanabilis morbus curatus fuerat. Præterea docuit, se vocabulo *nomen* fidei summam confessionemque designare. Audi enim quæ dicat : « Deus Abraham et Deus Isaac glorificavit Filium suum Jesum [46]. » Atque ut magis animi sententiam declaret, addit : « Et in fide nominis ejus hunc quem videtis et probe scitis confirmavit nomen ejus [47]. » Audi adhuc : « Imo fides, quæ per eum est, integram huic sanitatem tribuit [48]. » Miraculum scilicet patraturus, a Jesu Christi nomine causam ejus medicinæ repetit; deinde nomen ad fidem transfert, quod est religionis mysterium. Tum rursus nomen dicit pro fide in Jesum, quasi metuat, ne forte auditores obliti essent, nomen ab se fidei loco fuisse usurpatum. Mox pergit dicere : « Et fides per ipsum [49], » id est ab eo prædicata. Viden' ut nomen nunc fidem in Christum significet? fides autem, prædicatam ab eo religionem? quæ quidem prædicatio bases claudicantis solidat. Quare etiamsi aliud testimonium exstaret nullum, vel hoc a principe prolatum sufficeret, palam ut fieret quidnam sacræ Litteræ innuant, cum ainnt proselytos in Jesu Christi nomine aliisque hujusmodi formulis baptizari. Sic ergo Petrus aiebat cum divinam efficaciam monstraret; dilectus autem inter discipulos sic item decernebat; Lucas subscribebat; Paulus docebat; quibus paria reliquorum apostolorum cœtus prædicabat; neque

καὶ οὐδενὸς τῶν ἄλλων δογμάτων ἔλαττον, καὶ τὸ εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον τὸ λουτρὸν τῆς παλιγγενεσίας τελεσιουργεῖν, καὶ ταῖς αὐτῶν ἐπικλήσεσι τοὺς βαπτιζομένους ἄγειν εἰς ἀναγέννησιν. Οὕτω τῶν ἀποστόλων ὁ θεόκριτος σύλλογος τὸ δῶρον ἐμυσταγώγει τῆς ἀφέσεως· οὕτω Παῦλος ἐβάπτισεν οὓς ἐβάπτισεν· οὕτω βαστάζων ἐνώπιον ἐθνῶν καὶ βασιλέων τὸ ὄνομα τοῦ Σωτῆρος ἐπαῤῥησιάζετο· κατὰ ταύτην ἐβόα τὴν ἔννοιαν, « Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε. »

ις'. Βούλει δέ σοι καὶ τὸν κορυφαῖον παρέσεσθαι μάρτυρα; εἰ γὰρ καὶ μὴ δοκεῖ κατά γε τὴν τῶν ῥημάτων προφορὰν τῷ τῆς Ἐκκλησίας ἔθει καὶ τῇ πράξει συμφθέγγεσθαι, ἀλλά γε φιλαλήθως αὐτοῦ καὶ ἐπιμελῶς ὁ σκοπὸς ἀνερευνώμενος, οὐδὲν ἔλαττον εἰ μὴ καὶ μᾶλλον ταύτην ἐπικροτεῖ καὶ συνίστησι. Καὶ γὰρ ταῖς θαυματουργίαις οὐκ ἔλαττον τῆς θεοσεβοῦς διδασκαλίας τὴν Ἰουδαίαν περιερχόμενος, τὸν πρὸς τῇ ὡραίᾳ πύλῃ καθεζόμενον, οὗ αἱ βάσεις τῶν ποδῶν καὶ τὰ σφυρὰ διαλέλυτο· τοῦτον ἁρμολογῶν τῷ ῥήματι καὶ ὑγιᾶ παραδόξως ἀναδεικνὺς, « Ἐν τῷ ὀνόματι, φησὶν, Ἰησοῦ Χριστοῦ ἔγειρε καὶ περιπάτει. » Ἀλλ' ὁ μὲν τύπος φωνῆς τῇ ὑπὲρ λόγον ἐνεργείᾳ τῆς χάριτος, οὕτω συμπροήχθη· αὐτὸς δὲ τοῦ ῥήματος τὴν δύναμιν ἀναπτύσσων, καὶ τί βούλεται αὐτῷ τὸ *ὄνομα* δηλοῦν ἐφερμηνεύων, τοὺς μὲν καταπληττομένους τῷ θαύματι ἐδίδασκεν ὡς ἐξουθενηθεὶς παρ' αὐτῶν, καὶ σταυρῷ καὶ θανάτῳ καταδικασθεὶς, αὐτός ἐστιν οὗ ἡ δύναμις τὴν ἀνίατον ἴάσατο νόσον. Ἐδίδασκε δὲ ὅτι καὶ τὸ ὄνομα νῦν αὐτῷ τῆς πίστεως τὴν συγκεφαλαίωσιν καὶ τὴν ὁμολογίαν ἀπαγγέλλει. Ὅρα γὰρ οἷά φησιν· « Ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν· » Καὶ ἐπιδηλότερον τὸ βούλημα προιών, ἐπάγει· « καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε ἐστερέωσε τὸ ὄνομα αὐτοῦ. » Πρόσχες· « Ἀλλὰ καὶ ἡ πίστις ἡ δι' αὐτοῦ, ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην. » Ἀρχόμενος τοῦ θαύματος τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ αὐτουργεῖν τὴν ἴασιν ἀνακηρύττει· εἶτα μεταλαμβάνει τὸ ὄνομα πρὸς τὴν πίστιν, ὅπερ ἐστὶ τὸ μυστήριον τῆς εὐσεβείας. Μετὰ τοῦτο πάλιν ὄνομα τὴν εἰς αὐτὸν καλεῖ πίστιν, ὥσπερ δεδιὼς μὴ λήθην λάβωσιν οἱ ἀκροαταὶ ὅτι τὸ ὄνομα αὐτῷ ἀντὶ τῆς πίστεως παρελήφθη. Εἶτα ἐπάγει· « Καὶ ἡ πίστις ἡ δι' αὐτοῦ, » τουτέστιν ἡ κηρυχθεῖσα παρ' αὐτοῦ. Ὁρᾷς; ὅπως τὸ μὲν ὄνομα τὴν πίστιν νῦν τὴν εἰς αὐτὸν ἀπαγγέλλει; ἡ δὲ πίστις τὴν ὑπ' αὐτοῦ κηρυχθεῖσαν θεοσέβειαν; τὸ δὲ κήρυγμα τοῦ χωλοῦ τὰς βάσεις στερεοῖ; Ὥστε εἰ μή τις ἄλλη τῶν μαρτυριῶν προσῆν, ἤρκεσεν ἂν ἡ τοῦ κορυφαίου μόνη προκομιζομένη λαμπρῶς παραστῆναι τί σημαίνει τὰ ἱερὰ Λόγια ἐν τῷ λέγειν βαπτίζεσθαι τοὺς προσιόντας ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, καὶ τὰ ὅμοια. Ταῦτα μὲν Πέτρος τὴν θεουργίαν ἐμφανίζων ἔλεγεν· ὁ δὲ τῶν μαθητῶν ἠγαπημένος συνεδογμάτιζε, Λου

[44] I Cor. xiv, 1. [45] Act. iii, 2 seqq. [46] ibid. 13. [47] ibid. 16. [48] ibid. [49] ibid.

Digitized by Google

κᾶς συνέγραφε, Παῦλος ἐδίδασκεν· οἷς καὶ τῶν λοιπῶν ἀποστόλων ὁ χορὸς (οὐ γὰρ ἦν οὐδαμῶς οὐδ' ἐπὶ νοῦν λαβεῖν αὐτοὺς περὶ τὰ καίρια φέρεσθαι) συνανεκήρυττεν. Οὕτως ὄνομα Χριστοῦ ἡ πίστις ἡ εἰς Χριστόν· πίστις δὲ εἰς Χριστὸν ἡ δι' αὐτοῦ παραδεδομένη τοῖς αὐτόπταις τοῦ λόγου καὶ ὑπηρέταις θεολογία, καὶ τῆς οἰκονομίας τὸ μυστήριον.

A enim suspicari licet, mortiferis ipsos noxis se obstringere solitos. Constat igitur Christi nomen pro fide in Christum dici : fides vero in Christum nihil est nisi tradita spectatoribus verbi atque administris sacra doctrina et incarnationis mysterium.

ιζ'. Εἰ δὲ εἴ τις ἔρως ἐπῆλθε πρὸς τὴν αὐτὴν ὑπόθεσιν εὐπορεῖν πλειόνων ἐπιχειρημάτων, κἀντεῦθεν τῆς προθέσεως οὐκ ἀποτεύξῃ. Πρῶτον μὲν γὰρ τῆς ἀπ' ἀρχῆς ἀπορίας εὐλογωτέρα λύσις οὐκ ἂν εἴη τις ἑτέρα παρὰ τὴν εἰρημένην σαφῶς, ἐμφανίζουσα τὴν τοῦ ζητήματος γνῶσιν. Δεύτερον δὲ καὶ ἦν τινες ἐπενόησαν λύσιν, τὸ ἀνεπιτίμητον οὐκ ἔσχε· καὶ γὰρ ἤδη μὲν οὐκ ὀλίγας ἔδωκε λαβάς· δοίη δ' ἂν σοι βουλομένῳ καὶ πλείους. Εἰ γὰρ προσίστατο τοῖς κατ' ἀρχὰς προσιοῦσι καὶ μόνον προφερόμενον τὸ ὄνομα τοῦ Χριστοῦ, πῶς ἦν τῶν κατεπειγόντων βαπτίζοντας αὐτὸ προκομίζειν; Οὐδὲ γὰρ θεραπείαν τινὰ τοῦ θορυβοῦντος παρεῖχεν ἀντὶ τοῦ παραλυποῦν προτεινόμενον· ἀλλ' ἐπὶ πλέον ἐξετράχυνεν ἂν καὶ ἀνεφλέγμαινεν αὐτὸ τὴν γνώμην. Σιγώμενον γὰρ μᾶλλον τὸ ἀνιαρὸν, ἢ φθεγγόμενον, τοὺς δυσχεραίνοντας αὐτὸ διαπραῦνει. Καὶ τὸ ἔτι μᾶλλον ἀναφλέγον εἰς ὀργὴν, σιωπῆσαι μὲν καὶ ὑπεριδεῖν ἃ τοῖς πολλοῖς τῶν Ἰουδαίων ἐγνωρίζετο, Πατέρα λέγω καὶ Πνεῦμα, ἀντεπεισάγειν δὲ τὴν κλῆσιν τοῦ Υἱοῦ, οἷς οὐδὲ τὴν φωνὴν ἄλυπον ἦν ταῖς ἀκοαῖς παραδέχεσθαι (45)· καὶ γὰρ μᾶλλον ἂν προαγόμενον, οὕτω προσίστατο. Μετὰ μὲν γὰρ τῶν τιμωμένων συνταττομένου, πρὸς ἑκατέραν μοῖραν τήν τε παραλυποῦσαν καὶ τὴν εὐφραίνουσαν ὁ ἀκροατὴς ἐμερίζετο· καὶ πρὸς μίαν καινοτομίαν τῆς προσθήκης ° ἐταράσσετο. Τῶν δὲ γνωρίμων καὶ τιμωμένων σιγῇ παραπεμπομένων, μόνου δὲ τοῦ πλήττοντος ἀντ' ἐκείνων κηρυσσομένου, πῶς οὐκ ἦν εὐλογώτερον ἀποπηδᾶν αὐτίκα, καὶ τὰ ὦτα φράττειν, διπλαῖς μᾶλλον δὲ πολλαπλαῖς βαλλομένους ταῖς καινοτομίαις, καὶ τὸ βέλος τῆς ἀνίας πικρότερον καὶ δριμύτερον ὑποδεχομένους; ἐξ ὧν μᾶλλον τὸ παντελῶς αὐτοὺς ἐκτραχύνεσθαι, καὶ τοῦ προσιέναι ὅλως τῷ κηρύγματι, εἰς τὸ ἀδύνατον κατεσκευάζετο.

17. Jam vero si qua te cupiditas tenet in eodem proposito argumentis pluribus abundandi, hic quoque scopum tuum assequeris. Nam primo dubitationis ejus, quam initio scripsimus, nulla est præter prædictam probabilior solutio, quæ manifeste quæstionis explanationem tradit. Deinde quæ ab B aliis excogitata fuit solutio, non caret reprehensione, eaque non paucas reapse vituperandi ansas dedit; et quidem tibi volenti plures præbebit. Nam si offendebat primos illos proselytos vel ore tenus prolatum Christi nomen, cur jam necesse erat inter baptizandum id oggerere? Certe illud medelam perturbationis nullam fecisset, quod non sine ingrato sensu exhiberi poterat : quin adeo mentes efferavisset potius atque incendisset. Nam si molesta res est, silendo magis quam prædicando, eos qui abhorrent mitigare solemus. Tum ira gravius commota fuisset, si ii silentio pressi fuissent ac neglecti, qui multis Judæis comperti erant, Pater nimirum et Spiritus; obtrusa autem Filii invocatio, C cujus ne nomen quidem sine molestia auditu excipi poterat : quod sane ita prolatum vehementius offendebat. Contra si nomen hoc cum aliis jam in honore habitis collocabatur, bifariam auditor scindebatur, partim scilicet ægre ferens, partim gestiens : sola autem additamenti novitate conturbabatur. At vero si cogniti jam et in honore habiti silentio prætermitterentur; unus autem, qui offendebat, prædicaretur : quidni exspectandum erat, ut protinus Judæi aufugerent, aures occluderent, perculsi scilicet duplici imo multiplici novitate, teloque tristitiæ acerbius asperiusque recepto : quo fiebat, ut ipsi magis irritarentur, et ab accessu ad Evangelium omnino prohiberentur.

ιη'. Οὐκ ἠνείχοντο, φησὶ, τὸ Ἰουδαίων ἔθνος Θεὸν τὸν Χριστὸν ὁμολογεῖν· διὰ τοῦτο ἄρα ἐν τῷ ὀνόματι αὐτοῦ τῶν ἀποστόλων ὁ χορὸς ἐβάπτιζε. Καὶ ποῦ τοῦτο λόγον ἔχοι πραῦνειν διὰ τοῦ φλεγμαίνοντος, καὶ θεραπεύειν διὰ τοῦ τραύματος; Πῶς δ' οὐχ ὁ ἐναντίος λόγος εἰς τὸ εὐλογώτερον ἂν εἴη καὶ συνετώτερον προτεινόμενος; Οὐκ ἐβάπτιζον οἱ ἀπόστολοι εἰς τὸ ὄνομα τοῦ Χριστοῦ· βαρέως γὰρ οἱ μυσταγωγού-

D 18. Aiunt adversarii : Non ferebat Judaicus populus Christum Deum confiteri : propterea aque apostolorum cœtus in nomine ejus baptizabat. Atqui non est rationi consentaneum, ut re acerba mitigemus, atque ut vulnere medicinam faciamus. Quidni potius contrarius sermo probabiliorem prudentioremque sententiam præbeat? Non baptizabant apostoli in Christi nomine; ægre enim fere-

VARIÆ LECTIONES.

(45*) Cod. τὴν προσθήκην.

NOTÆ.

(45) De notitia Filii apud Hebræos dicendum nobis erit cum Theodori Mopsuesteni Commentarium ad Zachariam prophetam edemus (vide *Patrologiæ*, tom. LXVI). Videsis interim Eusebium Cæsariensem in Opere theologico contra Marcellum, I, 19.

Digitized by Google

bant initiati hanc appellationem. Nonne enim fugam potius baptismi suasissent, si ita baptizare instituissent, ritu nimirum prædicationi propriæ adversante? At enim, inquiunt, baptizabant apostoli pro suo libito, non uti docuerat Dominus: prævaluitque sententia eorum, ita ut tempore et consuetudine dogma Magistri antiquaretur. Verum enimvero quis demum tanto rursus inflammatus zelo fuit tantaque vi præditus, ut Servatoris præceptum oblivioni jam traditum instauraret? Mehercule neminem hujusmodi neque nunc appellare queunt, neque unquam appellabunt. Quis enim huic homini auscultasset, postquam Dominicum mandatum jam fuisset abolitum? idque adeo non a vulgaribus, sed ab iis qui credendi in Christum magistri cæteris præconesque fuerant. Quis, inquam, alius in suum ordinem restituisset præceptum Dominicum? præsertim cum ille discipulorum cogitatus, ut adversariorum sermo affirmat, jam toto orbe esset diffusus, atque apud omnes initiatos in more positus. Sane antequam illa circa baptismum novitas vulgata esset, Dominicam legem haud ægre firmare licuisset; verum illa novitate ad orbis terrarum terminos propagata, quisnam potuisset dominantem jam ritum expellere: illum autem, qui initio quidem traditus fuerat, sed deinde omnino suppressus, revocare? Nam si propter auditorum morosos animos Dominico mandato non est locus inventus, cum nondum alia initiandi formula illorum aures occupavisset, nec mentibus inscripta fuisset atque impressa; num deinde apud jam imbutos apostolico ritu atque initiatos, aditus priori ritui sperandus erat, adversante altero atque obsistente, qui jam insuperabiles vires obtinuerat? Ut vides igitur demonstratum quaquaversus est, qui spectatores Verbi fuissent verique administri, et quorum vitæ curriculum eo tendebat, ut vel ipsa nece suam erga Dominum charitatem testarentur, fieri, inquam, non posse quin hi ejusdem mandata integra atque inviolata esse curaverint.

19. Quid porro dices, vel quis te horror corripiet atque metus, cum decretorum apostolicorum districtam sententiam audies? quam non unus et alter, neque multi sigillatim, sed universus discipulorum cœtus scripsit, Dominico præcepto haud antiquando, quod absit, sed stabiliendo intentus. Ubinam autem tam horrendæ minæ sunt? Apostolorum scilicet audiendæ sunt cœlesti suffragio latæ leges, quæ clarissima voce clamant: « Si quis episcopus aut presbyter (audi, homo; quanquam singulari attentione non est opus, quoniam nihil aliud quam Dominicam traditionem sanciri ab his patet); si quis contra Domini mandatum, non baptizaverit in Patre et Filio et Spiritu sancto, deponatur. » Neque hactenus pœnam statuunt: sed si etiam nomina nominibus commutare baptizantes

μενοι καὶ πρὸς αὐτὴν τὴν κλῆσιν ἐφέροντο. Ἆρ' οὐκ εἰς ἀποτροπὴν μᾶλλον ἐπῆγον τοῦ βαπτίσματος, εἰ οὕτω βαπτίζειν ἐπεχείρουν καὶ πρὸς τοὐναντίον ἢ ἐκήρυττον; Ἀλλ' ἐβάπτιζον ὡς ἐβούλοντο, ἀλλ' οὐχ ὡς ὁ Δεσπότης ἐδιδάξατο· καὶ κράτος ἔλαβεν ἡ γνώμη, καὶ ἔθει καὶ χρόνῳ τὸ τοῦ Διδασκάλου δόγμα παραγράφεσθαι. Τίς οὖν πάλιν ἢ πόθεν ἐπέστη ζῆλον καὶ ῥώμην, ὃς τοσαύτην ἔσχεν ἀναλαβεῖν δι' ὧν τὸ παράγγελμα τοῦ Σωτῆρος λήθῃ δεδομένον ἀνεσώσατο; Ἀλλ' εἰπεῖν οὐκ ἔχουσιν οὐδ' ἂν εἴπωσι. Τίς γὰρ αὐτῷ καὶ προσέσχε τῆς Δεσποτικῆς μὲν ἤδη παρεωραμένης ἐντολῆς; καὶ τότε οὐχ ὑπὸ τῶν τυχόντων, ἀλλ' οἳ τῶν ἄλλων ἦσαν τῆς εἰς Χριστὸν πίστεως κήρυκες καὶ διδάσκαλοι. Τίς οὖν ἕτερος εἰς τὴν οἰκείαν τάξιν τὸ Δεσποτικὸν ἐπανήγαγε πρόσταγμα; καὶ μάλιστα τῆς τῶν μαθητῶν ἐπινοίας, ὡς ὁ διαφιλονεικῶν λόγος βούλεται, εἰς τὴν οἰκουμένην ἐξαπλωθείσης ἤδη καὶ συνήθους ἅπασι τοῖς μυσταγωγουμένοις καθισταμένης. Καί τοι μή πω μὲν πλατυνθείσης τῆς περὶ τοῦ βαπτίσματος καινοτομίας, οὐκ ἦν ἐργῶδες οὕτως τὸ Δεσποτικὸν κρατύνεσθαι νομοθέτημα. Ταύτης δὲ τὰ πέρατα τῆς οἰκουμένης καταλαβούσης, τίς ἂν εἴη ὁ τὴν κατασχοῦσαν μὲν μυσταγωγίαν ἐκβαλεῖν γεγενημένος δυνατός; τὴν δ' ἐξ ἀρχῆς δοθεῖσαν μὲν, σεσιγημένην δὲ παντελῶς, ἀνακαλέσασθαι; Εἰ γὰρ οὐχ εὗρε χώραν διὰ τὸ δυσπαράδεκτον τῶν ἀκροατῶν ἡ σωτήριος ἐντολή, ὁπότε μηδεμία τις ἑτέρα μύησις προκατέλαβε τὰς ἀκοὰς αὐτῶν, μηδὲ ταῖς ψυχαῖς ἐνεγράφη καὶ ἐνετυπώθη, ἐπειδὰν κατεσχέθησαν καὶ ἐτελέσθησαν τῇ τῶν ἀποστόλων τελετῇ, πῶς ἂν εὕροι παρείσδυσιν, ἀντιπιπτούσης αὐτῇ καὶ ἀνταναστησομένης τῆς ἤδη τὸ κράτος ἄμαχον ἐχούσης; Ὁρᾷς ὡς ἀδύνατον πανταχόθεν ἐπιδείκνυται τοὺς αὐτόπτας τοῦ λόγου καὶ ὡς ἀληθῶς ὑπηρέτας, ὧν ὁ βίος ἦν καὶ ὁ δρόμος θανάτῳ τὸ Δεσποτικὸν βεβαιῶσαι φίλτρον, καὶ τῶν αὐτοῦ θεσπισμάτων (μὴ) συντηρῆσαι τὸ ἀπαράβατόν τε καὶ ἀπερίτρεπτον.

ιθ'. Τί δ' ἂν εἴποις; τίς δ' ἂν σε μὴ λάβῃ φρίκη καὶ δέος ἐπειδὰν τῶν ἀποστολικῶν θεσμῶν τὰς ἀπειλουμένας ψήφους ἀκούσῃς; ἃς οὐχ εἷς μόνον οὐδὲ δεύτερος, οὐδὲ καθ' ἕνα πλείους, σύμπας δ' ὁ χορὸς τῶν μαθητῶν τὴν Δεσποτικὴν ἐντολὴν βεβαιῶν, οὐ λύων, ἄπαγε, ἀπεφήνατο. Καὶ ποῦ λαβεῖν ἔστιν αὐτῶν τὸ φρικτὸν τῆς ἀρᾶς; Αὐτῶν χρεὼν ἀκούειν τῶν οὐρανίῳ ψήφῳ κεκυρωμένων φωνῶν (46)· διαπρύσιον αὗται βοῶσιν· « Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος (ἐπίστησον, ἄνθρωπε, μᾶλλον δὲ οὐδὲ ἐπιστάσεως ἐνταῦθα δεῖ· περιφανῶς γὰρ ἡ Δεσποτικὴ κυροῦται παράδοσις), εἴ τις οὖν κατὰ τὴν τοῦ Κυρίου διάταξιν μὴ βαπτίσοι εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, καθαιρείσθω. » Καὶ οὐδὲ μέχρι τούτου τὴν καταδίκην ἱστῶσιν· ἀλλὰ καὶ ἐὰν ὀνομάτων παραλαβεῖν οἱ βαπτίζοντες ἐπιχειρήσωσι, μηδὲν ὅλως τὸν

NOTÆ.

(46) Tum Canones vulgo apostolicos tum Constitutiones (etsi scriptum utrumque pervetustum sit) mentiri nomen apostolorum, nemo jam dubitat. Quare Photii argumentum hinc petitum, etsi nullum non est, vires tamen apostolicas non habet.

Digitized by Google

ἀριθμὸν τῆς Τριάδος ὑποτεμνόμενοι, οὐδ' οὕτως εὑρίσκουσιν ἀποφυγὴν τοῦ μὴ οὐχὶ τὴν ἴσην δοῦναι δίκην· οὐδὲν γὰρ ἧττον οὐδ' οὗτοι τὸ Δεσποτικὸν προπηλακίζουσι δόγμα. Οὐδ' ἂν τὰς μὲν κλήσεις φυλάττωσιν ὡς παρέλαβον, τὸ σχῆμα δὲ τῆς ἐν τῷ βαπτίσματι καταδύσεως μὴ συνδυάσωσιν, ἀλλὰ διὰ μιᾶς ἀντὶ τῶν τριῶν τὸν βαπτιζόμενον τελειώσωσι, μᾶλλον δὲ εἰπεῖν οἰκειότερον συντελέσωσιν, οὐδ' ἂν τὰ μὲν ἄλλα τῆς ἐντολῆς ἐκτελέσωσιν, εἰς δὲ τὸν θάνατον τοῦ Κυρίου βαπτίσωσιν, οὐ μὲν οὖν τῆς αἰτίας οὐκ ἀπολύονται. Τῷ δ' αὐτῷ περιπίπτουσι καὶ κρίματι καὶ ἐγκλήματι· ἡ γὰρ ἐν τοῖς ὁμοίοις παράβασις τὴν ὁμοίαν τιμωρίαν εἰσπράττεται. Καὶ γὰρ ἐπίσης πρὸς τὴν ἀθέτησιν ἀποκλίνουσι τῆς σεβασμίου ἐντολῆς καὶ ὅσοι καθ' ἕτερόν τινα τρόπον βαπτίζειν ἐτόλμησαν, καὶ ὅσοις ἔδοξε τῇ ἐπικλήσει τοῦ Χριστοῦ, ἢ τοῦ θανάτου αὐτοῦ, ἱερουργεῖσθαι τὸ βάπτισμα.

A ausi fuerint, licet Trinitatis numerum non imminuerint, nihilominus quin parem pœnam subeant, fieri non potest; æque enim Dominico dogmati injurii sunt. Et si forte appellationes secundum traditionem retineant, rationem tamen in baptismo legitimam non simul usurpent, verum unica pro tribus immersione baptizandum initient, seu ut aptius loquar perficiant; item si reliquas præcepti partes curent, in Christi autem morte baptizent, crimine non vacabunt; imo haud minori culpa noxaque semet irretient. Nam æque ad venerandi mandati violationem incumbunt tum qui alio ritu quolibet præter legitimum baptizant, tum qui cum Christi aut mortis ejusdem appellatione baptismum conficiunt.

κ'. Ἀκούεις, ὦ Παῦλε; Ἀλλ' ἀνάσχου καὶ μετὰ στεφάνους πρὸς ἀγῶνας ἀποδύεσθαι· πάλιν πορθεῖς τὴν Ἐκκλησίαν, πάλιν ἐπιστολὰς παρὰ τῶν Ἰουδαϊκῶν ἀρχιερέων λαμβάνεις, μετὰ δὲ τὸν Παῦλον εἰς Σαῦλον ἐξέστης. Καὶ πῶς ταῦτα διδάξας, πάλιν λέγεις εἰς τὸν θάνατον τοῦ Χριστοῦ πάντας βαπτίζεσθαι; Καὶ νῦν μὲν μετὰ τῶν συναποστόλων καὶ συναγωνιστῶν ποινὰς τοὺς καθ' ἓν τι τούτων βαπτίζειν τολμῶντας ἀπαιτεῖς, νῦν δὲ καθ' ἑαυτὸν γενόμενος, οὐ μόνον λέγεις οὐδ' ἐν γωνίᾳ, ἀλλὰ καὶ κηρύττεις· καὶ οὐχὶ κηρύττεις μέν, οὐ γράφεις δὲ, ἀλλὰ καὶ γράμματι τὸ κήρυγμα Ῥωμαίοις μάλιστα γράφων, εἰς ἄμαχον ἐπαίρεις ἰσχὺν εἰς τὸν θάνατον τοῦ Χριστοῦ τοὺς βαπτιζομένους βαπτίζεσθαι. Ἀλλ' ὁ μὲν τῆς ἀληθείας κῆρυξ τῶν εἰσαγόντων τοῦ βαπτίσματος τὴν καινοτομίαν, κἀκεῖνον αὐτὸν ἐπιψηφίζεσθαι τῇ δόξῃ κατηγορούντων, ὧδε ἂν αὐτοὺς ἐπιστομίσειε.

B 20. Audin', Paule? Igitur te compara post coronas ad subeundos agones: rursus Ecclesiam vastas, rursus epistolas a Judaicis pontificibus refers: cum jam Paulus fueris, iterum in Saulum recidis. Nam cur qui talia docueris, nunc omnes jubes in Christi morte baptizari? Et modo cum apostolis laborumque sociis pœnas ab iis reposcis, qui cum qualibet ex his formis baptizare ausi fuerint; modo ipse sigillatim non solum in angulo dicis, sed et prædicas: nec solum prædicas, scribendo tamen abstinens, sed litteris et quidem ad Romanos scriptis præconium commendans, summam tribuis auctoritatem baptismo in Christi morte collato. Sed enim veritatis præco eos qui baptismi novitatem invehunt, seque ipsum sententiæ eorum astipulari calumniantur, sic fere refutabit.

C

κα'. Ναί, φησὶν, ὁμολογῶ μὲν τοὺς βαπτισθέντας, εἰς τὸν θάνατον τοῦ Χριστοῦ βαπτίσασθαι, οὐχ ὁμολογῶ δὲ τὸ βάπτισμα τῇ τοῦ θανάτου αὐτοῦ ἐπικλήσει ἱερουργεῖσθαι· μὴ γένοιτο· ἀλλὰ τελεῖσθαι μὲν τοῦτο τὸ δῶρον τῆς ἀφέσεως, ὡς αὐτὸς ὁ Σωτὴρ παραδέδωκεν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· σύμβολον δ' εἶναι τοῦτο τοῦ θανάτου αὐτοῦ, διὰ τῆς τριττῆς καταδύσεώς τε καὶ ἀναδύσεως τὴν τριήμερον αὐτοῦ ταφὴν καὶ ἀνάστασιν εἰκονίζον τε καὶ διατυπούμενον. Διὸ καὶ οὐχ ἁπλῶς εἶπον, « Εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν, » ἀλλὰ προτάξας τὸ, « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, » οὕτως ἐπήγαγον τὸ « Εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· » τῇ κατὰ συνέχειαν παραθέσει τῶν διαφόρων ἐννοιῶν τε καὶ ὀνομάτων, κατὰ μηδεμίαν μὲν ἱερουργεῖσθαι τὸ βάπτισμα διδαξάμενος, ἢ γὰρ ἂν τἀναντία καὶ μάλιστα ἅμα φρονῶν τε καὶ λέγων ἐαλωκὼς εἴην. Ἀλλὰ διὰ μὲν τοῦ εἰπεῖν, « Εἰς Χριστὸν ἐβαπτίσθημεν, » ὅτι κατὰ τὴν αὐτοῦ μυσταγωγίαν βαπτισθῆναι παρεδήλωσα· διὰ δὲ τοῦ

21. Equidem ego aio baptizatos baptismum in Christi morte recepisse; non tamen aio baptismum in ejusdem mortis invocatione conferri; quod absit; sed dico remissionis hoc donum fieri, prout ipse Servator tradidit, in nomine Patris et Filii et Spiritus sancti: id vero esse symbolum mortis ejus, quia tribus immersionibus totidemque emersionibus triduanam ipsius sepulturam resurrectionemque deformat atque exprimit. Idcirco haud simpliciter dixi: « In morte ejus baptizati sumus [60], » sed cum antea dixissem: « Quotquot in Christo baptizati sumus, » deinde addidi, « In morte ejus baptizati fuimus [61]: » scilicet hac proxima differentium sententiarum ac nominum adjectione satis docens, secundum nullam ex his formis baptismum confici. Alioquin contraria maxime et sentire et dicere coarguerer. Sed revera cum dixi: « In Christo baptizati sumus, » secundum ejus initiandi ritum baptizatos nos declaravi; cum autem dixi: « In morte ejus baptizati fuimus, » nihil aliud significavi,

D

[60] Rom. VI, 3. [61] ibid. [62] Hebr. IV, 15.

NOTÆ.

(47) *Canon. apost.* 48, 49. Item *Const. apost.* lib. VII, 23.

Digitized by Google

nisi quod baptismus a Servatore institutus typum præ se fert atque imaginis mortem ejus, quæ immortalitatis fontem nobis reseravit. Aliud autem omnino est sic loqui ut nos ediximus, aliud est affirmare (quæ damnata a nobis sententia est) regenerationis mysterium cum invocatione mortis Christi confieri solitum. Haud nos igitur mentem immutavimus, neque ad Judaicas epistolas jam a nobis improbatas reversi sumus : qui videlicet cœlestia dogmata non in lapideis, sed firmissimis et nunquam frangendis animi tabulis inscripsimus. Illi potius Paulum transformare in Saulum nituntur, atque in aliis ejusmodi obtrectant, quanquam id ipsum fateri eos pudet, quos perperam intelligere et calumniari sermones meos juvat. Ego sane communes meorum in apostolatu sociorum sententias ipse quoque amplectens ac sanciens, homines illos qui alio quovis modo baptizare audent, quam fit in Dominica initiandi formula ; etiamsi Trinitatis tria nomina adhibeant, etiamsi nihil reliquorum omittant ; si tamen hi una immersione baptismum conficiant ; et si ne id quidem committant, sed vel in Christi invocatione baptizent, vel in ejus morte, vel aliam quamlibet novitatem, præter Servatoris traditionem, excogitent ; ego hos nulla venia dignabor ; sed eum qui vel in uno e supradictis peccaverit vel in alio simili, sine dubio reum agam. Non enim quia nominum qualitas variatur, ideo leve crimen contrahitur ; sed quia mandatum violatur, idcirco reus damnatione feritur. Hæc Paulus ecclesiæ orator, mori hujus praxique patrocinans, Servatoris præceptum confirmans, os illorum occludens qui contrarium factitare ausi essent, suorum autem in electione et apostolatu præcessorum decreta sigillo muniens. Tu vero quid jam ais ? fierine potuit ut apostoli transgressionem aliis exprobrarent, ipsi magistri transgressionis essent? atque ab aliis noxæ pœnas reposcerent ; ipsi impune peccaturos se crederent? quid quod, si quid alii peccabant, si tamen peccabant, ipsi ob id plectendi erant, quia causa criminis illis fuerant ? Sed hactenus dicta sufficiant.

A εἰπεῖν, « Εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν, » ὅτι τύπον φέρει καὶ εἰκόνα τοῦ τὴν ἀθανασίαν ἡμῖν πηγάσαντος θανάτου αὐτοῦ τὸ σωτήριον βάπτισμα. Ἕτερον δὲ παντελῶς ἐστι λέγειν ταῦτα ὅπερ καὶ ἡμεῖς τιθέμεθα, καὶ ἕτερον τὸ λέγειν ὅτι τῇ ἐπικλήσει τοῦ θανάτου αὐτοῦ, ὃ καταδικάζομεν, τὸ τῆς παλιγγενεσίας ἱερουργεῖται μυστήριον. Οὔκουν ἡμεῖς μετέστημεν, οὐδὲ πρὸς τὰς Ἰουδαϊκὰς ἐπιστολὰς ὧν κατέγνωμεν ἐπεστράφημεν· ἅπαξ τὰ οὐράνια δόγματα οὐκ ἐν λιθίναις πλαξὶν, ἀλλ' ἐν στερροτάταις καὶ ἀθραύστοις ἐγγραφέντες τῆς ψυχῆς πίναξιν. Ἐκεῖνοι δὲ μεθιστᾶν ἐπιχειροῦσι τὸν Παῦλον εἰς Σαῦλον, καὶ τὰ ἄλλα διασύρουσιν, κἂν ὁμολογεῖν ἐπαισχύνωνται, οἷς παρανοεῖν καὶ συκοφαντεῖν τοὺς ἐμοὺς ἐπῆλθε λόγους· ἐπεὶ τάς γε κοινὰς τῶν συναποστόλων ψήφους καὶ αὐτὸς ὁμοίως στέργων καὶ κυρῶν, τοὺς καθ' ἕτερόν τινα τρόπον βαπτίζειν ἀποτολμῶντας καὶ μὴ κατὰ τὴν Δεσποτικὴν μυσταγωγίαν, κἂν τῆς Τριάδος ἰσάριθμα τὰ ὀνόματα παραλαμβάνωσι, κἂν οὐδὲν μὲν τῶν ἄλλων παραχαράττωσι, διὰ μιᾶς δὲ καταδύσεως τὸ βάπτισμα ἀπαρτίζωσι, κἂν μηδὲ τούτοις ἐνέχωνται, εἰς δὲ τὴν τοῦ Χριστοῦ κλῆσιν βαπτίζωσιν, ἢ εἰς τὴν τοῦ θανάτου αὐτοῦ, κἂν ἄλλην τινὰ ἐπίνοιαν ἐπινοήσωσι καινοτομοῦσαν τὴν θείαν αὐτοῦ καὶ σωτήριον παράδοσιν, οὐδεμιᾶς ἔγωγε φείσομαι τοὺς τοιούτους ἀξιώσαιμι· ἀλλὰ τὸν ἐφ' ἑνὶ τινὶ τῶν εἰρημένων ἁλόντα, ἢ τινὶ τῶν τούτοις παραπλησίων, τῆς αὐτῆς καταδίκης οὐχ ἁλοίην μὴ γραφόμενος ἔνοχον. Οὐ γὰρ ἡ τῆς τῶν ὀνομάτων ποιότητος ἐναλλαγὴ πρὸς τὸ μέτριον ἄγει τὸ ἔγκλημα, ἀλλὰ τῆς ἐντολῆς ἡ παράβασις τῆς αὐτῆς καταδίκης τοῖς ἐνόχοις καθίσταται πρόξενος. Ταῦτα Παῦλος τῆς Ἐκκλησίας ὁ ῥήτωρ, συνηγορῶν μὲν αὐτῇ τῷ ἔθει καὶ ταῖς πράξεσι, κρατύνων δὲ τὴν σωτήριον ἐντολὴν, ἐπιστομίζων δὲ τοὺς ὅσοι πρὸς τοὐναντίον ῥέπειν ἐπεχείρησαν, τῶν προλαβόντων αὐτὸν εἰς τὴν ἐκλογὴν καὶ ἀποστολὴν ἐπισφραγιζόμενος τὰ ψηφίσματα. Σὺ δὲ τί λέγεις ἔτι ; ἆρα δυνατόν ἐστιν ἄλλοις μὲν παράβασιν ἐγκαλεῖν, αὐτοὺς δὲ καθίστασθαι διδασκάλους τῆς παραβάσεως ; καὶ λαμβάνειν μὲν παρ' ἑτέρων τῆς παραβάσεως ποινὰς, ἑαυτοὺς δὲ νομίζειν ἀνευθύνους εἶναι τοῦ τολμήματος ; καί τοι καὶ ὧν ἡμάρτανον ἕτεροι, εἴπερ ἡμάρτανον, ἐκείνους ἐχρῆν ὑπέχειν τὴν δίκην, ὡς τῆς αἰτίας ἀπ' αὐτῶν εἰς ἐκείνους δοθείσης. Ἀλλὰ γὰρ ἱκανὰ καὶ ταῦτα οἶμαι.

B

C

22. Nunc uno intuitu videndum superest, quibusnam ex argumentis propositæ ab initio quæstionis solutio dimanet. Hæc primo a singulorum vocabuli *nomen* significatuum distinctione, atque a confusionis discriminatione deducitur : ita ut perspicue sciamus quandonam *nomen* significatum proprium habeat ; quando item gloriam honoremque nominati denotet ; rursus quando ejusdem doctrinam ac prædicationem. Favet præterea solutioni si probe noscamus, haud adamussim congruere cum vocis typo sententiarum similitudinem. Nam neque locutiones in Christi morte, et in Christo baptizari, et in uno corpore, sub eodem vocis schemate eamdem sententiam exhibent : sed quantum hæ verborum ac nominum pronuntiatione proximæ invicem sunt

D κβ'. Καιρὸς δ' ἂν εἴη συνορᾶν δι' ὅσων τοῦ ἐξ ἀρχῆς ἀπορήματος ἐπιχειρημάτων προελήλυθεν ἡ λύσις. Πρόεισι μὲν γὰρ καθ' ἕνα λόγον διαστελλομένων τῶν σημαινομένων τοῦ ὀνόματος καὶ τῆς συγχύσεως διακρινομένης· ὡς τε σαφῶς εἰδέναι πότε μὲν τὸ κύριον αὐτὸ καθ' ἑαυτὸ τὸ *ὄνομα* σημαίνει, πότε δὲ δόξαν καὶ τιμὴν τοῦ ὀνομαζομένου, καὶ πότε τὴν διδασκαλίαν αὐτοῦ καὶ τὸ κήρυγμα. Συνεπικροτεῖ δὲ τὴν λύσιν καὶ τὸ λαβεῖν ἐπιστήμην μὴ διαπαντὸς ἔπεσθαι τῷ τύπῳ τῆς φωνῆς τὴν τῶν νοημάτων ὁμοιότητα. Οὐδὲ γὰρ τὸ εἰς τὸν θάνατον τοῦ Χριστοῦ, οὐδὲ τὸ εἰς Χριστὸν βαπτισθῆναι λέγεσθαι, οὐ μὲν οὖν ἀλλ' οὐδὲ τὸ εἰς ἓν σῶμα, διὰ τὸ σχῆμα τῆς φωνῆς τὴν αὐτὴν παραστήσουσι διάνοιαν· ἀλλ' ὅσον ταῦτα τῇ προφορᾷ τῶν ῥημάτων καὶ τῶν ὀνομάτων

Digitized by Google

συνεγγίζει τε καὶ συσχηματίζεται, τοσοῦτον ἀπ' ἀλλήλων κατὰ τὴν τῶν νοημάτων διέστηκεν ἑτερότητα. Καὶ πρὸς τούτοις ἃ ταῖς ἄλλαις ἐπιδέδεικται τῶν ἀτόπων συνεπομένων ἐπιλύσειαν. Ἔτι δὲ ὅτι μὴ οἷον ἦν τῶν μαθητῶν τὴν τοῦ διδασκάλου νομοθεσίαν καινοτομούντων ἑτέρωθεν ἀνακτήσασθαι, ἀλλὰ καὶ αὐτὴ μέχρι νῦν ἐκράτει τῆς ἐντολῆς ἀθέτησις, οὐκ ἐχούσης πάροδον τῆς νῦν θειαζομένης τῇ Ἐκκλησίᾳ καταστάσεως· καὶ ὅτι μάρτυρες τῆς τοιαύτης ἐπιλύσεως τῶν μαθητῶν οἱ κορυφαῖοι καθεστήκασι Πέτρος καὶ Παῦλος· καὶ τὸ φρικτὸν καὶ φοβερὸν, ὅτι συνοδικὴ τῶν ἀποστόλων, καὶ ἀδυσώπητος καταλαμβάνει ψῆφος τοὺς καθ' ἕτερόν τινα τρόπον βάπτισμα παρὰ τὸν τοῦ Δεσπότου νόμον τολμῶντας ἐπιτελεῖν, καὶ ἀντινομοθετεῖν τῇ ἐκείνου κυριότητι· διὰ τοῦτο καὶ ἡ ἀνὰ πᾶσαν τὴν οἰκουμένην Ἐκκλησία κατὰ διαδοχὴν τῶν ἀποστολικῶν πράξεών τε καὶ κηρυγμάτων εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος βαπτίζουσα, μετὰ τὸ καθαρθῆναι τοὺς βαπτισαμένους τῇ ἀναγεννήσει, εὐμελεῖ τε καὶ διαπρυσίῳ εἰῶθεν ὑποψάλλειν τῇ φωνῇ, « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε (48)· » οὐδὲν ἧττον ἀνακηρύττουσα, ὅτι καθάπερ νῦν τοὺς εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον βαπτισθέντας, εἰς Χριστὸν λέγομεν βαπτισθῆναι καὶ Χριστὸν ἐνδύσασθαι· οὕτω καὶ τῶν ἀποστόλων ὁ χορὸς τὸ τῆς ἀναγεννήσεως λουτρὸν ἱερουργοῦντες, τῇ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐπικλήσει, βαπτίζειν ἐλέγοντο εἰς Χριστὸν, καὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, καὶ τὰ παραπλήσια (49).

A et configuratæ, tantumdem inter se differunt sententiarum diversitate. Iis adde demonstrationes, quæ ex consequentium absurdorum solutionibus manant. Præterea, quod si discipuli legi magistri novitatem suam supposuissent, lex postea illa instaurari aliunde non potuisset, verum huc usque abrogatio ejus mansisset, neque postliminium exstitisset consuetudinis ejus, quæ nunc in Ecclesia divinitus viget. Insuper quod hujus solutionis suffragatores sunt discipulorum principes Petrus et Paulus : quodque longe gravissimum tremendumque est, synodica apostolorum et inexorabilis sententia percutit eos qui alio quovis modo, præterquam a Domino mandatum fuit, baptisma conficiunt, et contra ejus supremam potestatem decernunt. Quare toto orbe terrarum propagata Ecclesia, quæ secundum Actuum præconiorumque apostolicorum traditionem baptizat in nomine Patris et Filii et Spiritus sancti, postquam baptizatos regeneratione purgavit, modulata claraque voce solet canere : « Quotquot in Christo baptizati estis, Christum induistis. » Atque ita prædicare non dubitat, sicuti nunc in Patre et Filio et Spiritu sancto baptizatos suscepisse baptismum dicimus et Christum induisse ; ita cœtum apostolorum regenerationis lavacrum administrantem cum Patris et Filii et Spiritus sancti invocatione, dictum olim fuisse baptizare in Christo, et in nomine Jesu Christi, et similibus formulis.

B

C

ΕΡΩΤΗΣΙΣ ΜΔ'

Τί δηλοῖ τὸ εἰρημένον, « Ἐν παντὶ καιρῷ ἔστωσαν τὰ ἱμάτιά σου λευκὰ, καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω, καὶ τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ.

QUÆSTIO XLIV [*al.* XLIII].

Quid significat illud quod dictum est : « Omni tempore sint vestimenta tua alba, et oleum in capite tuo ne deficiat, et sapientis oculi in capite ejus. »

Edita a Maio, *Nov. Coll.*, t. IX, p. 27-3. Explanatio in Eccles. IX, 8 11, 14.

Τὸ λευχειμονεῖν οἷς ἡ κατὰ τὰ παλαιὰ νόμιμα πολιτεία περισπούδαστον εὐφροσύνης ἱερᾶς καὶ ἁγιοπρεποῦς καταστάσεως παρελαμβάνετο σύμβολον, καὶ δὴ καὶ τὸ τὴν κεφαλὴν ἐλαίῳ ἀλείφεσθαι τῆς αὐτῆς τεκμήριον ἐποιοῦντο διαθέσεως. Διὸ καὶ ὁ Κύριος ἡμῶν τῆς τῶν Φαρισαίων ἀπάγων ἡμᾶς μιμήσεως ἔλεγε « Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν ἔλαίῳ· » οἷον, Μηδὲν σκυθρωπὸν, μηδὲ κατηφὲς τῷ τῆς νηστείας κατορθώματι συνδιαπλέξῃς. Ἐπεὶ οὖν τὰ

Veste alba indui, iis quibus vitæ juxta antiquos ritus institutum studio appetitum erat, sacræ lætitiæ et sancti status symbolum assumebatur ; et sane adhuc caput ungi oleo sibi faciebant hujus dispositionis testimonium ; quapropter et Dominus noster nos a Pharisæorum avertens imitatione dicebat : « Tu autem cum jejunas, unge caput tuum oleo ; » quasi dixisset : Nihil triste, nihil mœsti jejunii bono immiscecas. Quoniam igitur alba vesti-

D

NOTÆ.

(48) Vide Græcorum Euchologium, cap. de baptismate.

(49) Photio ut scriberet luculentam hanc de baptismi formula dissertationem, vix dubito quin causam obtulerit controversia per id tempus denuo commota, quam e celebri S. Nicolai I. Papæ responso ad Bulgaros satis cognoscimus, de baptismo nimirum in S. Trinitatis vel in Christi nomine administrato. Quod autem Photius neque hoc scripto neque illa epistola encyclica, quæ est secunda inter editas, contumeliarum et criminationum in Romanos Bulgarorum doctores plena, quidquam hujusmodi Nicolao viventi objecerit, id rursus comprobat inhumaniter et inique facere eos qui Nicolao maledicunt, cui vel acerbissimus hostis in hac parte obtrectare non est ausus. Ad rem ipsam quod attinet, quæstio sane historica potius est, utrum nempe apostoli peculiari aliquo jure ab evangelica forma aliquando discesserint, necne. Nam quod certe in præsenti aliis verbis baptizare non liceat, nisi evangelicis et in Ecclesia universa usitatis, nemo jam negat. Inter multos recentiores, qui controversiam curiose ventilarunt, theologos, Harduinus et Calmetus eminent atque Ursus. Et duo quidem priores cum inedita Photii sententia (quam cæteroqui non legerant) satis conspiraverunt : Urso autem, copioso licet et docto, qui ab his dissidet, et tunc statim pro opinione sua contra theologum quemdam Sorbonicum decertandum fuit, et nunc gravior Photius post fata adversarius exoritur. Photio denique consonant Didymus, *de Spirit. sancto*, cap. 24, et Theophylactus sub finem commentarii ad Lucam.

Digitized by Google

menta et oleum iis qui in lege vivebant ornabant corpus, significabant autem vitam in lætitia constitutam : ita per æterna exemplaVerbum nos hortatur ut eamdem mentem nitidam et ornatam habeamus. Nitebit autem et ornabitur, si stolæ ejus albæ sint. Albæ porro erunt, quando puritate et splendore virtutum absque ulla eas inquinante malitia splendebunt et translucidæ erunt; quorum exterior non est erga Deum pietas. Ea est enim quæ virtutes producit et scaturit et in illis chorum consonum et concinnum ostendit, et vestem nuptialem, et cœlesti cœna dignam texit et ea animam circumdat et salutis est conciliatrix; quibus et olei unctio imprimis injicitur et adaptatur. Et verbum ait : « Oleum in capite tuo ne deficiat, » eleemosynam in proximos olivæ liquorem subscribens, quo ut nunquam egeat caput nostrum hortatur. Non enim si quis aliquando misertus est, misericordiam adimplevit; sed si sæpius egentem contempsit, antecedentes dies reddidit suæ bonæ actionis accusatores, virtutis et eleemosynæ contemptorem non erubescens ipsum convinci; et quod fecit, non virtutis, sed cujusdam ostendit esse circumstantiæ.

A λευκὰ ἱμάτια τοῖς ἐν τῷ νόμῳ καὶ τὸ ἔλαιον ἐκόσμει μὲν τὸ σῶμα, ἐδήλου δὲ τὴν ἐν τῇ εὐφροσύνῃ κατάστασιν τῆς ζωῆς, οὕτως ἀπὸ τῶν ἐκτὸς παραδειγμάτων ὁ Λόγος αὐτὴν παρακελεύεται φαιδρὰν ἔχειν καὶ ἐξωραϊσμένην τὴν ψυχήν. Φαιδρύνοιτο δ' ἂν καὶ ὡραΐζοιτο καὶ τῶν ταύτης περιβολαίων λευκῶν ὑπαρχόντων. Λευκὰ δ' ἂν γίγνοιντο ἐπειδὰν τὴν καθαρότητα καὶ λαμπρότητα τῶν ἀρετῶν ἄνευ τινὸς ἐπιμελαινούσης αὐτὰ κακίας ἀποστίλβοντα εἴη καὶ διαφανῆ· ὧν οὐκ ἔστι χωρὶς οὐδ' ἡ πρὸς τὸ Θεῖον εὐσέβεια. Αὐτὴ γάρ ἐστιν ἡ καὶ τὰς ἀρετὰς προβαλλομένη καὶ πηγάζουσα, καὶ τὸν ἐν ἐκείνοις χορὸν ἐναρμόνιόν τε καὶ σύμφωνον ἀποφαίνουσα, καὶ τὸν νυμφικὸν χιτῶνα καὶ τῆς ἐπουρανίου παστάδος ἐπάξιον ἐξυφαίνουσά τε καὶ περιβάλλεσθαι παρασκευάB ζουσα τὴν ψυχὴν καὶ τῆς σωτηρίας ὑπάρχουσα πρόξενος· οἷς καὶ τοῦ ἐλαίου χρῖσις μάλιστά τε προκαταβάλλεταί τε καὶ προκαταρτίζεται· καὶ ὁ λόγος φησί· « Καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω· » τὴν εἰς τοὺς πλησίον ἐλεημοσύνην καὶ τὸ τῆς γηγενοῦς ἐλαίου λιβάδος ὑπογραφόμενος· ἧς μηδέποτε ὑστερεῖσθαι ἡμῶν τὴν κεφαλὴν παρακελεύεται. Οὐ γὰρ εἴ τις ποτὲ ἠλέησε, τὸν ἔλεον κατωρθώσατο· ἀλλ' εἴ τις πολλάκις τὸν δεόμενον ὑπερεῖδε, τὸ προλαβὸν τῆς ἀγαθουργίας κατήγορον ἀπειργάσατο, τῆς ἀρετῆς καὶ τῆς ἐλεημοσύνης ὑπερόπτην ἑαυτὸν οὐκ ἔχων ὕβριν διελέγχεσθαι· καὶ τὸ πραχθὲν οὐκ ἀρετῆς, ἀλλά τινος διελέγχει περιστάσεως.

Et vide hujus vocis altitudinem et sapientiam. « Ne deficiat, inquit, oleum in capite tuo. » Etsi enim sæpius unxit, quantum, inquit, a pinguedine distat, tantum in sua priore actione deficit. Et aliunde vis hujus verbi meditatione invenitur; ita ut ille qui oleo utitur non tantam indigentibus beneficentiam adducit, quantum sibi lucrum injicit et præbet. Idcirco in congeneres misericordiam contemnere propriæ pinguedinis et utilitatis privationem nuncupat; et non simpliciter privationem cujusdam partis eorum quæ sunt in corpore, sed præcipui et capacissimi, nempe capitis. Sed enim quod dictum est, idipsum est iis carere quibus caput ungitur. Multi enim neque olei possessionem neque usum admirantes, ejus famæ quæ per id acquiritur et nominis amorem induunt; et alii quidem nonnihil distribuunt eorum quæ ipsis adsint, neque ea quæ sibi sunt charissima, eo oleo nomen sibi conciliare volentes, alii vero ut multitudini videantur divitiis pollentes, et eorum qui multa ambiunt contemptores; alii autem propter aliam ad nihil virtutis vergentem rationem; quorum quamvis videatur diffluere misericordia, non tamen a capite neque supra caput talis misericordia fertur. Non enim in judicio et intentionis rectitudine, sed in agitata mente et cupiditatum cura. Quod ideo utiliter et salubriter non multum danti diffundi et abundare poterat, in modum pœnæ et infeliciter illi subtrahitur, nec eo modo se privantibus vel guttulam commodi reddit. Qui vero sola egentium cura et propriæ animæ et virtutis misericordia, facit misericordiam, ille vere de capite donum fundit et de recta intentione, nec caput suum illa pinguedine

Καὶ ὅρα τὸ βαθὺ καὶ περινενοημένον τῆς λέξεως· «Μὴ ὑστερησάτω, φησί, τὸ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου.» Εἰ γὰρ καὶ πολλάκις ἠλείψατο, ἐν ᾧ, φησί, τοῦ λιπαίνεσθαι διέστη, ὑστέρημα τοῦτο τῆς ἔμπροσθεν καθίσταται πράξεως· καὶ ἄλλως δὲ τὸ τῆς λέξεως ἐμφαντικὸν θεωρήματος εὕρεσις γίνεται· ὡς ὁ τῷ ἐλαίῳ C χρώμενος οὐ τοσαύτην τοῖς ἐλεουμένοις τὴν εὐεργεσίαν εἰσάγει, ὅσον ἑαυτῷ καταβάλλεται καὶ προξενεῖ τὸ κέρδος. Διὰ τοῦτο τὸ περιορᾶν τὸν εἰς τοὺς ὁμοφυεῖς ἔλεον, ὑστέρησιν τῆς ἰδίας λιπάνσεως καὶ τῆς ὠφελείας ἀποκαλεῖ· καὶ οὐχ ἁπλῶς στέρησιν μέρους τινὸς τῶν τυχόντων ἐν τῷ σώματι, ἀλλὰ τοῦ κυριωτάτου καὶ συνεκτικωτάτου τῆς κεφαλῆς. Ἀλλὰ γὰρ οἷον εἴρηται τοιοῦτόν ἐστι τὸ ὑστερεῖσθαι δι' ὧν ἡ κεφαλὴ ἐπαλείφεται· πολλοὶ γὰρ οὔτε τοῦ ἐλαίου τὴν κτῆσιν οὐδὲ τὴν χρῆσιν θαυμάζοντες τῆς ἀπ' αὐτοῦ δόξης καὶ ὀνομασίας τὸν ἔρωτα ὑποδύονται· καὶ οἱ μὲν διανέμουσί τινα τῶν προσόντων, καὶ ταῦD τα οὐδὲ αὐτοῖς περισπούδαστα, τὴν τοῦ ἐλαίου παρωνυμίαν συνάγειν βουλόμενοι· οἱ δὲ ἵνα τοῖς πολλοῖς δόξωσι χρημάτων κρείττους, καὶ τῶν πολὺ σπουδαζομένων ὑπερόπται· οἱ δὲ δι' ἕτερόν τι τῶν μηδὲν εἰς τῆς ἀρετῆς ἀναφερομένων λόγον· ὧν κἂν δοκῇ διαῤῥέειν ὁ ἔλεος, ἀλλ' οὐκ ἀπὸ τῆς κεφαλῆς οὐδ' ἐπὶ τὴν κεφαλὴν ὁ τοιοῦτος φέρεται· οὐ γὰρ ἐν χρίσει διανοίας καὶ ὀρθότητι, ἀλλὰ σαλευομένῃ γνώμῃ καὶ θεραπείᾳ παθῶν· ὃ συμφερόντως ἂν καὶ σωτηριωδῶς μάλιστα τῷ κενοῦντι διαχεῖσθαί τε καὶ δαψιλεύεσθαι εὖ μάλα ἠδύνατο, ἐπιζημίως τε καὶ ἐπισφαλῶς ἀποκενοῦται, καὶ μηδὲ σταλαγμὸν ὠφελείας τοῖς κενοῦσιν ἀνταλλαττόμενον. Ὁ δὲ ἐπὶ θεραπείᾳ μόνῃ τῶν πενήτων καὶ τῷ ἱλασμῷ τῆς ἰδίας ψυχῆς καὶ τῷ τῆς ἀρετῆς νέμων τὸν ἔλεον, οὕτος ὡς ἀληθῶς ἀπὸ κεφαλῆς τε τὸ δῶρον προχέει

Digitized by Google

καὶ τῆς ὀρθῆς κρίσεως, καὶ τὴν ἑαυτοῦ κεφαλὴν οὐκ ἀποστερεῖ τῆς ἀναῤῥωνυούσης τὸ ἡγεμονικὸν καὶ ἱλαρυνούσης λιπάνσεως. Δῆλον δ' ὅτι τῷ τῆς ἐλεημοσύνης κατορθώματι καὶ ἄλλαι συναναφύουσι καὶ συνεξανθοῦσιν ἀρεταί. Τίς γὰρ ὡς ἀληθῶς ἀκαπήλευτον φέρων ἐν ἑαυτῷ τοῦ ἐλέους τὸ πολύτιμον χρῆμα βάσκανον ὀφθαλμῷ ἐπιβαλεῖ τῷ πλησίον, ἢ τύραννον ἐπαφήσει χεῖρα καὶ ταύτην ἣν οὔπω ἔληξε προτείνειν τὸν ἔλεον ἀναβλύζουσαν; τίς δὲ λῃστὴς ἀλλοτρίων ἔσεται γάμων τῷ ἐλαίῳ περιῤῥεόμενός τε καὶ τὴν γνῶμην μαλασσόμενος; Ἀλλά γε τόκους πῶς εἰσπράξεται τοὺς ὀφειλέτας οὗτος ὁ καταμερίζων τοῖς ἐνδεεστέροις καὶ ὅσα κλῆρος ὁ πατρῷος εἰς αὐτὸν διεβίβασεν; οὐκοῦν διὰ μιᾶς ἀρετῆς τῆς ἀναβλυζούσης τὸν ἔλεον καὶ τὰς ἄλλας ὡς συγγενεῖς καὶ συνακολούθους ὁ τὴν ἡγεμονίαν ἐκείνης προκαταλαβὼν εἰς φάλαγγας ἑαυτῷ καὶ συμμάχους διατάξει καὶ ἐξοικειώσεται.

Τοῦ δὲ κατωρθωκότος ἐν σπουδῇ καὶ σοφίᾳ τὸν ἔλεον, τούτου δ' ἂν εἶεν καὶ οἱ ὀφθαλμοὶ ἐπὶ τῆς κεφαλῆς, τουτέστιν ἡ ἐποπτική τε καὶ διακρίνουσα τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος ἕξις καὶ δύναμις. Τοῖς γὰρ ἀποδιϊσταμένοις τῆς κατὰ τὸν ἔλεον πράξεως καὶ συμπαθείας, οἱ ὀφθαλμοὶ καὶ ἡ διάκρισις οὐκέτι ἐπὶ τῆς κεφαλῆς, οὐδ' ὥστε φαίνειν καὶ ὁδηγεῖν τὸν αὐτοῖς χρώμενον, ἀλλ' ἐπὶ τῆς ὀσφύος ἢ τῆς γαστρὸς, μᾶλλον δὲ τῶν ποδῶν γεγόνασιν ὑποπόδιον καταπατούμενοί τε καὶ ἀχρειούμενοι, καὶ τυφλὸν καὶ πλανώμενον ἐν βαθεῖ σκότῳ καταλιπόντες τὸν ἄνθρωπον. Εἰ δὲ κεφαλὴ ἀνδρὸς ὁ Χριστὸς, παραινεῖ τὸ λόγιον ἡμᾶς ἀεὶ καὶ διὰ παντὸς ἀφορᾷν πρὸς αὐτὸν, καὶ ἐν αὐτῷ πᾶσαν ἡμῶν στηρίζειν καὶ ἀνατείνειν τὴν ἐποπτικήν τε καὶ θεωρητικὴν ἡμῶν ἐπιμέλειαν· « Προωρώμην γὰρ τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ. » Ἀλλὰ γὰρ « Ὡς ὀφθαλμοὶ παιδίσκης, φησὶν, εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν· » καὶ τὸ κέρδος οἷον καταλαμβάνουσιν ἡμᾶς οἱ φιλότιμοι καὶ πλούσιοι δωρεάν· καὶ μὴν καὶ διὰ παντὸς ὄντων τῶν ἡμετέρων ὀφθαλμῶν πρὸς τὸν Κύριον, αἱ παγίδες ἃς ὁ ἐχθρὸς παρὰ τὰ διαβήματα ἡμῶν ἐκτείνει, ἀργαὶ καὶ ἄπρακτοι καὶ τοὺς πόδας ἡμῶν κατέχειν οὐδεμίαν ἰσχὺν ἔχουσαι. Αὐτὸς γὰρ ὁ πλάστης καὶ προνοητὴς, καὶ δι' οὗ τὸ ὁρᾷν πεποίθαμέν τε καὶ πεπιστεύκαμεν, ἀμάχῳ ῥώμῃ τοὺς πόδας ἡμῶν ἐκ τῶν τοῦ ἐχθροῦ παγίδων ἀποσπάσει, καὶ λείαν καὶ ὁμαλὴν τὴν ὁδὸν ἡμῶν τῆς σωτηρίας ἀπεργάσεται. Τὸ μὲν οὖν « Ἔλαιον τῆς κεφαλῆς σου μὴ ὑστερησάτω, » τίνα προσῆκε νοεῖσθαι τρόπον, διηγόρευται.

Εἰ δ' ἀντὶ τοῦ « Μὴ ὑστερησάτω, » τὸ λόγιον οὐ μὴ ὑστερήσῃ τῷ γράμματι ἀπαγγέλλοιτο (εὑρίσκεται γὰρ καὶ τοιαύτη τῶν ῥημάτων ἡ προφορὰ), οὐδὲν κωλύει· καὶ οὕτω τὸ μὲν « Ἑστωσαν τὰ ἱμάτιά σου λευκὰ, » ὡς καὶ προείρηται, σύμβολον τῶν ἀρετῶν ἐκλαμβάνειν· τὸ δὲ Μὴ ὑστερήσῃ ἐπὶ τῆς κεφαλῆς ἔλαιον, ὅτι τῶν κατορθωμάτων περιαυγαζόντων τὴν ψυχὴν, καὶ περιβαλλομένης αὐτῆς τὸν νοητὸν κόσμον καὶ τὴν ἐξ αὐτῶν λαμπρότητα, τὸ πολυτίμητον ἔλαιον καὶ μύρον ὃ τὴν τοῦ ἁγίου Πνεύματος χάριν καὶ δωρεὰν ὑπογράφεται, οὐ μὴ ὑστερήσῃ καταρδεῦον καὶ

A privat qua illam præcipuam partem roborat et hilarat. Patet autem eleemosynæ bono actu præstito et alias nasci et florescere virtutes. Quis non adulteratas in se ferens misericordiæ excellentes divitias malevolum oculum in proximum injiciet, et tyrannicam emittet manum et illam quam nondum cessavit protendere misericordiam scaturientem? Quis erit alienarum nuptiarum fur, oleo mentem habens inunctam et mollitam? Sed etiam quomodo pecuniam a debentibus parentibus exiget, qui indigentibus et ea quæ paterna hæreditas ipsi transmisit, distribuerit? Igitur una virtute misericordiam scaturiente, et alias ut congeneres et consequentes, ille qui ejus ductum ante suscepit, sibi in phalanges et socias disponet et familiares reddet.

B

Qui vero cum zelo et sapientia misericordiam impleverit, ejus etiam erunt oculi in capite, id est inspiciendi et discernendi pejus a meliore, illi erit status et vis. Qui enim ab actionibus et compassione quæ secundum misericordiam sunt longe distant, eorum oculi et vis discernendi non in capite, neque ita ut eum qui illis utitur illuminent et dirigant, sed in lumbis et ventre, sed potius pedum scabellum, proculcati et inutiles facti et hominem in densis tenebris cæcum et errantem relinquentes. Si autem caput hominis Christus, nos ratio hortatur ut illum semper et omni modo inspiciamus, et ut in eum nostram intuentem et contemplativam

C curam erigamus et extendamus: « Providebam Dominum in conspectu meo semper, quoniam a dextris est mihi, ne commovear; » sed enim: « Ut oculi ancillæ in manus dominæ suæ, ita oculi nostri ad Dominum Deum nostrum. » Et lucrum tale erit ut occupent nos ambitiosi et divites frustra. Et vero perpetuo oculis nostris ad Dominum erectis, tendiculæ quas inimicus juxta nostrum iter disponit, otiosæ et inertes sunt, et pedes nostros minime valent cohibere. Ipse enim conditor noster et nostra Providentia et ille per quem videndo confidimus et credidimus, invicta fortitudine pedes nostros ab inimici retibus abstrahet et facilem et æquam nostræ salutis viam faciet. Quomodo igitur illud:

D « Ne deficiat oleum de capite tuo, » sit intelligendum, expositum est.

Si autem pro « Ne deficiat » scriptum sit et, Ne deficias (invenitur enim et talis verborum enunciatio), nihil obstat. Et sic illud: « Sint vestimenta tua alba, » ut et dictum est, accipi debet ut virtutum symbolum; illud vero: « Ne deficias oleo in capite tuo, » ostendit te, rectis intentionibus mentem tuam nitore ornantibus, et spirituali ornatu illam induente et illo, qui ex his sequitur, splendore, hoc pretiosum oleum et unguentum quod sancti Spiritus gratiam et donum describit non differre debere quod tuum caput imbuat et inungat, et

Digitized by Google

omni sacra et beata contemplatione et perfectione impleat. Etsi enim caput Ecclesiæ, id est fidelium Christus dicitur, sibi tamen alio modo pauperes conjungit et datam illis eleemosynam ad se refert; « Quod enim uni eorum fratrum meorum minimorum feceritis, mihi fecistis, « Per præcedentia verba Ecclesiastes hortatur ut caput nostrum oleo ungere non negligamus; quod est perpetuo eleemosynam pauperibus dare. Per hæc enim in nostrum caput Christum misericordiam inferimus; sed hæc quidem hactenus.

A καταμυρίζον σου τὸ ἡγεμονικὸν, καὶ πάσης ἱερᾶς καὶ μακαρίας ἀνεμπιμπλῶν θεωρίας τε καὶ τελειότητος. Εἰ δὲ καὶ κεφαλὴ τῆς Ἐκκλησίας, τουτέστι τῶν πιστῶν, ὁ Χριστὸς λέγεται καὶ πιστεύεται, οἰκειοῦται δὲ πάλιν τρόπον ἕτερον τοὺς πένητας καὶ τὴν εἰς ἐκείνους ἐλεημοσύνην εἰς ἑαυτὸν ἀναδέχεται· « Ἐφ' ὅσον γὰρ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. » Διὰ τῶν προκειμένων λόγων ὁ Ἐκκλησιαστὴς παραινεῖ μὴ καταμελεῖν τοῦ ἀλείφειν ἡμῶν ἐλαίῳ τὴν κεφαλήν· ὅπερ ἐστὶν ἀένναον τὴν ἐλεημοσύνην τοῖς πενομένοις χορηγεῖν. Διὰ γὰρ ἐκείνων εἰς τὴν ἡμῶν κεφαλὴν τὸν Χριστὸν τὸν ἔλεον ἀναφέρομεν· ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Scio autem quosdam dignam in multis opinionem præsentare quæ expurgat ea quæ ex nostra generatione contagia sequuntur et carnalis cupiditatis sordes : illam vero purificantem et salutarem renovationem per præcedentia verba a Salomone ostendi contendunt, hortari enim prævidentem Christi adventum et mysticas per eum perfectiones, ut homo purum illum et nitentem vestium splendorem et usque ad animam pertingentem albedinem omnibus anteferat; in qua et caput oleo inungitur perfectissimo unguento per sanctum Spiritum; et iis sensibus quibus præest caput, ex ipso præbens perceptionum flumen. Et fere cæteræ voces omnes propositæ theoriæ adæquatæ sunt et omnium aliarum explanationum familiaris reddita est interpretatio. Unde nemini dubium esse debet, quin bene et accurate consideratum sit. Illud autem : « Omni tempore induantur vestimenta alba, et nunquam deficiat per unguentum unctio in capite, « nescio quomodo adimpletum esse probetur, cum id una vice tantum occasionem habeat. Sed hortationem adhibere nemini qui tunc temporis aut intelligere, et ad opus induci possit, nescio quomodo facile sensum vanum abjicere valeat? Forsan autem : Omni tempore alba vestimenta ferre intelligetur qui post purificans baptisma virtutum splendore scipsum vestit, et omni modo prohibet ne peccati caligo ad se accedat. Et unguentum in capite suo nunquam deficere sinet, qui semper ea quæ sunt spiritus cogitabit et se gratiæ imbuet fluminibus. Si vero et propheticam gratiam Salomon plenam habuerit, divina et humana percurrens, verbum prædixit cujus futuris temporibus opus debebat exsurgere.

B Οἶδα δέ τινας ἀξιόλογον ἐν πολλοῖς ὑπόληψιν παρεχομένους τὴν ἀποκαθαίρουσαν ἡμῶν τοὺς ἀπὸ τῆς γενέσεως μολυσμοὺς καὶ τῆς ἐνύλου προσπαθείας τὸν ῥύπον· ταύτην δὲ τὴν καθάρσιον καὶ σωτήριον ἀνακαίνησιν διὰ τῶν προκειμένων ῥημάτων ὑπὸ τοῦ Σολομῶντος δηλοῦσθαι· παραινεῖν γὰρ προορῶντα Χριστοῦ τὴν ἐπιδημίαν καὶ τὰς μυστικὰς δι' αὐτοῦ τελετὰς τὸν ἄνθρωπον τὴν καθαρὰν ταύτην καὶ διαυγῆ λαμπροφορίαν καὶ μέχρι ψυχῆς ἐμβαθυνομένην λευκότητα τῶν ἄλλων ἁπάντων προαιρεῖσθαι· ἐν ᾗ καὶ ἡ κεφαλὴ τῷ ἐλαίῳ ἐπαλείφεται τῷ τετελεσμένῳ μύρῳ διὰ τοῦ ἁγίου Πνεύματος· καὶ ὧν αἰσθήσεων ἡ κεφαλὴ καθηγεῖται, ἐξ αὐτῆς τὸ ῥεῦμα τῶν ἀντιλήψεων χορηγοῦσα· καὶ τὸ μὲν μικροῦ σύμπαν τῶν λέξεων περὶ πόδα εἶναι τῇ προκειμένῃ θεωρίᾳ καὶ τῶν ἄλλων πασῶν ἀναπτύξεων ἐξοικειοῦσθαι τὴν ἑρμηνείαν, οὐδενὶ δισταγμὸν μὴ οὐχὶ καλῶς καὶ εἰς τὸ ἀκριβέστατον τεθεωρῆσθαι παρέχει. Τὸ δὲ ἐν παντὶ καιρῷ περιβεβλῆσθαι τῶν ἱματίων τὰ λευκὰ, καὶ τὸ μὴ ὑστερεῖσθαι μηδέποτε τῆς διὰ τοῦ μύρου χρίσεως τὴν κεφαλὴν, οὐκ οἶδα πῶς ἂν ῥᾳδίως συμβιβασθείη ἅπαξ ἔχοντα καιρὸν ἐπιτελεῖσθαι· ἀλλὰ καὶ τὸ παραίνεσιν εἰσάγειν μηδενὶ τηνικαῦτα μήτε συνιέναι δυναμένῳ, μήτε μὴν εἰς ἔργον ἄγειν ἀνεχομένῳ, οὐκ οἶδα πῶς ἂν ἐκ τοῦ ῥᾴστου τὸ μάταιον ἀποσκευάσασθαι κατευοδωθείη. Τάχα δ' ἂν ἐν παντὶ καιρῷ φορεῖν λευκὰ νοηθείη ὁ μετὰ τὸ καθάρσιον βάπτισμα τῇ λαμπρότητι τῶν ἀρετῶν περιστέλλων ἑαυτὸν, καὶ τὸν τῆς ἁμαρτίας ζόφον παντελῶς ἀπελαύνων πλησιάζειν ἑαυτῷ. Ὁ γὰρ τοιοῦτος ἐν παντὶ καιρῷ λαμπροφορεῖ· καὶ τὸ μῦρον δὲ ὁ τοιοῦτος ἐπὶ τῆς κεφαλῆς εἴη ἂν μὴ ὑστερούμενος, ἀεὶ φρονῶν τὰ τοῦ πνεύματος καὶ τῆς ἐκεῖθεν χάριτος καταρδόμενος τοῖς ῥείθροις. Εἰ δὲ καὶ τὸ προφητικὸν ὁ Σολομὼν εἶχε χάρισμα συμπληρούμενον, τὰ θεῖα καὶ τὰ ἀνθρώπινα διεξιὼν, τὸν λόγον προεῖπεν οὗ χρόνοις ὕστερον ἔμελλε τὸ ἔργον ἐκβαίνειν.

QUÆSTIO XLV. [*al.* XLIV.]

Illud : « Quæ est mater mea et qui fratres mei, » quomodo intelligendum est? multi enim id in scandali occasionem posuerunt.

ΕΡΩΤΗΣΙΣ ΜΕ'.

Τὸ, « Τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες οἱ ἀδελφοί μου, » πῶς νοητέον; πολλοὶ γὰρ αὐτὸ προσκόμματος ἔθεντο πρόφασιν (1).

Edita a Maio, l. c., p. 30-35. Explanatio verborum Marc. III, 33.

Nihil mirum, si is qui mente infirmus est offendat

Οὐδὲν θαυμαστὸν ἂν ὁ τὴν γνώμην ἀστήρικτος

NOTÆ.

(1) Quæstionem hanc edisserit, sed aliis plerumque verbis, Photius etiam in epistola 132. ed. Montacut. quam vide, infra quæstio CCV.

Digitized by Google

προσκόπτῃ ἐφ' οἷς ἡ σωτηρία πολλοῖς διαλάμπει καὶ ὠφέλεια· ἀλλ' ἐκεῖνο θαυμαστὸν εἰ καὶ τοὺς ἑκουσίως τυφλώττοντας, τὸ φορητὸν φῶς ἀνέχεται περιαυγάζειν τὴν γνῶσιν καὶ χειραγωγεῖν, οὐκ ἐξουθενεῖ καθορᾶν τὴν ἀλήθειαν. Ἐπεὶ καὶ ὁ Κύριος καὶ Σωτὴρ ἡμῶν τοῖς ἀπολλυμένοις πρόσκομμα γέγονε καὶ πέτρα σκανδάλου καὶ λίθος ἀποδεδοκιμασμένος εἰς κεφαλὴν γωνίας ὑποβεβλημένος, οὐκ αὐτὸς ταῦτα γεγονὼς, ἀλλὰ τοῖς πεπλανημένοις δόξας γεγονέναι. Κἀνταῦθα τοίνυν οὐκ ἀποσκευαζόμενος τὴν μητέρα, ὡς τὸ ἄθεον φρόνημα βούλεται τῶν δυσσεβούντων, τό· « Τίς ἐστιν, εἶπεν, ἡ μητήρ μου, » οὐ δὲ παρὰ φαῦλον τὴν τεκοῦσαν τιθέμενος, ταύτην ὁ Σωτὴρ ἀφῆκε τὴν φωνήν. Πῶς γὰρ ὃς γε κατὰ τὸ ἀτελέστερον τῆς ἡλικίας νόμῳ φύσεως ἔτι γινωσκόμενος ὑπετάσσετό τε τῇ Μητρὶ καὶ τὰ προνόμια πανταχοῦ τῇ τεκούσῃ συνδιέσωζε, πῶς οὗτος πρὸς τὴν τελειότητα τῆς ἡλικίας φθάσας ἀτελέστερον καὶ ἀγνωμονέστερον πρὸς τὴν Μητέρα ἂν διετίθετο; Οὔκουν οὐκ ἀποσκευαζομένου τὴν Μητέρα τὰ ῥήματα, ἄπαγε, ἀλλ' ἑτέραν τινὰ διάνοιαν ἑρμηνεύοντος· ποῦ γὰρ ἀκόλουθον, ποῦ δ' ἀστασίαστον, ἐξ ἧς διὰ φιλανθρωπίαν ἠξίωσε σαρκὶ προελθεῖν καὶ τῶν ἀχράντων αἱμάτων ὁ εὐδοκήσας ἑαυτῷ βροτείαν μορφὴν συμπήξασθαί τε καὶ περιέψεσθαι, ταύτην ἀπαξιῶσαι Μητέρα συνομολογεῖν καὶ τῆς ἐν ῥήμασιν ἀποστερεῖν οἰκειότητος· προῦποστὰς καὶ προκαταλαβὼν καὶ προδωρησάμενος τὴν ἐν τῷ πράγματι σχέσιν καὶ ἀλήθειαν. Καὶ εἰ ἔμελλεν, ὦ τῆς γλωσσαλγίας! ἀπαρνήσασθαι ταύτην, τί καὶ τὴν ἀρχὴν ὅλως προσήκατο; τί καὶ σχῆμα περιέδυ, οὗ τὴν μορφὴν ὕβριν ἐνόμιζε; καὶ γὰρ καὶ μέχρι τούτου τῆς γλώσσης ἤλασε τὰ τολμήματα· ἀλλ' ἡ μὲν ἐκείνων ἀπόνοια, ταύτῃ τε καὶ ἐξ ἄλλων πλειόνων τὸν ἔλεγχον δίδωσιν.

Ἴσως δ' ἄν τις οὐ πόῤῥω τῶν εὐαγγελικῶν γνωρισμάτων διαπλαττόμενος φάναι τὸν Σωτῆρα τὸ ῥῆμα ἐρεῖ, οὐχ ὑποτεμνόμενον μὲν τῇ Μητρὶ τὴν τιμὴν, οὐδὲ πολλῷ μᾶλλον ἀπαρνούμενον τὴν ἔμφυτον σχέσιν καὶ στοργὴν, οὐδὲ πολλοῦ δεῖ γέμοντα καὶ πρέποντα τῇ γεννησαμένῃ γέρα, ὅμως τῆς περὶ αὐτὴν θεραπείας τὴν τῶν ἀνθρώπων προτιμᾷν σωτηρίαν, καὶ τὴν εἰς τοῦτο τὸ τέλος φέρουσαν διδασκαλίαν, δι' οὓς καὶ Μήτηρ καὶ τόκος καὶ τῶν πατρῴων κόλπων ἀκένωτος κένωσις καὶ ἐν ἀνθρώποις ἀναστροφὴ καὶ πολιτεία καὶ σταυρὸς ἑκούσιος καὶ κακούργων θάνατος, εἶτα καὶ ταφὴ καὶ ἀνάστασις, ἐπισχύσαι δ' ἂν πειραθείη τὴν ἐπίνοιαν, καὶ ὅτι περ οὐδ' ἦν ἄλλως πράττειν τὸν Ἰησοῦν, εἰ μὴ κατὰ ταύτην τὴν ἀκολουθίαν καὶ τὸν εἰρμὸν τῆς προνοίας διετίθετο. Ἐδίδασκε γὰρ ὁ Σωτὴρ μετὰ τῶν ἄλλων σωτηρίων μαθημάτων καὶ τὸ μὴ προτιμᾷν πατέρα ἢ μητέρα ἢ γυναῖκα, τῆς αὐτοῦ ψυχωφελοῦς διδασκαλίας καὶ τῆς πρὸς αὐτὸν ἀπονεύσεως· « Ὅστις γὰρ, φησὶν, οὐκ ἐγκαταλείψει πατέρα ἢ μητέρα, κ. τ. λ., οὐκ ἔστι μου ἄξιος, » τουτέστιν, ὃς οὐ προτιμήσει τὴν ἐμὴν καὶ σώζουσαν παραίνεσιν καὶ νουθεσίαν, καὶ τὴν εἰς ἐμὲ στοργὴν, οὗτος ἐξέπεσε μὲν τῶν ἀτελευτήτων ἀγαθῶν, ἐξέπεσε δὲ τῆς μακαριότητος ἧς οἱ προτιμήσαντες τῶν συγγενικῶν θεσμῶν

A iis quibus salus et utilitas multis splendet; sed mirandum quod voluntarie cæcorum adjuvans lumen intellectum illuminare sustineat et manu ducere; nec jam eos indignos judicet qui veritatem videant. Noster enim Dominus et Salvator pereuntibus obstaculum effectus est et petra scandali et lapis reprobatus in caput anguli subjectus. Non ille sane id effectus est, sed errantibus visus est effici. Et in hoc loco certe non rejiciens matrem, ut vult blasphema impiorum cogitatio, neque eam qui ipsum genuit contemnens, hanc vocem Salvator emisit: « Quæ est, inquit, mater mea? » Quomodo enim qui pro ætatis imperfectione naturæ lege adhuc cognitus matri subditus erat, et primas partes illi qui ipsum pepererat, servabat, quomodo idem, B postquam ad ætatis perfectionem pervenit imperfectius et ingratius erga matrem sentiret? Non igitur matrem rejicientis verba sunt, sed alteram aliquam cogitationem docentis. Quomodo consequens est et non absurdum, eam ex qua per benignitatem carne amictus prodire dignatus est et sincero sanguine sibi mortalem formam conformare et obire voluit, eam, inquam, abnuere matrem confiteri et verbis eam consanguinitate privare? postquam ante in re habitum et veritatem suscepit et admisit et largitus est? Et si debuit, (proh blasphemiam!) illam denegare, quid eam ab initio approbaverat? Quid et habitum induebat, cujus formam opprobrium credebat? Etenim us- C que ad id urget linguæ audacia. Sed et eorum linguæ audacia et inde et ex multis aliis sui argumentum præbet.

Forsitan et aliquis non longe ab evangelicis indiciis opinans hoc verbum emisisse Salvatorem dicet, non matris honorem auferentem neque a fortiori ingenitum habitum et amorem abnegantem, neque multum sane abest, plena et convenientia matri præmia, tamen illius curæ salutem hominum anteponentem et ad eum finem ducentem doctrinam; propter quos et mater et partus et paterni sinus non evacuata evacuatio, et in hominibus commoratio et vitæ institutum et crux voluntaria, D et maleficæ mors; deinde et sepultura et resurrectio validam mentem reddere conarentur; et quia non poterat se gerere Jesum, nisi hanc viam et semitam sequeretur. Docebat enim Salvator simul cum cæteris salutaribus doctrinis ipsius animis tam utili doctrinæ et ad ipsum inclinationi non patrem aut matrem aut uxorem anteferendam: « Quicunque enim non relinquet patrem et matrem, etc., non est me dignus, » id est, qui non anteponet meam salutarem hortationem et consilium et mei amorem, ille ab æternis bonis decidit; ab illa autem beatitudine decidit, qua in æternum fruuntur qui congeneribus institutis meas leges et divinum amorem prætulerunt.

Hujus vero mandati facilitatem et adimpletionis

Digitized by Google

promptitudinem statuens, ipse illud primus insequitur, et maternæ necessitati et gratiæ auditorum institutionem præfert, fere dicens : Quemadmodum ego vos docens et vestram salutem procurans, maternam sollicitudinem, secundum feci, salutem vestram anteponens, ita oportet vos omnem per vincula corporea procedentem habitum et naturæ convenientiam pro vestra salute et nostrarum doctrinarum et legum custodia et observatione commutare. Eadem ratione et ei qui ipsum rogabat ut ad sepeliendum patrem abiret, non concessit; non contemnendi matrem, absit, et præsertim piam, neque patris dignitatem negligendi et ejus desiderium injuria prosequendi occasionem præbens; sed omnimodo nos hortans ut spiritualem salutem corporeæ omni conjunctioni et dispositioni anteferamus. Hæc forsitan aliquis, ut dictum est, matrem putans se prærogativis honoris non privare, sed ei in eodem gradu servare, disserere conaretur matris et convenientem venerationem et reverentiam tuens. Attamen hæc collatio modum quidem exponit quo ad inferiorem ordinem descendit, non autem eam ab honoris diminutione liberat.

τοὺς ἐμοὺς νόμους καὶ τὸν θεῖον ἔρωτα διὰ παντὸς ἀπολαύουσι. Ταύτης δὲ τῆς ἐντολῆς τὸ ῥᾷον καὶ εὐκατόρθωτον καθιστῶν ὁ Σωτὴρ, αὐτὸς ταύτην μετέρχεται πρῶτος καὶ εἰς τοὺς ἀκροατὰς διδασκαλίαν τῆς μητρικῆς πρόκρίνει χρείας καὶ χάριτος, μονονουχὶ λέγων ὅτι καθάπερ ἐγὼ διδάσκων ὑμᾶς, καὶ περὶ τὴν ὑμῶν σωτηρίαν ἀσχολούμενος τὴν μητρικὴν ἐθέμην δευτέραν θεραπείαν, τὴν ὑμετέραν σωτηρίαν προελόμενος, οὕτω χρὴ ὑμᾶς ἁπάσης τῆς διὰ τῶν σωματικῶν δεσμῶν προϊούσης σχέσεώς τε καὶ συμπαθείας τὴν ὑμῶν αὐτῶν σωτηρίαν ἀνταλλάττεσθαι, καὶ τῶν ἐμῶν διδαγμάτων καὶ νόμων τὴν φυλακὴν καὶ συντήρησιν. Ταύτῃ τοι καὶ τὸν αἰτησάμενον ἀπελθεῖν ἐπὶ τὸ θάψαι τὸν Πατέρα, οὐκ ἐπέτρεψεν· οὐ καταφρονεῖν μητρὸς, μή τι γένοιτο καὶ μάλιστα τῆς ὁσίας, οὐδὲ τοῦ πατρὸς ἐξαργεῖσθαι τὴν σχέσιν καὶ τὸν πόθον ἐνυβρίζειν ἀφορμὰς διδοὺς, ἀλλὰ παντα-χοῦ παραινῶν τὴν ψυχικὴν προκρίνειν σωτηρίαν τῆς σωματικῆς ἁπάσης καὶ συναφείας καὶ διαθέσεως. Ταῦτα μὲν οὖν ἴσως ἄν τις, ὥσπερ εἴρηται, δοκῶν τῇ μητρὶ τῶν προνομίων τῆς τιμῆς οὐκ ἀποστερεῖν, ἀλλ' ἐν τῷ ἴσῳ συντηρεῖν, διέλθοι πραγματευόμενος καὶ τὴν προσήκουσαν αἰδῶ συνδιασώζων καὶ σεβασμιότητα· καὶ τοι τὸ τῆς συγκρίσεως τὸν τρόπον μὲν ἑρμηνεύει καθ' ὃν πρὸς τὴν ἐλάττω τάξιν κατέβη τὸ συγκρινόμενον, οὐκ ἀπαλλάττει δὲ τῆς ἐλαττώσεως.

Scio quosdam beatorum Patrum quos in multis sæpe mirans et admittens, non hic pari benevolentia mirarer, qui impiæ opinionis improbatione in talem sensum descenderunt. Cum mater Jesu, aliquid humanum experta de suo filio se jactaret, libere autem loqui quæreret, et lætitia diffunderetur, eo quod talis filii mater esset, et propter hoc, docente filio, accederet; et ut decebat, doctrina gloriam sibi filio acquirente conglorificari ipsam et ejus laudis participem fieri cuperet, ideo Salvator qui et alios ab animi cupiditatibus mundat et talibus matrem infirmitatibus eripere volebat, quasi vituperatione plenam emisit vocem, dicens : « Quæ est mater mea, et qui sunt fratres mei? » Sed si illi quibus ea dicere in mentem venit et a quibus reipsa dic a sunt, contextum examini subjecissent, animadvertissent matrem nihil tale ostendere nec superbum præ se animum gerere. Non enim, Filio docente, ipsa nuntia advenit, nec in medium cœtum supervenit; neque docentis sermonem interrupit, neque quidquam altum aut superbum dixit; sed foris modeste stans, suam præsentiam tantum significavit, neque etiam verbo, sed suo aspectu, ut signo ut id annuntiaret usa est. Quomodo id gloriam ambientis esset, vel venerationem quærentis, et ex filii magnitudine superbiam? Quid autem aliud egisset servus, quem sua necessitas invitasset id ad Dominum clamitare? Ergo non erat objurgatio illud Jesu Christi ad matrem verbum, nec aliquis modus defectum per vituperationem inclamandi; non enim erat ullo modo delictum. Sed quod dictum est, Judaicam repressit irrisionem. Male dispositis enim et ingratis Judæis nunc per calumniam Sal-

Οἶδα δέ τινας τῶν μακαρίων ἡμῶν Πατέρων, οὓς ἐν πολλοῖς πολλάκις θαυμάσας καὶ ἀποδεχόμενος, οὐκ ἂν ἐν ταύτῃ τῇ γνώμῃ θαυμάσαιμι ἐπ' ἀθετήσει τῆς δυσσεβοῦς δόξης εἰς τοιαύτην καταβεβηκότας διάνοιαν· ὡς ἐπείπερ ἡ Μήτηρ τοῦ Ἰησοῦ ἀνθρώπινόν τι παθοῦσα ἐπεσεμνύνετο μὲν τῷ Παιδὶ, ἐζήτει δὲ παῤῥησιασθῆναι καὶ διαχυθῆναι τῷ ἀγαλλιάματι, ὅτι τηλικούτου Παιδὸς ἐχρημάτισε Μήτηρ, καὶ διὰ τοῦτο προσῄει διδάσκοντος τοῦ Υἱοῦ· καὶ ὡς εἰκὸς τῇ διδασκαλίᾳ δοξαζομένου συνδοξασθῆναι καὶ τὸν ἔπαινον συμμερίσασθαι· διὸ καὶ Σωτὴρ καὶ ὁ τοὺς ἄλλους ἀποκαθαίρων τῶν ψυχικῶν παθῶν καὶ τὴν Μητέρα τῶν τοιούτων ἀπαλλάττειν θέλων ἐλαττωμάτων, τάξιν ἐπιτιμήσεως ἐπέχουσαν ἀφῆκε τὴν λέγουσαν φωνήν· « Τίς ἐστιν ἡ Μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου; » Ἀλλ' οἷς μὲν ἐπῆλθεν ταῦτα εἰπεῖν, καί γε εἴρηται ἡ δὲ τῆς ἀκολουθίας συνεξέτασις, πρῶτον μὲν οὐχ ὁρᾷ τὴν Μητέρα οὐδὲν τοιοῦτον ἐπιδεικνυμένην οὐδὲ σοβαρὸν φέρουσαν φρόνημα. Οὐδὲ γὰρ οὐδὲ διδάσκοντος αὐτεπάγγελος ἐπεχωρίασεν, οὐδ' εἰς τὸ μέσον ἐπῆλθεν τοῦ συλλόγου, οὐδὲ τὸν διδασκαλικὸν λόγον περιέκοψεν, οὐδ' εἶπεν οὐδὲν ὑψηλὸν ἢ μεγάλαυχον, ἀλλ' ἔξω πανευλαβῶς ἱσταμένη τὴν παρουσίαν μόνον ἐμήνυσεν, ἢ οὐδὲ τοῦτο λόγῳ ἐμήνυσεν, ἀλλ' ἀπαγγέλλειν ἐφιλοσόφει τὴν θέαν τὸ μήνυμα· ὃ πῶς ἂν φιλουτιμουμένης τὸ δοξάζεσθαι, πῶς δὲ ζητούσης σεμνύνεσθαι καὶ τῇ τοῦ υἱοῦ ἐπιγαυροῦσθαι μεγαλειότητι; τί δ' ἂν ἕτερον καὶ θεράπων ἔπραξε χρείας αὐτὸν ἐπὶ τὸν Κύριον παραγενέσθαι καλούσης; οὔκουν οὐκ ἦν ἐπιτίμησις ὁ λόγος τοῦ Ἰησοῦ τῇ Μητρὶ, οὐδέ τις τρόπος ἀνακαλούμενος διὰ μέμψεως τὸ ἐλάττωμα. Οὐ γὰρ ἦν ἐλάττωμα οὐδαμοῦ, ἀλλὰ Ἰουδαϊκὸν ἐπεστόμιζε τὸ

Digitized by Google

εἰρημένον χλεύασμα· τῶν γὰρ κακοχόλων τε καὶ ἀγνωμόνων Ἰουδαίων νῦν λεγόντων ἐπὶ διαβολῇ καὶ ὕβρει Σωτῆρος, Οὐχ οὗτός ἐστιν τοῦ τέκτονος υἱός; νῦν δὲ οὐχ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ παρ' ἡμῖν; Καὶ πάλιν· « Τοῦτον δὲ οἴδαμεν πόθεν ἐστίν. » Ἔπειτα καὶ τότε διδάσκοντος καὶ τὴν ψυχικὴν σωτηρίαν εἰσηγουμένου, τῷ πλήθει διεφθόνουν τε καὶ διεβάσκαινον καὶ πρὸς διαβολὰς ἀνεφλέγοντο· οὐκ ἦν δὲ πόρος ὅλως διαβολῆς ἐπὶ τὴν συνήθη λοιδορίαν καταφεύγουσι, καὶ τὴν μητέρα πάλιν καὶ τοὺς ἀδελφοὺς εἰς ψόγον καὶ ἐξουθένημα προκομίζουσι, μονονουχὶ λέγοντες· Τίνα διδάσκεις; τίνα δὲ σαυτὸν κομίζεις; Οὐχὶ γυναικὸς πένητος ὑπάρχεις υἱός; καὶ οἱ ἀδελφοί σου οὐδὲν διαφέρουσιν, ὧν ὁ βίος διὰ χειρῶν; Ἰδοὺ οὗτοι ἑστήκασιν ἔξω ζητοῦντές σε· ἔα τὸ διδάσκειν καὶ πρὸς τοὺς συγγενεῖς ἀπότρεχε, τὴν ἐκείνοις ἴσην μετιὼν πολιτείαν, ἀλλὰ μὴ πρὸς τὸ διδασκαλικὸν ἀναβαίνων ἀξίωμα.

A vatoris et insolentiam dicentibus : « Nonne hic est fabri filius [60] ? » Nunc vero, nonne mater ejus et fratres apud nos? Et rursùm : « Hunc scimus, unde est [61]. » Deinde et tunc docente et spiritualem salutem afferente, multitudini invidebant et malevoli erant, et ad calumniam ardebant. Si autem abesset calumniæ locus, ad solitas confugiebant injurias, et matrem rursum in vituperium et contemptum adducebant, dicentes fere : « Quid doces? Quem teipsum facis ? » Nonne es mulieris pauperculæ filius? Et fratres tui nihil differunt, quorum vita per manus suas sustentatur. Ecce isti stant foris quærentes te. Omitte docere et ad consanguineos vade, eamdem ac illi vitæ rationem habens, sed non ad docendi assurgens dignitatem.

Ταῦτ' οὖν ἐκείνων, ὡς ἔθος, πονηρευομένων ὁ Σωτὴρ ἀντιτιθεὶς καὶ ἀντεπεξάγων τῇ μακροθυμίᾳ καὶ πραότητι, Τοσοῦτον, φησὶν, ἀπέχω τοῦ ἐπαισχύνεσθαι μητρὶ καὶ τοῖς ἀδελφοῖς, ὅτι οὐ μόνον ἣν ἡ φύσις ἔδωκεν καὶ οὓς εἰς γένος ἡ ὑπόληψις ἔθετο οὐκ ἀποστρέφομαι, οὐδὲ αἰσχύνην ἡγοῦμαι οὐδὲ ὄνειδος, ἀλλὰ καὶ τούτους ἅπαντας οὓς ὁρᾶτε τῶν ἱερῶν λόγων ὄντας σωτηρίων ἀκροατὰς, καὶ πατέρας καὶ ἀδελφοὺς οὐκ ἀπαξιῶ κατονομάζειν, τὸ πατρικὸν μόνον θέλημα ποιοῦντας, κἂν μήτε τῇ φύσει, μήτε τῇ ὑπολήψει τὰς εἰρημένας φιλοστόργους σχέσεις ἔχωσι βοηθουμένας. Τίς οὖν ἐστιν ἡ μήτηρ μου καὶ ἡ ἀδελφή μου; τί μοι τὰ; κλήσεις ταύτας εἰς ὕβριν καὶ ὀνείδος μεταπλάττεις; ἐγὼ τοσοῦτον ἐπαισχύνεσθαι τούτοις διέστηκα, ὥστε καὶ τοὺς ἀληθινοὺς μαθητὰς ταῖς κλήσεσι ταύταις καὶ σχέσεσιν ἐμαυτῷ συνάπτειν προειλόμην. Καὶ ἔστιν ἐντεῦθεν συνορᾷν ὡς οὐ μόνον οὐδὲν ἀγνωμοσύνης, οὐδὲ παροράσεως μητρικῆς τὰ προενηνεγμένα ῥήματα ἦν, ἀλλὰ καὶ τὴν μεγίστην αὐτῇ καὶ πρέπουσαν συγκατασκευάζει τιμήν. Τοσοῦτον γὰρ αὐτῇ τὴν σεβασμιότητα καὶ τὸ γέρας ἀπονέμει καὶ τὸ δίκαιον τῆς στοργῆς, ὥστε καὶ τοὺς ἐκτελοῦντας τὸ πατρικὸν θέλημα, καὶ πρὸς τοσοῦτον ἐπαρθέντας ὕψος ἀρετῆς, ὡς εἰς μέγα τι δόξης καὶ ἐξαίρετον, εἰς τὴν μητρικὴν σχέσιν καὶ κλῆσιν τούτους ἀνάγειν, δι' ἣν καὶ ἡ τῶν ἀδελφῶν νῦν τιμῆς ἀπολαύει προσηγορία· ποῦ γὰρ ἦν ἔκρινεν, εἴπερ ἔκρινεν, ἀποσκευάζεσθαι σχέσιν, ποῦ δ' ἂν ἦν ἐδικαίου, εἴπερ ἐδικαίου, παραγράφεσθαι κλῆσιν, ταύτην ὡς κορωνίδα καὶ κεφάλαιον τῶν ἀγαθῶν τοῖς τῶν οὐρανῶν βασιλείας κληρονόμοις ἐπιφέρειν τε καὶ χαρίζεσθαι χώραν εἶχεν; Ἐμφανέστατον οὖν οἶμαι καθὰ καὶ προείρηται γέγονεν, ὡς οὐ μόνον οὐκ ἔστιν οὐδὲ εἰς ὕβριν τῆς μητρικῆς στοργῆς, καὶ αἰδοῦς τὸ τίς ἐστιν ἡ μήτηρ μου, κ. τ. λ. εἰρημένα, ἀλλὰ καὶ τὴν πρέπουσαν αὐτῇ πανταχόθεν συνάγει δόξαν καὶ εὐφημίαν.

Illa igitur eis, ut solebat, improbe agentibus Salvator opponens, ac eos patienter simul et mansuete reducens : Tantum, inquit, abest ut de matre et fratribus erubescam, ut non modo eam quam dedit natura, et eos quos in genere mea conceptio posuit non rejiciam neque opprobrium aut vituperium ducam, sed et eos quos videtis sacrorum sermonum auditores et patres et fratres non dediger nominare, paternam voluntatem dummodo faciant, quamvis neque natura neque conceptione prædictos amoris habitus adjutos habeant. « Quæ est igitur mater mea et soror mea ? » Quid mihi has appellationes in opprobrium et injuriam fingis? Tantum abest ut illis erubescam, ut veros discipulos istis appellationibus et habitibus mihi conjungere statuerim. Et inde videre est nihil ingrati animi aut contemptus erga matrem præcitata verba expressisse, sed et maximum illi et decentem honorem præparasse. Adeo enim illi venerationem et mercedem tribuit, et quod amoris justum est, ut et voluntatem paternam adimplentes et ad sanctam virtutis sublimitatem assurgentes tanquam in magnam aliquam et eximiam gloriam, in matris habitum et appellationem inducat ; cujus causa et tunc temporis fratrum appellatio honore fruitur. Patet igitur, ut dictum est, non modo non in materni amoris et venerationis detrimentum hæc dicta esse, « Quæ est mater mea? » etc., sed et convenientem illi omnimode gloriam et benedictionem conciliat. Quomodo enim quam statuisset, si statuisset, habitudinem abjecisse, quam voluisset, si voluisset, appellationem submovere, eam ut fastigium et caput bonorum, regni cœlorum hæredibus inferendi et gratificandi habuisset locum?

Οὕτω δ' ἂν περιτραπείη τοῖς ἀνοήτοις πρὸς τοὐναντίον ἢ ἐφρυάττοντο, πρὸς δὲ τὴν εὐσεβῆ καὶ οἰκείαν ἀπευθύνοιτο θεοσοφίαν καὶ τό· « Τί ἐμοὶ καὶ σοὶ, γύναι; οὔπω ἥκει ἡ ὥρα μου. « Εἴ τις γὰρ ἐπιμελῶς;

Ita autem insanis longe aliter quam gloriabantur, ad piam et propriam divinam sapientiam converteretur et illud : « Quid mihi et tibi, mulier? nondum venit hora mea [62]. » Si quis enim accurate,

[60] Matth. XIII, 55. [61] Joan. IX, 29. [62] Joan. II, 4.

Digitized by Google

ex illis quæ dicta sunt hæc meditaretur, divina gratia cooperante et labori opitulante, inveniet eum gloriam et honorem decernentem potius quam contemptum omnino hanc vocem emisisse. Etenim in miraculis nihil erat matri et filio commune; quoniam Deitatis erat per seipsam miracula facere; humanæ autem naturæ non jam per se, sed per assumens Verbum. Attamen in iis in quibus nihil matri et filio commune erat, vide quomodo excessum honoris vel in discrimine statuit. Matre enim ejus rogante ut miraculum faceret, postquam significavit non esse id commune illi et sibi, et tempus nondum adesse quo oportebat signa operari, erga matrem reverentiam et honorem ostendit et tempore et permutante potentia fortiorem: et ita tantum abest ut ejus dicta maternam gloriam minuant, ut contra et multo majorem eam efficiant. Eam enim et tempore validiorem credere et miraculorum congruentiæ leges transgredi deinde, quod prætendebat, facere, quanto majorem honorem et reverentiam parat, quam si hæc non dicta et demonstrata essent. Fere enim per ea quæ dicebat et faciebat, ostendit dicens: Communitas naturæ communitatem non inducit miracula patrandi: «Quid mihi et tibi, mulier?» Neque Dei signorum congruens tempus est. Attamen ut scias, tu et quotquot ad videndum et audiendum indigentia adduxit, me tibi materna jura intemerata servare, et esse eum qui legem statui ut matri venerationem filii præstent, imo vero me iis quæ in natura series considerantur et temporis opportunitati tuam venerationem et obedientiam et gloriam anteponere, ecce muto aquam in vinum, tuis precibus illa quæ dixi secunda facientibus. Non enim eodem modo ibi dictum est illud: «Quid tibi et mihi,» quo ad illum dictum est qui quærebat ut ipsi paternæ hæreditatis arbiter foret. Ibi enim dixit: «Quid mihi et tibi? et quis me constituit principem et judicem super vos?» Hanc verbo excusationem actu roboravit, nec contestationis humilis et terreni lucri judex fieri voluit; sed quæ per verba abnegavit, per opera deinde firmavit.

Ibi vocis forma usus, maternam circa miraculum sententiam non repudiavit, neque precationis improbationem adjunxit. Sed postquam in communitate naturæ divinorum operum excellentiam docuisset, opus concurrens postulationi concessit; clare, ut dictum est, pluries statuens et opportunitate temporis et miraculorum proprietate maternam dilectionem et decus plus apud ipsum valere.

A ἐφ' οἷς ἐρρήθη ταῦτα διαμελετῴη, τῆς θείας χάριτος συνεργούσης τε καὶ τῇ μελέτῃ συναντιλαμβανομένης, εὑρήσει τῇ μητρὶ μᾶλλον δόξαν περιάπτοντα καὶ τιμήν, ἢ παρόρασιν ὅλως ἀφιέντα. Καὶ γὰρ ἐπὶ τοῖς θαύμασιν οὐδὲν ἦν κοινὸν τῇ Μητρὶ καὶ τῷ Υἱῷ· ἐπεὶ καὶ θεότητος μὲν ἦν τὸ θαυματουργεῖν καθ' ἑαυτήν· ἀνθρωπίνης δὲ φύσεως οὐκέτι καθ' ἑαυτήν, ἀλλὰ διὰ τὸν προσειληφότα Λόγον. Πλὴν καὶ ἐφ' οἷς κοινὸν οὐδὲν ἦν μητρὶ καὶ υἱῷ, ὅρα πῶς τὴν ὑπερβολὴν τῆς τιμῆς καὶ ἐν τῇ διαφορᾷ συνιστᾷ. Θαυματουργεῖν γὰρ τῆς μητρὸς ἀξιούσης, ἐπισημήνας μὴ εἶναι τοῦτο κοινὸν αὐτῆς τε καὶ ἑαυτοῦ, καὶ τὸν καιρὸν μὴ παρεῖναι προσθεὶς καθ' ὃν ἔδει τὰς θεοσημείας ἐνεργεῖν, τὴν πρὸς τὴν μητέρα αἰδῶ καὶ τιμὴν ἔδειξε καὶ τοῦ καιροῦ καὶ τῆς διαλλαττούσης δυνάB μεως ἐπικρατεστέραν· ὥστε τοσοῦτον τὰ εἰρημένα τῆς μητρικῆς δόξης ἔνδειαν ποιεῖν, ὡς καὶ πολλαπλασίονα ταύτην ἀποτελεῖν. Τὸ γὰρ καὶ καιροῦ κυριωτέραν ἡγεῖσθαι, καὶ τῆς ἐν θαύμασιν ἀκολουθίας ὑπερβαίνουσαν τοὺς νόμους, εἶτα πράττειν τὸ παρ' αὐτῆς προτεινόμενον, πόσῳ πολλαπλασίονα τὴν τιμὴν καὶ τὴν αἰδῶ κατασκευάζει; ἢ εἰ μὴ ταῦτα εἴρητό τε καὶ ἐπεδείκνυτο· μονονουχὶ γὰρ δι' ὧν ἐφθέγγετό τε καὶ ἔπραττεν, ἐπιδείκνυται λέγων· Ἡ κοινωνία μὲν τῆς φύσεως, κοινωνίαν οὐ συνάγει τοῦ θαυματουργεῖν. Τί ἐμοὶ καὶ σοὶ, γύναι; Οὐδὲ ὁ καιρὸς πάρεστιν ὁ ἐπιτήδειος τῶν θεουργιῶν. Πλὴν ἵνα γνῷς, σύ τε καὶ ὅσους ὁρᾷν καὶ ἀκούειν ἡ χρεία συνήγαγεν, ὅτι καὶ τὰ μητρικά σοι δίκαια ἀκαινοτόμητα διασώζω, καὶ αὐτὸς ὁ νόμον θέμενός εἰμι μητρὶ τοὺς C παῖδας τὴν σεβασμιότητα νέμειν, μᾶλλον δὲ ὅτι καὶ τῶν ἐν τῇ φύσει θεωρουμένων εἰρμῶν καὶ τῆς ἐπιτηδειότητος τοῦ καιροῦ τὴν σὴν αἰδῶ καὶ ὑπακοὴν καὶ δόξαν ἔμπροσθεν ποιοῦμαι, ἰδοὺ μεταβάλλω τὸ ὕδωρ εἰς οἶνον, τῆς σῆς ἀξιώσεως ἐκεῖνα δεύτερα ποιησαμένης. Οὐδὲ γὰρ κατὰ τὸν ἴσον τρόπον ἐνταῦθα εἴρηται τὸ « Τί ἐμοὶ, καὶ σοί, » καθ' ὃν εἴρηται πρὸς τὸν ἐπιζητοῦντα διαιτητὴν αὐτῷ τοῦ πατρικοῦ κλήρου χρηματίσαι. Ἐκεῖ γὰρ εἶπεν, « Τί ἐμοὶ καὶ σοί; καὶ τίς με κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ὑμᾶς; » Τῇ πράξει τὴν ἐν τῷ λόγῳ παραίτησιν ἐβεβαίωσε, καὶ δικαστὴς ἀμφισβητήσεως χαμαιζήλου καὶ προσύλου κέρδους οὐχ εἵλετο γενέσθαι, ἀλλὰ τὴν ἐν τοῖς ῥήμασιν ἀπαγόρευσιν, ἡ διὰ τῶν ἔργων παραγραφὴ διεδέξατο.

D Ἐνταῦθα δὲ τῷ σχήματι χρησάμενος τῆς φωνῆς, τὴν μητρικὴν οὐκ ἀπεπέμψατο περὶ τῷ θαύματι γνώμην· οὐδὲ τῆς αἰτήσεως εἰσηγήσατο τὴν ἀθέτησιν, ἀλλ' ἐν τῇ κοινωνίᾳ τῆς φύσεως τὴν διαφορὰν διδαξάμενος τῶν θεουργημάτων, τὸ ἔργον σύνδρομον ἔδειξε τῇ ἀξιώσει· σαφῶς, ὡς εἴρηται, πολλάκις παριστῶν καὶ τῆς ἐπιτηδειότητος τοῦ καιροῦ καὶ τῆς ἐν θαύμασιν ἰδιότητος τὴν μητρικὴν στοργὴν καὶ τὸ κλέος μεῖζον ἰσχύειν παρ' αὐτῷ.

Digitized by Google

ΕΡΩΤΗΣΙΣ ΜΖ'.

Πῶς οὐ μάχεται τὸ « Ἐρρήθη τοῖς ἀρχαίοις· Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος· ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. »

QUÆSTIO XLVI [*al.* XLV].

Quomodo non implicat illud : « Dictum est antiquis : Oculum pro oculo et dentem pro dente, ego autem dico vobis non resistere malo, sed quicunque te ad dexteram percutiet, verte illi et sinistram. »

Edita a Maio, l. c., p. 35-36. *In Matth.* v, 39.

Πρῶτον μὲν διότι ὁ εἰπών· « Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι, » αὐτός ἐστιν ὁ ψῆφον ἑκατέραν ἐξενεγκών· οὐδεὶς δὲ ἄρα οὐδὲ τῶν τυχόντων, μήτι γε νομοθέτης, ἅμα τἀναντία λέγει ἑαυτῷ, οὐδ' ὁ λέγων καταλύειν τὸν νόμον, οὐκ ἂν τὰς καταλυούσας αὐτὸν προεκόμιζε φωνάς, καὶ μάλιστα οὐκ ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ χρόνῳ, οὐδ' ἐν ἑτέρᾳ φράσει καὶ ἑτέρᾳ, ἀλλ' ἐπὶ τῶν αὐτῶν ῥημάτων καὶ ἑξῆς· οὐκοῦν οὐκ ἀντίκειται ταῦτα, ἀλλὰ πολλοῦ δεῖ. Ἀλλ' ἡ μὲν τῶν ἐντολῶν λόγον ἔχουσα νομοθεσίας ῥυθμίζει τε καὶ καταρτίζει τὸν κριτὴν ἀδέκαστον μὲν ἔχειν τὴν γνώμην, ἀδυσώπητον δὲ τὴν ψῆφον, ἰσόρροπον δὲ παρέχειν τοῖς δικαζομένοις τὸν τῆς δίκης ὀφθαλμόν. Ἡ δὲ λέγουσα μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἐν ἴσῳ ἐστὶ τοῦ μὴ ἐπεξελθεῖν μηδ' ἀμύνασθαι κατὰ τὰ πονηρεύματα αὐτοῦ τὸν ἄρξαντα χειρῶν ἀδίκων· καὶ οὐκ ἔτι αὐτὴ πρὸς τὸν κριτὴν ἀφορᾷ, ἀλλὰ τὸ ἠδικημένον πρόσωπον εἰς ἐπιείκειαν καὶ εὐλάβειαν παρακαλεῖ. Τοῦτό γε καὶ τὸν ἠδικηκότα αἰσχύνει καὶ μετάγει τῆς θρασύτητος καὶ ἀπονοίας ἐπὶ τὸ μεταμελούμενον καὶ κατηφές, εἰ μήπου θηρίον ᾖ μορφὴν ἀνθρώπου περιβαλλόμενον, καὶ τὸν ἠδικημένον τῷ τῆς πραότητος καὶ φιλοσοφίας στεφάνῳ κοσμεῖ. Καὶ γὰρ ἐξουσίαν αὐτῷ δίδωσιν ὁ νόμος τὸν λελυπηκότα δίκην εἰσπράττεσθαι· ὁ δὲ τὴν ἐξουσίαν ἂν εἰς φιλανθρωπίαν τρέψῃ καὶ τοῦ ὁμοφύλου λάβῃ ἔλεον, εἰς μόνον τὸν ἀρχηγὸν τῶν κακῶν καὶ τὸν ἀρχαῖον πολέμιον τοῦ γένους ἡμῶν ἀποτείνων τὸν δίκαιον θυμόν, οὗτός ἐστιν ὡς ἀληθῶς ὁ καὶ τῆς ἀνθρωπίνης φύσεως ἐξευγενίζων τὸ αὐτεξούσιον, καὶ τὸν κοινὸν Δεσπότην τὰς ἀνθρωπίνας ὀφειλὰς ἔχων διαλύοντα. Οὐ γὰρ πρὸς ἄλλο τοῦ ἐναντίου φύσις συμπλέκεσθαι· ἀλλὰ διὰ τῶν αὐτῶν οἷς ἂν πρόεισιν, ἡ μάχη πρόεισιν. Ἔλαβες κράτος τὸν ἠδικηκότα νόμῳ κολάζειν· εἰ μὲν κολάσεις, ἄδηλον, εἰ καὶ μὴ λαβὼν τῇ τιμωρίᾳ τοῦ πλησίον ἐπεπήδησας, καὶ τὸ φθάσαι παθεῖν τοῦ μὴ ποιῆσαι, ἀλλὰ μὴ φιλανθρώπῳ γνώμῃ καὶ φιλαδέλφῳ τὴν πρᾶξιν ἐξήνεγκας. Εἰ δὲ μὴ κολάσεις, στήλην ἔστησας ἀνεξάλειπτον καὶ φιλανθρωπίας καὶ πραότητος, καὶ τῷ βίῳ παράδειγμα καταλέλοιπας, φιλανθρώπως τε καὶ πραως τοῖς ὁμογενέσι συναναστρέφεσθαι, μάλιστα δὲ τὸ ἐρασμιώτατον καὶ μακαριώτατον πρὸς τὴν θείαν ἐστὶν ἀναχθῆναι διὰ τῆς τοιαύτης πράξεως μίμησίν τε καὶ ἀγαθότητα, καὶ Υἱὸν Θεοῦ κατὰ χάριν καὶ χρηματίσαι καὶ γνωσθῆναι, ὡς ἡ ἐνυπόστατος ἐβεβαίωσε σοφία καὶ ἀλήθεια· γίνεσθε γὰρ οἰκτίρμονες καθὼς καὶ Πατὴρ ἡμῶν [*Ita cod.*] οἰκτίρμων ἐστί. Σὺ δ' εἰ βούλει καὶ ἔτι τοῖς νόμοις

Primo quidem, quia qui dixit : « Non veni solvere legem, sed adimplere [63], » ipse est qui utrumque decretum tulit ; nemo igitur, quicunque etiam sit, sibi ipsi contradicit, et qui se non solvere legem dicit, non quæ ipsum solverent, voces emisisset, et præsertim non alio et alio tempore, non in alia et alia phrasi, sed iisdem verbis et ex ordine. Igitur hæc non sibi contradicunt, multum sane abest. Sed unum quidem legislationis rationem habens judicem ad ferendam incorruptam sententiam et irrevocabile decretum ordinat et aptat et ad æquum justitiæ oculum in judicium vocatis præbendum. Quod autem jubet improbo non resistere, perinde est ac si juberet non insurgere neque se defendere adversus eum qui sua scelera manibus injustis cœpit ; et illud non jam ad judicem respicit, sed multum injuria affectum ad mansuetudinem et benevolentiam invitat. Ex una parte quidem et injuriam facientem rubore suffundit, et ea audacia et dementia ad pœnitentiam et humilitatem reducit, si nondum fera sit hominis forma induta ; et injuria affectum mansuetudinis et philosophiæ corona adornat. Etenim licentiam ei dat lex a lædente pœnam reposcendi ; si autem ille hanc licentiam in humanitatem vertat et congeneris misericordiam concipiat, in unum malorum ducem et antiquum generis nostri hostem justum animum protendens, ille est vere humanæ naturæ liberum arbitrium plane generosum faciens et communem Dominum humana debita habens dissolventem. Non enim ad aliud contrarii natura est connecti ; sed iisdem quibus procedit, pugna procedit. Potestatem accepisti eum qui injuriam fecerit lege castigandi ; si quidem castigaveris, incertum est voluerisne vindicta præmium conculcare, an volueris pati non agere, humanaque et fraterna voluntate actionem posueris. Si autem non castigaveris, indelebilem columnam humanitatis et clementiæ erexisti, et ad vitæ institutum exemplum præbuisti se humaniter et misericorditer in proximos convertendi. Sed quod amabilissimum præsertim est et beatissimum, per hunc actum ad divinam erigeris imitationem et bonitatem, et filius Dei secundum gratiam et es et nosceris, ut substantialis affirmavit sapientia et veritas : « Estote enim misericordes, sicut et Pater vester misericors est [64]. » Si autem vis et adhuc leges considerare, earum concordiam et ex hac parte investiga. Qui oculum

[63] Matth. v, 17. [64] Ibid. 7.

NOTÆ.

(38) Ejusdem fere argumenti sunt quæst. XXXVII et CII.

Digitized by Google

pro oculo judicem resecare jubet. timore, ut patet, ne quæ non licet fugere incurrantur, scelestam audaciam arcet. Virtus autem quæ nullam permittit defensionem, injuria affectum cupida mente et humana molestia præstantiorem, et admiratione dignum prædicat. Utroque modo benevolentiam procedentem videre licet, et sinceram misericordiam in congeneres diffusam. Si autem utroque actu benevolentia et mansuetudo ostenditur, patet leges inter se non pugnare, neque per alteram alterius abrogationem fieri. Quomodo enim ambo proxime hominum salutem præparassent : una quidem eorum qui injustas manus intendunt, motus coercens; altera injuria affectos supra omnem animi infirmitatem ponens et eos contumeliæ motibus servire non sinens? Et altera qualis in qualem ictus injecerit, et quomodo qua dignus erat fortiori pœnam inflixerit, et multa alia per has duas salutares et utiles leges in unum concurrunt et adaptantur.

πολλὰ ἄλλα δι' ἀμφοῖν τῶν ἐντολῶν τῶν σωτηριωδῶν καὶ ὠφελίμων εἰς ἓν συντρέχει καὶ συναπαρτίζεται.

A ἐφιλοσοφεῖν, τὴν συμφωνίαν αὐτῶν ἐντεῦθεν ἐπόψει. Ὁ μὴν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ τὸν κριτὴν ἐκπτεῖν ἀξιῶν, φόβῳ δηλονότι τοῦ παθεῖν ἃ μή ἐστι φυγεῖν, τὴν ἐπ' ἀδίκοις τόλμαν ἀναστέλλει· ἡ δὲ τοῦ μὴ ἀμύνασθαι ἀρετὴ τὸν ἠδικημένον κρεῖττω περιπαθοῦς διαθέσεως καὶ ἀνθρωπίνης ἀντιλυπήσεως καὶ θαυμάζειν ἀνακηρύττουσα ἄξιον· δι' ἑκατέρου δὲ τρόπου ἐστὶ τὴν φιλανθρωπίαν ὁρᾷν προϊοῦσαν καὶ καθαρὸν τὸν ἔλεον ἐπὶ τοῖς ὁμοφύλοις προχεόμενον. Εἰ δὲ δι' ἑκατέρας πράξεως ἡ φιλανθρωπία καὶ ἡμερότης συνίσταται, δῆλον ὅτι οὐδεμία μάχεται ταῖς ἐντολαῖς, οὐδὲ παρὰ θατέρας ἡ τῆς ἑτέρας ἀναίρεσις. Πῶς γὰρ ἂν παραπλησίως ἄμφω τὴν τῶν ἀνθρώπων σωτηρίαν κατεσκεύαζον· ἡ μὲν τῶν ἀδίκους χεῖρας ἐπανατεινόντων τὴν ὁρμὴν ἀνακόπτουσα· ἡ B δὲ τοὺς ἠδικημένους ὑψηλότερον μικροψυχίας πάσης τιθεῖσα καὶ οὐκ ἀξιοῦσα δουλεύειν πάθεσιν ὕβρεως. Καὶ ἡ μὲν δεικνύουσα οἷος καθ' οἷου τὴν πληγὴν ἀφῆκε, καὶ ὡς ὁ παθεῖν ἄξιος τὸν κρείττω ἐτιμωρήσατο· καὶ

QUESTIO XLVII. [*Al.* XLVI.]

Domino dicente : « Ex patre diaboli estis, » quærimus quem dicat diabolum et quem patrem ejus?

ΕΡΩΤΗΣΙΣ ΜΖ'.

Τοῦ Κυρίου λέγοντος· « Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ, ζητοῦμεν τίνα λέγει διάβολον, καὶ τίνα τὸν πατέρα αὐτοῦ ;

Edita ab Ang. Maio, l. c., p. 36-40. De patre diaboli, seu de loco Joann. VIII, 44.

Non eodem modo, qui nos præcesserunt, de hac quæstione opinati sunt. Alii enim dicunt patrem diaboli eum esse qui in summam malitiam ascendit, et qui diaboli in se multiplicavit fetus, et multoties tales actus genuit quales neque ipse malus prius ausus esset. Si ita sit, nihil impedit quin pater partu eorum quæ a se prodeunt inferior factus ordinem filii suscipiat ; ille vero qui quodammodo genitorem genuit in paternum habitum transmutatus sit. Ut Cain, si velis. Multos enim ille diabolos genuit : id est, postquam diaboli actiones concepit, eas peperit nondum dolores puerperii solvendi prius audaciam habentes, mendacio nitens fallere non alium quemdam, sed eum qui omnia et ante ortum noscit, dolo fratrem alloquens, et dolum contra charissima viscera intendens amoris prætextu occultum, cædem fraterna dextera exsequens, et terram primus humano sanguine inquinans, ictum genitoribus insanabilem inferens. Et quod dicant, cum ut partus mercedem exegisse ut non secundis partubus exsultaret, stultitia et contradictione manifesta præcedentia laborare convincunt ; et quæcunque alia istiusmodi. Etsi vero ex oppositis similia probabiliter intelligere licet. Quemadmodum ille qui in extremam virtutem hujus quod sanctissimum est frequentatione et efficacitate pervenit, et in se gratiam multiplicat et multis salutari partu utilis fit, generans Deum spiritus dicitur : « Per timorem enim te, Domine, in sinu nostro concepimus et peperimus et genuimus; spiritum salutaris tui in terra generavimus [68]; » ita sane qui in extremam malitiam pervenit homo, improbi semina in se concipiens, partumque et genimina multiplicans, gignere diabolum merito dicceretur et pater ejus esse.

[68] Psal. XXVI, 18.

Διάφορος δόξα τοῖς πρὸ ἡμῶν περὶ τούτου προελήλυθε τοῦ ζητήματος. Οἱ μὲν γὰρ λέγουσι πατέρα τοῦ διαβόλου, τὸν εἰς ἄκρον κακίας ἐλάσαντα· καὶ τοῦ πονηροῦ ἐν ἑαυτῷ πολλαπλασιάσαντα γεννήματα, καὶ πολλάκις πολλὰ ἀποτεκόντα τοιαύτας C πράξεις, οἵας ἂν ὁ πονηρὸς οὐκ ἐτόλμησε πρότερον. Εἰ δὲ ταῦτα οὐδὲν κωλύει καὶ τὸν πατέρα τῷ τόκῳ τῶν ἐξ αὐτοῦ προελθόντων ἐλαττωθέντα, αὐτὸν μὲν τὴν τοῦ υἱοῦ μεταλαβεῖν τάξιν, τὸν δὲ πλεονεκτήσαντα ἐν τῇ κακίᾳ καὶ τρόπον τινὰ τὸν γεννήσαντα γεγεννηκότα εἰς τὴν πατρικὴν ἀντιμετελθεῖν σχέσιν. Οἷον ὁ Καΐν, εἰ βούλει· πολλοὺς γὰρ οὗτος ἅμα διαβόλους τέτοκε· τουτέστι τὰς τοῦ διαβόλου πράξεις συλλαβὼν ἀπεκύησεν, οὔπω πρότερον θάρσος ἐχούσας λύειν τὰς ὠδῖνας, ψεύδει φενακίζειν ἐπιχειρῶν οὐχ ἕτερόν τινα, ἀλλὰ τὸν πάντα καὶ πρὶν γενέσεως ἐπιστάμενον, ἀπάτῃ μετερχόμενος ἀδελφόν· καὶ δόλον κατὰ τῶν φιλτάτων σπλάγχνων ἐντείνων τῆς στοργῆς D τῷ σχήματι καλυπτόμενον, φόνον ἀδελφικῇ δεξιᾷ παλαμώμενος, καὶ τὴν γῆν πρῶτος ἀνθρωπίνῳ καθυβρίζων αἵματι, πληγὴν ἐπάγων τοῖς γεννησαμένοις ἀθεράπευτον· καὶ τοῦ τόκου μισθὸν ἀπαιτεῖν, τὸ μὴ δευτέροις τόκοις ἐπαγάλλεσθαι, ἀπονοίᾳ καὶ ἀντιλογίᾳ χαλεπωτέρᾳ τὰ φθάσαντα διελέγχουσι· καὶ ὅσα ἄλλα τοιαῦτα. Εἰ δὲ καὶ ἐκ τῶν ἐναντίων ἐστὶν ἀναλόγως τὰ ὅμοια συνορᾷν· ὥσπερ ὁ εἰς ἄκρον ἀρετῆς τῇ τοῦ παναγίου πάντως ἐπιφοιτήσει καὶ ἐνεργείᾳ ἥκων, καὶ πολυπλασιάζων ἐν ἑαυτῷ τὴν χάριν, καὶ πολλοῖς ὠφέλιμος καὶ σωτηρίοις τῷ τόκῳ γινόμενος, πνεῦμα λέγεται τικτὸν Θεοῦ. Διὰ γὰρ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν, πνεῦμα σωτηρίου σου ἐκυήσαμεν ἐπὶ τῆς γῆς. Οὕτω δὴ, οὕτω καὶ ὁ εἰς ἄκρον κακίας ἐλάσας ἄνθρωπος τὰ τοῦ πονηροῦ σπέρματα ἐν ἑαυτῷ συλλαβὼν καὶ πο-

Digitized by Google

λυπλασιάσας τὸν τόκον καὶ τὰ τῆς πονηρίας κυήματα, τίκτειν ἂν εἰκότως λέγοιτο τὸν διάβολον καὶ πατὴρ χρηματίζειν αὐτοῦ.

Οἱ δὲ οὐδέτερον μὲν τῶν εἰρημένων ἐγκρίνουσι, τὸν ὄφιν δὲ τοῦ διαβόλου πατέρα κληθῆναι νομίζουσι· διατί; Ὅτι πρῶτον ὁ ὄφις τὴν ἐκείνου διαβολὴν συλλαβών, τῇ γλώττῃ ἀπέτεκε· πρὸ γὰρ τῆς ἀνθρώπου πλάσεως καὶ τῆς τοῦ ὄφεως ὑποστάσεως, οὐκ ἦν ὁ ἀπορρυεὶς τῆς ἀγγελικῆς εὐγνωμοσύνης καὶ τάξεως, τὰ τοῦ διαβόλου πράττων, καίτοι ζητῶν κακὸς εἶναι καὶ χώραν οὐκ ἔχων παρεισδύσεως· οὐκοῦν τὸ ἑρπετὸν ὁ ὄφις τοὺς διαβόλους ἐγκυμονήσας λογισμοὺς καὶ τῇ γλώσσῃ εἰκότως ἂν τοῦ διαβόλου πατὴρ λέγοιτο. Ἀλλὰ ταῦτα μὲν ἕτερα τοιαῦτα εἰς ἀνάπτυξιν τοῦ ῥητοῦ, τίς τε καλοῖτο διάβολος, καὶ τίς ὁ τούτου πατήρ, ἑτέροις πεφιλοσόφηται· ἐμοὶ δὲ τὰς εἰρημένας ἐπιλύσεις οὔτε λίαν ἔπεισι θαυμάζειν, οὔτε μὲν φιλολόγων εἶναι πόνους ἀνδρῶν· ὅσοις δὲ μᾶλλον τὰ τοιαῦτα εὐτρέπισται συνορᾶν, δικαιότεροι ἂν εἶεν οὗτοι καὶ τὴν ἀμείνω περὶ αὐτῶν ψῆφον ἐξενεγκεῖν· ἃ δ' ἂν προσταίῃ ἐμοί τε καὶ ἴσως ἑτέρῳ τινὶ τὴν τελειότητα ταύτης μὴ καταλαβεῖν, ἐκεῖνα καὶ δὴ τῷ λόγῳ διέξειμι.

A Alii vero nihil ex his admittunt; serpentem autem diaboli patrem vocari putant. Quare? Quia primo, postquam serpens ejus calumniam concepit, lingua peperit. Antequam enim homo efformaretur et serpens subsisteret, ab angelica sapientia et ordine qui erat delapsus, non opera diaboli faciebat, malus tamen esse nitebatur, nec locum transfusionis habebat. Igitur reptile quod est serpens diabolicos concepit sensus, et lingua diaboli pater merito diceretur. Sed hæc quidem alia talia ut hoc dictum explanent, quis vocetur diabolus et quis ejus pater, ab aliis inquisita sunt. Mihi vero prædictas solutiones non venit in mentem admirari, neque puto eas esse doctorum virorum opus. Qui vero hæc magis possent intelligere, ii sane meliorem de his B sententiam ferre valerent. Quæ autem mihi obstarent et forte alteri cuidam ne ejus perfectionem concipiamus, hæc ratione persequor.

Πρῶτον μὲν οὐδαμοῦ τῆς ἱερᾶς ἡμῶν Γραφῆς γέγονα δυνατὸς εὑρεῖν, οὔτε κατὰ τὰ παλαιότερα τῆς νομοθεσίας, οὔτε ἐν οἷς ἡ χάρις τὸ τῆς εὐσεβείας φῶς λαμπρότερον ἤστραψεν, οὐμενοῦν οὐδαμοῦ πατέρα τινὰ τοῦ διαβόλου λεγόμενον· καίτοιγε πολλαὶ πολλάκις χωρίων περίοδοι τῆς πονηρᾶς ἐκείνης καὶ ἀλιτηρίου μνήμην καταβάλλονται προαιρέσεως· ἀλλὰ Σατανᾶν μὲν καὶ διάβολον καὶ ἀποστάτην καὶ νοῦν Ἀσσύριον καὶ τῶν παθῶν ἄρχοντα καὶ τῶν τῆς πονηρίας πνευμάτων ἐξουσιαστὴν καὶ τοιαῦτά τινα τὸν ἀρχέπακον ἐχθρὸν τοῦ γένους ἡμῶν ὀνομαζόμενον ἐκδιδάσκουσι· καὶ υἱὸν ἔσθ' ὅτε διαβόλου μᾶλλον τὸν τὰς C μοχθηρὰς αὐτοῦ γονὰς ἐν ἑαυτῷ συλλαβόντα καὶ τῷ τῆς πλάνης τόκῳ υἱοθετούμενον· ἐξ οὗ καὶ ὁ θεσπέσιος Παῦλος υἱὸν διαβόλου τὸν Ἐλύμαν ἐπωνόμασε· πατέρα τοῦ διαβόλου μέχρι νῦν ἕτερόν τινα οὐκ ἔχω τέως ἀπισχυρίσασθαι τὴν ἱερὰν ἡμῶν ἐπιστάνην ἢ ἐπονομάζουσαν Γραφήν· ἀλλ' ἓν μὲν τοῦτο τὸ μηδαμοῦ πατέρα τοῦ διαβόλου τῶν τοῦ Πνεύματος λογίων τῷ ἰδιώματι μήτε γινώσκεσθαι μήτε ὀνομάζεσθαι. Δεύτερον δὲ οὐδ' ἔνθα δοκοῦσι μνήμην αὐτοῦ γεγενῆσθαι, οὐδ' ἐνταῦθα παρασχεῖν τὴν ὑπόληψιν ἀσφαλῆ δύνανται· καὶ γὰρ ὁ τῶν Ἰουδαίων δῆμος οὐκ εἰς πατέρα τοῦ Θεοῦ ἀναφέρειν οὐδαμοῦ διετείνετο ἑαυτὸν, ἀλλὰ τὸν Θεὸν μὲν ἐσπούδαζον τῷ ῥήματι ἐπιγράφεσθαι πατέρα, παῖδας δὲ τοὺς ἐξ Ἰσραὴλ· καὶ τῷ Δημιουργῷ καὶ Σωτῆρι ἡμῶν οὐκ ἦν σκοπὸς δεῖ- D ξαι τοὺς Ἰουδαίους τοῦ πατρὸς τοῦ διαβόλου τέκνα χρηματίζειν· ἕτερον γὰρ ἂν ἐκείνοις ἠλαζονεύετο· καὶ πρὸς ἕτερον οὗ μήπω μὲν ὄνειδος, μήπω δὲ κατηγορίαν εἶχον, μεθεῖλεν ἂν καὶ μετέφερεν, ὅπερ οὐκ ἦν συντηροῦντος τὸ ἀκόλουθον, ἀλλ' αὐτοῦ γε δηλονότι τοῦ διαβόλου παῖδας ὠνόμαζεν, οὗ καὶ τὴν ἐν τῇ κλήσει σχέσιν κἂν καὶ τῇ γνώμῃ καὶ τῇ μιμήσει τῶν πράξεων συνεφέροντο, βαρύ τε ἦν αὐτοῖς ἀκούειν καὶ ἀποτρόπαιον· ἐπεὶ οὖν ὁ Ἰουδαῖος πατέρα τὸν Θεὸν ἐπέγραφεν ἑαυτοῦ, καὶ ὁ Σωτὴρ ἐσπούδαζε δεικνύειν διὰ τῶν ἔργων τοῦτο μὲν ψευ-

Primo nullibi sanctæ nostræ Scripturæ, neque apud antiquiora legis, neque apud ea in quibus gratia pietatis lucem splendidiorem effudit, patrem aliquem diaboli dictum invenire potui; et sane quidem multæ in multis locis periphrases improbæ istius et errantis voluntatis memoriam statuunt; sed Satanam quidem et diabolum et apostatam et Assyrium spiritum et cupiditatum ducem et improborum spirituum dominum, et alia hujusmodi, malorum auctorem et nostri generis inimicum nominatum docent; nonnunquam etiam filium diaboli potius eum qui in se funesta ejus semina concepit et erroris partu filius adoptatus est. Unde divus Paulus filium diaboli Elymam coguominavit; patrem diaboli alium quemquam non reperio nostram sacram disciplinam, seu, ut aiunt, Scripturam asseverantem; sed unum quidem hoc nusquam patrem diaboli sancti Spiritus idiomate neque nosci neque nominari. Secundo autem neque ubi credunt mentionem de eo fieri, ibi firmam opinionem præstare possunt. Etenim Judæorum populus non in patrem Dei seipsum erigere conabatur; sed Deum quidem patrem sibi ascribere æmulabantur, filios vero ejus, qui ex Israel erant. Nec Creatori nec Salvatori nostro scopus erat Judæos patris diaboli filios ostendere. Alia enim eis fuisset jactantiæ causa; et ad alium cujus nondum opprobrium et nomen habebant eos convertisset, et transtulisset; quod non erat consequentia servantis, sed patet eum illos diaboli filios nominasse, cujus habitu et in nomine et in mente et in imitatione actuum utuntur, quodque erat eis audire durum et abominandum. Cum enim Judæus patrem Deum sibi ascriberet, et Salvator vellet eos ostendere per opera illud quidem mentientes, diabolum vero per ea quæ agebant sibi patrem facientes, quid egisset sermo patrem diaboli patrem Judæorum per divina oracula nominari docens?

Digitized by Google

δομένους, τὸν διάβολον δὲ δι' ὧν ἔπραττον πατέρα ποιουμένους, τίς ἂν εἴη λόγος ὁ περαίνων τὸν πατέρα τοῦ διαβόλου πατέρα τῶν Ἰουδαίων διὰ τῶν Λογίων ὀνομάζεσθαι;

Vox enim Salvatoris ad Judæos per exprobrationem directa nihil eorum sibi proponit. Obvium enim et lectionis explicationem nesciens, neque attendens ad quam præsertim multorum lingua ut loquatur temere, abducatur, sponte invenit patrem diaboli quem nullus usus neque ipsa appellatione exsistere notum facit. Si autem explicationis modo consideretur, et juxta præcedentes cogitationes aptetur et explanetur, ipse diabolus pater ingratorum Judæorum annuntiatur. Et quem non inhibitus linguæ cursus explicationem omittens patrem diaboli fingit et annuntiat, nullo modo exsistentiam habet. Salvator autem per exprobrationem verbum proferens, cum Judæorum populus diceret, « Unum patrem habemus Deum, » audetis igitur, inquit, nec vos pudet patrem Deum vocare; aut nonne vos ex diabolo estis, eo quod mandata ejus vultis facere, vos filios ejus exhibentes. Cujus enim quis juxta mandata formatur et fingitur, dignus est etiam qui ejus filius cognominetur. Quas enim leges æmulabantur Judæi, nisi eas quibus gloriam sibi acquirebat diabolus? Gloriam ab invicem recipientes, proximos calumniis edentes, invidia pulcherrima inquinantes, cædem in Salvatorem machinantes, et lingua sententiaque mortem ejus præparantes, veritati mendacium præferentes, et dolum et calumniam et avaritiam vitam suam facientes, et alia omnia his similia sunt; per quæ et diaboli congenerationem ut auctoris et satoris sui, manifeste sibi vindicabant. Præterea et allatum et connexum oraculum non indicat quidem nominari patrem, inquam, diaboli, aliquem. Rursum vero supponit annuntiari patrem Judæorum diabolum et esse et nominari. Dicit enim: « Ille ab initio homicida erat [66], » diabolum manifeste, non aliquem patrem diaboli. Cui enim alteri illud, homicida, et illud, « ab initio, » conveniet? et illud, « minime in veritate stare? » nisi ipsi diabolo, qui linguam contra Creatorem mendacio acuit, dolo autem eam dulcorans primæ creaturæ protendit, et postquam verbis fraudulenter eam incantavit, e vitæ in paradiso actæ et deliciarum æternarum finibus expulit, immortalitatis locum carcerem mortis elliciens? Mortem enim Deus non fecit; sed primi parentis transgressio, consilio a serpente accepto, mortem genuit. Igitur et homicida ab initio diabolus et in veritate non stetit; et illi Dominum quærentes interficere, et veritati mendacium semper proferentes, formam parentis indelebilem conservant.

A Ἡ γάρ τοι δι' ὑποφορᾶς πρὸς τοὺς Ἰουδαίους ἀποτεινομένη τοῦ Σωτῆρος φωνή, οὐδὲν αὐτῶν συναντιλήψεται τῇ προθέσει· τὸ μὲν γὰρ πρόχειρον καὶ τὴν διαστολὴν οὐκ εἰδὼς τῆς ἀναγνώσεως, καὶ πρὸς ἣν μάλιστα τῶν πολλῶν ἡ γλῶττα παρασύρεται αὐτοσχεδιάζειν, εὗρεν ἕτοιμον πατέρα τοῦ διαβόλου, ὃν οὐδεμία χρῆσις αὐδ' ἐν τῇ κλήσει τὴν φύσιν ἔχειν ἐγνώρισε· τὸ δὲ περιεσκεμμένον τῷ τρόπῳ τῆς διαστολῆς, ῥυθμιζόμενον καὶ ταῖς προλαβούσαις ἐννοίαις συνδιαιρούμενον, αὐτόν τε τὸν διάβολον πατέρα τῶν ἀγνωμόνων Ἰουδαίων ἀπαγγέλλει· καὶ ὃν ὁ ἀνεπίσχετος τῆς γλώττης δρόμος τὴν διαστολὴν ὑπερβαίνων περιαγγέλλει πατέρα τοῦ διαβόλου πλάττων, οὐμενοῦν οὐδαμῶς συνεπίσταται· ἐπιτιμήσεως δὲ τρόπῳ τὸν λόγον ὁ Σωτὴρ προάγων, ἐπείπερ ἔλεγεν ὁ Ἰου- B δαίων δῆμος, « Ἕνα πατέρα ἔχομεν τὸν Θεόν· » τολμᾶτε δέ γε ἄρα, φησὶ, καὶ οὐκ ἐγκαλύπτεσθε πατέρα κατονομάζειν τὸν Θεόν; ἢ οὐχὶ ὑμεῖς τοῦ διαβόλου ἐστὲ, δι' ὧν τὰς ἐντολὰς αὐτοῦ θέλετε ποιεῖν, υἱοὺς αὐτοῦ δεικνύντες ἑαυτούς; οὗ γάρ τις κατὰ τὰς ἐντολὰς μορφοῦται καὶ διαπλάττεται, τούτου καὶ υἱὸς κατονομάζεσθαι δίκαιος εἴη ἄν· τίνας δ' ἂν ἐντολὰς οἱ Ἰουδαῖοι ἐσπούδαζον, ἢ δι' ὧν ὁ διάβολος ἐδοξάζετο; δόξαν παρ' ἄλλων λαμβάνοντες, ταῖς συκοφαντίαις τοὺς πλησίον κατεσθίοντες, φθόνῳ τὰ κάλλιστα λυμαινόμενοι, φόνον κατὰ τοῦ Σωτῆρος μηχανώμενοι, καὶ γλώσσῃ καὶ γνώμῃ τὸν θάνατον συσκευάζοντες, τὸ ψεῦδος τῆς ἀληθείας ἔμπροσθεν ἄγοντες, καὶ δόλον καὶ διαβολὴν καὶ φιλαργυρίαν τὸν βίον ποιούμενοι, καὶ ὅσα τούτοις παραπλήσια, δι' ὧν καὶ τὴν τοῦ C διαβόλου συγγένειαν, ὡς ἀρχηγοῦ καὶ σπορέως τούτων, περιφανῶς ᾠκειώσαντο· ἐπὶ τούτοις καὶ τὸ ἐπαγόμενον καὶ συνηρτημένον λόγιον, τὸ μὲν οὐκ οἶδεν ὅλως, πατέρα λέγω τινὰ τοῦ διαβόλου, κατονομάζεσθαι· τὸ δὲ πάλιν ὑποβάλλει καταγγέλλεσθαι πατέρα τῶν Ἰουδαίων τὸν διάβολον καὶ εἶναι καὶ ὀνομάζεσθαι· φησὶ γάρ, « Ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἦν, » τὸν διάβολον δηλονότι, ἀλλ' οὐχ ἕτερόν τινα πατέρα τοῦ διαβόλου· τίνι δ' ἂν ἑτέρῳ τὸ, « ἀνθρωποκτόνος, » καὶ τὸ, « ἀπ' ἀρχῆς, » ἐφαρμόσει; καὶ τὸ, « μηδαμῶς ἐν τῇ ἀληθείᾳ ἑστάναι, » εἰ μὴ αὐτῷ γε τῷ διαβόλῳ, ὃς τὴν γλῶσσαν μὲν κατὰ τοῦ Δημιουργοῦ τῷ ψεύδει παρώξυνε, τῷ δόλῳ δὲ ταύτην γλυκάνας τῷ πρωτοπλάστῳ προὔτεινε· καὶ λόγοις ἐπικλόπως καταγοητεύσας, D τῆς ἐν παραδείσῳ ζωῆς; καὶ τρυφῆς ἀϊδίου ὑπερώρισεν, ἐργαστήριον θανάτου, τῆς ἀθανασίας τὸ χωρίον ἐργασάμενος; θάνατον γὰρ ὁ Θεὸς οὐκ ἐποίησεν· ἀλλ' ἡ τοῦ πρωτοπλάστου παράβασις τὴν συμβουλὴν συλλαβοῦσα τοῦ ὄφεως, τὸν θάνατον ἀπεκύησεν· οὐκοῦν καὶ ἀνθρωποκτόνος ἀπ' ἀρχῆς ὁ διάβολος, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν· καὶ αὐτοὶ ζητοῦντες ἀποκτεῖναι τὸν Κύριον, καὶ τὸ ψεῦδος ἀεὶ πρὸ τῆς ἀληθείας ἑλόμενοι, τὴν μορφὴν τοῦ γεγεννηκότος ἀπαραχάρακτον διασώζουσι.

Patet ex dictis Judæorum patrem diabolum nominari; patris autem diaboli naturam reperire non est, neque appellationem eam manifestantem, neque ipsa cogitatione. Illa propositæ ab initio

Καὶ φανερὸν ἐκ τῶν εἰρημένων ὅτι πατὴρ μὲν τῶν Ἰουδαίων ὁ διάβολος ὀνομάζεται· πατρὸς δὲ τοῦ διαβόλου οὔτε λαβεῖν ἔστι φύσιν, οὔτε κλῆσιν οὐδαμῶς παραδηλουμένην, οὔτε τῷ νοήματι· ἡ μέντοι γε τῆς

[66] Joan. VIII, 44.

Digitized by Google

προκειμένης ἐξ ἀρχῆς ὑποθέσεως τελευταία περίοδος δόξει μὲν ἴσως τοῖς πρὸς μηδὲν τῶν βαθυτέρων ἐμφιλοχωρεῖν κέρδος ποιουμένοις, ὡς εἴη τοῦ διαβόλου πατέρα ὑποσημαίνουσα· τοὐναντίον δὲ ἅπαν κατασκευάζει καὶ τοῖς πρὸ αὐτῆς συνάδει ἐνθυμήμασιν, πατέρα καὶ αὐτὴ τῶν Ἰουδαίων ἐπιδεικνυμένη τὸν διάβολον· διπλῆς γὰρ προσβολῆς παντὸς τοῦ προκειμένου λόγου ἐνθυμημάτων γενομένης, καὶ νῦν μὲν ἐκ τῆς τῶν γεγεννημένων κακίας τοῦ γεγεννηκότος τὴν μίμησιν ἐπιδεικνυμένης, νῦν δὲ διὰ τοῦ γεννησαμένου τῶν γεγεννημένων τὴν ὁμοιότητα παριστώσης, ἔτι πάλιν ἀπὸ τῶν γεγεννημένων ἐπὶ τὸν γεγεννηκότα διαβαίνουσα, ἀπαράλλακτον τὴν ὁμοιότητα στηλιτεύει, καὶ τὴν συγγένειαν αὐτῶν οὐδὲν ἐπιφερομένην ἐπιδείκνυσι νόθον· φησὶν οὖν. Ὅταν ὁ Ἰουδαῖος τὸ ψεῦδος λαλεῖ, ὥσπερ καὶ νῦν πατέρα λέγων ἑαυτοῦ τὸν Θεὸν, ἐκ τῶν ἰδίων λαλεῖ· ἴδιος γὰρ κλῆρος τῷ πατρὶ, τοῦ πατρὸς ὁ πλοῦτος· ἐκ τῶν ἰδίων οὖν ὁ Ἰουδαῖος λαλεῖ τὸν πατρῷον ὑπελθὼν κλῆρον· καὶ αὐτὸς γὰρ ψεύστης ἐστὶν ὥσπερ ὁ πατὴρ αὐτοῦ· δῆλον οὖν ὡς ἡ τοῦ λόγου αὕτη περικοπὴ, οὐ μόνον συμφθέγγεται τοῖς πατέρα πλάττουσι τοῦ διαβόλου, ἀλλὰ καὶ τῶν Ἰουδαίων πατέρα τὸν διάβολον μόνον ἀφορίζει. Ἀλλὰ ταῦτα μὲν συγγυμνασίας εἶδος καὶ λόγον ἐχέτω τὴν τοῦ δόγματος τέως προσηγορίαν εὐλαβούμενον· ἕως ἂν ὁ ὑψηλότερος λόγος ἀναφανείς, καὶ δόγμα εἶναι τῇ διανοίᾳ, καὶ τῷ κράτει τὴν κρίσιν λαβὼν, καὶ τῶν διὰ βίου φιλοσοφούντων τὴν ἱερὰν ἐμπλήσας ἐπιθυμίαν, δείξῃ μὴ μάτην ἀεὶ πρὸς ζήτησιν ἀνατεινομένην τοῦ ἐξῃρημένου νοήματος τῆς τῶν πολλῶν καταλήψεως.

A quæstionis ultima periodus forsan iis qui ad nihil profundiorum libenter commorari sibi lucrum faciunt, diaboli patrem videbitur significare; contrarium vero demonstrant omnia et concordat cogitationibus quæ ante ipsam sunt, patrem et ipsa Judæorum indicans diabolum; et duplici adjectione totius sermonis cogitationum facta, nunc quidem ex genitorum malitia generantis imitationem indicante, nunc autem per generantem genitorum similitudinem statuente, adhuc etiam ab genitis ad generantem transeunte, certam similitudinem describit, et eorum congenerationem nihil spurii inducere monstrat. Dicit enim : quando Judæus mendacium loquitur, ut et nunc, patrem suum Deum dicens, ex propriis loquitur. Propria B enim patri hæreditas, patris sunt divitiæ. Ex propriis igitur Judæus loquitur paternam hæreditatem subiens. Patet igitur ipsum verbi apparatum, non modo non iis consonare qui patrem aliquem diaboli fingunt, sed et Judæorum patrem diabolum solum definiunt. Sed hæc quidem communis exercitationis formam et rationem habeant, dogmatis usque appellationem refugientes, quoadusque excelsius verbum revelatum et dogma esse sententia et potentia decernens eorum qui per vitam philosophati erunt votum complens, illud ostendat non frustra esse protensum ad sensus inquisitionem, qui est ultra multitudinis intelligentiam.

ΕΡΩΤΗΣΙΣ ΜΗ'.

Πόσαι εἰσὶν αἱ τὸν Κύριον ἀλείψασαι μύρῳ;

QUÆSTIO XLVIII [*al.* XLVII].

Quot sunt quæ Dominum unguento unxerunt?

Edita a Maio, l. c., p. 40-43.

Οὐχὶ τὴν αὐτὴν εὑρίσκω προϊοῦσαν δόξαν παρ' οἷς ταῦτα διερευνᾶσθαι γέγονεν ἡ σπουδή. Οἱ μὲν γὰρ ἁπλούστερον καὶ ἐπιπολαιότερον, ἵνα μὴ ἀμαθέστερον εἴπω, τῇ διαφόρῳ κλήσει τῶν ἀναγραψαμένων τὴν ἱστορίαν ταύτην καὶ τὰ τῶν γυναικῶν συνδιαιροῦσι πρόσωπα. Καὶ τέσσαρας ταύτας εἶναί φασι, πρὸς οὐδὲν, οἶμαι, βαθύτερον λογισμὸν ἐπιστήσαντες, ἢ πρὸς μόνην τὴν τῶν εὐαγγελισαμένων ποσότητα. Τοῖς δὲ εἰς δύο περιεστάλη τὰ πρόσωπα· καὶ τὴν μέν φασι σεμνὴν εἶναι καὶ σώφρονα καὶ ἀδελφὴν τοῦ Λαζάρου καὶ τῆς Μάρθας· τὴν δὲ διαφόρου μὲν ἀναγραφῆς τυχεῖν, μίαν δὲ εἶναι καὶ ταύτην ἐξ ἀσέμνου καὶ πανδήμου βίου παρθενικοὺς ἀγῶνας ἐξ ἀκαθαρσίας μετελθοῦσαν· περὶ ταύτης δὲ τόν τε Ματθαῖον καὶ Μάρκον, ἀλλὰ καὶ τὸν Λουκᾶν διαλαβεῖν· καὶ τὴν αὐτὴν ἱστορίαν διαφόροις ῥήμασιν ἀπηγγελκότας ἀναγράψασθαι. Οἱ δὲ καὶ πρὸς μίαν πάσας συνάγουσιν, οὐδεμίαν τῇ δόξῃ ἀσφάλειαν περιθέμενοι· ἀλλ' οὐδ' ἀπὸ τῆς τῶν προσώπων ποιότητος τῆς τοιαύτης ὑπολήψεως, ἐπιφερομένης τὸ αἰδέσιμον. Ἀπολινάριος γὰρ καὶ ὁ Μοψουεστίας Θεόδωρος ταύτης εἰσὶν οἱ γεννήτορες· ἐμὲ δὲ οὐδὲ δύο ταύτας ἐπιτρέπουσι λέγειν, οὔτε τοῦ Σωτῆρος οἱ λόγοι, οὔτε τῶν φιλοθέων γυναικῶν αἱ πράξεις, οὔτε τὸ διάφορον τοῦ καιροῦ, ἀλλ' οὐδὲ τῶν θεατῶν καὶ ἀκροατῶν ἡ ἐπὶ τῷ πρα-

C Non eamdem reperio procedentem opinionem apud eos qui hæc inquirere studuerunt. Alii quidem indigentius et vulgarius, ne dicam indoctius, non eadem utentes appellatione ac qui hanc historiam scripserunt et mulierum personas dividunt. Et dicunt eas esse numero quatuor, nullo, credo, altiore argumento nitentes nisi sola evangelistarum quantitate. Alii ad duas personas coarctant; et alteram veneratione dignam esse et sapientem et Lazari et Marthæ sororem; alteram autem dissimilem descriptionem sortiri, unam tamen esse et eam ex probrosa et plebeia vita virginea certamina post luxuriam inivisse; de ea autem et Matthæum et Marcum, sed et Lucam disserere; et eamdem historiam differentibus verbis narrantes descri- D psisse. Alii vero et ad unam omnes reducunt, nullam opinioni firmitatem conciliantes; sed neque a personarum dignitate talis opinio sibi venerationem conciliat. Apollinarius enim et Theodorus Mopsuestius eam primi in lucem protulerunt. Me autem eas esse duas neque Salvatoris verba convincunt, neque dilectarum a Deo mulierum, neque occasionis differentia, sed neque spectantium et audientium de facto sententia. Alia vero iis non minora tres eas esse convincunt, sed neque tribus plures neque

Digitized by Google

pauciores esse edocent. Primo igitur est ea quam Lucas descripsit, quæ ante multos Jesu Christi actus et doctrinas in historiam assumitur. Post hæc enim et ad prædicationem discipulos mittit, et multitudinem miraculose quinque panibus nutrit, et ab apostolis opinio de Domino quæritur, et divinus transfigurationis actus supra mentem et rationem efficitur. « Facti sunt, inquit enim, post sermones istos dies octo, et assumens Petrum et Joannem et Jacobum, ascendit in montem orare, et dum oraret, facta est facies vultus ejus alia et vestimenta ejus alba et splendentia [67], » etc. Sed enim et septuaginta discipuli post hæc designantur, et parabolæ hortationibus contexuntur. Patet autem passionem nondum instare; neque carnificum Judæorum consilia per voluntatem et meditationem vim acceperant.

A χθέντι γνώμη, καὶ ἄλλα δὲ τούτων οὐκ ἐλάττονα, τρεῖς εἶναι ταύτας· ἀλλ' οὔτε πλείους τῶν τριῶν οὔτε ἐλάττους ἐκδιδάσκει. Πρώτη μὲν οὖν ἐστιν ἡ παρὰ τῷ Λουκᾷ ἀναγεγραμμένη, ἥτις καὶ πρὸ πολλῶν πράξεων καὶ διδασκαλιῶν τοῦ Ἰησοῦ εἰς ἱστορίαν μνήμης παρελήφθη· μετὰ ταῦτα γὰρ εἰς τὸ κήρυγμα καὶ τοὺς μαθητὰς ἀποστέλλει, καὶ τὸ τῶν πέντε ἄρτων θαυματουργεῖται πλῆθος, καὶ ἡ περὶ τοῦ διδασκάλου τῶν μαθητῶν ὑπόληψις λογοθετεῖται, καὶ ἡ τῆς μεταμορφώσεως ὑπὲρ νοῦν καὶ λόγον πρᾶξις θεουργεῖται. « Ἐγένετο γὰρ, φησὶ, μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ, καὶ παραλαβὼν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων, » καὶ ἑξῆς. Ἀλλὰ γὰρ καὶ οἱ ἑβδομήκοντα μαθηταὶ μετὰ ταῦτα ἀναδείκνυνται καὶ παραβολαὶ ταῖς νουθεσίαις συνυφαίνονται· δῆλον δὲ ὡς οὐδὲ τὸ πάθος οὔπω ἐνεστήκει· οὐδ' ἡ τῶν μιαιφόνων Ἰουδαίων ἐπιβουλὴ διὰ βουλῆς καὶ μελέτης τὸ κῦρος ἐλάμβανεν.

B

Ex circumstantia quidem differentia inter eam quæ apud Lucam est mulierem et inter alias sic evidenter et indubitanter volentibus licet concipere. Etenim aliarum uniuscujusque, Dominicam passionem Judæis meditatione jam machinantibus, historiæ memoriam inducunt : alterius enim fit mentio ante sex dies Paschæ; alterius vero ante duos passionis. Et alterius actionem dilectus et virgo discipulus describit, quæ Lazari et Marthæ soror erat, et quæ ex dilectis a Domino Jesu Christo esse noscebatur, et cum illis admirationem movebat in iis quæ ad vitæ venerationem sunt. Quæ et ante sex dies Paschæ sacra illa celebrans mysteria domum suam sacram et mundam fecit. Præter has tertia et ultima quæ ante duos dies passionis Dominum unxit, de qua Matthæus et Marcus narrationem ordinaverunt : igitur sermo illas tres merito proclamat.

Ἀπὸ μὲν τοῦ καιροῦ τὸ διάφορον τῆς παρὰ τῷ Λουκᾷ γυναικὸς πρὸς τὰς ἄλλας οὕτω φανερῶς καὶ ἀναμφιβόλως ἔξεστιν ἐννοεῖν τοῖς βουλομένοις : καὶ γὰρ τῶν ἄλλων ἑκατέρας ἤδη τοῦ Δεσποτικοῦ πάθους ταῖς τῶν Ἰουδαίων μελέταις ἐνεργουμένου αἱ ἱστορίαι τὴν μνήμην εἰσάγουσι· τὴν μὲν πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, τὴν δὲ πρὸ δύο τοῦ πάθους· καὶ τῆς μὲν τὴν πρᾶξιν ὁ ἠγαπημένος καὶ παρθένος μαθητὴς ἀναγράφει, ἥτις καὶ ἀδελφὴ τοῦ τε Λαζάρου καὶ τῆς Μάρθας ἐχρημάτιζε, καὶ τῶν ἀγαπωμένων ἐγνωρίζετο τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῶν θαυμαζομένων, ὅσα γε ἐπὶ τῇ τοῦ βίου σεμνότητι· ἥτις καὶ πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα τὴν ἱερὰν ἐκείνην ἱερουργήσασα τελετὴν, τὸν οἶκον αὐτῆς ἱερὸν ἀνάκτορον ἀπειργάσατο· ἐπὶ ταύταις ἡ τρίτη καὶ ἡ τελευταία, ἡ πρὸ δύο ἡμερῶν ἀλείψασα τοῦ πάθους τὸν Σωτῆρα, περὶ ἧς Ματθαῖός τε καὶ Μάρκος τὴν διήγησιν ἀνετάξαντο· οὐκοῦν ὁ λόγος εὐλόγως αὐτὰς τρεῖς ἀνακηρύττει.

C

Et ex hac parte insuper considera. Una quidem simpliciter malitiæ nomine peccatrix vocatur, et in domo Pharisæi, non autem Simonis leprosi, Jesum videt, qui convivium celebrantis invitatione æreæ et mensæ particeps accumbebat. Ipsa ante unguentum effundit lacrymas; et pedes Jesu irrigat et capillis capitis tergit, et amandi capit fiduciam et dein libere agit et unguento pedes ungit; quo facto, tacent quidem qui adsunt et nemo ullam exprobrationem mulierculæ injicit. Pharisæus autem solus et tunc in se eo actu vexatus agnitus est. Inquit enim : « Hic si propheta esset, sciret utique quænam et qualis sit mulier quæ eum tangit, et eam peccatricem esse [68]. » Deinde Jesus illum propriis verbis coercet osque ei claudit, mulieris autem actum extollit et convenientibus elogiis veneratur, et mercedem actus ei magnum munus reddit, peccatorum remissionem; et neque hoc illi sufficit, sed et salutem in ejus sententiam

Καὶ ὅρα κἀντεῦθεν· καὶ ἡ μὲν ἁπλῶς τῷ τῆς κακίας ὀνόματι, ἁμαρτωλὸς ὀνομάζεται, καὶ εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου, οὐχὶ δὲ τοῦ Σίμωνος τοῦ λεπροῦ, τὸν Ἰησοῦν ὁρᾷ, τῇ παρακλήσει τοῦ ἑστιῶντος ἁλῶν καὶ τραπέζης κοινωνῆσαι κατακεκλιμένον· αὕτη καὶ τοῦ μύρου προχέει τὰ δάκρυα, καὶ τοὺς πόδας βρέχει τοῦ Ἰησοῦ, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς ἐκμάσσει, καὶ καταφιλεῖν λαμβάνει θάρσος, κἀκεῖθεν παῤῥησιάζεται, καὶ τῷ μύρῳ τοὺς πόδας ἀλείφει· καὶ σιωπῶσι μὲν ἐπὶ τῇ πράξει πάντες οἱ παρόντες, καὶ οὐδεὶς οὐδεμίαν ἐπιτίμησιν ἐπάγει τῷ γυναίῳ· ὁ δὲ Φαρισαῖος μόνος καὶ τότε ἐν ἑαυτῷ τῇ πράξει δυσχεραίνων ἐγνώσθη· φησὶ γάρ· « Οὗτος εἰ ἦν προφήτης ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν· » εἶτα ὁ Ἰησοῦς ἐκεῖνον μὲν ἐκ τῶν οἰκείων λόγων συμποδίζει τε καὶ ἐπιστομίζει, τῆς δὲ γυναικὸς τὴν πρᾶξιν ἐπαίρει τε, καὶ τοῖς πρέπουσιν ἐγκωμίοις ἀποσεμνύνει, καὶ μισθὸν αὐτῇ

D

[67] Matth. xvii, 1 seqq. [68] Luc. vii, 39.

Digitized by Google

τῆς πράξεως ἀντιδίδωσιν τὸ μέγα δῶρον, τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· καὶ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ καὶ τὴν τῆς γυναικὸς σωτηρίαν εἰς τὴν αὐτῆς ἀνάγει γνώμην, « Ἡ πίστις σου γάρ, φησί, σέσωκέ σε. » Αὕτη μὲν οὖν ἡ παρὰ τῷ Λουκᾷ καὶ τοσαύταις πρὸς ταῖς ἄλλαις ἀφορίζεται διαφοραῖς.

Ἡ δὲ παρὰ τῷ ἠγαπημένῳ μαθητῇ ἐμφανεστάτην μὲν ἔχει τὴν διαφοράν, ὅτι καὶ γένους λαμπροῦ καὶ οἰκίας ἐπισήμου καὶ θαυμαζομένου βίου, καὶ τὸν ἀδελφὸν ἀπέλαβεν ἄρτι τῶν πυλῶν ἀναδεδυκότα τοῦ ᾅδου· ὡς καὶ συνανέκειτο ἐν τῷ δείπνῳ τοῦ Ἰησοῦ, τῆς Μαρίας αὐτῆς διακονούσης, ἡνίκα καὶ προσάγει τὸ μῦρον, καὶ ἐκμάσσει καὶ αὐτὴ ταῖς θριξὶν, οὐ πρὸς ἀντάμειψίν τινα τὸ θεοπρεπὲς ἔργον καταβαλλομένη, ἀλλ' εὐχαριστίας μᾶλλον τῆς γεγενημένης περὶ τὸν ἀδελφὸν θεουργίας ἀφοσίωσίν τινα ἐπινοοῦσα. Κἀνταῦθα μὲν οἱ μαθηταὶ πάντες, σιγῇ τὴν πρᾶξιν ἠσπάζοντο· καὶ τοῦ περὶ τὸν Λάζαρον θαύματος ἴσως τὴν ὑπερβολὴν ἐννοούμενοι καὶ τῆς γυναικὸς τὴν εὐλάβειαν δι' αἰδοῦς φέροντες· μόνος δὲ τῆς φιλαργυρίας τὸ ἀνδράποδον, τῆς προδοσίας ὁ κάπηλος καταγογγύζει τῆς πράξεως· καὶ ὁ Ἰησοῦς τὴν νόσον ὑφ' ἧς κεκρατημένος ταῦτα ἔπραττεν εἰς μέσον ἄγων, εἶπεν αὐτῷ· « Ἄφες αὐτὴν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. » Ἀντὶ τοῦ, Σὺ μὲν τὸν ἐμὸν σπουδάζεις θάνατον, διὰ τοῦτό σοι καὶ ἡ τοῦ μύρου τιμὴ περισπούδαστον· αὕτη δέ σου τὴν ἔκθεσμον πρᾶξιν καὶ δι' ὧν εἰργάσατο στηλιτεύει· καὶ διδάσκει κἂν μὴ μαθεῖν ἐπωρώθης, ὅτι ὄνπερ σὺ προδοῦναι σπουδάζεις, αὕτη Θεῷ ἴσα θυσιάζει καὶ σέβεται· ἀλλὰ τοιαύτη μὲν καὶ ἡ τοῦ Λαζάρου ἀδελφή. Ἡ δὲ λοιπὴ τρίτη τῶν ἐπιχειρησάντων τῷ Δεσπότῃ τὸ μύρον, περὶ ἧς Μάρκος καὶ Ματθαῖος ἱστορήκασιν, ἀπὸ δὲ τοῦ τῆς πορνείας ἄγους ἐπονομάζεται, ἐν τῇ οἰκίᾳ μὲν παραγίνεται Σίμωνος τοῦ λεπροῦ, οὐ τότε λεπρῶντος, ἀλλὰ πάλαι μὲν τῷ πάθει κατεχομένου, τότε δὲ τῇ τοῦ Ἰησοῦ φιλανθρωπίᾳ κεκαθαρμένου, ὃν καὶ ἡ πόρνη συνεπισταμένη καὶ ἐξ οἵου βδελύγματος εἰς οἵαν ὄψιν ἀποκατέστη τὸν χρῶτα, ἐλπίδας τε ἀνελάμβανε χρηστὰς ἀπαλλαγῆναι τοῦ ψυχικοῦ μύσους, καὶ παῤῥησίας ἐγίνετο προσελθεῖν τῷ Ἰησοῦ, καὶ δὴ προσελθοῦσα οὐχ ἅπτεται μὲν τῇ χειρὶ, οὐδὲ ταῖς θριξὶν ἐκμάσσει· οὐδὲ γὰρ οὐδενὶ μέλει τοῦ σώματος ψαῦσαι τοῦ Σωτῆρος ἀτόλμητον ἐποιεῖτο, ἀλλ' ἄψαυστον αὐτὸ τοῦ ἐῤῥυπωμένου χρωτὸς συντηροῦσα, κλέπτει τὴν διὰ τοῦ μύρου τιμὴν καὶ θυσίαν· καὶ τὸ ἀλάβαστρον συντρίψασα, ἀθρόον τὸ μύρον τῆς κεφαλῆς ἐπιχέει· καὶ ἀγανακτοῦσι τηνικαῦτα οὐχ ὁ Φαρισαῖος, οὐδὲ μόνος ὁ προδότης, ἀλλὰ τῶν μαθητῶν οὐκ ὀλίγοι. Ἡ δὲ γεγενημένη διαφόρως ἀγανάκτησις οὐκ ἀπὸ τῆς αὐτῆς ἀνερρίπιζετο γνώμης, ἀλλὰ τοῦ μὲν Σίμωνος ὡς οὐδὲν ὑψηλὸν περὶ τὸν θεραπευτὴν καὶ Σωτῆρα φανταζομένου, τοῦ δὲ Ἰούδα ὡς τῷ τῆς φιλαργυρίας πάθει κεκρατημένου, τῶν δὲ μαθητῶν ὡς ἐλέῳ τῶν πενομένων ἐκνενικημένων· οὐχ ὥστε τὸ Δεσποτικὸν φίλτρον καὶ σέβας ἐνδευτερωθῆναι, ἀλλ' ὅτι κἀκεῖνον ᾔδεισαν τὸν ἔλεον καὶ αὐτῆς προκρίνοντα τῆς θυσίας· Ἔλεον γὰρ, φησὶ,

adduxit: « Fides tua, inquit, te salvam fecit[69]. » Ea igitur quæ apud Lucam invenitur talibus differentiis ab aliis discernitur.

Quæ vero est apud dilectum discipulum manifesta quidem notatur differentia, quod nempe et genere illustri et celebri domo et mirabili vita est; et fratrem recepit recens a portis inferi retractum; qui recubuit in cœna cum Jesu, Maria ipsa ministrante, quando et unguenta effundit et tergit et ipsa capillis, non ad remunerationem aliquam divinum hoc opus ponens, sed potius gratitudinis placulum propter factum in fratrem miraculum cogitans. Et tunc discipuli omnes silentio actionem probaverunt; et miraculi in Lazarum forte excessum intelligentes, et feminæ sollicitudinem venerationi habentes. Solus avaritiæ servus proditionis caupo actum vituperat, et Jesus morbum quo laborans hoc agebat, in medium proferens, inquit illi: « Sine illam; in diem enim sepulturæ meæ hoc observavit[70]; » id est: tu quidem meæ morti studes, et ideo tibi hujus unguenti pretium dilectissimum est. Illa autem tuam exlegem actionem per ea quæ operata est inscribit; et docet, etsi discere præ divitia nolis, se ei quem cupis prodere ut Deo sacrificium offerre, et eum ut Deum venerari. Sed ea erat Lazari soror. Reliqua vero tertia earum quæ Domino unguentum effuderunt, cujus Marcus et Matthæus historiam scribunt, ex fornicationis scelere cognominatur; in domo quidem Simonis leprosi adest, non jam lepra laborantis, sed olim hoc morbo operti, tunc vero Jesu misericordia mundati; quem peccatrix cognoscens et sciens ex qua pellis abominatione ad quem aspectum conversus sit, spemque concepit bonam fore ut et ipsa a spirituali scelere liberaretur, et licentiam habuit Jesum adeundi, et postquam accessit, non tangit eum manu, neque capillis tergit; non enim ullo membro Salvatoris corpus tangere ausa esset, sed intactum ipsum a polluta carne observans, honorem per unguentum et sacrificium celat; et alabastrum postquam fregisset, multum unguentum in caput ejus effundit. Et indignantur tunc Pharisæus, neque solus proditor, sed discipulorum non pauci. Dissimili autem modo facta indignatio non ab eadem emicuit mente; sed Simon quidem nihil alti neque de famulante, neque de Domino imaginabatur; Judas autem avaritiæ cupiditate tenebatur; apostoli vero misericordia in pauperes vincebantur, non ut Domini amorem secundo loco ponerent, sed et sciebant illum misericordiam et ipsi præferre sacrificio. Aliunde et Domini sui veneratione, horrendum censebant quod mulier in caput ejus unguentum effudisset. Unde et Jesus ex hac in eam indignatione discipulos reducens, « Nihil mali, inquit, fecit illa; sed bonum opus operata est. » Et hoc quidem ad eos qui ex discipulis bona movebantur voluntate. Judæ vero, in medium rursus

[69] Luc. VII, 50. [70] Joan. XII, 7.

Digitized by Google

proditionem ænigmate ducens quam meditabatur, inquit : « Mittens unguentum hoc in corpus meum ad sepeliendum me fecit; » indignaris, inquit, de unguento in vanum effuso; quanta indignatione dignum convenit judicare eum qui in Dominum et magistrum proditionem et mortem et sepulcrum meditatur? De pauperibus tibi est sollicitudo? Et quomodo ejus qui nec habet tectum nec ubi caput reclinet, cædem cupis? Ejus in quem nihil eorum quæ tua sunt profundis, gravem et intolerabilem societatem putas? In quibus oportet te et propriorum multa deponere, ut misericordia pauperum indigentiam suppleas, quomodo non moleste et humaniter eorum consortium feres?

θέλω καὶ οὐ θυσίαν· ἄλλως τε δὲ καὶ τῷ περὶ τὸν διδάσκαλον σεβάσματι, φρικτὸν ἡγοῦντο τὴν γυναῖκα κατὰ τῆς κεφαλῆς τὸ μύρον ἐπιχέαι· ἔνθεν καὶ ὁ Ἰησοῦς διὰ τῆς κατ' αὐτὴν ἀγανακτήσεως ἁπάντων τοὺς μαθητάς, « Οὐδὲν τολμηρὸν, φησὶν, ἔπραξεν, ἀλλ' ἔργον ἀγαθὸν εἰργάσατο. » Καὶ πρὸς μὲν τῶν μαθητῶν τοὺς εὐγνώμονας ταῦτα· πρὸς δὲ τὸν Ἰούδαν πάλιν εἰς μέσον ἄγων τῷ αἰνίγματι τὴν [με]μελετημένην προδοσίαν φησί· Βαλοῦσα τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με πεποίηκεν. » Ἀγανακτεῖς, φησὶ, τοῦ μύρου κενουμένου· πόσης ἀγανακτήσεως ἄξιον ; ταυτὸν προσῆκεν ἡγεῖσθαι κατὰ τοῦ Δεσπότου καὶ διδασκάλου προδοσίαν καὶ θάνατον καὶ τάφον διαμελετῶντα· πτωχῶν ἔστι σοι φροντίς; καὶ πῶς τοῦ ἀστέγου, μηδὲ τὴν κεφαλὴν ἔχοντος ἔνθα κλινεῖ, τὴν σφαγὴν σπουδάζεις; ἐφ' ᾧ μηδὲν τῶν ἰδίων ἀποκενοῖς, τούτου βαρὺ καὶ ἀφόρητον τὴν συνουσίαν νομίζεις ; Ἐν οἷς σε δεῖ καὶ τῶν οἰκείων πολλὰ καταβάλλειν, ἐλέῳ τὴν ἔνδειαν τῶν πενομένων ἀναπληροῦντα, πῶς ἀνεπαχθῶς καὶ φιλανθρώπως τούτων τὴν συνδιατριβὴν οἴσεις ;

Igitur absque ulla præsumptione et affectu resumentibus licet intelligere et veraciter dicere unam quidem earum quæ Dominum unguento unxerunt, multo intervallo alias prævenisse. Eæ autem circa passionis tempus sacrum hoc ministerium in animum inducunt; et earum quidem una ante sex dies Paschæ, altera vero ante duos dies passionis. Et una quidem peccatrix, alia vero adultera, suis cupiditatibus magis quam Domini appellatione notæ. Alia demum a fratre cognomen ducit; et altera in domo Pharisæi Dominicos pedes unguento ungit, et lacrymis rigat; altera vero in propria domo et lacrymarum tempus non novit; invitat vero magis mensa et lætitia ipsumque Jesum et eum cujus sepulcrum salutaris vox officinam nativitatis ostendit et resurrectionis locum. Vacuat autem et ea in puros pedes unguentum et capillis tergit. Reliqua vero tertia in domo cum leproso advenit; pretiosum et illa unguentum ferens, minime membris Dominum tangit, sed statim alabastrum frangens in caput unguentum effundit, arte et zelo eos præveniens qui ne opus perageret impedire vellent. Et una quidem urbem habet intemperantiæ testem; in urbe enim peccatrix vocabatur; illa vero pagum, illa demum sapientiæ et puritatis palatia servabat. Et contra primam quidem Pharisæus indignatur; contra sororem Lazari solus Judas; contra ultimam et alii discipuli, et avaritiæ præda, qui rursus et proditor fuit. Et Lazari quidem sorori nulla merces pro unguento donata annuntiatur; sed quod ab ea perfectum est, pro ante collato supra rationem beneficio et munere gratiarum actio erat. Sola vero et tunc Judæ proditio et petulantia noscitur et redarguitur. Et una quidem apud Lucam remissionem peccatorum invenit, et pro unguento et pro fide mercedem. Illi vero quæ apud Matthæum est et Marcum memoria per sæcula in omnem terram proclamanda annuntiatur. Dissimilis quidem merces utrique feminarum annuntiatur; non tamen merces unius alteram sine mercede relinquit. Ambo enim peccatorum remissionem invenerunt, ambo autem

Ἀναλαβόντες οὖν χωρίς τινος προλήψεως καὶ προσπαθείας ἔνεστι συνιδεῖν καὶ φιλαλήθως εἰπεῖν, ὡς ἡ μὲν τῶν ἀλειψαμένων μύρῳ τὸν Κύριον, πολλῷ τῶν ἄλλων τῷ μέσῳ προέλαβεν· αἱ δὲ περὶ τὸ πάθος τὴν ἱερουργίαν ταύτην ἐπὶ νοῦν βάλλονται· καὶ τούτων ἡ μὲν πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἡ δὲ πρὸ δύο τοῦ πάθους· καὶ ἡ μὲν ἁμαρτωλὸς, ἡ δὲ πόρνη ἀπὸ τῶν παθῶν μᾶλλον ἢ ἀπὸ τῶν κυρίων τῆς κλήσεως γινωσκόμεναι, ἡ δὲ ἀπὸ τοῦ ἀδελφοῦ φέρει τὸ ἐπώνυμον· καὶ ἡ μὲν ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου τοὺς Δεσποτικοὺς πόδας ἀλείφει τῷ μύρῳ καὶ τοῖς δακρύοις προαποπλύνει, ἡ δὲ ἐν τῇ οἰκίᾳ τῇ ἰδίᾳ καὶ δακρύων καιρὸν οὐ γινώσκει· δεξιοῦται δὲ μᾶλλον τραπέζῃ καὶ εὐφροσύνῃ αὐτόν τε τὸν Ἰησοῦν, καὶ οὗ τὸν τάφον ἡ σωτήριος φωνὴ γενέσεως ἔδειξεν ἐργαστήριον, καὶ χωρίον ἀναβιώσεως· κενοῖ δὲ καὶ αὕτη κατὰ τῶν ἀχράντων ποδῶν τὸ μύρον καὶ ταῖς θριξὶν ἀπομάσσει· ἡ δὲ λοιπὴ τρίτη ἐν τῇ οἰκίᾳ μετὰ τοῦ λεπροῦ παραγίνεται πολύτιμον· καὶ αὐτὴ μύρον φέρουσα, οὐδαμῶς δὲ τοῖς μέλεσι τοῦ Σωτῆρος ψαύει, ἀλλ' ἄφνω τὸ ἀλάβαστρον συντρίψασα, κατὰ τῆς κεφαλῆς τὸ μῦρον ἐπιχέει, τέχνῃ προφθάνουσα καὶ σπουδῇ τοὺς εἴ τινες ἐπιχείρειν μελετήσειαν τὴν πρᾶξιν κωλύειν· καὶ ἡ μὲν τὴν πόλιν φέρει μάρτυρα τῆς ἀκολασίας· ἐν τῇ πόλει γὰρ ἁμαρτωλὸς ὠνομάζετο· ἡ δὲ τὴν κώμην· ἡ δὲ τοῖς τῆς σωφροσύνης καὶ καθαρότητος ἀνακτόροις ἐθαλαμεύετο· καὶ ἐπὶ μὲν τῆς πρώτης ὁ Φαρισαῖος μόνος ἀγανακτεῖ, ἐπὶ δὲ τοῦ Λαζάρου μόνος ὁ Ἰούδας· ἐπὶ δὲ τῆς τελευταίας ἄλλοι τε τῶν μαθητῶν, καὶ τὸ τῆς φιλαργυρίας λάφυρον, πάλιν ὁ προδότης· καὶ τῇ μὲν τοῦ Λαζάρου ἀδελφῇ, οὐδεὶς μισθὸς τῆς τοῦ μύρου κενώσεως ἐπαγγέλλεται· προκαταβληθείσης γὰρ ὑπὲρ λόγον εὐεργεσίας καὶ δωρεᾶς, τὸ παρ' αὐτῆς τελούμενον ὑπῆρχε χαριστήριον· μόνη δὲ κάνταῦθα ἡ τοῦ Ἰούδα προδοσία καὶ προπέτεια γνωρίζεταί τε καὶ διελέγχεται. Καὶ ἡ μὲν παρὰ τῷ Λουκᾷ ἄφεσιν ἁμαρτιῶν εὑρίσκει, τὴν μισθαποδοσίαν καὶ τοῦ μύρου καὶ τῆς πίστεως· τῇ δὲ παρὰ Ματθαίῳ καὶ Μάρκῳ, τὸ μνημόσυνον ἐπαγγέλλεται δι' αἰῶνος εἰς τὴν οἰκουμένην κηρύττεσθαι· διάφορος μὲν ἡ μισθαποδοσία ἑκατέρᾳ τῶν

Digitized by Google

γυναίων ἐπαγγέλλεται· οὐ μέντοι θατέρας ὁ μισθὸς, A per sacram illam unctionem in universo mundo
τὴν ἑτέραν ἀγέραστον καταλείπει. Καὶ γὰρ ἄμφω proclamantur, et meritæ sunt ut per sæcula ipsa-
μὲν τῶν ἁμαρτημάτων τὴν ἄφεσιν εὕραντο, ἄμφω δὲ rum memoria laudibus coronata feratur.
διὰ τῆς ἱερᾶς ταύτης πράξεως ἐν ὅλῳ τῷ κόσμῳ κηρύσσονται, καὶ δι' αἰῶνος ἐκληρώσαντο τὸ μνημόσυνον φέρειν τοῖς ἐπαίνοις στεφανούμενον.

Ἀλλ' ὁ μὲν ἥρμοζεν ἑκατέρᾳ πρὸς παραμυθίαν καὶ ἀποδοχὴν τῆς ἐργασίας ἐπαγγέλλεσθαι, τοῦτο εἴρηται· καὶ γὰρ τὴν μὲν ἐπετίμων οἱ ἀπόστολοι ὡς παραχρωμένην τῷ μύρῳ καὶ μάτην ἐκδαπανῶσαν αὐτὸ καὶ καταναλίσκουσαν· περὶ δὲ τῆς λοιπῆς ὁ Φαρισαῖος διεγόγγυζεν, ὅτι ἁμαρτωλὸς οὖσα καὶ κατεγνωσμένη τοιαῦτα πράττειν ἐπὶ νοῦν ὅμως ἐπεβάλλετο· καὶ λανθάνειν ἐνόμιζε τὸν διδάσκαλον ἐξ οἵου βίου καὶ πολιτείας τὸ γύναιον ἐγνωρίζετο. Διὸ ταύτῃ μὲν ὁ μισθὸς ἀνερρήθη τῶν ἁμαρτημάτων ἡ ἄφεσις· B
ἐκείνῃ δὲ τὸ εἰς πάντας περιηχηθῆναι τὴν πρᾶξιν ἀνεκηρύχθη, καὶ παρὰ πάντων μακαρίζεσθαι· τῇ μέν-τοι γε ἀδελφῇ τοῦ Λαζάρου οὐδέτερον τούτων ἀντ-αποδίδοται· ἐπειδὴ οὐδὲ ἐκείνη προσδοκωμένης εὐεργεσίας καὶ χάριτος ἀῤῥαβῶνα κατεβάλλετο· ἀλλ' ὑπὲρ ὧν ἀπήλαυσεν ὑπὲρ λόγον τὸν ἀδελφὸν ἀντὶ νεκροῦ καινοτέρᾳ ζωῇ τὴν τοῦ θανάτου νέκρωσιν προοιμιασάμενον ἀπολαβοῦσα, τὸν εὐεργέτην δι' εὐχαριστίας ἦγε· καὶ κατά γε γνώμην καὶ δύναμιν, τὸ γέρας ἀπένεμεν. Ἄλλως τε δὲ αἱ μὲν ἀτελεῖς ἦσαν, καὶ δὴ καὶ τῷ φορτίῳ τῶν ἁμαρτημάτων ἐβαρύνοντο· ἐδέοντο τοίνυν παρακλήσεώς τινος καὶ πληροφορίας ὡς ἡ πρᾶξις αὐτῶν ἀπεδέχθη, καὶ τῶν ἐλπίδων οὐ ψευσθήσονται· διὸ καὶ τοῦ γένους ἡμῶν C
ὁ Σωτὴρ καταλλήλως αὐταῖς καὶ οἰκείως τὰς ἐπαγγε-λίας διενείματο· ἡ δὲ τελειοτέρα τε ὑπῆρχε, καὶ τοῦ παραδόξου θεάματος ἔτι διὰ τῶν ὀμμάτων ἀπήλαυε, καὶ οὐκ ἐδεῖτο τέως ὑποσχέσεων μειζόνων· ἠρκεῖτο δὲ τῷ τε παραδόξῳ θεάματι καὶ τῇ κοινῇ πρὸς πάντας τοὺς πεπιστευκότας ἐπαγγελίᾳ τοῦ Δεσπότου, ὅτι ὁ πιστεύων εἰς αὐτὸν, τῆς αἰωνίου ζωῆς τὸν κλῆρον ἀναφαίρετον ἕξει.

Διὰ τί δὲ ἐπὶ μὲν τῆς παρὰ τῷ Λουκᾷ γυναικὸς οὐδεὶς τῶν μαθητῶν οὐδὲ ὁ Ἰούδας ἀγανακτεῖ, ἐπὶ τῆς τοῦ Λαζάρου μόνος ὁ προδότης; ἐπὶ δὲ τῆς πόρνης, τῶν μαθητῶν οὐκ ὀλίγοι; ἢ διὰ τοῦτο τῶν μαθητῶν οὐδεὶς ἐπὶ τῇ πρώτῃ, οὐδὲ ὁ προδότης ἀγανακτεῖ, διότι ὁ μὲν Ἰούδας οὔπω ἦν κατὰ κρά-τος ἁλοὺς τῷ τῆς φιλαργυρίας νοσήματι, οὐδὲ τῆς D
προδοσίας ὁ Σατανᾶς οὔπω ἦν αὐτοῦ τὴν καρδίαν κατασκευασάμενος ἐπιτήδειον ὄργανον· οἱ δὲ ἄλλοι μαθηταὶ διὰ τοῦτο πρὸς τὴν ἀγανάκτησιν οὐχ ὑπήγοντο, διότι τοὺς τῆς ἐλεημοσύνης τοῦ Διδασκά-λου λόγους οὔπω ἦσαν σφόδρα ἐμπεπηγότας φέροντες τῇ ψυχῇ· οὐδ' οὕτως αὐτοὺς ἡ τῶν πενήτων ἠρήκει φροντίς. Ἔτι δὲ καὶ τὴν γυναῖκα κλαίουσαν ἑώρων, καὶ οὐδὲ τῆς κεφαλῆς καταχέουσαν τὸ μύρον, ἀλλὰ τοὺς πόδας ἀλείφουσαν· καὶ τὸ πάθος ἀφεστάναι παρὰ τοῦ Σωτῆρος οὔπω ἐδιδάσκοντο· ἃ πάντα ἱκανὰ ἦν τῆς ἀγανακτήσεως ἀπάγειν αὐτούς. Ἄλλως τε δὲ καὶ μηδενὸς τῶν εἰρημένων παρόντος, εἴ τινι τῶν μαθητῶν ἀγανάκτησις ὑπεφύετο, εἰς τὸ φανερὸν ἂν ἐπεσχέθη προελθεῖν. Προλαβὼν γὰρ ὁ Φαρισαῖος, τῆς ἐπιτιμήσεως ὑπέσχε τὸν ἔλεγχον· καὶ τῆς σιωπῆς

Sed quod unamquamque decuit ut consolatio et beneficii acceptatio annuntietur, hoc dictum est. Etenim unam quidem apostoli vituperaverunt et unguento abutentem et illud frustra impendentem et dispensantem; alteram vero Pharisæus cavillatus est, quod, cum esset peccatrix et ut talis nosceretur, ea tamen agendi mentem ceperit, et Magistrum latere credebat qua vita et instituto mulier nosceretur. Quapropter huic merces annuntiata est peccatorum remissio; illi vero ad omnes annuntiatum iri ipsius actionem prædictum est et ab omnibus beatam dictum iri. Sorori sane Lazari nullum ex his mercedis titulo redditur. Non enim illa sperati beneficii et gratiæ arrhas jaciebat, sed propterea quod gavisa est, accipiens mirabiliter fratrem ex mortuo nova vita mortis mortificationi præludentem, grato animo benefactorem habuit; et pro voluntate et potentia mercedem ei exhibuit. Aliunde et aliæ imperfectæ erant, et sane quidem peccatorum pondere premebantur; egebant ergo consolatione quadam et persuasione quod ipsarum actio accepta esset, et spe sua non decipientur. Idcirco generis nostri Salvator singulis et proprie promissiones distribuit. Quæ autem erat perfectior et mirabili spectaculo adhuc oculis fruita erat, nec majoribus promissionibus egebat; mirabili autem hoc spectaculo et communi ad omnes fideles Domini promissione contenta erat, nempe eum qui credit in ipsum, vitæ æternæ hæreditatem non auferibilem habiturum esse.

Quare autem contra eam quæ apud Lucam est feminam nullus discipulorum neque ipse Judas indignatur, contra sororem Lazari solus proditor? Contra adulteram discipulorum non pauci! Discipulorum nullus contra primam, neque ipse proditor indignatur, quia Judas quidem non violenter erat avaritiæ morbo captus, neque Satanas adhuc ejus pectus sibi paraverat proditionis commodum organum. Alii autem discipuli ad indignationem non adducti sunt, quia Magistri de eleemosyna sermones nondum in mente vivide impressos ferebant, neque adeo eos indigentium ceperat sollicitudo. Adhuc autem mulierem flentem videbant et non unguentum in caput effundentem, sed pedes ungentem; et passionem instare a Domino nondum didicerant; quæ omnia eos ab indignatione retrahere valebant. Aliunde si nullum ex his adesset, si alicui discipulorum nata esset indignatio, ad lucem prodire inhibita esset. Præveniens enim Pharisæus, reprehensionis accusationem subiit; et sic aliorum silentii visus esset admonitio et causa. Contra vero Lazari sororem non indignantur ex

Digitized by Google

discipulis ii qui bona voluntate erant, et mulieris A veneratione inhibiti et præsenti miraculo correpti; et quia non illa in caput effudit unguentum, sed et pedes, omnino reverenter inunxit; solus igitur Judas incipiens jam avaritia ardere et proditionis obsideri meditationibus, indignatus est.

Tertiam tamen, ut dictum est, etsi ex diversa mente, et alii discipuli et Judas præsertim cavillantur, unus ut jam vehementer proditione captus, et avaritiæ flammam non jam ferre valens omnia intus igne vastantem, et indignans quod per venerationem et honorem ab aliis Magister habeatur. Alii vero discipuli, cum jam multa de eleemosyna et pauperum commiseratione audiissent, a Magistri B sententia nihil putabant se differre. Non enim indecorum esse credebant, si non paterentur mulierem adulteram in mundum caput unguentum effundere. Aliunde et Dominum videntes omnia negligentem et ad crucem et mortem propnisum; nam perpetuo passionem eis jam prædicebat. Si enim Magister noster (ut verisimiliter ratiocinabantur) ad mortem convertitur, quid prodest, o mulier, unguenti hujus effusio? Quam utilitatem ex illo percipiet, quem injusta mors paulo post exspectat? Quapropter Salvator, eorum sententiam per contraria corrigens: In meam sepulturam, inquit, hoc fecit; quasi fere diceret: propter quod vos unguentum non effundi oportere opinamini, quasi ipse C omnia despicerem meipsum ad mortem jam disponens, eo ipso mulieris opus magis mentione dignum videtur processisse. In meam enim sepulturam hoc fecit. Et ad eos quidem ex discipulis qui bona mente erant juxta hunc sensum apprime Dominicus sermo dirigitur. Ad Judam vero, ut dictum est. Etenim pro rationum differentia quibus scindebatur indignantium ordo, decebat Dominum singulis mentibus sermonem congruum proferre, auditores autem ad propriam quemque conscientiam Domini responsum accommodare. Sed enim de mulieribus quæ dignæ visæ sunt ut Dominem unguento ungerent, eas non esse neque plures tribus neque pauciores, sufficientia opinor dicta esse ut solidum et inconcussum argumentum D præstent iis qui credunt non esse accuratius et honoratius pugnare quam discere.

τῶν ἄλλων, σωφρονισμὸς ὤφθη καὶ παραίτιος· ἐπὶ δὲ τῆς Λαζάρου ἀδελφῆς οὐκ ἀγαναντοῦσι μὲν οἱ εὐγνώμονες τῶν μαθητῶν, τῆς τε γυναικὸς τῇ εὐλαβείᾳ ἐπιχόμενοι καὶ τῷ ἐνεστηκότι θαύματι συστελλόμενοι· καὶ ὅτι οὐδ' αὐτὴ κατὰ τῆς κεφαλῆς ἐκένου τὸ μύρον, ἀλλὰ καὶ τοὺς πόδας παν-
ευλαβῶς ἤλειφε· μόνος μέντοι γε ὁ Ἰούδας ἀγαναντεῖ, ἀρχόμενος ἤδη τῇ φιλαργυρίᾳ φλεγμαί-
νειν, καὶ τοῖς τῆς προδοσίας πολιορκεῖσθαι λογισμοῖς.

Ἐπὶ μέντοι τῆς τρίτης, ὡς εἴρηται, κἂν ἐκ διαφόρου γνώμης οἵ τε ἄλλοι μαθηταὶ καὶ ὁ Ἰούδας μάλιστα διαγογγύζει, ὁ μὲν ὡς ἤδη κατὰ κράτος ἁλοὺς τῇ προδοσίᾳ, καὶ φέρειν οὐχ οἷός τε ὢν ἔτι τῆς φιλαργυρίας τὴν φλόγα, τὰ ἔνδον ἅπαντα πυρ-
πολοῦσαν· καὶ διὰ σεβάσματος ὁρᾷν καὶ τιμῆς παρὰ τοῖς ἄλλοις ἀγόμενον τὸν Διδάσκαλον· οἱ δ' ἄλλοι μαθηταὶ ἐλεημοσύνης τε, ὡς πολλάκις εἴρηται, πολὺν ἤδη λόγον ἔχοντες καὶ φιλοπτωχίας καὶ πρὸς τὴν Διδασκάλου γνώμην οὐδὲν οἰόμενοι διαφέρεσθαι· οὐ γὰρ ἀπεικὸς ἐνόμιζον μὴ δεῖν ἀνέχεσθαι γυναῖκα πόρνην κατὰ τῆς ἀχράντου κεφαλῆς ἐκείνης τὸ μύρον ἐκχέειν. Ἄλλως τε δὲ καὶ τὸν Διδάσκαλον ὁρῶντες πάντων μὲν ὀλιγωροῦντα, πρὸς δὲ τὸν σταυ-
ρὸν καὶ τὸν θάνατον ἐπειγόμενον· καὶ γὰρ συνεχῶς τὸ πάθος αὐτοῖς ἤδη προέλεγεν· εἰ τοίνυν ὁ Διδάσκαλος ἡμῶν, εἰκὸς ἦν αὐτοῖς λογίζεσθαι, πρὸς τὸν θάνατον εὐτρεπίζεται, τί τὸ κῶρος κέρδος τῆς τοῦ μύρου κενώσεως; τίνος δ' ἐξ αὐτοῦ τῆς ὠφελείας μεθέξει, ὃν κακούργων μετὰ βραχὺ θάνατος ἐκδέχε-
ται; διὸ καὶ ὁ Σωτὴρ τὴν αὐτῶν διὰ τῶν ἐναντίων διορθούμενος διάνοιαν, Εἰς τὸν ἐνταφιασμόν μου, φησί, τοῦτο πεποίηκε· μονονουχὶ λέγων· Δι' ὧν ὑμεῖς τὸ μύρον μὴ δεῖν κενωθῆναι διαλογίζεσθε, ἅτε δὴ πάντων ὀλιγωροῦντος ἐμοῦ, καὶ παρασκευαζομένου πρὸς τὸν θάνατον, διὰ τούτων μᾶλλον τῆς γυναικὸς τὸ ἔργον ἀξιολόγως φαίνεται προελθόν· Εἰς γὰρ τὸν ἐνταφιασμόν μου τοῦτο πεποίηκε· καὶ πρὸς μὲν τοὺς εὐγνώμονας των μαθητῶν κατὰ ταύτην τὴν διάνοιαν ὁ Δεσποτικὸς λόγος ἁρμόσειεν ἄν· πρὸς δὲ τὸν Ἰούδαν ὡς προείρηται· καὶ γὰρ πρὸς τὴν τῶν λο-
γισμῶν διαφορὰν οἷς ἐμερίζετο τῶν ἀγαναντούντων τὸ σύνταγμα, εἰκὸς ἦν καὶ τὸν Δεσπότην ἑκατέραις γνώμαις προενεγκεῖν τὸν λόγον ἁρμόζοντα καὶ τοὺς ἀκροατὰς πρὸς τὸ οἰκεῖον ἕκαστος συνειδὸς τὴν ἀπόφασιν οἰκειώσασθαι. Ἀλλὰ γὰρ περὶ τῶν γυναι-
κῶν καὶ τῷ μύρῳ τὸν Δεσπότην ἀλεῖψαι κατηξιώθησαν, ὅτι μήτε πλείους ἦσαν τῶν τριῶν, μήτε ἐλάττους, ἱκανὰ οἶμαι παρασχεῖν τὰ ῥηθέντα τὸ βέβαιον καὶ ἀδίσακτον τοῖς μὴ τὸ φιλονεικεῖν τοὺς μαθεῖν σπου-
δαιότερον καὶ τιμιώτερον ἄγουσιν.

QUÆSTIO XLIX [*al.* XLVIII].

Quomodo interpretandum illud: « Omne peccatum et omnis blasphemia hominibus remittentur; ei vero qui blasphemaverit in Spiritum sanctum, non remittetur neque in præsenti sæculo, neque in futuro[71]*. »*

Dicta sunt a beatis nostris Patribus ea quæ sane dici pro eorum temporibus conveniebat; et nulla

ΕΡΩΤΗΣΙΣ ΜΘ'.

*Πῶς νοητέον τὸ, « Πᾶσα ἁμαρτία καὶ βλασφη-
μία ἀφεθήσεται τοῖς ἀνθρώποις, τῷ δὲ βλασ-
φημήσαντι εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἀφεθή-
σεται οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλ-
λοντι. »*

Edita a Maio, l. c., p. 46-50. De peccato in Spiritum sanctum.

Εἴρηται μὲν τοῖς μακαρίοις Πατράσιν ἡμῶν ἅτε δὴ ῥηθῆναι κατὰ τοὺς αὐτῶν ἥρμοττε καιρούς· καὶ

[71] Matth. XII, 31, 32.

Digitized by Google

οὐδεμία κηλὶς αἱρετιζούσης δόξης, τὰ εἰρημένα καταστίζει οὐδεμίαν πρόφασιν ἔλαβεν· εἰρήσεται δὲ νῦν ἃ τῆς μὲν προτέρας αἰτίας οὐκ ἐλάττονα προβάλλεται τὴν ἰσχύν, τὴν δὲ δευτέραν μᾶλλον ἐστὶ πεφευγότα. Οὐκ ἀφίεται τοιγαροῦν τοῖς εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημήσασιν ἡ ἁμαρτία, διότι μηδ' ὑπελείποντο ἑαυτοῖς, δι' οὗ τῆς ἀφέσεως ἀξιωθήσονται· καὶ γὰρ ἡ τῶν ἁμαρτημάτων ἄφεσις, διὰ τοῦ Πνεύματος δίδοται· ὡς που καὶ ὁ Σωτὴρ ἐμαρτύρησεν εἰπών· « Λάβετε Πνεῦμα ἅγιον· ὧντινων ἀφίετε τὰς ἁμαρτίας, ἀφίενται· ὧν δ' ἂν κρατῆτε, κεκράτηνται· » τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ κατάκρισιν δηλονότι τῆς τοῦ Πνεύματος ἐξουσίας καὶ δυνάμεως εἶναι δ.δάσκει· διὰ τοῦ Πνεύματος οὖν ἱερουργεῖται τῶν ἁμαρτημάτων ἡ κάθαρσις, καὶ ἀθώωσις· ὁ δὲ βλασφημῶν ἐκεῖνο καὶ τῆς αὐτοῦ σωτηρίας ἀποσκευαζόμενος, πῶς ἂν εἴη δι' αὐτοῦ καθαιρόμενος, ἢ τῆς χρεωστουμένης αὐτῷ τιμωρίας καὶ τῶν εἰσπράξεων ἀθωούμενος; Καὶ οὐδεμίαν οἶμαι ζήτησιν ἔτι παρέχειν τοῖς ἀκριβῶς ἐπισκοποῦσιν ὅπως τῶν ἁμαρτημάτων ὁ κατὰ τοῦ Πνεύματος βλασφημῶν οὐχ εὑρήσει τὴν ἄφεσιν. Εἰ δὲ καὶ τὸ λουτρὸν τῆς παλιγγενεσίας διὰ τοῦ Πνεύματος ἱερουργεῖται, καὶ τὸ ὕδωρ ἐκεῖθεν βρύει, καὶ τῆς ἐκεῖθεν πηγάζει χάριτος, οἱ δὲ τοῦτο διασύρουσι καὶ βλασφημοῦσιν ὡς οὐδὲν παρασχεῖν ὄφελος οὐδὲ κέρδος δυνάμενον· τί γὰρ ὕδωρ καὶ ἔλαιον ἐπιψαῦον τοῦ σαρκίου τῶν διὰ βάθους ἐντακέντων τῆς ἁμαρτίας στιγμάτων καὶ τῶν ψυχικῶν παθημάτων ἀπαλλαγὴν ἐργάσασθαι δύνανται; Ὁ οὖν ταύτην τὴν βλασφημίαν κατὰ πνευματικῆς ἀναγεννήσεως, καὶ τοῦ μηδενὸς τῶν καλλίστων δώρων ἐνδεεστέρου, κατασκεδάζειν ἐπαρθεὶς εἰς ἀπόνοιαν, καὶ διὰ τοῦτο τελειοῦσθαι τῷ πνευματικῷ χαρίσματι μὴ ἀνεχόμενος, ἀλλὰ διασύρων αὐτὸ καὶ χλεύην ποιούμενος, οὗτος δή, οὗτος καὶ δι' ὅσων ἄλλων ἔρπει τὸ βλάσφημον, οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι, τὴν τῆς βλασφημίας εὑρήσει ἄφεσιν· καὶ γὰρ καὶ ὁ Σωτὴρ διαβεβαιούμενος ἔλεγεν· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν· ἐὰν μή τις ἀναγεννηθῇ δι' ὕδατος καὶ Πνεύματος, οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Εἰ δὲ καὶ Πνεῦμα οὐ μόνον ἰδιαίτερον τὸ πανάγιον Πνεῦμα λέγεται, ἀλλὰ καὶ κοινότερον ἡ ἁγία Τριὰς (« Πνεῦμα γὰρ ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν »), δηλονότι ὁ εἰς Πνεῦμα βλασφημῶν, τουτέστιν ὁ κατὰ μιᾶς τινος τῶν ὑπερφυῶν καὶ ὁμοουσίων ὑποστάσεων τῆς παντοκρατορικῆς καὶ ὑπερουσίου θεότητος βλάσφημον γλῶσσαν ἀφιείς, κἂν δοκῇ τῆς περὶ τὰς ἀρετὰς καὶ τὸν βίον ὕβρεως καὶ δυσφημίας ἀνεύθυνος εἶναι, ἀλλ' οὖν τῷ πολλῷ μείζονι συνεχόμενός τε καὶ ἐταζόμενος ἁμαρτήματι, οὐδαμῶς εὑρήσει τὴν ἄφεσιν, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

Ὅρα δὲ κἀντεῦθεν· Υἱὸς ἀνθρώπου λέγεται ὁ Σωτὴρ, ἐπείπερ ἀληθῶς ἐχρημάτισεν ἄνθρωπος καὶ ἀνθρωπίνοις ἐκὼν ὑποκύψαι λέγεται πάθεσιν· ἐν οἷς ἡ ἀνθρωπίνη φύσις ὁρωμένη, τὸ ἀδιάβλητον καὶ

A macula hæreticæ opinionis eorum dicta polluit, nec ullum hæresi dant prætextum. Dicentur autem nunc quæ et contra prius crimen non minus roboris opponunt, et quæ secundum magis adhuc fugiunt. Non remittitur porro peccatum iis qui in Spiritum sanctum blasphemant, quia sibi non reliquerunt unde remissione digni judicentur. Remissio enim peccatorum per Spiritum datur; ut in quodam loco Salvator testificatus est dicens: « Accipite Spiritum sanctum, quorum remiseritis peccata, remittentur; quorum autem retinueritis, retenta sunt [72]. » Remissionem aut damnationem manifeste ex virtute et potentia Spiritus sancti esse docet; per Spiritum igitur fit peccatorum purificatio et absolutio. Qui autem illum blasphemat et B se illius salutari gratiæ subtrahit, quando ab illo mundaretur, vel debita sibi pœna et offensionibus absolveretur. Et qui id accurate considerant, non jam ultra, opinor, inquirere debent, quomodo peccatorum remissionem qui contra Spiritum blasphemat, non inventurus sit. Si autem lavacrum regenerationis per Spiritum sanctum efficitur, et donum inde prodit, et ex hoc gratiæ fonte scaturit, isti vero illud irrideant et blasphement, tanquam nullum possit commodum et lucrum præstare; quomodo enim aqua et oleum carnem tangentia alte impressarum peccati macularum et spiritualium cupiditatum et solutionem produceret! Qui igitur illam blasphemiam contra spiritualem regenerationem et donum haud pulcherrimis impar in emittendi dementiam impulsus erit, C et ideo spirituali gratia perfici non sustinuerit, sed illud irriserit et ludibrium fecerit, ille sane et illi omnes per quos serpit blasphemia, neque in præsenti sæculo, neque in futuro, inveniet remissionem. Etenim Salvator id confirmans dicebat: « Amen, amen dico vobis: nisi quis renatus fuerit ex aqua et Spiritu sancto, non intrabit in regnum cœlorum [73]. » Etsi autem propriore modo Spiritus vocatur, sanctissimus Spiritus, sed etiam communiori sancta Trinitas; « Spiritus enim Deus et si oportet eos qui illum adorant, in spiritu et veritate illum adorare [74], » manifeste qui in Spiritum blasphemat, id est qui contra unam tantum exiD miarum et consubstantialium personarum, reipsa in omnipotentem et consubstantialem divinitatem, blasphemam linguam emittit, quamvis insolentiæ et injuriæ contra virtutes et vitam immunis esse videatur, sed tamen multo majore irretitus et implicatus peccato, nullo modo remissionem inveniet neque in præsenti sæculo, neque in futuro.

Considera et inde: Filius hominis Salvator dicitur, quoniam vere fuit homo et humanis voluntarie subjectus esse infirmitatibus dicitur, in quibus humana natura visa quod irreprehensibile et im-

[72] Joan. xx, 22, 23. [73] Joan. iii, 5. [74] Joan. iv, 24.

Digitized by Google

peccabile est sortita est. Dicit enim præcedentibus verbis Salvator eum qui ipsum ex irreprehensibilibus infirmitatibus blasphemat et irridet ; v. gr. quod esuriit, sitivit, passionem reformidavit, sudores illum irroraverunt, valde tristem se dixit, mortis timore exhibens molestiam, quod oravit, quod deprecatuus est calicem, his humanis proprietatibus qui scandalizatum fuerit et una iis per quæ Salvator se vere Filium hominis esse cognosci præbuit, is facile scandalum potest projicere, et blasphemiam fugere, et peccati remissionem accipere, cæcorum videns oculos verbo recreatos, claudos cursu dolorem redarguentes, quatriduanum mortuum mortis potentiam ridentem, et quæcunque alia divina virtute efficiens ostensus est Salvator. Eorum enim unumquodque vim habet invictam, scandalizatum si saltem non malus sit libens et volens, ab errore et a blasphema dispositione liberandi. Et si omnia cogitatione accurate meditatus est, quomodo non promptius illum convertent qui humilibus et humanis in blasphemiam subtractus fuerit ? Qui autem ex illis quæ divina et eximia sunt operibus blasphemia male egerit, et quærens quomodo per bonum operaturus sit bonum, et nunc quidem dicens cum Jesum videt dæmones ejicientem : « Dæmonium habet [75] ; » nunc autem : « In principe dæmoniorum ejicit dæmonia [76] ; » nunc autem, cum ei quem visu nativitas orbaverat oculos reformasset, eum opprobrio persequens et miraculum in injurias trahens et dicens : « Non est hic a Deo [77]. » Qui igitur divinis illis et eximiis operibus non melior efficitur, sed potius ad pejus defertur et ad dementiam excitatur ; et ex quibus admirari et celebrare benefactorem oportebat, illum injuriis et blasphemiis persequens, quibus aliis converteretur, et palinodiam caneret et ad pœnitentiam confugeret atque impietatis ac in Deum pugnæ remissionem acciperet ? Manifeste nulla alia re.

φεύξεται, καὶ τῆς δυσσεβείας τε καὶ θεομαχίας

Qui igitur in Spiritum sanctum, id est in Dei signa blasphemaverit, nec per ea priorem blasphemiam abjecerit, nihil aliud illum eriget ; non correctum autem unde remissio peccati sequetur ? Ideo rationabiliter et ut Deum decet, salutare Verbum cum qui Dei opera in blasphemiam vertere contenderit, omni venia indignum fons remissionis pronuntiavit. Nullum enim prætextum sibi reliquit ; nec injuriarum et blasphemiarum correctione neque, tantum abest, remissione dignus judicabitur. Comedentem et bibentem vidisti, et ideo eum comedonem et vini potorem vocas ; peccatores et publicanos accipientem, et id te impulit ut ei publicanorum et peccatorum amicitiam exprobrares ? Sed tibi excelsa relinquuntur per quæ et ab iis injuriis recedens et ad pœnitentiam confugiens, remissionem invenies, quia cum muliere et illa Samaritana locutus est et ab ea aquam bibere postulavit, hu-

A ἀνεπιτίμητον ἐκληρώσατο· λέγει τοίνυν διὰ τῶν προκειμένων ῥημάτων ὁ Σωτὴρ, ὅτι ἀπὸ τῶν ἀνθρωπίνων πράξεων τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, τουτέστιν ἀπὸ τῶν ἀδιαβλήτων παθῶν βλασφημῶν αὐτὸν καὶ διασύρων, οἷον ὅτι ἐπείνασεν, ἐδίψησεν, ὅτι τὸ πάθος ἠγωνίασεν, ὅτι ἰδρῶτες αὐτὸν περιέσταζον, ὅτι περίλυπον ἑαυτὸν ἔλεγε τῷ τοῦ θανάτου φόβῳ διοχλούμενος, ὅτι προσηύχετο, ὅτι παρῆτεῖτο τὸ ποτήριον· ἐκ τούτων οὖν ὁ σκανδαλιζόμενος τῶν ἀνθρωπίνων, καὶ δι' ὧν ὁ Σωτὴρ Υἱὸς ἀληθῶς ἀνθρώπου παρεῖχεν ἐπιγινώσκεσθαι, οὗτος ῥᾷον δύναται ῥίψαι τὸ σκάνδαλον καὶ τὴν βλασφημίαν διαφυγεῖν, καὶ τῆς ἁμαρτίας λαβεῖν ἄφεσιν· τυφλοὺς ὁρῶν λόγῳ δημιουργουμένους τὰ B ὄμματα, χωλοὺς δὲ τῷ δρόμῳ τὸ πάθος ἐλέγχοντας, τὸν ἐν νεκροῖς τεταρταῖον τοῦ θανάτου καταγελῶντα τὴν δύναμιν, καὶ ὅσα ἄλλα θεουργῶν ὁ Σωτὴρ ἐδείκνυτο· καὶ τούτων μὲν γὰρ ἕκαστον ἄμαχον ἔχει τὴν ἰσχὺν, τὸν σκανδαλιζόμενον, ἂν ἄρα μὴ ἑκὼν κακουργῇ, ἀπαλλάξαι τῆς πλάνης καὶ τῆς βλασφημούσης διαθέσεως· ὁμοῦ δὲ πάντα ταῖς διανοίαις ἐπιμελῶς μελετώμενα, πῶς οὐ θᾶττον μεταστήσει πρὸς θεολογίαν τὸν ἀπὸ τῶν ταπεινῶν καὶ ἀνθρωπίνων εἰς βλασφημίαν ὑποσυρόμενον ; Ὁ δὲ ἀπὸ τούτων τῶν θεοπρεπῶν τε καὶ ὑπερφυῶν ἔργων εἰς βλασφημίαν κακουργῶν, καὶ σπουδάζων ὅπως διὰ τοῦ ἀγαθοῦ τὸ φαῦλον δημιουργήσειε· καὶ νῦν μὲν λέγων, δαίμονας ὁρῶν διώκοντα, « Δαιμόνιον ἔχει· » νῦν δὲ, ὅτι « Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια· » νῦν δὲ οὗ τὰς ὄψεις ἡ γένεσις ἀπεστέρησε, τούτου πηλῷ C καὶ λόγῳ τοὺς ὀφθαλμοὺς πλαστουργήσαντα, προπηλακίζων τε καὶ τὸ θαῦμα εἰς ὕβριν ἕλκων, καὶ λέγων, ὡς « Οὐκ ἔστιν οὗτος παρὰ τοῦ Θεοῦ· » ὁ τοίνυν διὰ τῶν θειοτέρων τε καὶ ὑπερφυῶν ἔργων οὐδὲν βελτιούμενος, ἀλλὰ μᾶλλον ἐπὶ τὸ χεῖρον φερόμενος, καὶ πρὸς ἀπόνοιαν ἀνοιστρούμενος· καὶ δι' ὧν ἔδει θαυμάζειν καὶ ἀνυμνεῖν τὸν εὐεργέτην δι' ἐκείνων ἐνυβρίζων τε καὶ βλασφημῶν, διὰ τίνων ἄλλων ἂν ἐπιστραφῇ καὶ παλινῳδίαν ᾄσῃ, καὶ πρὸς τὴν μετάνοιαν καταD τὴν ἄφεσιν λήψεται, ἢ δηλονότι δι' ἑτέρου οὐδενός ;

Τὸν βλασφημήσαντα τοίνυν εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστιν εἰς τὰς θεοσημείας, καὶ μηδὲ δι' αὐτῶν τὴν προτέραν δυσφημίαν ἀποσκευασάμενον, τοῦτον οὐδὲν ἕτερον διορθώσεται· μὴ διορθούμενον δὲ, πόθεν ἡ ἄφεσις ἀκολουθήσει τοῦ ἁμαρτήματος ; διόπερ εὐλόγως τε καὶ θεοπρεπῶς ὁ σωτήριος λόγος τὸν τὰς θεουργίας εἰς βλασφημίαν μεταστρέψαι φιλονεικήσαντα, πάσης συγγνώμης ἀνάξιον ἡ πηγὴ τῆς ἀφέσεως ἀπεφήνατο· οὐδεμίαν γὰρ ἑαυτῷ πρόφασιν ὑπελελοιπὼς οὔτε διορθώσεως τῶν κατὰ τοῦ Πνεύματος ὕβρεων καὶ βλασφημιῶν, οὐδὲ πολλοῦ δεῖ τῆς ἀφέσεως ἀξιωθήσεται· ἐσθίοντα καὶ πίνοντα εἶδες, καὶ διὰ τοῦτο φάγον καλεῖς καὶ οἰνοπότην ; ἁμαρτωλοὺς καὶ τελώνας προσδεχόμενον, καὶ τοῦτό σε τελωνῶν ἐπικαλεῖν φιλίαν καὶ ἁμαρτωλῶν ἐπῆρεν, ἀλλ' ὑπολείπεταί σοι τὰ ὑψηλὰ, δι' ὧν καὶ τούτων τῶν ὕβρεων ἀποστὰς καὶ πρὸς μετάνοιαν καταφυγὼν, τὴν ἄφεσιν εὑρήσεις· ὅτι μετὰ γυναικὸς καὶ τότε Σαμαρεί-

[75] Matth. xi, 18. [76] Matth. ix, 34. [77] Joan. ix, 16.

Digitized by Google

τιδος ἐλάλει καὶ πιεῖν παρ' αὐτῆς ὕδωρ ἐπεζήτει, τὰ ταπεινὰ συνηλάθης λογίζεσθαι περὶ αὐτοῦ; πῶς ὥσπερ ἔλαβες τὴν Σαμαρεῖτιν, πρόφασιν ταπεινοτέρας ὑπολήψεως καὶ δόξης, οὕτως οὐ παρέλαβες αὐτὴν διδάσκαλον καὶ τῆς ὑψηλοτέρας; « Δεῦτε γάρ, φησὶν, ἴδετε ἄνθρωπον, » πόλιν ὅλην ἐπιστρέφουσα ἐκάλει, « ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· » οὐδὲ ταῦτά σε θεωρὸν ἐργάζεται τῶν θειοτέρων τε καὶ ὑψηλοτέρων; ἀλλ' ὅτι πυνθάνεται τῶν μαθητῶν, « Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; » ἀνοίας ἄρπαγμα τὴν ἐρώτησιν ποιησάμενος, ἕνα τῶν πολλῶν νομίζεις; καὶ πῶς οὐ πρὸς θεοπρεπῆ δόξαν ἀναβαίνεις, ἀκούων λέγοντος τῷ τὴν ἀπόκρισιν παρεσχημένῳ, « Σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος; » « Ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς; » Καὶ, « Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς; » Ἀνθρώπινα ταῦτα, ἢ μόνης τῆς παντοδυνάμου Θεότητος καὶ φιλανθρώπου; ἀλλὰ ῥήματα ταῦτά ἐστι, καὶ τὴν ὄψιν οὔπω προσέλαβε μάρτυρα; οὐδὲ τῶν πραγμάτων εὐθὺς ἐνέστηκεν ἡ ἐνέργεια; τυφλοὺς ὁρῶν μετὰ γέννησιν τὴν τῶν ὀμμάτων ἑορτάζοντας ἀναγέννησιν, καὶ τῇ ἐναργείᾳ τῶν ὄψεων τὸ ἐκ γενέσεως πάθος ἀπελάσαντας, κωφοὺς ἀκούοντας, καὶ χωλῶν τὰς βάσεις ὀρθουμένας ῥήματι, καὶ νεκροὺς ἀνισταμένους, καὶ πέτρας τῷ πάθει τῷ Δεσποτικῷ ῥηγνυμένας, καὶ ἥλιον σκυθρωπάζοντα, καὶ σκότος ἀντὶ τῶν ἀκτίνων καὶ τῆς πολλῆς λαμπρότητος περιβαλλόμενον, καὶ τάφους κενουμένους, καὶ νεκροὺς μετὰ τῶν ζώντων τὴν κοινὴν ἀνάστασιν προδιατυποῦντας καὶ συνεορτάζοντας.

Ταῦτα ὁρῶν, πῶς οὐ πάντων ἀπέστης; δι' ὧν σεαυτῷ συνῆγες τὰ σκάνδαλα, καὶ τὸν γνώμονα ἐτραυμάτιζες, καὶ πολλῇ σπουδῇ καὶ δρόμῳ καταφυγὼν πρὸς μετάνοιαν ἐπεδείξω τὴν διόρθωσιν, ἵνα δι' αὐτῆς καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἐκέρδησας; ἀλλ' οὐδὲ τούτοις καταμαλάττεσθαι τὴν τῆς καρδίας πῶρωσιν ἀνέχῃ· ἔτι δὲ μᾶλλον φιλονεικεῖς τὴν ἀπόνοιαν καὶ τὸ θεόμαχον κρατύνειν· καὶ νῦν μὲν ἐν τῇ τοῦ Σαββάτου περιεργοτέρᾳ καὶ καιρὸν οὐκ ἐχούσῃ φιλοτιμίᾳ, τὰς ὑπὲρ τὸ Σάββατον θεοσημείας φαυλίζεις· νῦν δὲ τὸ Σάββατον οὐκ ἔχων ἀναχώρησιν τῆς βλασφημίας, ὁρῶν δαιμονίας πληγῆς ἀπαλλαττόμενον τὸ γένος, ἐπὶ τὸν Βεελζεβοὺλ καταφεύγεις· νῦν δὲ καὶ ταύτην τὴν πρόφασιν ἀναπλάττειν παντελῶς ἀφῃρημένος, τὸν θάνατον ἔγνως καὶ τὴν μιαιφονίαν βοηθὸν καὶ σύμμαχον ποιεῖσθαι· καὶ ὃν ἐκεῖνος τεταρταῖον οὐκ ἴσχυσεν ἔτι κατέχειν νεκρὸν, τοῦτον πάλιν ὑποστρέφειν πρὸς αὐτὸν, τὰς παλαμναίας γνώμας καὶ χεῖρας ἐκτείνεις· « Ἐζήτουν γὰρ, φησὶν, οἱ Ἰουδαῖοι ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσι· » καὶ τὸ τελευταῖον, τὸν ταῦτα θαυματουργήσαντα, σταυρῷ καὶ θανάτῳ καταδικάζεις· καὶ κουστωδίαν ζητεῖς· καὶ σφραγῖδας ἐπιβάλλεις τῷ νεκρῷ καὶ τῷ τάφῳ· καὶ τὸ ἀναισχυντότατον καὶ πᾶσαν ὑπερβάλλον ἀθεότητα καὶ συγγνώμην οὐδεμίαν οὐδαμῶς ὑπολειπόμενον τῆς κλοπῆς τῷ πλάσματι τὴν ἀνάστασιν κλέπτεις· μηδὲ τῷ τῶν ἐξ αἰῶνος ἁπάντων ὑπερκειμένῳ παρα-

A milia impulsus est ut de illo cogitares? Quomodo, quemadmodum Samaritanam humilioris opinionis et famæ occasionem abripuisti, sic non illam excelsioris magistram habuisti? « Venite, inquit enim, videte hominem (universam urbem convertens vocabat), qui dixit mihi omnia quæcunque feci [78]. » Nonne hæc te divinorum et excelsiorum spectatorem faciunt? Sed quia discipulos interrogat : « Quem me homines esse dicunt [79]? » amentiæ signum oblatum faciens hanc interrogationem, unum ex multis illum putas. Et quomodo non ad divinam ascendis opinionem audiens dicentem ei qui responsum dat : « Tu es Filius Dei vivi, » — « Quia caro et sanguis non revelavit tibi, sed Pater meus B qui in cœlis est? Et, Tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam, et portæ inferi non prævalebunt adversus eam [80]? » Humanane hæc sunt, an solius omnipotentis et misericordis Divinitatis? Sed hæc verba sunt, et nondum visum testem accepere, Nonne statim rerum vis assurrexit? Cæcos a nativitate oculorum celebrantes regenerationem videns et visus claritate ex generatione dolorem repellentes, surdos audientes et claudorum bases rectas verbo factas, et mortuos suscitatos, et rupes Dominica passione perfractas, et solem contristantem, et tenebras pro radiis et tanto splendore circumsparsas, et sepulcra vacuefacta, et mortuos cum viventibus communem resurrectionem prævenientes eamque concelebrantes.

C

Hæc cernens quomodo non ab omnibus recessisti per quæ tibi ipsi scandala conduxisti et judicem vulnerasti, et multa cura rapidoque cursu ad pœnitentiam refugiens correctionem non ostendisti? Ut per eam et remissionem peccatorum lucreris. Sed neque illis cordis tui ignem molliri pateris; adhuc autem magis contendis contumaciam et in Deum pugnam roborare, et nunc quidem curiosiore nec opportunitatem habente Sabbati studio, divina supra Sabbatum signa vilipendis; nunc autem non habens occasionem blasphemiæ Sabbatum genus a dæmoniaco liberatum vulnere videns, ad Beelzebub confugis; nunc autem cum hunc prætextum effingere nequeas, statuisti mortem tibi et cædem auxiliatricem et sociam facere; et quem illa quatriduanum non valuit adhuc mortuum retinere, morti ut eum rursus credas sceleratam voluntatem et D manum extendis : « Quærebant, inquit enim, Judæi ut et Lazarum interficerent [81]. » Et demum eum qui id miraculose effecit, ad crucem et mortem damnas; et custodiam quæris; et vigilem imponis cadaveri et sepulcro; et quod turpissimum est omnemque impietatem transgreditur et nullam omnino veniam relinquit, furtum invenis ut resurrectionem fureris! Neque omnium ab æterno miraculorum maximo suffusus pudore et conversus, contra illud eo magis meditatus es qui magis præ-

[78] Joan. IV, 39. [79] Matth. XVI, 13. [80] Ibid. 14-18. [81] Joan. XI.

Digitized by Google

stantia sua cætera vincebat. Qui igitur ex nulla tam splendide dignitatem Divinitatis et ejus invictam vim testantium operationum atque actionum conversionem et pœnitentiam cohibuit, cum se per humana malis et animam corrumpentibus opinionibus imbuerit et distraxerit; sed et divina dementiæ et impiæ pugnæ augmentum fecit, evidens est atque manifestissimum hunc nihil sibi relinquere quo melius malo præferat ac vivida et acri pœnitentia præcedentium debita expellat et remissione omnino dignus judicetur neque in præsenti sæculo neque in futuro.

A δόξων καὶ ὑπερφυῶν ἔργων δυσωπηθείς τε καὶ μεταβληθεὶς θαύματι, ἀλλὰ κατ' ἐκείνου μᾶλλον τὸ κακοῦργον μελετήσας, ὅσῳ καὶ τῇ ὑπεροχῇ τῶν ἄλλων διέφερεν. Ὁ γοῦν ἐκ μηδενὸς των λαμπρῶς ἀπαστραπτόντων τὸ ἀξίωμά τε καὶ τὴν ἄμαχον ἰσχὺν τῆς θεότητος ἤτοι τῶν πνευματικῶν τε ἐνεργειῶν καὶ πράξεων μηδεμίαν μεταβολὴν, μηδὲ μετάνοιαν ἐπιδειξάμενος, οἷς ἑαυτὸν διὰ τῶν ἀνθρωπίνων φαύλοις καὶ ψυχοφθόροις κατηχίσατό τε καὶ κατέστιξεν ὑπολήψεσιν· ἀλλὰ καὶ τὰ θεῖα προσθήκην ἀπονοίας καὶ θεομαχίας μείζονος τοῖς τετολμημένοις ποιησάμενος, κατάδηλόν τε καὶ ἐμφανέστατον, ὡς ὁ τοιοῦτος μηδὲν ἑαυτῷ ὑπολειπόμενος, δι' οὗ τὸ κρεῖττον τοῦ φαύλου προέλοιτο, καὶ θερμῇ καὶ ὀξείᾳ μετανοίᾳ διαλύσει τῶν φθασάντων τὰ ὀφλήματα, οὐδὲ τῆς ἀνέσεως ὅλως ἀξιωθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι.

Sunt autem quibus illud « neque in præsenti sæculo neque in futuro » alio modo accipitur; et difficultatis solutio simplicius et paratius adducitur. Mosaica lex, inquiunt, morte punit eum qui in divinum blasphemavit, neque veniam neque remissionem ei concedens. Et hoc ostendit illud, blasphemanti non in præsenti sæculo remitti. Ideo dicunt rationabile esse cogitare blasphemantem in Spiritum sanctum, a Deo et secundum futurum sæculum judicatum iri et blasphemiæ pœnas ab illo exactum iri; sed in præsenti vindictis extremis subjiciendum esse, Mosaica lege in eum imprecante qui linguam in Deum emiserit, id est blasphemiis Deum impetierit, cujus substantiæ et dominationis est, et Spiritu sanciente, imo cum lapidibus opprimendum esse et vita privandum; ita ut Deus Spiritus, etsi impiis non videatur, illustri modo proclametur, in quo et supra naturam opera Creator naturæ divine efficiebat : « In digito Dei, » dicens, « ego dæmonia ejicio [82]; » digitum Dei per substantiæ unitatem et operationis absolutam potestatem Spiritum nominans. « In Spiritu sancto, inquit, ejicit dæmonia; » non quia ipse per seipsum non poterat; sed in omnibus suis divinis operibus Patris et Spiritus ut similium substantiarum et naturarum et ad unum et idem velle inclinantium una adesse docens. Ideo enim dicebat : « Pater meus usque modo operatur et ego operor [83], » et : « A meipso non loquor [84]. » Et illud : « In digito Dei ego dæmonia ejicio; » et quæcunque alia communem naturam et potestatem et efficaciæ et voluntatis unitatem sacre loquuntur et addocent. Scio autem quosdam dicere tum cum Dominica responsio proferretur, et vim eam habuisse circumscriptam. Etenim tunc resurrectione nondum facta neque in cœlos ascensione monstrata neque Spiritu spontaneos et communes orbis terrarum oratores discipulos efficiente, nondum omnibus his eximiis exsistentibus, qui in Filium hominis blasphemat et hominibus impingit, remissionem inveniet. Adumbrabatur enim iis carne dignitas. Ei autem qui in Spiritum sanctum blasphemat, neque in præsenti

B Εἰσὶ δὲ, οἷς τὸ « οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι » τρόπον ἕτερον ἐκλαμβάνεται, καὶ τῆς ἀπορίας ἡ λύσις ἁπλούστερόν τε καὶ ἑτοιμότερον προάγεται· ὁ Μωσαϊκὸς, φασὶ, νόμος τὸν εἰς τὸ Θεῖον βλασφημήσαντα, θανάτῳ ζημιοῖ, οὐ μεταδιδοὺς αὐτῷ συγγνώμης οὐδεμιᾶς οὐδ' ἀφέσεως· καὶ τοῦτο δηλοῖ τὸ μὴ ἀφίεσθαι τὸν βλασφημήσαντα ἐν τῷ παρόντι αἰῶνι· διό φασιν εὔλογον διανοεῖσθαι ὡς ὁ βλασφημῶν εἰς τὸ Πνεῦμα τὸ ἅγιον θεόθεν καὶ κατὰ τὸν μέλλοντα αἰῶνα δώσει τὴν δίκην καὶ τὰς τῆς βλασφημίας ποινὰς εἰσπραχθήσεται, ἀλλὰ καὶ κατὰ τὸν παρόντα τιμωρίαις ἐσχάταις ὑποβάλλεται, τοῦ Μωσαϊκοῦ νόμου τὴν καταρωμένην γλῶσσαν ἐπαφιέντα κατὰ τοῦ Θεοῦ, τουτέστι τὸν βλασφημίαις ἐνυβρίζοντα τὸ Θεῖον,

C οὗ τῆς οὐσίας καὶ τῆς κυριότητος ὑπάρχει καὶ τὸ Πνεῦμα, λίθοις νομοθετήσαντος λιθοβολεῖσθαι καὶ τῆς ζωῆς ἀπελαύνεσθαι· ὥστε Θεὸς τὸ Πνεῦμα, κἂν τοῖς θεομαχοῦσιν οὐ δοκῇ, περιφανῶς ἀνακηρύττεται· ἐν ᾧ καὶ τὰ ὑπὲρ λόγον ἔργα ὁ Δημιουργὸς τῆς φύσεως ἐθεούργει, « Ἐν δακτύλῳ Θεοῦ, λέγων, ἐγὼ δαιμόνια ἐκβάλλω· » δάκτυλον Θεοῦ διὰ τὸ τῆς οὐσίας ἀδιάφορον καὶ τῆς ἐνεργείας τὸ αὐτοδέσποτον ἐπονομάζων τὸ Πνεῦμα· « Ἐν μέντοι τῷ ἁγίῳ Πνεύματι, φησὶ, ἐκβάλλει τὰ δαιμόνια, » οὐχ ὅτι αὐτὸς ἐξ ἑαυτοῦ μὴ ἠδύνατο, ἀλλ' ἐν πᾶσιν αὐτοῦ τοῖς θεοπρεπέσιν ἔργοις, τὴν τοῦ Πατρὸς καὶ Πνεύματος ἐνέργειαν ὡς ὁμουσίων καὶ ὁμοφυῶν καὶ πρὸς ἓν καὶ τὸ αὐτὸ θέλημα νευόντων συμπαρεῖναι διδάσκων· διὰ τοῦτο γὰρ καὶ Ἔλεγεν, « Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργά-

D ζομαι· » καὶ, « Ἀφ' ἑαυτοῦ οὐ λαλῶ· » καὶ τὸ, « Ἐν δακτύλῳ Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια· » καὶ ὅσα ἄλλα τὸ ὁμοφυὲς καὶ ὁμοδύναμον καὶ τῆς ἐνεργείας καὶ τοῦ θελήματος τὸ ἑνιαῖον ἱερολογοῦσι καὶ ἐκδιδάσκουσιν· οἶδα δέ τινας εἰπόντας, ὅτι κατ' ἐκεῖνο καιροῦ καθ' ὃν ἡ Δεσποτικὴ ἀπόφασις προήχθη, καὶ τὸ κράτος εἶχε περιγραφόμενον· καὶ γὰρ τηνικαῦτα οὔπω τῆς ἀναστάσεως ἐπιστάσης, οὐδὲ τῆς εἰς οὐρανοὺς ἀναλήψεως ἐπιδεδειγμένης, οὐδὲ τοῦ Πνεύματος αὐτοσχεδίους καὶ κοινοὺς τῆς οἰκουμένης ῥήτορας τοὺς μαθητὰς τελεσαμένου, οὔπω τούτων τῶν ὑπερφυεστάτων ἐπιστάντων, ὁ τὸν Υἱὸν τοῦ ἀνθρώπου βλασφημῶν, καὶ τοῖς ἀνθρώποις προσπταίων, εὑρήσει ἄφεσιν· ἐπ-

[82] Matth. XII, 28. [83] Joan. V, 17. [84] Joan. XIV, 10.

Digitized by Google

εσκιάζετο γὰρ αὐτοῖς ἔτι τότε τῷ σαρκίῳ τὸ ἀξίωμα· τῷ δὲ εἰς τὸ Πνεῦμα βλασφημοῦντι, οὔτε κατὰ τὸν καιρὸν ἐκεῖνον, οὔτε ἐν τῷ μέλλοντι αἰῶνι ἡ τῆς βλασφημίας δοθήσεται ἄφεσις· οὐδὲν γὰρ ἐπιπροσθοῦν εἶχον οὗτοι πρὸς τὸ μὴ καθορᾷν αὐτοὺς τὴν ὑπὲρ λόγον ἐνέργειαν καὶ τὰς δι' αὐτῆς ἀπαστραπτούσας τῆς θεότητος ἀκτῖνας. Ἄλλοι δὲ πρὸς τοιαύτην διάνοιαν διὰ τῶν προκειμένων ἕλκοντας ῥημάτων· ποίαν ταύτην; τοῦ λουτροῦ, φασί, τῆς ἀφέσεως τοῦ ἐν παντὶ ἁγίῳ καὶ πυρὶ τελεσιουργουμένου μήπω παῤῥησιαζομένου οὐκ ἦν εὑρεῖν τῷ εἰς τὸ θεῖον Πνεῦμα βλασφημήσαντι τὴν ἄφεσιν· ὅτι μηδὲ τὸ μετασχεῖν ἐνῆν τῆς παλιγγενεσίας καὶ τῆς ἐκεῖθεν καθάρσεως· διὸ εἰκότως ὁ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημήσας, οὔτε ἐν τῷ νῦν αἰῶνι, καὶ διὰ τοῦτο οὐδὲ ἐν τῷ μέλλοντι, οὐδαμῶς τυγχάνει τῆς ἀφέσεως.

A tempore neque in futuro sæculo blasphemiæ remissio dabitur. Nihil enim obstabat quin viderent vim supra naturam et per eam splendentes divinitatis radios. Alii autem ad hunc sensum per verba præcedentia trahuntur. Ad quem igitur? Lavacrum, aiunt, remissionem in eo qui totus sanctus est et igne perficiens, dum nondum libere agebat, non erat possibile ei qui in divinum Spiritum blasphemat, remissionem invenire, qui inde procedentis regenerationis et purificationis participem fieri impossibile erat. Itaque merito qui in Spiritum sanctum blasphemavit, neque in præsenti sæculo et ideo neque in futuro nullo modo remissionem obtinet.

ΕΡΩΤΗΣΙΣ Ν'.

Τοῦ μακαρίου Μάρκου καὶ εὐαγγελιστοῦ γεγραφότος· « Ἐξῆλθον οἱ παρ' αὐτοῦ κρατῆσαι αὐτόν· ἔλεγον γὰρ ὅτι ἐξέστη· » ποίᾳ διανοίᾳ τὴν τῶν ῥημάτων συνθήκην ἁρμόζοντες, οὐκ ἂν εἴημεν πόῤῥω τοῦ εὐαγγελικοῦ διηγήματος παρεγηγεμένοι;

QUÆSTIO L [*al.* XLIX].

Beati Marci et Evangelistæ qui scripsit : « Exierunt qui juxta eum ut tenerent illum ; dicebant enim : quoniam in furorem versus est ; » quonam sensu verborum contextum aptantes, non essemus procul ab evangelica narratione abducti?

Edita a Maio, l. c., p. 51-63. In Marc. III, 21.

Διαφόροις κατελάβομεν τὸ ῥητὸν ὑποβαλλόμενον ἑρμηνείαις· καὶ γὰρ ἐνέστι λαβεῖν τὸ, « Ἔλεγον ὅτι ἐξέστη, » τὸν εὐαγγελιστὴν εἰπεῖν ἀντὶ τοῦ, Ἔλεγον ὅτι ἀποστῆναι αὐτῶν βούλεται, καταλιπεῖν αὐτοὺς διανοεῖται, πρὸς ἑτέρους μεταχωρῆσαι· καὶ ταύτης συνήγορον τῆς ἐννοίας οἱ ταύτης προεστηκότες τὸν ἱερὸν παράγουσι Λουκᾶν· τὴν γὰρ αὐτὴν φασιν ἱστορίαν παραδιδόντα λέγειν· « Καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτὸν, καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν· » οἱ δὲ καὶ διάφορον ἀποφαίνοντες τὴν ἱστορίαν ἣν ὁ θεσπέσιος ἀναγράφει Λουκᾶς πρὸς ἣν ὁ θεῖος ἀπαγγέλλει Μάρκος, εἰς ἑτέρας σαφηνείας ζήτησιν μετῆλθον· καὶ γάρ φασιν· Ἐνταῦθα μὲν ἐν οἰκίᾳ τε ἦν ὁ Ἰησοῦς, καὶ αὐτὸς ὁ μανθάνων τὰ θεῖα καὶ θεραπευόμενος ὄχλος, καὶ οὐδὲ φαγεῖν ἄρτον τῇ συνεχείᾳ τῆς ὀχλήσεως παρεῖχοντο καιρόν· καὶ οἱ παρ' αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτὸν, καὶ ἐλθόντες ἕως αὐτοῦ, κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν· τῆς οὖν ἱστορίας φασὶ τὸ διάφορον ἐχούσης, πῶς ἂν εἴη λέγειν περὶ τῆς αὐτῆς ὑποθέσεως ἑκάτερον διαλαμβάνειν; ἀλλ' ἔστιν εἰπεῖν πρὸς αὐτοὺς, ὡς εἰ καὶ διάφορος ἡ ἱστορία, ἀλλ' ἐκκαλύπτεται καὶ ἀναχαθαίρεται πρὸς εὐκρίνειαν διὰ τῆς ὁμολογουμένης ἡ ἀμφίβολος· δηλούσης ἐκείνης τὸ κατέχεσθαι καὶ κρατεῖσθαι ἐφ' ᾧ τε ἐγίνετο, καὶ ὅτι μὴ ἀφίστασθαι αὐτῶν καὶ ἀποχωρεῖν, καὶ ὅτι ποθοῦντες αὐτοῦ τὴν διδάσκαλον ὁμιλίαν, καὶ τῇ τῶν θαυμασίων ἔργων ἐντρυφῶντες ἀπολαύσει, ἐπενόουν τὴν κατάσχεσιν· καὶ γὰρ πολλάκις κατελίμπανε τόνδε τὸν χῶρον ὁ φιλάνθρωπος Ἰησοῦς, καὶ τοὺς διοχλοῦντας ἐν αὐτῷ τῶν ὄχλων εἰς ἑτέρους τὴν ἀπὸ διδασκαλίας καὶ θεουργίας μετάγων σωτηρίαν· πλὴν οὗτοι τὸ μὲν κρατῆσαι αὐτὸν, εἰς τὸ « ἐπισχεῖν αὐτὸν τοῦ λέγειν καὶ διδάσκειν » μεταλαμβάνουσιν· τὸ δὲ, « ἐξέστη, » πρὸς τὴν τῶν φυσικῶν δυνάμεων καὶ τῆς καθεστώσης διαθέσεως,

Diversis deprehendimus illud dictum subjectum interpretationibus : etenim licet accipere illud : « Dicebant, quoniam in furorem versus est » ab evangelista dictum pro : Dicebant » quoniam discedere ab illis vult, relinquere eos meditatur ut ad alios transmigret; et hujus patronum sensus qui eum tuiti sunt sanctum adducunt Lucam : eamdem enim dicunt historiam tradentem fari : « Et turbæ requirebant eum, et venerunt ad eum et tenuerunt eum ne discederet ab eis [88]; » qui autem et diversam pronuntiant historiam quam divinitus loquens describit Lucas ab ea quam divinus annuntiat Marcus, in alterius elucidationis inquisitionem transierunt. Etenim dicunt : Hic quidem in domo erat Jesus, et ipse discens divina et curata turba, et neque manducandi panem præ continuitate molestiæ præbebant opportunitatem : et qui juxta illum exierunt ut tenerent eum, et cum venissent usque ad eum, detinebant illum ne discederet ab ipsis : narratione igitur, aiunt, discrimen habente, quomodo poterit dici de eadem materia utrumque agere? Sed potest dici ad ipsos, etsi diversa historia, tamen revelari et declarari ad facilem intelligentiam per manifestam eam quæ ambigua sit : ostendente illa detineri et teneri in quo erat [loco], et ne desisteret ab eis et recederet, et concupiscentes ipsius magistram conversationem, et mirabilium operum delectantes fruitione [eos] meditatos esse [ejus] detentionem : etenim sæpe relinquebat hunc locum amator hominum Jesus et moleste incumbentes in eo de turbis, in alios eam [quæ] a doctrina et divina operatione [erat] transferens salutem : attamen hi illud « ut tenerent eum » pro « cohibere eum a dicendo et docendo » vertunt : illud autem « in furorem versus est » ad natura-

[88] Luc. IV, 42.

Digitized by Google

lium virium et demittentis se dispositionis, quam labores afferre solent exstasim, hanc interpretationem adducunt : diuturnitate aiunt et continuitate doctrinæ putabant qui juxta ipsum [erant] in immensum offendisse laborem, [et] vitalis toni et ingenitæ virtutis id exstasim et infirmitatem incidisse : quod enim illi experti forte erant perseverantia et perenni auditionis ac multitudinis compressione et tumultu, id expertum esse et magistrum suspicabantur : ideo et qui juxta illum [erant], aiunt, id est, qui ad ipsum familiarius dispositi [erant], exierunt ut detinerent eum quasi multam ejus curam agentes ut providentiam remissionis ejus et laborum intermissionis, ut a multitudine magistro diviso, cibum et alia necessaria quibus corpus a laboribus solvitur, præberent : exierunt autem forte e quodam apto ad quietem et tranquillitatem loco, ad quem iverant seipsos recreaturi : alter igitur sermo a priore non positus sic discernit evangelicum oraculum.

Sunt vero qui ad Judæorum pravitatem et blasphemum et indisciplinatum [habitum] respicientes, illud, « in furorem versus est, » juxta propositum audiunt, id est, mentis excessum habuit et devius a constituto factus est : etenim tale Judæorum odium in Christum, ut omnes injurias et calumnias fingere contra Salvatorem non horrerent : etenim invidia omnino et zelo furentes et ab insanientibus nihil discrepantes, et re vera ingeniti judicii summam passi exstasim, propriam passionem [affectionem] in eum qui multos a talibus morbis liberaverat, rejiciebant : ipsi enim, divina operanti, quæ super sermonem et cogitationem, id quod contra Deum est imputantes, quod Sabbatum diem salutis et miraculorum festum demonstraret, et dæmonum verbo figmentum videntes auferentem, in principe dæmoniorum blasphemantes ipsum ejicere dæmonia, non continentiam et patientiam docentis et curantis turbas non modo non ducebant audax mentis exstasim insimulare et blasphemorum verborum testes facere, violentas in eum et audaces intendentes manus : at ita quidem isti dicunt nihil sententiæ ipsorum repugnare, neque illud, exierunt qui juxta illum [erant] ut tenerent eum : etenim neque putatitii fratres ipsimet erga eum familiariter et pio sensu dispositi erant : sed et illi scandalizabantur, Judaicam vesaniam ex illorum conversatione et convictu non expurgantes, multas sæpius in principio præbentes ansas erga eum diffidentiæ : et nihilo præ aliis Judæis meliorem dispositionem demonstrare, etsi post hæc martyrii certaminibus seipsos recuperarint : et Jesu divinitatem quam prius neque lingua admittebant, sanguine et immolationibus omnimodis prædicaverint. Ego vero scandalizari quidem putatitios fratres in Salvatore et non Deo dignam opinionem in principio habere de illo, propter indumentum carnis et supra sensum condescendentiam Verbi cum

A ἦν οἱ κόποι προξενεῖν εἰώθασιν ἔκστασιν, τοιαύτην ἑρμηνείαν προσάγουσι. Τῷ χρόνῳ, φασὶ, καὶ τῇ συνεχείᾳ τῆς διδασκαλίας ἐνόμιζον οἱ παρ' αὐτοῦ εἰς ἄμετρον καταντήσαντα κόπον, τοῦ ζωτικοῦ τόνου καὶ τῆς ἐμφύτου δυνάμεως εἰς ἔκστασίν τε καὶ ἀσθένειαν ἐμπεσεῖν· ὅπερ γὰρ ἐκεῖνοι πεπονθότες ἴσως ἐτύγχανον τῇ ἐπιμονῇ καὶ τῷ ἀενάῳ τῆς ἀκροάσεως καὶ τῇ τοῦ πλήθους συνωθήσει καὶ τῷ θορύβῳ, τοῦτο παθεῖν καὶ τὸν διδάσκαλον ὑπετόπαζον· διὸ καὶ οἱ παρ' αὐτοῦ φασιν, τουτέστιν οἱ πρὸς αὐτὸν οἰκειότερον διακείμενοι· Ἐξῆλθον κατασχεῖν αὐτὸν ὡς πολλὴν αὐτοῦ τὴν κηδεμονίαν ἔχοντες καὶ πρόνοιαν τῆς ἀνέσεως αὐτοῦ καὶ τῆς τῶν κόπων διαλύσεως, ὡς ἂν τοῦ πλήθους τὸν διδάσκαλον διαστήσαντες, τροφῆς τε καὶ
B τῆς ἄλλης ἐπιμελείας, δι' ὧν τὸ σῶμα καμάτων ἀπαλλάττεται, μεταδώσουσιν· ἐξῆλθον δὲ ἴσως ἀπό τινος ἐπιτηδείου πρὸς ἀνάπαυσιν καὶ ἡσυχίαν τόπου, ἐν ᾧ ἀπῆλθον ἑαυτοὺς ἀνακτήσασθαι· ὁ μὲν οὖν δεύτερος λόγος τῷ προτέρῳ μὴ τιθέμενος, οὕτω βούλεται διευκρινεῖν τὸ εὐαγγελικὸν λόγιον.

Εἰσὶ δὲ οἱ πρὸς τὴν τῶν Ἰουδαίων μοχθηρίαν καὶ τὸ βλάσφημόν τε καὶ κακόσχολον ἀποβλέψαντες τὸ, « ἐξέστη, » κατὰ τὸ πρόχειρον ἐξακούουσι, τουτέστι, τῶν φρενῶν ἔκστασιν ἔσχε καὶ παράφορος τοῦ καθεστῶτος ἐγένετο· καὶ γὰρ τοιοῦτον τῶν Ἰουδαίων τὸ μισόχριστον, πάσας ὕβρεις καὶ διαβολὰς ἀναπλάττειν κατὰ τοῦ Σωτῆρος οὐ φρίττοντες· τῷ γὰρ φθόνῳ διὰ παντὸς καὶ τῇ βασκανίᾳ ἀνοιστρούμενοι, καὶ μεμηνότων οὐδὲν διαφέροντες, καὶ ὡς ἀληθῶς τοῦ ἐμ
C φύτου κριτηρίου τὴν ἐσχάτην ὑποστάντες ἔκστασιν, τὸ οἰκεῖον πάθος εἰς τὸν πολλοὺς τῶν τοιούτων νοσημάτων ἀπαλλάξαντα, ἐναπέῤῥιπτον· οἱ γὰρ θεουργοῦντι τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν τὸ ἀντίθεον ἐπιφημίζοντες, διότι τὸ Σάββατον ἡμέραν σωτηρίας καὶ θαυμάτων ἑορτὴν ἐπεδείκνυτο, καὶ δαιμόνων λόγῳ τὸ πλάσμα βλέποντες ἀπαλλάττοντα, ἐν τῷ ἄρχοντι τῶν δαιμονίων βλασφημοῦντες αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια, οὐδὲ τὴν καρτερίαν καὶ τὴν ὑπομονὴν διδάσκοντος καὶ θεραπεύοντος τοὺς ὄχλους, οὐμενοῦν οὐχ ἡγοῦντο τολμηρὸν φρενῶν ἔκστασιν κατηγορεῖν, καὶ τῶν βλασφήμων ῥημάτων μάρτυρας ποιεῖν, τὰς ὑβριστικὰς αὐτῷ καὶ θρασείας ἐπανατεινόμενοι χεῖρας· ἀλλ' οὕτω μὲν οὗτοί φασι μηδὲν τῇ δόξῃ αὐτῶν
D διαμάχεσθαι, μηδὲ τὸ, Ἐξῆλθον οἱ παρ' αὐτοῦ κρατῆσαι αὐτόν· καὶ γὰρ οὐδ' οἱ νομιζόμενοι ἀδελφοὶ οὐδ' αὐτοὶ πρὸς αὐτὸν οἰκείως καὶ εὐσεβοφρόνως διέκειντο· ἀλλὰ κἀκεῖνοι ἐσκανδαλίζοντο, Ἰουδαϊκῆς ἀγνωμοσύνης ἐκ τῆς πρὸς αὐτοὺς ἀναστροφῆς καὶ διαίτης οὐ καθαρεύοντες, πολλὰς πολλάκις κατ' ἀρχὰς παρασχόντες λαβὰς τῆς εἰς αὐτὸν ἀπιστίας· καὶ μηδὲν τῶν ἄλλων Ἰουδαίων ἄμεινον τὴν διάθεσιν ἐπιδείκνυσθαι, εἰ καὶ μετὰ ταῦτα μαρτυρικοῖς ἆθλοις ἑαυτοὺς ἀνεκαλέσαντο· καὶ τὴν Ἰησοῦ θεότητα ἣν πρότερον οὐδὲ γλώσσῃ παρεδέχοντο, αἵματι καὶ σφαγαῖς πᾶσιν ἀνεκήρυξαν. Ἐγὼ δὲ σκανδαλίζεσθαι μὲν τοὺς νομισθέντας ἀδελφοὺς παρὰ τοῦ Σωτῆρος, καὶ μὴ θεοπρεπῆ τὴν ὑπόληψιν κατ' ἀρχὰς ἔχειν περὶ αὐτοῦ, διά τε τὸ πρόβλημα τῆς σαρκὸς καὶ τῆς

Digitized by Google

ὑπὲρ νοῦν συγκαταβάσεως τοῦ λόγου, τῷ παραδόξῳ καὶ μεγέθει μὴ δύνασθαι συνεπαίρειν καὶ συνανυψοῦν τὴν διάνοιαν, τῶν σεβασμίων με τοῦτο Λογίων διδασκόντων, οὐκ ἀμαθής εἰμι· ὅτι δὲ μέχρι τούτου προῆλθον μοχθηρίας, ὡς καὶ δαιμονᾶν καὶ ἐξεστάναι καὶ φρενῶν ἀρρωστίαν αὐτοῦ κατηγορεῖν, οὐχ ὁμοίως τίθεσθαι οὐδὲ συγχωρεῖν οἷός τέ εἰμι.

A extraordinario et magnitudine non posse simul attollere et sublevare cogitationem, venerandis me hoc oraculis docentibus, non ignarus sum : quod autem usque eo progressi sint nequitiæ, ut et a dæmone agi et in furorem versum esse et mentes infirmum eum esse insimularint, non pariter ponere nec concedere par sum.

ΕΡΩΤΗΣΙΣ ΝΑ'.

Διατὶ τὸν παράδεισον ἐφύτευσεν ὁ Θεὸς, μέλλων εὐθὺς ἐκβάλλειν τὸν Ἀδὰμ ἐξ αὐτοῦ;

QUÆSTIO LI [*al.* L].

Quare paradisum plantavit Deus, Adamum statim inde expulsurus?

Edita a Maio, l. c., p. 35-55.

Τῶν μὲν ἀπορρήτων καὶ κρειττόνων ἢ ζητεῖσθαι καὶ καταλαμβάνεσθαι, Παύλῳ μὲν καὶ τοῖς κατὰ Παῦλον πρὸς τὴν θεωρίαν ἀνατείνεσθαι· οὔτε ἀδύνατον γέγονεν οὔτε σφαλερόν· ὅσοι δὲ τῷ σαρκίῳ καὶ τῶν αὐτοῦ θελημάτων τῷ βάρει συγκαθελκόμεθα, οὐδ' ἄλλων ἡμῖν χεῖρα φιλάνθρωπον καὶ χειραγωγὸν προτεινόντων, ἀσφαλῆ δυνάμεθα τὴν ἄγουσαν τρίβον πρός τι ὑψηλότερον καὶ ὑπὲρ ἡμᾶς ποιήσασθαι. Ταύτῃ τοι καὶ ἡ παραίνεσις, « Καλεπώτερά σου μὴ ζήτει, φησὶ, καὶ ἰσχυρώτερά σου μὴ ἐξέταζε· » πλὴν ἐπείπερ ἡ πηγὴ τῆς σοφίας καὶ τῆς ἀγαθότητος, φιλανθρώποις ἡμᾶς ὑποσχέσεσι δεξιουμένη, « Αἰτεῖτε, παρεκελεύσατο, καὶ δοθήσεται ὑμῖν· κρούετε, καὶ ἀνοιγήσεται, » ταύτῃ τῇ ἐπαγγελίᾳ τῆς ἐνυποστάτου ἀληθείας πεποιθότες καὶ κρούσαντες καὶ αἰτήσαντες, εἰ δὲ δέδοται καὶ ἠνέῳκται, δηλώσει ὁ λόγος. Φαμὲν ὡς ὁ Θεὸς ἐφύτευσε τὸν παράδεισον, οὐ τὸν Ἀδὰμ ἐκεῖθεν εὐθὺς μέλλων ἐλαύνειν· οὐδὲ γὰρ οὐδ' ἔμελλεν οὐδ' ἔθετο σκοπὸν χερσὶ διαπλάττων τὸν Ἀδὰμ, καὶ παράδεισον φυτουργιῶν ὑπερόριον εὐθὺς ἐκεῖθεν ποιεῖν, καὶ τῆς ἀφορισθείσης αὐτῷ μακαρίας διαγωγῆς· ἀλλ' ἐκεῖνος τὸν νόμον τῆς ἐντολῆς εἰς ἀθέτησιν λύσας, καὶ τὴν ἄλλην εὐφροσύνην εἰς λύπην μετήνεγκεν, καὶ τοῦ παραδείσου τὴν ἐκβολὴν συνεισήνεγκεν· ἐπεὶ ὥσπερ θάνατον ὁ Θεὸς οὐκ ἐποίησεν, ἀλλ' ἐν ἀῤῥαβῶνι τῆς ἀθανασίας τὸν ἄνθρωπον ἐπλαστούργησεν, οὕτως οὐδὲ τοῦ ἱεροῦ χωρίου, οὐδὲ τῆς μακαρίας αὐτὸν τρυφῆς ὑπερώρισεν· ἀλλ' αὐτὸς ὁ τοῦ παραδείσου πρῶτος πολίτης, τῇ συμβουλῇ τοῦ ὄφεως, τῆς ἐντολῆς προτιμήσας τὴν παράβασιν, ἑαυτῷ καὶ τὸν θάνατον καὶ τὴν ἐκβολὴν τοῦ παραδείσου κατειργάσατο.

B Ineffabilium quidem et excellentiorum quam ut inquirantur et comprehendantur, Paulo et similibus Pauli ad contemplationem attolli, non impossibile fuit neque lubricum : quicunque autem carne et ejus voluntatum pondere simul deorsum trahimur, ne aliis quidem nobis manum benevolam et ductricem protendentibus, securam possumus ducentem semitam ad aliquid sublimius et quod supra nos sit facere. Quare certe et admonitio, « difficiliora te ne quæsieris, ait [Scriptura], et fortiora te ne vestiga[86] : » sed quoniam fons sapientiæ et bonitatis, benignis nos promissionibus [quasi] dextra excipiens, « petite, » hortatus est, « et dabitur vobis, pulsate, et aperietur[87], » hac annuntiatione insubstantiatæ veritatis confisi et pulsavimus et petiimus, num vero datum et apertum sit, demonstrabit C sermo. Dicimus a Deo plantatum esse paradisum, non Adam inde statim ejecturo ; non enim debuit nec potuit scopum manibus effingens Adam et paradisum plantans extorrem statim inde facere, et a destinata illi beata conversatione : at ille lege præcepti in destitutionem soluta, et reliquam voluptatem in tristitiam transtulit et e paradiso ejectionem simul introduxit, quia sicut mortem Deus non fecit, sed in arrha immortalitatis hominem finxit, sic nec e sacro loco, nec ex beatis ipsum deliciis exterminavit : sed ipse paradisi primus civis, consilio serpentis, præcepto anteposita transgressione sibi et mortem et ejectionem e paradiso operatus est. D

Δεύτερον δὲ οὐδ' εἴωθε τὸ Θεῖον τὰ τῶν ἀνθρώπων παρορᾶν πλημμελήματα, τὸν εἰς αὐτοὺς τῆς εὐεργεσίας πλοῦτον καὶ τὰς δωρεὰς ἀναστέλλειν· οὐδ' ἐθέλει τῶν πλημμελημάτων λαμβάνειν τὴν δίκην, ὔπω τοῦ τολμήματος εἰς ἔργον προεληλυθότος· οὕτω καὶ τῶν ἀσωμάτων δυνάμεων τὸν ἀποστάντα τῆς αὐτοῦ προνοίας καὶ ἀγαθότητος εἰδὼς, καὶ τὴν συναποστᾶσαν αὐτῷ μερίδα ὅμως προήνεγκεν ἀγαθότητι, καὶ δημιουργεῖ μὲν ὡς ἐωσφόρον τὸν ἀποστάτην, μηδαμῶς μὲν ἐξ ὧν ὕστερον τὸν τῆς ἀγνωμοσύνης ὑπέδυ ζόφον, μήτε τῆς δημιουργίας ἀποστερήσας, μήτε τῆς λαμπρότητος· ἀποστάντα δὲ καὶ ὡς ἀστραπὴν τοῦ οὐρανοῦ πεσόντα ἰδὼν, τὴν δίκην ἀφῆκεν εἰσ-

Secundo autem non solet divinum [Numen] hominum despicere negligentias, in eos beneficentiæ divitias et dona inhibere ; nec volebat negligentiarum sumere pœnam, nondum ausu in factum progresso : ita et ab incorporalium virtute apostatam ipsius providentiæ et bonitatis sciens, et complicem ejus apostasiæ partem tamen protulit ex bonitate, et creat quidem ut luciferum apostatam, nullo modo eo quod deinceps in ingrati animi irruit tenebras, neque creatione privans, neque fulgore : apostatam autem et quasi fulgur cœli cadentem videns, pœnam dimisit irrogari extollentiæ : ea Creatoris circa creaturas œconomia et discretio.

[86] Matth. VII, 7. [87] Eccli. III, 22.

Digitized by Google

Ideo etsi peccaturus erat Adam et expellendus paradiso, nihilominus decebat Creatoris bonitatem et rationale animal constituere hominem, et paradisum in quo conversans beatus erat, at non pulcherrimum terrenorum operum inhibere propter Adam transgressionem, et transgressionis effectum : etenim semper divinum [Numen], quod ipsius [est], facit perenniter scaturire fluenta indulgentiæ et bonitatis, peccati vero audacis vindictam adducit : insanabilem a delicto plagam et vulnera manere et hominem non sinens absumi : et nunc prævisa est quidem transgressio, prævisa est et ejectio : pulcherrimum vero terrenorum artificium operum paradisus ad insubsistentiam per Adam non remissum est : idcirco et producit hunc Deus, et Adam in jucundam restituit sortem, transgressum vero manere adhuc et deliciis frui quibus fruitus esset legem servans, justitiæ non permisit incorruptio. Tertio vero etsi plasmatum Adam in paradiso locavit, non tamen hunc quidem solum tale ac tantum statuit artificium, per omnes vero nihil minus, si non et magis qui ex Adam, quicunque supervenustum et speciosum figmentum Adam et divinæ imaginis intemeratum et indeletum [typum] servaverunt : quomodo ergo erat bonum, quomodo sapiens propter unum transgressum, et tum neque ipsum posteris temporibus communi privatum fruitione, tantam multitudinem privare paradiso, sanctum illum locum non creantem neque [illi] præsidentem?

A πράττεσθαι τῆς ἐπάρσεως· τοιαύτη τοῦ Δημιουργοῦ ἡ περὶ τὰ δημιουργήματα οἰκονομία καὶ διάκρισις. Διὸ κἂν ἔμελλεν ὁ Ἀδὰμ ἁμαρτάνειν καὶ ἐκβάλλεσθαι τοῦ παραδείσου, οὐδὲν ἧττον ἔπρεπε τῇ τοῦ Δημιουργοῦ ἀγαθότητι καὶ λογικὸν ζῶον ὑποστῆσαι τὸν ἄνθρωπον, καὶ τὸν παράδεισον ἐν ᾧ διαιτώμενος ἐμακαρίζετο, ἀλλὰ μὴ τὸ κάλλιστον τῶν ἐπιγείων ἔργων ἐπισχεῖν διὰ τὴν τοῦ Ἀδὰμ παράβασίν τε καὶ τῆς παραβάσεως εἴσπραξιν· καὶ γὰρ ἀεὶ τὸ Θεῖον τὸ ἑαυτοῦ ποιεῖ ἀεννάως μὲν βρύειν τὰ νάματα τῆς χρηστότητος καὶ τῆς ἀγαθότητος, τῆς ἁμαρτίας δὲ τολμωμένης τὴν τιμωρίαν ἐπάγει· ἀνίατον τὴν ἀπὸ τοῦ πλημμελήματος πληγὴν καὶ τὰ τραύματα διαμένειν καὶ τὸν ἄνθρωπον οὐκ ἀνεχόμενον κατανέμεσθαι· καὶ νῦν προεωρᾶτο μὲν ἡ παράβασις, προεωρᾶτο δὲ ἡ ἐκβολή· τὸ B δὲ κάλλιστον τῶν ἐπιγείων φιλοτέχνημα ἔργων ὁ παράδεισος πρὸς ἀνυπαρξίαν διὰ τὸν Ἀδὰμ οὐκ ἀνεστέλλετο· διὸ καὶ προάγει τοῦτον ὁ Θεὸς, καὶ τὸν Ἀδὰμ εἰς τερπνὴν ἀποκαθίστησι δίαιταν, παραβεβηκότα δὲ μένειν ἔτι καὶ τρυφῆς ἀπολαύειν ἧς ἀπήλαυεν ἂν νομοφυλακῶν, τῆς δικαιοσύνης οὐκ ἐπέτρεπε τὸ ἀδέκαστον. Τρίτον δὲ εἰ καὶ πλαστουργήσας τὸν Ἀδὰμ τῷ παραδείσῳ κατῴκισεν, ἀλλ' οὐδ' ἐκεῖνον μὲν μόνον τὸ τοιοῦτον καὶ τηλικοῦτον ὑπεστήσατο φιλοτέχνημα, διὰ πάντας δὲ οὐδὲ ἔλαττον, εἰ μὴ καὶ μᾶλλον τοὺς ἐξ Ἀδὰμ, ὅσοι τὴν ὑπερκαλλῆ καὶ ὡραίαν διάπλασιν τοῦ Ἀδὰμ καὶ τῆς θείας εἰκόνος τὸ ἀνύβριστόν τε καὶ ἀπαραχάρακτον διεσώσαντο· ποῦ τοίνυν ἦν καλόν; ποῦ δὲ σοφὸν δι' ἕνα παραβεβηκότα, καὶ τότε μηδ' αὐτὸν ὑστέροις χρόνοις τῆς ἀποστερεῖν τοῦ παραδείσου, τὸ ἱερὸν ἐκεῖνο χωρίον κοινῆς ἀποστερούμενον ἀπολαύσεως, τοσοῦτον πλῆθος μὴ δημιουργοῦντα μηδὲ προάγοντα;

Ad hæc autem neque istud omittendum : oportebat Adam actionis cujusdam et operationis protoplasten non injuria afficientis curam habere, ne pigrum foret et ininteiligens rationale animal homo. Hanc autem bene dirigentem coronas et gloriam, negligentem vero pœnam et ignominiam consequi : inclinatum autem ad levius pœna secuta est : non igitur eosdem quis proferret sermones, quos et de paradiso et de ejectione : et cujus gratia inquiret et litigabit, coronæ plectebantur et parabantur : si vero hoc nondum paradisus, et Adam et exterminium rationem exigitur. Sed de omnibus quorum proventum benigna et creatrix bonitas elegisset promittere, iisdem, etsi non fateantur qui illorum rationem exigunt, subjicerent quæstionibus Creatoris non contenti sapientia. Inspicere autem licet et istud : Quanam certe Adam cognovisset post peccatum sensu discreta fruitione se privatum, non paradisi conversatione extorris factus? hac autem agnitione destitutum, quomodo eum tenuissent mœrores ac dolores? nulla autem tangente et premente earum rerum quæ mœstitiam afferunt, undenam cognovisset magnitudinem delicti? quomodo vero pœnitens factus esset et divinam benevolentiam deprecatus esset, ut ne venia et remissione omnino et in ævum destitueretur?

C Πρὸς τούτοις δὲ μηδὲ τοῦτο παροπτέον· ἔδει τὸν Ἀδὰμ πράξεώς τινος καὶ ἐνεργείας τὸν πρωτόπλαστον οὐχ ὑβριζούσης ἐπιμέλειαν ἔχειν, ἵνα μὴ ἀργὸν εἴη καὶ ἀδιανόητον τὸ λογικὸν ζῶον ὁ ἄνθρωπος. Ταύτην δὲ κατορθοῦντι στεφάνους καὶ δόξαν, καταμελοῦντι δὲ τιμωρίαν καὶ ἀδοξίαν ἕπεσθαι· ῥέψαντα δὲ πρὸς τὸ ῥᾷστον ἡ κόλασις ἠκολούθησεν· οὐκοῦν τοὺς αὐτοὺς ἂν τις προβάλλοιτο λόγους, οὓς καὶ περὶ τοῦ παραδείσου καὶ περὶ τῆς ἐκβολῆς· καὶ τίνος χάριν ἐπιζητήσει καὶ ζυγομαχήσει, οἱ στέφανοί ἐπλέκοντό τε καὶ ῥύτρεπίζοντο· εἰ δὲ τοῦτο οὐκ ἔτι παράδεισος, καὶ Ἀδὰμ καὶ ὑπερορία λογοθετεῖται. Ἀλλὰ κατὰ παντὸς οὗπερ ἂν τὴν προαγωγὴν ἡ φιλάνθρωπος καὶ δημιουργικὴ ἀγαθότης προείλετο ὑποστήσασθαι, ταῖς αὐταῖς κἂν μὴ ὁμολογῶσιν οἱ D ἐκεῖνα λογοθετοῦντες, ὑπέβαλλον ἂν πολυπραγμοσύναις τῇ τοῦ δημιουργήσαντος μὴ συναρεσκόμενοι σοφίᾳ. Ἐπισκοπεῖν δ' ἔξεστι καὶ τοῦτο. Τίνος γὰρ ἂν ὁ Ἀδὰμ ἔγνω μετὰ τὴν ἁμαρτίαν αἰσθήσει κρινομένης ἀπολαύσεως, ἐστερημένος, μὴ τῆς τοῦ παραδείσου διαγωγῆς ὑπερόριος γεγενημένος; ταύτην δὲ τὴν ἐπίγνωσιν ἐστερημένος, πῶς ἂν αὐτὸν συνέσχον λύπαι καὶ ὀδύναι; μηδενὸς δὲ πλήττοντος καὶ συνολίβοντος τῶν παραλυπούντων, πόθεν ἂν ἐπέγνω τὸ μέγεθος τοῦ ἁμαρτηθέντος; πῶς δ' ἂν τῆς μετανοίας ἐγένετο, καὶ τὴν θείαν εὐμένειαν ἐδυσώπησεν, ὥστε μὴ τῆς συγγνώμης αὐτῷ καὶ τῆς ἀφέσεως εἰς τὸ παντελὲς καὶ δι' αἰῶνος ἀποστερηθῆναι;

Digitized by Google

Εἰ δὲ καὶ τοῦτό τις ἐπιλογίσασθαι βούλοιτο, ὡς διὰ τοῦτο τὸν παράδεισον ὑπέστησε, καίπερ μέλλοντος τοῦ Ἀδὰμ καὶ ἁμαρτάνειν καὶ ἐξ αὐτοῦ ἀπελαύνεσθαι, ἵνα μὴ δόξῃ θνητὸν ἀπ' ἀρχῆς πλαστουργῆσαι τὸν ἄνθρωπον, ἐπιτήδειον πρὸς ἀθανασίαν χωρίον, καὶ λύπης καὶ κόπων καὶ ἀκανθῶν καὶ ἱδρώτων ἐλεύθερον, μηδόλως ὑποστησάμενος, ἀλλ' ἵνα πάντα καὶ τὰ πραττόμενα καὶ τὰ οἰκονομούμενα δείξῃ πρέποντα αὐτῷ καὶ τῆς ἀπορρήτου προνοίας τὴν σοφίαν ἀνακηρύττοντα· καὶ μὴν καὶ δι' ἑνὸς τῶν ὑλικῶν κτισμάτων ἔργῳ προδιατυπῶν τε καὶ προαγγέλλων ὡς ἅπασα ἡ κτίσις κατὰ τὴν δευτέραν αὐτοῦ καὶ φρικτὴν παρουσίαν εἰς ἀμείνω μεταλλάξει λῆξιν, οὐδὲν τῆς ἐνύλου ἀνεπιτηδειότητος ἐναντιουμένης τῷ δημιουργικῷ καὶ θείῳ βουλήματι· καὶ γὰρ πρὸς τὸ κρεῖττον ἀνακαινισθήσεσθαι τὸν οὐρανὸν καὶ γῆν ὁ κορυφαῖος τῶν μαθητῶν ἡμᾶς ἐξεδίδαξε, τῇ τοῦ διδασκάλου ἐπαγγελίᾳ τὸ ἀψευδὲς διδασκαλίας διαβεβαιούμενος· οὐδὲ ταῦτα ἂν εἴη ταῦτα πόῤῥῳ θεοφιλοῦς ὑπολήψεως. Ἄλλως τε δὲ οὐδὲ τὸ κάλλιστον ἔδει τῶν ἐπιγείων ἔργων πάντων ἔσχατον δημιουργηθῆναι, ἀλλὰ καὶ αὐτὸ κατ' ἀρχὰς τῇ ὁλοκληρίᾳ τῆς κτίσεως συγκαταβληθῆναι· τὸ μὲν γὰρ εἰς δημιουργίαν προελθεῖν, ἀναγκαῖον ἦν, ἐπείπερ ἔδει τοῖς κατὰ δαιμόνων καὶ παθῶν ἀριστεύσασι δίαιταν καὶ κλῆρον ἐξαίρετον ἀπονεμηθῆναι· τὸ δὲ θεῖον εἰωθὲν ἀεὶ τὰς ἀντιμισθίας προτίθεσθαι καὶ προκαταβάλλειν· « Δεῦτε γάρ, φησὶν, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. » Οὐκοῦν ἔδει καὶ τὸν παράδεισον εἴτε θᾶττον ἔμελλεν ὁ προπάτωρ ἡμῶν ἐκβάλλεσθαι αὐτοῦ, εἴτε μὴ, προκαταβληθῆναι μὲν τῶν ἀγωνιστῶν καὶ τῶν ἀγωνισμάτων ὧν καὶ ἔπαθλον ὤφθη, συγκαταβληθῆναι δὲ τῇ κοσμογενείᾳ, ἵνα μὴ νομισθῇ ἔργον ὑστεροβουλίας καὶ μεταμελείας γεγονέναι, ἀλλὰ τῆς ἀπ' ἀρχῆς πάντα σοφῶς ὑποστησαμένης κρίσεώς τε καὶ ἀγαθότητος.

A Si autem et istud quis cogitare velit, ab eo idcirco paradisum constitutum esse licet et peccaturus Adam et ex eo pellendus esset, ne videretur mortalem a principio finxisse hominem, aptum ad immortalitatem locum, et mœroris ac laborum et spinarum et sudorum immunem, nullo modo pollicitus, sed ut cuncta et facta et gubernata ostenderet convenientia ipsi et ineffabilis providentiæ sapientiam prædicantia : et vero per unam materialium creaturarum facto præfigurans et prænuntians totam creationem ad secundam ejus et tremendam præsentiam in meliorem se mutaturum sortem, nihil materiali ineptitudine obstante creatrici et divinæ voluntati : etenim in melius renovandum esse cœlum et terram coryphæus discipulorum B nos docuit, magistri promissione veritatem doctrinæ firmans : neque hæc essent procul a Deum amante sensu. Aliter vero neque pulcherrimum oportebat terrenorum operum omnium ultimum creari, sed et ipsum a principio cum universitate creationis simul dejici : etenim in creationem progredi, necesse erat, quia oportebat contra dæmones et passiones feliciter congressis conversationem et sortem electam distribui : divinum autem [Numen] solet semper retributiones proponere et projicere : « Venite enim, ait [Scriptura], benedicti Patris mei, hæreditate possidete paratum vobis regnum a constitutione mundi [88] : » igitur oportebat quoque paradisum, sive citius protoparens noster ejiciendus C esset ex eo, sive non, proponi quidem luctantibus et luctaminibus quorum et præmium visum est, constitui vero una cum mundi origine, ne reputaretur opus sequioris consilii et pœnitentiæ fuisse, sed a principio cuncta sapienter constituentis judicii et bonitatis.

ΕΡΩΤΗΣΙΣ ΝΒ'.

Τοῦ θεσπεσίου Παύλου παραινοῦντος· « Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· » πῶς νοήσομεν τὸ, « Ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ; »

QUÆSTIO LII [*al.* LI].

Divino Paulo hortante : « Si esurierit inimicus tuus, ciba illum : si sitit, potum da illi · hoc enim faciens, carbones ignis congeres super caput ejus; quomodo intelligemus illud, « carbones ignis congeres super caput ejus ?

Edita a Maio, l. c., p. 56-8. Explanatio Rom. xii, 40.

Ἄνθρακας μὲν ὁ τῆς ἀναγωγῆς λόγος, τοὺς ἀποστόλους Κυρίου καὶ μάρτυρας ὀνομάζει, τοῦ θείου δηλονότι καθαρτηρίου καὶ πᾶσαν κακίαν φλέγοντός τε καὶ καταναλίσκοντος πυρὸς ἀναφθέντας· « Πῦρ γὰρ Θεὸς ἡμῶν, καὶ πῦρ κατανάλισκον » τὴν μοχθηρίαν. Ψάλλει δὲ καὶ ὁ Μελῳδός· « Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ, κλίναντος οὐρανοὺς καὶ καταβάντος, » καὶ οἷα γνόφον τινὰ τὰς ἀστραπὰς τῆς θεότητος περιστέλλουσαν τὴν ἡμετέραν περιβαλλομένου σάρκα. Ἄνθρακας δὲ πάλιν καλεῖ καὶ τὰς φλογιζούσας τε καὶ δαπανώσας κολαστικὰς καὶ πικρὰς βασάνους, κατὰ τὸ εἰρημένον· « Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν D Carbones quidem anagogiæ sermo, apostolos Domini et martyres vocat, divino videlicet purgatorio et omnem malitiam comburente et consumente igne accensos : « Ignis enim Deus noster, et ignis consumens [89] » nequitiam : psallit autem et Psaltes : « Carbones succensi sunt ab eo, inclinante cœlos et descendente [90] » et veluti tenebras quasdam fulgorem Deitatis circumtegentem nostram induente carnem. Carbones autem rursum vocat et ardentes et consumentes castigantes et acerbos cruciatus, juxta dictum : « Sagittæ potentis acutæ cum carbonibus desolatoriis [91], » id est dissipantibus et

[88] Matth. xxv, 34. [89] Deut. iv, 24. [90] Psal. xvii, 9. [91] Psal. cxix, 4.

Digitized by Google

vastantibus pœnis quæ desiruendi subjectum impotentem habent vim : et in aliis multis est reperire ultrices virtutes vocatas carbones. Juxta secundum igitur significatum carbones castigantes plagas et immissuras vocat, a carbonibus qui sensibilis sunt et consumentis circumterrenam materiam flammæ excandescentiæ, transferens et transvehens appellationem. Hortatur igitur esurientem quidem inimicum cibare, sitientem vero potare : id est multimodis benefacere et benignum esse : cibare namque et potare, beneficentiæ universitatem a parte describit : deinde benefaciens ait inimico et humaniter erga eum dispositus, carbones congeres super caput ejus.

A τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς, » τουτέστι ταῖς ἀφανιστικαῖς τε καὶ ἐρημοποιοῖς τιμωρίαις, αἳ καταναλίσκειν τὸν ὑπεύθυνον ἀμήχανον ἔχουσι τὴν ἰσχύν· καὶ ἐν ἄλλοις δὲ πολλοῖς ἔστιν εὑρεῖν τὰς τιμωρητικὰς δυνάμεις καλουμένας ἄνθρακας. Κατὰ τὸ δεύτερον οὖν σημαινόμενον ἄνθρακας τὰς τιμωρητικὰς πληγὰς καὶ εἰσπράξεις προσαγορεύει, ἀπὸ τῶν ἀνθράκων οἱ τῆς αἰσθητῆς εἰσι καὶ δαπανώσης τὴν περίγειον ὕλην φλογὸς ὑπεκκαύματα, μεταφέρων τε καὶ μεταβιβάζων τὴν κλῆσιν. Παρκινεῖ τοίνυν πεινῶντα μὲν τὸν ἐχθρὸν ψωμίζειν, διψῶντα δὲ ποτίζειν· τουτέστι πολυτρόπως εὐεργετεῖν τε καὶ ἀγαθύνειν· τὸ γὰρ ψωμίζειν καὶ ποτίζειν, τὸ τῆς εὐεργεσίας ὁλόκληρον ἀπὸ τοῦ μέρους ὑπογράφει· εἶτα, Εὐεργετῶν, φησὶ, τὸν ἐχθρὸν καὶ φιλανθρώπως πρὸς αὐτὸν διακείμενος, ἄνθρακας σωρεύσεις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ.

In duplicem igitur sensum illud : *Congeres* partitum, duplicem proferre et intellectum supponitur. Unum quidem, congeres, manifestaret illud, desuper coges, per quod et sequentia interpretationis dirigetur ; ex parte enim, ait, et tempore comprehensura inimicitiæ tentamina inimicum : tu quod malum pro malo non redditurus surgas, sed et beneficiis, quæ divino [Numini] nos similes efficiunt, exciplens affligentem, justum judicem et quem nihil latet præparas simul omnes congregare vindictas et pœnas contra impudens illud et imprudens caput : « Mihi enim vindicta, ego retribuam, ait Dominus[91] » : quomodo igitur humanus ? quomodo autem compatiens ? quomodo beneficus talia de hostibus ordinans et meditans et illius prosequens vindictam et castigationem ? certe quia non ipse hæc poposcit, sed ipse quidem hæc faciebat, ad servandum divinum mandatum et inimico beneficia rependendum : si vero læsa justitia exacerbavit in ultionem judicem, jam non esset excipientis providentiæ judicia erga ultionem dissimulanter se habentis et non stupentis ac laudantis judicis incorruptionem. Bene facere equidem et quærere simul ulcisci de inimico, incompatibile et mentis confusæ et ad utrumque contrariorum inclinate se habentis et in vanitatem solventis lucrum recte facti : Benefactum vero immemori injuriæ sensus et compassione erga ejusdem generis hominem ? Et propter præceptum et propter similitudinis zelum cum Patre nostro qui in cœlis [est], tendentis est ad perfectionem virtutis : et non iste libenter castigationem contemplatus esset inimici, nedum quid sumere quærat; Deo autem judicante et rationes exigente ab eo qui injuriam intulit, ejusdem esset et erga Deum pietatis non rationes exigere a judice, nec erga judicium stomachari.

B Εἰς διπλῆν οὖν σημασίαν τὸ *Σωρεύσεις* μεριζόμενον, διπλῆν προάγειν καὶ τὴν διάνοιαν ὑποτίθεται. Ἓν μὲν τὸ, σωρεύσεις, δηλώσειεν ἂν τὸ, ἐπισυνάξεις, δι' οὗ καὶ τὸ ἑπαγόμενον τῆς ἑρμηνείας κατευθύνεται· τὰ κατὰ μέρος γάρ φησι καὶ χρόνῳ μέλλοντα καταλαμβάνειν τῆς ἀπεχθείας ἐπίχειρα τὸν ἐχθρόν· Σὺ δι' ὧν κακὸν ἀντὶ κακοῦ ἀνταποδοῦναι μὴ διανέστης, ἀλλὰ καὶ εὐεργεσίας, αἳ πρὸς τὸ Θεῖον ἡμᾶς ἀφομοιοῦσι, δεξιωσάμενος τὸν λελυπηκότα, τὸν δίκαιον κριτὴν καὶ ἀλάθητον παρασκευάζεις ἅμα πάσας ἐπισωρεῦσαι τὰς τιμωρίας καὶ ποινὰς κατὰ τῆς ἀλαζόνος ἐκείνης καὶ ἀγνώμονος κεφαλῆς· « Ἐμοὶ γὰρ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος· » πῶς οὖν φιλάνθρωπος; πῶς δὲ συμπαθής; πῶς δὲ εὐεργέτης ὁ ταῦτα περὶ τῶν ἐχθρῶν μεθοδεύων καὶ πραγματευόμενος καὶ τὴν ἐκείνου φιλανθρωπευόμενος τιμωρίαν καὶ κόλασιν; ἢ ὅτι οὐκ αὐτὸς ταῦτα ἠτήσατο, ἀλλ' αὐτὸς μὲν ταῦτα ἔπραττεν, ὥστε συντηρῆσαι τὴν θείαν ἐντολὴν καὶ τὸν ἐχθρὸν εὐεργεσίαις ἀμείψασθαι· εἰ δὲ τὸ ὑποκρινόμενον δίκαιον παρώξυνεν εἰς ἐκδίκησιν τὸν κριτὴν, οὐκ ἔτι ἂν εἴη ἀποδεχομένου τῆς προνοίας τὰ κρίματα τοῦ πρὸς τὴν ἐκδίκησιν ἀκκιζομένου καὶ μὴ τεθηπότος τε καὶ ἀνυμνοῦντος τοῦ κριτοῦ τὸ ἀδέκαστον. Τὸ μὲν εὐεργετεῖν καὶ ζητεῖν ἅμα τιμωρίαν λαβεῖν παρὰ τοῦ ἐχθροῦ, ἀσύμβατόν τε καὶ φρενὸς συγκεχυμένης καὶ πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιῤῥεπῶς ἐχούσης, καὶ πρὸς ματαιότητα διαλυούσης τὸ κέρδος τοῦ κατορθώματος· τὸ δὲ τὴν εὐεργεσίαν τῷ ἀμνησικάκῳ τῆς γνώμης καὶ τῇ συμπαθείᾳ τοῦ ὁμοφυοῦς, καὶ διὰ τὴν ἐντολὴν καὶ διὰ τὸ ὁμοιωθῆναι τῷ Πατρὶ ἡμῶν τῷ ἐν τοῖς οὐρανοῖς, τοῦ φθάσαντός ἐστιν εἰς τὸ τέλειον τῆς ἀρετῆς· καὶ οὐκ ἂν οὕτος ἡδέως τιμωρίαν θεάσαιτο τοῦ ἐχθροῦ, μή τι γε λαβεῖν ἐπιζητήσει· Θεοῦ δὲ κρίνοντος καὶ τὰς εὐθύνας ἀπαιτοῦντος τὸν ἠδικηκότα, τῆς αὐτῆς ἂν εἴη φρενὸς καὶ θεοσεβείας μὴ λογοθετεῖν τὸν κριτὴν, μηδὲ πρὸς τὴν κρίσιν δυσχεραίνειν.

Alterum igitur illius, *congeres*, significatum ac talem nos theoriam transmittit : reliquum vero quod significat, *congeres*, et *detrahes*, et *liberabis a carbonibus odientis caput*, talem verborum vim ostenderit forte ; benefaciens, ait, et bona retribuens inimico, depascentes carbones et citius absumpturos

Τὸ μὲν οὖν ἕτερον τοῦ, *Σωρεύσεις*, σημαινόμενον πρὸς τοιαύτην ἡμᾶς θεωρίαν παραπέμπει· τὸ δὲ λοιπὸν δ σημαίνει, τὸ, *ἐπισυνάξεις*, καὶ *περιέλοις*, καὶ *ἀπαλλάξεις τῶν ἀνθράκων τὴν τοῦ μισοῦντος κεφαλὴν*, τοιαύτην ἂν τὴν τῶν ῥημάτων δύναμιν ὑποδηλώσῃ· Εὐεργετῶν, φησὶ καὶ ἀγαθύνων τὸν

[91] Rom. XII, 19.

Digitized by Google

ἐχθρὸν, τοὺς κατανεμομένους ἄνθρακας καὶ θᾶττον ἂν διαφθεροῦντας αὐτοῦ τὴν κεφαλὴν, ἂν μή τις αὐτοῦ ἀφαιρήσηται καὶ τὴν ἀπαλλαγὴν μεθοδεύσῃ, μέγα τὸ κέρδος καὶ ψυχικῆς σωτηρίας πρόξενον εὑρήσει. Ἀνακαλούμενος γὰρ τὸν πλησίον τῆς σωματικῆς καὶ μᾶλλον διαβαινούσης εἰς τὴν ψυχὴν βλάβης καὶ ἀπωλείας πρὸς τὴν τοῦ Δεσπότου μίμησίν τε καὶ ὁμοίωσιν ἀνατρέχει· ψυχὴν γὰρ ὁ σώζων, φησὶν, ὡς ὁ κτίσας αὐτήν. Πῶς δὲ διὰ τῆς εὐεργεσίας συνάγονται καὶ ἀποσύρονται τῆς φιλαπεχθήμονος οἱ ἄνθρακες κεφαλῆς; Διότι τροφῇ καὶ ποτῷ δεξιούμενος καὶ ἁπλῶς εὐεργετούμενος ὁ ἐχθρὸς, εἰ καὶ μὴ δι' αὐτὸ τὸ καλὸν, ἀλλά γε διὰ τὴν οἰκείαν εὐπάθειαν καὶ ἀπόλαυσιν τῶν ἀγαθῶν, παύεται μὲν οὗτος τῆς ἔχθρας, ἐξίσταται δὲ τῆς ἐπιβουλῆς· καὶ κατὰ μικρὸν ἀνανήφων τοῦ πάθους, καὶ τὴν ἐν τοῖς λογισμοῖς διὰ τῆς ἔχθρας πύρωσίν τε καὶ φλεγμονὴν ἀποτιθέμενος, ἐπὶ τὸ φιλεῖν καὶ στέργειν καὶ εἰδέναι τὸν εὐεργέτην ἐλεύσεται· κἀκεῖθεν κατὰ μικρὸν ἐνεθισθεὶς γλῶσσαν φεύγειν διάβολον, καὶ οἷς ὁ πλησίον ἔργοις βλάβην ὀφίσταται, τῆς ἀρετῆς ἐραστὴς ἀποκαθίσταται. Καὶ τίς ἂν ἐπιζητήσειε τοῦ ψωμίζειν καὶ ποτίζειν τὸν ἐχθρὸν, ἀντιμισθίαν ταύτης μείζονα; τί δὲ ταύτης ἐπικερδέστερον; Εἰ δὲ μετὰ τοσαύτην εὐεργεσίαν, τῆς μοχθηρίας καὶ φαυλότητος ὁ εὐεργετούμενος οὐκ ἐθέλει μεθίστασθαι, θηρίον μὲν ἂν εἴη ὁ τοιοῦτος, ἀντὶ τοῦ μετέχειν ἀνθρωπίνης φύσεως. Σὺ δὲ οὐδὲν ὅμως ἧττον τοὺς καταθοσκομένους αὐτοῦ τὴν κεφαλὴν ἄνθρακας τῇ τε γνώμῃ καὶ τῇ σπουδῇ ἀπεσώρευσας· καὶ ἀντιμισθίαν οὐδὲν ἧττον ἔσχες· οὐδὲ τὸν χαρακτῆρα παρ' οὐδὲν παρεχάραξας, ὃς τὴν πρὸς τὸ Θεῖόν σε συνῆπτεν ὁμοίωσιν· ἐκεῖνος δὲ φέρων ὅλον ἑαυτὸν, τῷ κολαστηρίῳ καὶ ἀσβέστῳ πυρὶ ἐναπέβριψεν. Ἄνθρακες μέν τοι γε τισὶ παρελήφθησαν αἱ ζωπυροῦσαι καὶ ἀναθάλπουσαι τὸ ἡγεμονικὸν ἐργασίαι τε καὶ παραινέσεις, καὶ τὸν πολὺν τῆς ἔχθρας χειμῶνα εἰς εἰρηνικὴν γαλήνην μεταβάλλουσαί τε καὶ διαλύουσαι· οὓς φασιν ἐπισωρεύων ὁ εὐεργετῶν τῇ τοῦ δυσμενοῦς κεφαλῇ, καὶ τὴν νεκροποιὸν δι' αὐτὸν ἐλαύνων ἐχθραν, καὶ ἀναβρώννυς εἰς ἀγάπην τὸν πάσχοντα, ἐκεῖνόν τε μεγάλης καὶ ὀλεθρίας νόσου ἀπήλλαξεν, ἑαυτῷ τε τὴν ἐκεῖθεν μακαριότητα προεξένησεν.

A ejus caput, nisi quis ab eo abstulerit et liberationem paraverit, magnum emolumentum et animæ salutem procurans inveniet. Revocans enim proximum a corporeo et magis transgrediente in animam damno et perditione, ad Domini imitationem et similitudinem recurrit; animam enim salvans, ait, sicut qui creavit illam. Quomodo autem per beneficentiam congregantur et abstrahuntur ab inimico carbones capite? Quia cibo et potu donatus et simpliciter beneficio affectus inimicus, et si non per ipsum bonum, at saltem propter propriam beneficii experientiam et fruitionem bonorum, desinit quidem iste ab inimicitia, et desistit ab insidiis; et sensim resipiscens ab affectu, et eam quæ est in cogitationibus per inimicitiam inflammationem et excandescentiam deponens, ad amorem et B dilectionem et aguitionem benefactoris veniet; et inde sensim assuefactus linguam fugere conviciantem et quibus proximus factis damnum sustinet, virtutis amator constituitur. Et quisnam quærat cibandi et potandi inimicum remunerationem ista majorem? Aut quid ea utilius? Si autem post tantum beneficium, ab importunitate et vilitate beneficio affectus non vult desistere, bellua sane esset talis, nedum particeps esset humanæ naturæ; tu vero nihilo tamen minus depascentes ejus caput carbones prudentia et zelo exacervasti, et remunerationem nihilominus haberes; neque characterem ullo modo delevisti qui ad Numinis te colligavit similitudinem; ille autem ferens totum seipsum in supplicium et C inexstinguibilem ignem injecit. Carbones tamen aliquibus accepti sunt accendentes et excitantes animam operationes et admonitiones, et multam inimicitiæ procellam in pacificam quietem transferentes et dissolventes; quos, aiunt, congerens benefactor in exacerbati caput, et mortificam ita expellens inimicitiam, et corroborans in dilectionem eum qui patitur, hunc quidem magno et exitiali morbo liberavit, sibi vero eam quæ exinde est felicitatem procuravit.

ΕΡΩΤΗΣΙΣ ΝΓ'.

Πῶς νοητέον τὸ εἰρημένον παρὰ τοῦ Θεοῦ τῷ Μωσεῖ, « Ἰδοὺ δέδωκά σε θεὸν Φαραώ; »

QUÆSTIO LIII [*al.* LII].

Quomodo intelligendum dictum a Deo Moysi: « Ecce dedi te deum Pharaoni? »

Edita a Maio, l. c., p. 58. In verba Exod. VII, 1 seqq.

Ἐκ τῶν κατὰ πόδας ῥημάτων ἡ τοῦ ζητουμένου ἑρμηνεία· ἐπάγει γάρ· « Καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σοι προφήτης· σὺ δὲ λαλήσεις πάντα ὅσα ἐντέλλομαί σοι· ὁ δὲ Ἀαρὼν ἀδελφός σου λαλήσει πρὸς Φαραώ. » Ὡς οὖν ἐχρήσατο τῷ Μωσεῖ ὁ Θεὸς ὑπηρετῆσαι ταῖς κατὰ Φαραὼ καὶ Αἰγυπτίων πληγαῖς, οὕτως ἐχρήσατο Μωσῆς τῷ Ἀαρών· αὐτὸς μὲν προστάσσων ὁ παρὰ Θεοῦ προστασσόμενος· ὑπηρέτῃ δὲ χρώμενος πρὸς τὸν Φαραὼ τῷ ἀδελφῷ. Καὶ διέσωζεν ἡ πρᾶξις ἐν τῷ ἀναλόγῳ τὸ ἀπαράλλακτον· ὡς γὰρ Θεὸς πρὸς Φαραὼ διὰ μέσου Μωσέως οὕτως Μωσῆς πρὸς Φαραὼ διὰ μέσου Ἀαρὼν τὰς θεοσημείας ἐπετέλει. Ἐπέταξεν ἐν τῇ ἐρήμῳ Χωρὴβ τῷ Μωσεῖ βῦψαι τὴν ῥάβδον ὁ Θεὸς, καὶ μετεβάλλετο εἰς ὄφιν·

D Ex subjectis verbis quæsiti interpretatio [infert]; addit enim: « Et Aaron frater tuus erit tibi propheta; tu vero loqueris omnia quæcunque præcipio tibi. Aaron autem frater tuus loquetur ad Pharaonem: » Sicut igitur usus est Moyse Deus ut ministraret contra Pharaonem et Ægyptios plagas, ita usus est Moyses Aarone; ipse jubens a Deo jussus; ministro autem utens ad Pharaonem fratre. Et servavit actus in analogo omnimodam similitudinem; ut enim Deus Pharaoni per intermedium Moysen, ita Moyses Pharaoni per intermedium Aaron divina portenta mandavit. Præcepit in deserto Horeb Moysi ut projiceret virgam Deus, et in draconem lignum formatum est et simpliciter quæcunque

Digitized by Google

Moyses jubebatur signa operari, omnia Moyses proponens et in manum mittens fratri, per hunc jussa mirabiliter operans perficiebat. Ita manifestum est quid significet illud : « Ecce dedi te deum Pharaoni. »

A ἐπέτασσεν πάλιν κατὰ πρόσωπον Φαραὼ τῷ Ἀαρὼν ὁ Μωσῆς ῥίψαι τὴν ῥάβδον, καὶ εἰς δράκοντα τὸ ξύλον ἐζωοπλαστεῖτο· καὶ ἁπλῶς ὅσα Μωσεῖ κατεπιστεύετο τερατουργεῖν, πάντα Μωσῆς παραθέμενος καὶ ἐγχειρίσας τῷ ἀδελφῷ, δι' ἐκείνου τὰ προστεταγμένα θαυματουργῶν διεπέραινεν· ὥστε φανερὸν γέγονε τί ποτε βούλεται δηλοῦν τὸ, « Ἰδοὺ δέδωκά σε θεὸν Φαραώ. »

QUÆSTIO LIV [*al.* LIII].

ΕΡΩΤΗΣΙΣ ΝΔ'.

Quomodo intelligendum apostolicum dictum : « Si invicem mordetis et comeditis, videte ne ab invicem consumamini, » et huic connexa ?

Πῶς νοητέον τὸ ἀποστολικὸν ῥητὸν, « Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε, » καὶ τὰ τούτῳ συνημμένα.

Edita a Maio, l. c., p. 58-60. In Gal. v, 15.

Sunt viri sacri apostolicorum dictorum in profundo reconditum sensum gratiam habentes revelandi, quibus propositum aperitur dictum : quorum theoriam accipientes et ut tu intelligas tuum circa hæc studium laboriosum nobis suadet (curare) ; neque si quid aliud scaturit Pauli dictorum negligemus derivare. Cum enim dixisset cujus lingua sanctissimi Spiritus organum : « Vos in libertatem vocati estis, fratres, » et docuisset non subjacere servituti circumcisionis gratiæ filios, neque valde gravi et difficili ad portandum jugo legis continere et affligi debere, ne libertatem sibi quoque aliorum quæ non oportet agere donari putarent, et occasionem libertatis injuriam facerent libertatis subsecantes carni et passionibus quæcunque carnis germinant et nascuntur. Propterea adjunxit : « Sed per charitatem servite invicem, » quasi (diceret) : Revocati estis a servitute dura in inexpectatam et beatam libertatem, fugite carnis dominationem per quam vobis aggravatur servitus, neque ejus subjacet legibus. Carnis vero servitutem manifestum multarum quoque aliarum passionum et malitiæ creatricem et artificem [esse] et machinatur vastare virtutis et libertatis decorem. [Sed et] amorem conatur humanis mentibus expellere. Ut igitur, ait, reliquas usque nequitiæ insurrectiones præteream, quæ genimina carnis et carnalis sunt sensus, his inde venientibus insidiis et plagis contra vos, mortifico, inquam, amori, fortiter repugnate, neque ut transitum reperiat in vobis animam occidenti huic peccati telo prætextum aliquem præbete. Hoc autem erit forte non operosum neque difficile perfectu, sed et facile et salvificum ; si enim per charitatem servitis invicem, omne telum nequitiæ contra vos jactum inefficax erit ; in scutum enim offendens ejusdem erga invicem sensus et amicitiæ, et tortum frangitur et repulsum in imbellem decidet ictum, ac simul jacientem eo quo par est pudore implet ; quia erga invicem per charitatem servitus illud quæ desuper est assecurat auxilium et puram et beatam operatur libertatem per eam quæ in invicem est pacem, et insubstantiatam pacem Dominum nostrum Jesum Christum vestris inhabitare faciens cordibus.

B Εἰσὶν ἄνδρες ἱεροὶ τῶν ἀποστολικῶν ῥημάτων τὴν ἐν τῷ βάθει τεθησαυρισμένην διάνοιαν, χάριν ἔχοντες ἀνακαλύπτειν, οἷς τὸ προκείμενον ἀναπτύσσεται ῥητόν· ὧν τὴν θεωρίαν ἀποδεχόμενοι καὶ σὲ συνεῖναι τὸ περὶ ταῦτά σου φιλόπονον ἡμᾶς ἀναπαίθει· οὐδ' εἴ τι ἄλλο πηγάζει τῶν τοῦ Παύλου ῥημάτων ὑπεροψόμεθα ἀπορρύσασθαι. Εἰπὼν γὰρ, οὗ ἡ γλῶσσα τοῦ παναγίου Πνεύματος ὄργανον, « Ὑμεῖς ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί, » καὶ διδάξας ὡς οὐχ ὑπόκειται δουλείᾳ περιτομῆς τὰ τῆς χάριτος τέκνα, οὐδὲ τῷ πολυμόχθῳ καὶ δυσεξανύστῳ ζυγῷ τοῦ νόμου συνέχεσθαι καὶ ταλαιπωρεῖσθαι κεχρεώστηκεν, ἵνα μὴ τὴν ἐλευθερίαν αὐτοῖς καὶ τῶν ἄλλων ὅσα μὴ δεῖ πράττειν χαρίζεσθαι νομιοῦσι, καὶ τὴν ἀφορμὴν τῆς ἐλευθερίας ὕβριν ποιήσωνται τῆς ἐλευθερίας ὑποκόπτοντες σαρκὶ καὶ πάθεσιν, ὅσα τῆς σαρκὸς ἀποβλαστάνει καὶ φύεται. Διὰ τοῦτο ἐπήγαγεν· « Ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις· » οἷον, Ἀνεκλήθητε δουλείας χαλεπῆς εἰς ἀπροσδόκητον καὶ μακαρίαν ἐλευθερίαν, φεύγετε τῆς σαρκὸς τὴν ἐπικράτειαν, δι' ἧς ὑμῖν βαρύνεται ἡ δουλεία· μηδὲ τοῖς ἐκείνης κατακλίνεσθε νόμοις. Ἡ δὲ τῆς σαρκὸς δουλεία δῆλον ὡς πολλῶν μὲν καὶ ἄλλων ἐστὶ παθῶν καὶ κακίας δημιουργὸς καὶ τεχνῖτις, καὶ διαμηχανᾶται λυμαίνεσθαι τῆς ἀρετῆς καὶ τῆς ἐλευθερίας τὸ κάλλος· ἀτὰρ δὴ καὶ τὴν ἀγάπην ἐπιχειρεῖ τῶν ἀνθρωπίνων ψυχῶν ἀπελαύνειν. Ἵνα τοίνυν, φησὶ, τὰς ἄλλας τέως τῆς κακίας ἐπαναστάσεις ἐάσω, αἳ γεννήματα τῆς σαρκὸς καὶ τοῦ σαρκικοῦ καθεστήκασι φρονήματος, πρὸς ταύτην τὴν ἐκεῖθεν ἐρχομένην ἐπιβουλὴν καὶ πληγὴν καθ' ὑμῶν, τὴν νεκροποιοῦσαν λέγω τὴν ἀγάπην, γενναίως ἀνταγωνίσασθε, μηδὲ πάροδον εὑρεῖν ἐν ὑμῖν τῷ ψυχοφθόρῳ τούτῳ τῆς ἁμαρτίας βέλει πρόφασίν τινα παράσχητε. Τοῦτο δὲ ἔσται πως οὐκ ἐργῶδες οὐδὲ χαλεπὸν ἀνύσαι, ἀλλὰ καὶ ῥᾴδιον καὶ σωτήριον· εἰ γὰρ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις ἅπαν ὅπλον πονηρίας καθ' ὑμῶν βαλλόμενον ἀπρακτήσει· τῷ θυρεῷ γὰρ ἐμπίπτον τῆς [ἐν] ἀλλήλοις ὁμονοίας τε [καὶ] φιλίας, καὶ θᾶττον περιθραύεται, καὶ ἀποκρουόμενον εἰς κωφὴν διαπίπτει βολίδα, μετὰ τοῦ καὶ τὸν βάλλοντα τῆς προσηκούσης αἰσχύνης ἀναπλῆσαι· ἐπείπερ ἡ πρὸς ἀλλήλους διὰ τῆς ἀγάπης δουλεία, τὴν ἄνωθεν ἀῤῥαβωνίζεται συμμαχίαν, καὶ τὴν καθαρὰν καὶ μακαρίαν καταπράττεται ἐλευθερίαν διὰ τῆς ἐν ἀλλήλοις εἰρήνης, καὶ τὴν ἐνυπόστατον εἰρήνην τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ταῖς ὑμῶν ἐγκατοικίζουσα καρδίαις.

Deinde adjicit et legis summam esse diligere sicut

Εἶτα προστίθησιν ὅτι καὶ νόμου κεφάλαιόν ἐστι τὸ

Digitized by Google

ἀ;ιπᾶν ὡς ἑαυτὸν τὸν πλησίον· καὶ ταύτης τῆς ἀγάπης τὸ ὑψηλὸν καὶ ὠφέλιμον, ἱεροῖς τε ἐνθυμήμασι κατασκευάζων καὶ ἐπιδεικνύων. Καὶ διὰ τῶν παρεπομένων δὲ ἀνθρωπίνων τῷ βίῳ παραστήσας, ἐπισφίγγει καὶ συγκροτεῖ τὴν διδασκαλίαν· ἐπεὶ γὰρ ὁ πολὺς ἄνθρωπος οὐ τοσοῦτον τοῖς νόμοις καὶ ταῖς ἀπειλαῖς αἳ τῷ μακρῷ χρόνῳ τὰς κολάσεις ἐπιφέρουσι σωφρονίζεσθαι θέλει, ὅσον ἀπὸ τῶν ὁρωμένων τε καὶ ἐπικήρων καὶ τὴν τιμωρίαν δεικνύντων ἐγγίζουσαν, οὐδὲ τὴν ἀπὸ τούτων παραίνεσιν ἀποτρέχει· διὸ μονονουχί φησιν· Εἰ μήτε ὁ τῆς ἐλευθερίας ὑμᾶς δυσωπεῖ πόθος, μήτε τὸ ἀπὸ τῆς εἰς ἄλλους δουλείας παρακαλεῖ κέρδος, μηδ' ὅτι τοῦτο μὲν ἐπιθυμία τοῦ πνεύματος, τὸ δ' ἐναντίον ἐπιθυμία τῆς σαρκὸς, μηδ' ὅτι πλήρωμα νόμου τὸ τῆς ἀγάπης κατόρθωμα, ἀλλὰ κἂν γοῦν τὴν κατ' ἀλλήλων φθορὰν καὶ ἀπώλειαν εὐλαβήθητε· τὸ γὰρ ἀλλήλους δάκνειν καὶ κατεσθίειν φθόνῳ τε [καὶ] διαβολαῖς καὶ ταῖς συκοφαντίαις ἐξ ὧν καὶ ὁ φθόνος παῤῥησιάζεσθαι, πῶς οὐκ ἂν εἴη βδελυκτόν; πῶς δ' οὐ φευκτόν; πῶς δ' οὐχὶ καὶ χωρὶς παραινέσεως ἀποτρόπαιον; Διὸ δεῖ φυλάττεσθαι μὴ διαπεσεῖν τῆς ἀγάπης· τὸ γὰρ ταύτης ἀπορῥυῆναι εἰς μάχας ἐστὶ καὶ στασεις καὶ ἔριδας καταποθῆναι, καὶ κατ' ἀλλήλων ὁπλίζεσθαι παρασκευάζει, τὰ δὲ τὴν φθορὰν ὑμῶν καὶ ἀπώλειαν συγκατασκευάζει. Καὶ σκόπει ὅπως τὴν ἀγάπην ἐνταῦθα παρέβαλε· καίτοι τὴν τῆς περιτομῆς ἀποθέτησιν ὁ λόγος αὐτῷ προηγουμένως εἰσηγεῖτο. Καὶ ταύτης αὐτῷ τῆς σπουδῆς προκειμένης, τὸ τῆς ἀγάπης ἀγαθὸν ὅμως τῇ προθέσει συνδιαπλέκεται. Διὰ τί; Ἵνα μὴ πρὸς ἀλλήλους διισταμένων τῶν περιτομὴν σεμνολόγημα ποιουμένων, καὶ οἷς ἡ τοῦ Παύλου παραίνεσις ἐγέγονει κρείττων στάσεσι καὶ φιλονεικίαις καὶ ἔρισι συγκατα-μερίσωσιν ἑαυτούς· δι' ὧν τὸ ὑπ' ἀλλήλων δάκνεσθαι καὶ κατεσθίεσθαι θᾶττον συνεπόμενον ὁρᾶται· ὧν τὴν ἀπαλλαγὴν αὐτὸς ἄριστα φιλοσοφῶν παρά γε ἐμοὶ κριτῇ, εἴη καὶ τοὺς πλησιάζοντας συμφιλοσοφεῖν, ὥσπερ τῇ πράξει, οὕτω καὶ τοῖς λόγοις ἐκδιδάσκων.

A seipsum proximum : et hujus dilectionis sublimitatem et utilitatem sacris et enthymematibus astruens et demonstrans. Et per ea quæ sequuntur hominum vitam comprobans, stringit et concludit doctrinam ; quia enim plerique homines non tantum legibus et minis quæ diuturno tempore castigationes inducunt sapientes fieri volunt quantum iis quæ videntur et contingentibus et pœnam monstrantibus propinquantem, neque eam ab istis exhortationem prætereurrit. Ideo quasi dicit : Si neque libertatis vos movet desiderium, neque servitutis in invicem provocat emolumentum, neque quod istud quidem desiderium sit spiritus, contrarium vero desiderium carnis, neque quod plenitudo legis dilectionis egregium opus, at saltem mutuam perditionem et B exitium reveremini. Invicem enim mordere et consumere invidia et calumniis et detractionibus unde et invidia indulgere, quomodo non esset abominandum? quomodo non fugiendum? quomodo non et absque hortatione vitandum? Ideo oportet cavere ne quis excidat charitate. Ab hac enim avelli in pugnas et seditiones et contentiones est immergi et contra invicem arma struit, hæc vero perditionem vestram et ruinam parant. Et vide quomodo charitatem illuc injecerit, licet circumcisionis destitutionem sermo ipsi potissimum induceret. Et hoc ipse studio proposito, charitatis tamen bonum proposito simul implectitur. Quare ? Ne ad invicem dissentientibus iis qui circumcisionem gloriosam sibi ducebant et iis quibus Pauli exhortatio erat melior, C seditionibus et invidiis et contentionibus scinderent in partes seipsos. Unde illud : Ab invicem morderi et comedi citius securum videtur. Quorum amotionem ipse optime philosophans, me quidem judice, esset et proximos simul philosophari ut actu ita et sermonibus eruditens.

ΕΡΩΤΗΣΙΣ ΝΕ'

Πῶς ὁ ἱερὸς χρησμὸς ὥσπερ ἐστὶ κρείττων αἰτίας ἀπάσης, οὕτω καὶ δειχθείη ταύτης ἀπροσπέλαστος· ὡς, « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, φησὶν, ὅπου ἂν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς ; » Εἰ μὲν γάρ τις Εὐαγγέλιον αὐτὴν τὴν πρᾶξιν θείη τῆς γυναικὸς, ἀδολεσχίας οὐ δοκεῖ φεύγειν αἰτίαν· ἂν δὲ τὴν ὅλην Γραφὴν τῶν συνταξαμένων μαθητῶν τοῦ διδασκάλου καὶ κοινοῦ Σωτῆρος ὑπερφυῆ ἔργα καὶ πολιτεύματα, οὐδὲ τοῦτο νομίζεται σώζειν τὸ ἀκόλουθον· οὔπω γὰρ ταῦτα τοῖς γράμμασι παρατέθειτο.

QUÆSTIO LV [*al.* LIV].

Quomodo sacrum oraculum ut est melius accusatione omni, ita et demonstretur huic inaccessum ; nempe : « Amen, amen dico vobis, ait, ubicumque prædicatum fuerit Evangelium hoc, dicetur et quod hæc fecit in memoriam ejus ? Si quis enim Evangelium ponat ipsum factum mulieris, insipientiæ non videtur effugere crimen. » Si vero totam Scripturam componentium discipulorum magistri et communis Salvatoris excellentia opera et administrationes, neque id putatur servare consequentiam : nondum enim hæc Scriptis mandata erant.

Edita a Maio, l. c., p. 60-61. In Matth. xxvi, 13.

Τὸ μὲν οὖν σὸν διαπόρημα δριμύτερον ἐπελθεῖν τοῦτο, οὐδὲν δ' ἐργῶδες, οὐδὲ πολλῆς προσοχῆς δεόμενον τό τε ἀκόλουθον ἐν τοῖς προκειμένοις θείοις συνιδεῖν λογίοις, καὶ τὸ πολλῷ καθεστᾶναι μεῖζον, ἢ ἀδολεσχίας εἰσπράττεσθαι πρόφασιν. Πρῶτον μὲν γὰρ εἰ καὶ μήπω τὰ Εὐαγγέλια συνεγέγραπτο, ἀλλ' οὖν ἀγράφῳ λόγῳ αἱ θεουργίαι τοῦ Ἰησοῦ, πᾶσι περιηγγέλλοντο. Εἰ δὲ καὶ πρὸ γενέσεως ἕκαστον

Tua ergo difficultas subtilior quidem aditu ista nihil autem operosum, nec multa applicatione indigens sequela in propositis divinis est conspicere oraculis et multo stabilire majus quam insipientiæ ingerere prætextum. Primum enim etsi nondum Evangelia scripta erant, certe igitur non scripto verbo divinæ operationes Jesu omnibus circumnuntiabantur. Si vero et ante ortum unumquodque ipse est clare

Digitized by Google

noscens, quid impedit ipsum. Evangelia, quæ post non multum tempus et Scripturam exceptura erant? Ubiuam itaque inveniam locum incohærentiæ in quibus dictum est :« Ubicunque prædicatum fuerit Evangelium hoc, dicetur et quod hæc fecit? » Si vero Evangelium ipsam piam actionem quis putaverit mulieris, neque sic ipsis ullo modo insipientiæ adhærebit macula. Non enim simpliciter dixit : « Ubicunque prædicatum fuerit, dicetur, » sed « Ubicunque prædicatum fuerit, in memoriam ejus dicetur ; » id est gloriam ipsius perennem suscitabit, et ubique admiratum circumsonabit amoris divini testimonium. Memoriam enim sacra Eloquia solent accipere pro laudibus præclare, et gloriam subindicare florentem et cum temporis cursu vigentem. Ut illud :« In memoriam æternam erit justus [92]. » Et : « Periit memoria eorum cum sonitu [93]; » et talia multa. Recte vero gloriam inducit, mulieris sanctum factum proclamat ; cum enim illi vituperium et maculam imprimerent Deum amanti facto sapientis meretricis et per increpationem ipsam agerent, ea de causa Salvator aliis prætermissis quæ propositum consecuta sunt factum, laudem præmisit et gloriam, celebritatem facti ubique pervulgandam. Oportebat enim eorum quibus illi acerba huic partiebantur increpantes et animam confundebant, contrariis hortari et recreare, et sensum lætum illi et exsultantem restituere, simul vero et præcipitationem accusantium frenare. Quasi : Apud vos criminationibus subjectum factum proclamans Salvatoris sermo, non tantum est absolutus ab omni crimine, sed et ubique prædicabitur, ex meretriciis germinibus florem prudentia eliciente speciosum et immarcescibilem, et admirabilem sensum demonstrabit, et sublimiorem quam pro femina cogitationem accepisse, Deum novisse et sacrificiis divino instinctu coluisse, quem humana forma circumtegebat. Ideo et fines terræ videbuntur beatitudinem illi donare et laudes.

A αὐτός ἐστιν ὁ σαφῶς εἰδως, τί κωλύει αὐτὸν Εὐαγγέλια, ἃ μετ' οὐ πολὺν χρόνον καὶ τὴν Γραφὴν ἐμέλλεν ἀναδέξασθαι; Ὥστε ποῦ ἂν εὕροι μὲν χώραν τὸ ἀσυνάρτητον ἐν οἷς εἴρηται· « Ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη; » Εἰ δὲ τὸ Εὐαγγέλιον αὐτὴν εὐσεβοῦσαν πρᾶξίν τις ἐννοήσει τῆς γυναικὸς, οὐδ' οὕτως αὐτοῖς οὐδαμῶς ὁ τῆς ἀδολεσχίας προσάψαιτο μῶμος. Οὐ γὰρ ἁπλῶς εἶπε, « Ὅπου ἐὰν κηρυχθῇ, λαληθήσεται, ἀλλ' « Ὅπου ἐὰν κηρυχθῇ, εἰς μνημόσυνον αὐτῆς λαληθήσεται· » τουτέστι δόξαν αὐτοῖς εἰς μνημόσυνον αὐτῆς ἀείμνηστον ἀναστήσει, καὶ πανταχοῦ θαυμαζόμενον περιηχήσῃ τὸ φιλόθεον. Τὸ γὰρ μνημόσυνον τὰ ἱερὰ Λόγια εἴωθε παραλαμβάνειν ἐπὶ ἐγκωμίων λαμπρῶς, καὶ δόξαν ὑποδηλοῦν ἀνθοῦσαν B καὶ τῷ τοῦ χρόνου δρόμῳ συνακμάζουσαν· ὡς τό· « Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος· » καὶ· « Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου· » καὶ πολλὰ τοιαῦτα. Εἰκότως δὲ δόξαν ἐπάγει, τὴν τῆς γυναικὸς ἱερουργίαν προαγορεύει· ἐπεὶ γὰρ ἐκεῖνοι ψόγον καὶ μῶμον ἐπέτριβον τῇ φιλοθέῳ πράξει τῆς σώφρονος πόρνης καὶ δι' ἐπιτιμήσεως αὐτὴν ἤγον, τούτου χάριν ὁ Σωτὴρ τὰ ἄλλα παρεὶς ἃ τῇ προκειμένῃ συνείπετο πράξει, τὸν ἔπαινον ἀντέθηκε καὶ τὴν δόξαν, τὸ περιώνυμον τῆς ἐργασίας πανταχοῦ διαπλωθῆναι. Ἔδει γὰρ οἷς ἐκεῖνοι τὸ σκυθρωπὸν αὐτῇ κατεσκέδαζον ἐπιτιμῶντες καὶ τὴν ψυχὴν συνέχεον, τούτων τοῖς ἐναντίοις παρακαλεῖν, καὶ ἀνακτᾶσθαι, καὶ τὸ φρόνημα χαῖρον αὐτῇ καὶ ἀγαλλιώμενον ἀποκαθιστάνειν, ἅμα δὲ καὶ τὴν προπέτειαν τῶν αἰτιασαμένων ἀναC χαιτίζειν· μονονουχὶ τὸ παρ' ὑμῶν αἰτίαις ὑποβαλλόμενον ἔργον ἀνεβοῶν ὁ σωτήριος λόγος· ὡς οὐ μόνον ἐστὶν ἀπολελυμένος πάσης αἰτίας ἀλλὰ καὶ πανταχοῦ κηρυχθήσεται, τῆς ἐκ πορνικῶν βλαστημάτων ἄνθος σωφροσύνης ἀνασχούσης ὡραῖόν τε καὶ ἀμάραντον, καὶ θαυμασίαν τὴν γνώμην ἐπιδείξει, καὶ ὑψηλοτέραν ἢ κατὰ γυναῖκα φρόνημα λαβεῖν Θεὸν ἐπιγνῶναι καὶ θυσίαις θειάσαι, ὃν ἡ ἀνθρωπίνη μορφὴ περιέστελλε· διὸ καὶ τὰ πέρατα τῆς οἰκουμένης ὀφθήσεται τὸν μακαρισμὸν αὐτῇ δωροφοροῦντα καὶ τὰ ἐγκώμια.

QUÆSTIO LVI [*al.* LV].

Quemnam sensum est consequens et irreprehensibile investigare et intelligere per Davidica verba dicentia : « Tibi soli peccavi et malum coram te feci, ut justificeris in sermonibus tuis et vincas cum judicaris? »

ΕΡΩΤΗΣΙΣ ΝϚ'.

Τίνα νοῦν ἐστιν ἀκόλουθον καὶ ἀδυσώπητον ἀνιχνεῦσαι καὶ κατανοῆσαι διὰ τῶν Δαυϊδικῶν ῥημάτων λεγόντων, « Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε ;

Edita a Maio, l. c., p. 61-65. In Psal. L, 6.

Propria quidem difficultatis solutio et ad Davidicam sapientiam aptans id quod videtur declarare verborum vel ad dissonantiam propensionem majorem, talis : Non est responsio ad illud : « Tibi soli peccavi ; » illud : « Ut justificeris in sermonibus tuis, » etsi locum præcedenti propinquiorem obtinuerit ; redderetur autem magis proprie et sapientius, si certe ad ea quæ ab initio præcedunt, relationem sumerentur habentia. Quale est :« Miserere

Ἰδιάζουσα μὲν τοῦ διαπορήματος ἔπλυσις καὶ πρὸς τὴν Δαυϊδικὴν σοφίαν καταῤῥυθμίζουσα τὸ δοκοῦν ἀπεμφαίνειν τῶν ῥημάτων καὶ πρὸς διαφωνίαν ἐπιῤῥεπέστερον, τοιαύτη οὐκ ἔστιν ἀνταπόδοσις τοῦ, « Σοὶ μόνῳ ἥμαρτον, τὸ, « Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, » εἰ καὶ τὴν τάξιν τοῦ προηγουμένου ἐγγυτέραν ἔλαχεν· ἀποδοθείη δ' ἂν οἰκειότερόν τε καὶ σοφώτερον, εἴ γε τῷ ἀπ' ἀρχῆς προηγουμένῳ τὴν ἀναφορὰν παραληφθείη παρεχόμενον· οἷον, « Ἐλέη-

[92] Psal. CXI, 6. [93] Psal. IX, 7.

Digitized by Google

σόν με, ὁ Θεὸς, κατὰ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε· » τὰ δὲ ἄλλα μεταξυλογίας ἔχοντα, οὐ παρικόψει τὸν εἰρμὸν οὔτε τῆς διανοίας οὔτε τῆς συντάξεως. Ποῖοι δ' ἂν εἶεν λόγοι δι' ὧν ὁ Θεὸς ἐλεῶν δικαιοῦται; « Ἢ λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου ὅπως δικαιωθῇς· » καὶ, ὅτι « Μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέφειν αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν· » καὶ πάλιν. « Οὐ θέλω τὸν τοῦ ἀποθνήσκοντος θάνατον, ἀλλ' ἐπιστρέψατε καὶ ζήσεσθε. » Οὗτοι γὰρ οἱ λόγοι δικαιοῦσι τὸν Θεὸν, ἔργοις φιλανθρώποις βεβαιοῦντα καὶ συμπαθείας οἰκτιρμοῖς ἐκπληροῦντος αὐτούς. Εἰ γὰρ τῇς Δαυϊδικῆς ἁμαρτίας καὶ μεταμελείας τῷ χρόνῳ δευτερεύουσιν, ἀλλ' οὖν τῆς ἐν τῷ Δαυὶδ προφητικῆς οὐ δευτερεύουσιν γνώσεως. Ἐπεὶ καὶ αὐτὸς ὁ ψαλμὸς οὐκ ἔλαττον τὴν τοῦ Δαυὶδ στηλογραφεῖ μετάνοιαν καὶ ἐξομολόγησιν, καὶ τὸν ἐπὶ τοῖς παραπτώμασιν ἔλεον ἢ τὴν ὑστέροις χρόνοις αἰχμαλωσίαν τοῦ Ἰσραὴλ προαγγέλλει· καὶ ἐλέους ἀξιωθῆναι τούτους καὶ φιλανθρωπίας ἐν διατυπώσει τε καὶ σχηματισμῷ δεομένου προθεσπίζει, ἀκουτισθήσεσθαί τε ἀγαλλίασιν καὶ εὐφροσύνην προφητικῇ χρησμολογεῖ διαγνώσει, ἀγαλλιάσεσθαί τε ὀστέα ταπεινωμένα καὶ πνεύματι ἡγεμονικῷ στηριχθῆναι, καὶ ἀγαθυνθῆναι θείᾳ εὐδοκίᾳ τὴν Σιὼν, ἀνοικοδομηθῆναί τε τὰ πεπορθημένα τείχη καὶ κατηρειπωμένα τῆς Ἱερουσαλήμ. Τῶν Δαυϊδικῶν τοίνυν ῥημάτων ἀντὶ τοῦ σχηματίζεσθαι τῷ ὑπερβεβηκότι, τῶν τρόπων ἐπ' εὐθείας ἀλλήλοις συναπτομένων, οὐδὲν, ὡς εἴρηται, στασιάζον πρὸς τὴν ὀρθότητα καὶ σύνεσιν τῶν προφητικῶν λόγων ἁπανταῖ· ἐκκαλοῦνται γὰρ τὸ ἄνωθεν ἔλεος καὶ τὴν εὐμένειαν, δι' ὧν μᾶλλον ἡ δικαιοσύνη διαλάμπει τοῦ Θεοῦ καὶ ἡ ἀλήθεια. Οὕτω μὲν οὖν ῥᾴδιόν ἐστι καὶ ἀταλαίπωρον συνορᾶν, ὅπως τε τὸ ἀμφισβητούμενον διὰ τῆς συγγενοῦς ἱερολογίας ἀνεκαθάρθη καὶ τὴν προφητικὴν θεοσοφίαν καὶ ἀρετὴν οὐκ ἐνόθευσεν, οὐδέ τινα λογισμοῖς ἐμβάλλει διστάγμὸν καὶ τῆς θεοπρεποῦς ἀλλότριον ὑπολήψεως.

Ἐπεὶ δὲ τὸ μὲν Δαυϊδικὸν ῥητὸν ἰδιάζοντα τὸν καταρτισμὸν εὑρίσκει καὶ τὴν εὐμάρειαν, εἰσὶ δὲ καὶ ἄλλα πολλὰ τῶν λογίων τὴν αὐτὴν μὲν ζήτησιν ἀναδεχόμενα, οὐ διὰ τῆς αὐτῆς δὲ μεθόδου ἐπιλυόμενα, ἄμεινον ἐπὶ τὴν καθολικώτερον ταῦτα θεουργοῦσαν καὶ διευθετίζουσαν ἀναβαμεῖν θεωρίαν, κἀκεῖθεν ἀπὸ τῆς κοινῆς πάντων διακρίσεως τὴν ἀκόλουθον καὶ ἱεροπρεπῆ διάνοιαν ὡς οἷόν τέ ἐστιν ἐμφανῆ καταστῆσαι. Ἔστι δ' οὖν ἃ τὸν αὐτὸν σχηματισμὸν ὑποβάλλεται τῆς συνθέσεως καὶ πρὸς τὴν αὐτὴν τοῦ λόγου δεῖται φυσικὴν ἁναπλωθῆναι καὶ ἀσχημάτιστον ἰδιότητα, ὡς ἐκ πολλῶν ὀλίγα παραθεῖναι ταῦτα· « Ἀποστελῶ τὴν χεῖρά μου πατάξαι σε καὶ τὸν λαόν σου, καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς, » πρὸς τὸν Φαραὼ λέγει διὰ Μωσέως Κύριος· καί· « Ἕνεκεν τούτου διετηρήθης ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ· » καὶ πάλιν· « Ἐγὼ ἐβάρυνα τὴν καρδίαν αὐτοῦ καὶ τῶν θεραπόντων αὐτοῦ, ἵνα ἐπέλθῃ τὰ σημεῖα

mei, Deus, secundum magnam misericordiam tuam, et secundum multitudinem miserationum tuarum, dele iniquitatem meam, ut justificeris in sermonibus tuis et vincas cum judicaris [96]. » Cætera vero medium tenentia, non scindent nexum neque sensus neque ordinis. Quinam autem essent sermones quibus Deus miserans justificatur? « Aut dic tu primus peccata tua ut justificeris [98]; » et: « Nolo mortem peccatoris, sed converti ipsum a via sua mala et vivere [96]. » Et rursus: « Nolo morientis mortem, sed revertimini et vivite [97]. » Hi enim sermones justificant Deum, factis humanis firmantem et compassionis miserationibus implentem illos. Si enim Davidico peccato et pœnitentia tempore posteriores sunt, at tamen in David prophetica non sunt posteriores scientia. Quia et ipse psalmus non minus Davidis insculpit pœnitentiam et confessionem et super lapsibus misericordiam quam posterioribus temporibus captivitatem Israel prænuntiat, et misericordia dignatos esse hos et humanitate in typis et figura implorata divinitus prædicit, audiendam esse exsultationem et lætitiam prophetica pronuntiat cognitione, exsultaturaque ossa humiliata et spiritu principali confirmanda et bonis afficiendam divino beneplacito Sion, reædificandaque diruta mœnia et eversa Jerusalem. Davidicis igitur verbis, nedum fugantur transgresso, tropis recta invicem cohærentibus, nihil, ut dictum est, discedens a rectitudine et sensu propheticorum sermonum occurrit; invocant enim superiorem misericordiam et benevolentiam, per quas magis justitia elucet Dei et veritas. Ita ergo facile est et haud infaustum conspicere quomodo et ambiguum per affinem textum sacrum mundatum sit et prophetæ divinam sapientiam et virtutem non adulterarit, neque aliquem ratiocinationibus injiciat turbationem quæ a Deum decenti aliena sit proposito.

Cum vero Davidicum quidem dictum propriam connexionem inveniat et bonam partitionem, sint et alia multa eloquia eamdem inquisitionem excipientia, non autem per eamdem methodum soluta, melius est ad magis catholice hæc divinitus operantem et bene statuentem recurrere theoriam, et inde a communi omnium discretione consequentem et sacris rebus dignum sensum pro viribus evidentem statuere. Sunt ergo quæ eamdem formam induunt contextus et ad eamdem sermonis opus habent naturalem simpliciter aptari et infiguratam proprietatem, ut ex multis pauca proponimus hæc: « Mittam manum meam ut percutiam te et populum tuum, et delearis de terra [99], » ad Pharaonem ait per Moysen Dominus: « Et propterea servatus es ut ostendam in te potentiam meam, et ut prædices nomen meum in tota terra [99]. » Et iterum: « Ego induravi cor ejus et servorum ejus, ut veniant signa super eos, ut

[96] Psal. L, 1, 2. [97] Isa. XLIII, 26. [98] Ezech. XVIII, 32. [97] Ezech. XXXIII, 11. [98] Exod. IX, 15. [99] Ibid. 16.

Digitized by Google

prædicentur signa mea in aures filiorum vestrorum [1]. » Deinde : « Et non audiet vos Pharao, ut impleam signa mea et prodigia mea in terra ipsorum [2]. » Horum enim unum quodque et quæcunque alia per similes proferuntur voces juxta ætiologicum reddita phrasis habitum, proprietate quidem annuntiantur sacræ nostræ Scripturæ. Ad naturalem autem sermonis accepta formam, pietatem aperiunt et ad theosophiæ nostræ affinem aptantur sensum. Etenim more firmatur antiquo ea quæ omnino eventura sunt et quæ non possunt propter imperfectionem exitus circumcidi sæpius in hoc divulgare schismate; quia et quæcunque phrasin causas indicantem sortita sunt, ordinem habent eorum quæ concessam habent substantiam.

Sed enim proprietas talis Scripturæ, quale est : « Incredulus fuit Pharao et induratus est [3], » mirificæ plagæ et verbera inflicta inobedientiæ ipsum et duritiæ secuta sunt. Hæc autem circumsonuerunt, et per omnem terram divulgata sunt, Dei potentiam circumclamantia et admirationi esse et stuporî validam manum Dei præparantia ; hoc igitur omnino ex illius duritie eventurum in ætiologicam formam Scriptura fingens protulit prænuntians tropo exitus immotam firmitatem ; etenim omnino ea quorum causa allegata est ex stabilitate prodromi fingi solent et explicari. Castigatur igitur Pharao, non ut glorificetur Deus, etsi vocis et contextus forma talem speciem subeat, sed quia non obedivit et inobedientiæ ipsi oportebat pœnas irrogari, Etsi vero non ad hoc respiciebant pœnæ, ne fieret ipse inobedientiæ mancipium, attamen quia statim secutæ sunt impium castigantes, his autem verberum et plagarum stupendis divinis portentis ut dictum est virtus et gloria Dei simul aucta est et efloruit, non absque ratione ea quæ juxta ætiologiam est narrationi forma et aspectus circumponitur, eventurum omnino, et antequam evenisset, testificante et annuntiante oraculorum [divinorum] præcognitione. Eadem via et Davidicorum verborum quæ antea propriam sortita sunt elucidationem et constitutionem in eamdem et similem dictis coaptari possent perfectionem ; peccavit David et peccatorum maximis, non ut Deus justificetur ; non est enim, non est ullius peccatum Deo justitiam circumfundens. Sed postquam peccavit quidem, non auxit neque cæcitate neque inscientia peccatum, confugit vero magis ad pœnitentiam et lacrymas, semetipsum festinans abluere peccato. Dat autem Deus veniam in benignitate, propriam justitiam et majorem quam juxta humanum sensum splendidam omnibus exhibens et circumspectabilem. Ideo cum dixisset David : « Tibi soli peccavi, ut justificeris, » adjunxit, « in sermonibus tuis, » iniquitatem quidem pœnitentia excipiente, pœnitentiam vero benignitate supra omnem sermonem, in benignitate vero in sermonibus elu-

μεῖά μου ἐπ' αὐτούς, ὅπως διηγήσηται τὰ σημεῖά μου εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν · » εἶτα · « Καὶ οὐκ εἰσακούσεται ὑμῶν Φαραώ, ἵνα πληθύνω τὰ σημεῖά μου καὶ τὰ τέρατά μου ἐν τῇ γῇ αὐτῶν. » Τούτων γὰρ ἕκαστον καὶ ὅσα ἄλλα διὰ τῶν ὁμοίων προάγεται φωνῶν κατὰ τὸν αἰτιολογικὸν ἀποδιδόμενα τῆς φράσεως σχηματισμὸν, ἰδιώματι μὲν ἀπαγγέλλεται τῆς ἱερᾶς ἡμῶν Γραφῆς · πρὸς τὸ φύσικὸν δὲ τοῦ λόγου μεταλαμβανόμενα εἶδος, τὸ εὐσεβὲς ἀναπτύσσει, καὶ πρὸς τὸ τῆς θεοσοφίας ἡμῶν συγγενὲς καταρτίζει τὸ φρόνημα. Καὶ γὰρ ἔθει κρατύνεται παλαιῷ τὰ πάντως ἀποβησόμενα καὶ μὴ οἷά τε ὄντα τῷ ἀτελεῖ τῆς ἐκβάσεως περικόπτεσθαι πολλάκις ἐν τούτῳ περιαγγέλλειν τῷ σχίσματι · ἐπεὶ καὶ ὅσα τὴν φράσιν αἰτιολογουμένην ἔλαχε, τὴν τάξιν ἐπέχει τῶν ὁμολογουμένην ἐχόντων τὴν ὕπαρξιν.

Ἀλλὰ γὰρ τὸ μὲν ἰδίωμα τοιοῦτον τῆς Γραφῆς, οἷον, « Ἠπείθει Φαραὼ καὶ ἐσκληρύνετο, » αἱ παράδοξοι πληγαὶ καὶ μάστιγες εἰσπραττόμεναι τῆς ἀπειθίας αὐτὸν καὶ σκληρότητος εἵποντο. Ταῦτα δὲ τὸ περιδόητον εἶχε, καὶ ἀνὰ πᾶσαν τὴν γῆν ἐφοίτα, τὴν τοῦ Θεοῦ δυναστείαν περιηχουμένα καὶ θαυμάζειν καὶ ὑπερεκπλήττεσθαι τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ παρασκευάζοντα · τοῦτο οὖν τὸ πάντως ἐκ τῆς ἐκείνου σκληρότητος ἐκβησόμενον, εἰς αἰτιολογικὸν εἶδος ἡ Γραφὴ σχηματίσασα προενήνοχε προκηρύττουσα τῷ τρόπῳ τὸ τῆς ἐκβάσεως ἀμετάθετον · καὶ γὰρ ὡς ἐπίπαν καὶ τὰ αἰτιολογούμενα τῷ ἀπαραβάτῳ τῆς προῴδου εἰδοποιεῖσθαι θέλει καὶ ἑρμηνεύεσθαι. Κολάζεται τοίνυν Φαραὼ, οὐχ ἵνα δοξασθῇ ὁ Θεὸς εἰ καὶ τῆς φωνῆς καὶ τῆς συνθέσεως τὸ σχῆμα τοιαύτην φαντασίαν ὑπέρχεται, ἀλλ' ὅτι ἠπείθει καὶ τῆς ἀπειθείας αὐτὸν ἔδει τὰς δίκας εἰσπράττεσθαι. Εἰ δὲ κἂν μὴ πρὸς τοῦτο ἐώρων αἱ τιμωρίαι, μηδὲ πρὸς τὸ γενέσθαι αὐτὸν τῆς ἀπειθείας ἀνδράποδον, ἀλλ' οὖν ἐπείπερ κατὰ πόδας ἠκολούθησαν τὸν ἀλιτήριον τιμωρούμεναι, ταύταις δὲ ταῖς τῶν μαστίγων καὶ πληγῶν παραδόξοις θεσημείαις, ὡς εἴρηται, ἡ ἰσχὺς καὶ ἡ δόξα τοῦ Θεοῦ συνηυξήθη καὶ συνανεβλάστανεν, οὐκ ἀπεικότως ἡ κατὰ τὴν αἰτιολογίαν τῷ διηγήματι μορφὴ καὶ ἰδέα περιτίθεται, τὸ ἐκβησόμενον πάντως καὶ πρὸ τοῦ ἐκβεβηκέναι διαμαρτυρομένης καὶ ἀπαγγελλούσης τῆς τῶν Λογίων προγνώσεως. Διὰ τῆς αὐτῆς δ' ἂν ἐφόδου καὶ τῶν Δαυϊδικῶν ῥημάτων ἃ πρότερον ἰδιαζούσης ἔτυχε σαφηνείας καὶ καταστάσεως εἰς τὴν ἴσην καὶ ὁμοίαν τοῖς εἰρημένοις ἀπαρτισύσης τελειότητα · ἥμαρτεν ὁ Δαυῒδ καὶ τῶν ἁμαρτημάτων τὰ μέγιστα · οὐχ ἵνα Θεὸς δικαιωθῇ · οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδενὸς ἁμαρτία Θεῷ δικαιοσύνην περιάπτουσα · ἀλλ' ἐπείπερ ἥμαρτε μὲν, οὐκ ηὔξησε δὲ οὔτε τῇ πωρώσει οὔτε τῇ προγνώσει τὴν ἁμαρτίαν, καταφεύγει δὲ μᾶλλον πρὸς τὴν μετάνοιαν καὶ τὰ δάκρυα, ἑαυτὸν σπουδάζων ἀποπλύνειν τοῦ ἁμαρτήματος. Δίδωσι δὲ Θεὸς συγγνώμην ἐν τῇ φιλανθρωπίᾳ, τὸ οἰκεῖον δίκαιον καὶ μεῖζον ἢ κατὰ ἀνθρωπίνην διάνοιαν, λαμπρὸν ἅπασι ἐπιδεικνὺς καὶ περίβλεπτον. Διὰ τοῦτο εἰπὼν ὁ Δαυῒδ, « Σοὶ ἥμαρ-

[1] Exod. x, 1. [2] Exod. vii, 4. [3] ibid. 13.

Digitized by Google

των, ὅπως ἂν δικαιωθῇς, » ἐπισυνῆψεν, « ἐν τοῖς λόγοις σου· » τὴν μὲν ἀνομίαν τῆς μετανοίας διαδεξαμένης· τὴν μετάνοιαν δὲ τῆς ὑπὲρ λόγον φιλανθρωπίας· ἐν δὲ τῇ φιλανθρωπίᾳ τοῦ ἐν τοῖς λόγοις ἐξαστράπτοντος δικαίου καὶ πάσης συμπαθείας καὶ ἀγαθότητος ἀφιέντος ἀκτῖνας. Καὶ λόγοι ἂν ἐνταῦθα νοηθεῖεν τοῦ Θεοῦ, τῇ ἀνθρωπίνῃ συγκαταβαίνοντος ἀσθενείᾳ καὶ εἰς λόγους καὶ κρίσιν καθισταμένου. Καὶ γάρ φησι· « Δεῦτε καὶ διελεχθῶμεν, λέγει Κύριος. » Ἀνεξετάσεως δὲ συνισταμένης ὧν δωρεῶν ἀπήλαυσε καὶ εὐεργεσιῶν ὁ Δαυὶδ πρὸς ἃς κατωλίσθησεν ἀτόπους πράξεις· ἀπὸ γλώττης καλαμίνης, καὶ σύριγγος ἀλόγως τέχνην ποιουμένης, γλῶσσα τοῦ Πνεύματος, καὶ τῆς ὑπὲρ λόγον σοφίας καὶ γνώσεως ὄργανον· ἐκ μειρακίου μυκτηριζομένου, στρατηγὸς αὐτοσχέδιος τοῦ πολέμου καὶ τῆς ὅλης παρατάξεως καὶ μόνος καὶ χωρὶς βελῶν καὶ ὅπλων καὶ τῆς ἄλλης παρασκευῆς καὶ ἐμπειρίας τοῦ ἀγωνίσματος, τροπαιοφορῶν τὴν νίκην, καὶ τὴν ἐχθρῶν ἀναδούμενος ἐπικράτειαν· ἐξ ὑπαίθρου ταλαιπωρίας, διωρόφων καὶ τριωρόφων οἴκων λαμπρότητες καὶ λαμπρότεραι διαγωγαί, καὶ ὑπωρόφιος καὶ τρυφῶσα δίαιτα· καὶ πολλῶν πόλεων ὁ κωμήτης, κύριος· ἀντὶ ποιμενικοῦ καδίσκου καὶ πήρας, σκῆπτρον ἐν τῇ χειρὶ, καὶ περὶ τὴν κεφαλὴν στρῶμα βασιλείας· ἐξ ἀγέλης βοσκημάτων καὶ σύριγγος καὶ τῷ ἤχῳ κατακηλοῦντος αὐτῶν τὰ ὦτα, χρησμολόγος τῶν ὑπὲρ λόγον ἔργων καὶ προφητείας βρύων χαρίσματα· ἐξ αὐλῶν νομάδων καὶ θεραπείας θρεμμάτων καὶ σκυτάλης ἀνεχούσης τὸ σωμάτιον κόπῳ βαρυνόμενον, θρόνος βασίλειος καὶ πορφύρα καὶ δορυφόροι καὶ στέφανος· συνελόντι φάναι, ἐξ ἰδιώτου προφήτης, καὶ βασιλεὺς ἐκ φυγάδος, καὶ τὸ κατ' ἐχθρῶν κράτος συγκληρωσάμενος ἄμαχον.

cente justitia et omnis commiserationis et bonitatis emittente radios. Et sermones hic intelligi possent Dei humanæ condescendentis infirmitati et in rationes et judicium se statuentis. Etenim, ait: « Venite et contendamus simul, ait Dominus[a]. » Inquisitione autem facta ex opposito de donis quibus fruitus est et beneficiis David et de iis ad quos lapsus est illegitimos actus : a lingua calami et tibias inflare inscite artem sibi fingente, lingua spiritus et sapientiæ supra captum rationis et scientiæ organum ; ex adolescentulo irrisore dux fortuitus belli et totius aciei, et solus et absque telis et armis et reliquo apparatu et experientia certaminis, reportans victoriam et hostium frangens dominationem, ex ea quæ est sub dio miseria, duplicibus et triplicibus tectis domorum splendores et splendidiora habitacula, et sub tecto et deliciis affluens victus, et multarum urbium ex pago oriundus, dominus ; pro pastorali doliolo et pera, sceptrum in manu, et circum caput diadema regni ; e grege boum et tibia et sonitu mulcente eorum aures, vates eorum quæ supra sermonem sunt operum et prophetiæ effluere faciens charismata ; ex sedibus incertis et cura agnorum et pelle ferente corpusculum labore gravatum, thronus regius et purpura et hastarii et corona ; ut verbo dicam, ex idiota propheta et rex ex fugitivo et contra hostes victoriam consecutus absque pugna.

Τὰ μὲν οὖν θεῖα περὶ τὸν Δαβὶδ, ταῦτα, καὶ πολλῷ πλείονα τὰ λειπόμενα. Τὰ δὲ τῆς ἐμῆς ἀσθενείας καὶ τοῦ Δαβὶδ, γυναικὸς ἡττᾶτο, τοῦ πολέμου λαβὼν ἐπίκουρον ἔρωτα· μοιχεία καὶ φόνος κατὰ τοῦ μεγέθους ἐχόρευον τῶν εὐεργετῶν· ὕβριζεν ἡ σὰρξ τὸ πνεῦμα, καὶ ἐπιθυμία ἄθεσμος τοῖς τῶν δωρεῶν χαρίσμασιν ἐπεκώμαζε, καὶ πόσα τοιαῦτα! ὁ προφήτης καὶ βασιλεὺς, κάπηλος, οὐκ οἶνον ὕδατι κεραννὺς, ἀλλὰ τὰς ὑπὲρ λόγον δωρεὰς καταμιγνὺς, καὶ κιβδηλεύων τοῖς τῆς σαρκὸς πάθεσι καὶ σκιρτήμασιν. Ἐν τούτοις καὶ τοῖς τοιούτοις λόγοις ὁ Θεὸς κρινόμενός τε καὶ δικαιολογούμενος πρὸς τὸν Δαβὶδ, ἆρ' ἔστιν εἰπεῖν εἰς ὅσον τῷ δικαίῳ ὑπερέβαλε, καὶ τῆς αὐτοῦ παρέστησεν ἀγαθότητος τὸ ἀνυπέρβλητον, μάλιστα δὲ μηδὲ τιμωρίαις ὑπάγων τὸν ἀντὶ τοσούτων ἀγαθῶν κακοῖς ἀμειψάμενον; ὑπετέμνετο γὰρ ἂν οὕτως τὸ ἄφατον ἔλεος τοῦ Θεοῦ καὶ τὸ ἐν αὐτῷ λαμπρὸν καὶ οὐκ ἔχον ἀπαγγέλλειν λόγον τὸ μέγεθος· τιμωρίᾳ γὰρ καὶ κολάσει ὁ ἠδικημένος ζημιούμενος τὰ πολλὰ τῶν ὀφλημάτων ἄγει πρὸς διάλυσιν. Τὰ τοίνυν Δαυϊδικὰ τῆς μετανοίας καὶ ἐξομολογήσεως ῥήματα καὶ τῶν παραπλησίων ἕκαστον ἡ τῶν ἱερῶν Λογίων συνήθεια τὸ πάντως ἀποβησόμενον προμηνύουσα, αἰτιολογικῶς ἀπαγγέλλει, καὶ διατυποῦσα τῷ σχήματι τὸ συγγενὲς τοῦ ἀκωλύτως ἐκβησομένου

Igitur divina circa David, talia, et multo majora prætermissa. Quæ autem meæ infirmitatis et David, a muliere victus est, belli assumpto socio amore : adulterium et homicidium contra magnitudinem incesserunt bene factorum. Injuria affecit caro spiritum, et concupiscentia illegitima donorum charismatibus illusit, et quænam illa? Propheta et rex, caupo, non vinum aquæ miscens, sed ea quæ supra sermonem sunt dona miscens et adulterans carnis passionibus et assultibus. In his et talibus sermonibus Deus judicatus et justificatus quoad David. Certe est dicere in quantum justitia superaverit, et suæ ostenderit bonitatis excellentiam, præsertim non vindictæ subjiciens eum qui pro tantis bonis mala rependit. Sic enim subsecta fuisset ineffabilis misericordia Dei et quod in ea splendens neque sermonem habens ad enarrandam ejus magnitudinem ; vindicta enim et castigatione is qui injuste damno affectus est pleraque delictorum dissolvit. Davidica igitur pœnitentiæ et confessionis verba et similium quodvis sacrorum Eloquiorum mos omnino eventurum præindicans, ætiologice enuntiat et effingens habitu id quod affine est ejus quod ineluctabiliter eventurum coram sistit. Qui igitur Eloquiorum [sacrorum]

[a] Isa. I, 18.

Digitized by Google

morem et canonem intelligentiæ recta prosequitur, A postquam ipsi occurrerit causam allegantem tropologiam præ se ferens aliqua propositio, manifestum est nullum tumultum neque turbationem neque dubitationem aliquam rationem tenentem esse subiturum; sed ratione contrahens figuræ sensum, pare eventurum videbit; cujus quoque in ostensionem figuratus loquendi usus assumitur.

παρίστησιν· ὁ τοίνυν τῷ τῶν Λογίων ἔθει καὶ τῷ κανόνι τῆς διανοίας εὐθυνόμενος, ἐπειδὰν εἰς ὁμιλίαν καταστῇ τῇ αἰτιολόγῳ τροπολογίᾳ κατεσχηματισμένου τινὸς προβλήματος, δῆλον ὡς οὐδένα θόρυβον οὐδὲ ταραχὴν οὐδ' ἀπορίαν τινὰ τοὺς λογισμοὺς συνέχουσαν ὑποστήσεται· ἀλλὰ τῷ λόγῳ περιελὼν τοῦ σχήματος τὴν ἐπίνοιαν, καθαρῶς τὸ ἐκβησόμενον ὄψεται· οὗπερ καὶ εἰς δήλωσιν ὁ σχηματισμὸς παραλαμβάνεται.

QUÆSTIO LVII [*al.* LVI].

Quare, Salvatoris baptizantibus discipulis, adhuc baptizabat Joannes?

ΕΡΩΤΗΣΙΣ ΝΖ'.

Διὰ τί τῶν τοῦ Σωτῆρος βαπτιζόντων μαθητῶν, ἔτι ἐβάπτιζεν ὁ Ἰωάννης;

Edita a Maio, l. c., p. 65-66.

Quia eamdem sententiam usque ad immolationem immutabilem conservabat, propter quam et ab initio minister visus est baptismatis. Etenim tunc quidem baptizabat, ut prædicaret accedentium multitudini communem Salvatorem generis; et deinceps ut ne intensionem remittens corriperetur ejusmodi Deum amantis testimonii et sanctos decentis propositi. Baptizabant igitur Salvatoris dicipuli, Redemptorem generis prædicantes; baptizabat autem et Joannes, primitivum exemplar illorum sacræ operationis factus, seque conjungens his colluctantibus et cooperator salvificæ hujus et prævie purificantis constitutus actionis. Etenim clamavit baptizans, Jesu omnibus divinitatem testificans. Id enim cœlestis illorum sponsus volebat, et præparare studebat, et supereminenter C major omnibus et a Deo missus, et Dei verba loquens et qui accepit et habet spiritum non mensura donationis et operationis participatione, ut omnes prophetæ, sed congenerationis justitia, et supersubstantialis consubstantialitatis dignitate. Attamen baptismus Joannis et discipulorum Salvatoris nullo discrimine nisi personarum immutatione differebat. Etenim parabat quivis eorum baptizatos aptos fieri ad suscipiendum per ignem et spiritum perficiendum baptisma, neutrum vero illorum præbebat Spiritus gratiam et efficaciam, neque omnimodam peccatorum remissionem. Tale enim super sermonem donum post distributionem ignitarum linguarum et per ipsas sancti Spiritus D præsentiam baptizatis donabatur.

Διότι τὴν αὐτὴν γνώμην μέχρι τῆς σφαγῆς ἀπαράτρεπτον συνετήρει, δι' ἣν καὶ κατ' ἀρχὰς ὑπηρέτης ὤφθη τοῦ βαπτισματος. Καὶ τότε μὲν γὰρ ἐβάπτιζεν, ἵνα κηρύττῃ τῶν προσιόντων τῷ πλήθει τὸν κοινὸν Σωτῆρα τοῦ γένους· καὶ ὕστερον δὲ ἵνα μὴ τὸν τόνον ὑποχαλῶν ἐλεγχθείη τῆς τοιαύτης θεοφιλοῦς μαρτυρίας καὶ ἁγιοπρεποῦς προαιρέσεως. Ἐβάπτιζον οὖν οἱ μαθηταὶ τοῦ Σωτῆρος, τὸν Λυτρωτὴν τοῦ γένους κηρύττοντες· ἐβάπτιζε δὲ καὶ Ἰωάννης, ἀπαρχὴ μὲν παράδειγμα τῆς ἐκείνων ἱερᾶς ἐργασίας γενόμενος, συνεφαπτόμενος; δὲ τούτοις συναγωνιζομένοις καὶ συνεργὸς τῆς σωτηρίου ταύτης καὶ προκαθαρσίου καθιστάμενος πράξεως· καὶ γὰρ ἀνακέκραγε βαπτίζων, τὴν Ἰησοῦ πᾶσι θεότητα διαμαρτυρόμενος. Τοῦτο γὰρ ὁ ἐπουράνιος αὐτῶν νυμφίος ἐβούλετο, καὶ κατασκευάζειν ἐσπουδάζετο, καὶ ὁ καθ' ὑπερβολὴν μείζων ἁπάντων, καὶ ὁ ἀπὸ Θεοῦ ἀπεσταλμένος, καὶ ὁ Θεοῦ ῥήματα λαλῶν καὶ ὁ λαβὼν καὶ ἔχων τὸ Πνεῦμα οὐ μέτρῳ δωρεᾶς καὶ ἐνεργείας μεθέξει, ὥσπερ ἅπαντες οἱ προφῆται, ἀλλὰ συγγενείας δικαίῳ καὶ ὑπερουσίου ὁμουσιότητος ἀξιώματι. Τὸ μέντοι βάπτισμα τοῦ Ἰωάννου καὶ τῶν μαθητῶν τοῦ Σωτῆρος οὐδενὶ διαφόρῳ πλὴν τῆς τῶν προσώπων ἐναλλαγῆς διεστέλλετο· καὶ γὰρ παρεσκεύαζεν μὲν ἑκάτερον αὐτῶν τοὺς βαπτιζομένους ἐπιτηδείους ἔσεσθαι, τὸ διὰ πυρὸς καὶ Πνεύματος τελεσθησόμενον δέξασθαι βάπτισμα, οὐδέτερον δὲ αὐτῶν παρεῖχεν τὴν τοῦ Πνεύματος χάριν καὶ ἐνέργειαν, οὐδὲ τὴν παντελῆ τῶν ἁμαρτημάτων ἄφεσιν. Ἡ τοιαύτη γὰρ ὑπὲρ λόγον δωρεὰ μετὰ τὴν διανομὴν τῶν πυρίνων γλωσσῶν καὶ τὴν δι' αὐτῶν τοῦ ἁγίου Πνεύματος παρουσίαν τοῖς βαπτιζομένοις ἐχαρίζετο.

QUÆSTIO LVIII. [*Al.* LVII.]

Quare Moyses secundum genesin genealogiam texens principatuum Esau, reliquorum quidem simpliciter nuda recenset nomina, ad Ainan vero progrediens ait: « Iste est qui invenit Iamin in deserto cum pasceret subjugalia Seegon patris sui? » quid igitur est quod invenit? et quare mentione dignum est habitum?

ΕΡΩΤΗΣΙΣ ΝΗ'.

Τίνος ἕνεκεν ὁ Μωσῆς κατὰ τὴν Γένεσιν γενεαλογῶν τὰς ἡγεμονίας Ἡσαῦ, τῶν μὲν ἄλλων ἁπλῶς ψιλὰ διέρχεται τὰ ὀνόματα, ἐπὶ δὲ τὸν Αἰνὰν ἐλθὼν φησίν· « Οὗτός ἐστιν ὃς εὗρε τὸν Ἰαμὶν ἐν τῇ ἐρήμῳ ὅτε ἐνεμε τὰ ὑποζύγια Σεεγὼν τοῦ πατρὸς αὐτοῦ; » τί οὖν ἐστιν ὃ εὗρε; καὶ τίνος ἕνεκα μνήμης ἀξιοῦται;

Edita a Maio, l. c., p. 66. *In Gen.* XXXVI, 24.

Syriaca vox *Iamin*, vel, ut aliqui, *Elmein*, fontem denominat; fontes vero et putei desiderata erant res iis qui ex Abraham; cum enim essent pastores et substantiam totam sibi comparavissent ex

Ἡ Σύρα φωνὴ τὸν Ἰαμὶν ἢ ὡς ἔνιοι τὸν Ἐλμεὶν πηγὴν ἐθέλει καλεῖν· αἱ πηγαὶ δὲ καὶ τὰ φρέατα περισπούδαστον ὑπῆρχε χρῆμα τοῖς ἐξ Ἀβραάμ· πτημένες γὰρ ὄντες καὶ τὸν βίον ὅλον ποιούμενοι ἐκ τῆς

Digitized by Google

τῶν προβάτων πολυπληθείας τε καὶ εὐθηνίας, πολὺν A λόγον εἶχον τῶν πηγῶν καὶ φρεάτων· ἅτε δὴ τῆς τροφῆς οὐ πολὺ ἔλαττον οὐδὲ τοῦ πόματος καταπιαίνοντος καὶ διατιθέντος ἐπὶ τὸ ἄμεινον τὰ βοσκήματα. Οὕτω δὴ φαίνεται καὶ ὁ Ἀβραὰμ καὶ ἄλλης ἀπολαύσας παρὰ τοῦ Ἀβιμέλεχ θεραπείας, οὐκ ἀγνωμοσύνην ἡγούμενος διελέγχειν αὐτὸν περὶ τῆς ἀφαιρέσεως ὧν αὐτὸς ἀνωρύξατο φρεάτων· οὐδ' ἐκεῖνος τὸν ἔλεγχον μυκτηρίζει· ἀγνοεῖν δὲ τὴν πρᾶξιν παρὰ τῶν αὐτοῦ θεραπόντων τολμηθεῖσαν ὑποκρίνεται καὶ σπουδάζει ὁ Ἀβραὰμ διὰ τῶν ἑπτὰ ἀμνάδων τὴν τοῦ Ἀβιμέλεχ ὁμολογίαν ὡς εἴη τὸ φρέαρ ἔργον καὶ πόνος τοῦ Ἀβραὰμ βεβαιώσασθαι· καὶ ὅρκος καὶ συνθῆκαι προβαίνουσι· καὶ ἡ πηγὴ λαμβάνει τὴν ἐπωνυμίαν ἀπὸ τῆς πράξεως φρέαρ Ὅρκισμοῦ ἐπονομασθεῖσα· καὶ οἱ Φυλιστιεὶμ δὲ χρόνῳ ὕστερον τῆς B ἰδίας χώρας ἐν ᾗ παρῴκει ὁ Ἰσαὰκ φεύγων τὸν ἐν τῇ πατρίδι λιμὸν, ἀπελάσαι φθόνῳ μελετήσαντες, ἐμφράττουσι τὰ φρέατα τοῦ πατρὸς αὐτοῦ, τοὺς ποιμένας εἰδότες μὴ δύνασθαι ζῆν, τῆς τῶν φρεάτων ἀποστερουμένους χρήσεως· καὶ Μωσῆς ὅτι τοὺς χειρῶν ἀδίκων ἄρξαντας ποιμένας ἀπωσάμενος παρέσχε ταῖς θυγατράσι τοῦ Ἰοθὸρ θᾶττον ἢ κατὰ τὰς ἄλλας ἡμέρας ποτίσαι τὰ θρέμματα τῷ πατρὶ κηδεύει, καὶ κύριος οἰκίας ἀντὶ προσηλύτου γίνεται· καὶ μυρία ἄλλα ἔστι λαβεῖν δι' ὧν περισπούδαστον καὶ μέγα κτῆμα τοῖς ἐξ Ἀβραὰμ τὰ φρέατα ἐνομίζετο· ὃ δὴ καὶ ἀταλαιπώρως εὑρὼν ὁ Αἰνὰν ἢ ὁ Ὠνὰν (ἑκατέρας γὰρ τῆς φωνῆς ὀνομάζεται), ἱστορίας παρέσχεν ὑπόθεσιν τῷ θεόπτῃ Μωσεῖ κατά γε τὴν κοσμογένειαν καὶ τὴν τοῦ Ἡσαῦ φυλὴν γενεαλογήσαντι.

ovium magno numero et prosperitate, magni faciebant fontes et puteos, quasi pascuis non valde minus ita et potu saginante et disponente in melius armenta. Sic certe videtur et Abraham et reliqua fruitus apud Abimelech cura, non insipientiam ducens reprehendere ipsum de ablatione eorum quos ipse foderat puteorum; neque ille reprehensionem irridet, ignorare vero actionem a suis servis ansam respondet et festinat Abraham per septem agnos Abimelech confessionem, esse puteum opus et laborem Abrahæ, stabilire. Et juramentum et conventiones procedunt, et fons sumit cognomen ab actu, puteus juramenti cognominatus. Et Philistiim tempore subsequenti propria regione in qua peregrinabatur Isaac fugiens in patria famem, expellere invidia cum meditati essent, obstruunt puteos patris ejus, pastores scientes non posse vivere, puteorum destitutos utilitate. Et Moses quod manibus iniquis patrari cœpta pastorum amolitus præbuisset filiabus Jethro ocius quam aliis diebus [opportunitatem] adaquandi greges, patri placet, et dominus domus pro advena fit. Et sexcenta alia sumere est per quæ desiderabilis et magna possessio posteris Abrahæ putei putabantur. Quod sane et feliciter cum invenisset Ainan seu Onan, utraque enim voce nominatur, historiæ præbuit materiam Dei speculatori Moysi qui de cosmogonia et de Esau familia genealogiam texuit.

ΕΡΩΤΗΣΙΣ ΝΘ'.

Τί δηλοῖ τὸ ἐν Δευτερονομίῳ γεγραμμένον· « Ἐὰν δὲ οἰκοδομήσῃς οἰκίαν καινὴν καὶ ποιήσῃς στεφάνην τῷ δώματίῳ σου, καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου· »

QUÆSTIO LIX [*al.* LVIII].

Quid significat quod in Deuteronomio scriptum est: « Si ædifices domum novam, facies et coronidem domui tuæ, nec facies homicidium in domo tua? »

Edita a Maio, l. c., p. 67-69. In Deuteronom. xxii, 8.

Εἴρηται μὲν τοῖς πρὸ ἡμῶν περὶ ταύτης τῆς ῥήσεως οὔτε τῆς σαφηνείας οὐδὲν οὔτε τῆς ὀρθότητος ἐνδεέστερον. Πλὴν ἐπείπερ σοι φίλον καὶ ἃ ῥᾴδιόν ἐστι παρ' ἑτέρων μαθεῖν, ταῦτα παρ' ἡμῶν ἀκούειν, συνάδοντες καὶ ἡμεῖς ἐκείνοις, καὶ μάλιστα οἷς τι τῶν ἄλλων ἐπὶ τὸ ἄμεινον τεθεώρηται, καὶ σύμφωνον ποιούμενοι τὴν ἀνάπτυξιν, πρῶτον μὲν εἰδέναι φαμὲν δεῖν, ὡς ὁ *καὶ* πολλάκις σύνδεσμος ὥσπερ καὶ ἄλλαι πολλαὶ τῶν λέξεων παρὰ τοῖς Μωσαϊκοῖς διατάγμασι παρέλκοντος ἐπέχει χώραν· διὸ καὶ πρὸς τὸ εὐθύτερον ἀναγνωσθείη ἂν τὸ ῥητὸν, τοῦ κατὰ τὴν ἀρχὴν συνδέσμου περιαιρεθέντος· διπλαῖς δὲ διανοίαις ἡ ἑρμηνεία μερίζεται. Ἡ μὲν γὰρ πρὸς τὸ γράμμα διαβαίνει καὶ διὰ τῶν αἰσθητῶν ἀπευθύνεται, ἡ δὲ πρὸς θεωρίαν θέλει μᾶλλον ἀνάγεσθαι· ἡ μὲν οὖν τὴν πρόοδον δι' ὧν ἡ λέξις μᾶλλον καὶ ἡ αἴσθησις ἐπικρατεῖ, ποιουμένη, ὧδέ πη τὸ δηλούμενον ἀναπτύσσει. Οἰκίαν γάρ σοι, φησὶν, προθεμένῳ σκοπὸν ἀνοικοδομῆσαι, καὶ τάφον, ὡς εἰκὸς, κρηπιδῶσαι καὶ καταβαλεῖν τὰ θεμέλια ἀνορυξαμένῳ, οὐ χρὴ καταλιπεῖν· τὰ βοθρεύματα πρὶν εἰς τέλος ἀγαγεῖν τὸ ἔργον χωρὶς τῆς ἁρμοζούσης περιβολῆς καὶ ἀσφαλείας· ἵνα μὴ τῷ τὴν σὴν ἀγνοήσαντι πρᾶξιν, αἴτιος

Dictum est quidem a majoribus nostris de hac locutione quod neque illustratione neque correctione indiget. Attamen quia tibi placitum et quæ facile est ab aliis discere, hæc a nobis audire, concinentes et nos illis, et præsertim quibus aliquid aliorum in melius speculatum est, et consonam facientes replicationem, primum quidem nosse dicimus oportere, quod sæpe conjunctio, *et*, sicut et aliæ multæ ex dictionibus in Mosaicis ordinationibus, redundantis vocis habet locum. Ideo et rectius legeretur dictum, ea quæ ab initio est conjunctione sublata; duplicibus vero intellectibus interpretatio dividitur. Hæc enim ad litteram transit et per sensibilia dirigitur, illa vero ad theoriam vult magis sursum agi. Illa igitur prævium iter, per quæ dictio magis et sensus obtinet, sibi faciens, sic forte significatum aperit: Domum enim tibi, ait, cum posueris scopum ædificare, et foveam ut decet fundare et jacere fundamenta cum foderis, non oportet relinquere fossiones antequam ad finem perduxeris opus, absque convenienti cinctura et munimine, ut ne tuam ignoranti actionem, causa videaris homicidii, illo

Digitized by Google

quidem lapso in profundum, utpote nihil novorum operum antea sciente, te vero nullam curam ne quid accidat tale, adhibente. Etenim et multa ex irrationalibus non veri absimile est casura in profundum et interitura; sed et hominum aliquos quos prior locorum positio et consuetudo transitus et breve post novam structuram tempus obumbrantia ea quæ noviter facta sunt, et nihil novum neque dictum damnum ne suspicarentur decipientia, perditionem invenire pro præcedenti utilitate coegerunt. Oportet igitur propter hæc omnia nullam omittere, in iis quæ agimus, securitatem, per quam congeneres et contribules omni læsioni et damno impervios conservemus. Illegitimum enim et crudele a quibus nos utilitates carpimus, ejusdem generis et ejusdem tribus homines sinere perpessionum et dolorum sustinere ultima. Debita autem providentia adhibita, et inde quoque nullo transeuntium in fossiones abrupto, non erit occisio ulla in noviter ædificata domo; et circa domum conspecta cinctura et coronis et homicidio mundam domum declaravit et erga proximum providentiam clare omnibus manifestans, multarum et insignium laudum causa provido auctori fit; et talis curæ fruitionem in similibus operibus et præscriptiones ei qui prior illas constituit, thesaurizavit. Et hoc quidem quod Deo gratissimum est legislationis stabilivit, et potens et salvificum et reverendum. Juxta quidem quod sensibile est, talem est accipere et propositi sermonis intelligentiam.

Quæ vero ad theoriam magis spiritum attollit, hæc et vellet hortationi actionem connectere. Qui philosophia recentiori et supra captum multitudinis posita utuntur, et vitam liberam a vulgari conversatione curant, non debent ii novum quidem fundamentum figere, novam vero parare tentare domum, nec in ullo ad multitudinem inclinatam, neque a consueta conversatione ad vestigia decidentem; in ipsis autem mediis operibus facti, intensionem luctaminum remittere, et facilitate similium laborum putridum et caducum id quod bene cœptum est ædificare egregiæ artis opus; et domum per quam licebat et decidentes imbres tentationum procellas fortiter repellere et inflammatum radium passionum sopire et cohibere ardorem; hanc vero domum splendide cœptam ædificari, ita vero ad admirationem suavem progredientem non oportet remissione sententiæ deinceps sinere in risum decidere, et in odium et in contumeliam priorem bonam famam commutari; sed oportet hanc noviter cœptam ædificari, in similibus servare successum, et coronidem jucundæ huic et egregiæ habitationi circumdare, id est usque in finem ad coronas ducentem accurationem et curam parare; legitime enim et ad finem usque pugnantium coronæ. « Nemo enim, » ait Ecclesiæ præco, « coronatur, nisi legitime certaverit[a]. » Novit autem

[a] II Tim. II, 5.

ἀναφανήσῃ φόνου, τοῦ μὲν ἐμπεσόντος τῷ βοθύνῳ, ἅτε μηδὲν τῶν καινουργηθέντων προειδότος, σοῦ δὲ μηδεμίαν ἐπιμέλειαν περὶ τοῦ μηδὲν συμβῆναι τοιοῦτον εἰσηγησαμένου. Καὶ γὰρ καὶ πολλὰ τῶν ἀλόγων οὐδὲν ἀπεικὸς παρεμπίπτειν τῷ βοθύνῳ καὶ ἀπόλυσθαι· ἀλλά γε τῶν ἀνθρώπων ἐνίους οὓς ἡ πρότερα τῶν χωρίων θέσις καὶ τὸ ἔθος τῆς διόδου καὶ ὁ βραχὺς μετὰ τὴν καινοτομίαν χρόνος ἐπισκιάζοντα τὰ νεοχμωθέντα, καὶ μηδὲν καινὸν μηδὲ πρόσφατον βλάβην ὑφορᾶσθαι συνεξαπατῶντα ὅλεθρον εὑρεῖν ἀντὶ τῆς προκειμένης χρείας συνώθησεν. Δεῖ δ' οὖν διὰ ταῦτα πάντα μηδεμίαν παραλιμπάνειν ἐφ' οἷς πράττομεν, ἀσφάλειαν· δι' ἧς τὸ ὁμογενὲς καὶ ὁμόφυλον πάσης βλάβης καὶ ζημίας ἀπείρατον συντηρήσομεν· ἔκθεσμον γὰρ καὶ ὠμότητος ἐφ' οἷς ἡμεῖς τὰς ὠφελείας δρεπόμεθα, τοὺς ὁμογενεῖς καὶ ὁμοφύλους περιορᾶν τὰ τῶν παθημάτων καὶ ἀλγεινῶν ὑφίστασθαι ἔσχατα· τῆς μέντοι χρεωστουμένης προνοίας κἀνταῦθα καὶ μηδὲν τῶν παραπορευομένων τοῖς βοθύνοις ὑποφερομένων, οὐκ ἔσται φόνος· οὐδεὶς ἐν τῇ νεουργουμένῃ οἰκίᾳ· καὶ ἡ περὶ τὸν βόθρον περινοηθεῖσα περιβολὴ καὶ στεφάνη καὶ φόνου καθαρὰν τὴν οἰκίαν ἀπέφηνεν καὶ τὴν τοῦ πλησίον πρόνοιαν λαμπρῶς πᾶσιν ἐμφανίζουσα, πολλῶν καὶ καλῶν ἐπαίνων πρόξενος τῷ προνοησαμένῳ γίνεται· καὶ τῆς τοιαύτης κηδεμονίας τὴν ἀπόλαυσιν ἐν ὁμοίοις ἔργοις καὶ συγκυρήμασι τῷ προκαταβαλόντι ἀπεθησαύρισε· καὶ τόγε θεοφιλέστατον τῆς νομοθεσίας ἐβεβαίωσε, τό τε δυνατὸν καὶ σωτήριον καὶ αἰδέσιμον· ἀλλὰ κατὰ μὲν τὸ αἰσθητὸν, τοιαύτην ἔστι λαβεῖν καὶ τὴν τοῦ προκειμένου λόγου εὐκρίνειαν.

Ἡ δὲ πρὸς θεωρίαν μᾶλλον τὸν νοῦν ἀναφέρουσα, τοιαῦτα ἂν εἴη καὶ βουλομένη καὶ τῇ παραινέσει τὴν πρᾶξιν συσφίγγουσα. Οἱ φιλοσοφίᾳ καινοτέρᾳ καὶ τῶν πολλῶν ὑπεράνω κειμένῃ χρώμενοι καὶ τὸν βίον ἐξῃρημένον τῆς δημώδους πολιτείας ἐπιτηδεύοντες, οὐκ ὀφείλουσιν οὗτοι καινὸν μὲν τὸν θεμέλιον πηγνύναι, καινὴν δὲ κατασκευάζειν ἐπιχειρεῖν τὴν οἰκίαν καὶ μηδὲν πρὸς τὸ πλῆθος συμφερομένην· μήτε τῆς ἐθίμου διαγωγῆς πρὸς τὰ ἴχνη καταπίπτουσαν· ἐν αὐτοῖς δὲ μέσοις τοῖς ἔργοις γενόμενοι, τὸν τόνον τῶν ἀγωνισμάτων ὑποχαλᾷν, καὶ τῇ ῥᾳστώνῃ τῶν ὁμοίων πόνων σαθρὸν καὶ εὐδιάπτωτον τὸ καλῶς ἀρξάμενον οἰκοδομεῖσθαι φιλοτέχνημα· καὶ τὴν οἰκίαν δι' ἧς ἐνῆν καὶ καταῤῥηγνυμένους ὄμβρους τὰς τῶν πειρασμῶν νιφάδας στερρῶς ἀποκρούεσθαι, καὶ φλογίζουσαν ἀκτῖνα ἤτοι τῶν παθῶν ἀποστέγειν τε καὶ ἀναστέλλειν τὴν πύρωσιν· ταύτην δὴ τὴν οἰκίαν οὕτω μὲν λαμπρῶς ἀρξαμένην οἰκοδομεῖσθαι, οὕτω δὲ πρὸς θαῦμα γλυκὺ προϊοῦσαν οὐ χρὴ ῥᾳθυμίᾳ γνώμης ὕστερον ἐᾷν εἰς γέλωτα καταπίπτειν, καὶ τὸ σκυθρωπὸν καὶ περιυβρισμένον τῆς πρὶν εὐκλείας ἀνταλλάττεσθαι· ἀλλὰ δεῖ ταύτην καινῶς ἀρξαμένην οἰκοδομεῖσθαι, ἐν τοῖς ὁμοίοις συντηρεῖν κατόρθωμα· καὶ στεφάνην τῷ τερπνῷ τούτῳ καὶ περικαλλεῖ δώματίῳ περιθεῖναι, τουτέστι μέχρι τέλους τὴν πρὸς τοὺς στεφάνους ἄγουσαν ἀκρίβειάν τε καὶ ἐπιμέλειαν ἐπιτηδεύειν· τῶν γὰρ νομίμως καὶ τῶν μέχρι τέλους

Digitized by Google

ἀθλούντων οἱ στέφανοι· « Οὐδεὶς γὰρ, φησὶ τῆς Ἐκκλησίας ὁ κῆρυξ, στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. » Οἶδε δὲ καὶ καινὴν κτίσιν τὴν κατὰ Χριστὸν προκοπὴν καὶ τελείωσιν ὁ τοῖς αὐτοῖς καινοῖς πολιτεύμασιν τὴν καινὴν διαθήκην καινοτέραν ἀεὶ συντηρήσας. « Εἴ τις γὰρ, φησὶν, ἐν χρόνῳ καινὴ κτίσις, » ἀνακαινίζεσθαι· τουτέστι διὰ πάντων ἐν τῇ σοφῷ τε καὶ ὑπὲρ λόγον οἰκονομηθείσῃ καινότητι διατηρεῖσθε καινιζόμενοι, μηδὲν παλαιὸν μηδὲ σαθρότητος νόσον ἐπιφέροντες. Εἰ γὰρ μὴ ἐπιτεθείη στεφάνη τῷ καινιζομένῳ δωματίῳ τοῖς κατορθώμασι, τουτέστιν εἰ μὴ μέχρι τέλους τοὺς νεανικοὺς καὶ καινοὺς καὶ καλοὺς ἀγῶνας τοὺς προξένους ἡμῖν τῶν στεφάνων συντηρήσομεν, φόνος καὶ φόνων ὁ χαλεπώτατος ἐν τῇ σαθρότητι τοῦ οἰκοδομήματος· συγκατενεγκόντος δὲ καὶ συγκατορύξαντος καὶ τὸν ἀπ' ἀρχῆς τῆς καινότητος τῆς οἰκοδομῆς, ὡς εἴθε μὴ ὤφελεν εἰς μάτην, φιλοτιμησάμενον· τῷ γὰρ οὕτως ἀθλίως περιενεχθέντι καὶ μετὰ τοσούτους πόνους καὶ ἱδρῶτας ὥσπερ ἐκ μεταμελείας ἐνυβρίσαι τὰ φθάσαντα, καὶ παθῶν ἀνδράποδον γενέσθαι καὶ τοῦ ἐχθροῦ θήραμα, οὐδὲν ἂν εἴη χεῖρον, μηδὲ τὴν ἀρχὴν ἐλέσθαι τὴν καινότητα τοῦ πολιτεύματος, ἢ προελομένους μὴ διενεγκεῖν μέχρι τέλους, ἀλλ' ἀνθελέσθαι τῶν σπουδαζομένων τὰ ἀπευκταῖα· καὶ οἷς ἂν ἔξουσιν οἱ μισοῦντες ἐντρυφᾷν τῇ χλεύῃ καὶ τοῖς ὀνειδίσμασιν, οὐδὲ τὸν θεσπέσιον δὲ παρασιωπεῖσθαι Κύριλλον ὅσιον.

et novam creaturam secundum Christum profectum et perfectionem qui iisdem novis institutis novum testamentum noviorem semper conservavit. « Si qua enim, » ait, « in tempore nova creatura[a], » renovari : id est, per omnia in sapienter et supra sermonem ædificata novitate perseverate innovati, nihil antiquum neque putredinis morbum inferentes. Si enim non imponatur coronis innovatæ domui per virtutes, id est, si non usque ad finem juvenilia et nova et pulchra certamina quæ procurant nobis coronas servaverimus, cædes et cædium pessima in putredine ædificii ; cum deorsum ferat et suffodiat vel illum qui a principio novitatis ædificii, utinam non profecerit in vanum, meliora æmulatus est. Ita misere enim dejecto et post tot labores et sudores quasi ex pœnitentia injuria afficere quæ præcesserunt, et passionum mancipium fieri et inimici præda, nihilo pejus esset, neque a principio elegisse novitatem conversationis, aut postquam elegit, non perduxisse usque ad finem, sed anteposuisse æmulatis ea quæ deprecabilia sunt. Et ex quibus poterunt osores delectari irrisionibus et exprobrationibus, non divina locutus siluit Cyrillus sanctus.

ΕΡΩΤΗΣΙΣ Ξ'.

Τί δήποτε τοῦ νόμου κωλύοντος ἅπτεσθαι λεπροῦ, εἰ δὲ μὴ, ἀκάθαρτον εἶναι ἕως ἑσπέρας, ἐν τῷ θεραπεύειν τὸν λεπρὸν ὁ Σωτὴρ ἅπτεται αὐτοῦ, καίτοι λόγῳ θεραπεύειν δυνατὸς ὤν ;

QUÆSTIO LX [*al.* LIX].

Cur Christus leprosum tetigerit, non obstante legali immunditia, cum solo verbo eum sanare potuerit?

Edita a Maio, l. c., p. 69-72.

Πρῶτον μὲν ἐκεῖνο προσῆκεν εἰδέναι, ὡς ἐξ ὧν ὁ Σωτὴρ νῦν μὲν τὸν νόμον ἔκρινε φυλάττειν, νῦν δὲ τῶν κρειττόνων καὶ ὑπὲρ ἄνθρωπον ἔργων ἀπέφαινεν ἥττονα, οὐδ' ὅτε νομοφυλακεῖν ἐδοκίμαζεν, ὡς ὑποκείμενος τοῖς νόμοις ἐφύλαττεν· ἀλλὰ τοῦτο μὲν οἰκονομίαν πληρῶν, καὶ δεικνὺς οἷα δὴ τὴν ἀνθρωπίνην φύσιν μὴ ἀπαξιώσας ἀναλαβεῖν, ὅτι καὶ αὐτὸς οὐκ ἀτιμάζει τὰ δι' ὧν ἤδη ῥυθμίζεται τὰ ἀνθρώπινα, ἀλλὰ καὶ μετέρχεται ταῦτα ὅταν μηδὲν ἄλλο τῶν κρειττόνων εἰς ἑαυτὸν μεθέλκῃ καὶ μεταβιβάζῃ τὴν πρόνοιαν· τοῦτο δὲ καὶ τῶν Ἰουδαίων ἅμα ἐμφράττων τὰ βλάσφημα καὶ ἀπύλωτα στόματα, καὶ τὸ ἀντίθεον καὶ παράνομον ὥσπερ εἰς τὸν Δεσπότην ἐναπορρίπτειν οὐκ ἐφριττεν ἡ θεομάχος αὐτῶν ἀπόνοια, εἰς τὰς ἐκείνων περιτρέπων κεφαλάς· ἐπεὶ καὶ τοὺς μαθητὰς ἐγκαλουμένους ὅτι κατὰ τὸ Σάββατον πορευόμενοι τοὺς στάχεις ἔτιλλον, καὶ ψύχοντες λιμοῦ τὴν αὐτοσχέδιον τράπεζαν ἐποιοῦντο ἴαμα, ἱεραῖς τε ἄλλαις ἐφόδοις καὶ δὴ καὶ παραδειγμάτων ἐπιφορᾷ κράτει καὶ ἀξιώματι τὸ ἀπαράγραπτον προβαλλομένων ἀνευθύνους ἐδείκνυ καὶ πάσης ἀνεπάφους μέμψεως· νοῖ μὴν καὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου Κύριον εἶναι τοῦ Σαββάτου, οὐχὶ δὲ τῇ ἐκείνου παρατηρήσει δουλεύοντα περιφανῶς ἀνεκήρυττε. Διὸ καὶ παρόντος αὐτοῦ τὸ προνόμιον τοῦ Σαββάτου συνεστέλλετο, ὥσπερ ἐπιστάντος δεσπότου

Primum quidem id convenit scire, ex quo Salvator nunc legem judicabat servare, nunc vero optimis et supra hominem operibus demonstrabat inferiora, nec quando legem servare ducebat bonum, ut subjectum legibus eum servasse ; sed hoc quidem œconomiam implens et ostendens sicut humanam naturam non dedignatus assumere, ita nec ipsum jam dedignari ea per quæ ordinantur humana, sed et sectari se illa quando nihil aliud excellentiorum in seipsum attrahit et transfert per providentiam ; illud autem et Judæorum simul obstruens blasphema et absque ostiis ora, et quod contra Deum est et contra legem ut in Dominum jactare non horrebat contra Deum pugnans illorum insania, in ipsorum retorquens capita. Quoniam et discipulos accusatos quod contra Sabbatum euntes spicas vellerent, et esurientes famis sponte oblatam mensam facerent medicinam, sacris et aliis viis et exemplorum quoque allegatione vi et dignitate Scripturam non violatam proponentium sine culpa esse demonstravit et omni intactos criminatione. Imo et Filium hominis dominum esse Sabbati, non autem illius observationi servientia insigniter prædicavit. Ideo et præsente ipso præscriptio Sabbati contrahebatur, ut astante domino servi libertas evanescit, domino autem circumagitur nutu. Namque in quibus ho-

[a] II Cor. v, 17.

Digitized by Google

minum divinitus operabatur salutem, homines in iis educantes leges tacebant; melius enim esse multo propria pædagogia ipsum opus salutis intelligebant. In quibus autem non erat legum custodia mirabilium operationem superponens, neque hominem salutem despiciens, tunc et ipsæ propriam justificationem agnoscebant. Magis vero ipsis semper servatum exstabat ex iis quæ Salvator operabatur. Etenim legum illatio cum et magis vigentes viderentur, lignum cædere et ignem accendere et carnes dividi a sacerdotibus non injuriam ducebant et ipsarum roboris destructionem sed et decorem sibi faciebant et dignitatem tolerare illis posteriora; et bovem et asinum solvere a præsepi, et abducere ut potus participes essent propriæ temperantiæ infirmationem non putabant, nec solutio ipsis videbatur quod nec illa servirent præcepto. Quid autem oportet loqui ovem e fovea extractam et bovem et filium hominis e puteis laris extractum, et quæcunque talia alia; quorum Sabbati leges vim reverentes, juvabantur magis et exaltabantur; quibus a principio illatum, multorum aliorum operum complexu et exhibitione earum quæ in ipsis separabantur actionum.

A ἡ τοῦ δούλου παρρησία ἠρεμεῖ, τῷ δεσποτικῷ δὲ περιάγεται νεύματι. Ἀλλὰ γὰρ ἐν οἷς τὴν τῶν ἀνθρώπων ἐθεούργει σωτηρίαν, οἱ τοὺς ἀνθρώπους παιδαγωγοῦντες νόμοι ἡσύχαζον· κρεῖσσον γὰρ εἶναι πολλῷ τῆς ἰδίας παιδαγωγίας, αὐτὸ τὸ ἔργον τῆς σωτηρίας συνίεσαν. Ἐν οἷς δ' οὐκ ἦν τῶν νόμων ἡ φυλακὴ τὴν θαυματουργίαν ὑπερτιθεμένη, οὐδὲ τῆς τῶν ἀνθρώπων σωτηρίας κατολιγωροῦσα, τηνικαῦτα καὶ αὐτοὶ τὸ οἰκεῖον δικαίωμα ἐπεγίνωσκον· μᾶλλον δ' αὐτοῖς ἀεὶ συνδιασωζόμενον ὑπῆρχεν ἐξ ὧν ὁ Σωτὴρ διεπράττετο. Καὶ γὰρ ἡ τῶν νόμων εἰσφορὰ ὅτε καὶ μᾶλλον ἀνθοῦντες ἐφαίνοντο, τὸ ξυλοκοπεῖν καὶ πῦρ ἀνάπτειν καὶ κρεανομεῖν τοὺς ἱερεῖς οὐχ ὕβριν ἠγοῦντο οὐδὲ τῆς αὐτῶν ἰσχύος καθαίρεσιν· ἀλλὰ καὶ κόσμον ἐποιοῦντο καὶ σεμνολόγημα φέρειν ἐκείνων τὰ δεύτερα· καὶ βοῦν δὲ καὶ ὄνον λύειν τῆς φάτνης· B καὶ ἀπάγειν ποτοῦ μετασχεῖν τῆς ἰδίας ἐπικρατείας ἀσθένειαν οὐκ ἐτίθεντο, οὐδὲ λύσις αὐτοῖς ἐνομίζετο τὸ μὴ καὶ ταῦτα δουλεύειν τῷ παραγγέλματι. Τί δὲ δεῖ λέγειν πρόβατον βοθύνου ἀνασπώμενον καὶ βοῦν καὶ υἱὸν ἀνθρώπου τῶν φρεάτων ἀνιμώμενον· καὶ πόσα τοιαῦτα ἕτερα; ὧν οἱ τοῦ Σαββάτου νόμοι τὸ κράτος διευλαβούμενοι, ἠρκοῦντο μᾶλλον καὶ ἐσεμνύνοντο· οἷς ἀπ' ἀρχῆς εἰσφερόμενον, πολλῶν ἄλλων ἔργων περιοχῇ καὶ τῇ διατυπώσει τῶν ἐν αὐτοῖς ἀφωρίζοντο πράξεων.

Hæc quippe et talia, transgressionem Sabbati imprudentibus Judæis mirabilium operationes et insanabilium morborum curationem inclamantibus, Salvator in medium protulit, opponens ea quæ super sermonem sunt opera manufactis actionibus, et ostendens quantum utrorumque discrimen. Et non erat nec impudentibus negare Judæis multo majoris pretii esse et mirabiliores salvificas actiones quam lignorum cæsio et carnium divisio et e fovea et puteo ovis et bovis extractio, et quæcunque his similia, etsi ab impio sensu et Deum impugnante non desisterent. Vide autem tu incomprehensibilem Dei sapientiam et ineffabilem providentiam, quomodo quod debebat posterioribus temporibus omnino solvi gratiæ abolitum, legem dico, vi et dogmate, id a principio inductum et victum constringeretur, ut omnimoda instans solutio eam quæ ex parte et cum qua progressa est lex proponens, neque novum neque paradoxum allatum simul ostenderet, sed et Judæorum confunderet et obturaret incredulitatem, et contra legem non in tempore zelo tuitam, quasi non nunc lege ad solutionem vergente, sed a principio cum solutione progressa et cum solutione consistente, insolubilitati vero nec a principio subjecta. Et non quoad sola Sabbata legislationem solutio in suis ipsius limitibus servavit, sed et pro adimpletione paschatis definitum tempus distribuens, et in ea quæ per partes est superpositione actionis universitatem colligens. Certe et templum unum pro sacrificiis separatum ubique terræ dispersis Judæis victimam haud immolatam et ingratam omnimodo prænuntiavit futuram; hoc quidem

C Ταῦτα τοιγαροῦν καὶ τὰ τοιαῦτα παράβασιν τοῦ Σαββάτου τῶν ἀγνωμόνων Ἰουδαίων τὰς θαυματουργίας τε καὶ τὴν τῶν ἀνιάτων νόσων θεραπείαν ἐπιβοωμένων, ὁ Σωτὴρ εἰς μέσον προήνεγκεν ἀντιπαρατιθεὶς τὰ ὑπὲρ λόγον ἔργα ταῖς χειροκμήτοις πράξεσι, καὶ δεικνὺς ὅσον ἑκατέρων τὸ μέσον· καὶ οὐκ ἦν οὐδὲ τοῖς ἀναισχύντοις ἐξαρνεῖσθαι Ἰουδαίοις μὴ οὐχὶ πολλῷ τιμιωτέρας εἶναι καὶ θαυμασιωτέρας τὰς σωτηρίους πράξεις ξυλοκοπίας τε καὶ κρεανομίας καὶ βόθρου καὶ φρέατος πρόβατον καὶ βοῦν ἀνασπᾶν, καὶ ὅσα τούτοις ἐνάμιλλα, κἂν τῆς ἀσεβούσης γνώμης καὶ θεομαχούσης οὐ μεθίσταντο. Ὅρα δὲ σὺ τὴν ἀκατάληπτον τοῦ Θεοῦ σοφίαν καὶ ἀπόρρητον πρόνοιαν· ὅπως ὅπερ ἤμελλεν ὑστέροις χρόνοις εἰς τὸ παντελῶς λελύσθαι τῷ τῆς χάριτος ὑπεξιστάμενον (ὁ νόμος λέγω) κράτει καὶ δόγματι, τοῦτο κατ' ἀρχὰς εἰσαγόμενον καὶ κρατυνόμενον συνεσφίγγετο, ὡς ἂν D ἡ παντελὴς ἐπιστᾶσα λύσις τὴν ἐπὶ μέρους καὶ μεθ' ἧς προῆλθεν ὁ νόμος προβαλλομένη, οὐδὲν καινὸν οὐδὲ παράδοξον τὸ συνενεχθὲν ἐπιδείξειεν· ἀλλὰ καὶ τῶν Ἰουδαίων καταισχύνῃ καὶ ἐπιστομίσῃ τὸ ἀπειθὲς, καὶ παρὰ τὸν νόμον οὐκ ἐν καιρῷ περισπούδαστον, ὡς οὐ νῦν τοῦ νόμου πρὸς λύσιν χωροῦντος, ἀλλ' ἀπ' ἀρχῆς μετὰ λύσεως προεληλυθότος, καὶ λύσει μὲν συνισταμένου, τῷ ἀλύτῳ δὲ μηδὲ τὴν ἀρχὴν ὑφισταμένου· καὶ οὐκ ἐπὶ μόνων τῶν Σαββάτων τὴν νομοθεσίαν ἡ λύσις ἐν τοῖς ἑαυτῆς ὅροις περιέσωζεν, ἀλλὰ καὶ ἐπὶ τῆς τελετῆς τοῦ πάσχα τὸν ὡρισμένον καιρὸν ἐπιμερίζουσα, καὶ ἐν τῇ κατὰ μέρος ὑπερθέσει τὴν τῆς πράξεως ὁλοκληρίαν συνάγουσα. Καὶ δὴ καὶ ναὸς εἷς ἐπὶ ταῖς θυσίαις ἀφοριζόμενος τοῖς πανταχόσε γῆς διεσπαρμένοις Ἰουδαίοις τὴν θυσίαν

Digitized by Google

ἄθυτον καὶ ἀκαλλιέρητον παντὶ τρόπῳ προεθέσπιζεν ἔσεσθαι· τοῦτο μὲν μὴ δυναμένων πανταχόθεν πάντων εἰς τὸν αὐτὸν νεὼν δι' ἔτους συναθροίζεσθαι, τοῦτο δὲ καὶ τοῦ ναοῦ οὐ μετὰ πολὺν χρόνον πολεμίαις χερσὶν ἀνατρέπεσθαι μέλλοντος· καὶ ἐπὶ μυρίων ἄλλων ὡς πανταχόθεν τὴν παλαιὰν νομοθεσίαν εἶναι συνιδεῖν εἰς τέλος παλαιωθήσεσθαι, ἅτε δὴ τῶν συνιστώντων αὐτὴν συμβόλων τοῦτο προανακηρυττόντων καὶ προκαταγγελλόντων, οὐ λόγοις μᾶλλον ἀλλ' αὐταῖς ἐργασίαις καὶ πράξεσι· καὶ δὴ καὶ ἑτέρας πολιτείας ὑψηλοτέρας τε καὶ θειοτέρας καὶ λύσιν οὐκ ἐπιδεχομένης προοίμιον ἀπ' ἀρχῆς καὶ προγύμνασμα γεγενῆσθαι ταύτην, δι' ἣν ὅλως καὶ τῆς ἐπικαίρου μετέσχε γενέσεως.

A cum non possent undique omnes in idem templum per annum congregari; illo vero quod templum non post multum tempus hostilibus manibus evertendum esset. Et in sexcentis aliis undequaque veterem legislationem esse conspicere in fine antiquandam, utpote componentibus ipsam symbolis id prædicantibus et prænuntiantibus, non verbis potius, sed ipsis operibus et actionibus, et certe alterius instituti sublimioris et divinioris et solutionem non admittentis proœmium a principio et progymnasma fuisse istam, propter quem omnino et temporalis particeps fuit nativitatis.

Ὁ δὲ Σωτὴρ ἡμῶν διά τε ταῦτα ἁφῇ θεραπεύει τὸν λεπρὸν καὶ ἵνα δείξῃ ὅτι Κύριος αὐτὸς ἦν, ὥσπερ τοῦ εἰσενεγκεῖν τὸν νόμον, οὕτω καὶ μὴ εἰσενεγκεῖν· ὥσπερ δὲ μὴ εἰσενεγκεῖν, οὕτω καὶ εἰσενεγκεῖν ἑτέροις, ἀλλ' οὐχ ἑαυτῷ εἰσενεγκεῖν· μηδὲ γὰρ μηδ' ὑποκεῖσθαι τὸν νομοθέτην νομοφυλακεῖν, ὧν ἡ φυλακὴ τοῖς νομοθετουμένοις ἁρμόζει μόνοις. Ὥσπερ γὰρ νομοθετῶν βασιλεὺς πόλει καὶ πολιτείαις, οὐχ οἷς ἁρμόζεται καὶ καθιστᾷ τὴν πολιτείαν, τούτοις ἑαυτὸν ὑπάγει, καὶ τῶν ἀρχομένων ἕνεκα καταγγέλλει καὶ παραπλησίως ἐκείνοις τεθηπέναι τὸν ὅρον τοῦ ψηφίσματος παρασκευάζει· ἀλλ' αὐτὸς μὲν ἄνω κάθηται τῆς πολιτικῆς τάξεως καὶ ὑπηρεσίας· τὸ δὲ πολίτευμα τοῖς αὐτοῦ συνέχει καὶ συνδιασώζει παραγγέλμασιν· οὕτως καὶ ὁ τοῦ κόσμου Δημιουργός τε καὶ Παμβασιλεὺς νόμους παρέσχε κατὰ καιρους τοῖς ἐν τῷ κόσμῳ, δι' ὧν ἦν αὐτῶν μὲν τὴν γνώμην ἐπὶ τὸ ἄμεινον μετακοσμεῖν τε καὶ μεταῤῥυθμίζειν, αὐτὸς δὲ τῆς τοιαύτης προνοίας ἀπροσδεὴς ἦν καὶ κρείττων, οἷς φιλοτιμούμενος ἐπλούτιζε τὸ ὑπήκοον τούτων ἀναδέχεσθαι τὴν χρείαν. Οὐδὲ γὰρ οὐδ' ὥσπερ ἐπὶ τῶν ἄλλων νομοθετῶν οἱ πολλῶν ἑτέρων συνεπικρινόντων τε καὶ συμψήφων τῇ γνώμῃ καθισταμένων τοὺς νόμους τιθέασιν, οὕτω καὶ ὁ Σωτὴρ ἡμῶν τὴν νομοθεσίαν εἰσέφερεν, ἀλλ' ὡς Θεὸς καὶ Κύριος πάντων καὶ τῆς ὅλης νομοθεσίας αὐτὸς ἐπανῃρημένος τὸ κράτος. Διόπερ ἀνάγκη τοὺς μὲν τοῖς νομοθετηθεῖσιν ὑποτετάχθαι, τὸν δὲ λόγος ἅπας ἐξαίρει μὴ οὐχὶ τῶν ἄλλων ἁπάντων καθ' ὑπερβολὴν ὑπερανεστηκέναι.

Salvator vero noster et propter hæc tactu sanat leprosum et ut ostendat se Dominum esse, ut introductionis legis, ita et non introductionis; quemadmodum autem eam poterat non introducere, ita et introduxisse aliis, at non sibi introduxisse; non enim subjacere legislatorem legis observationi, cujus custodia iis pro quibus leges feruntur convenit solis. Ut enim leges statuens rex civitati et administrationibus, non quibus aptat et constituit regimen, his seipsum subdit, et subjectorum ergo proclamat et proxime ipsis posuisse limitem decreti astruit: at ipse quidem in alto sedet politici ordinis et ministeri; regimen autem suis continet et conservat præceptis; sic et mundi Creator et universorum rex leges tradidit juxta tempora iis qui in mundo sunt, per quas licebat ipsorum quidem mentem ad melius ordinare et instituere, ipse vero talis providentiæ non indigens erat et melior iis est quibus benigne providens ditavit subjectionem ut illarum exciperent utilitatem: non enim ut alii legislatores qui multis aliis una judicantibus et consentientibus stabilientes leges ferunt, sic et Salvator noster legislationem invexit, sed ut Deus et Dominus omnium et tota legislatione ipse excelsior potestate. Ideo necesse est hoc quidem lege stabilitis subjacere, hunc autem ratio omnis eximit quod reliquis omnibus in immensum superemineat.

Ἀλλά μοι δεῦρο καὶ τόδε συνεπισκόπει· ὁ νόμος τὸν ἁπτόμενον λεπροῦ, ἀκάθαρτον ὀνομάζει, οὐχ ὃν ἐκ τῆς ἁφῆς ᾔδει τῆς λέπρας ἀποκαθαίροντα τὸν συνεχόμενον τῷ πάθει (οὐ γὰρ ἦσαν ἐλπίδες οὕπω τῆς χάριτος ἐπιστάσης, ἀλλ' οὐδὲ τῶν ταύτης προοιμίων, αἳ τὸν ἄνθρωπον ὑπέφαινον θεουργοῦντα, καὶ κρείττω πάθους, μάλιστά γε τοῦ τὴν θεραπείαν ζητοῦντος ἐμφανῆ καθιστῶσαι), ἀλλ' ὃς οὐδὲν τῷ λεπρωθέντι πρὸς κάθαρσιν συνεισάγει, καὶ ὃν μετασχεῖν μᾶλλον τοῦ πάθους ἢ τῆς ἀκαθαρσίας ἀπαλλάξαι τὸν παρασχόντα συνεώρα. Ὁ δὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἰατρὸς Χριστὸς ὁ Σωτὴρ ἡμῶν αὐτίκα μὲν τῆς λέπρας διὰ τῆς ἁφῆς ἀποκαθαίρει, αὐτίκα δὲ τὴν νόσον λόγου κρεῖττον φυγαδεύει. Πῶς οὖν οὐκ ἄτοπον διευλαβεῖσθαι τὴν ἁφὴν ὡς ἀκαθαρσίας πρόξενον, τὸν εἰδότα διὰ ταύτης κεκαθαρμένον ἀναδεῖξαι τὸν τῇ λέπρᾳ πιεζόμενον; πῶς δ' οὐ παράλογον τὸν μὲν

Sed mecum hic et illud considera: lex eum qui tangit leprosum, impurum nominat, non quem ex tactu sciebat a lepra mundantem eum qui detinetur malo; non enim erat spes nondum gratia instante, sed neque hujus proœmiis, quæ hominem demonstrarent divina operantem, et fortiorem malo, præsertim vero eo quod curationem quærebat manifestam sistere. Sed qui nihil leproso ad emundationem conducit, et quem participem esse magis mali quam immunditia liberare patientem conspexit. At animarum et corporum medicus Christus Salvator noster statim quidem a lepra per tactum mundat, statimque morbum melius quam dici possit fugat. Quomodo igitur non insulsum vereri tactum ut immunditiæ causam, eum qui novit per hunc mundatum demonstrare lepra afflictum? Quomodo autem non absonum leprosum jam non leprosum nec immun-

Digitized by Google

dum esse, mundatum vero et sanum per Dominicum tactum et reputari ab omnibus et ostendi, eum vero qui emundationem ipsi benigne et abundanter donavit, immunditiæ participem reputare, quam nec in alio corpore concessit manere? Igitur non eum qui per tactum malum corporis abrasit, hunc quia tangeret lex prohibuit. Misanthropiæ enim non effugisset crimen, sed eos qui in tangendo nihil quidem immunditiæ auferebant, tangentes tamen eos qui adhuc plaga detinebantur et affligere transmissione potius poterant, quam curationem per illorum manum lucrari; unde quia et dominus erat Filius hominis et ponendi et non ponendi legem, non enim carnis assumptio potentiam abstulit divinitatis, sed assumptus homo potentiam ejus qui assumpsit sibi propriam fecit; et quia qui principaliter et originaliter est legislator eos qui sub manu sunt subjicit legislationi, non simul subjicitur nec simul circumagitur cum legi subjectis. Et quia per solutionem vetus lex originem habuit et concurrentem cum solutione securitatem promisit, non altero alterum auferente, per utrumque vero subsistentiam legislatione accipiente; et quia non per tactum lex mundantes ab immunditia hominem tangere prohibet, sed eos qui neque quam melius disponere possunt injuria affectum per immunditiam; et quia per ea quæ Salvator fecit, legislationem magis honorabat non obstare eam divinis signis convincens, in concursum vero magis demonstrans assumptam. Propter hæc igitur omnia, quantum in me scire est, Salvator noster et Deus leprosum curans et verbo tactum conjungens supra sermonem ostendit mundatum.

A λεπρὸν οὐκέτι λεπρὸν οὐδ' ἀκάθαρτον εἶναι, κεκαθαρμένον δὲ καὶ ὑγιᾶ διὰ τῆς Δεσποτικῆς ἁφῆς καὶ νομίζεσθαι πᾶσι καὶ ἐπιδείκνυσθαι, τὸν δὲ τὴν κάθαρσιν αὐτῷ φιλανθρώπως καὶ ὑπερφυῶς δωρούμενον, ἀκαθαρσίας μετασχεῖν νομίζειν, ἢν οὐδ' ἐν ἑτέρῳ σώματι συνεχώρησεν μένειν; Οὐκοῦν οὐχὶ τὸν διὰ τῆς ἁφῆς τὸ πάθος τοῦ χρωτὸς ἀποξύοντα, τοῦτον μὴ ἅπτεσθαι ὁ νόμος ἐκώλυε (μισανθρωπίας γὰρ οὐκ ἂν ἔφυγε δίκην), ἀλλὰ τοὺς ἐν τῷ ἅπτεσθαι μηδὲν μὲν τῆς ἀκαθαρσίας ἀφαιρουμένους, ἁπτομένους δ' ὅμως τῶν ἔτι τῇ διαφθορᾷ συνεχομένων καὶ λυμαίνεσθαι τῇ μεταδόσει μᾶλλον δυναμένων, ἢ τὴν θεραπείαν διὰ τῆς ἐκείνων χειρὸς ἀποκερδαινόντων· ὥστε διότι τε Κύριος ἦν ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ θεῖναι καὶ μὴ θεῖναι τὸν νόμον (οὐ γὰρ ἡ τῆς σαρκὸς πρόσληψις τὴν ἐξουσίαν περιεῖλε τῆς θεότητος, ἀλλὰ ὁ προσληφθεὶς ἄνθρωπος τὸ κράτος τοῦ προσλαβόντος ᾠκειώσατο), καὶ διότι ὁ κυρίως καὶ οἰκοθεν νομοθέτης τοὺς ὑπὸ χεῖρα μὲν ὑποτάττει τῇ νομοθεσίᾳ, οὐ συνυπάγεται δὲ οὐδὲ συμπεριάγεται τοῖς νομοθετουμένοις· καὶ ὅτι διὰ λύσεως ὁ παλαιὸς νόμος τὴν γένεσιν ἔσχεν καὶ σύνδρομον τῇ λύσει τὴν ἀσφάλειαν ὑπέστη, οὐ θατέρου τὸ ἕτερον ἀναιροῦντος, δι' ἀμφοῖν δὲ τὴν σύστασιν τῆς νομοθεσίας λαμβανούσης· καὶ ὅτι οὐχὶ τοὺς δι' ἁφῆς ὁ νόμος καθαίροντας τῆς ἀκαθαρσίας τὸν ἄνθρωπον ἅπτεσθαι κωλύει· ἀλλὰ τοὺς μηδὲν ἄμεινον διαθεῖναι δυναμένους τὸν ἐξυβρισμένον τῇ ἀκαθαρσίᾳ· καὶ ὅτι δι' ὧν ὁ Σωτὴρ ἔπραττεν, τὴν νομοθεσίαν μᾶλλον ἐτίμα οὐκ ἀνθισταμένην ταῖς θεοσημείαις διελέγχων, σύνδρομον δὲ μᾶλλον ἐπιδεικνὺς παραλαμβανομένην. Διὰ τοίνυν ταῦτα πάντα, ὅσα γε ἐμὲ εἰδέναι, ὁ Σωτὴρ ἡμῶν καὶ Θεὸς τὸν λεπρὸν θεραπεύων καὶ λόγῳ τὴν ἁφὴν συνάπτων ὑπὲρ λόγον ἔδειξε κεκαθαρμένον.

B

C

QUÆSTIO LXI [*al.* LX].

Quid significat illud : « Est spes canem viventem meliorem esse leone mortuo ?

ΕΡΩΤΗΣΙΣ ΞΑ'.

Τί δηλοῖ τὸ, « Ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν, αὐτὸς ἀγαθός ἐστιν ὑπὲρ τὸν λέοντα τὸν τεθνηκότα ; »

Edita a Maio, l. c., p. 72-73. In Eccle. IX, 4.

Secundum litteram quidem, in propatulo sensus est; ad nihil autem videtur utilium neque necessariorum tendere ; etenim omnibus et cognitum, non solum canem vivum mortuo leone meliorem, sed et omne cui adest vitæ vestigium eo quod hanc abjecit, et si leo sit, etsi leonum naturæ et roboris in immensum sortitum sit superioritatem, multo melioris ordinis vivum mortuo judicari. Igitur melius est a littera ad spiritum transire, et ad intellectualium sursum ferri contemplationem. Didicimus igitur ex sacris Eloquiis canes quidem eos qui ex gentibus appellatos, regium vero et excellentem quem repræsentaret leo, judaicum cognominatum populum. Dicit itaque Ecclesiastes : « Etenim id sapientiæ et ad præterita et ad futura explananda et conferenda divinitus datum est; » dicit itaque canem, id est ex gentibus hominem, sic enim eum vocari per Chananæam docemur, si illum secundum virtutes vita non omnino dereliquerit, spem præbiturum esse magis se ex bonitate non casurum esse

Κατὰ μὲν τὸ γράμμα, τὸ πρόχειρον ἡ διάνοια ἔχει· πρὸς οὐδὲν δὲ δοκεῖ τῶν λυσιτελούντων οὐδὲ τῶν ἀναγκαίων συντείνειν· καὶ γὰρ πᾶσίν ἐστιν ἐγνωσμένον, ὡς οὐ μόνον ὁ κύων ὁ ζῶν τοῦ τεθνηκότος λέοντος ἀμείνων, ἀλλὰ καὶ πᾶν ᾧ μέτεστι ζωῆς ἴχνος τοῦ ταύτην ἀποβεβληκότος κἂν λέων ᾖ, κἂν τῆς τῶν λεόντων φύσεως καὶ ῥώμης καθ' ὑπερβολὴν ἐκληρώσατο τὸ ὑπερέχον, πολλῷ κρείττονος λήξεως τὸ ζῶν τοῦ τεθνηκότος ἀξιοῦται· οὐκοῦν ἄμεινον ἀπὸ τοῦ γράμματος ἐπὶ τὸ πνεῦμα χωρεῖν, καὶ πρὸς τὴν τῶν νοητῶν ἀναφέρεσθαι θεωρίαν. Ἐμάθομεν τοίνυν ἀπὸ τῶν ἱερῶν Λογίων κύνας μὲν τοὺς ἐξ ἐθνῶν καλουμένους, βασιλικὸν δὲ καὶ περιούσιον ὃν ἂν εἰκονίσειεν ὁ λέων, τὸν Ἰουδαϊκὸν ἐπονομαζόμενον λαόν. Λέγει γοῦν ὁ Ἐκκλησιαστής· « Καὶ γὰρ αὐτῷ τὸ τῆς σοφίας χάρισμα πρὸς τὰ παρόντα καὶ δὴ τὰ φθάσαντα καὶ πρός γε τὰ μέλλοντα πλατύνεσθαι καὶ συμπαρατείνεσθαι θεόθεν ἐδωρήθη. » Λέγει τοίνυν ὡς ὁ κύων, τουτέστιν ὁ ἐξ ἐθνῶν ἄνθρωπος (τοῦτο γὰρ αὐτὸν καλεῖσθαι διὰ τῆς Χαναναίας διδασκόμεθα), ἐὰν

D

Digitized by Google

αὐτὸν ἡ κατὰ τὰς ἀρετὰς ζωὴ μὴ παντελῶς καταλίποι, οὗτος ἂν ἐλπίδας εἴη παρέχων μᾶλλον ὡς τῆς ἀγαθότητος οὐκ ἐκπεσεῖται, ἢ ὁ ἐκ τοῦ βασιλικοῦ μὲν καὶ γαύρου γένους τῶν Ἰουδαίων, νεκρὸς δὲ τοῖς κατορθώμασι κείμενος. Ὁ μὲν γὰρ τῆς ἀμείνονος μετέχων ζωῆς ἐλπίδας ὑποτείνει καὶ πρὸς τὴν τελειότητα τῶν κατορθωμάτων ἀναδραμεῖν· ὁ δὲ νεκρὰν φέρων ἐν ἑαυτῷ τῶν ἀρετῶν τὴν ἐνέργειαν, καὶ διὰ τοῦτο νεκροῖς ὢν ἐναρίθμιος μάτην τὸν λέοντα μεγαλαυχεῖ, τῆς ἀληθινῆς ζωῆς ἴχνος οὐδὲν ἐπιφερόμενος. Ναὶ μὴν καὶ ὁ νομιζόμενος ἀκάθαρτος ἄνθρωπος, ἅτε δὴ ταῖς ἁμαρτίαις ῥυπῶν, καὶ τῆς διὰ τῶν ἀρετῶν ἀπεστερημένος καθαρότητος, οὗτος δὴ δάκρυσι καὶ μεταμελείᾳ τῶν παθῶν τὸν βόρβορον ἀποπλυνάμενος, τοῦ φαινομένου μεγάλου καὶ ταῖς ἀρεταῖς ἐπηρμένου φρονεῖν ὑπέρογκον καὶ βασιλικὸν πολλάκις εὑρέθη κρείττων, καὶ αὐτὸς τὰς οὐλὰς τῶν ἁμαρτημάτων τῇ συνεχείᾳ τῆς θεραπείας ἀπαλειψάμενος. Ὁ δέ γε τῷ χρώματι τῶν ἀρετῶν εἰς λέοντα ζωγραφούμενος, πολλάκις χαυνωθεὶς τῷ φυσήματι τοῦ φρονήματος, κατερράγη τε τοῦ φρυάγματος καὶ νεκρὸς ἐγένετο, τῆς ἁμαρτίας αὐτὸν ὑποδεξαμένης τοῖς νεκροποιοῖς αὐτῆς καὶ νεκροφόροις σκηνώμασιν. Εἰ βούλει δὲ καὶ ὁ διὰ τοῦ βαπτίσματος εἰς τὴν κατὰ Χριστὸν ζωὴν ἀναγεγεννημένος, κἂν κυνὸς διεμόρφου πρότερον αὐτὸν ἀναίδεια, κἂν πρὸς ἄλλο τι τῶν ἀλόγων διετυποῦτο ἰδίωμα, ἐλπίδας οὗτος ὅμως παρέχεται πρὸς ἀγαθότητα μεταμορφωθῆναι, καὶ ἀγαθὸς χρηματίσαι· ὁ δὲ ταύτης τῆς ἀναγεννήσεως ἐκπεσὼν καὶ τῆς ἐκεῖθεν ἀπεστερημένος καὶ ἐπιγαυριᾷ ἐπηρμένῳ τοῦ πολιτεύματος, οὐδὲν μὲν πάλαι γεγονότος, τῆς ζωηφόρου δὲ μὴ ἀμοιρήσαντος χάριτος.

A quam eum qui ex regio quidem et nobili genere Judæorum, mortuus autem virtutibus jacens. Ille enim melioris particeps vitæ spem protendit se et ad perfectionem virtutum cursurum; hic vero mortuam ferens in semetipoo virtutum vim, et propter hoc mortuos inter computatus frustra leonem superbe agit, veræ vitæ vestigium nullum afferens. Sane equidem et respectatus impurus homo, utpote peccatis inquinatus, et ea quæ per virtutes est destitutus munditie, hic lacrymis et pœnitentia passionum lutum cum abluerit, eo qui videtur magnus et propter virtutes gloriosus sentire gravia et regia sæpe inventus est melior, et ipse sordes peccatorum continuitate curationis abstersus. Qui autem fuco virtutum in leonem pictus est, sæpe B insanus factus inflatione spiritus, dejectus est ab alto et mortuus factus est, peccato ipsum excipiente in mortifica sua et mortifera habitacula. Si autem vis, et qui per baptismum in vitam secundum Christum est regeneratus; etsi canis deformaverit prius ipsum impudentia, etsi ad aliud quoddam irrationabilium fingeretur proprium exemplar, spem iste tamen præbet ad bonitatem transformatum se iri et bonum futurum; qui autem hac regeneratione excidit et inde proveniente destitutus est vita, etsi quibusdam virtutibus decorari videatur et gloriari sublimitate conversationis, nihilominus manet mortuus, et multo pejus cane quidem olim facto, qui autem vitam ferentem non amisit gratiam.

ΕΡΩΤΗΣΙΣ ΞΒ'. C QUÆSTIO LXII [*al.* LXI].

Τί βούλεται δηλοῦν τὸ παρὰ τῷ Ἐκκλησιαστῇ ῥηθέν· « Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν. »

Quid vult significare quod apud Ecclesiasten dictum est: « Mitte panem tuum super faciem aquæ, quia in multitudine dierum invenies illum. »

Edita a Maio, l. c. p. 73-73. In Eccle xi, 1.

Τὸ τῆς ἐλεημοσύνης χρῆμα διὰ πολλῶν εἴωθε παραδηλοῦν ἡ Γραφή, μάλιστα δὲ τῇ χορηγίᾳ καὶ μεταδόσει τοῦ ἄρτου· καὶ γὰρ καὶ ἡ τούτου χρεία τὴν ἀνθρωπίνην ζωὴν μᾶλλον συνέχει. Διόπερ ἀπὸ τοῦ συνεκτικωτέρου μέρους τοῦ ἄρτου, ὅλον τὸ τῆς ἐλεημοσύνης κατόρθωμα διαλαμβάνει.

Γέγραπται οὖν· « Διάθρυπτε πεινῶσι τὸν ἄρτον σου·[7] » καὶ νῦν δὲ ὁ Σολομών, « Ἀπόστειλον, λέγων, τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, » τὴν ἐλεημοσύνην ἐδήλωσεν, ἧς δεῖ χορηγὸν εἶναι τοῖς ἐν ἐνδείᾳ καθεστῶσι, καὶ πρὸς χεῖρα μόνον φιλάνθρωπον ἀφορᾷν τὴν ἐλπίδα τοῦ βίου κεκτημένην. Ταύτην δέ φησι τὴν ἐλεημοσύνην ἐκ διαθέσεως προσῆκε φέρειν συμπαθοῦς καὶ διὰ δακρύων προϊούσης· μὴ μέντοι γε τὴν τοῦ πλησίον συμφοράν, ἐπιδείξεως καὶ μεγαλαυχίας ἁρπάζειν ὑπόθεσιν. Ὁ γὰρ τοιοῦτος οὐκ ἐπὶ πρόσωπον τοῦ ὕδατος τὸν ἄρτον ἀφῆκεν, ἀλλ' ἐξυβρισμένον τῇ μεγαλαυχίᾳ καὶ λελυμασμένον τῇ δοξοκοπίᾳ προσέρριψεν. Ἔλεος γὰρ δι' ὄγκου καὶ φιλαυτίας

Eleemosynæ bonum multis solet ostendere Scriptura, præsertim vero largitione et communicatione panis; etenim et hujus usus humanam vitam magis continet. Ideo a magis consueta parte panis totum eleemosynæ bonum desumit.

Scriptum est igitur: « Frange esurientibus panem tuum [7]; » et nunc Salomo: « Mitte, dicens, panem tuum super faciem aquæ, » eleemosynam significavit, cujus oportet administrum esse iis qui D in egestate constituti sunt, et in manu tantum benigna aspicere spem vitæ sitam; hanc autem, dicit, eleemosynam ex dispositione convenit ferre compatiente et per lacrymas prodiente, non tamen proximi calamitatem ostentationis et gloriationis arripere prætextum. Talis enim non super faciem aquæ panem misit, sed injuria affectum ob jactantiam et pessumdatum gloriæ appetitione projecit. Misericordia enim per fastum et amorem proprium

[7] Isa. LVIII, 7; Matth. XXV, 5.

Digitized by Google

et ostentationem effusa, in injuriam magis quam in refrigerium indigenti circumsistitur. Etenim non despicere fratrem egestate consumptum, et inopia pereuntem, debitum quidem et debitum indeprecabile sensatus judicabit, et festinabit exsolvere nec fieri ullo modo procrastinator, gloriam autem venari et benefici per talem actionem sibi assumere titulum, insensatorum esset, et bonum male scientium prosequi. Ideo ille quidem in multitudine dierum, id est in futuro sæculo, panem inveniet eleemosynæ, vice recipiens misericordiam, hic vero non inveniet, gloriæ enim venatione et ostentationis mercatura in antecessum destructus est.

Posses autem per prædicta verba et ad alium transire sensum : qualem hunc? Hominum multitudinem, quam amat Scriptura denominare aquas. « Eripe enim me, » ait in Spiritu psallens, « de aquis multis, de manu filiorum alienorum [a]. » Igitur sacrarum scientiarum magister eum qui nutrit animam panem quem a Deo commissum habet, debet auditorum multitudini absque mora omni et cunctatione dispertiri, et nunquam largitione destituere in indigentia ejus constitutos. Et quænam merces benigni hujus operis? Manifeste qui in multitudine dierum retribuit. Quoniam vero aqua diversas rerum materias significare potest, non esset forte irrationabiliter propositum sermonem speculans qui eleemosynam dicit decere facere semper, ad perennes aquarum attendendo fontes et horum activam vim ad misericordiam imitatione transferre, et non aliquando quidem profundere miserationem, aliquando vero contrahere, sed continua fluenda et non intercepta egenis aperire. Tota enim die miseretur et commodat Dominus, David est audire psallentem; et si miseretur pauperis, feneratur Deo, quomodo quis Deum amans et ejus ad similitudinem servans nobilitatem, tolerabile ducat non semper sibi parare debitorem Deum, sed præcidere et orbare seipsum talis ac tanti lucri collectione? Manifestum autem talem semper quidem, præsertim vero in multitudine dierum inventurum, quam panis communicatio continuam retributionem thesaurizavit ipsi.

Mittit certe panem supersubstantialem et mysticum et mysteriorum initiator super faciem regenerationis aquæ iis qui mysteriis initiantur et qui indigentibus cœlesti et animam confirmante cibo præbet ipsum. Etenim post aquæ divinam regenerationem cœlestis et vivificus panis regeneratis præbetur, et qui hunc in sapientia distribuit, et juxta dignitatem dispensat, invenit panem vere qui de cœlo descendit, et vitam mundo dat, semper quidem vivificans ipsum et confirmans et nutriens, præsertim vero in tempore vita functorum retributionis. Sunt tamen quidam qui et talem sensum dicto subjacere putant : non oportet curis agitari

[a] Psal. CXLIII, 7.

καὶ ἐπιδείξεως προχεόμενον, εἰς ὕβριν μᾶλλον ἢ παραψυχὴν τῷ δεομένῳ περίσταται. Τὸ γὰρ μὴ παριδεῖν τὸν ἀδελφὸν ἐνδείᾳ τηκόμενον, καὶ ἀπορίᾳ συνδιολλύμενον, χρέος μὲν καὶ χρεῶν τὸ ἀπαραίτητον ὁ εὐγνώμων ἡγήσεται, καὶ σπουδάσει καταλαβεῖν καὶ μὴ γενέσθαι μηδαμῶς ὑπερήμερος· δόξαν δὲ θηρᾶσαι καὶ εὐεργέτου διὰ τῆς τοιαύτης πράξεως περιβαλέσθαι ἀξίωμα, τῶν ἀγνωμόνων ἂν εἴη, καὶ τὸ καλὸν κακῶς εἰδότων μετέρχεσθαι. Διόπερ ὁ μὲν ἐν τῷ πλήθει τῶν ἡμερῶν, τουτέστιν ἐν τῷ μέλλοντι αἰῶνι, τὸν ἄρτον εὑρήσει τῆς ἐλεημοσύνης, ἀντιλαμβάνων τὸν ἔλεον· ὁ δὲ οὐχ εὑρήσει· δοξοκοπίᾳ γὰρ καὶ τῇ τῆς ἐπιδείξεως ἐμπορίᾳ προκατηνάλωται.

Δύναιο δ' ἂν διὰ τῶν προειρημένων ῥημάτων καὶ πρὸς ἑτέραν μετελθεῖν διάνοιαν. Ποίαν ταύτην; Τὸ τῶν ἀνθρώπων πλῆθος, φίλον τῇ Γραφῇ κατονομάζειν ὕδατα· « Ῥῦσαί γάρ με, » φησὶν ὁ ἐν τῷ Πνεύματι ψάλλων, « ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. » Ὁ τοίνυν τῶν ἱερῶν μαθημάτων διδάσκαλος τὸν τρέφοντα τὴν ψυχὴν ἄρτον ὃν θεόθεν κατεπιστεύθη, τοῦτον ὀφείλει τῷ τῶν ἀκροατῶν πλήθει χωρὶς ἀναβολῆς πάσης καὶ ὑπερθέσεως διανέμειν, καὶ μηδέποτε τῆς χορηγίας ἀποστερεῖν τοὺς ἐν χρείᾳ ταύτης καθισταμένους. Καὶ τίς ὁ μισθὸς τῆς φιλανθρώπου ταύτης ἐργασίας; ἢ δῆλον ὁ ἐν τῷ πλήθει τῶν ἡμερῶν ἀνταποδιδόμενος. Ἐπεὶ δὲ τὸ ὕδωρ διαφόρους πραγμάτων ὑποθέσεις αἰνιγματίζειν δύναται, εἴη ἂν οὐκ ἀλόγως τὸν προκείμενον λόγον θεωρῶν ὁ τὴν ἐλεημοσύνην λέγων προσήκειν ἐργάζεσθαι διὰ παντὸς πρὸς τὰς ἀεννάους τῶν ὑδάτων ἐνατενίζων πηγὰς, καὶ τὴν ἐκείνων ἐνέργειαν ἐπὶ τὸν ἔλεον τῇ μιμήσει μεταφέρειν· καὶ μὴ ποτὲ μὲν προχέειν τὸν ἔλεον, ποτὲ δὲ ἀναστέλλειν, ἀλλὰ διηνεκῆ τὰ ῥεῖθρα καὶ ἀδιάδοχα τοῖς χρῄζουσιν ἀναβλύζειν. Ὅλην γὰρ τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ Κύριος, τοῦ Δαυὶδ ἔστιν ἀκούειν ψάλλοντος· καὶ εἰ ὁ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ, πῶς ἂν τις φιλόθεος ὢν καὶ τοῦ κατ' εἰκόνα σώζων τὸ εὐγενὲς, ἀνεκτὸν ἡγήσαιτο μὴ διὰ παντὸς ἑαυτῷ παρασκευάζειν χρεώστην τὸν Θεὸν, ἀλλὰ περικόπτειν καὶ ἀποστερεῖν ἑαυτὸν τοῦ τηλικούτου καὶ τοσούτου κέρδους τὴν συνεισφοράν; Δῆλον δὲ ὡς ὁ τοιοῦτος ἀεὶ μὲν, μάλιστα δὲ ἐν πλήθει τῶν ἡμερῶν εὑρήσει, ἣν ἡ τοῦ ἄρτου μετάδοσις διηνεκῆ μισθαποδοσίαν ἀπεθησαύρισεν αὐτῷ.

Ἀποστέλλει μέντοι γε τὸν ἄρτον τὸν ἐπιούσιον καὶ μυστικὸν καὶ ὁ μυσταγωγὸς ἐπὶ πρόσωπον τοῦ τῆς παλιγγενεσίας ὕδατος τοῖς μυσταγωγουμένοις καὶ δεομένοις οὐρανίου καὶ ψυχὴν στηριζούσης τροφῆς παρέχων αὐτόν. Καὶ γὰρ μετὰ τὴν τοῦ ὕδατος θείαν ἀναγέννησιν ὁ οὐράνιος καὶ ζωοποιὸς ἄρτος τοῖς ἀναγεννηθεῖσι προσφέρεται· καὶ ὅ γε τοῦτον ἐν σοφίᾳ διανέμων καὶ κατ' ἀξίαν οἰκονομῶν, εὗρε τὸν ἄρτον ὡς ἀληθῶς τὸν ἐκ τοῦ οὐρανοῦ καταβεβηκότα, καὶ ζωὴν τῷ κόσμῳ διδόντα, ἀεὶ μὲν ζωοποιοῦντα αὐτὸν καὶ στηρίζοντα καὶ τρέφοντα, μάλιστα δὲ ἐν καιρῷ τῆς τῶν βεβιωμένων ἀνταποδόσεως. Εἰσὶ μέντοι γε τινὲς οἳ καὶ τοιαύτην ἔννοιαν τὸ

Digitized by Google

ρητὸν ὑποβάλλειν νομίζουσιν· οὐ δεῖ πολυπραγμονεῖν τὸν τρεφόμενον ἢ ἐλεούμενον· καὶ τούτοις δὲ δῆλον ὅτι τὸ ὕδωρ τὸ τῶν ἀνθρώπων σύστημα σημαίνειν παραλαμβάνεται. Οὐ δεῖ οὖν, φασὶ, τὸν τῆς ἐλεημοσύνης δεόμενον λογοθετεῖν πρότερον, ἄξιός ἐστι τοῦ ἐλέους καὶ τῆς εὐεργεσίας ἢ οὔ· ἀλλὰ τὸν φιλανθρωπίας ἀξιοῦντα τυχεῖν, ταύτην χωρὶς λογισμῶν δισταζόντων παρέχειν. Ὥσπερ γὰρ ὁ κατὰ πελάγους ἀφιεὶς τὸν ἄρτον ἐπ' ἀδήλῳ μὲν ἔβαλε, καὶ οὐκ οἶδεν ἐν ᾧ τὸ ῥεῦμα τοῦτον ὑποσύρει, τῷ δὲ πάντων ἔχοντι τὴν γνῶσιν καθαρῶς ὁρᾶται καὶ τῇ αὐτοῦ περιέχεται παντοκρατορικῇ καταλήψει· τὸν αὐτὸν τρόπον καὶ ὁ τὸν ἔλεον οὐ διακρινομένῃ γνώμῃ καὶ ἀμφιβαλλούσῃ τοῖς ἐπιζητοῦσι παρεχόμενος, νῦν μὲν οὐκ ἐπιγινώσκει τίς ἐστιν ὁ λαβών, ἐν δὲ τῷ πλήθει τῶν ἡμερῶν, τουτέστιν ἐν τῷ μέλλοντι αἰῶνι, ἐπιγνώσεται· καὶ τὸν ἄρτον ἐκεῖνον ἐπὶ τῆς χειρὸς εὑρίσκων τοῦ Δεσπότου ἐπιδεικνύντος καὶ λέγοντος· « Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν, » δῆλον ὅτι πάσης εὐφροσύνης καὶ ἀγαλλιάσεως πλησθήσεται· οὐ μόνον ὃν ἀπέστειλεν ἄρτον ἐπὶ προσώπου τοῦ ὕδατος ἀνευρών, ἀλλὰ καὶ πολλῷ γεγονότα τιμιώτερόν τε αὐτῷ καὶ λυσιτελέστερον.

A nutritum aut misericordiam expertum. Et his evidens aqua hominum systema significari assumitur. Non oportet igitur, aiunt, eleemosyna indigentem trutinare prius, dignus ne est miseratione et beneficio an non, sed benignum esse dignum ducentem, beneficentiam absque rationibus pugnantibus exhibere. Ut enim qui in maria mittit panem in incertum quidem jacit, et nescit quo fluxus illum trahat, ab omnium vero habente scientiam pure videtur et ejus continetur omnipotenti comprehensione; eodem modo et qui miserationem non discernente animo et ambiguo quærentibus præbet, nunc quidem non agnoscit quis sit qui accepit, in multitudine vero dierum, id est in futuro sæculo, agnoscet. Et panem illum in manu inveniens Domini ostendentis et dicentis : « Esurivi et dedistis mihi manducare [9], » evidens omni gaudio et exsultatione repletum iri, cum non solum quem misit panem super faciem aquæ repererit, sed et multo factum pretiosiorem ipsi et utiliorem.

B

ΕΡΩΤΗΣΙΣ ΞΓ'.

Τί δηλοῖ· « Ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεσεῖται. »

QUÆSTIO LXIII [*al.* LXII].

Quid significat : « Qui fodit foveam, incidet in eam. »

Edita a Maio, l. c. p. 75-76. In Eccle. x, 8.

Βόθρον ἐνταῦθα τὴν κατὰ τοῦ πλησίον μελέτην καὶ τὸν βόθυνον ὄλεθρον ὀνομάζει, κατά γε τὸ γεγραμμένον· « Λάκκον ὤρυξεν καὶ ἀνέσκαψεν αὐτῷ καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο· » καί· « Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. » Ὁ τοίνυν τὸν τοιοῦτον βόθρον καὶ τὴν ἀπώλειαν ἑτέρῳ διορύσσων, αὐτὸς πρῶτος ἐμπίπτει ἐν αὐτῷ· ἐν γὰρ τῷ ταῦτα διαμηχανᾶσθαι πρὸ τῆς τοῦ πλησίον κακώσεως, τὴν ἑαυτοῦ διόλλυσι ψυχήν· ἂν μὲν γὰρ τῷ σώματι τὴν βλάβην ὑποτείνῃ τοῦ ὁμογενοῦς, πολλάκις ἐκεῖνον μὲν ὠφέλησε μᾶλλον ἢ διώλεσεν, ἑαυτὸν δὲ τῆς ψυχικῆς τῷ βόθρῳ συνώθησεν· ὁ δὲ τῆς τοῦ πλησίον ψυχῆς μηχανησάμενος τὴν ἀπώλειαν, οὗτος ἄν τε εἵλεν, ἄν τε μὴ εἵλε τὸν ἐπηρεαζόμενον, οὐδὲν ἔλαττον τὴν ἑαυτοῦ προαπώλεσεν. Ἡ γὰρ ἀδέκαστος κρίσις πρὸς τὴν σπουδὴν καὶ τὴν γνώμην λογοθετοῦσα τὸ ἀδίκημα, εἰ καὶ πολλάκις τὸν βλάπτειν ὡρμημένον ὁ ἐπιβουλευόμενος διαπέφευγε, τὴν τιμωρίαν οὐδὲν ἔλαττον εἰσπράττεται. Παραινεῖ τοίνυν διὰ τούτων ὁ Ἐκκλησιαστὴς, ἀφίστασθαι πάσης κακουργίας τὸν ἀπείρατον ζητοῦντα βλάβης καὶ κακώσεως συντηρηθῆναι. Καὶ μὴν ὁ διαμηχανώμενος κακὸν τῷ πλησίον οὐ διαφεύξεται τὴν ἐκ τοῦ νόμου τιμωρίαν, ἀλλ' ἂν τε ὀφθαλμὸν ἐκκόψας εἴη, τὸν οἰκεῖον ἐξορυχθήσεται· ἄν τε ὀδόντα ἐξελὼν, προσαπολέσει τὸν ἴδιον· καὶ οὐκ ἔστιν ἀδίκημα τὸν πλησίον λυμαινόμενον ὃ μὴ τὸν ἀδικήσαντα τῇ τιμωρίᾳ παραδίδωσιν· ὥστε ὁ τὸν βόθρον ἑτέρῳ διορύσσων, τουτέστιν ἀπολέσαι ζητῶν, οὐ διαφεύξεται τὸ μὴ ἐμπεσεῖν εἰς τὸν τιμωρίας βόθρον ὃν ἑαυτῷ κατὰ τοῦ πέλας τὸν βόθρον διορύττων ἐβαθύνατο.

C Foveam hic contra proximum meditationem et foveam perditionem nominat, juxta quod scriptum est : « Lacum aperuit et effodit ipsi, et incidet in foveam quam fecit [10], » et : « In operibus manuum suarum comprehensus est peccator [11]. » Igitur talem foveam et perditionem alteri effodiens, ipse prior incidit in eam; dum enim hæc machinatur ante proximi injuriam, suam ipsius perdit animam. Si enim corpori damnum struat congeneris, sæpe illum quidem juvit magis quam perdidit, seipsum autem in spiritualis ruinæ barathrum impulit. Qui autem proximi animæ machinatus est perditionem, hic si vel cepit, vel non cepit impetitum, nihilo minus suam ipsius prior perdidit. Etenim incorruptum judicium secundum studium et sententiam æstimans iniquitatem, etsi sæpe nocere agressum insidiis petitus evasit, vindictam nihilo minus infert. Hortatur itaque per hæc Ecclesiastes, absistere ab omni malefacto inexpertum quærentem damni et afflictionis se servare. Etenim machinans malum D contra proximum non effugiet eam quæ ex lege vindictam, sed si oculum exciderit, proprius effodietur. Si dentem fuerit extorquens, perdet proprium; et non est iniquitas proximum lædens quæ non inique agentem vindictæ tradat; ita ut foveam alteri fodiens, id est perdere quærens, non evasurus sit quin incidat in vindictæ foveam quam sibi ipsi contra proximum foveam fodiens effodit.

[9] Matth. xxv, 34. [10] Psal. vii, 16. [11] Psal. ix, 17.

Digitized by Google

QUÆSTIO LXIV [*al.* LXIII].

Quomodo intelligendum quod scriptum est ab Ecclesiaste : « Scindens ligna periclitatur in illis, si exciderit ferrum ; et ipse figuram turbavit et virtutes roborabit et superabundantia corduli sapientia. »

ΕΡΩΤΗΣΙΣ ΞΔ'.

Πῶς νοητέον ὃ γέγραπται τῷ Ἐκκλησιαστῇ· « Σχίζων ξύλα κινδυνεύει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον· καὶ αὐτὸς πρόσωπον ἐτάραξε καὶ δυνάμεις δυναμώσει καὶ περισσεία τοῦ ἀνδρείου σοφία. »

Edita a Maio, l. c., p. 76-77. In Eccle. x, 9, 10.

Ecclesiastes præsens liber ut Cantica canticorum præcipuum habent scopum intelligibilium et eorum quæ super sensum sunt contemplationem, et Proverbia hominum mores ordinare, ita et iste de naturalibus addit disserere, propositum sibi statuens auditores ad naturæ manuducere comprehensionem. Nullum quidem trium operum ab aliorum philosophia penitus alienum est, sed est invenire et in moralibus pro minori quidem parte tamen et naturalium et diviniorum contemplationum traditionem. Itidem et in philosophia de divinioribus morum informationem invenire est inspersam et etiam naturæ intelligentiam ; sed et in quo naturæ est speculari connexionem et harmoniam, non pauca deprehendere est eorum quæ per exhortationem anagogiam morum dirigunt. Ideo et nunc proclamans naturalium Ecclesiastes per exemplum in hortationem per quam est progredi præsentem vitam peste liberam et ad rectum cursum conservari auditorem immittit, et ait : « Qui scindit ligna » et vitam talium sibi facit artem, si exciderit ferrum quo scinduntur ligna, aut non post primam scissionem magis separat ab invicem, et in circumscriptionem struit propriam, « periclitatur in illis, » inde videlicet destitutus utilitate ; et conturbabit vultum, pro splendenti in hilaritate, mœstum accipiens ; et virtutes roborabit quæ fascinabant illum, ejus impotentiam et inopiam, vim propriam inhibitam, nihil ea quæ in virilitate ejus juvante, sed in vanum et inutile propter elapsum ferrum dissoluta. Ut igitur scindentem ligna, si exciderit ferrum, tantæ sequuntur calamitates et comprehendunt eum qui ex ligni divisione et artificio in sufficientia potest vivere : sic et qui sermone utitur doctrinali tanquam quodam ferro et instrumento divisorio per quod divinarum Scripturarum ex obscuritate contextum et connexionem ad invicem et apte et ut Spiritus vult gratia explicat et per partes subdividit per animabus utilem interpretationem sibi i, si spiritualem vitam conservat, auditores ad hanc ducens et hortans.

Si vero doctrinæ accuratione et ad pietatem sinceritate et acumine latente ipsum discretionem scriptorum et explicationem protulerit, neque orthodoxis theorematibus sensum interpretetur, sed ad hæresin quamdam et opinionis vilitatem salvificum verbum decidere sinat, is vere et vultum quem a principio induebat orthodoxi magisterii confundit et turbat, et auditorum animas pro salute damno implet : et virtutes quidem roboravit, quæ

Ὁ Ἐκκλησιαστὴς τὸ παρὸν βιβλίον ὥσπερ τὰ Ἄσματα τῶν ἀσμάτων προηγούμενον ἔχει σκοπὸν τὴν τῶν νοητῶν καὶ ὑπὲρ τὴν αἴσθησιν θεωρίαν, καὶ αἱ Παροιμίαι τὰ τῶν ἀνθρώπων ἤθη ῥυθμίζειν· οὕτω καὶ οὗτος περὶ τῶν φυσικῶν ἐπιβάλλει διαλαμβάνειν, ὑπόθεσιν προστησάμενος τοὺς ἀκροατὰς πρὸς τὴν τῆς φύσεως χειραγωγεῖν κατανόησιν. Οὐ μὲν οὐδεμία τῶν τριῶν πραγματειῶν τῆς τῶν ἄλλων φιλοσοφίας διόλου ἀπήλλακται· ἀλλ' ἔστιν εὑρεῖν κἀν τοῖς ἠθικοῖς ἐπ' ἔλαττον μὲν ὅμως καὶ φυσικῶν καὶ θειοτέρων θεωρημάτων παράδοσιν· ὡσαύτως δὲ κἀν τῇ περὶ τῶν θειοτέρων φιλοσοφίᾳ ἠθῶν τε διακόσμησιν εὑρεῖν ἔνεστι κατεσπαρμένην, καὶ δὴ καὶ φύσεως κατανόησιν· ἀλλά γε δὴ καὶ ᾧ τῆς φύσεως ἐστὶν ἀναθεωρεῖν τὴν ἀκολουθίαν καὶ τὸ ἐναρμόνιον, οὐκ ὀλίγα λαβεῖν ἔστι τῶν διὰ τῆς παραινέσεως τὴν ἀναγωγίαν τοῦ ἤθους ἀνορθουμένων. Διὸ καὶ νῦν ἀπαγγέλλων τῶν φυσικῶν ὁ Ἐκκλησιαστὴς διὰ τοῦ παραδείγματος εἰς τὴν παραίνεσιν δι' ἧς ἐστι πορεύεσθαι τὸν παρόντα βίον λύμης ἐλεύθερον καὶ πρὸς εὔροιαν συντηρεῖσθαι τὸν ἀκροατὴν παραπέμπει, καὶ φησίν· « Ὁ σχίζων ξύλα » καὶ βίον τὴν τούτων ποιούμενος τέχνην, ἐὰν ἐκπέσῃ τὸ σιδήριον ᾧτινι σχίζεται τὰ ξύλα, ἢ δ' οὐ μετὰ τὴν πρώτην σχίσιν ἐπὶ πλέον διΐσταται ἀπ' ἀλλήλων, καὶ εἰς περιγραφὴν ἀπαρτίζεται ἰδίαν, « κινδυνεύει ἐν αὐτοῖς, » τῆς ἐκεῖθεν δηλονότι ἀφαιρούμενος ὠφελείας· καὶ συνταράξει τὸ πρόσωπον, ἀντὶ τοῦ φαιδρυνομένου ἐν ἱλαρότητι, σκυθρωπὸν ἀναδεδεγμένος· καὶ δυνάμεις δυναμώσει ὅσαι διεβάσκαινον αὐτὸν, τὴν αὐτοῦ ἀσθένειαν καὶ ἀπορίαν, ἰσχὺν ἰδίαν περιβαλλομένην, οὐδὲν τῆς ἐν τῇ ἀνδρείᾳ αὐτοῦ συνεπαμυνούσης, ἀλλ' εἰς τὸ περιττὸν καὶ ἄχρηστον διὰ τὴν ἔκπτωσιν τοῦ σιδήρου διαλυομένης. Ὥσπερ οὖν ἐπὶ τοῦ σχίζοντος τὰ ξύλα, ἐὰν ἐκπέσῃ τὸ σιδήριον, τοσαῦται παρακολουθοῦσι συμφοραὶ καὶ καταλαμβάνουσι τὴν ἐκ τῆς τοῦ ξύλου διαιρέσεως καὶ καλλιεργίας ἐν αὐταρκείᾳ δυνάμενον βιοῦν· οὕτω καὶ ὁ τῷ λόγῳ χρώμενος τῷ διδασκαλικῷ καθάπερ τινὶ σιδήρῳ καὶ ὀργάνῳ διαιρετικῷ δι' οὗ τὴν θείων Γραφῶν διὰ τῆς ἀσαφείας σύμφυσίν τε καὶ συναίρεσιν καταλλήλως τε καὶ προσφυῶς καὶ ὡς ἡ τοῦ Πνεύματος βούλεται χάρις ἀναπτύσσει τε καὶ ἀνὰ μέρος συνδιαιρεῖ διὰ τῆς ψυχωφελοῦς ἑρμηνείας ἑαυτῷ τὴν πνευματικὴν ζωὴν συντηρεῖ, τοὺς ἀκροατὰς ἐπὶ ταύτην ὁδηγῶν τε καὶ παρακαλῶν.

Ἐὰν δὲ τὸ τῆς διδασκαλίας ἀκριβὲς καὶ πρὸς τὴν εὐσέβειαν εἰλικρινὲς καὶ ἠκονημένον λαθὸν αὐτὸν τὴν διαίρεσιν τῶν γεγραμμένων καὶ σαφήνειαν προενέγκῃ, μηδ' ὀρθοδόξοις θεωρήμασι τὴν διάνοιαν διερμηνεύῃ, ἀλλὰ πρὸς αἵρεσίν τινα καὶ δόξης φαυλότητα τὸν σωτήριον λόγον διαπεσεῖν ἐάσῃ, οὗτος ὡς ἀληθῶς καὶ τὸ πρόσωπον ὑπερ ἐξ ἀρχῆς περιέθετο τῆς ὀρθοδοξούσης διδασκαλίας συγχεῖ καὶ ταράσσει, καὶ τὰς τῶν ἀκροατῶν ψυχὰς ἀντὶ σωτηρίας βλάβης ἀνα-

Digitized by Google

πλήσσει · καὶ δυνάμεις μὲν ἐνεδυνάμωσεν, αἱ διαφθονούμεναι αὐτὸν εὐοδούμενον πρότερον ἐζήτουν ἐπιβουλεῦσαι καὶ ἀντιπράττειν ἐφιλονείκουν · ἑαυτὸν δὲ ἀσθενῆ καὶ καταβεβλημένον ἔδειξε, καὶ τὴν ἔμπροσθεν θαυμαζομένην αὐτοῦ σοφίαν εἰς τὸ περιττὸν καὶ μάταιον κατενηνεγμένην διήλεγξεν. Ὁ μέντοι τὸν νοῦν ἀνδρεῖος, καὶ τοὺς ἐπηρμένους τῶν αἱρετικῶν λογισμοὺς πολιορκεῖν αὐτοῦ τὴν ὀρθὴν δόξαν διωθούμενος, καὶ τῷ τμητικῷ τοῦ Πνεύματος λόγῳ, ἐκείνων μὲν τοὺς παρεμβαλλομένους λοξοὺς καὶ τὰς συστροφὰς τῶν σοφισμάτων ἐκτέμνων, τὴν δ' ἀληθινὴν δόξαν καὶ Θεὸν τιμῶσαν καὶ ἀρετῆς ἀντεχομένην περικαθαίρων τε τῶν ἐπισκιαζόντων καὶ ἀποδιαιρούμενος, εἴ τι τούτοις ἔξωθεν καὶ παρὰ τῶν ἐχθρῶν προστρίβεται νόθον, τοῦτον οὐδέποτε τὸ σιδήριον, οὔτε λαθὸν διαπέσῃ οὐδὲ ἐκ προδοσίας οὐδεὶς ἀπολέσαντα διελέγξει · ἀλλὰ καὶ τὸ ἐξ ἀρχῆς πρόσωπον ἀναλλοίωτον καὶ ταραχῆς ἁπάσης ἀνακεκαθαρμένον συντηρήσει · καὶ τὰς ἐν αὐτῷ φυσικὰς δυνάμεις τῇ προσθήκῃ τῶν ἀπὸ τῆς χάριτος δυναμώσει, δείξας ὡς ἀληθῶς ὅσον περισσεύει τοῦ ἀνδρείου ἡ σοφία τῆς τοῦ δειλοῦ ῥᾳθυμίας καὶ ῥᾳδίου τοῖς ἔργοις ἀλῶναι πολλὴν ἔχοντος τὴν ἀναλγησίαν.

A invidentes ei recte ambulanti prius quærebant insidiari et contra eum agere nitebantur; seipsum autem infirmum et dejectum ostendit, et antea admirationi habitam suam sapientiam in supervacuum et vanum delatam coarguit. Qui tamen mente virilis et elatas hæreticorum rationes ad debellandam ipsius rectam fidem repellens, et incisivo Spiritus verbo, illorum quidem immissiones obliquas et perversa sophismata exscindens, veram fidem et Deum honorantem et virtuti adhærentem mundat et ab obumbrantibus et separat, si quid his ab extrinseco et ab inimicis affricatur illegitimum, huic nunquam ferrum ne latenter quidem exciderit, neque ex proditione ullus pessumdantem convincet; sed et a principio vultum immutabilem et turbatione omni mundatum conservabit; et eas quæ in se sunt naturales vires additione earum quæ a gratia sunt roborabit, ostendens revera quantum superet viri cordati sapientia timidi ignaviam et facilis operibus capi multam habentis insensibilitatem.

B

ΕΡΩΤΗΣΙΣ ΞΕ'.

Πρὸς τίνα σκοπὸν ἀποβλέπει τό · « Γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν. »

QUÆSTIO LXV [*al.* LXIV].

Ad quem finem spectat illud : « Generatio præterit et generatio advenit, terra autem in æternum stat. »

Edita a Maio, l. c. p. 78-80. In Eccle. I, 4.

Εἰπὼν τῶν ἀνθρώπων ὁ Σολομὼν τὰ σπουδάσματα καὶ τοὺς διηνεκεῖς πόνους οὓς περὶ τὴν τοῦ βίου ἀπόλαυσιν καταβάλλονται, διαθαῤῥεῖν εἰς ματαιότητα, καὶ μηδὲν πλέον εὑρίσκειν κέρδος τὸν μοχθοῦντα καὶ κοπιῶντα τοῦ πρὸς μηδὲν τούτων ταῖς μερίμναις ἀποβλέποντος, ἀλλ' ὁμοίως μὲν τοῖς σωματικοῖς πάθεσιν ὑποκείμενον, ἐν ἴσῳ δὲ πρὸς ἀλλοίωσιν καὶ φθορὰν ἔχοντα τὸ σῶμα διακείμενον, πρὸς ὅμοιον δὲ τέλος ὁδεύοντα καὶ καταδυόμενον. Ταῦτα εἰπὼν καὶ ἐπιδειξάμενος διὰ τοῦ εἰπεῖν · « Τίς περισσεία τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον εἴη; » (καὶ γὰρ τὸ, *τίς*, ἐνταῦθα ἀντὶ τοῦ, *οὐδεμία*, λαμβάνεται · οἷον οὐδεμία περισσοτέρα ὠφέλεια τῷ ἀνθρώπῳ περιγίνεται ἐν παντὶ μόχθῳ αὐτοῦ ὑπὸ τὸν ἥλιον, ἢ εἰ πρὸς μηδὲν τούτων κατετρίβετό τε καὶ κατετείνετο · οὐ μὴν οὐδὲ πρὸς τὸν ἀπηλλαγμένον τοιαύτης ματαιότητος ἄμεινόν τι διακείμενος δείκνυται ·) ἀφεστᾶναι διὰ τοῦτο τῆς περὶ ταῦτα σπουδῆς καὶ ματαιότητος εἰσάγει παραίνεσιν. Ὑπὸ τὸν ἥλιον δὲ καλεῖν εἴωθεν ὅσα μᾶλλον γενέσεώς ἐστιν ὑπηρετήματα καὶ φθορᾶς · ἅτε δὴ τῇ ἐκείνου συνδιαφέρεσθαι φθορᾷ τοῦ δημιουργικοῦ λόγου τάξαντος θέρος καὶ χειμῶνα, καὶ τὰ μεταξὺ τούτων ἔαρ τε καὶ μετόπωρον. Ἐπεὶ οὖν μέγα μέρος συνεισάγει ὁ τοῦ ἡλίου πρὸς τὰς τῶν ὡρῶν γενέσεις δρόμος, αἱ δὲ ταῖς σωματικαῖς καὶ ἀνθρωπίναις ἐπὶ τὸ χεῖρον ἢ τὸ κρεῖττον ἀλλοιώσεσι καὶ μεταβολαῖς πολλὰς ἀφορμὰς συνεισάγουσιν, εἰκότως τὴν περὶ τὰ τοιαῦτα σπουδὴν καὶ φροντίδα κατονομάζει σπουδαστὰς αὐτῶν μαρτυρόμενος κατατρίβεσθαι.

C

Cum dixisset hominum Salomo studia et continuos labores quos ad vitæ fruitionem impendunt, cedere in vanitatem, et nullum majus invenire lucrum operose agentem et laborantem eo qui ad nullum horum curis respicit, sed similiter corporalibus affectibus subjectum, æque autem ad immutationem et corruptionem habentem corpus dispositum, et ad eumdem finem pergentem et occidentem; hæc cum dixisset et ostendisset per hæc verba : « Quid superest homini in omni labore quo laborat sub sole? » (Etenim, *quid*, illic pro *nihil*, sumitur; quale est : nulla abundantior utilitas homini prodit in omni labore suo sub sole, quam si ad nihil horum atterebatur et tendebat. Etenim non libero a tali vanitate melius in aliquo dispositus ostenditur), absistere igitur a studio circa hæc et vanitate inducit exhortationem. Sub sole autem appellare solet quæcunque magis generationis sunt ministeria et corruptionis; utpote illius discriminari corruptione Creatoris verbo ordinante æstatem et hiemem, et quæ inter hæc sunt ver et autumnum. Quia igitur magnam partem conducit solis ad horarum generationes cursus, hæ autem corporalibus et humanis in pejus aut melius mutationibus et translationibus multas occasiones inducunt, bene circa hæc studium et curam denominat laborem et molestiam sub sole, in vanum studiosos eorum testificans atteri.

D

κόπον καὶ μόχθον ὑπὸ τὸν ἥλιαν, εἰς μάνην τοὺς

Digitized by Google

Sed hæc de singulis hominibus cum præmisisset, A nunc dicit non solum unumquemque eorum nullum commodum percipere ex continuis distensionibus et laboribus, utpote per generationem et interitum fluentibus, studium incessabile et curam exciperet, sed et super generationem totam simile inane studium nihil minus videre esse supervenientem. Generationum enim una quidem optimo adhæret et alia quidem ad vilia quoque inclinat; illa sub sole laborantibus abiens tristem invenit et miseriæ plenum recessum, et veniens ad nihil utile viam perficit. Sed e contrario molestiæ et labores hanc prementes, pro eo ut præbeant utilitatem, irrident eam de vanitate; hæc vero ea quæ in generatione et in corruptione, id est sub sole sunt, prudenti sensu abjiciens, et rationem eorum quæcunque naturæ B vinculum indeprecabiliter non exigebat, nullam habens, sed quæ supra solem, id est quæcunque meliora sunt..... iis quæ in generatione et interitu, exquirens et philosophans, animæ puritatem, misericordiam proximi hilarem facientem et mitigantem eas quæ sunt a paupertate plagas; si vero et omnino a vulneribus liberantia et quod totius dispositionis felicissimum et Deo simillimum est, prudentiæ amore intemperantiam exterminantia et choro aliarum virtutum consonantia. Hanc igitur generationem et complentium eam catalogum, tanquam quæ nihil eorum quæ sub sole sunt prosecutam, neque cum iis quæ in generatione et interitu simul abreptam et absumptam, manifestum multo magis aliis ad meliora respexisse, manentem C et erroris expertem conversationem amplexatam pro errante et diffluente ad vanitatem: hæc ænigmatico et conciso sermone perstringens, inducit.

« Terra autem in æternum stat; » æternum quidem vocans tempus in quo sol et luna et siderum chorus et ipsum cœleste polum in opposito cursu bene ordinatum et concordantem impetum ad dierum et noctium et temporum discretionem et renovationem in gyro agunt; terram autem iterum assumens pro redargutione studii eorum qui terunt suas cogitationes et deprimunt propositum circa vana, pro eo ut deberent libenter insistere salvificis et animæ allaborare lucris: tantum non, quid enim, o homo, dicens, ex tanta importunitate et D studio lucratus es? Nonne similiter aliorum qui nullam talem turbationem sustinuerunt, neque talibus fluctuum procellis jactati sunt? Nonne quemadmodum illis et veniens venis et abis abiens? teipsum vero omnino misere privabis felicitate? quibus ea quæ super solem sunt quærentes et philosophantes fruuntur. Et quod miserrimum est quoad multorum laborum et molestiarum discrimen, heu intolerabile et absque solatio damnum! in pejus invenisti te et tua detrabentem, ad nullam autem meliorum rerum sustollentem. Vide enim neque ad inanimum istud et immotum et communiter omnibus subjectum terræ fundamentum, neque ad istud per multum illud inane studium,

Ἀλλὰ γὰρ ταῦτα περὶ τῶν καθέκαστα προδιαλαβὼν ἀνθρώπων, νῦν φησιν ὡς οὐ μόνον ἕκαστος αὐτῶν οὐδὲν κέρδος προσλαμβάνει διὰ τῶν συνεχῶς περισπασμῶν καὶ τῶν πόνων, οἷον τῶν διὰ γενέσεως καὶ φθορᾶς ῥεόντων, τὴν σπουδὴν ἄπαυστον καὶ ἐπιμέλειαν ἀναδέχονται, ἀλλὰ καὶ ἐπὶ γενεᾷ ὅλης τὴν ὁμοίαν κενοσπουδίαν οὐδὲν ἔλαττον ὁρᾷν ἔστι συμβαίνουσαν. Τῶν γὰρ γενεῶν ἡ τε τοῦ κρείττονος ἀντεχομένη καὶ δὴ καὶ ἡ πρὸς τὸ φαῦλον ἀποκλίνουσα, ἡ μὲν ὑπὸ τὸν ἥλιον μοχθήσασι ἀπερχομένη σκυθρωπὸν εὑρίσκει καὶ ἀθλιότητος πλήρη τὴν ἀναχώρησιν, καὶ ἐρχομένη πρὸς οὐδὲν τῶν χρησίμων τὴν ὁδὸν ἀνύει· ἀλλὰ τοὐναντίον μόχθοι καὶ κόποι ταύτην συνθλίβοντες, ἀντὶ τοῦ παρέχειν ὄφελος, ἐπιγελῶσιν αὐτὴν τῆς ματαιότητος· ἡ δὲ τὰ ἐν γενέσει καὶ φθορᾷ, τουτέστιν τὰ ὑπὸ τὸν ἥλιον, σώφρονι λογισμῷ παρωσαμένη, καὶ λόγον αὐτῶν ὅσα μὴ ὁ τῆς φύσεως δεσμὸς ἀπαραιτήτως ἀπῄτει, μηδένα θεμένη· ἀλλὰ τὰ ὑπὲρ τὸν ἥλιον, τουτέστιν ὅσα κρεῖττω πέφυκε τῶν ἐν γενέσει καὶ φθορᾷ ζητήσασά τε καὶ φιλοσοφήσασα, ψυχῆς καθαρότητα, ἔλεον τοῦ πλησίον ἱλαρύνοντά τε καὶ διαπραῦνοντα τὰς ἀπὸ τῆς πενίας πληγάς· εἰ δὲ καὶ παντελῶς τῶν τραυμάτων ἀπαλλάττοντα καὶ τῆς ὅλης διαθέσεως μακαριώτατόν τε καὶ θεοειδέστερον, σωφροσύνης ἔρωτι τὴν ἀκολασίαν ὑπερορίζουσα καὶ τῷ χορῷ τῶν ἄλλων ἀρετῶν συγχορεύουσα. Αὕτη τοίνυν ἡ γενεὰ καὶ τῶν συμπληρούντων αὐτὴν ὁ κατάλογος, ὡς μηδὲν τῶν ὑπὸ τὸν ἥλιον σπουδάσασα, μηδὲ τοῖς ἐν γενέσει καὶ φθορᾷ συμπεριενεχθεῖσα καὶ συγκαταδύσασα, δῆλον ὅτι πολὺ τῶν ἄλλων πρὸς τὸ κρεῖττον ἀπέβλεψε, τὴν μένουσαν καὶ ἀπλανῆ πολιτείαν ἀπαλλαξαμένη τῆς πλανωμένης καὶ διαῤῥεούσης πρὸς ματαιότητα· ταῦτα τῷ αἰνιγματίζοντι καὶ συντετμημένῳ λόγῳ διεξιών, ἐπιφέρει.

« Ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν· » αἰῶνα μὲν καλῶν τὸν χρόνον ἐν ᾧπερ ἥλιος καὶ ἡ σελήνη καὶ ἡ τῶν ἄστρων χορεία καὶ αὐτὸς ὁ οὐράνιος πόλος ἐν ἀντιθέτῳ πορείᾳ τὴν εὔτακτόν τε καὶ ἐναρμόνιον φορὰν πρὸς ἡμερῶν καὶ νυκτῶν καὶ καιρῶν διάκρισίν τε καὶ ἀποκατάστασιν ἀνελίσσουσι· τὴν γῆν δὲ πάλιν παραλαβὼν ἐπ' ἐλέγχῳ τῆς σπουδῆς τῶν καταθρυψάντων αὐτῶν τοὺς λογισμοὺς καὶ καταναλωσάντων τὴν προαίρεσιν περὶ τὰ μάταια, ἀνθ' ὧν ὤφειλον ἐμφιλοχωρεῖν τοῖς σωτηριώδεσι καὶ περὶ τὰ ψυχικὰ φιλοπονεῖσθαι κέρδη. Μονονουχί, Τί γάρ, ἄνθρωπε, λέγων, ἀπὸ τῆς τοσαύτης ὀχλήσεως καὶ σπουδῆς ἐκέρδησας; οὐχ ὁμοίως μὲν τῶν ἄλλων οἱ μηδένα τοιοῦτον τάραχον ὑπέστησαν, μηδὲ τοιαύταις τρικυμίαις ἐχειμάσθησαν; οὐχὶ παραπλησίως τούτοις καὶ ἐρχόμενος ἔρχῃ, καὶ ἀπέρχῃ ἀπερχόμενος; σαυτὸν δὲ πάντως ἀθλίως ἀποστερεῖς τῆς μακαριότητος; οἷς τὰ ὑπὲρ τὸν ἥλιον οἱ ζητοῦντες καὶ φιλοσοφήσαντες ἀπολαύουσι· καὶ τό γε χαλεπώτατον τὴν ἀπὸ τῶν πολλῶν πόνων καὶ κόπων διαφοράν, φεῦ τῆς ἀφορήτου καὶ ἀπαρακλήτου ζημίας, ἐπὶ τὸ χεῖρον εὗρες σέ τε καὶ τὰ σὰ κατασύρουσαν, πρὸς οὐδὲν δὲ τῶν κρειττόνων ἀναφέρουσαν. Ὅρα γὰρ ὅτι μηδὲ πρὸς τὸ ἄψυχον τοῦτο καὶ ἀκίνητον καὶ κοινῇ πᾶσιν ὑποκείμενον γῆς ἔδαφος, οὐδὲ πρὸς τοῦτο διὰ τῆς πολλῆς

Digitized by Google

ἐκείνης κενοσπουδίας, οὐδὲ κατά γε τὸν χρόνον παρατείνεσθαι σαυτῷ διεπράξω, οὐδέ τινα πρόφασιν πολλὰ διανοησάμενος εὗρες. Ἀλλὰ γὰρ σὺ μὲν ματαιοπονῶν καὶ τὰ ἄνω κάτω ποιῶν θᾶττον παρέρχῃ καὶ πρὸς ἃ μηδ' ἀκοῇ φέρειν ἀνεκτὸν νομίζειν, τρέμων καὶ ἀμηχανῶν καταδύεις· οὐδὲν δ' ἐπὶ βραχύτατον σαυτῷ προστιθεὶς τοῦ χρόνου, μὴ ὅτι γε τῇ παρατάξει συμπαρατεινόμενος τοῦ ἀψύχου καὶ ἀκινήτου· αὐτὸ δὲ τὸ πατούμενον ἔδαφος ἡ φύσις ἡ ἀναίσθητος καὶ μὴ κινουμένη ἕστηκεν καὶ διαμένει, οὐ πολλοὺς μόνον ἐξαλλάττουσα, κατηγόρου μὲν τάξιν λαβεῖν παρὰ σοῦ συνελασθεῖσα, κατηγοροῦσα δὲ τῆς σῆς κενοσπουδίας καὶ τῶν σοβαρῶν ἐνθυμήσεως διά τε τῆς ἐν τοσούτῳ χρόνῳ διαμονῆς καὶ παραστάσεως· καὶ διότι μηδὲν ἐξαλλάττουσα ὤφθη τῶν ὑπὸ τῆς Προνοίας αὐτῇ κεχαρισμένων· σοῦ τοῦ λόγῳ τιμηθέντος διὰ τῆς περὶ τὰ μάταια σπουδῆς καὶ φιλονεικίας, πάντα τἀναντία τῆς δημιουργικῆς διαπραξαμένου κηδεμονίας καὶ ἀνεπισχέτῳ ῥύμῃ φερομένου πρὸς ἃ τε νόμοι θεῖοι διεκώλυον, καὶ θεσμοὶ φύσεως ἄνωθεν καταβληθέντες ἐδυσχέραινον, ὕβριν ἀφόρητον τὴν σὴν κενοσπουδίαν καὶ τὸ ὀξύῤῥοπον περὶ τὰ μάταια φέροντες· ὡς δι' αὐτῶν τῆς διαβολῆς παραπεμπομένης εἰς τὸν πανσόφως τε καὶ φιλανθρώπως, καὶ οὗ μή ἐστι μήτε φιλανθρωπότερον μήτε ἄμεινον, μήτε λόγῳ φράσαι, μήτε λογισμοῖς ἀναπλάσαι δημιουργήσαντά τε καὶ προνοησάμενον τὰ ἡμέτερα. Ἀλλὰ γὰρ σοὶ μὲν ἴσως ἱκανὰ καὶ ταῦτα. Εὑρεῖν δ' ἔστιν ἑνίους γενεὰν μὲν ἐκπορευομένην καὶ ἐκβαλλομένην τὸ Ἰουδαίων γένος ἐκλαμβάνοντας, γενεὰν δὲ ἐρχομένην καὶ διαμένουσαν τὰ τέκνα τῆς χάριτος ἅτε δὴ τοῦ θείου σπόρου καὶ τῆς κατὰ Χριστὸν γεωργίας ἀναβλαστήσαντα· γῆν δὲ εἰς τὸν αἰῶνα ἑστᾶναι τήν τε Παλαιὰν καὶ Νέαν Γραφήν· ὅτι τε τὸ καρποφόρον τῶν ἀρετῶν ὁρᾷν ἔστιν αὐταῖς ἐνευθηνούμενον, καὶ τῶν νόμων καὶ τῶν ἐπαγγελιῶν τὸ δι' αἰῶνος ἀκίνητον· ὧν τὰς μὲν τοῖς δικαίοις ἀπενείμαντο, ταῖς δὲ τοὺς ἁμαρτωλοὺς καὶ ἀμετανόητα πλημμελήσαντας παραπέμπουσιν.

neque secundum tempus extendi te tibi perfecisse, neque aliquem prætextum multa meditatum invenisse. Sed tu quidem frustra laborans et superiora deorsum faciens citius transis, et ad ea quæ neque auditu ferre tolerabile putari, tremens et inops consilii descendis; nihil autem ad brevissimum tibi adjiciens temporis, multo minus dispositioni coextensus inanimarum et immotarum rerum. Ipsum autem calcatum solum, natura insensibilis et immota stat et perdurat, non multos tantum immutans, accusatoris quidem ordinem sumere contra te concitata, accusans vero tuum inane studium et violentiæ concupiscentiæ per perseverantiam in tanto tempore et persistentiam; et quia nihil immutans visum est eorum quæ a Providentia ipsi donata sunt: te per rationem honorato ob studium circa vana et cupiditatem, omnia contraria creatricis operato curæ, et incoercibili impetu lato ad ea quæ leges divinæ prohibebant, et vincula naturæ desuper demissa improbabant, injuriam intolerabilem tuam vanorum appetitionem et præcipitem impetum ad inania ferentes; quasi per ea accusatione perlata ad omnino sapienter et benigne, et non est neque quid benignius neque melius neque verbo dictu neque cogitationibus fictu, creantem et providentem nostra. Sed enim forte tibi sufficientia et ista: reperire vero est quosdam generationem exeuntem et ejectam, Judæorum genus accipientes, generationem vero advenientem et permanentem filios gratiæ, utpote qui a divino semine et ab agricultura secundum Christum sursum germinarunt; terram autem in sæculum stare Veterem et Novam Scripturam; quod autem frugiferum est virtutum videre esse in ipsis congestum, et legum et promissionum per sæculum firmitatem; quarum has quidem justis distribuebant, ad illas autem peccatores et nulla pœnitentia functos remittunt.

ΕΡΩΤΗΣΙΣ ΞΣ'.

Τίνα νοῦν ἀναπτύσσει τό· « Ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ; »

QUÆSTIO LXVI [*al.* LXV].

Quemnam sensum aperit illud: « Est justus qui perit in justitia sua, et est impius manens in improbitate sua. »

Edita a Maio, l. c. p. 80-81. In Eccle. VII, 16.

« Δίκαιος μὲν ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. » Δι' ἑκατέρας λέξεως τῆς δικαιοσύνης τὸ κέρδος, καὶ τῶν καλῶν ἡ εὐφθονία τε καὶ εὐθηνία διαγγέλλεται, διά τε τοῦ *ἀνθήσει* δηλονότι καὶ τοῦ *πληθυνθήσεται*. Οὗτος ὁ δίκαιος, κἂν μαστίζηται, κἂν στρεβλοῦται, κἂν πάσχῃ τὰ ἀλγεινότερα, κἂν πρὸς σφαγήν, κἂν πρὸς θάνατον, κἂν πρὸς σταυρὸν ἀπάγηται, οὐδὲν ἧττον ὡς φοῖνιξ ἀνθεῖ καὶ ὡσεὶ κέδρος πληθυνθήσεται, πολλαπλασίω τῶν πόνων καὶ παθημάτων τὴν ἀπόλαυσιν εὑρίσκων, καὶ τοῖς ἀδιηγήτοις ἀγαθοῖς ἐντρυφῶν τε καὶ ἐνευθηνούμενος. Τίς οὖν ἐστιν ὁ δίκαιος ὁ ἐν τῷ δικαίῳ αὐτοῦ ἀπολλύμενος, καὶ τίνα τρόπον ἀπόλλυται; ἢ δηλονότι

« Justus quidem ut palma florebit, et sicut cedrus Libani multiplicabitur [12] », per utramque dictionem justitiæ lucrum, et bonorum beatitudo et divitiæ enarrantur, per illud *florebit* videlicet et illud *multiplicabitur*. Hic justus, etsi flagelletur, etsi torqueatur, licet patiatur duriora, etsi ad victimam, etsi ad mortem, etsi ad crucem abducatur, nihilominus ut palma florebit et ut cedrus multiplicabitur, multo majorem laboribus et passionibus fruitionem inveniens, et inenarrabilibus bonis gaudens et affluens. Quis igitur est justus qui in justitia sua perit, et quomodo perit? Videlicet qui justi quidem rapit et induit nomen et vultum, sed in sua justitia ille

[12] Psal. XCI, 13.

Digitized by Google

justum se finxit esse, justi vultum non ex iis quæ erat, sed ex iis quæ fingebatur induens. Talis igitur justus, etsi omnes illum celebrent, etsi omnes ipsi justitiam plaudant, in ipso habitu justitiæ suæ et nomine ad extremam iniquitatem et perditionem præceps fertur. Quod enim majus furtum quam justi furari appellationem inter injustos jacentem? Quid autem impudentius quam amore insigniri excellentissimæ virtutum et per omnes illas pervenientis et symphoniam perficientis concordem ad quam nullo disponitur pejus? An igitur talis non in sua justitia juste perit? Quærens quæ non habet ostendere, et propter quæ celebratur decipere alios fictione quasi diligeret ista machinans, et præ aliis seipsum multo pejus et infelicius. Etenim eo quod confugere ad id quod justum est se fingit, ipse sciens et nolens confitetur se pejus anteponere meliori; non enim quæreret formam alienam induere per quam propriam abscondere possit. Deinde: « Et est impius manens in improbitate sua; » alia ista ratiocinatio et alia Salomonis ad priora sententia opposita. Illic enim putantem se justum esse, cum non sit in ipsa dicit vana subsumptione et artificio perire; hic vero in quæ fictus ille justus incidit. Et impium his detineri sciens, tamen non ex illis ejus arguit nequitiam et atheismum, sed ex ipsa in impietate perseverantia et habitatione propria; propter quod et extremam ultionem et perditionem protulit. « Qui enim non credit in Filium Dei, » insubstantiata dixit Veritas, « jam judicatus est, quia non credit in nomen unigeniti Filii Dei [13]. » Manifestum vero in Filium incredulitatem et ejusdem naturæ et ejusdem substantiæ Patris et Spiritus simul inducere incredulitatem, ut et fidem consequi solet fides. Dicit igitur Salvator blasphemanti in Spiritum sanctum, id est in unam supernaturalium et vitæ principiorum et ejusdem naturæ hypostasium omnipotentis et creatricis Deitatis, huic etsi virtutum amore passionum videatur esse immunitas, non tamen remittendum esse peccatum nec in præsenti sæculo, nec in futuro [14].

A ὁ τοῦ δικαίου μὲν ἁρπάζων καὶ καταχηματιζόμενος τὴν κλῆσιν καὶ τὸ πρόσωπον, ἐν αὐτῇ δὲ τῇ μηχανῇ αὐτοῦ καὶ περιεργίᾳ διολλύμενος. Οὐ γὰρ ἁπλῶς εἶπεν ἐν τῷ δικαίῳ ἢ ἐν τῇ δικαιοσύνῃ ἀπολλύμενος, ἀλλ' ἐν τῷ δικαίῳ αὐτοῦ ὃ ἐκεῖνος δίκαιον ἐμηχανήσατο εἶναι, τὸ τοῦ δικαίου πρόσωπον οὐκ ἐξ ὧν ἦν, ἀλλ' ἐξ ὧν ἐσχηματίζετο, περιβαλλόμενος. Ὁ τοιοῦτος οὖν δίκαιος, κἂν πάντες αὐτὸν ὑμνῶσιν, κἂν πάντες αὐτῷ τὸ δίκαιον ἐπικροτῶσιν, ἐν αὐτῷ τῷ σχήματι τῆς δικαιοσύνης αὐτοῦ καὶ τῷ ὀνόματι πρὸς τὴν ἐσχάτην ἀδικίαν καὶ ἀπώλειαν καταφέρεται. Τίς γὰρ μείζων κλοπὴ τὴν τοῦ δικαίου κλέπτειν προσηγορίαν τοῖς ἀδίκοις ἀνακείμενον; Τί δ' ἀναιδέστερον ἔρωτι σεμνύνεσθαι τῆς καλλίστης τῶν ἀρετῶν, καὶ δι' ἁπασῶν αὐτῶν διηκούσης καὶ τὴν συμφωνίαν ἀπο- B τελούσης ἐναρμόνιον, πρὸς ἣν οὐδενὸς διάκειται δυσμενέστερον; Ἆρ' οὖν ὁ τοιοῦτος οὐκ ἐν τῷ αὐτοῦ δικαίῳ δίκαιος, ἀπόλλυται; ζητῶν ἃ μὴ ἔχει δεικνύναι, καὶ πρὸς ἃ διαβέβληται ἀπατᾷν τοὺς ἄλλους τῇ προσποιήσει ὅτι στέργει ταῦτα μηχανώμενος· καὶ πρὸ τῶν ἄλλων, ἑαυτὸν πολλῷ κάκιον καὶ ἀθλιώτερον. Καὶ γὰρ ἐξ ὧν μὲν καταφεύγειν πρὸς τὸ δίκαιον σχηματίζεται, αὐτὸς γινώσκων καὶ ἄκων ὁμολογεῖ τὸ χεῖρον προελέσθαι τοῦ κρείττονος· οὐ γὰρ ἂν ἐζήτει μορφὴν ἀλλοτρίαν περιθέσθαι δι' ἧς τὴν οἰκείαν ἐπικρύψειεν. Εἶτα· « Καὶ ἔστι ἀσεβὴς μένων ἐν τῇ κακίᾳ αὐτοῦ. » Ἄλλος οὗτος λογισμὸς καὶ ἄλλη τοῦ Σολομῶντος πρὸς τὰ πρότερον διάνοια παραλλάσσουσα. Ἐκεῖ μὲν γὰρ τὸν νομίζοντα ἑαυτὸν δίκαιον εἶναι, μὴ ὄντα δέ· ἐν αὐτῇ λέγει τῇ ματαίᾳ ὑπολήψει καὶ μη- C χανουργίᾳ διόλλυσθαι· ἐνταῦθα δὲ, οἷς μὲν ὁ κατεσχηματισμένος ἐκεῖνος δίκαιος περιέπιπτε· καὶ τὸν ἀσεβῆ τούτοις ἐνέχεσθαι εἰδὼς, ὅμως οὐκ ἐξ ἐκείνων αὐτοῦ διελέγχει τὴν πονηρίαν καὶ ἀθεότητα, ἀλλ' ἐξ αὐτῆς τῆς ἐπὶ τὸ ἀσεβεῖν διαμονῆς καὶ οἰκειώσεως· δι' οὗ καὶ τὴν ἐσχάτην δίκην καὶ ἀπώλειαν ἀπηνέγκατο. « Ὁ γὰρ μὴ πιστεύων εἰς τὸν Υἱὸν Θεοῦ, » ἡ ἐνυπόστατος εἶπεν Ἀλήθεια, « ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. » Δῆλον δὲ ὅτιπερ ἡ εἰς τὸν Υἱὸν ἀπιστία καὶ τὴν τῶν ὁμοφυῶν καὶ ὁμοουσίων Πατρὸς καὶ Πνεύματος συνεισάγει ἀπιστίαν· ὥσπερ καὶ τῇ πίστει συνακολουθεῖν εἴωθεν ἡ πίστις. Φησὶν οὖν ὁ Σωτὴρ ὡς τῷ βλασφημήσαντι εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστιν εἰς μίαν τῶν ὑπερφυῶν καὶ ζωαρχικῶν καὶ ὁμοφυῶν ὑποστάσεων τῆς παντοκρατορικῆς τε καὶ δημιουργοῦ Θεότητος, τούτῳ κἂν τῶν ἀρετῶν τῷ ἔρωτι τῶν παθῶν δοκεῖ εἶναι τὸ ἀνεύθυνον, οὐμενοῦν οὐκ ἀφεθήσεται τὸ ἁμάρτημα οὔτε ἐν τῷ νῦν αἰνῶνι οὔτε ἐν τῷ μέλλοντι.

QUÆSTIO LXVII [*al.* LXVI].

Quomodo intelligendum illud: « Si autem iniquitas nostra Dei justitiam statuit. »

ΕΡΩΤΗΣΙΣ ΞΖ'.

Πῶς νοητέον τό· « Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησιν. »

Edita a Maio, l. c., p. 81-83. In Rom. III, 5.

Hic, *statuit*, divina loquenti Paulo dictum est non sufficiens causa, aut absolute causa Dei justitiæ nostram injustitiam statuenti. Quomodo enim hoc ratiocinatio non auferens liberam voluntatem, neque injuria afficiens quod juxta imaginem est, de divino Paulo cogitare potest? Sed, *statuit*, nunc pro, *constituit manifestam*, assumitur, omnibus innotescere

Ἐνταῦθα τὸ, *συνίστησι*, τῷ θεσπεσίῳ Παύλῳ εἴρηται οὐχὶ προκαταρκτικὸν αἴτιον, ἢ ὅλως αἴτιον τῆς τοῦ Θεοῦ δικαιοσύνης τὴν ἡμῶν ἀδικίαν δογματίζοντι. Ποῦ γὰρ τοῦτο λογισμὸς οὐκ ἀφῃρημένος τὸ αὐτεξούσιον, οὔτε περιυβρισμένος τὸ κατ' εἰκόνα, περὶ τοῦ θείου Παύλου λογίσασθαι δύναται; Ἀλλὰ τὸ, *συνίστησι*, νῦν ὅτι ἀντὶ τοῦ *καθίστησιν ἐμφανῆ*

[13] Joan. III, 18. [14] Luc. XII, 10.

Digitized by Google

παρείληπται, πᾶσιν ἐπιγινώσκεσθαι ποιεῖ. Οὐδὲ γὰρ A
οὐδὲ τὴν εἰς ὕπαρξιν προαγωγὴν νυνὶ τὸ τῆς λέξεως
σημαίνει· οὐδὲ τῆς ἀδικίας ἡμῶν καρπός ἐστιν ἡ
τοῦ Θεοῦ δικαιοσύνη· οὐ μὲν οὐδὲ ἐν ἀπορίας, ὡς ἄν
τισι δόξειε, προάγεσθαι σχήματι καιρὸν εὑρίσκει·
πρὸς χλεύην γὰρ καὶ οὕτω τυπούμενον καταλήγει·
καὶ πρὸς τὸ μάταιον ἀποφέρεται. Καὶ γὰρ καὶ τὸ
σχῆμα τῶν ἀποριῶν, δι' ἐρεύνης εἴωθε βαθυτέρας
καὶ τὸ ἐπιπροσθοῦν ἀποτίθεσθαι καὶ τὸ σαφὲς δια-
λύεσθαι· ὅσα δὲ τοῦ ἀτόπου τὸν ἔλεγχον ἔχει προφαι-
νόμενον, πρόχειρόν τε καὶ ἐμφανεστάτην τὴν κατά-
γνωσιν συνεπάγεται· ταῦτα δὲ ἄρα οὐδ' εἰς ἀπορίας
τύπον σχηματίζεσθαι παῤῥησιάζεται, φλυαρίας δὲ
ἅμα καὶ ματαιολογίας σπουδάσματα διελέγχεται.
Ὅτι δὲ τὸ *συνίστησιν* ἀντὶ τοῦ *κατάδηλον ἐργάζε-*
ται παρείληπται, ἐμφανῆ παρασκευάζει πᾶσιν ἐπι- B
γινώσκεσθαι, αὐτὸς ἑαυτοῦ μάρτυς ὁ τῆς ἀληθείας
κῆρυξ καὶ παρίσταται καὶ τὴν διδασκαλίαν ἡμῖν ἐμ-
φανεστάτην διὰ τῆς μαρτυρίας παρέχεται. Καὶ γὰρ
Ῥωμαίοις γράφων φησί· « Συνίστημι δὲ ὑμῖν
Φοίβην τὴν ἀδελφὴν ἡμῶν οὖσαν διάκονον τῆς Ἐκ-
κλησίας τῆς ἐν Κεγχρεαῖς· » δῆλον γὰρ ὡς ἀντὶ τοῦ
παρατίθημι παρείληπται τὸ, *συνίστημι*· ἐπιγινώσκε-
σθαι βούλομαι, γνωρίζεσθαι ταύτην ὑμῖν παραινῶ.
Διὰ τί; « Ἵνα αὐτὴν προσδέξησθε ἐν Κυρίῳ ἀξίως
τῶν ἁγίων. » Ὥσπερ οὖν ἐνταῦθα τὸ *συνίστημι*,
οὐκ ἀντὶ τοῦ *ὑφεστάναι*, οὐδὲ *πρὸς ὕπαρξιν ἄγειν*
παραλαμβάνεται, ἀλλὰ τὸ γινώσκεσθαι καὶ γνωρίζε-
σθαι καὶ ἐμφανῆ καθεστάναι τοῖς ἐν Ῥώμῃ τὴν μα-
καρίαν Φοίβην ἐπισημαίνεται, οὕτω κἀνταῦθα. Πῶς C
δὲ ἡ ἀδικία ὑμῶν τὴν τοῦ Θεοῦ δικαιοσύνην παρ-
ίστησιν; ὡς τῷ φωτὶ τὸ σκότος παρατιθέμενον μᾶλ-
λον αὐγάζειν ἀποβλέποντας, ὡς τὸ πικρὸν τῷ γλυ-
κάζοντι γλυκυτέραν ἐμποιοῦν τῇ γεύσει τὴν τοῦ γλυ-
κέος ποιότητα· ὡς τὸ τραχὺ καὶ πλῆττον τὴν ἁφὴν
μᾶλλον ἡμᾶς διατίθησιν τὴν τοῦ λείου ἰσότητα καὶ
ὁμαλότητα ἐπαισθάνεσθαι· ὡς τὸ ψεῦδος ἐμφανε-
στέραν τε καὶ ποθεινοτέραν καὶ μᾶλλον αἱρετωτέραν
ἀποφαίνει τῇ παραθέσει τὴν ἀλήθειαν· ὡς ἑκάτερον
τῶν διαφορᾶς ἀντιτεταγμένας πορῤῥωτέρω διεστώ-
των ἀπ' ἀλλήλων, τὸ μὲν τὴν φαυλότητα τοῦ χεί-
ρονος ἐπὶ πλέον διελέγχει, τὸ δὲ τὴν τοῦ κρίνοντος
ἐμφανίζει ἀγαθότητα. Καὶ γὰρ ἀφ' ἑκάστου τῶν ἀν-
τικειμένων ἐπὶ θάτερον οἱ μεταβαίνοντες ἀπὸ μὲν
τοῦ χείρονος τὴν τοῦ κρείττονος ὑπερβολήν, ἀπὸ δὲ D
τοῦ κρείττονος τὴν τοῦ ἀντικειμένου φαυλότητα·
ὥσπερ δι' αἰσθήσεως τῶν αἰσθητῶν· οὕτω δὴ οὕτω
καὶ τῷ πανσόφῳ Παύλῳ εἰ καὶ κατὰ σχῆμα διαπο-
ρουμένης ὑποθέσεως· ὡς τὴν τοῦ Θεοῦ δικαιοσύνην,
ἡμῶν ἡ ἀδικία συνίστησιν. Διὸ καὶ συνάψας τοῖς προ-
λαβοῦσι τό· « Μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀρ-
γήν; » ἐπάγει τό· « Μὴ γένοιτο. » Διατί; Διοτὶ οὐχὶ
εὐγνωμονούντων ἡμῶν καὶ θεραπεύειν τὸ Θεῖον ζη-
τούντων, ἡ ἀδικία ἡμῶν διαμαρτυρομένη καὶ κηρύτ-
τουσα τὴν δικαιοσύνην αὐτοῦ ἐνεφάνισεν, ἀλλ' ὃν τρόπον εἴρηται τὴν ἀγαθότητα διὰ τῆς κακίας ἐμφα-
νεστέραν καθίστασθαι. Τὰ δὲ ἑξῆς τοῦ χωρίου δυσθεώρητα ἰδιαιτέρας ἴσως ἐπιλύσεως, τῆς θείας προνοίας
εὐμενέστερον ἡμῖν ἐφορώσης, οὐκ ἀποτεύξεται.

facit; non enim in subsistentiam productionem nunc hæc dictio significat; nec injustitiæ nostræ fructus est Dei justitia. Neque in dubitationis ut quibusdam videri posset proferri forma locum invenit; ad irrisionem enim et sic figuratum desinit et in vanum abducitur. Etenim et forma dubitationum, per scrutationem solet profundiorem et anteriora deponere et clara diluere; quæcunque autem insulsi redargutionem habent apparentem, his festinam et evidentissimam condemnationem superducit; hæc vero certe non in dubitationis formam fingi confidenter asserit, blaterationis vero simul et vanæ loquentiæ studia redarguit. Quod autem illud *statuit* pro *evidens facit* assumptum est, manifestum præbet omnibus cognitu ipse sui testis veritatis præco et stabilit et doctrinam nobis evidentissimam per testimonium affert. Etenim ad Romanos scribens ait: « Commendo autem vobis Phœben sororem nostram quæ est in ministerio Ecclesiæ in Cenchris [15]; » evidens enim pro *Præsentem sisto*, assumptum est illud *Commendo;* notam esse volo, agnoscere hanc vos hortor. Quare? « ut eam excipiatis in Domino digne sanctis [16]. » Ut ergo hic illud *Commendo*, non pro *statuere* nec *ad exsistentiam adducere* assumitur, sed cognosci et notam facere et manifestam sistere iis qui Romæ sunt beatam Phœben significat, sic et illic. Quomodo autem iniquitas vestra Dei justitiam statuit? ut luci tenebræ appositæ ad magis illustrandum aspicientes, at amarum dulcescenti dulciorem faciens gustui dulcis qualitatem; ut asperum et percutiens tactum magis nos disponit politi æqualitatem et unitatem ad sentiendum; ut falsum manifestiorem et desiderabiliorem et magis eligibilem declarat appositione veritatem; ut utrumque diversitatibus oppositis longius distantium ab invicem, unum quidem vilitatem pejoris plus arguit, alterum vero judicantis manifestat bonitatem. Etenim ab unoquoque oppositorum ad alterum transeuntes a pejore melioris superioritatem, a meliori autem oppositi vilitatem; ut per sensum sensibilium; ita certe et omnia sapienti Paulo, etsi secundum formam dubiæ suppositionis; sic Dei justitiam nostra injustitia statuit. Ideo et cum conjunxisset præcedentibus illud: « Num injustus Deus qui infert iram [17]? » addit illud: « Absit [18]! » Quare? Quia non prudenter agentibus nobis et servire Divinitati quærentibus, injustitia nostra testificans et prædicans justitiam ejus manifestam fecit, sed quomodo dictum est bonitatem per improbitatem manifestiorem sisti. Quæ autem sequuntur loci difficilia speculatu magis propria forte solutione, divina providentia benignius nos inspiciente, non carebunt.

[15] Rom. xvi, 1. [16] ibid. [17] Rom. iii, 5. [18] ibid. 6.

Digitized by Google

QUÆSTIO LXVIII [*al.* LXVII].

Illud : « Si genuerit vir centum, et annos multos vixerit, et numerus qui erunt dies annorum ejus non implebitur bonitate ; et sepulcrum non fuit ei, dixi bonum super eum abortivum ; quoniam in vanitate venit, et in tenebris nomen ejus involvetur, et solem non vidit nec cognovit ; requies huic super illum. » Hoc autem dictum quamnam discretionem et elucidationem demonstrare potest ?

ΕΡΩΤΗΣΙΣ ΞΗ'.

Τό· « Ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν, καὶ ἔτη πολλὰ ζήσεται, καὶ πλῆθος ὅτι ἔσονται ἡμέραι ἐτῶν αὐτοῦ οὐκ ἐμπλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης· καὶ γε ταφὴ οὐκ ἐγένετο αὐτῷ, εἶπα ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα· ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει τὸ ὄνομα αὐτοῦ καλυφθήσεται· καὶ γε ἥλιον οὐκ εἶδε καὶ οὐκ ἔγνω· ἀνάπαυσις τούτῳ ὑπὲρ τοῦτον· » τοῦτο δὴ τὸ ῥητὸν τίνα διάκρισιν καὶ σαφήνειαν ἐπιδείξασθαι δύναται ;

Edita a Maio, l. c., p. 83-84, In Eccle. VI, 3-5.

Multi liberi iis qui in mundo ut sane magnum bonum ambitiosius exquirebatur, similiter autem et longum tempus vitæ. Etenim sæpius servantibus Domini justificationes, longam vitæ tempus in retributionem extenditur. Si quis igitur, ait Salomo, et multitudine liberorum superabundanter aliis hominibus supervixit, et longo tempore vitam protractam quam maxime habeat ; de cætero vero nequitiis vitam fœdet, bonitatis fruitione non implens suam neque perornans animam, et propterea forte neque sepultura dignus est habitus, talis vir multo inferior et jure reputaretur abortivo ; abortivum quidem solem non vidit, nec habuit quibus inspiceret quæ sunt et actionum meliores præferret. Qui autem his omnibus honoratus et numero magno liberorum lætatus et fruitus diuturna vita, quia bonitatis non fuit particeps, neque deliciis abstinuit vilitatis et sepultura juxta meritum hæc secuta est ; jure pejoris hic magis fati quam illud reputabitur. Etenim hic solem videns in tenebris ambulabat, et nomen illustre relinquere per nobilia opera cum posset, in tenebris peccatorum projecit exstinguendum et consepeliendum vanitati. Et aliud quoque hujus ad abortivum discrimen, quod pœnæ et castigationes functum vita exceperint, hoc vero illarum nullius in experientiam constituitur. Si vero quis audiens Paulum dicentem : « Novissime autem omnium visus est et mihi tanquam abortivo [10], » in illud Salomonicum respicere putabit. Etenim ille justitiæ Solem in terra non vidit orientem ; nec ejus discipulis connumerari tum dignus est habitus ; multi vero Solem justitiæ intuiti, non minus ambulabant in tenebris ad fulgurantes radios in eo divinitatis cæcutientes, etsi reliqua omnia vitæ secundo cursu ipsis ferebantur, et ut non facile putassent optare. Sed et liberorum erat ipsis dilatatio et turba et temporum additio extensione paradoxum trahens. Si quis igitur in hæc Salomonica oracula transferat, et abortivum Paulum Judaicorum principum sacerdotum et sacerdotum et multorum aliorum vitæ quidem felicitate splendentium, impietate autem et vilitate actionum in tenebris versantium, et his omnibus superponet et multo meliorem juxta omnia demonstrat, vere quidem omnino dicit ; nihil vero, opinor, addit magnum ei qui gyrum terræ prædicatione complexus est.

φαίνει, ἀληθὲς μὲν πάντως λέγει· οὐδὲν δὲ οἶμαι κηρύγματι περιλαβόντι

[10] I Cor. XV, 8.

Ἡ πολυπαιδία τοῖς ἐν κόσμῳ οἷα δὴ μέγα χρῆμα φιλοτιμώτερον ἐσπουδάζετο, ὡσαύτως δὲ καὶ τὸ πολυχρόνιον· καὶ γὰρ πολλαχοῦ τοῖς φυλάττουσι τὰ τοῦ Κυρίου δικαιώματα, τὸ πολυχρόνιον εἰς ἀντιμισθίαν ὑποτείνεται. Ἐὰν οὖν τις, φησὶν ὁ Σολομών, καὶ τῇ πολυπληθείᾳ τῶν τέκνων καθ' ὑπερβολὴν τῶν ἄλλων ἀνθρώπων ὑπερέζη καὶ τῷ πολυχρονίῳ τὴν ζωὴν παρατεινομένην ὅτι μάλιστα ἕξει· τὰ δ' ἄλλα πονηρίαις τὸν βίον κακύνῃ, τῆς ἀγαθότητος τῇ ἀπολαύσει μὴ ἐμπιμπλῶν αὐτοῦ μηδὲ διακοσμῶν τὴν ψυχήν, καὶ διὰ τοῦτο ἴσως μηδὲ ταφῆς ἀξιωθῇ, ὁ τοιοῦτος ἀνὴρ πολλῷ χείρων καὶ δικαίως ἂν λογισθήσεται τοῦ ἐκτρώματος· τὸ μὲν ἔκτρωμα ἥλιον οὐκ εἶδεν, οὐκ ἔσχεν οἷς ἂν ἐπεῖδέ τε τὰ ὄντα καὶ τῶν πράξεων τὰς ἀμείνους προείλετο. Ὁ δὲ τούτοις ἅπασι τιμηθεὶς καὶ πολυπληθείᾳ παίδων εὐφρανθεὶς καὶ ἀπολαύσας τῆς μακροβιότητος, ἐπεὶ τῆς ἀγαθότητος οὐ μετέσχεν, οὐδὲ τρυφῶν ἀπέσχετο τῆς φαυλότητος, καὶ ἡ ταφὴ κατ' ἀξίαν τούτοις ἠκολούθησεν· εἰκότως δὲ τῆς χείρονος οὗτος μᾶλλον μοίρας ἢ ἐκεῖνο λογισθήσεται. Καὶ γὰρ οὗτος τὸν ἥλιον ὁρῶν ἐν τῷ σκότει ἐπορεύετο, καὶ τὸ ὄνομα λαμπρὸν καταλιπεῖν διὰ τῶν σπουδαίων ἔργων δυνάμενος, ἐν τῷ ζόφῳ τῶν ἁμαρτημάτων ἀπέῤῥιψε σβέννυσθαι καὶ συγκατορύττεσθαι τῇ ματαιότητι. Καὶ ἄλλη δὲ τούτου πρὸς τὸ ἔκτρωμα διαφορά, ὅτι τὸν μὲν ποιναὶ καὶ κολάσεις καταλιπόντα τὸν βίον ἐδέξαντο, τὸ δὲ τούτων οὐδενὸς εἰς πεῖραν καθίσταται. Εἰ δέ τις ἀκούων Παύλου λέγοντος, « Ὕστερον δὲ πάντων ὥφθη κἀμοὶ ὥσπερ τῷ ἐκτρώματι, » εἰς ἐκεῖνο τὸ Σολομόντειον ἀφορᾷν νομίσει. Καὶ γὰρ ἐκεῖνος τὸν τῆς δικαιοσύνης Ἥλιον ἐπὶ γῆς οὐκ εἶδεν ἀνατέλλοντα, οὐδὲ τοῖς αὐτοῦ μαθηταῖς συγκαταριθμηθῆναι τηνικαῦτα ἠξιώθη. Πολλοὶ δὲ τὸν Ἥλιον τῆς δικαιοσύνης ἐωρακότες, οὐδὲ ἕλαττον ἐπορεύοντο ἐν τῷ σκότει πρὸς τὰς ἐναποστραπτούσας ἀκτῖνας τῆς ἐν αὐτῷ θεότητος καταμύοντες, εἰ καὶ τὰ ἄλλα πάντα τοῦ βίου κατὰ ῥοῦν αὐτοῖς ἐφέρετο· καὶ ὡς ἂν οὐδὲ ῥᾴδιον ἐνόμιζον εὔξασθαι. Ἀλλὰ καὶ τέκνων ἦν αὐτοῖς πλατυσμὸς καὶ πλῆθος καὶ χρόνων ἐπίδοσις τῇ παραστάσει τὸ παράδοξον ἐφελκομένη· εἰ γοῦν τις εἰς ταῦτα τὰ Σολομόντεια λόγια μεταλάβοι, καὶ τὸ ἔκτρωμα τὸν Παῦλον τῶν Ἰουδαϊκῶν ἀρχιερέων τε καὶ ἱερέων καὶ πολλῶν ἄλλων τῇ τοῦ βίου μὲν εὐδαιμονίᾳ λαμπρυνομένων, ἀσεβείᾳ δὲ καὶ φαυλότητι πράξεων ἐσκοτισμένων, καὶ τούτων ἐκείνων ὑπερθήσει καὶ πολλῷ κρείττω κατὰ πάντα ἀποφανεῖ, ἀληθὲς μὲν πάντως λέγει· οὐδὲν δὲ οἶμαι προσάπτει μέγα τῷ τὸν γύρον τῆς οἰκουμένης τῷ κηρύγματι περιλαβόντι

Digitized by Google

ΕΡΩΤΗΣΙΣ ΞΘ'.

Τί δηλοῖ τό· « Ζῆθι ἐν ἀγαθῷ καὶ ἴδε ἐν ἡμέρᾳ κακίας, ἴδε. Καίγε τοῦτο σύμφωνον τούτῳ ἐποίησεν ὁ Θεὸς περὶ λαλιᾶς, ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ μηδέν. »

QUÆSTIO LXIX [*al.* LXVIII].

Quid significat illud : « Vive in bono et vide in die nequitiæ, vide. Et hoc consonum illi fecit Deus circa loquelam, ut non inveniat homo post illum quidquam. »

Edita a Maio, l. c. p. 84-85. In Eccle. VII, 15.

Σὺ, φησὶ, τὴν ζωὴν πρὸς ἀρετὴν ὁρᾷν παρασκεύαζε, καὶ πρὸς τὴν ἀπόλαυσιν τῶν ἐκεῖθεν ἀγαθῶν καταρρύθμιζε· οὕτω δὲ καταρτίσας ἑαυτὸν καὶ τοῖς εὐσεβέσι τῶν λογισμῶν κριτηρίου δύναμιν τὸν νοῦν φρενώσας ἀναλαβεῖν, δυνήσῃ συνιδεῖν οὐ χαλεπῶς καὶ τὰς ἐν ἡμέρᾳ νομιζομένας κακίας, τουτέστι τὰς ἀνθρωπίνας συμφορὰς καὶ λύπας αἷς ἡ τῆς ἀνθρωπίνης ζωῆς ἡμέρα κυμαινομένη τε καὶ συνταρασσομένη κακύνεται, συνεκταράσσουσα τοὺς ταύτην παραπορευομένους καὶ συγκακύνουσα. Καὶ γὰρ καὶ τὰ τοιαῦτα κακίας προσαγορεύειν εἰθίσμεθα κατὰ τὸ εἰρημένον· « Οὐκ ἔστιν ἐν πόλει κακία ἣν Κύριος οὐκ ἐποίησεν· » δυνήσῃ δὲ συνιδεῖν ὡς οὐδὲ αὗται περὶ ἡμᾶς ἀσυμφώνως τῇ τοῦ Θεοῦ ἀγαθότητι καὶ προνοίᾳ συμβαίνουσι· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰπεῖν· « Ἴδε καί γε τοῦτο σύμφωνον τούτῳ· » τουτέστι καὶ οἱ δοκοῦντες εἶναι πειρασμοὶ καὶ κακώσεις τοῦ σώματος οὐκ ἐκβάλλουσι τὴν θείαν κηδεμονίαν, οὐδὲ ἐναντιοῦνται αὐτοῦ τῇ περὶ ἡμᾶς φιλανθρωπίᾳ. Παιδείας γὰρ καὶ διορθώσεως τὰ μὲν ἐπάγεται, τὰ δὲ συγχωρεῖται, δι' ἀμφοῖν ἀῤῥήτου τε καὶ σοφῆς οἰκονομίας τῷ κρίνειν χαριτωθέντι τὰ τοιαῦτα θεωρουμένης· ταῦτα δὲ τὰ συμβαίνοντα τοῖς ἀνθρώποις οὐκ ἔθετο ὁ Θεὸς ἐπὶ πάσης λαλεῖσθαι γλώσσης, οὐδὲ προειδέναι τὰ ἐρχόμενα πάντας. Διατί; Ἵνα μὴ προμαθὼν αὐτὰ καὶ προευρὼν ὁ ἄνθρωπος ἀμελέστερον περὶ τὴν ὁρετὴν διατεθείη· νῦν μὲν ὡς πολλῶν κακῶν καὶ λυπηρῶν συμπτωμάτων ὄπισθεν αὐτὸν καταλαμβάνειν μελλόντων· τίς γάρ μοι τῆς ἀρετῆς λόγος τοσούτων κακων καὶ τηλικούτων προσδοκωμένων; εἰς τοῦτο γὰρ τοὺς πολλοὺς ἡ ἀπόγνωσις εἴωθε συνωθεῖν· νῦν δὲ ὡς οὐ πολλῆς καὶ μεγάλης ἀλγηδόνος μελλούσης ἐπισυμβαίνειν, ἑκατέρωθεν καὶ ὑποσκελίζειν οἶδεν ἡ σφαλερὰ τῶν πρακτέων κρίσις, καὶ διὰ τοῦτο μηδὲ πολλῆς νήψεως μήτε τῆς τῶν ἀρετῶν ἐπιμελείας δεῖσθαι. Διὰ τοῦτο οὖν ὁ Θεὸς τὴν περὶ τῶν μελλόντων λαλιὰν ἄγνωστον ἐποίησε τοῖς πολλοῖς, ἵνα μὴ εὑρὼν ὁ ἄνθρωπος ἃ μέλλει ἐν τοῖς ὄπισθεν αὐτὸν χρόνοις καταλαμβάνειν δυσχερῆ, ἐπὶ μὲν τῶν χαλεπωτέρων ἀμηχανίᾳ καὶ ἀπογνώσει προδοὺς ἑαυτὸν, οὐδὲν πρὸς ἀρετὴν ἐπιστρέφοιτο· ἐπὶ δὲ τῶν μετρίως ἐχόντων ὑπεροψίαν νοσῶν ὡς τῆς τῶν ἐφιεμένων ἀπολαύσεως καὶ τρυφῆς, οὐδὲν ἐλπίζων ἀντεπενεχθήσεσθαι κώλυμα καὶ τὴν πρὸς τὰ κατορθώματα σπουδὴν ὑπερτίθοιτο· ἄλλως τε δὲ ὁ τὸ κριτήριον κεκαθαρμένον πάθους φέρων καὶ ἀδέκαστον τὴν ὑγείαν ὁρᾷ καὶ τὴν νόσον συμφώνως ἔχουσαν περὶ τὴν τῶν ἀνθρώπων βλάβην καὶ ὠφέλειαν· ἀλλὰ καὶ τὸν πλοῦτον καὶ τὴν πενίαν ὡσαύτως, ἰσχύν τε σώματος καὶ ἀσθένειαν, δόξαν τὴν ἐξ ἀνθρώπων καὶ ἀδοξίαν καὶ τὰ τούτοις παραπλήσια. Καὶ γὰρ ἑκατέρου μοίρας ἕκαστον τῷ μὲν φιλοσοφεῖν εἰδότι, σωτηρίας ὑπόθεσις

Tu, inquit, vitam ad virtutem aspicere stude, et ad fruitionem inde bonorum ordina; sic autem cum perfeceris teipsum et piis cogitationibus judicii vim cum mente intellexeris attollere, poteris conspicere non ægre et quæ in die reputantur nequitiæ, id est, humanas calamitates et afflictiones quibus humanæ vitæ dies jactata et turbata vexatur, conturbans eos qui hanc decurrunt et simul vexans. Etenim et talia nequitias nominare solemus juxta dictum : « Non est in civitate malum quod Dominus non fecerit[20]; » poteris autem conspicere neque ea circa nos absque harmonia cum Dei bonitate et providentia accidere; hoc enim ostendit dum dicit : « Vide et hoc consonum illi, » id est et quæ videntur esse tentationes et afflictiones corporis non expellunt divinam curam, neque adversantur ejus circa nos benignitati. Eruditionis enim et correctionis hæc quidem inducuntur, illa vero permittuntur, ex utrisque ineffabili et sapienti dispositione dum decernere dignatur talia spectata; hæc autem accidentia hominibus non posuit Deus super omni enarranda lingua, neque præscire ventura omnes. Quare? Ne cum prænosceret illa et prius inveniret homo negligentius quoad virtutem disponeretur; nunc quidem plurimis malis et tristibus casibus a tergo ipsum comprehensuris. Quis enim mihi virtutis calculus tot malis et tantis ingruentibus? in hoc enim turbam desperatio solet impellere. Nunc vero quasi non multo et magno dolore incursuro, utrinque et subvertere novit fallax agendorum judicium, et propterea neque multa vigilantia neque virtutum cura opus esse. Ideo igitur Deus de futuris loquelam ignotam fecit multitudini, ne inventis homo quæ in posterioribus ipsum temporibus comprehensura sunt molestis, in difficilioribus negligentiæ et desperationi tradens seipsum, non ad virtutem converteretur; in mediocriter autem se habentibus despicientiam morborum ut permissorum fruitionis et deliciarum, nullum sperans obstiturum impedimentum et ad virtutes studium superponeret. Aliter vero et qui judicium purum passione fert et incorruptum sanitatem videt et morbum concorditer se habentia quoad hominum damnum et utilitatem. Sed et divitias et paupertatem similiter, et robur corporis et infirmitatem, gloriam quæ ex hominibus et infamiam et quæ his proxima. Etenim utriusque partis unumquodque philosophari scienti, salutis materia fit. Ei vero qui ad sola jucunda et blandientia hiat, et jucunda damni fiunt prætextus, et tristia ad idem defluunt et trahuntur malum, non gratanter hæc ferente qui per talia purificari indiget, sed in desperationem magis et indignatio-

[20] Amos III, 6.

Digitized by Google

nem ex quibus oportebat prudentem fieri conver- A γίνεται· τῷ δὲ πρὸς μόνα τὰ ἡδέα καὶ γαργαλίζοντα κεχηνότι, καὶ τὰ ἡδύνοντα βλάβης γίνονται πρόφασις, καὶ τὰ λυποῦντα πρὸς τὴν αὐτὴν καταῤῥεῖ καὶ ὑποσύρεται κακίαν, οὐκ εὐχαρίστως ταῦτα φέροντος τοῦ διὰ τῶν τοιούτων καθαίρεσθαι δεομένου, ἀλλ' εἰς ἀπόνοιαν μᾶλλον καὶ ἀγανάκτησιν ἐξ ὧν ἔδει σωφρονίζεσθαι, περιτρεπομένου.

tente.

QUÆSTIO LXX [*al.* LXIX].

Quasnam oportet intelligere pelliceas tunicas, quas Adamus et Eva post transgressionem induerunt.

ΕΡΩΤΗΣΙΣ Ο'.

Τίνας δεῖ νοεῖν δερματίνους χιτῶνας, οὓς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο.

Edita a Maio, l. c., p. 83-87. In Gen. III, 21.

Scio quidem quosdam pelliceas tunicas quas Adam et Eva post transgressionem induerunt, pronuntiantes corpus ex quo rationale animal et animæ a principio fictor subsistuit. Sed isti præoccupantis ipsos suppositionis consectaria dicere cum studerent, inconsequenti sensu et scientia destruunt B veritatem. Etenim paradisus ipsis verbo quidem fingitur, re vero tollitur. Sed paradisi plantas et cibos et per costam Evæ productionem et simpliciter eorum quæ sunt creationem totam et proditionem et divinæ curæ circa hominem quod est benignum et mirabile et excipiendo geneseos principia, in intellectuale quoddam tabernaculum attollentes, neque propriam subsistentiam et substantiationem visi sunt revereri. Inde vere tragœdiam totam juxta proprium propositum partiti et fingentes et in quas voluere formas et sensus componentes, vere factorum et subsistentium consequentiam et usque nunc visam et cognitam destruunt ejurantes, mulcentibus quidem et inducentibus sermonibus multitudinis aures incantando. Solent enim pleræque fictiones C ad nutum et ad jucunditatem concinnatæ illicere quidem auditorum aures et ad voluptatis parare diffusionem, at neque sibi ipsis ullam utilitatem neque persuasis talium architecti procurare possunt. Sed hos quidem Origenes et Origenianus habeat chorus; noster vero Gregorius quem theologica et divinitus ipsi data circa spiritum scientia theologum proclamavit, hic pelliceas vocat tunicas, non quas Origeniana fabula finxit. Sed contra Origenianam opinionem homines convertere quidem plurimum adhibens studium; sapienter vero et disponere sciens in judicio sermones suos in vicinam quidem speculationem satagit transferre, contra illam vero laboriosam sententiam auctum et pra- D cticum emittentem melos, pelliceas tunicas non corpus juxta quæ et superius dicta sunt vocat, absit! Non enim visus est talem quamdam vocem emittens, sed corporis crassitudinem et mortalitatem et prioris felicis antitypum et oppositam dispositionis; etenim vere post transgressionem pro impossibili et non subjecto et non gravato corpore et mortalitate corpore, sed carnis motibus et illecebris constituto potentiore, contraria his post transgressionem Adamus qualia certe tunicam dictis punctam passionibus et contaminatam mutando induit; sed sanctus quidem iste vir ex Origene sursum germinantes ita dulciter et benigne trahens et transferens ad magis pios sensus, tales esse pel-

Οἶδα μέν τινας δερματίνους χιτῶνας οὓς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο, ἀποφηναμένους τὸ σῶμα ἐξ οὗ τὸ λογικὸν ζῶον καὶ τῆς ψυχῆς ἀπ' ἀρχῆς ὁ Πλάστης τὸν ἄνθρωπον ὑπεστήσατο. Ἀλλ' οὗτοι τῆς προκαταλαβούσης αὐτοὺς ὑποθέσεως ἀκόλουθα λέγειν φιλονεικήσαντες, ἀνακολούθῳ γνώμῃ καὶ γνώσει λυμαίνονται τὴν ἀλήθειαν· καὶ γὰρ ὁ παράδεισος αὐτοῖς λόγῳ μὲν πλάττεται, ἔργῳ δὲ διαβάλλεται. Ἀλλὰ τὰ τοῦ παραδείσου φυτὰ καὶ ἡ βρῶσις καὶ ἡ διὰ τῆς πλευρᾶς τῆς Εὔας προαγωγὴ, καὶ ἁπλῶς ἡ τῶν ὄντων δημιουργία πᾶσα καὶ πρόοδος καὶ τὸ τῆς θείας κηδεμονίας περὶ τὸν ἄνθρωπον φιλάνθρωπόν τε καὶ θαυμάστον καὶ τὰς κατὰ διαδοχὴν δὲ τῆς γενέσεως ἀρχὰς, εἰς νοητήν τινα σκηνὴν ἀναφέροντες, οὐδὲ τὴν ἰδίαν ὕπαρξιν καὶ οὐσίωσιν ὤφθησαν εὐλαβούμενοι. Ἐκεῖθεν δὲ τὴν τραγῳδίαν ὅλην κατὰ τὴν ἰδίαν πρόθεσιν καταμερίσαντές τε καὶ ὑποκρινάμενοι καὶ εἰς οἵας ἂν καὶ βούλοιντο μορφὰς καὶ ἐπινοίας διαπλάττοντες, τῶν ὡς ἀληθῶς γεγονότων καὶ ὑπαρξάντων τὸ ἀκόλουθον καὶ μέχρι νῦν ὁρώμενόν τε καὶ γνωριζόμενον ἀναιροῦσιν ἐξομνύμενοι, θελκτηρίοις μὲν καὶ ἐπαγωγοῖς λόγοις τὰ τῶν πολλῶν ὦτα καταγοητεύσαντες. Εἴωθε γὰρ τὰ πολλὰ τῶν πλασμάτων κατ' ἐξουσίαν καὶ πρὸς τὸ ἡδὺ πλαττόμενα ὑπογαργαλίζειν μὲν τὰ τῶν ἀκροατῶν ὦτα καὶ πρὸς ἡδονῆς παρασκευάζειν διάχυσιν, οὔτε δὲ ἑαυτοῖς οὐδὲν ὄφελος, οὔτε τοῖς πειθομένοις οἱ τῶν τοιούτων ἀρχιτέκτονες παρέχειν δύνανται. Ἀλλὰ γὰρ τούτους μὲν Ὠριγένης τε καὶ ὁ Ὠριγένειος ἐχέτω χορός· ὁ δὲ ἡμέτερος Γρηγόριος ὃν ἡ θεολόγος τε καὶ θεόθεν αὐτῷ δεδομένη περὶ τοῦ πνεύματος παῤῥησία θεολόγον ἀνεκήρυξεν, οὗτος δερματίνους ὀνομάζει χιτῶνας οὐχ οὕσπερ ὁ Ὠριγένειος μῦθος ἀνέπλασεν· ἀλλὰ τοὐναντίον τῆς Ὠριγενείου δόξης τοὺς ἀνθρώπους μεταβάλλειν μὲν ὅτι μάλιστα ποιούμενος σπουδήν· σοφῶς δὲ καὶ οἰκονομεῖν εἰδὼς ἐν κρίσει τοὺς λόγους αὐτοῦ εἰς γείτονα μὲν θεωρίαν μεθοδεύει μεταβιβάζειν, κατ' ἐκείνης δὲ τῆς δοξοκοπίας ὀξὺ καὶ δραστήριον ἐπαφιεῖσαν τὸ μέλος, δερματίνους χιτῶνας οὐχὶ τὸ σῶμα καθὰ καὶ προείρηται καλεῖ, ἄπαγε. Οὐδὲ γὰρ οὐδ' ὤφθη τοιαύτην τινὰ φωνὴν ἀφιείς, ἀλλὰ τὴν τοῦ σώματος παχύτητα καὶ θνητότητα καὶ τῆς προτέρας μακαρίας ἀντίτυπον καὶ ἀντικειμένην διαθέσεως· καὶ γὰρ ὡς ἀληθῶς μετὰ τὴν παράβασιν ἀντὶ τοῦ ἀπαθοῦς καὶ ἀνευθύνου καὶ μὴ βαρουμένου τῷ σώματι καὶ τῇ θνητότητι σώματος, ἀλλὰ τῶν τῆς σαρκὸς κινημάτων καὶ γαργαλισμάτων καθεστῶτος κρείττονος, τἀναντία τούτοις μετὰ τὴν παράβασιν ὁ

Digitized by Google

Ἀδὰμ οἷα δὴ χιτῶνα τοῖς εἰρημένοις κατάστικτον πάθεσι καὶ ῥυπῶντα μετημφιάσατο· ἀλλ' ὁ μὲν ἱερὸς οὗτος ἀνὴρ τοὺς ἐξ Ὠριγένους ἀναφύντας οὕτω πραότερόν τε καὶ φιλανθρωπότερον μεθέλκων καὶ μεταδιδάζων πρὸς τοὺς εὐσεβεστέρους λογισμοὺς, τοιούτους εἶναι τοὺς δερματίνους χιτῶνας οὐδὲ χωρὶς ὑπέθετο διστάζοντος ἐπιῤῥήματος.

A liceas tunicas non absque supposuit aliter sentiente contradictione.

Σὺ δὲ τί λέγεις; τὸ μὲν ἴσως πρῶτον γελᾷς, τάχα δ' ἂν μᾶλλον δυσχεραίνεις μύθῳ κλεπτομένην ἀκούων τὴν ἀλήθειαν· τοῦ δὲ θεολόγου οἶμαι τὴν οἰκονομίαν καὶ μέθοδον οὐκ ἀτιμάσαιο. Οὐδὲ ἠγνόει τὰ ἀπὸ τῆς συκῆς φύλλα οἷς οἱ περὶ τὸν Ἀδὰμ τὴν ἀπὸ τῆς γυμνώσεως ἀσχημοσύνην εἰς τὸ εὔσχημον περιέστελλεν· οὐδ' ὅτι προφθάνει μὲν τὰ τῆς συκῆς φύλλα τῆς αἰδέσεως τὴν καταφυγὴν παρασχεῖν, οἱ δὲ χιτῶνες ὕστερον οἱ δερμάτινοι τὴν ἐκείνων κατὰ διαδοχὴν χρείαν ἀνεπλήρωσαν· καὶ γὰρ μετὰ τὴν προτέραν περιβολὴν καὶ τὰ φύλλα τῆς συκῆς, τοὺς δερματίνους χιτῶνας ὁ Θεὸς αὐτοῖς ἐποιήσατο. Ποῦ τοίνυν οἴεσθαι δεῖ τὸν θεολογικώτατον ταῦτα καὶ θεοπτικώτατον διδάσκαλον ἀγνοεῖν, ἀλλὰ μὴ λέγειν μᾶλλον οἰκονομεῖν τε καὶ τῶν ἄλλων σωτηρίαν μεθοδεύειν, δι' ὧν ὁ τότε συνέτρεχε καιρὸς, μηδεμιᾶς ἐπακολουθούσης αἱρετικῆς ἐπισπορᾶς ἢ σκολιότητος; Ἂν τε γὰρ τὰ φύλλα τῆς συκῆς τοὺς περὶ τὸν Ἀδὰμ εὐλαβουμένους τὴν αἰδὼ ὑπεδείκνυεν, ἄν τε μετὰ ταῦτα χιτῶνας ἐκ δερμάτων αὐτοῖς ὁ Θεὸς ἐπεποίητο, τῆς αἰδέσεως χαριζόμενος παραμύθιον, οὐδὲν ἧττον εὐσεβοῦντος ἐστὶ λέγειν ὡς μετὰ τὴν παράβασιν ὁ Ἀδὰμ τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ καθελκομένην τῷ βάρει τοῦ παραπτώματος καὶ τῆς πρότερας ἀντίθεόν τε καὶ ἀντίτυπον ἡμφιάσατο. Πόθεν δ' ἂν ἴσως ἐπαπορήσεις, οἱ δερμάτινοι προῆλθον χιτῶνες; ἀλλ' ἐπειδὰν ἀκούσας τὸν νοῦν ἐπιστήσεις, ὅτι καὶ ἐποίησεν ὁ Θεὸς τοῖς περὶ τὸν Ἀδὰμ χιτῶνας δερματίνους, αὐτίκα σύνδρομον οἶμαι τῆς ἀπορίας εὑρεῖν καὶ τὴν λύσιν. Ὁ γὰρ ἐκ μὴ ὄντων οὕτω φιλοτίμως τε καὶ πολυτελῶς προαγαγὼν τὸν ἄνθρωπον, οὗτος καὶ δερματίνους χιτῶνας ἐκ τοῦ μὴ ὄντος ποιήσασθαι καὶ περιβολὴν αὐτῷ κατασκευάσαι ἐκ τοῦ ῥᾴστου, μᾶλλον ἂν τοῖς λογισμοῖς ἀδίστακτον πίστιν ἐντίθησιν· εἰ δὲ καὶ δοραῖς τισι ζώων, ταῦτα γὰρ προϋπέστη τὴν χρείαν τῆς περιβολῆς αὐτοῖς ἀναπληρῶσαι, λογισμὸς ἀνεκίνησε· Θεοῦ σοφίζοντος αὐτοὺς πρὸς τὴν οἰκείαν εὐκοσμίαν τε καὶ σωτηρίαν διανίστασθαι, οὐδὲ τοῦτο πόῤῥω τῆς θείας κηδεμονίας, οὐδ' ἀνάξιον αὐτοῦ τῆς πολλῆς περὶ τὸ γένος ἡμῶν ἀγαθότητος. Ἀλλὰ ταῦτα μὲν ὁ κεφαλαιώδης ἐπιτρέπει λόγος. Εἰσὶ δέ τινες οἱ πρὸς μηδὲν τούτων ἀφορᾷν βουλόμενοι μηδὲ σπουδάζοντες, τὰς τῶν δένδρων περὶ τὸν φλοιὸν ἐπιδερμίδας δερματίνους χιτῶνας ἐνόμισαν, ὥσπερ τῶν δερμάτων τῶν ἀπὸ τῶν ζώων ἐνδεεστέραν ἢ ἀτιμοτέραν τῆς περιβολῆς τὴν χρείαν παρεχομένων· καίτοι φλοιοῦ παντὸς εὐαφεστέρων τε καὶ μαλακωτέρων καὶ τὸ ὅλον εἰπεῖν ἐπιτηδειοτέρων πολλαῖς διαφοραῖς ὑπαρχόντων.

Tu autem quid dicis? forte primum rides, mox autem magis irasceris fabula furatam audiens veritatem; theologi vero opinor œconomiam et methodum non contempseris. Non ignorabat a ficu folia quibus Adamus a nuditate ignominiam decenter operuit; neque prius quidem ficus folia pudoris refugium præbuisse, tunicas vero deinceps pelliceas illorum excipiendo usum implevisse; etenim post priorem cincturam et folia ficus, pelliceas tunicas B Deus ipsis fecit. Quomodo igitur existimare oportet maximum theologum hæc et Dei speculatorem eximium magistrum ignorare? Sed non dicere potius dispensare et aliorum salutem parare, per ea quorum tunc concurrebat tempus, nulla consequente hæretica superseminatione aut obliquitate. Si enim folia ficus Adamum veritum pudorem subindicavit, et si posthæc tunicas ex pellibus ipsis Deus fecit, pudoris largiens benigne consolationem, nihilominus pium est dicere post transgressionem Adamum crassiorem carnem et mortalem et deorsum tractam gravitate casus est prioris oppositam et antitypum induisse. Undenam vero, forte incertus hærebis, pelliceæ provenerunt tunicæ? Sed postquam audito mentem applicueris, et fecisse Deum Adamo tunicas pelliceas, C statim concurrentem opinor dubitationi reperies et solutionem. Qui enim ex nihilo tam superbe et magnifice produxit hominem, hic et pelliceas tunicas ex nihilo fecisse et cincturam ipsi paravisse facillime, magis autem cogitationibus indubitatam fidem inserit. Si autem et pellibus quibusdam animalium, hæc enim prius subsistebant indigentiam cincturæ ipsis ut implerent, cogitatio admovit; Deo sapienter erudiente ipsos ad proprium ornatum et salutem assurgere, neque illud longe a divina cura, neque indignum ipsius magna circa genus nostrum bonitate. Sed hæc quidem summarius permittit sermo. Sunt autem quidam qui ad nullum horum respicere volentes neque curantes, D arborum circa corticem epidermata pelliceas tunicas putarunt, ut pellibus animalium inferiorem aut viliorem cincturæ usum præbentibus, tamen cortice omni aptioribus et melioribus et ut totum dicamus, convenientioribus multis discriminibus.

ΕΡΩΤΗΣΙΣ ΟΑ'.

Πρὸς τίνα διάνοιαν ἡμᾶς παραπέμπει τό· « Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς· ἥμαρτες; ἡσύχασον, » κ. τ. λ.

QUÆSTIO LXXI [*al.* LXX].

Ad quemnam sensum nos mittit illud: « Nonne, si recte obtuleris, recte vero non diviseris, peccasti? tace, » et reliqua.

Edita a Maio, l. c., p. 87-89. In Gen. IV, 7.

Τὸ παρὸν χωρίον διαφόροις ἑρμηνείαις ὑποβάλλεσθαι δύναται, τοῦτο μὲν τῆς ἀναγνώσεως διαφορὰς

Præsens locus diversis interpretationibus subjici potest, hinc quidem lectione varietates proponente

Digitized by Google

duas ; illinc vero dictis varios tropos figurarum accipere natis. Sed et illud : « Ad te conversio ejus, » de diversis rebus proprie potest sumi. Igitur secundum lectionem varietas in interrogativam formam et declaratoriam dividit eloquium ; quale est : « Nonne si recte quidem obtuleris, recte vero non diviseris, et tibi notum est et indubitabile te pecasse ? » Et vide benignam sapientiam Dei, judicem ipsum sistit qui peccavit iniquitatis, ut proprias cogitationes ille cum invenerit ferentes in ipsum condemnationem, magis et ad pœnitentiam currat et remissionem citius attrahat. Et responsio statim proposita demissionis, nihilominus silentio voluntatem perficit ejus qui interrogavit, et peccatum confitentem eo quod nec os aperire et vocem emittere audeat vel nolentem eum qui peccavit demonstrat. Etenim solet interrogationibus quas confessio et demissio interrogatorum manifeste et indubitate sequitur non minus silentium habere vim sed magis enuntiantis vocis demissionem, et reprehensionem, si certe vult hoc interrogans, acutiorem facit et potentiorem. Formam igitur interrogationis suscipiens sermo propositam enuntiat sententiam. Declaratoria autem forma vestibus non uno et eodem charactere vocis enuntiatur ; quia et diversis tropis compositionis per quam dictiones ad invicem aptantur, vult proferri. Aut enim declarans declarat non si bene obtuleris, recte autem non diviseris, ut quod non recte obtulisti, quod neque recte divisisti ; aut quia non divisisti recte, etsi recte offerre visus fueris tibi, peccasti. Etenim non divisionis peccatum oblationis rectitudo non correxit. Illud igitur, *Peccasti*, interrogatio quidem juxta consequentiam et continuitatem enuntiat præordinatarum dictionum; juxta declarationem vero prolatorum, uterque sermo secundum divisionem addit præcedentibus illud, *Peccasti ;* propterea vero qui non divisit recte, etsi recte credidit offerre, nihilominus peccavit ; quia non magis recte factum tollit quod præcessit peccatum ; sed peccatum transiens et ad sibi videri effugere peccatum, in rationis exactionem simul trahitur. Etenim sæpe cum bonum malo præhabitum et vile meliori, non communicat magis propriæ pulchritudinis quod melius est pejori, sed simul vilescit in totum pejoris vilitate. Et mundus tangens immundum apud eum qui divinitus eruditus est mundi generationem communicat certe puritatem apud quem et profanum magis sancto attactum ad profanationem simul trahitur quam sancti participat sanctitati. Ac sic discretum foret illud : « Nonne si recte obtuleris, recte vero non diviseris, peccasti ?

προβαλλομένης δύο· τοῦτο δὲ τοῦ ῥητοῦ διαφόρους τρόπους σχημάτων ἀναδέχεσθαι πεφυκότος. Ἀλλὰ γὰρ καὶ τό· « Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, » ἐπὶ διαφόρων πραγμάτων οἰκείως ἔχει παραλαμβάνεσθαι. Ἡ μὲν οὖν κατὰ τὴν ἀνάγνωσιν διαφορὰ εἴς τε τὸν ἐρωτηματικὸν τύπον καὶ ἀποφαντικὸν καταμερίζει τὸ λόγιον, οἷον· « Οὐχὶ ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, καὶ σοὶ γνώριμόν ἐστι καὶ ἀναμφίβολον ὅτι ἥμαρτες ; » καὶ ὅσα τὴν φιλάνθρωπον σοφίαν τοῦ Θεοῦ, κριτὴν αὐτὸν καθίζει τὸν ἡμαρτηκότα τοῦ ἀδικήματος, ἵνα τοὺς οἰκείους λογισμοὺς ἐκεῖνος εὑρὼν φέροντας αὐτῷ τὴν κατάγνωσιν, μᾶλλόν τε πρὸς μετάνοιαν δράμῃ καὶ τὴν ἄφεσιν θᾶττον συνεπισπάσηται. Καὶ ἡ ἀπόκρισις δὲ τὸ ἐναργῶς προβαλλομένη τῆς συγκαταθέσεως, οὐδὲν ἧττον τῇ σιωπῇ τὸ βούλημα περαίνει τοῦ ἐρωτήσαντος, καὶ τὴν ἁμαρτίαν ὁμολογοῦντα τῷ μηδὲ στόμα διᾶραι καὶ φωνὴν ἀφεῖναι θαῤῥεῖν καὶ μὴ βουλόμενον τὸν ἡμαρτηκότα ἐπιδείκνυσι. Καὶ γὰρ εἴωθε ταῖς ἐρωτήσεσιν αἷς ἡ ὁμολογία καὶ συγκατάθεσις τῶν ἐρωτωμένων περιφανῶς τε καὶ ἀδιστάκτως ἕπεται οὐδὲν ἧττον ἡ ἀποσιώπησις ἔχουσα τὴν ἰσχύν, ἀλλὰ μᾶλλον τῆς ἀπαγγελλούσης φωνῆς τὴν συγκατάθεσιν. Καὶ τὸν ἔλεγχον ἂν ἄρα τοῦτο βούλεται ὁ ἐρωτῶν, δριμύτερόν τε ποιεῖ καὶ ἐπικρατέστερον. Σχῆμα μὲν οὖν ἐρωτήσεως ἀναδεχόμενος ὁ λόγος τὴν προκειμένην ἀπαγγέλλει διάνοιαν· τῷ ἀποφαντικῷ δὲ εἴδει μορφούμενος οὐχ ἑνὶ καὶ τῷ αὐτῷ χαρακτῆρι τῆς φωνῆς ἀπαγγέλλεται· ἐπείπερ καὶ διαφόροις τρόποις τῆς συνθέσεως δι' ἧς αἱ λέξεις ἀλλήλαις ἁρμόζονται, ἐθέλει προάγεσθαι. Ἡ γὰρ ὁ ἀποφαινόμενος ἀποφαίνεται, ὡς οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς· οἷον ὅτι οὐκ ὀρθῶς προσήνεγκας ὅτι μηδὲ διεῖλες ὀρθῶς· ἢ ὅτι ἐπεὶ μὴ διεῖλες ὀρθῶς, κἂν ὀρθῶς προσενεγκεῖν ἔδοξας, ἥμαρτες· τὴν γὰρ τοῦ μὴ διελεῖν ἁμαρτίαν; τὸ τῆς προσενέξεως ὀρθὸν οὐ διωρθώσατο. Τὸ μὲν οὖν, *Ἥμαρτες*, ἡ μὲν ἐρώτησις κατὰ συνέπειάν τε καὶ συνέχειαν ἀπαγγέλλει τῶν προτεταγμένων λέξεων· τῶν δὲ κατὰ ἀπόφασιν προενηνεγμένων, ἑκάτερος λόγος κατὰ διαστολὴν ἐπιφέρει τοῖς προλαβοῦσι τὸ, ἥμαρτες· διὰ τοῦτο δὲ ὁ μὴ διελὼν ὀρθῶς, κἂν ὀρθῶς ἔδοξε προσενεγκεῖν, οὐδὲν ἧττον *Ἥμαρτε*· διότι οὐ μᾶλλον τὸ κατορθωθὲν ἀφαιρεῖται τὸ φθάσαν ἁμάρτημα· ἀλλὰ τὸ διαμαρτηθὲν διαβαῖνον καὶ πρὸς τὸ δόξαν ἐκφυγεῖν τὴν ἁμαρτίαν, εἰς τὸ ὑπεύθυνον συνεφέλκεται. Καὶ γὰρ πολλάκις ἀγαθὸν κακοῦ προηγούμενον καὶ φαῦλον ἀμείνονος, οὐ μεταδίδωσι μᾶλλον τῆς οἰκείας καλλονῆς τὸ κρεῖττον τῷ χείρονι, ἀλλὰ συνεκφαυλίζεται ὡς ἐπίπαν τῇ τοῦ χείρονος φαυλότητι. Καὶ ὁ καθαρὸς δὲ ἁπτόμενος ἀκαθάρτου παρά γε αὐτῷ τῷ θεόθεν σοφισθέντι τοῦ κόσμου τὴν γένεσιν μεταδίδωσί γε τῆς καθαρότητος παρ' ᾧ καὶ τὸ βέβηλον μᾶλλον τῷ ἁγίῳ προσαπτόμενον, πρὸς τὴν βεβήλωσιν συνεφέλκεται, ἢ τοῦ ἁγίου μεταλαμβάνει τῆς ἁγιότητος· ἀλλ' οὕτω μὲν ἂν διευκρινηθείη τό· « Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; »

Illud, *Tace*, autem, et quidem et illud, « Ad te conversio ejus, et tu illius dominaberis. » Illud quidem, *Sufficiat tibi*, ait, quod præcessit malum, neque peccatum super peccatum addas, neque malo

Τὸ δὲ, *Ἡσύχασον*, καὶ μὴν καὶ τὸ, « Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις· » τὸ μὲν, *ἀρκέσθητι*, φησὶ, τῷ προλαβόντι κακῷ, μηδ' ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ προσθῇς, μηδὲ κακῷ τὸ κακὸν

Digitized by Google

κατασκευάσῃς ἀνίατον, ἀλλ' ἐν τῷ ἡσύχῳ τε καὶ ἀταράχῳ τῆς κρίσεως τὸ καθ' ἑαυτὸν σκοπήσας καὶ τὸ μέγεθος τοῦ ἁμαρτήματος συνείς. Τί γὰρ μεῖζον εἰς ἀπόνοιαν τῆς ἰδίας ἡδονῆς τὸ θεῖον σέβας παρεδεῖν; Τῆς μετανοίας γενοῦ καὶ διὰ θεοσεβείας εἰλικρινοῦς καὶ εὐγνωμοσύνης τὸ πλημμεληθὲν ἐξιλέωσαι, σαυτὸν ἀνορθώσας τοῦ πτώματος· τὸ δὲ, « καὶ σὺ αὐτοῦ ἄρξεις, » καθ' ἑτέραν μὲν ἐκδοχὴν, οὐδὲ τὸ σόν φησιν οὐ προσδεχθὲν δῶρον εἰς ἕτερον παραπέμπεται, οὐδέ τινά σοι ζημίαν τὸ ἀπρόσδεκτον προξενεῖ, ἀλλὰ πρὸς σὲ πάλιν ἀποστρέφεται. Καὶ σὺ τὴν ἐξουσίαν αὐτοῦ καὶ κυριότητα ὡς καὶ πρότερον ἕξεις· οὐδεμίαν ἐκ τῆς προσαγωγῆς, πλὴν ὅσα γε ἡ ἁμαρτία ἐλυμήνατο, ζημίαν ὑποστάς· ἀλλ' εἰ μὲν ἐπὶ τοῦ προσενεχθέντος, « καὶ σὺ αὐτοῦ ἄρξεις, » ἐξακοῦσαί τις τὸ λόγιον ἐθέλοι, τοιαύτην τινὰ τὴν ἀνάπτυξιν εὑρήσει. Εἰ δὲ καθ' ἑτέραν ἐπιβολὴν καὶ ἐπὶ τοῦ Ἄβελ, ὃς ὀρθῶς τε διεῖλε καὶ τὸ δῶρον προσήνεγκεν ὀρθῶς καὶ τὴν ἄνωθεν εἵλκυσεν ἀποδοχὴν, ὧδε ἂν ἡ θεωρία προέλθοι. Οὐδὲν, φησὶν, ἐκ τοῦ προκριθῆναι τὴν τοῦ ἀδελφοῦ θυσίαν ἐπὶ τοῖς ἐκ γενέσεως; προνομίοις ἠλάττωσαι· οὐδέ τις ἐπῆλθέ σοι δίκη τῆς φαύλης διαιρέσεως τῆς προτέρας κατὰ τὸν βίον δόξης καθέλκουσα. Οὔτε γὰρ τῶν πρωτοτόκων ἀντὶ τοῦ πλημμελήματος εἰσεπράχθη τὴν ἀφαίρεσιν, οὔτε ὑπὸ χεῖρα τελεῖν κατεκρίθης τοῦ ἀδελφοῦ, ἀλλὰ μένει σοι τὰ ἀπὸ τῆς γενέσεως δίκαια καὶ τῆς τῶν πρωτοτόκων τιμῆς τὸ ἀξίωμα. Καὶ πρὸς σὲ ἡ ἀποστροφὴ τοῦ ἀδελφοῦ σου ἔσται· τουτέστι σὲ καταφυγὴν καὶ βοηθὸν βλάβης αὐτῷ προσιούσης ἀλλαχόθεν προστήσεται· καὶ σὺ αὐτοῦ τὴν ἡγεμονίαν ὅσα γε χαρίζεται ὁ πρωτότοκος, ἕξεις· μόνον τοῖς πλημμεληθεῖσιν ἐφησύχασον· μηδὲ τραγῳδίαν πρῶτος ἀσυγγνώστου πλημμελήματος εἰσάξεις τῷ βίῳ· μηδὲ τὰ πρωτοτόκια τῆς γενέσεως πρωτοτόκια φιλονοικήσῃς ποιῆσαι μεγίστου καὶ ὀλεθριωτάτου παραπτώματος· ἵνα μὴ σαυτὸν ἀπάντων στερήσῃς, ὧν τε ἡ φύσις τῇ φιλανθρωπίᾳ τοῦ δημιουργήσαντος ἐδωρήσατο, καὶ οἷς ἔμελλες μετανοῶν ἀγαθοῖς ἐνευθηνεῖσθαι καὶ τῆς προνοίας διὰ βίου τῶν πλουτρόπων εὐεργεσιῶν ἔχειν τὴν ἀπόλαυσιν.

A malum pares insanabile, sed in silentio et tranquillitate judicii quod contra te ipsum est scrutatus et magnitudine peccati intellecta : quid enim majus quam in insaniam propriæ voluptatis divinum numen negligere? Pœnitens sis et per Dei reverentiam sinceram et prudentiam quod neglectum est expia, temetipsum excitans a casu. Hoc vero, « Et tu illius dominaberis, » juxta aliam quidem acceptionem, non tuum, ait, non acceptum tantum in alium transmittitur, nec aliquod tibi damnum inacceptio affert, sed ad te iterum revertitur. Et tu potestatem ejus et dominationem ut et prius habebis ; nullum ex oblatione, nisi quæcunque peccatum vastavit, damnum sustinens ; sed si quidem de oblato, « et tu illius dominaberis, » audire quid eloquium velit, talem quamdam explicationem inveniet. Si vero juxta alteram additionem et de Abele qui recte et divisit et donum obtulit recte et desuper traxit acceptationem, sic contemplatio processerit. Nihil, ait, ex præjudicio fratris victimæ quoad nativitatis primitias minoratus es ; nec qua supervenit tibi condemnatio vilis divisionis priorem secundum vitam gloriam deorsum trahens. Non enim protoparentum pro culpa inflicta est ablatio, neque sub manu consummari damnatus es fratris, sed manent tibi a generatione justa et protoparentum honoris dignitas. Et ad te conversio fratris tui erit ; id est te refugium et auxiliatorem damni ipsi accedentis aliunde statuet ; et tu ejus principatum, quanta saltem donat primus parens, habebis ; tantum de neglectis sile ; neque tragœdiam primus incondonatæ culpæ introduces in vitam ; neque primogenituram nativitatis primogenituram ambias facere maximæ et perniciosissimæ culpæ, ut ne te ipsum omnibus destituas, quæ et natura benignitate Creatoris donavit, et quibus debebas pœnitens bonis abundare et providentiæ per vitam multi modorum beneficiorum habere fruitionem.

B

C

ΕΡΩΤΗΣΙΣ ΟΒ'.

Τοῦ θεσπεσίου Παύλου λέγοντος· « Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε, σωθήσεται διὰ τῆς τεκνογονίας, » κ. τ. λ. πῶς δεῖ νοεῖν τὸ, « Σωθήσεσθαι διὰ τῆς τεκνογονίας τὴν γυναῖκα. »

QUÆSTIO LXXII [*al.* LXXI].

Divino Paulo dicente : « Adam non seductus est, mulier vero seducta in prævaricatione fuit, salvabitur per filiorum generationem, » et reliqua ; quomodo oportet intelligere illud : « Salvandam per filiorum generationem mulierem. »

Edita a Maio, l. c., p. 89-93. In I Tim. II, 14, 15.

Παραινῶν ὁ τοῖς πᾶσι πάντα γινόμενος Παῦλος τὸ δεῖν ὑποτετάχθαι τὴν γυναῖκα τῷ ἀνδρὶ, καὶ μανθάνειν μᾶλλον ἢ διδάσκειν ἐπιχειρεῖν, ἐξ ἄλλων τε πολλῶν τὴν παραίνεσιν ὅτι καὶ δικαία παρέστησε καὶ συμφέρουσα· καὶ νῦν δὲ, « διότι, φησὶ, πρῶτος ἐπλάσθη τῆς γυναικὸς ὁ ἀνήρ. » Εἶτα καὶ ἡ μείζων αἰτία· « Καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἀλλ' ἡ γυνὴ, » θῷ δελέατι περιχανοῦσα καὶ τῷ τῆς ἀπάτης ἀγκίστρῳ περιπαρεῖσα τὴν ἀπ' αὐτοῦ πληγὴν καὶ βλάβην εἰς τὸν ἄνδρα διεβίβασε· διόπερ ἀνεπιτήδειον τῇ γυναικὶ τὸ διδάσκειν· καὶ γὰρ διδάσκειν προαχθεῖσα τὸν ἀρχηγὸν ἡμῶν τοῦ γένους τοῦ παραδείσου ἐξέβαλε. Διὰ τοῦτο μὲν εἴρηται τὸν Ἀδὰμ μὴ ἀπατη-

D

Monens omnibus omnia factus Paulus oportere subjectam esse mulierem viro, et discere magis quam docere tentare, ex aliis multis hortationem et justam esse ostendit et utilem ; et nunc « quia, ait, prior formatus est muliere vir. » Deinde et major ratio : « Et Adam non deceptus est, sed mulier, » hamo hiscens et deceptionis laqueo capta ab ipso plagam et damnum in virum transmisit. Ideo non decet mulieri docere ; etenim docere propulsa primum ducem nostri generis paradiso ejecit. Ideo quidem dictum est Adamum non deceptum esse, quia non ipse sed Eva primum instrumentum post serpentem inimici negotiatione deceptionem invexit.

Digitized by Google

Secundo vero quia non ipse deceptoria et adulatoria verba serpentis excepit; neque invidere ipsis reliquam felicitatem et deificationem misericordem Dominum et provisorem persuasus est; sed hac illegitima contra Creatorem machinatione, et auditu et sensu abrepta Eva et de vetito ligno cum comedisset, ad eamdem vocabat mensam virum; hic vero testificatum ut verisimile a muliere suavitate et voluptate excellere cibum, et ad commodum et utile hortari se putans sociam, et plantæ particeps fuit et in transgressionem incidit; non deceptum esse igitur Adamum et propter hoc diceretur non extra verisimile. Etenim multi diversum habent qui eamdem quidem avertentem actionem, non eodem et simili sensu sectantur. Alius enim meditatione et discretione et melioris condemnatione ad pejus inclinans et vilem partem anteponens, incondonabilem facit culpam; alius vero nullius horum potens, ad societatem vero gliscens actionis, ex multis partibus trahere misericordiam potest et venia non dejici; ita igitur et hic; Eva quidem et meditatione et contra præceptum calumnia rationes cum acuisset, nudo capite dictum in contrarium cessit. Adam vero horum nullo datam legem prius injuria affecit, ad solam vero attractus est ejus transgressionem; sed propter hæc quidem diceretur non deceptum fuisse Adamum.

A θῆναι, διότι μὴ αὐτὸς ἀλλ' ἡ Εὔα πρῶτον ὄργανον μετὰ τὸν ὄφιν τοῦ ἐχθροῦ χρηματίσασα τῆς ἀπάτης καθηγήσατο· δεύτερον δὲ διότι μὴ αὐτὸς τοὺς ἀπατηλοὺς καὶ θῶπας λόγους τοῦ ὄφεως παρεδέξατο· μηδὲ φθονεῖν αὐτοὺς τῆς τε ἄλλης εὐδαιμονίας καὶ τῆς θεώσεως τὸν οἰκτίρμονα Δεσπότην καὶ προνοητὴν ἀνεπείσθη· ἀλλὰ ταύτην τὴν ἔκθεσμον κατὰ τοῦ Πλάσαντος συμβουλὴν, καὶ ἀκοῇ καὶ γνώμῃ ἁρπάσασα ἡ Εὔα, καὶ τοῦ ἀπηγορευμένου ξύλου φαγοῦσα, ἐπὶ τὴν αὐτὴν ἐκάλει τράπεζαν τὸν ἄνδρα. Ὁ δὲ μαρτυρουμένην ὡς εἰκὸς ὑπὸ γυναικὸς ἐπὶ γλυκύτητι καὶ ἡδονῇ διαφέρειν βρῶσιν, καὶ πρὸς τὸ σύμφορον καὶ ὠφέλιμον παρακαλεῖν νομίσας τὴν βοηθὸν, καὶ τοῦ φυτοῦ μετέσχε καὶ τῇ παραβάσει περιέπεσε· μὴ ἠπατῆσθαι τοίνυν τὸν Ἀδὰμ καὶ διὰ τοῦτο ῥηθείη B ἂν οὐκ ἔξω τοῦ εἰκότος. Καὶ γὰρ πολλοὶ τὸ διάφορον ἔχουσιν οἱ τὴν αὐτὴν μὲν ἀποτρόπαιον πρᾶξιν, οὐ τῇ αὐτῇ δὲ καὶ ὁμοίᾳ διανοίᾳ μετερχόμενοι. Ὁ μὲν γὰρ μελέτῃ καὶ διακρίσει καὶ τῇ τοῦ κρείττονος καταγνώσει πρὸς τὸ χεῖρον ἀπονεύσας καὶ τὴν φαύλην μοῖραν προελόμενος, ἀσύγγνωστον ἀποτελεῖ τὸ πλημμέλημα· ὁ δὲ μηδενὸς τούτων ἔνοχος, πρὸς τὴν κοινωνίαν δὲ παρολισθήσας τῆς πράξεως, πολλαχόθεν ἔλκειν τὸν ἔλεον δύναται καὶ τῆς συγγνώμης μὴ ἀπελαύνεσθαι· οὕτω γοῦν κἀνταῦθα. Ἡ μὲν Εὔα καὶ μελέτῃ καὶ τῇ κατὰ τῆς ἐντολῆς διαβολῇ τοὺς λογισμοὺς παραθήξασα, γυμνῇ τῇ κεφαλῇ τὸ λεγόμενον πρὸς τοὐναντίον ἐχώρησεν· ὁ δὲ Ἀδὰμ τούτων μὲν οὐδενὶ τὸν δοθέντα νόμον προεξύβρισε, πρὸς μόνην δ' ὑπεσύρη τὴν τούτου παράβασιν· ἀλλὰ διὰ ταῦτα μὲν λέγοιτ' ἂν μὴ ἠπατῆσθαι τὸν Ἀδάμ.

Diceretur autem nihilominus et quia hic quidem linguæ contribulis et consuetæ et in multis non fallacis visæ audiens factus est; illa vero extraneæ vocis neque consistere ad conversationem assuetæ mancipium visa est et improbitatis facta est præda. Igitur et hanc additionem admittit causam quod dicatur Adamum non fuisse deceptum, mulierem vero deceptam in prævaricatione fuisse; transgressi sunt equidem ambo; sed et hic prior est mulieris transgressio. Et quidem duplicis ipsa transgressionis visa est rea, propriæ et ad quam virum compulit. Quid igitur, dicat quis ad me femineæ naturæ patronus, Evæ deceptio et transgressio, quoniam unius et ejusdem naturæ vir et mulier cum sint, secundas ferre damnatæ sumus, et discentium semper ordinem tenere, a docendo vero omnino prohibitæ sumus? ad quem sequens subsumens diceret sermo, quemadmodum Adamo ad mortalitatem condemnato in omnes ejus posteros pertransivit mors, sic et mulieris non solum deceptæ, sed et in transgressione factæ; et certe graviorem utraque viro cum induxerit culpam neque secundum successionem genus crimine est omnino liberum, nec ad meliorem dispositionem ex mutatione videtur adductum. Igitur quidem illud non deceptum fuisse Adamum per hæc opinor et non absque cura discretum sit. Sunt vero qui contradictionem ponunt. Non deceptum esse aiunt Adamum, non quia muliere minus sed quia magis peccavit; sic enim dictione et Apostolum usum esse. Etenim hæc

C Λέγοιτο δ' ἂν οὐδὲν ἧττον καὶ διότι ὁ μὲν γλώσσης ὁμοφύλου καὶ συνήθους, καὶ ἐν πολλοῖς οὐδὲ σφαλερᾶς ἀναφανείσης ὑπήκοος γέγονεν· ἡ δὲ ἀλλοφύλου τε φωνῆς καὶ οὐδὲ καθίστασθαι πρὸς ὁμιλίαν λαβούσης ἔθος ἀνδράποδον ὤφθη καὶ τῆς μοχθηρίας ἐγένετο θήραμα. Οὐκοῦν καὶ ταύτην προσθήκην δέχεται τὴν αἰτίαν τὸ λέγεσθαι τὸν Ἀδὰμ μὴ ἀπατηθῆναι· τὴν δὲ γυναῖκα ἀπατηθεῖσαν ἐν παραβάσει γενέσθαι· παρέβησαν μὲν γὰρ ἄμφω· ἀλλὰ κἀνταῦθα προφθάναι τῆς γυναικὸς ἡ παράβασις. Καὶ μὲν διπλῆς αὕτη παραβάσεω; ὤφθη ἔνοχος, τῆς τε οἰκείας καὶ πρὸς ἣν τὸν ἄνδρα συνώθησε. Τί οὖν ἄν τις ἐρεῖ πρὸς ἐμὲ τῆς γυναικείας φύσεως προϊστάμενος ἡ τῆς Εὔας ἀπάτη καὶ παράβασις, ὅτι μιᾶς τε καὶ ἴσης φύσεως ἀνδρός τε καὶ γυναικὸς οὔσης, τὰ δευτερεῖα φέρειν D κατεκρίθημεν, καὶ μανθανόντων ἀεὶ λῆξιν ἐπέχειν, τοῦ διδάσκειν δὲ παντελῶς ἀφῃρήμεθα; πρὸς ὃν ὁ ἀκόλουθος ἀνθυποφέρων φαίη λόγος, ὅτι καθ' ὃν τρόπον τοῦ Ἀδὰμ τὸ θνητὸν καταδικασθέντος εἰς πάντας τοὺς ἐξ αὐτοῦ διῆλθεν ὁ θάνατος, οὕτω καὶ τῆς γυναικὸς οὐ μόνον ἀπατηθείσης, ἀλλὰ καὶ ἐν παραβάσει γενομένης· καίγε τὸ χαλεπωτέραν ἑκατέρᾳ τῷ ἀνδρὶ καθηγησαμένης ἁμαρτάδος, οὐδὲ τὸ κατὰ διαδοχὴν γένος τῆς αἰτίας ἐστὶ παντελῶς ἀφειμένον, οὐδὲ πρὸς κρείττονα διάθεσιν ἐκ μεταβολῆς ὁρᾶται ἀγόμενον. Τὸ μὲν οὖν μὴ ἠπατῆσθαι τὸν Ἀδὰμ διὰ τούτων οἶμαι καὶ οὐκ ἀμελῶς διευκρίνηται. Εἰσὶ δὲ οἳ, τοὐναντίον τὴν λέξιν τιθέμενοι, οὐκ ἀπατηθῆναί φασι τὸν Ἀδὰμ, οὐχ ὅτι τῆς γυναικὸς ἧττον ἀλλ' ὅτι μεῖζον ἐξήμαρτεν· οὕτω γὰρ τῇ λέξει καὶ τὸν Ἀπόστολον χρῆ-

Digitized by Google

σασθαι· ἡ μὲν γὰρ δελεασθεῖσα λόγοις ἐπικλόποις καὶ ἡδύνουσι πρὸς τὴν ἀθέτησιν παρενήνεκται, ὁ δὲ γνώμῃ μᾶλλον καὶ θελήματι ταύτην ἠσπάσατο· οὐδὲ φαίνεται τοῦτον ἡ γυνὴ, ὥσπερ ἐκλάπη, οὕτω ῥήμασι κλέπτουσα· καὶ ἡ μὲν καὶ ἀντειπεῖν διανέστη τῷ ὄφει, καὶ τῷ μεγέθει τῆς ἐπαγγελίας διαχυθεῖσα πρὸς τὴν ἀπάτην ἀπέκλινε. Περὶ δὲ τὸν Ἀδὰμ οὐδέτερον τούτων γέγονεν· οὔτε γὰρ ἀντεῖπε τῇ γυναικὶ, οὔτε μέγεθος αὐτὸν ἐπαγγελίας συνήρπασεν· ἀλλ' οὐδὲν ἔλαττον οὗτος ὤφθη ἕτοιμος πρὸς τὸ μεταλαβεῖν ἢ ἐκείνη· μεταδοῦναι τῆς βρώσεως· διόπερ εἰκότως ἂν νοοῖτο οὐκ ἀπάτῃ μᾶλλον ἀλλ' ἔρωτι πεσεῖν τῆς βρώσεως εἰς παράβασιν· ἀλλ' ὁ μὲν λόγος οὗτος εἴπερ ἐν ἄλλοις ἔχει χώραν, ἐχέτω· νῦν δὲ οὐκ ἔχει πάροδον· ὑπερτιθεὶς γὰρ τῆς ἀληθείας ὁ κήρυξ καὶ προτιμῶν τὸν Ἀδὰμ τῆς γυναικὸς, καὶ τὴν ὑποταγὴν αὐτῇ παραινῶν, καὶ διὰ τὸ μὴ ἀπατηθῆναι τὸν Ἀδὰμ ὥσπερ καὶ διὰ τῶν ἄλλων ἐνθυμημάτων, οὕτω καὶ διὰ ταύτην τὴν αἰτίαν ἰσχὺν ἄμαχον ἔχειν τὴν παραίνεσιν ἐπεδείξατο· ἀλλ' ὧδε μὲν, οἶμαι, διευκρίνηται, τίνα τρόπον οὐκ ἠπατήθη ὁ Ἀδάμ.

Τὸ δὲ, « Σωθήσεται διὰ τῆς τεκνογονίας ἡ γυνὴ, » τουτέστιν ἡ τῶν γυναικῶν φύσις· καὶ γὰρ διὰ τοῦτο τὴν Εὔαν τὸ λόγιον εἰς τὴν γυναῖκα μετέλαβεν. Οἱ μέν φασι τεκνογονίαν εἰπεῖν τὸν Ἀπόστολον, τὴν περὶ τὰ τέκνα πρόνοιαν καὶ σπουδὴν δι' ἧς αὐτοί τε πίστει καὶ ἀγάπῃ στηριζόμενοι τὸν ἁγιασμὸν καὶ τὴν σωφροσύνην συγκατορθώσουσι, καὶ αἱ πρὸς ἀρετὰς αὐτοὺς παιδαγωγοῦσαι μητέρες δηλονότι τὰ αὐτὰ καὶ μελετῶσαι καὶ διαπραττόμεναι εἶησαν, δι' ὧν καὶ τῆς παραβάσεως τὴν αἰτίαν διαλύουσι. Τοῦτο γὰρ ὁ τῆς οἰκουμένης ἔφη διδάσκαλος· « Σωθήσεται δὲ, φάμενος διὰ τῆς τεκνογονίας· » καὶ γὰρ ἡ περὶ τὰ τέκνα παιδαγωγία καὶ θεοφιλὴς πρόνοια καὶ κηδεμονία μέγα δικαίωμα πέφυκε τὴν πρὸς τὸν Ἀδὰμ τῆς Εὔας σφαλερὰν ἀνακαλέσασθαι διδασκαλίαν. Ἐδίδαξα τὸν ἄνδρα σφαλερῶς; Ἀλλ' ἀσφαλῶς παιδαγωγῶ καὶ τρέφω τὰ τέκνα. Ἐκεῖνο καταδικάζει; Τοῦτο πῶς οὐκ ἂν εἴη μάλιστά γε παρὰ δικαίῳ καὶ φιλανθρώπῳ κριτῇ συγγνώμη καὶ γείτονι τοῦ πταίσματος κατορθώματι τῆς δίκης ἀπολύον; Διὸ ταύτης τῆς τεκνογονίας ἡ γυναικεία φύσις ἀντεχομένη καὶ ταύτην σπουδάζουσα διαλύει καὶ ἀποτίθεται τὴν ἀπὸ τῆς ἀπάτης αἰτίαν καὶ δίκην· ὅτι δὲ τεκνογονίαν καὶ δὴ καὶ τεκνοτροφίαν ὁ Ἀπόστολος τὴν περὶ τὰ τέκνα σωτήριον ἐπιμέλειαν εἰώθε καλεῖν, δῆλον ἐντεῦθεν. Καὶ γὰρ εἰς τὴν τῶν χηρῶν τάξιν καὶ τιμὴν καὶ τὴν πρόνοιαν τὰς κεχηρωμένας τῶν ἀνδρῶν ἀνάγων, « Χήρα, φησὶ, καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα· » εἶτα καὶ τίνα καταβαλλομένη μισθὸν τῆς τοιαύτης λήξεως· « Εἰ ἐτεκνοτρόφησε, φησὶν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσε· » καὶ ὅρα ὅπως τῇ τῶν ἁγίων θεραπείᾳ καὶ δεξιώσει καὶ τῷ τῆς ἐλεημοσύνης λαμπρῷ κατορθώματι, τὴν περὶ τὰ τέκνα σπουδὴν καὶ πρὸς ἀρετῶν παιδαγωγίαν συνέταξέ τε καὶ συνηρίθμησεν· ἀλλ' οὗτοι μὲν οὕτως τὴν τεκνοτροφίαν καὶ τεκνογονίαν ἐξακούουσιν.

illecta verbis blandis et jucundis ad transgressionem adducta est; ille vero sensu magis et voluntate hanc amplexus est; non videtur igitur mulier, ut seducta est, ita verbis seducens. Et illa quidem et contradicere surrexit serpenti et magnitudine promissionis turbata ad deceptionem declinavit. Circa Adamum vero neutrum horum factum est; non enim contradixit mulieri, nec magnitudo ipsum promissionis abripuit; sed nihilominus iste visus est paratus ad participandum quam illa ad communicandum de cibo; ideo recte intelligeretur non deceptione magis, sed amore incidisse cibi in transgressionem. Sed sermo quidem iste si in aliis habet locum, habeat; nunc autem non habet accessum. Superponens enim veritatis præco et præferens Adamum mulieri, et subjectionem huic suadens, et propterea quod non deceptus sit Adam ut et per alia enthymemata, ita et propter hanc causam vim inexpugnabilem habere exhortationem ostendit. Sed sic quidem puto bene discretum sit, quemadmodum non deceptus fuerit Adam.

Illud vero, « Salvabitur per filiorum generationem mulier, » id est mulierum natura; etenim propter hoc Evam oraculum in mulierem transtulit. Hi quidem dicunt filiorum generationem dicere Apostolum, circa filios providentiam et studium per quod ipsi et fide et charitate roborati sanctificationem et sapientiam recte perficiant, et ad virtutes eos instituentes matres videlicet eadem et meditantes et agentes sint, per quæ et transgressionis causam dissolvunt; hoc enim mundi dixit magister. « Salvabitur autem, inquiens, per filiorum generationem. » Etenim circa filios institutio et Deum amans providentia et cura magna justificatio nata est ad Adamum Evæ fallacem reparare magisterium. Docui virum fallaciter? Sed secure educo et nutrio filios. Illud damnat? hoc quomodo non esset, præsertim apud justum et benignum judicem venia et vicino lapsus recte facto damnationem solvens? Ideo huic filiorum generationi femínea natura adhærescens et ei studens dissolvit et deponit a deceptione criminationem et condemnationem: Quod autem filiorum generationem et filiorum nutritionem Apostolus circa liberos salvificam curam soleat vocare, manifestum hinc: Etenim in viduarum ordinem et honorem et providentiam viduatas viris referens: « Vidua, inquit, eligatur non minus annorum sexaginta [50]; » deinde et aliquod fundens pretium talis electionis: « Si filios educavit, ait, si sanctorum pedes lavit, si tribulationem patientibus subministravit [51]; » et vide quomodo sanctorum curæ et hospitio et eleemosynæ splendenti bono circa filios studium et ad virtutum educationem conjunxit, et connumeravit; sed isti quidem sic filiorum nutritionem et filiorum generationem audiunt.

[50] I Tim. v, 9. [51] ibid. 10.

Digitized by Google

Non pejus autem forte cogitare filiorum generationem quam pietas bonorum operum et virtutum rectum complexa sermonem per puros et impollutos dolores parientem et vere nobilissimam implet generationem, per quam tota reparatur quæ præcessit deminutio. Revera et quæ tales dolores pendentes partu multos filios genuerunt, et filias; secundum quam filiorum positionem cognoscitur et sterilis pariens septem, et quæ multas in filiis gloria superavit. Ipsæ et illud: « Multiplicamini et augemini, » Deo convenientius et magis proprie in seipsas transferentes, dominicam in seipsis ostendunt impletam benedictionem. Talis filiorum generatio non in solas ex commercio viri filios procreantes feminas circumscribit deceptionis solutionem, sed et in alias mulieres et præsertim virgines transfert erroris correctionem; salvantur enim omnes per quas protoparentum deminutio distribuebatur tali filiorum generatione, deceptionis dedecus et pondus splendidis justitiis eluentes et proprio partu Ecclesiæ filios multiplicantes; et fide et charitate et per prudentiam sanctificatione illustratæ in cœlis Patrem glorificare ipsas inspicientes et pulchritudinem operum intuentes procurant. Sed enim sic quidem isti non viliter, opinor, ad speculationem litteram attrahentes.

Alii vero filiorum generationem sacratius et Deo convenientius ex Virgine Salvatoris nostri sacro sermone dicunt generationem; per quam filiorum generationem non mulierum natura solum glorificata est et a deceptione dedecus et condemnationem absersit, fidem et charitatem et sanctificationem qui est fructus prudentiæ sectantes, sed et genus totum propriis et voluntariis geniti passionibus revocatum est a lapsu et multo diviniore quam ante præcipitium sorte digna habita est et fruitione. Vis autem magis discere quomodo deceptionis mulier per dictam filiorum generationem condemnationem effugit, et donum accepit remissionis? prius emollitæ ad serpentis linguam sibilantem sacra hac et nova vere sub cœlo filiorum generatione progressa, tyrannorum linguis se opponentes oratorie docentibus impietatem; et pœnis non solum visu neque expertu, sed et dictu horrendissimis lætæ et gloriantes, in multis sæpe non minores hominibus luctis et certaminibus excelluerunt; et non mulierum solum sed et virorum visæ sunt pietatis magistræ et pro Christo acerba supplicia et mortes et immolationes generoso et inconcusso et læto sustinuerunt animo.

A Οὐ χεῖρον δὲ ἴσως ἐννοεῖν τεκνογονίαν ἣν ἡ εὐσέβεια τῶν σπουδαίων ἔργων καὶ κατορθωμάτων τὸν ὀρθὸν συλλαβοῦσα λόγον τὴν διὰ καθαρῶν καὶ ἀμολύντων ὠδίνων ἀποτικτομένην καὶ ὡς ἀληθῶς εὐγενεστάτην πληθύνει γονὴν, δι' ἧς ἅπαν ἀνακαλεῖται τὸ φθάσαν ἐλάττωμα. Τῷ ὄντι καὶ αἱ τοιαύτας ὠδῖνας λύουσαι τῷ τόκῳ πολλοὺς υἱοὺς ἐτεκνώσαντο καὶ θυγατέρας· καθ' ἣν υἱοθεσίαν γινώσκεται καὶ ἡ στεῖρα τίκτουσα ἑπτὰ, καὶ τὴν πολλὴν ἐν τέκνοις παρευδοκιμήσασα· αὗται καὶ τό· « Πληθύνεσθε καὶ αὐξάνεσθε, » θεοπρεπέστερόν τε καὶ οἰκειότερον εἰς ἑαυτὰς μεταφέρουσαι, τὴν Δεσποτικὴν ἐν ἑαυταῖς δεικνύουσιν εὐθηνουμένην εὐλογίαν· ἡ τοιαύτη τεκνογονία οὐκ εἰς μόνας τὰς ἐξ ὁμιλίας ἀνδρὸς παιδοποιοὺς γυναῖκας περιγράφει τῆς ἀπάτης τὴν διάλυσιν, ἀλλὰ καὶ εἰς τὰς ἄλλας B τῶν γυναικῶν καὶ μάλιστα τὰς παρθένους διαβιβάζει τοῦ σφάλματος τὴν διόρθωσιν· σώζονται γὰρ πᾶσι καθ' ὧν τὸ προγονικὸν ἐλάττωμα ἐπενέμετο διὰ τῆς τοιαύτης τεκνογονίας, τὸ τῆς ἀπάτης αἶσχος καὶ ἄχθος λαμπροῖς δικαίοις ἀποσκευαζόμεναι καὶ τῷ οἰκείῳ τόκῳ τῆς Ἐκκλησίας τὰ τέκνα πληθύνουσαι· καὶ τῇ πίστει καὶ ἀγάπῃ καὶ τῷ διὰ τῆς σωφροσύνης ἁγιασμῷ λαμπρυνόμεναι τὸν ἐν οὐρανοῖς Πατέρα δοξάζειν τοὺς εἰς αὐτὰς ὁρῶντας καὶ τὴν καλλονὴν τῶν ἔργων ἀνασκοποῦντας παρασκευάζουσιν· ἀλλὰ γὰρ οὕτω μὲν οὕτοι οὐ φαύλως, οἶμαι, πρὸς θεωρίαν τὸ γράμμα ἀνέλκοντες.

Οἱ δὲ τεκνογονίαν ἱερώτερόν τε καὶ θεοπρεπέστερον τὴν ἐκ τῆς Παρθένου τοῦ Σωτῆρος ἡμῶν ἱερολογοῦσι γέννησιν· δι' ἧς τεκνογονίας οὐ τῶν γυναικῶν ἡ φύσις μόνον ἐδοξάσθη καὶ τὴν ἀπὸ τῆς ἀπάτης ὕβριν καὶ κατάγνωσιν ἀπεσκευάσατο, πίστιν καὶ ἀγάπην καὶ ἁγιασμὸν, ὅς ἐστι καρπὸς τῆς σωφροσύνης μετερχόμεναι, ἀλλὰ καὶ τὸ γένος ὅλον οἰκείοις καὶ ἑκουσίοις τοῦ τεχθέντος παθήμασιν ἀνεκλήθη τοῦ πτώματος καὶ πολλῷ θειοτέρας ἢ πρὸ τοῦ κατενεχθῆναι λήξεως κατηξιώθη καὶ ἀπολαύσεως. Θέλεις δὲ μᾶλλον καταμαθεῖν ὅπως τῆς ἀπάτης ἡ γυνὴ διὰ τῆς εἰρημένης τεκνογονίας τὴν δίκην διέφυγε, καὶ τὸ δῶρον ἔλαβε τῆς ἀφέσεως; Αἱ πρὶν μαλακισθεῖσαι πρὸς τὴν τοῦ ὄφεως γλῶσσαν ψιθυρίζουσαν τῆς ἱερᾶς ταύτης καὶ καινῆς ὡς ἀληθῶς ὑπὸ τὸν ἥλιον τεκνογονίας προελθούσης, C τυράννων γλώσσαις ἀντικαταστᾶσαι ῥητορευούσαις τὴν ἀσέβειαν· καὶ ποινῶν οὐ μόνον ἰδεῖν οὐδ' εἰς πεῖραν ἐλθεῖν, ἀλλὰ καὶ εἰπεῖν φρικωδεστάτων, κατευμεγεθήσασαι, ἐν πολλοῖς πολλάκις οὐκ ἐλάττους τῶν ἀνδρῶν τοὺς ἄθλους καὶ τοὺς ἀγῶνας διήνεγκαν· καὶ οὐ γυναικῶν μόνον ἀλλὰ καὶ ἀνδρῶν ὠφθήσαν τῆς εὐσεβείας διδάσκαλοι, καὶ τὰς ὑπὲρ Χριστοῦ πικρὰς τιμωρίας καὶ τοὺς θανάτους καὶ τὰς σφαγὰς γενναίῳ καὶ ἀκαταπλήκτῳ καὶ εὐφραινομένῳ ὑπέστησαν τῷ φρονήματι.

QUÆSTIO LXXIII [*al.* LXXII].

Quomodo intelligenda sint verba illa, « Qui manducaverit hunc panem et biberit calicem Domini indigne, reus erit corporis et sanguinis Domini, » et reliqua.

ΕΡΩΤΗΣΙΣ ΟΓ'.

Πῶς νοητέον τὸ, « Ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, καὶ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως. ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου, » καὶ τὰ ἑξῆς.

Edita a Maio, *Nov. Coll.* t. I, p. 120-124. In 1 Cor. xi, 27.

1. Dominici corporis sanguinisque sumptio,

α'. Ἡ μετάληψις τοῦ Δεσποτικοῦ σώματος καὶ αἵ-

Digitized by Google

ματος τροφή τις οὖσα νοερὰ καὶ τὰς ψυχικὰς δυνάμεις ἀναρωννύουσα, ἐπεὶ τῷ ἐκ ψυχῆς καὶ σώματος συνεστῶτι προσφέρεται ζῴῳ, ἐν σωματικῇ οὐσίᾳ καὶ αὐτὴ τὴν πνευματικὴν χάριν καὶ τὸν ἁγιασμὸν παρέχει· ὅθεν διὰ τοῦ στόματος εἰς τοὺς μυστικοὺς θαλάμους τῆς φύσεως προῖοῦσα, εἰς ὅλον μὲν οἰκονομεῖται, καὶ ὅλον καθαγιάζει τὸ ζῷον, μᾶλλον δὲ εἰς αὐτὴν τὴν ψυχὴν καὶ τὸν νοῦν τῆς χάριτος καὶ τοῦ ἁγιάσματος ἐπιδαψιλεύεται τὴν ἐνέργειαν· χρὴ τοίνυν τοὺς ἀπολαύειν μέλλοντας τῆς ἱερᾶς ταύτης καὶ νοερᾶς τροφῆς, μὴ ἀγνοεῖν τίς ἐστιν ἡ δύναμις αὐτῆς, καὶ τίς ἡ πάντα νοῦν ὑπερέχουσα δι' αὐτὴν παρεχομένη εὐεργεσία καὶ δωρεά· οἷον ὡς προαιώνιος Λόγος, ὁ ἐν ἀρχῇ ὤν, καὶ πρὸς τὸν Θεὸν ὤν, καὶ Θεὸς ὤν· οὗτος ὁ τῆς φύσεως ἡμῶν δημιουργὸς ἐκ παρθενικῶν αἱμάτων σάρκα δανεισάμενος, ὁ πλουτῶν θεότητα, ἄνθρωπος κατηξίωσε χρηματίσαι δι' ἡμᾶς, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ ὁ ὑπάρχων ἐν μορφῇ Θεοῦ, μορφὴν ἀνέλαβε δούλου, ἑκατέρας φύσεως τοὺς ὅρους ἐν τῇ αὐτοῦ μιᾷ ὑποστάσει ἀσυγχύτους καὶ ἀχωρίστους διασωσάμενος· ἐκένωσεν οὖν ἑαυτὸν ὑπὲρ ἡμῶν ἀκενώτως, καὶ γεγονὼς ὅμοιος ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας, οὐκ εὐεργετῶν μόνον καὶ ἰώμενος τὰς ἀσθενείας ἡμῶν διετέλεσεν, ἀλλὰ καὶ βλασφημούμενος καὶ ἀχαριστούμενος, οὐδὲν ἧττον τῶν ὑπὲρ λόγον δωρεῶν τὴν ἀφθονίαν οὐ συνέστελλεν· καὶ ὕβρεις καὶ χλεύην ὑπὸ τῶν εὐεργετουμένων ὑφιστάμενος, τῆς ἀφάτου φιλανθρωπίας οὐκ ἀφίστατο· ἀλλὰ καὶ σταυρὸν καὶ θάνατον ἤνεγκεν, ὥστε τοὺς ὑβριστὰς θανάτου καὶ φθορᾶς ἀπαλλάξαι, καὶ πρὸς ἀθανασίαν καὶ ἀφθαρσίαν τὸ θνητὸν ἡμῶν καὶ φθαρτὸν διὰ τῆς ἰδίας ἀναστάσεως μεταπλάσαι τε καὶ ἀνυψώσασθαι.

β'. Τούτων δὲ πάντων τῶν ἀγαθῶν ἀῤῥαβῶνά τε καὶ θεμέλιον τοῦ οἰκείου σώματος καὶ αἵματος τὴν μετάληψιν προκατεβάλλετο· ὡς ἂν ταύτης ἐν μετουσίᾳ γινόμενοι τῆς οὐρανίου καὶ ἀθανάτου ζωῆς ἐν ἑαυτοῖς ἔχειν πιστεύωμεν τὰ προοίμια· καὶ γὰρ ἡ ἐνυπόστατος ἀλήθειά φησι· « Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον· » ἐπειδὴ τῇ μετοχῇ τῆς ἀχράντου σαρκὸς αὐτοῦ σύσσωμοι καθιστάμενοι, καὶ τῆς ἀφθαρσίας καὶ ἀθανασίας καταξιούμεθα· ὁ τοίνυν τοὺς λογισμοὺς αὐτοῦ τούτοις ἀναστρέφων καὶ στηριζόμενος, καὶ τὸν πλοῦτον τῶν εὐεργεσιῶν ἐπερχόμενος, ἐπειδὰν μέλλει τῆς μυστικῆς ταύτης καὶ ἀκηράτου τροφῆς μετέχειν, δῆλον ὅτι καθαρὸν καὶ ἀμέτοχον τῶν πονηρῶν πράξεων ὀφείλει παρασκευάζειν ἑαυτόν· οἷα δὴ μέλλων τὸν βασιλέα πάντων καὶ Δεσπότην τῇ παρουσίᾳ τοῦ σώματος αὐτοῦ ἐν τοῖς τῆς ψυχῆς ὑποδέξασθαι θαλάμοις συναναπαύσασθαι ἀῤῥήτῳ λόγῳ καὶ ὑπὲρ κατάληψιν φιλανθρωπίᾳ, καὶ συμφυόμενον σώματι τῷ ἡμετέρῳ· ὁ δὲ μὴ προκαθηράμενος ἑαυτὸν τῶν μολυσμάτων καὶ παθῶν ὅσα τε τὴν ψυχὴν καὶ ὅσα τὸ σῶμα λυμαίνεται καὶ καταμολύνει, ἀλλὰ ῥυπῶντι μὲν βίῳ, ῥυπῶντι δὲ λογισμῷ τῆς μυστικῆς προσιὼν καὶ ἀπαθανατιζούσης τραπέζης μετασχεῖν, οὗτος οὐ μετέχει

quæ est intellectualis quædam atque animæ vires reficiens alimonia, quandoquidem animanti, quod corpore animaque constat, præbetur; ideirco per corpoream substantiam ipsa quoque spiritalem gratiam et sanctificationem confert. Quare per os in mystica naturæ humanæ conclavia permeans, universum bene disponit atque sanctificat animal, præcipue tamen animæ ac menti gratiæ sanctimoniæque liberaliter vim suppeditat. Itaque oportet eos, qui hoc sacro spiritalique cibo fruituri sunt, minime nescire quænam ejus sit virtus, vel quodnam ab eo conferatur beneficium ac donum, quod sane vix ulla mente comprehendi potest: nempe quod ipsum sit ante sæcula exsistens Verbum, quod erat in principio, quod apud Deum erat, Deus ipse. Hic nostræ naturæ auctor virgineo de sanguine carnem sibi adeptus, qui erat divinitate dives, homo fieri propter nos voluit, ac nobiscum diversatus est: et qui erat in forma Dei, formam servi recepit, utriusque naturæ terminos in unica sua persona inconfusos inseparabilesque servans. Exinanivit ergo sine exinanitione se ipsum, ac similis nobis per omnia effectus absque peccato [51], non solum bene fecit infirmitati nostræ ac medicatus est; verum etsi blasphemiis appetitus, atque ingratos expertus homines, nihilominus inenarrabilium donorum affluentiam non compescuit: injuriasque et convicia ab iis qui ejus beneficiis usi fuerant perpessus, ab ineffabili benevolentia non destitit; sed crucem necemque pertulit, ut inimicos suos morte et corruptione liberaret, atque ad immortalitatem et incorruptionem mortale hoc nostrum et corruptibile corpus per suam resurrectionem transferret atque attolleret.

2. Jam vero horum bonorum omnium arrhabonem ac fundamentum statuit proprii corporis sanguinisque sumptionem: ita ut hujus participes effecti, cœlestis atque immortalis vitæ intra nos ipsos habere credamus primitias. Etenim substantialis ipsa Veritas dicit: « Qui manducat meam carnem et bibit meum sanguinem, habet vitam æternam [52]. » Nam per communionem immaculatæ carnis idem cum eo corpus effecti, incorruptione quoque et immortalitate digni efficimur. Qui ergo hæc mente revolvit atque defigit, ac beneficiorum copiam recolit, quotiescunque mystici hujus illibatique cibi particeps est futurus, hunc constat purum se pravisque operibus alienum præstare debere: quippe qui universalem Regem ac Dominum corpore ipso præsentem excepturus est, conclavibus animæ ineffabili ratione et incomprehensibili clementia infusum, nostroque corpori immistum. Jam qui se ipsum maculis atque passionibus haud ante purgaverit, quæcunque animum ejus corpusque impiant ac fœdant; sed sordida vita sordidaque mente ad mysticam, quæ immortalitatem donat, mensam vescendi causa accesserit; hic mehercule gratiæ non fit particeps:

[51] Hebr. IV, 15. [52] Joan. VI, 55.

Digitized by Google

neque enim putre vas unguentum continere potest ; neque margarita sterquilinio commendatur : tum quia violat ac dehonestat rem non modo contumelia indignam, sed cui par honor adhiberi nullus potest, is summi sceleris semetipsum reum constituit. Injurius enim est in Dominicum corpus, sicuti adversus idem injuriosa fuit olim Judæorum audacia, a qua cruci suffixum fuit. Quamobrem is qui urebatur quodammodo et ægrotabat propter eos qui fide labebantur et laborabant [54], dum hujus peccati magnitudinem demonstrare studet, non satis habuit, semel dixisse, ejusmodi hominem corporis ac sanguinis Domini esse reum ; sed mox rursus testatus est : « Qui manducat panem bibitque calicem Domini indigne, hic sibi judicium manducat ac bibit [55]. »

3. Atque in hanc nimirum sententiam ipse rerum invisibilium spectator et ineffabilium narrator atque magister reum esse dicit corporis et sanguinis Domini quicunque indigne manducare et bibere audet. Quid enim ? Cum vacet purgare me ipsum maculasque pœnitentia abstergere, atque ita ad purissimam rem, imo ad puritatis affluentem magis quam cogitari potest fontem accedere ; ego contra nulla id cogitatione curave dignabor ? atque ut purus spectantibus videar, dignusque hac gratia et rei usu, meam ipse contumelia salutem afficiam, neque illudere illi extimescam « in quem angeli optant prospicere [56] ? » Profecto qui gloriam invicem aucupantur [57], hi neque eam quæ a solo Deo est gloriam quærunt, neque mysterii magnitudini credunt. Nam clemens quidem noster Creator indignos non ineffabili dignatus beneficio est : nos autem tanto munere affecti, nempe ut ejus corporis participes simus (si certe voluerimus viribus acceptis et gratia ad tantæ dignitatis culmen ascendere), nisi omni studio nosmet ipsi puros præbuerimus, nonne duplici damnatione nosmet reos esse ostendemus ? una quidem, quia cum liceret tantam bonorum copiam lucrari, renuerimus, nosquemet tanto emolumento ac salute fraudaverimus. (Quippe hoc ipsum absque alia animadversione, maxima damnatio est, dicente Domino : « Qui non credit Filio, jam judicatus est [58] ; » nempe sententiam intra se gerit. Quamnam ? nempe quod ei non credidit.) Altera damnatio est, quod donum spreverimus, quod gratiæ injurii fuerimus, quod bene nobis facientem nullo pretio habuerimus : dum hac alimonia mystica, quæ nos puri ejus corporis facit participes, tanquam vulgari mensa abusi sumus. Ergo ejusmodi homines haud meliores Judæis sunt, qui horrendum illud et immane facinus perpetrarunt, cum vivificum Christi corpus ligno suspenderunt, spiculoque sanguinem exhauserunt. Quamobrem apta locutione mundi doctor reos hos corporis et sanguinis Domini pronuntiavit.

Α μὲν τῆς χάριτος· οὐδὲ γὰρ σαπρὸν δοχεῖον μύρον ὑποδέξασθαι δύναται· οὐδὲ μαργαρίτης βορβόρῳ κακαπιστεύεται· ἀλλ' ὑβρίζων καὶ ἀτιμάζων τὸ κρεῖττον οὐ μόνον ὕβρεως ἀλλὰ καὶ τιμῆς, οὗτος ἀπαραιτήτου κρίματος ἑαυτὸν ἀπέφηνε μέτοχον· ἐὐβρισε γὰρ τὸ σῶμα τὸ Δεσποτικὸν, εἰς ὃ τῶν Ἰουδαίων ἡ τόλμα σταυρῷ προεξύβρισεν ἀναρτήσασα· διὸ καὶ ὁ πυρούμενος καὶ ἀσθενῶν ὑπὲρ τῶν σκανδαλιζομένων τῇ πίστει καὶ ἀσθενούντων, τὸ μέγεθος τοῦ ἁμαρτήματος παριστῶν, οὐκ ἠρκέσθη ἅπαξ εἰπεῖν ὡς ἔνοχός ἐστιν ὁ τοιοῦτος τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου, ἀλλὰ καὶ δεύτερον πάλιν ἐπεμαρτύρατο, ὡς ὁ ἐσθίων καὶ πίνων ἀναξίως τὸν ἄρτον καὶ τὸ ποτήριον τοῦ Κυρίου, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει.

Β γ'. Καὶ τοῦτό ἐστιν ὅπερ αὐτὸς ὁ τῶν ἀθεάτων θεωρὸς καὶ τῶν ἀῤῥήτων ῥήτωρ καὶ διδάσκαλος ἔφησεν ἔνοχον εἶναι τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου, τὸν ἀναξίως ἐσθίειν αὐτὸ καὶ πίνειν ἀποθαρσυνόμενον· τί γὰρ, ἐνὸν καθαίρειν ἑαυτὸν καὶ ἀπομήχειν διὰ μετανοίας τῶν μολυσμάτων, οὕτω τε προσίεναι τῷ καθαρωτάτῳ, μᾶλλον δὲ τῷ ὑπὲρ πᾶσαν ἔννοιαν πηγάζοντι κάθαρσιν, ἐγὼ δὲ τοῦτο μὲν ἐπὶ λογισμοὺς ἀναλαβεῖν καὶ μετελθεῖν, οὐδεμιᾶς γίνομαι φροντίδος ; ἵνα δὲ δόξω καθαρὸς εἶναι τοῖς ὁρῶσι, καὶ ἄξιος τοσαύτης χάριτος καὶ ἀπολαύσεως, τὴν ἐμὴν ὑβρίζω σωτηρίαν ; καὶ παίζειν οὐ φρίττω εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι ; ὄντως οἱ δόξαν παρ' ἀλλήλων λαμβάνοντες, οὔτε τὴν παρὰ τοῦ μόνου Θεοῦ C δόξαν ζητοῦσιν, οὔτε τῷ μεγέθει τοῦ μυστηρίου πιστεύουσιν· ὁ μὲν γὰρ φιλάνθρωπος ἡμῶν πλαστουργὸς, ἀναξίους ὄντας τῶν ὑπὲρ λόγον ἠξίωσεν· ἡμεῖς δὲ τούτων ἀξιωθέντες καὶ σύσσωμοι καὶ συμμέτοχοι χρηματίζειν αὐτοῦ (ἂν ἄρα βουλώμεθα ῥώμην καὶ χάριν λαβόντες, καὶ πρὸς τοσοῦτον ἀνελθεῖν ἀξιώματος ὕψος), εἰ μὴ κατὰ πᾶσαν σπουδὴν καθαροὺς ἑαυτοὺς παρασκευασώμεθα, πῶς οὐχὶ διπλῆς ἐνόχους ἀποφαίνομεν ἑαυτοὺς κατακρίσεως ; μιᾶς μὲν, ὅτι τοσαύτην ἀγαθῶν ὑπερβολὴν ἐξὸν κερδαίνειν, ἀπωσάμεθα, καὶ τηλικαύτης ἑαυτοὺς ὠφελείας τε καὶ σωτηρίας ἀπεστερήσαμεν· τοῦτο γὰρ αὐτὸ καὶ χωρὶς ἑτέρας εἰσπράξεως, μεγίστη καταδίκη· ὡς καὶ ὁ Κύριος ἔφησεν· « Ὁ μὴ πιστεύων εἰς τὸν Υἱὸν, D ἤδη κέκριται, » τουτέστι ἔχει τὴν δίκην· τίνα ταύτην ; αὐτὸ τὸ μὴ πιστεῦσαι εἰς αὐτόν· ἑτέρας δὲ, ὅτι τοῦ δώρου κατεφρονήσαμεν, ὅτι τὴν χάριν ὑβρίσαμεν, τὸν εὐεργέτην ἐξουθενήσαμεν· ὡς κοινῇ τραπέζῃ τῇ μυστικῇ τροφῇ καὶ συσσώμους ἡμᾶς τοῦ ἀχράντου σώματος αὐτοῦ παρασκευαζούσῃ, κατεχρησάμεθα· οὐκ οὖν οὐδὲν ἄμεινον οἱ τοιοῦτοι τῶν Ἰουδαίων διετέθησαν, οἳ τὸ φρικτὸν ἐκεῖνο καὶ ἀτόλμητον ἔργον ἐτόλμησαν, τὸ ζωοποιὸν σῶμα Χριστοῦ ἐπὶ ξύλου κρεμάσαντες, καὶ τῇ λόγχῃ τοῦ αἵματος ἐκκενώσαντες· διόπερ εὐλόγως ὁ διδάσκαλος τῆς οἰκουμένης ἐνόχους εἶναι τοὺς τοιούτους τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου κατεψηφίσατο.

[54] II Cor. xi, 29. [55] I Cor. xi, 29. [56] I Petr. i, 12. [57] Joan. v, 44. [58] Joan. iii, 18.

Digitized by Google

ΕΡΩΤΗΣΙΣ ΟΔ' (71).

Τοῦ Κυρίου πρὸς τὴν Σαμαρεῖτιν (72) *εἰπόντος· «Πίστευσόν μοι, γύναι, ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί· ὑμεῖς προσκυνεῖτε, ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν, ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων,* » *καὶ ἑξῆς, τούτων δὴ τῶν σεβασμίων λόγων τὴν δύναμιν διὰ ποίας ἐπιβολῆς καταληψόμεθα;*

A QUÆSTIO LXXIV [*Gall.* LXXVII, *al.* LXXIII].

Quando Dominus ad Samaritanam dicit: « *Crede mihi, mulier, quod veniet hora, quando nec in monte hoc, nec Hierosolymis, adorabitis Patrem: vos adoratis, quod nescitis; nos adoramus, quod scimus, quoniam salus est ex Judæis* [59], » *etc., horum venerandorum eloquiorum vim quo tandem studio assequemur?*

Editarum a Wolfio prima *Curæ Philolog.*, t. V, p. 631-689, exinde in Gallandianam editionem translata Biblioth. PP., t. XIII, p. 693-697. In Joann. IV, 21, 22.

Ἡ μὲν Σαμαρεῖτις τῶν Ἰουδαϊκῶν ἐθῶν καὶ δογμάτων τὰ τῆς Σαμαρείτιδος δόξης ἐξαίρειν καὶ ὑπερτιθέναι τὴν ὅτι μάλιστα σπουδὴν κατεβάλλετο. Διὸ καὶ τό· « Μὴ μείζων εἶ σὺ τοῦ πατρὸς ἡμῶν Ἰακώβ; » ὕδωρ ζῶν ὑποσχομένου τοῦ Σωτῆρος παρασχεῖν ἀντεφθέγξατο. Ὁ δὲ Σωτὴρ, οἰκονομεῖν ἅπαντα σοφῶς εἰδὼς, τὸ μὲν ἐξᾶραι τὰ Ἰουδαίων, καὶ τὸ μεῖζον (73) εἰπεῖν αὐτόθεν πλῆξαι πρόκειρον ἐπιστάμενος, καὶ τότε γυναικὸς διάνοιαν προλήψει τῶν ἐναντίων προκατασχεθεῖσαν, καὶ οὐδὲν τῶν αἰσθητῶν ὑψηλότερον τέως φανταζομένης· τοῦτο μὲν ἀποθησαυρίζει τῇ σωπῇ ἄλλως τε καὶ μικρολογίας εἶναι καὶ ἀνάξιον εἶναι τῆς Ἰησοῦ μεγαλειότητος, καὶ τὸ μείζω εἶναι τὸν δοῦλον τοῦ δεσπότου ἀποφαίνεσθαι. Ἡ γὰρ (74) ἐν συγκρίσει δεσπότου πρὸς δοῦλον διαφορὰ τοῖς δευτερείοις μᾶλλον σεμνύνει τὸν δοῦλον, καὶ διὰ τῶν πρωτείων μεγαλύνει τὸν δεσπόζοντα. Διὸ ταῦτα μὲν ἔχειν ἀφίησι τὴν σιωπὴν, διὰ δὲ ῥημάτων ἑτέρων, οὐδὲν μὲν ἧττον τοῦτο κατασκευάζειν δυναμένων, καὶ φευγόντων δὲ ἅμα τὴν μικρολογίαν, λεαίνειν τε τὴν ἀκοὴν ἐπιτηδειοτέρων, τὴν γνώμην παρίστησιν (75). Οὐδὲ γὰρ, οὐδὲ τὴν σύγκρισιν καὶ τὴν ἐν δόξῃ διαφορὰν αὐτὸς ἐπάγει, ἀλλὰ παραπέμπει τὸ γύναιον ἐκ τῶν ῥηθησομένων τῆς ὑπεροχῆς τὴν ὑπερβολὴν συλλογίσασθαι. « Καὶ γὰρ ἐκ τούτου, φησὶ, τοῦ ὕδατος ὁ πίνων διψήσει (76) πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. »

Καὶ ὅρα τὸ σοφὸν τῶν λόγων καὶ τὴν δύναμιν. Τὸ μὲν, ὅτι « διψήσει πάλιν, » εἶπεν, οὐ δεόμενον κατασκευῆς ἀλλαχόθεν· αὐτόκλητον γὰρ εἶχε τὴν γυναῖκα μάρτυρα· τὸ δὲ, « Οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα, » τῷ μεγέθει τῆς ἀπαγγελίας εἰς ἔφεσιν αὐτὴν τῆς ὑποσχέσεως διανιστῶν, δι' ἀμφοῖν δὲ πρὸς ἐπίστασιν ἄγων θειοτέρας ὑπολήψεως· μόνον οὐχὶ λέγων· Εἰ τὸν Ἰακὼβ ἄγεις ἐν μείζονι τιμῇ καὶ θαυμασίῳ κατορθώματι, ἐπεὶ παρέσχεν ὑμῖν ὕδωρ, ἐξ οὗ πάλιν ὁ πίνων εἰς τὴν αὐτὴν ἐπαναστρέφει δίψαν· τίνα ἄν σε λογίσασθαι χρὴ, ὃς ὕδωρ παρασχεῖν ἐστι δυνατὸς,

Samaritana illa operam cum maxime dabat, ut Samaritanorum placita institutis et dogmatibus Judaicis præferret et anteponeret. Propterea etiam illud: « Num major tu es patre nostro Jacobo [60]? » Salvatori nostro, aquam viventem pollicenti, occentabat. Cum vero Servator, qui omnia sapienter curare novit, probe intelligeret, animum mulieris, præjudicio contrario occupatæ, et non nisi sensibilia sapientis, valde perculsum iri, si res Judæorum extolleret, et majorem se esse profiteretur; id quidem omne silentio prætermittit, ut taceam, humilius et Jesu majestate indignum fuisse, servum domino majorem profiteri. Quæ enim inter dominum et servum facta comparatione, differentia intercedit, illa ita comparata est, ut secundæ partes servum deceant, idem vero, si primas teneat, dominum suum ornet. Propterea Dominus illa quidem tegit silentio, verbis vero aliis, quæ hinc non minus ad rem conficiendam accommodata erant, hinc vero ab humili dicendi genere aliena, insuperque ad demulcendas feminæ aures magis idonea, suam exponit sententiam. Neque enim vel comparationem illam, vel dignitatis differentiam urget, sed feminam eo ducit, ut ex illis, quæ mox afferenda erant, prærogativæ suæ præstantiam colligere posset. « Qui enim, inquit, ex ista aqua biberit, sitiet denuo; qui vero biberit ex aqua, quam ego illi daturus sum, non sitiet in æternum [61]. »

Jam vide horum verborum sapientiam et efficaciam. Quando enim ait, « quod sitiet iterum, » id quidem nulla aliunde confirmatione egebat, cum ipsa femina testem se ultro præberet; quando vero addit, « quod non sitiet in æternum, » eandem hujus promissi magnitudine ad desiderium ejus excitat, utrinque vero eo ducit, ut divinius aliquid subesse suspicaretur; quasi diceret: Si Jacobum in magno habes pretio, et admiratione prosequeris, quod aquam vobis dedit, ex qua qui biberit, eadem siti denuo corripitur; qualem illum existimare te

[59] Joan. IV, 21. [60] ibid. 12. [61] ibid. 13.

NOTÆ.

(71) Lege huc Balthas. Corderii Catenam in sanctum Joannem p. 123, 128, ubi Photii, in idem oraculum, sed alia ratione, commentantis, quædam leguntur.

(72) Ita scribo cum Colbertino pro Σαμαρίτην.

(73) Colb. μείζων rectius puto, subintellecto εἶναι; nisi malis μείζω, ut paulo post.

(74) Sic Colb. pro εἰ, quod librarii incuria invexerat.

(75) Post γνώμην in apographo legebatur καί, quod, ut superfluum et sermonis seriem turbans omisi.

(76) Ita Colb., et mox διψήσῃ pro πίει et διψήσει, rectius.

Digitized by Google

oportet, qui aquam largiri potest, quæ non corporalem sitim ad breve tempus mitigare, sed bibenti fontem aquæ perennis, et illa salutis flumina suppeditare valeat, quæ haurientibus vitam æternam largiantur et conferant? « Aqua enim, inquit, quam ego dabo, fons ipsi fiet aquæ, in vitam æternam salientis [62]. » Quemadmodum enim aqua tum siti medetur, tum externas corporis sordes abluit; ita doctrinæ Jesu flumina, intellectu hominis assequenda, et sublimior de eo sententia tum sitim levant ex incredulitate ortam, quæ alias vitalem conservantemque facultatis intelligendi humorem absumit; tum vero animam a sordibus purgat, quas peccatorum spurcities et impiarum opinionum caligo allevit. Tam divine Salvator noster responsionem instruxit ad illam quæstionem, per quam Jacobo prærogativa quædam et præstantia singularis tribui videbatur.

Jam vide, quæso, quam præclare mox vis ejus eluxerit. Statim enim feminæ illius mentem illuminavit, adduxitque, ut fide reciperet promissionem, omnem fidem superantem, atque adeo, Dominum majoribus suis longe majorem esse agnosceret. Animo enim ab aqua patris sui Jacobi avocato, ad alteram illam aquam se convertens ait: « Da mihi, Domine, aquam illam [63]. » Quare vero tu patriarchalem illam aquam negligis? Ideo utique, quod, sitim ad breve tempus levans, iterum sitire me jubet, et novam parit molestiam. Ne scilicet, inquit, iterum sitiam, nec huc veniam haustura, sed potius, tuo fonte fruens, patriarchali illo fonte nunquam indigeam.

Hac luce mentem perfusa, cum et Dominus mentionem fecisset virorum, cum quibus furtivum et clandestinum commercium habuerat, statim eum prophetam profitetur, nihil vero quidquam, quod ad vitam naturalem spectaret, quodque vel corpus aleret, vel ad corpus pertineret, requirit: nihil, inquam, horum vel cognoscere, vel accipere studet; sed veterem quæstionem iterum movet, ejusque solutionem sciscitando percipere conatur. « Patres nostri, inquit, in monte hoc adorarunt [64.65], » patres quidem Abrahamum appellans, quem vetus fama filium suum in monte illo sacrificii instar obtulisse testatur. « Vos vero, ita pergit, dicitis Hierosolymis locum esse, ubi adorare nos oporteat [66]. » Duæ, inquit, sunt adorationes; duo adorationis loci: uterque altare et templum cultui divino sacrum habet. Uter itaque partes meliores sequitur? utrum Samaritanus, an Judæus? At humanissimus Salvator etiam hic feminæ, levioris

A οὐ σωματικὴν δίψαν ἐν ὀλίγῳ χρόνῳ πραῦνον, ἀλλὰ δυνάμενον τῷ πιόντι πηγὴν χρηματίσαι ὕδατος ἀενάου, καὶ παρέχειν ῥεῖθρα σωτηρίας, ἃ τοι, ἀρυσαμένοις καταρδεύει καὶ προξενεῖ ζωὴν τὴν αἰώνιον; « Καὶ γὰρ τὸ ὕδωρ, φησὶν, ὃ ἐγὼ δώσω, γενήσεται αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. » Ὥσπερ δὲ τὸ ὕδωρ θεραπεύει μὲν τὴν δίψαν, καθαίρει δὲ (77) τὸν ἔξωθεν τοῦ σώματος μολυσμὸν, οὕτω καὶ τὰ νοερὰ καὶ ἀνθρώπινα τῆς διδασκαλίας τοῦ Ἰησοῦ νάματα, καὶ ἡ περὶ αὐτοῦ θειοτέρα ὑπόληψις ἰᾶται μὲν τὴν ἀπὸ τῆς ἀπιστίας δίψαν, ὅλην ἐκδαπανῶσαν τῆς νοερᾶς ἐνεργείας τὴν ζωτικήν τε καὶ συνεκτικὴν ἰκμάδα, καθαίρει δὲ τὴν ψυχὴν τῶν ῥυπασμάτων, ἣν ἁμαρτημάτων κατερρύπωσε (78) μολυσμὸς, καὶ λογισμὸς ζοφώδης δυσσεβούντων δοξασμάτων. Ἀλλ' ὁ μὲν Σωτὴρ τὴν ἀπόδοσιν τῆς ἐρωτήσεως, δι' ἧς καὶ Ἰακὼβ τὸ πρωτεῖον ἔχειν ἐδόκει, καὶ μεγαλύνεσθαι, οὕτως ὑπερφυῶς ἐμεθόδευσεν.

B

Καὶ ὅρα παραυτίκα τὴν ταύτης ἐνέργειαν ἀπαστράπτουσαν. Κατεφώτισεν εὐθὺς τῆς γυναικὸς τὴν διάνοιαν, καὶ εἶλεν ἐλθεῖν, καίτοι παράδοξον οὖσαν, εἰς πίστιν τῆς ὑποσχέσεως, καὶ γνῶσιν ἀναλαβεῖν, κατὰ πολὺ τῶν προγόνων μείζονα εἶναι τὸν Κύριον. Καταλιποῦσα γὰρ τῇ γνώμῃ τὸ ὕδωρ τοῦ πατρὸς αὐτῆς Ἰακὼβ, πρὸς τοῦτο τὸ ὕδωρ ἐπείγεται, καὶ φησιν· « Δός μοι, Κύριε, τὸ ὕδωρ τοῦτο. » Καὶ διά τί τὸ προγονικὸν ὕδωρ ὑπερορᾷς; Ὅτι ἐν βραχεῖ παῦον τὴν δίψαν, οὐδὲν ἔλαττον διψᾷν ἀφίησι πάλιν, καὶ κόπων ἐστί μοι πρόξενον. Καὶ γὰρ, φησὶ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνταῦθα (79) δὲ ἀντλεῖν, ἀλλὰ τῆς σῆς ἀπολαύουσα πηγῆς, οὐκέτι τοῦ προγονικοῦ δεήσομαι φρέατος.

C

Οὕτως δὲ καταυγασθεῖσαν τὴν διάνοιαν, ἐπεὶ καὶ περὶ τῶν ἀνδρῶν εἶπεν αὐτῇ, ὧν λαθραίοις καὶ μυστικωτέραις ὁμιλίαις τὴν κοινωνίαν ἠσπάζετο (80), εὐθέως μὲν προφήτην αὐτὸν ἀνακηρύττει, οὐδὲν δὲ τῶν βιωτικῶν αὐτῷ προτείνει· οὐδ' ὅσα σῶμα συνέχει, καὶ περὶ σῶμα συνίσταται, οὐδὲν τούτων οὔτε μαθεῖν, οὔτε λαβεῖν ἐπιζητεῖ, ἀλλὰ παλαιὸν ἀνακινεῖ ζήτημα, καὶ ἐν ἐρωτήσει γνῶναι τὴν λύσιν αὐτοῦ διανίσταται. « Οἱ πατέρες ἡμῶν, φησὶν, ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, » πατέρας μὲν τοὺς περὶ τὸν Ἀβραὰμ ὀνομάζουσα· καὶ γὰρ ἐν ἐκείνῳ τῷ ὄρει λόγος ἀρχαῖος τὸν Ἀβραὰμ ἀνενεγκεῖν αὐτοῦ τὸν D υἱὸν ἱστορεῖ (81). Εἶτα· « Καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ἔνθα χρὴ προσκυνεῖν. » Δύο, φησὶ, προσκυνήσεις· δύο χωρία τῆς προσκυνήσεως· ἑκάτερον βωμὸς καὶ τέμενος λατρείας Θεοῦ. Τίς οὖν τὸ ἄμεινον διαπράττεται; ὁ Σαμαρείτης, ἢ ὁ Ἰουδαῖος; Ὁ δὲ φιλάνθρωπος Σωτὴρ κἀνταῦθα ταπεινοτέρου ζητήματος λύσιν ἐπιζητούσῃ τῇ γυναικὶ

[62] Joan. IV, 14. [63] ibid. 15. [64.65] ibid. 20. [66] ibid. 21.

NOTÆ.

(77) Δέ illud addidi ex *Colbert.*

(78) In apographo male, κατερρύποσαι.

(79) Colbert. ἐνθάδε. Utraque vox eodem, qui hic obtinet, sensu adhibetur, sed ἐνθάδε frequentius: quod et h. l. rectius puto, indice δέ illo, quod post ἐνταῦθα abundat.

(80) Colb. pro εἰσπράττετο.

(81) Sic recte Colb. pro αὐτοὺς τὸν υἱὸν αὐτοῦ ἱστορεῖ.

Digitized by Google

πολὺ μείζω παρέχεται χάριν. Καὶ θειότερον ἐκδιδάσκει δόγμα, ἀντὶ τῆς φιλολόγου προαιρέσεως πρὸς θεωρίαν ἀνάγων φιλόσοφον. Φησὶ γάρ· « Πίστευσόν μοι, γύναι, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν Πνεύματι καὶ ἀληθείᾳ. » Ἀντὶ τοῦ, Σὺ, φησὶ, ζητεῖς, πότερον ἡ Ἰουδαΐα δόξα ἢ τῆς Σαμαρείτιδος γνώμης τὸ τιμιώτερον καὶ θειότερον ἀποφέρεται· ἐγὼ δέ σοι μυστήριον ἀποκεκρυμμένον ἀνακαλύπτω, ὅτι « Ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. » Ἡ μὲν γὰρ γυνὴ πρὸς φιλοσοφίαν θᾶττον γυναικὸς τὰς τοῦ Σωτῆρος ῥήμασι μετελθοῦσα, οὐκ ἔτι τὰ ἑαυτῆς ἴσως προτιμώμενα δεῖξαι τῶν Ἰσραηλιτῶν, ὥσπερ καταρχὰς, ἐσπούδαζεν, ἀλλ' ἐνδιδοῦσα καὶ βελτιουμένη τῇ σωτηριώδει διδασκαλίᾳ μαθεῖν ἐζήτει τὸ ἄμεινον. Διὸ καὶ « Οἱ πατέρες ἡμῶν, φησὶν, προσεκύνησαν ἐν τῷ ὄρει τούτῳ. » Τοῦτο γὰρ ἦν τὸ μάλιστα τῶν Σαμαρειτῶν ἀνυψοῦν καὶ ἐξαῖρον (82) τὴν ὑπόληψιν. Οἷα (83) γὰρ παρόντος προφήτου καὶ ἐμπνεομένου τῷ Πνεύματι τῶν ἄλλοις ἀδήλων τὴν διάγνωσιν, παρ' ἐκείνοις τὴν ἀληθεστέραν δόξαν καὶ τελειοτέραν ἐπεζήτει μαθεῖν.

dubii solutionem expetenti, longe majorem gratiam exhibet, et sublimiorem doctrinam instillat, a curiosiori quodam problemate ad meditationem philosophicam et sublimiorem adducens. Ait enim : « Crede mihi, mulier, quod hora venit, et jam est, qua veri adoratores adorabunt Patrem in Spiritu et veritate [67]. » Quasi diceret : Tu quidem quæris, utrum Judaica an Samaritana opinio potiorem locum habeat, et divinior judicanda sit ; ego vero tibi mysterium adhuc absconditum aperio, « venturum scilicet tempus, et jam esse, quo neque in monte hoc, neque Hierosolymis Patrem adorabitis [68]. » Tum mulier ad philosophicam meditationem, præter feminarum morem, Salvatoris nostri verbis perducta, non amplius sua placita illis Israelitarum præferenda esse, ut antea, contendit, sed Domini doctrina provecta et emendata, id, quod præstantius esset, doceri cupiebat. Propterea etiam inquit : « Patres nostri in monte hoc adorarunt. » Hoc enim ipsum erat, quod Samaritanorum de rebus suis opinionem extollebat inprimis et amplificabat. Cum itaque præsentem haberet prophetam, qui Spiritus divini auspiciis res aliis ignotas cognitas habebat, ab illo veriorem et meliorem sententiam discere studebat.

Διά τοι τοῦτο καὶ ἀρχομένη τῆς ὑποθέσεως ἔλεγεν· « Κύριε, θεωρῶ, ὅτι προφήτης εἶ σύ. » Ὁ δὲ φιλάνθρωπος Ἰησοῦς πρότερον μὲν τὸ τέλος ἑκατέρας προαγγέλλει, ἵνα μὴ λυπήσῃ ταύτην ἐν τῷ προκρίνειν τὴν Ἰουδαϊκὴν λατρείαν. Τί γὰρ ἂν καὶ ἀνιάσῃ τῆς ἰδίας δόξης προκρινόμενον σέβας, ὃ μετ' ὀλίγον ἔμελλεν εἰς τὸ αὐτὸ συγκαταλήγειν τέλος; Ἔπειτα τὴν διαφορὰν αὐτῶν ἀπαγγέλλει· « Ὑμεῖς γὰρ, φησὶ, προσκυνεῖτε, ὃ οὐκ οἴδατε, ἡμεῖς δὲ προσκυνοῦμεν, ὃ οἴδαμεν. » Πῶς δὲ οὐκ ᾔδεισαν οἱ Σαμαρεῖται, ὃ προσεκύνουν; Ὅτι τοῦτο μὲν τῶν ἐνοικούντων οὐκ ὀλίγων ἐκ τῆς αἰχμαλωσίας ἦσαν τῶν Βαβυλωνίων ἀνακληθέντες, καὶ τοῖς ἐκεῖθεν ἔθεσι διαβιοῦντες, καὶ τὴν Ἰσραηλιτικὴν θεοσέβειαν διεφθαρμένοι. Τοῦτο δὲ τὸ πλῆθος αὐτῶν Βαβυλωνίας καὶ Μήδων γενεᾷ καὶ λατρείᾳ ὄντες, εἰς τὴν Σαμάρειαν μετῳκίσθησαν, καὶ τὸν παρὰ Ἰουδαίοις Θεὸν ὥσπερ πάλαι τοὺς πατρῴους ἐπιχώριον Θεὸν, καὶ μόνου (84) τοῦ ἔθνους τὴν ἐπιστασίαν ἔχειν, καὶ δεσποτείαν ἐνόμιζον. Ταύτῃ τοι καὶ τὴν λατρείαν ἐκείνῳ προσφέροντες, οὐδὲ τοὺς δαίμονας θεραπεύειν ἀφίσταντο. Τὸ δὲ Ἰουδαίων ἔθνος, εἰ καὶ μὴ σύμπαν, ἀλλ' οἵγε τῶν Μωσαϊκῶν νόμων τὴν μνήμην ἀντὶ τῆς λήθης προτιμήσαντες, ταύτης παντελῶς ἀπηλλαγμένοι τῆς ἐναγοῦς ἦσαν ὑπολήψεως, καὶ ὥσπερ δημιουργὸν συμπάσης κτίσεως οὕτω καὶ ἔφορον καὶ προνοητὴν τὸν λατρευόμενον Θεὸν ἐπεγίνωσκον. Διὰ τοῦτο μέν φησιν· « Ἡμεῖς προσκυνοῦμεν, ὃ οἴδαμεν· ὑμεῖς προσκυνεῖτε, ὃ οὐκ οἴδατε. » *Προσκυνοῦμεν* δὲ, φησὶ, συγκαταλέγων ἑαυτὸν τοῖς Ἰουδαίοις· οὔπω γὰρ ἐναστρά-

Propterea, argumentum hoc proponere aggressa, aiebat : « Video, Domine, quod sis propheta [69]. » Atque ibi quidem humanissimus Jesus utriusque cultus finem ante nuntiat, ne, Judaicum cultum præferens, illam redderet tristiorem. Quomodo enim illa contristaretur, si eumdem cultum, quem suo illi præferri videbat, paulo post similiter abolendum esse intelligeret? Postea vero utriusque cultus differentiam exponit. « Vos enim, inquit, adoratis, quod nescitis, nos vero adoramus, quod scimus [70]. » Quomodo vero nesciebant Samaritani, quid adorarent? Ideo, quod primum quidem non pauci incolarum ex captivitate Babylonica revocati erant, qui instituta Babylonica adoptaverant, et Israeliticum Dei cultum depravaverant ; deinde vero quod plerique eorum, Babylonii et Medi, tum origine, tum religione, exsistentes, et in Samariam commigrantes, Deum Judæorum, non minus quam olim patrios suos, proprium illis esse, gentisque hujus unius curam agere, illique imperare statuebant, atque hoc nomine et illi cultum præstabant, et a colendis dæmonibus suis non abstinebant. Ab altera vero parte gens Judæorum, si non omnis, saltem illi, qui legum Mosaicarum memoriam oblivioni præferebant, a detestanda hac opinione penitus erant immunes, Deumque, quem colebant, ut omnium rerum conditorem, ita etiam inspectorem et curatorem esse, agnoscebant. Ideo ait : « Nos adoramus, quod novimus ; vos adoratis, quod non nostis. » *Adoramus*, inquit, Judæis se accensens : neque

[67] Joan. IV, 23. [68] ibid. 21. [69] ibid. 19. [70] ibid. 22.

NOTÆ.

(82) Colb. pro ἐξαιροῦν.
(83) Οἷα, idem, pro οἷς.
(84) Colb. μόνον.

Digitized by Google

enim tunc omnes deitatis suæ radios in illos spargebat. Propterea et aquam poscebat, et itineris molestias subibat, defatigationemque ex itinere natam humo, tanquam throno sponte nato, solabatur. Accedit etiam, quod mulierem alloquebatur, quæ sublimiorem de ipso opinionem adoptaverat, eum ex prophetarum numero esse, et Judæorum, Deoque præ cæteris charum et sanctiorem existimans. Propterea ait : *adoramus*.

Sic itaque prima differentia erat exposita, per quam cultus Judaicus illo Samaritanorum præstabat. Quæ vero est altera? « Salus, inquit, ex Judæis nata. » Quomodo vero salus est ex Judæis? Num fortasse ideo, quod cum genus hominum omne profanus cultus obnoxium sibi haberet, veri Numinis cognitio inde ad alios homines perlata est; quodque Judæis debebatur, quod Samaritæ Deum qualicunque modo colebant? At enimvero satius fuerit, salutem, ex Judæis ortam, de ipsius Christi adventu, factaque per eum gentis humanæ a pristino lapsu liberatione, et instauratione, inimicorum insidiis et artibus nunquam iterum subripienda et temeranda, interpretari. Quod vero dicitur : « Venit hora, et jam est; » id quidem indicat, rem ipsam omnino et brevi quidem esse eventuram. Prophetarum quidem oracula, inquit, aliquo tempore post eventum sortiebantur, id vero, quod de me dictum est, jam in promptu est, et opere ipso testimonium præbet.

πτειν πάσας ἠφίει τῆς ἐν αὐτῷ θεότητος τὰς ἀκτῖνας. Διὸ καὶ ὕδωρ πιεῖν ἐπεζήτει, καὶ κόπον βαδίζων ὑφίστατο, καὶ τὸν κόπον τῆς ὁδοιπορίας αὐτοσχεδίῳ θρόνῳ τῷ ἐδάφει διελύετο. Ἄλλως τε καὶ πρὸς γυναῖκα διελέγετο, σεβασμίαν μὲν λαβοῦσαν ὑπόληψιν περὶ αὐτοῦ, ὡς ἕνα μέντοι γε τῶν προφητῶν ὅμως αὐτὸν ἡγουμένην καὶ ὡς Ἰουδαῖον, καὶ θεοφιλέστερόν τε τῶν ἄλλων καὶ ἁγιοπρεπέστερον διακείμενον. Διὰ τοῦτο οὖν τὸ, *προσκυνοῦμεν*, εἴρηται.

Ἀλλ' εἴρηται μὲν ἡ μία διαφορὰ, καθ' ἣν τὸ Ἰουδαῖον σέβας τῆς τῶν Σαμαρειτῶν θρησκείας ὑπερεῖχεν. Ἡ δὲ ἑτέρα τίς; « Ἡ σωτηρία, φησὶν, ἐκ τῶν Ἰουδαίων. » Πῶς δέ ἐστιν ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων, ἢ διότι πανταχοῦ τῆς τῶν εἰδώλων πλάνης τὸ γένος ἐπινεμομένης, ἐκεῖθεν ηὔγασε τοῖς ἄλλοις ἀνθρώποις ἡ θεογνωσία, καὶ διότι αὐτὸ τὸ ὅλως προσκυνεῖν τοὺς Σαμαρείτας τὸν Θεὸν ἀπὸ τῶν Ἰουδαίων ἀρχὴν ἔσχεν; Μᾶλλον δὲ σωτηρίαν ἀπὸ τῶν Ἰουδαίων προελθοῦσαν ἔστιν ἐννοεῖν τὴν αὐτοῦ τοῦ Χριστοῦ παρουσίαν, καὶ τὴν δι' αὐτοῦ γεγενημένην τοῦ γένους ἀνάκλησίν τε τοῦ παλαιοῦ πτώματος, καὶ τὴν μηκέτι κλεπτομένην, καὶ παραφθειρομένην ἐχθρῶν ἐπιβουλαῖς καὶ βασκανίαις ἀποκατάστασιν. Τὸ δὲ· « Ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, » τὸ πάντως καὶ διὰ τοχέων ἐπόμενον μηνύει. Οὐ γὰρ, ὥσπερ οἱ προφητικοὶ χρησμοὶ χρόνῳ ὕστερον ἔλαβον τὸ πέρας, ἀλλ' ὁ περὶ ἐμοῦ ῥηθεὶς λόγος ἤδη πάρεστιν, ἤδη ἐνέστηκεν τὴν ἀπὸ τῶν ἔργων ἐπαγόμενος μαρτυρίαν.

QUÆSTIO LXXV [*al.* LXXIV].

Quomodo dicatur esse Deus in omni re, et quomodo dissolvi possint dubitationes, quæ a quibusdam contra hoc objiciuntur.

ΕΡΩΤΗΣΙΣ ΟΕ'.

Πῶς λέγεται τὸ Θεῖον εἶναι ἐν τῷ παντί; καὶ πῶς ἔνεστι διαλύειν ἃ πρὸς τὴν ὑπόθεσιν ταύτην παρ' ἑτέρων προκομίζεται διαπορούμενα;

Edita a Maio, Nov. Coll., t. IX, p. 95-95.

In multis quæ de Deo contemplamur, ne omnia dicam, non solum, qui mysteriis pietatis non fuerunt initiati, quamvis acie mentis et cognitione rerum corporearum hominibus sui ordinis præstitissent quique nostram ignoraverunt vim contemplandi infirmiorem esse, quam ut intelligentia comprehendere illa possint, experientia comprobarunt; sed et quicunque propter studium pietatis et vitam puram profundiora cognoverunt, nec his quidem inventio rerum divinarum facilis esse solet, quid dico inventionem? siquidem nec ipsa scrutatio pure eorum mentem afficit. Hæc autem quæstio tanquam omnino magis recondita, et quæ mentem curiosorum excellit, studium, ut intelligatur, postulat; non igitur, quæ dicentur, sic audire oportet, quasi limatius rem comprehenderimus, et nihil amplius ad cognoscendum de ea relictum a nobis sit, sed benevole audire oportet, et amplecti quantum humanis cogitationibus ea, quæ humanam notitiam superant, assequi possumus.

In omni est Deus (quod tibi in quæstione nunc positum est) tanquam nihil eorum quæ sunt. Si enim esset unum ex iis, quæ sunt, qui est

Πολλὰ τῶν ἱερῶν περὶ Θεοῦ θεωρημάτων, ἵνα μὴ πάντα λέγω, οὐ μόνον ὅσα τοῖς τῆς εὐσεβείας ὀργίοις οὐκ ἐτελέσθησαν κἀν τῷ τῆς διανοίας κράτει καὶ τῇ τῶν ἐνύλων γνώσει τῶν ὁμοταγῶν ἐν τῷ κρατεῖν διενηνόχασιν, οὐχὶ τούτων μόνον τὴν ἔξω τοῦ καθ' ἡμᾶς λόγου τὴν θεωρητικὴν ἰσχὺν ἀσθενεστέρας τῆς οἰκείας καταλείψεως τῇ πείρᾳ διήλεγξαν· ἀλλὰ καὶ ὅσους ὁ τῆς εὐσεβείας λόγος καὶ ἡ τοῦ βίου καθαρότης τῆς ἐπιγνώμονος τῶν βαθυτέρων ἔθετο, οὐδὲ τούτων ἡ τῶν θειοτέρων εὕρεσις ἐκ τοῦ ῥᾴστου φιλεῖ παραγίνεσθαι· καὶ τί λέγω εὕρεσις', ὅπουγε οὐδ' αὐτὴ καθαρῶς καὶ κατὰ λόγον αὐτοῖς ἡ ἔρευνα διατίθεται; Γλαφυρωτέρα δὲ ὡς ἐπίπαν καὶ αὕτη τῆς τῶν πολυπραγμονούντων διανοίας ὑπεριδρυμένη, φιλοτιμεῖται ἐπιγινώσκεσθαι· οὔκουν τῶν ῥηθησομένων ἐξακούειν δεῖ οὕτως ὡς τὸ ἀκριβέστερον κατειληφότων, καὶ μηδὲν πλέον εἰς τὴν τοῦ προκειμένου γνῶσιν ὑπολειπομένων· ἀλλ' ὡς οἷόν τε τὰ κρείττω τῆς ἀνθρωπίνης ἐπιβουλῆς ἐπινοίαις ἀνθρωπίναις πανευλαβῶς καὶ σὺν ἀγωνίᾳ μενόντων εὐμενῶς ἀκούειν καὶ ἀποδέχεσθαι.

Ἐν τῷ παντὶ τοιγαροῦν τὸ Θεῖόν ἐστιν, ὅπερ εἰς συζήτησιν προετέθη σοι, ὡς οὐδὲν τῶν ὄντων ἐν τοῖς οὖσιν· ἢ γὰρ ἂν τὸ ὑπὲρ πάντα τὰ ὄντα,

Digitized by Google

ἐν ἂν ἦν τῶν ὄντων καὶ ὁ προαγωγός τε καὶ δημιουργὸς ἁπάντων, εἷς ἂν ἐχρημάτιζε τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων. Τοῦτο γὰρ νομοθετεῖν οἴδεν ἡ πρὸς τὰ ὄντα τῆς διαθέσεως συγγενής τε καὶ ὁμοταγὴς τῆς δημιουργικῆς ἀρχῆς κοινωνία, ἐπειδὰν τὸ ἀπαράλλακτόν τις ἐκδιάζοιτο τὴν σχέσιν ἔχειν πρὸς ἄλληλα τὰ ὄντα καὶ τὸν Κτίστην πρὸς τὰ κτίσματα.

Οὐκοῦν ὡς οὐδὲν τῶν ὄντων τοῖς αὐτοῦ συνάπτεται καὶ συγκαταβαίνει τὸ Θεῖον δημιουργήμασιν· ἀλλ' ἰδιαζούσῃ διαθέσει καὶ οἰκονομίᾳ διακεκριμένῃ τὴν πρὸς τὰ ὄντα σχέσιν ἁρμόζεται· ὥσπερ δέ ἐστι τὸ Θεῖον σοφόν τε ἅμα καὶ ὑπέρσοφον, Θεός τε ἰσχυρὸς καὶ ὑπέρθεος, κυρίως τε οὐσία καὶ ὑπερούσιον, καὶ αὐτάγαθον ὁμοίως καὶ ὑπεράγαθον, οὕτως ὑπάρχειν λέγεται κἀν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν· ἐπὶ μόνης γὰρ τῆς ἀῤῥήτου καὶ πολυωνύμου καὶ ὑπερφυοῦς φύσεως, ὁ καταφατικὸς τῶν ὀνομάτων τύπος, σύνδρομον ἴσχει τὴν σημασίαν τοῖς διὰ τῶν ἀποφατικῶν ἢ στερητικῶν φωνῶν σχηματισμοῖς δηλοῦσι τὸ βούλημα· διόπερ τὸ ἐν παντὶ οὐκ ἔστιν ἀθέτησις τοῦ ὑπὲρ τὸ πᾶν· ἀλλὰ συμφωνία μᾶλλον καὶ βεβαίωσις· οὐ μὴν δὲ ἀλλ' οὐδὲ τὸ ὑπὲρ πᾶν παραλλαγὴν προλαμβάνει θαυμασιωτέραν τῆς μυσταγωγοῦ θεολογίας, παρ' ἣν ἡ ἐν τῷ παντὶ ἱερολογουμένη θεωρία παραδίδωσιν.

Ὥστε ὁ διαπορῶν εἰ ἐν τῷ παντὶ τὸ Θεῖον οὐκ ἂν ὑπὲρ τὸ πᾶν, λέληθεν ἑαυτὸν τὴν τῶν ἱερῶν ῥημάτων ἐπὶ τῆς φύσεως χρῆσιν ἀγνοῶν· καὶ τῆς συνήθους περὶ τῶν ἐνύλων ὁμιλίας οὐδὲν ὑψηλότερον οὐδὲ θειότερον περὶ τῶν ἀΰλων φανταζόμενος· ἀλλὰ γὰρ πῶς ἐν τῷ παντί; εἴρηται μὲν ὡς κατ' οὐδένα τρόπον τῶν ὄντων. Εἰ δὲ δεῖ τι μᾶλλον θεωρητικωτέρων δογμάτων πρὸς τὸ ὕψος μὴ ἀποδειλιάσαι, ἔστι τὸ Θεῖον ἐν παντὶ κατ' ἐνέργειάν τε καὶ κατ' οὐσίαν· καὶ μή μοι λέγε, πῶς; προείρηται καὶ ὡς κατ' οὐδένα τρόπον τῶν ὄντων· πῶς οὖν ἐστι κατ' οὐσίαν; ὡς ἐννοήσας κατ' ἐνέργειαν· ἐπειδὴ γὰρ τὰ μὲν ἄλλα καὶ δυνάμει ἐστί ποτε καὶ ἐνεργείᾳ, τὸ δὲ Θεῖον, ὡς ὁ διορατικὸς ἐνοήσειε νοῦς, ἀείπερ ἐστὶν ἐνέργεια· οὐ γὰρ ἐξ ἀτελοῦς εἰς τελειότητα πρόεισιν, οὐδ' ἄλλο τι παρὰ τὴν αὐτοενέργειάν ἐστι τὸ αὐτοούσιον, δῆλον ὡς ἐν οἷς ἐστι κατ' ἐνέργειαν, ἐν τοῖς αὐτοῖς ἐστι καὶ κατ' οὐσίαν· ἐνεργεῖ μὲν γὰρ κατὰ συνοχὴν καὶ διαμονὴν τῶν ὄντων· οὐσιοῖ δὲ καὶ διακρατεῖ τῶν δημιουργηθέντων ὑπ' αὐτοῦ τὴν φύσιν.

Πῶς οὖν τὸ Θεῖόν ἐστι οὐσιωδῶς ἐν τῷ παντί, οὐ μία τις ἐκ τούτων ἀποτελεῖται συνουσίωσις καὶ φύσις; ὅτι οὐδ' ὅταν αὐτῷ ἐννοῇς κατ' ἐνέργειαν καὶ λέγῃς ἐν τῷ παντὶ εἶναι, οὐδ' οὕτως ἔσται συντετελεσμένον καὶ φύσεως λόγον ἐπέχον τὸ δυνάμενον ὁλόκληρόν πως ὑποσχεῖν τὴν χρείαν ἔκ τε τοῦ παντὸς καὶ ἐκ τῆς θείας καὶ κρείττονος συνελθεῖν ἑτέρῳ πρὸς μίαν ὑποστάσεως αὐτοτέλειαν· καὶ πῶς ἂν τὸ κατ' οὐσίαν ὑπάρχον τινί; τοῦτο γὰρ εὔλογον προσεπιζητεῖν δοκεῖ· μίαν ἐννοεῖν οὐκ ἀπαρτίζει σὺν ἐκείνῳ ὑπόστασιν. Ἀλλ' οὐ χαλεπὸν ἐπιλύσασθαι, ὅτι διττὸν λέγεται τὸ κατ' οὐσίαν ὑπάρχειν τινί· τὸ μὲν γὰρ τῶν σημαινομένων ἐν τῷ

A omnium auctor et fabricator, unus vocaretur ex iis, quæ ab ipso facta sunt. Hanc enim legem imponit communio cum iis, quæ sunt, et eorum cognatio a Principe et Creatore profecta, si quis per vim nitatur, et quod variari non potest, mutuam habitudinem cum rebus habeat, et Creator cum creaturis

Igitur tanquam nihil eorum quæ sunt, cum suis conjungitur, et demittit se Deus ad suas creaturas, sed propria dispositione et œconomia distincta, suam cum rebus habitudinem aptat. Sicut autem est Deus sapiens simul et supra sapientes, et fortis Deus et supra fortes, et supra deos, et proprie substantia et supra substantiam, et ipsum per se bonum, et similiter supra bonum; sic dicitur esse in omni, et B supra omne. In sola enim natura, quæ supra naturam est, et quæ dici non potest, et multorum nominum affirmantium significationem habet consentientem cum forma vocum negantium, vel privantium. Ex quo fit, ut esse in omni, non neget esse supra omne, sed potius confirmet, et non hoc solum, nec esse supra omne, variationem admirabiliorem in theologia recipit præter eam, quam tradit esse in omni.

Quare qui dubitat, si Deus est in omni, non esse supra omne, ignorat is usum sacrarum vocum de divina natura; et nihil altius neque divinius, quam consuetudo rerum corporearum fert, de iis, quæ materia vacant, cogitat. Sed quomodo est in omni? Dictum enim est, nullo modo C earum rerum quæ sunt: sed si oportet aliquid adhuc dicere quod sit majoris contemplationis, iis etiam, qui sunt altiore mente præditi, et non solent formidare et fugere altitudinem dogmatum magis theologicorum, est Deus actu et substantia in omni. Quomodo igitur est substantia sicut intellexisti actu? quia enim alia sunt quandoque actu; Deus vero (ut qui aciem mentis acutam habet, intelligere potest) semper adest actu; non enim ex imperfecto ad perfectum procedit, neque aliud quid est esse ipsum per se bonum, præterquam ipsum esse per se actum, liquet, in quibus est actu, in iis ipsis esse substantia; agit enim conservationem et durationem eorum quæ D sunt. Sustentat autem et continet naturam eorum, quæ ab ipso creata sunt.

Quomodo igitur si Deus est secundum substantiam in omni, non conficitur una ex omnibus συνουσίωσις, id est, consubstantiatio et natura? Quoniam neque cum ipsum intelligis secundum actum, et dicis actu esse in omni, neque sic, inquam, erit constitutus et rationem naturæ habens, qui possit subire integrum quodammodo usum, constitutus, inquam, ex omni et ex divina natura, quæ præstantior est, quam ut possit cum alio congredi ad unam totam hypostasis perfectionem. Et quomodo esse secundum substantiam in aliquo (hæc enim quæstio digna videtur indagatione) non facit, ut intelligamus unam cum illo hypostasim?

Digitized by Google

Sed non est difficilis ad solvendum, quia esse in aliquo secundum substantiam dupliciter dicitur: unum enim significatum declarat sic esse in aliquo, ut fiat pars compositi, et compleat perfectionem secundum hyspostasim, sicut anima est in corpore; alterum vero significatum declarat ita esse in aliquo, ut nunquam efficiatur pars concretionis, sive coagmentationis; neque proprietatibus immutatur, naturis utriusque propriis factis communibus, nec ab altero ex concretis perficitur, sed potius est congressus ejus constituens et conservans conjunctam et perfectam hypostasim, sicut est ars gubernatoris in navi, ut minutissima imagine et similitudine ejus rei, quæ in promptu est, utamur. Atque hæc quidem non dogmatice et immutabiliter dicta sunt, ut in procemio præmonuimus, sed potius per conjecturam et exercitationis gratia delineata sunt. Valeant ergo hæc quoad meliora exeant.

A παρεῖναι δηλοῖ, μέρος τε γίνεσθαι τοῦ συγκρίματος καὶ ἀναπληρωτικὸν ὑπάρχειν τῆς κατὰ τὴν ὑπόστασιν τελειότητος, καθάπερ τῷ σώματι ἡ ψυχή· τὸ δὲ, οὔτε μέρος ἂν ποτε γένοιτο τοῦ φυράματος, οὔτε τοῖς ἰδιώμασιν ἐπαλλάττεται κοινοποιουμένων τῶν ἀφωρισμένων ἑκατέρᾳ τῶν φύσεων· οὔτε ὑπὸ θατέρου τῶν συγκριμάτων ἀπαρτίζεται· ἀλλ' ἔστιν ἡ σύνοδος αὐτοῦ συστατική τε μᾶλλον καὶ σωστικὴ τῆς συναπτομένης καὶ αὐτοτελοῦς ὑποστάσεως· καθ' ὃν τρόπον διὰ βραχυτάτης εἰκόνος καὶ τῆς ἀνὰ χεῖρα χρήσεως εἰπεῖν ἡ τοῦ κυβερνήτου τέχνη τῇ νηΐ. Ἀλλὰ ταῦτα μὲν οὐχ ὁ δογματικὸς διέξεισι λόγος καὶ ἀκίνητος, ὡς ἤδη καὶ τοῦ προοιμίου ἡ διασκευὴ ἐπεδείξατο, ἀλλ' ὁ εἰκαστικός τε καὶ γυμναστικὸς διετυπώσατο· κρατείτω δ' οὖν ὅμως ταῦτα, ἕως ἀνακύψῃ τὰ κρείττονα. B

QUÆSTIO LXXVI [*al.* LXXV].

ΕΡΩΤΗΣΙΣ ΟϚ'.

Quid sibi vult illud, quod a Domino discipulis in Evangelio dicitur: « Vobis datum est, nosse mysteria regni Dei, cæteris autem in parabolis, ut videntes non videant, et audientes non intelligant »?

Τί δηλοῖ τὸ παρὰ τοῦ Κυρίου τοῖς μαθηταῖς ἐν τῷ Εὐαγγελίῳ εἰρημένον· « Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσι; »

Editarum a Wolfio secunda Cur. Philol. V, 659-671, apud Galland., t. XIII, p. 698-702, n. 2. In Luc. VIII, 10.

Dictum illud, cujus sensum ex me requisivisti, a quatuor quidem evangelistis perscriptum exstat, ab Isaia vero propheta prænuntiatum est[72]. Tres autem eorum oraculum hoc suis verbis et quidem paraphrastice contexunt, divinus vero Matthæus suis illud, instar testimonii, apponit. Isaias enim, cum conspectu gloriæ Domini dignus habitus esset, et ab uno ex seraphinis carbone linguam suam purgatam vidisset, divinam illam vocem audivit, jubentem: « Abi, et dic populo illi: Audiendo audietis, et non intelligetis, et videndo videbitis, et non videbitis. Incrassatum est enim cor populi hujus, et auribus difficulter audiverunt, et oculis nictarunt, ne videant oculis, et auribus audiant, et mente percipiant, et convertantur, et sanem illos. » Ita habet oraculum propheticum, quo utuntur evangelistæ; idemque tum improbitatem Judæorum illius ætatis prodit, tum vero non minus prænuntiat stuporem posterorum, qui eamdem imitando expressuri, et Salvatoris doctrinam non admissuri sint, qui et admirandis operibus et verbis divinioribus et aures eorum et oculos convincere conabatur. Illi scilicet data opera aures surdas, oculos autem præ incredulitatis caligine cæcos, reddebant, neque aures ad verba adeo salutaria aperire, neque oculos ad divinam miraculorum lucem ex-

Τὸ ῥητὸν (85) οὗ μαθεῖν τὴν διάνοιαν ᾔτησας, τοῖς τέτταρσι μὲν τῶν εὐαγγελιστῶν ἀναγέγραπται (86), ἔστι (87) δὲ προειρημένον Ἡσαΐᾳ τῷ προφήτῃ. Ἀλλ' οἱ μὲν τρεῖς παραφράσεως (88) νόμῳ συνυφαίνουσι τὸ ῥητὸν λόγοις ἰδίοις, ὁ δέ γε θεσπέσιος Ματθαῖος κατὰ παράθεσιν αὐτὸ καὶ μαρτυρίας τύπῳ εἰσάγει (89). Ἡσαΐας γὰρ, ἡνίκα τῆς δόξης Κυρίου θεατὴς ἠξιώθη γενέσθαι, καὶ τῷ ἄνθρακι δι' ἑνὸς τῶν σεραφεὶμ ἐκαθάρθη τὰ χείλη, τηνικαῦτα καὶ τῆς θείας ἐκείνης ἠκουσεν φωνῆς· « Πορεύθητι, λεγούσης, καὶ εἰπὸν τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ ὀφθαλμοὺς ἐκάμμυσαν, μή ποτ' ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσιν, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσιν, καὶ ἰάσωμαι αὐτούς. » Ἀλλὰ ταῦτα μὲν τὰ προφητικὰ ῥήματα, ὧν ἡ χρῆσις τοῖς Εὐαγγελίοις περιείληπται, δηλοῦσι δὲ τὴν ἀγνωμοσύνην τῶν κατ' ἐκεῖνο (90) καιροῦ Ἰουδαίων. Οὐδὲν δὲ ἧττον προλέγουσι καὶ τῶν ὕστερον αὐτῶν τὴν μίμησιν ἐναπομαξαμένων, καὶ τῇ τοῦ Σωτῆρος διδασκαλίᾳ μὴ πεισθέντων, ὡς ἔργοις τε παραδόξοις καὶ λόγοις ὑπερφυέσι τήν τε ἀκοὴν αὐτῶν καὶ τὴν ὄψιν διήλεγξεν, τὴν μὲν κωφεύουσαν ἑκουσίως, τὴν δὲ τυφλώττουσαν τῇ λήμῃ τῆς ἀπιστίας. Καὶ οὔτε πρὸς τοσ-

[72] Luc. VIII, 10. [72] Isa. VI, 9, 10.

NOTÆ.

(85) Οὗ illud est ex Colb. quod sensus postulat.
(86) Colb. pro ἐγγέγραπται.
(87) Ἔστι Colb. pro τί.
(88) Sic recte Colb. pro: Ἄλλοι μὲν λέγεις παραδράσεως.
(89) Προάγει, Colb. Vid. Matth. XIII, 14.
(90) Sic scripsi pro ἐκείνου. Eadem phrasi mox, n. 13, utitur Photius, nec minus alias frequenter.

Digitized by Google

αὐτὴν ῥημάτων (91) ὠφέλειαν τὴν ἀκοὴν ἀνοῖξαι ἐθέλοντας (92), οὔτε πρὸς οὕτω θεοπρεπεῖς θαυμάτων (93) λαμπηδόνας τοὺς ὀφθαλμοὺς ἀναπετάσαι βουληθέντας. Διὸ καὶ ὁ προφήτης τὸ κωφὸν αὐτοῖς καὶ τυφλὸν οὐκ ἀλλαχόθεν, ἐκ δὲ τῆς ἰδίας μοχθηρίας περιεῖναι διαμαρτυρόμενος, « Ἐπαχύνθη, φησὶ, ἡ καρδία τοῦ λαοῦ τούτου. » Καὶ ἐπεὶ τὴν καρδίαν αὐτῶν ἐπάχυναν, διὰ τοῦτο καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν.

A pandere volebant. Ideo propheta, surditatem eorum et cæcitatem non nisi ex propria malitia ortam testaturus, ait : « Incrassatum enim est cor populi hujus. » Et quoniam incrassarunt cor suum, propterea auribus suis ægre audiunt, et oculis suis nictant.

Εἶτα μηδ' ἀνανῆψαι τούτους ἐθέλειν δηλῶν τῆς ἑκουσίου πηρώσεως, ἐπάγει· « Μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. » Ἐπαχύνθησαν τοιγαροῦν τὴν καρδίαν, διὰ τοῦτο βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν. Ἐκάμμυσαν δὲ τοὺς ὀφθαλμούς, καὶ τὰ ὦτα ἐβάρυναν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶ ἀκούσωσιν. Καὶ τούτων δὲ τὴν πήρωσιν ἑκόντες ὑπ- B ἦλθον (94), ἵνα μὴ ἐπιστραφέντες τῶν τηλικούτων παθῶν τῆς ἰάσεως τύχωσιν. Οὕτω μὲν οὖν σαφῶς ὁ προφήτης τοῦ τυφλώττειν καὶ κωφεύειν τὴν αἰτίαν τῆς Ἰουδαϊκῆς ἀνάπτει γνώμης καὶ προαιρέσεως, ἀλλ' οὐχὶ Θεοῦ ψῆφον οὐμενοῦν οὐκ εἰσάγει, ταῦτα τοῖς Ἰουδαίοις ἐπιφέρουσαν. Ὥσπερ δὲ κατ' ἐκεῖνο (95) καιροῦ τῶν Ἰουδαίων τοὺς ἀγνώμονας ὁ προφήτης στηλιτεύων, ἔλεγεν, μήτε τοὺς ὀφθαλμοὺς ἐθελῆσαι διανοῖξαι, μήτε πρὸς ἀκοὴν παρασχεῖν τὰ ὦτα πρὸς τὴν σωτηρίαν αὐτῶν, καὶ θεοπρεπῆ διδασκαλίαν, ἐκ δὲ (96) τῶν συνήθως (97) αὐτοῖς ἁμαρτανομένων, μάλιστα δὲ τοῦ τύφου, καὶ τῆς ἀλαζονείας, καὶ τοῦ πρὸς τὴν πλάνην μᾶλλον ἢ τὴν εὐσέβειαν ῥέπειν· ἐμυόν τε τὰ ὄμματα, καὶ τὴν C ἀκοὴν συνεῖχον, αὐτοὶ ἑαυτοὺς τυφλοὺς καὶ κωφοὺς ἀπεργαζόμενοι· καὶ τὸ χαλεπώτερον, οὕτω παθόντες (98) ἑαυτοὺς βλέπειν τῶν ἄλλων (99) μᾶλλον ἐνόμιζον, καὶ τῷ τῆς οἰήσεως ἐφλέγμαινον πάθει. Διότι νομομαθεῖς τε ἐδόκουν, καὶ τῶν προφητῶν τὰς φωνὰς, ὃ πλέον αὐτῶν τὴν κατηγορίαν ἐπέτεινεν, τοῖς χείλεσιν περιέφερον, διὸ καὶ ἀνίατον αὐτοῖς τὴν νόσον κατεσκεύαζον. Ἐντεῦθεν ὁ μὲν Σωτὴρ τὸν ἐκ γεννητῆς τυφλὸν δεικνὺς ὁρῶντα, τῶν δὲ τὴν θεομάχον γλῶτταν ἀντὶ τοῦ θυσιάζειν εἰς ὕβριν κινούντων, « Εἰς κρῖμα, φησὶν, ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. » Καὶ δὴ καὶ τῶν Φαρισαίων ἐπιφθεγγομένων· « Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; » — « Εἰ τυφλοὶ ἦτε, φησὶν, οὐκ εἴχετε ἁμαρτίαν· νῦν D δὲ λέγετε, ὅτι Βλέπομεν, διὰ τοῦτο ἡ ἁμαρτία ὑμῶν μένει. » Ὁ μὲν γὰρ εἰδὼς ἑαυτὸν ἐξ ἀγνοίας τυφλὸν, συνῆκέν τε τὸ πάθος, καὶ θᾶττον χωρεῖ (1) πρὸς τὸν ἰατρὸν, καὶ τοῦ φωτὸς ἐπιζητεῖ τὴν ἀπόλαυσιν, καὶ πρὸς ἐκεῖνο σπεύδει, καὶ τῆς φιλανθρώπου διὰ τοῦτο προνοίας καταξιοῦται, ταῖς σελασφόροις αὐτῆς ἀκτῖσι

Significaturus porro, eosdem ex spontanea cæcitate non esse evigilaturos, addit, « Ne quando videant oculis, et auribus audiant, et corde intelligant, et convertantur, et ego illos sanem. » Incrassati itaque erant corde : propterea ægre audiverunt, et oculos suos occluserunt. Occluserunt vero oculos suos, et aures difficiles reddiderunt, ne oculis viderent, et auribus audirent. Utroque vero sensu sponte se privarunt, nę conversi aliquando a tantis malis liberarentur. Clare itaque propheta cæcos illos oculos et surdas aures ab ipsorum Judæorum consilio et arbitrio repetit, tantum abest, ut ad decretum divinum, Judæis irrogatum, referat. Sicut vero propheta eo tempore improbos Judæos castigaturus, dicebat, eos neque oculos aperire, neque aures ad recipiendam salutarem sibi divinamque doctrinam adhibere velle, idque per peccata, quibus assueverant, maxime vero per fastum et arrogantiam, majusque errorum quam pietatis studium ; ita et illi claudebant oculos, auresque suas cohibebant, se ipsos et cæcos et surdos efficientes ; et, quod pejus est, ita affecti, aliis se oculatiores esse opinabantur, præclare de se sentientes. Quapropter etiam legis periti sibi videbantur, prophetarumque oracula, id quod crimen eorum augebat, labiis circumferebant, eoque ipso morbum suum immedicabilem reddebant. Ideo Salvator noster, postquam homini, a natalibus cæco, visum restituerat, illi vero linguam, Deo inimicam, loco cultus præstandi, ad injurias evomendas adhibebant, dicebat : « Ad judicium ego veni in mundum, ut non videntes videant, videntes vero cæci evadant [72]. » Cumque Pharisæi exciperent, « Num et nos cæci sumus ? » respondebat : « Si cæci essetis, non haberetis peccatum : jam vero dicitis, Videmus : ideo peccatum apud vos manet [73]. » Qui enim novit, se per ignorantiam cæcum esse, et morbum suum intelligit, et citius ad medicum se convertit, lucisque usum requirens, ad eam festinat, ideoque cura clementissima dignus habetur, radiisejus splendidissimis illuminatus et ad salutarem meditationem adductus. Qui vero præ cordis duritie in tenebris versatur, et vel sic videre se existimat, duplicem sibi cæcitatem arcessit, quo-

[72] Joan. IX, 39. [73] ibid. 41, ubi pro διὰ τοῦτο, legis ἡ οὖν.

NOTÆ.

(91) Ῥημάτων est ex Colb.
(92) Θελήσαντας, idem.
(93) Θαυμάτων, ex Colb.
(94) Colb. pro ἐπῆλθον.
(95) Idem, pro κἀκεῖνο. Vid. not. 90.
(96) Malim legere ἔκ τε,
(97) Ita cum Colb. pro συνήθων.
(98) Colb. διαθέντες.
(99) Idem pro τὸν ἄλλον.
(1) Colb. pro χωρίς.

Digitized by Google

niam nihil videt, et, dum nihil videt, acutius aliis cernere se opinatur. Præclara enim de se opinio profundas tenebras offundit oculis animæ, morbumque cæcitatis, qua correptus homo est, vehementer auget.

τὸν νοῦν φωτιζόμενος, καὶ πρὸς τὴν σωτήριον θεωρίαν ἀναγόμενος. Ὁ δὲ τῇ πωρώσει μὲν ἐσκοτισμένος, βλέπειν δὲ οἰόμενος (2), διπλῆν ἑαυτῷ τὴν τύφλωσιν (3) κατεσκεύασεν, ὅτι τε μὴ βλέπει, καὶ ὅτι μὴ βλέπων ὀξύτερον δοκεῖ τῶν ἄλλων ὁρᾷν. Ἡ γὰρ οἴησις (4) σκότος οὖσα ψυχικῶν ὀμμάτων βαθὺ, τῆς προκατασχούσης ἁμαυρώσεως ἐπιτείνει μᾶλλον τὸ (5) νόσημα.

Quod si itaque verba prophetæ ita accipiantur, et veneranda Domini eloquia hoc modo judicentur (si vel maxime non omnia eorum æque forent perspicua), non putem illa audientibus gravem admodum disputandi occasionem præbere posse. Manifestum enim est, discipulis datum hoc fuisse, ut mysteria regni Dei cognoscerent, quoniam neque crassum factum erat cor eorum, neque oculos claudebant; reliquis vero, quos et externos vocat (nam se ipsos a salute excluserant), idem non dabatur. Cum enim vitiis modo commemoratis salutem omnem a se averterint, jure quodam id datum non est, ideo, quod se ipsos ad illud recipiendum idoneos non præstiterint. Propterea quoque consultius erat, per parabolas cum ipsis loqui, quam gratiæ mysteria nuda proponere. Neque enim vel commodum est, vel judici cordato convenit, dignum et indignum, quod ad doctrinam et salutem spectat, eodem loco habere; quemadmodum nec porcis margaritas projicere, neque canibus sancta offerre fas est[15].

Ἀλλὰ γὰρ οὕτω μὲν τῶν προφητικῶν ῥημάτων τεθεωρημένων, οὕτω δὲ τῶν σεπτῶν λογίων διευκρινημένων (καὶ εἴ τι μέρος αὐτῶν ὑπάρχον τῇ εὐκρινείᾳ μὴ συμπεριείληπται), οὐκέτι τοῖς ἀκροαταῖς ὁμοίως, οἶμαι, οὐδὲ τοσαύτην πρόφασιν ζητήματος παρέξει. Δῆλον μὲν γὰρ ὡς τοῖς μαθηταῖς δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, ἐπεὶ μήτε τὴν καρδίαν ἐπαχύνθησαν (6), μήτε βαρέως ἤκουον, μήτε τὰ ὄμματα ἔμυον· τοῖς δὲ λοιποῖς, οὓς καὶ ἔξω καλεῖ (ἔξω γὰρ τῆς σωτηρίας σφᾶς αὐτοὺς περιέστησαν), οὐκέτι δέδοται. Τοῖς γὰρ εἰρημένοις πάθεσι πᾶσαν ἑαυτοῖς ἀποτειχίσαντες σωτηρίαν καὶ ὠφέλειαν, εἰκότως οὐ δέδοται, ὅτι μηδὲ λαβεῖν αὐτοὺς ἐπιτηδείους παρεσκεύασαν. Διὸ καὶ παραβολαῖς προσῆκε μᾶλλον λαλεῖν, ἢ γυμνὰ προτιθέναι τῆς χάριτος τὰ μυστήρια. Οὔτε γὰρ συμφέρον, οὔτε κρίσεως ἀδεκάστου, εἰς τὴν αὐτὴν τάξιν τῆς διδασκαλίας καὶ σωτηρίας τιθέναι τὸν ἄξιόν τε καὶ τὸν ἀνάξιον· ὥσπερ οὐδὲ τοῖς χοίροις τοὺς μαργαρίτας προβάλλειν, οὐδὲ τοῖς κυσὶ ῥίπτειν τὰ ἅγια.

Ex dictis porro constat, quomodo intelligenda sint illa, « *Ut* videntes non videant, et audientes non intelligant. » Ut enim illud affine jam est voci *ideo*, et alterum pro altero sumi potest. Similiter etiam *non* illud hoc loco non prohibitionem, sed negationem significat. Hoc vero loco dictiones illas ita accipiendas esse, non meris conjecturis nititur, sed tum sensus verborum propheticorum, unde Domini eloquium fluxit, invicte testatur; tum vero sanctus Matthæus in eadem sententia pro particula ἵνα alterum ὅτι adhibens, locumque ipsum non prohibendi, sed negandi, sensu recitans. Dominum enim ita introducit loquentem: « Propterea per parabolas loquor, quia videntes non vident, et audientes non intelligunt[16]. » Manifestum itaque hinc evadit, illud ἵνα a reliquis etiam evangelistis pro ὅτι esse usurpatum, et particulam illam prohibitivam negantis vim obtinere.

Ἐξ οὖν (7) τῶν εἰρημένων καὶ τὸ, « Ἵνα (8) βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν, » ὁδὸν εὑρίσκει τῆς διαγνώσεως. Τὸ γὰρ ἵνα νῦν συγγενές τέ ἐστι τοῦ *διότι*, καὶ μεταλαμβάνεσθαι πέφυκεν θάτερον, πρὸς τὸ ἕτερον. Ὡσαύτως δὲ καὶ τὸ, *μὴ*, οὐκ ἀπαγορεύσεως, ἀρνήσεως δὲ χώραν νῦν ἐπέχει. Καὶ ὅτι τὸ λαμβάνειν τὰς λέξεις οὕτως ἐνταῦθα μεῖζον τοῦ εἰκάζειν καθίσταται, τῶν τε προφητικῶν ῥημάτων ἡ διάνοια, δι' ὧν προῆλθε καὶ τὰ Κυριακὰ λόγια, μάρτυς ἐστὶν ἀπαράγραπτος, ἀλλὰ καὶ ὁ ἱερὸς Ματθαῖος ἐπὶ τῆς αὐτῆς ἐννοίας ἀντὶ τοῦ ἵνα χρησάμενος τῷ, ὅτι, καὶ ἀντὶ τοῦ ἀπαγορεύειν ἀρνητικῶς ἀπαγγείλας τὸ χωρίον. Καὶ γὰρ εἰσάγει τὸν Κύριον λέγοντα· « Διὰ τοῦτο ἐν παραβολαῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, » καὶ δῆλον, ὅτι σαφὲς κατέστη καὶ τὸ ἵνα τοῖς ἄλλοις εὐαγγελισταῖς ἀντὶ τοῦ ὅτι παρειλημμένον, καὶ τὸ (9) ἀπαγορευτικὸν μόριον τὴν τοῦ ἀρνητικοῦ δύναμιν ἀναδεδεγμένον.

Scilicet gens Judaica, majorum suorum insaniam et improbitatem ita suam fecit, ut Dominicæ salutarisque doctrinæ jacturam spontaneam in lucro reputaret. Neque enim illi natalium suorum originem ad majores magis, quam cordis sui duritiem

'Αλλ' οὕτω μὲν τὴν προγονικὴν τὸ Ἰουδαίων ἔθνος ἀπόνοιαν καὶ ἀγνωμοσύνην οἰκειούμενοι τῆς Δεσποτικῆς διδασκαλίας καὶ ὠφελείας ἀποστερεῖν ἑαυτοὺς κέρδος ἐτίθεντο. Καὶ γὰρ οὐ τοσοῦτον τὰς πηγὰς τῆς σωματικῆς γενέσεως εἰς ἐκείνους ἀνέφε-

[15] Matth. VII, 6. [16] Matth. XIII, 13.

NOTÆ.

(2) Ὁ δὲ οἰόμενος, addidi ex Colb.
(3) Id. pro τύφωσιν.
(4) Id. pro οἴκησις.
(5) Id. pro νόημα.
(6) Id. pro ἐπαισχύνθησαν.
(7) Post οὖν legebatur *καί*, quod Colb. rectius omittit.
(8) Ἵνα ex Colb.
(9) Post καὶ τό, exstabat ἀντὶ τοῦ, ex superioribus intempestive hic repetitum, ideoque in Colb. omissum.

Digitized by Google

ρον, ὅσον τὴν πώρωσιν τῆς καρδίας καὶ τὸ τῆς γνώ- A
μης ἀχάριστον. Θαλάσσης ὁ παλαιὸς Ἰσραὴλ ὑγρὰ
κύματα πεζοποροῦντες διέβαινον, στύλος πυρὸς καὶ
νεφέλης τὴν ὁδὸν αὐτοῖς παρεσκεύαζεν ἄλυπον, ὁ μὲν
ἐν νυκτὶ πυρσὸν ἀνάπτων, ἅμα καὶ χειραγωγῶν τὸν
ἀχάριστον· ἡ δὲ τὴν λυποῦσαν τοῦ ἡλίου φλόγα ἀντὶ
τῆς κατ' οἶκον ὀροφῆς ἀποστέγουσα, καὶ τὴν ἡμέραν
τῆς ὁδοιπορίας εὐφροσύνης ἡμέραν ἀποφαίνουσα.
Καὶ, ἐν κεφαλαίῳ φάναι, τῶν ὑπὲρ λόγον εὐεργεσιῶν
ἀπολαύοντες, καὶ πᾶσι τοῖς κατὰ τὸν βίον ἀγαθοῖς
περιῤῥεόμενοί τε καὶ πιαινόμενοι, ἀπελάκτιζον μᾶλ-
λον καὶ πρὸς τὴν τοῦ Θείου ὕβριν ἐξεμαίνοντο τῶν
εἰδωλικῶν μιασμάτων (10) τὸ σέβας τῆς εἰς τὸν
Δημιουργὸν ἀνταλλαττόμενοι πίστεως. Καὶ οἱ τῆς
ἐκείνης δὲ γνώμης οὐκ ἔλαττον ἢ τῆς γονῆς φύντες,
διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας παραπλησίων B
καὶ ὑπερφυῶν θαυμάτων τελουμένων θεαταὶ γινόμε-
νοι, νῦν μὲν παθῶν σωματικῶν ἀνιάτων ἐλαυνομέ-
νων λόγῳ, νῦν δὲ βλάβης δαιμονίας καὶ ἐπιβουλῆς
τοῦ πλάσματος ἀπαλλαττομένου· καὶ ψυχικῶν δὲ
τραυμάτων τῇ διδασκαλίᾳ θεραπευομένων, νεκρου-
μένην δ' ἤδη θανάτου τὴν ἰσχὺν εὐαγγελιζομένων·
καὶ πολλῶν ἄλλων δωρεῶν τε καὶ εὐεργεσιῶν ἀξιού-
μενοι, οὐδὲν μὲν τούτων καθορᾷν γνώμην εἶχον, οὐδ'
ἀμείψασθαι (11) τὸν εὐεργέτην, πρὸς μόνην δὲ τὴν
θεομάχον ἐξωτρύνοντο γλῶσσαν, καὶ τῶν βλεπόντων
καὶ ἀκουόντων ἁρπάζοντες τὸ ἀξίωμα, καὶ σφίσιν
αὐτοῖς περιτιθέντες, οὔτε ἀκούειν ἤθελον τῶν Δε-
σποτικῶν ῥημάτων, σάλπιγγος γεγωνότερον αὐτοὺς C
πρὸς τὴν σωτηρίαν ἀνακαλουμένων, καὶ πολλοὺς τῶν
ἐθνῶν πρὸς αὐτὴν συναγόντων, καὶ τὴν τῆς ἀληθείας
ἐπίγνωσιν ἀναδιδασκόντων. Οὔτε τὰ ὑπ' ὄψιν τελού-
μενα τῶν θαυμάτων βλέπειν ἐβούλοντο, πρὸς μόνας
δὲ τὰς δυσφημίας, καὶ τὸν νοῦν αὐτῶν καὶ τὴν
γλῶτταν ἐξώπλιζον. Διόπερ εἰκότως αὐτοῖς τὰ μυ-
στήρια τῆς βασιλείας οὐκ ἐπιστεύετο. Χωρὶς γὰρ
τῶν ἄλλων καὶ διότι μεῖζον αὐτοῖς κρῖμα περι-
ῆπτε (12) πιστευόμενον. Ὅσῳ γὰρ ἄν τις μειζόνων
ἀξιοῦται, ὁ δὲ πρὸς τὸ χεῖρον ἀντὶ τῆς ἐπὶ τὸ κρεῖτ-
τον μεταβολῆς ἀπονεύει, οὗτος (13) διπλῆς ἔνοχος
κατακρίσεως, τῆς τε προλαβούσης κακίας, καὶ τῆς
ἐπ' αὔξησιν μοχθηρίας τὴν εὐεργεσίαν ποιησαμένης
προαιρέσεως.

ingratumque animum referebant. Veteres illi Israelitæ maris fluctus transibant, columna porro ignis et nubis iter ipsis jucundum præstabat, quando prior quidem noctu facem accendebat, et viam ingratis prælucebat; posterior vero infestam solis flammam instar tecti alicujus, quo domus munitur, arcebat, atque adeo itineris diem lætitiæ diem efficiebat. At iidem illi, ut summatim dicam, tot beneficiis, quæ omnem eloquentiam superant, fruentes, omnibusque vitæ bonis inundati et saginati, recalcitrabant, et, furore quasi quodam correpti, in divinum Numen erant injurii, fidem, conditori suo præstandam, cum idololatriæ sordibus permutantes. Ita et posteri eorum, non minus animo quam natalibus illis similes, postquam similia et divina miracula a nato Salvatore nostro patrata vidissent, quando nunc quidem morbi corporis, alias immedicabiles, verbo propulsabantur, nunc vero homines, a noxis et insidiis diabolicis liberabantur, nunc animæ vulnera doctrina salutari sanabantur, nunc mortui inter vivos numerabantur, nunc vim mortis jam fractam esse docebantur, multisque aliis donis et beneficiis mactabantur, vel sic animum ad illa omnia advertere, aut benefactori suo gratiam rependere nolebant, sed linguam potius, Deo inimicam, acuebant. Imo videntium et audientium elogium per rapinam sibi ipsis vindicantes, neque Domini verba, quæ eos, buccina clarius, ad salutem vocabant, multos vero ex gentilibus ad eam perducebant, veritatisque cognitionem instillabant, audire, neque miracula, quæ in oculos incurrebant, videre cupiebant, sed potius ad convicia tantum et mentem suam et linguam armabant. Hæc causa erat, cur mysteria regni divini illis non crederentur. Nam, ut alia omittam, majori crimini futuri erant obnoxii, si ea illis commissa fuissent. Quo quis enim majoribus beneficiis cumulatur, qui tamen pejor potius, quam melior evadere gestit, hoc magis duplici condemnationi est obnoxius, hinc ob malitiam antegressam, hinc ob animum pessimum, quandoquidem ipsa beneficentia ad incrementum pravitatis abutitur.

Ὅτι δὲ μὴ ἀποκληρωτικὸν εἶναι τὸ δεδόσθαι μὲν D
τοῖς μαθηταῖς ἐπιγνῶναι τὰ μυστήρια, τοῖς δὲ μή,
καὶ πρότερον μὲν ἀποδέδεικται. Οὐδὲν δὲ ἧττον παρ-
ίστησι καὶ ὁ Σωτήρ, μακαρίζων τοὺς μαθητάς, ὅτι
βλέπουσι, καὶ ἀκούοντες ἀκούουσιν. Ὁ μακαρισμὸς
γὰρ παρά γε τοῖς Λογίοις καὶ μάλιστα τοῖς Κυρια-
κοῖς, οὐκ ἀνάγκης ἐστὶν εἰσαγούσης τὸ ἀπαραίτητον,
προαιρέσεως δὲ γινομένης τοῦ βελτίονος· «Μακάριος
γὰρ ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν·» καὶ,

Non vero fato quasi quodam accidisse, ut discipulis facultas daretur cognoscendi mysteria, aliis vero non item, jam ante a nobis est ostensum. Idem vero non minus Salvator indicat, beatos prædicans discipulos, quod videntes videant, et audientes audiant. Quando enim in Scripturæ sacræ, speciatimque Domini nostri, dictis beatus aliquis prædicatur [11], id quidem non infert, rem aliter fieri non potuisse, sed voluntariam meliores ele-

[11] Matth. v, 3 seqq.

NOTÆ.

(10) Colb. pro βιασμάτων.
(11) Sic scribo pro ἀμείνασθαι, nisi malis ἀμείσασθαι.
(12) Idem pro πίπτειν.
(13) Idem pro οὕτως.

Digitized by Google

ctionem indicat. Ita « beatus dicitur vir, qui non ambulat in consilio impiorum [78]; » et « Beatus vir, qui miseratur vitam jumenti sui. » Quando porro Salvator noster multas una serie benedictiones affert, nullam earum iis, in quibus distinctio quædam loco habere poterat, impertitur, sed in eos omnes confert, quorum virtus bonæ mentis fructus et seges erat. Itaque nec discipulis per sortem quamdam fatalem facultas facta est mysteria regni Dei cognoscendi, neque improbis Judæorum ignoratio illorum irrogata. Imo vero ideo, quod sponte sua se cæcos et mutos effecerant, divinum et falli nescium judicium illis indignos eos esse pronuntiavit. Quo vero sensu is, quem Dominus ex discipulis imprimis amabat, magnum illud theologiæ instrumentum, dicit : « Excæcavit oculos eorum, et obduravit cor eorum [79]; » facile ex dictis æstimari potest. Si enim Isaiam verborum testem non advocasset, aut dictum ejus ad aliud argumentum probandum attulisset, dubitandi fortasse nasceretur occasio, quæstioque hæc alia, præter dictas illas, ratione esset dirimenda. Quoniam vero etiam illa ex prophetæ verbis afferuntur, quorum sensus perspicuus est, nihilque difficultatis continet, illa quoque cæterorum evangelistarum a dubiis omnibus liberata modo sunt; patet utique, etiam illud jam solutum esse, quod ex his verbis scrupulum injicere poterat : similia enim sunt sibi invicem. Ille, qui primus Domini nostri gesta descripsit, explicare optime potest, quomodo intelligi debeat illud, *occæcavit* et *obduravit;* itemque illud, « Propterea per parabolas illis loquor, quia videntes non vident, et audientes non audiunt. »

Si quis vero illa verba, *occæcavit* et *obduravit*, non tam pro peccatis quæ antecesserint, quam pro talibus quæ ea instar mercedis promeritæ, sint secuta, habere maluerit; nec ille a scopo aberraverit, per quem non longe a veritate absit. Quoniam enim illi sponte sua oculos clauserant, et aures cohibuerant, cæcitas et surditas merito instar pœnæ antecedentium vitiorum spontaneam animi improbitatem excipiebat. Huc inter cætera pertinebat illud, quod nec facultate mysteria regni cœlestis cognoscendi instruebantur. Porro paulo ante Jesum audimus, prout idem filius tonitruum scribit, dicentem : « Exiguum adhuc tempus lux vobiscum est; ambulate quoad lucem habetis, ne tenebræ vos apprehendant; » et, « Qui in tenebris ambulat, non novit, quo vadat [80]. » Salvator enim mundi adveniens, ut vera lux splenduit; illi vero oculos in eam convertere, aut in luce dogmatum ejus splen-

[78] Psal. I, 1. [79] Isa. VI, 19; Joan. XII, 40.

A « Μακάριος ἀνὴρ (14), ὃς οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ. » Ὁ δὲ Σωτὴρ καὶ κατὰ συνέχειαν πολλοῖς μακαρισμοὺς συνάπτων οὐδένα τούτων, ἐφ' ὧν ἀποκλήρωσις ἔχει τὴν ἰσχὺν, ἀπονέμει, εἰς ἐκείνους δὲ συνάγει πάντας, ὧν ἀρετὴ καρπὸς ὑπάρχει καὶ γεώργιον τῆς προαιρέσεως. Οὐκοῦν οὔτε τοῖς μαθηταῖς κατ' ἀποκλήρωσιν ἐδέδοτο τὰ μυστήρια γνῶναι τῆς βασιλείας τοῦ Θεοῦ, οὔτε τοῖς ἀγνώμοσι τῶν Ἰουδαίων τούτων ἡ ἄγνοια, ἀλλ' ὅτι τυφλούς τε καὶ κωφοὺς ἐκόντες ἀπέφηναν ἑαυτοὺς, τούτων ἀναξίους ἡ θεία καὶ ἀδέκαστος κρίσις διήλεγξεν. Πῶς οὖν τῶν μαθητῶν ὁ ἠγαπημένος τὸ τῆς θεολογίας ὄργανον (15) λέγει· « Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, » οὐδὲν ἔργον ἐκ τῶν B εἰρημένων ἤδη συνιέναι. Εἰ μὲν γὰρ μὴ ἐκάλει τοῦ λόγου τὸν Ἡσαΐαν μάρτυρα, ἢ (16) ἐφ' ἑτέρου θεωρήματος προῆγε τὰς αὐτὰς φωνὰς, ἀπορίας ἂν τινος ὑπῆρχεν ἀφορμὴ, καὶ ζήτησις παρὰ τὰς εἰρημένας ἄλλης ἐπιλύσεως. Ἐπεὶ δὲ διὰ τῶν προφητικῶν καὶ ταῦτα προάγεται λόγων, ἐξ ὧν σαφεστάτη καὶ οὐδὲν ἄπορον ἐπιφέρουσα ἐξέλαμψεν ἡ διάνοια, καὶ μὴν καὶ τῶν ἄλλων εὐαγγελιστῶν, ὅσον ἦν ἀμφισβητούμενον, διεκρίθη· δῆλον, ὅτι προδιαλέλυται καὶ ὅπερ ἔμελλεν ἐπὶ τῶν ῥημάτων τούτων διαπορεῖσθαι· ἴσον γάρ (17).ἰ Ὁ πρῶτος ἀναγραψάμενος τὰς Δεσποτικὰς πράξεις ἐκδιδάσκειν δύναται τὸ, *τετύφλωκεν* καὶ *πεπώρωκεν*· καὶ τό· « Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν. »

C Εἰ δέ τις τὸ, *τετύφλωκεν* καὶ *πεπώρωκεν*, οὐ προηγούμενα πάθη, ἀλλ' ἐκείνοις ἑπόμενα μᾶλλον θείη οἷόν τινα ἀντιμισθίαν τῶν φθασάντων ὄντα· οὐδ' οὕτος ἂν εἴη σκοποῦ διαμαρτάνων, δι' οὗ φέροιτ' ἂν οὐ πόρρω τῆς ἀληθείας. Ἐπεὶ γὰρ ἑκόντες ἔμυσαν τοὺς ὀφθαλμοὺς καὶ τὰ ὦτα συνέσχον, τούτων προηγησαμένων τῶν παθῶν ποινὴ γέγονεν αὐτοῖς ἐπακολουθήσασα τῇ ἑκουσιότητι τῆς μοχθηρᾶς γνώμης ἡ τύφλωσις καὶ ἡ κώφωσις, ὧν ἐν εἴη καὶ τὸ μὴ δεδόσθαι αὐτοῖς τὰ μυστήρια τῆς βασιλείας γνῶναι. Ἔστι δὲ καὶ πρὸ βραχέως ἀκοῦσαι λέγοντα τὸν Ἰησοῦν, ὡς αὐτὸς ὁ τῆς βροντῆς ἔγραψεν υἱός· « Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε, ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ τὸ σκότος ὑμᾶς καταλάβῃ· » καὶ, « Ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ D ὑπάγει. » Ἔλαμψεν μὲν γὰρ τὸ φῶς τὸ ἀληθινὸν παραγεγονὼς ὁ τοῦ κόσμου Σωτήρ. Οἱ δὲ οὐκ ἠθέλησαν ἀνατενίσαι πρὸς αὐτὸ, οὐδ' ἐν (18) τῇ σελασφόρῳ

[80] Joan. XII, 35.

NOTÆ.

(14) Respicere videtur ad Prov. XII, 10, ubi tamen legitur : Δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ.

(15) Alludit ad Theologi cognomen, quod Joannis esse constat.

(16) Ἢ Colb. pro εἰς.

(17) In ms. ita : Ἴσον γὰρ ὁ πρῶτο;, κ. τ. λ. Ibi post γάρ posui στιγμήν, et pro sequente δύνασθαι scripsi δύναται. Alioquin enim de sensu vix constare poterit. Loquitur autem de Matthæo, Evangelistarum primo, ad quem supra in primis provocat.

(18) Οὐδ' ἐν Colb. pro οὐδέν.

Digitized by Google

αἴγλη τῶν δογμάτων αὐτοῦ περιπατεῖν. Διὸ ἀκολούθως αὐτοὺς κατέλαβεν ἡ σκοτία δίκην ἀπαιτοῦσα τῆς προκατασχούσης αὐτοὺς μοχθηρίας. Καὶ τοῦτο λέγοιτ' ἂν *τετυφλῶσθαι* καὶ *πεπωρῶσθαι* εἰκότως. Καὶ ὥσπερ τῷ θελήσαντι περιπατεῖν ἐν τῷ φωτὶ ἕπεται (19) καὶ τὸ εἰδέναι, ποῦ ὑπάγει· οὕτως τῷ μὴ θελήσαντι περιπατεῖν ἐν τῷ φωτὶ συνακολουθεῖ τὸ, βαδίζοντα ἐν τῇ σκοτίᾳ εἶναι, καὶ τυφλῶν καὶ πεπωρωμένων ὁδὸν ἀθλίως ἐξανύειν. Προείρηται δὲ καὶ, ὡς τῆς Δεσποτικῆς καὶ σωτηρίου διδασκαλίας ἡ ἀστραπὴ τυφλοὺς καὶ πεπωρωμένους ἐστηλίτευσεν τοὺς Ἰουδαίους, καὶ τὴν πρὶν ἐνοῦσαν τοῖς ψυχικοῖς αὐτῶν ὄμμασι λήμην (20) καὶ ἀβλεψίαν ἐμφανεστέραν δὲ καὶ κατάδηλον ἐποίησε μᾶλλον. Ὥσπερ γὰρ ὁ αἰσθητὸς οὗτος καὶ περικαλλὴς ἥλιος λαμπρὰς τοῦ δίσκου τὰς ἀκτῖνας ἐναφιεὶς ἐλέγχει τοὺς νοσοῦντας τὰ ὄμματα· οὕτω καὶ ὁ νοητὸς ἥλιος, τὸ φῶς τὸ ἄδυτον καὶ ἀνέσπερον, Χριστὸς, ὁ Θεὸς ἡμῶν, ἐπιδημήσας τῷ κόσμῳ, καὶ διὰ τῶν θεοπρεπῶν τε καὶ ὑπὲρ λόγον θαυμάτων ἐναστράψας αὐτοῦ τῆς θεότητος τὴν αἴγλην, ἐπὶ πλέον διήλεγξεν τῶν ἀγνωμόνων Ἰουδαίων τὸ προκατασχὸν αὐτῶν τὰ τῆς ψυχῆς ὄμματα σκότος καὶ τὴν ἀβλεψίαν. Ἀλλ' ὥσπερ ὁ ἐγκόσμιος ἥλιος οὐκ ἔστιν αἴτιος τῆς τυφλότητος, ἐλέγχων τὴν ἀβλεψίαν τῶν ἐνεχομένων τῇ νόσῳ· οὕτω καὶ ὁ ὑπερκόσμιος καὶ νοητὸς ἥλιος, τὸ ἀπαράλλακτον καὶ ἀληθινὸν ἀπαύγασμα τοῦ Πατρὸς, τὴν προκατασχοῦσαν τύφλωσιν τῶν ἐαλωκότων τῇ πάρεσι στηλιτεύων, οὐμενοῦν οὐκ ἂν αἴτιος νομισθείη, εἰ καὶ τετυφλωκέναι λέγοιτ' ἂν, διότι μηδὲ πρὶν λανθάνουσαν τὴν πήρωσιν αὐτῶν τὸ ἐσκοτισμένον τῶν λογισμῶν μᾶλλον ἐθριάμβευσεν. Εἰ γὰρ μὴ τοσαύτη τοῦ θείου φωτὸς ἐνήστραπτεν ἡ λαμπρότης, ὥστε καὶ τῶν ἐν σκότει καὶ σκιᾷ καθημένων ἐθνῶν καταυγασθῆναι τὰς διανοίας, καὶ πρὸς τὴν θεογνωσίαν ἀναβλέψαι, οὐκ ἂν ἐπὶ τοσοῦτον τυφλὸν τὸ Ἰουδαίων ἐδείκνυτο γένος. Ἀλλ' ἡ διὰ τῶν ἔργων προτοῦσα τῆς αἴγλης ὑπερβολὴ, καὶ τῆς φωτιστικῆς δυνάμεως ἡ ἐνέργεια καὶ τῶν ἐθνῶν ἡ ἀνάβλεψις, ἔλεγχος σαφὴς κατέστη τῶν μὴ προσδραμόντων τῷ φωτὶ τῆς ἀληθείας, καὶ κατασυγασθέντων τὴν εὐσέβειαν, ὅτιπερ ἑκούσιον ἑαυτοῖς κατεσκεύασαν τὴν τύφλωσιν, καὶ τῆς παγκοσμίου σωτηρίας ἑαυτοὺς ἐξ ὑπερβαλλούσης ἀπονοίας ἀπεστέρησαν

didissima versari nolebant. Propterea tenebræ eos convenienter excipiebant, tanquam pœnam improbitatis receptæ poscentes. Id ipsum vero et *occæcari* et *obdurari* appellari videtur. Quemadmodum porro eum, qui in luce ambulare vult, id consequitur, ut sciat etiam, quo vadat; ita is, qui in luce ambulare non vult, fructus loco id habet, ut ambulans in tenebris versetur, viamque instar cæcorum et obduratorum emetiatur. Jam ante vero admonitum est, splendorem salutatis doctrinæ, a Domino traditæ, Judæos ut cæcos et obduratos notasse, caliginemque et cæcitatem, quæ oculos animorum occupaverat, manifestiorem fecisse. Quemadmodum enim sol, qui conspicitur, lucidissimus, immissis orbis sui radiis, eos, qui ex oculis laborant, ægritudinis suæ convincit; ita et sol, intellectu perspiciendus, lux illa nunquam occidens nec vesperascens Christus, Deus noster, cum in mundo versabatur, deitatisque suæ radios, editis divinis et rationem superantibus miraculis spargebat, tenebras et cæcitatem improborum Judæorum, quæ animi oculos ante occupaverant, magis conspiciendas præbuit. Sicut vero sol, in mundo conspicuus, non est auctor cæcitatis, quando cæcitatem hominum, ex oculis laborantium, demonstrat; ita nec Sol supramundanus, et intellectu tantum perspiciendus, splendor Patris immutabilis et verus, cæcitatem, quæ homines illi obnoxios occuparat, in apricum proferens, ejusdem auctor cum ratione nunquam existimari poterit, etiamsi cæcos eos reddidisse dicatur; quoniam auctæ intellectus tenebræ cæcitatem eorum, quæ nec antea ignota erat, magis spectandam præbuerunt. Nisi enim tam illustris divinæ lucis splendor eluxisset, ut gentium quoque in tenebris et umbra sedentium, mentes illuminarentur, et ad divini Numinis cognitionem aspirarent, gentis Judaicæ cæcitas nunquam adeo facta fuisset manifesta. Jam vero splendoris illius magnitudo, ex miraculis conspicua, et facultatis illuminatricis efficacia, et gentium ad lucem conversio, argumentum non inficiandum præbebant, eos, qui ad lucem veritatis se non conferrent, nec ad pietatem erudirentur, suæ sibi cæcitatis auctores exstitisse, seque ipsos salute, omnibus hominibus destinata, per incredibilem quandam vecordiam privasse.

ΕΡΩΤΗΣΙΣ ΟΖ'.

Περὶ γένους καὶ εἴδους ἀπορίαι διάφοροι, ἐν αἷς ἔσειν εὑρεῖν τὰς λύσεις αὐτῶν.

QUÆSTIO LXXVII [*Coisl. Taur.* C].

De genere et specie dubia diversa, in quibus eorumdem solutio inveniri potest.

Nunc primum edita a D. Hergenrœther.

1. Ἐζήτηται μὲν ἡμῖν πολλάκις ἡ περὶ τῶν γενῶν τε καὶ εἰδῶν ὑπόθεσις, καὶ διάκρισις τῶν πάλαι

1. Sæpe nos agitavimus quæstiones de generibus et speciebus, et antiquas controversias clarissime,

NOTÆ.

(19) Ἕπεται — ἐν τῷ φωτί, sunt ex Colb.

(20) Colb. recte pro λύμην.

Digitized by Google

ut iis, qui sua dubia proposuerant, tunc visum est, expedivimus. Etenim Platonicas quidem ideas peculiari tractatu consideravimus, quoniam nec prædicari de individuis illæ queunt. Neque enim hoc in præsentia dicam, quod constituere prius rerum producendarum formas atque similitudines est quidem artificis, sed minime valentis creare simplici aggressione quod velit; nec pariter referam, quod quærere hoc loco rerum subsistentium exemplaria in infinitum necessario provehit rerum quæ confinguntur processum. Illud enim omnino indignum est vera de Deo notione; hoc vero etiam per se illico destruit quæ mentibus fuerant efficta. Imo etiamsi quis concedat, singularum proprietatum formas, et inde singularia sed individua exprimi, nulla tamen æqua permittit ratio, hæc sub illorum prædicationem adducere. Neque enim obsignatum fuerit obsignans, neque quod similitudinem per participationem recipit, idem esse potest cum eo, a quo illa similitudo præbetur, nec quæ in mente divina fuerint impressa et immobilem atque inconcussum, si tamen omnino exsistit, statum sortita sint, poterunt ullatenus prædicata dici rerum perpetuo fluxui ac defluxui obnoxiarum. Permagna enim est differentia et ex ipsa habitudine vel connexione apparet, quanam ratione discrepent. Etenim causæ causatique ratio, præsertim ubi de creatrice et exemplari vi agitur, in habitudinis connexione exsistentiæ diversitatem perspicue ostendit. Si vero quæ nominum similitudine res significatas connectere videntur, ea ipsa faciunt, ut maxima discrepantia agnoscatur, quæ nec connexionis præferunt speciem nec unionis ullum exhibent indicium, quomodo hæc in idem redigantur, cum ne ibi quidem in unum coire queant, ubi connexio propriam servare potest absque ulla adulteratione dignitatem? Talibus ratiocinationibus Platonicæ ideæ discutiebantur, multis etiam et vetustioribus rationibus (libris) nostro conatui suffragantibus.

2. Quæ vero præter Platonicas ideas astruuntur genera et species, tametsi ortum ex diversa sententia et ex diverso proposito habuerint prodierintque, variant tamen in sui constitutione; et illa quidem *super multis*, hæc (species) vero *in multis* præstantiores philosophi appellare gestierunt; attamen quoad prædicationis usum paululum differunt: sufficerit ergo utriusque iisdem rationibus facta disquisitio et dijudicatio. Et ad incorporeas subsistentias quod spectat, de quo argumento nec vetus exstabat contentio, facillime admissum fuit, prædicata de illis genera et species participare incorpoream naturam; magna vero lis exstitit circa trine mensurabiles subsistentias, quæ corpora sunt et appellantur; utrum videlicet oporteat eorumdem genera et species vocare corpora, an vero hæc utpote sensibus superiora inter incorporea recipere. Verum tunc de his accurate a nobis disputatum fuit, nec auditoribus visum, secunda opus esse disquisitione. Quoniam vero nunc tua Dei amans

A ἀμφισβητημάτων, ὡς τοῖς τηνικαῦτα συζητοῦσιν ἔδοξεν, οὐδὲν ἄπορον ὑπολιποῦσα προελήλυθε· καὶ γὰρ αἱ μὲν κατὰ Πλάτωνα ἰδέαι ἰδιαζούσης ἐπισκέψεως ἔτυχον, ἐπεὶ μηδὲ κατηγορεῖσθαι τῶν ἀτόμων αὗται δύνανται· οὐ γὰρ τοῦτο νῦν ἐρῶ, ὡς τὸ προϋφιστάνειν τύπους τῶν παραχθησομένων καὶ ὁμοιώματα τεχνίτου μέν ἐστιν, ἀσθενοῦντος δὲ δημιουργεῖν ἁπλῇ προσβολῇ τὸ βουλόμενον, οὔθ' ὡς ἐνταῦθα τὸ ζητεῖν τῶν ὑφισταμένων παραδείγματα ἐπ' ἄπειρον ἐξ ἀνάγκης διαβιβάζει τῶν πλαττομένων τὴν πρόοδον· τὸ μὲν γὰρ παντελῶς ἐστι τῆς περὶ τὸ Θεῖον ἀνάξιον ὑπολήψεως, τὸ δὲ καὶ καθ' ἑαυτὸ τῶν ταῖς διανοίαις ἀναπλασθέντων συμπροάγει τὴν ἀναίρεσιν. Ἀλλ' οὖν εἰ καί τις δοίη τοὺς τύπους ἑκάστης ἰδιότητος ἐκεῖθεν ἀπομάττεσθαι τὰ καθέκαστα, ὑπὸ κατηγορίαν ἐκείνων ἄγειν ταῦτα οὐχ εὑρήσει λόγον συνάδοντα. Οὐδὲ γὰρ ἂν εἴη τὸ ἐσφραγισμένον σφραγίζον, οὐδὲ τῷ τὴν ὁμοιότητα παρεχομένῳ ταυτὸν, ὃ κατὰ μετοχὴν ταύτην παρεδέξατο· οὐδὲ τὰ ἐν τῇ τοῦ Θείου B τυπωθέντα διανοίᾳ καὶ στάσιν ἀκίνητόν τε καὶ ἀκλόνητον, εἴπερ ὅλως ἔνεστιν, εὐμοιρηκότα τῶν ἐν ῥοῇ τε καὶ ἀπορρύῃ διαπαντὸς φερομένων οὐδαμῶς ἂν δύναιτο ῥηθῆναι κατηγορούμενα· παμπόλλη γὰρ ἡ διαφορὰ καὶ ἐξ αὐτῆς δὲ τῆς σχέσεως ἡ συναφείας τινὰ τρόπον παρέχει τὸ διάφορον, ἀναφαίνεται. Καὶ γὰρ ὁ τοῦ αἰτίου καὶ αἰτιατοῦ λόγος, μάλιστά γε κατὰ τὸ δημιουργικόν τε καὶ παραδειγματικὸν προῖών ἐν τῇ τῆς σχέσεως συναφείᾳ τὸ τῆς ὑπάρξεως παραλλάττον λαμπρῶς ἐπιδείκνυσιν. Εἰ δ' ἐφ' ὧν ἃ συνάπτειν τῇ τῶν ὀνομάτων ὁμοιότητι τὰ δηλούμενα δοκεῖ, ταῦτα πολλὴν ἀνομολογεῖσθαι ποιεῖ τὴν διάστασιν, ἃ μηδὲ συναφείας προβάλλεται ῥῆμα, μηδ' ἑνώσεως ἐνδείκνυσθαι παρέχεται ἀφορμήν, πῶς ἂν εἰς ταυτὸν συνενεχθείη μὴ πεφυκότα συνιέναι μηδ' ἐφ' ὧν ἡ συνάφεια διασώζειν δύναται τὸ οἰκεῖον D ἀνόθευτον δίκαιον; Τοιαύταις αἱ Πλατωνικαὶ ἰδέαι περινοίαις ἐξετάζοντο, πολλῶν ὄντων καὶ παλαιοτέρων λόγων συνεφαπτομένων ἡμῶν τῷ βουλήματι.

2. Τὰ δὲ παρὰ τὰς Πλατωνικὰς ἰδέας γένη καὶ εἴδη, εἰ καὶ τὴν γένεσιν ἐκ διαφόρου διανοίας καὶ ἐπιβολῆς ἔσχον τε καὶ προεληλύθεσαν, παραλλάττουσί γε τῇ συστάσει· καὶ τὰ μὲν *ἐπὶ τοῖς πολλοῖς*, τὰ δὲ *ἐν τοῖς πολλοῖς* οἱ χαριέστερον φιλοσοφοῦντες καλεῖν ἐφιλοτιμήσαντο· ἀλλ' οὖν πρός γε τὸ κατηγορεῖσθαι τὴν χρείαν ἐπ' ὀλίγον ἔχουσι παραλλάττουσαν· ἤρκεσε τοιγαροῦν περὶ ἑκατέρου τούτων ἡ αὐτὴ διὰ τῶν ἐξεταστικῶν λόγων βάσανός τε καὶ διάκρι- D σις. Καί γε περὶ μὲν τῶν ἀσωμάτων ὑποστάσεων ὅτι μηδ' ἔρις ἦν παλαιὰ, θᾶττον, ὅτι καὶ τὰ κατηγ[ορ]ούμενα γένη καὶ εἴδη τῆς ἀσωμάτου φύσεως μετέχει, συνεχεχώρητο· ἡ δὲ πολλὴ προῆλθεν φιλονεικία περὶ τῶν τριχῇ διαστατῶν ὑποστάσεων καὶ σωμάτων ὄντων τε καὶ καλουμένων, ἆρά γε χρὴ τὰ τούτων γένη καὶ εἴδη σώματα καλεῖν, ἢ ὡς κρεῖττω τῆς αἰσθήσεως ταῦτα καθεστηκότα τῆς τῶν ἀσωμάτων λήξεως θετέον. Ἀλλὰ τότε μὴ εἰς ἀκρίβειάν τε περὶ τούτων διεῖλεκται καὶ δευτέρας οὐκ ἐδόκει τοῖς ἀκροαταῖς δεῖσθαι συζητήσεως. Ἐπεὶ δὲ νῦν ἡ σὴ θεοτιμὴς

Digitized by Google

ὁσιότης κεφαλαιώδη τύπον ἔγγραφον ἐξενεχθῆναι περὶ αὐτῶν εἰς αἴτησιν διενοήθη προενεγκεῖν, διὰ βραχέων οὐδὲν κωλύει περὶ τῶν αὐτῶν διαλαβεῖν.

γ'. Τῶν μὲν οὖν ἀσωμάτων οἱ λόγοι, ὅσοι γε τὸ ὑποκείμενον ἀφορίζουσι, δῆλον ὅτι ἀσώματοι· διότι καὶ τὰ ἐν αὐτοῖς περιεχόμενα γένη καὶ εἴδη, καὶ οὐδεμίαν οὐδενὶ παράσχοι ἂν ἀπορίαν ἡ περὶ αὐτῶν θεωρία. Οἱ δὲ τῶν σωμάτων πῶς ἂν εἶησαν σώματα, εἰ καὶ τὸ πρόχειρον τῆς ἀναλογίας τοῦτο φαντάζεται; Λόγος γὰρ καὶ σῶμα τὴν πρὸς ἄλληλα κοινωνίαν ἀπηρνήσαντο. Εἰ δὲ ἕτερος ὁ λόγος πέφυκε σώματος, πῶς οὐχὶ τὰ συμπληροῦντα τὸν λόγον γένη καὶ εἴδη τὴν αὐτὴν οὐκ ἐπιζητήσει ἑτερότητα; πῶς δὲ ἂν σωμάτων κατηγορηθείη τὸ ἀσώματον; Ἢ ἀσώματα μὲν οὐκ ἂν εἴη τὰ γένη τούτων οὐδὲ τὰ εἴδη, οὐ μὴν ἀλλ' οὐδέ γε σωμάτων ἦκεν εἰς ὄγκον, οὐδὲ τὴν ὕλην, ἐν ᾗ τὸ πλήρωμα συνέστηκε τῶν διαστάσεων, ὑποδέλλεται· σωματικὰ δὲ πάντως καὶ περὶ σῶμα λεγόμενα; σῶμα γὰρ ἑρμηνεύουσι καὶ ἀπαγγέλλουσιν ὑποκείμενον· ὁ γὰρ ἄνθρωπος τυχὸν σωματικὸν μέν, ὅτι τὸν Σωκράτην ἢ τὸν Πλάτωνα σῶμα ὄντα ὀνομάζει καὶ τὴν αὐτῶν οὐσίαν ἀναπτύσσων τῶν ὁμογενῶν τῇ κλήσει διαστέλλει· ἀλλὰ πῶς, εἰ ὁ ἄνθρωπος οὐ σῶμα, ὁ δὲ Σωκράτης ἄνθρωπος, οὐχὶ ὁ Σωκράτης οὐ συμπερανθήσεται μὴ σῶμα; Τοῦτο γὰρ καὶ εἴ τι ἄλλο παραπλήσιον δοκεῖ τῶν ἀπορημάτων εἶναι τὸ κράτιστον. Ἀλλ' οὐδὲν χαλεπὸν ἐπιλύσασθαι· ἐν πρώτῳ γὰρ σχήματι τοῖς συνορᾶν ἐθέλουσιν ἡ μείζων πρότασις μερικὴ παραλαμβάνεται· οὕτω γὰρ καὶ προαγομένη τῆς ἀληθείας οὐκ ἐξίσταται· εἰ δέ τις αὐτὴν εἰς τὸ καθόλου μεταλάβοι, συμμετήγαγε καὶ τῆς ἀληθείας ἐπὶ τὸ ψεῦδος. Ψευδὸς γὰρ ἀντικρὺς τὸ λέγειν· Οὐδεὶς ἄνθρωπος σῶμα, ἀληθευούσης κατὰ τὸν εἰρημένον ἔμπροσθεν λόγον, ὡς ὁ ἄνθρωπος σῶμα· εἰ δέ τις τὴν μὲν πλοκὴν τοῦ λόγου χαίρειν ἐᾷ καὶ τὸ δοκοῦν συμπεραίνεσθαι πολυπραγμονεῖν οὐχ ἡγεῖται σοφὸν, αὐτόθεν δὲ λέγοι φορτικὸν εἶναι τὸν ἄνθρωπον μήτε λέγειν μήτε νομίζειν εἶναι σῶμα, καὶ ἄνευ τοῦ δόξαντος μὴ συμπεραίνεσθαι ὡς ὁ Σωκράτης οὐκ εἴη σῶμα (21)· πῶς γὰρ ἂν ἡ τῆς οὐσίας διαίρεσις εἰς σῶμα καὶ ἀσώματον τὰ πρῶτα τῶν ὑπ' ἀλλήλων διαστελλομένη προαχθείη, τοῦτο μὲν ὕστερον ἐπιθεωρείσθω· ὁ δὲ λόγος τῆς ἀκολουθίας τῶν προειρημένων μὴ ἀφιστάσθω. Καὶ γὰρ οὐ κατὰ τὸ ἀποφαντικὸν μόνον σχῆμα τὸ εἰρημένον ἐπὶ τῶν τοιούτων ὁρᾶται κατηγορημάτων, ἀλλὰ δὴ καὶ ἐπὶ τοῦ καταφατικοῦ τοῖς βουλομένοις περαντικόν τινα λόγον τὴν ἀπορίαν κρατύνοντα προάγειν. Λέγοντες γὰρ, *Ὁ ἄνθρωπος ἢ τὸ ζῶον σωματικόν*· εἶτα, *Ὁ δὲ Σωκράτης ζῶον ἢ ἄνθρωπος*, οὐκ ἂν σωματικὸν ἀναγκασθείημεν εἰπεῖν καὶ τὸν Σωκράτην; Οὕτω γὰρ (22) συνάγεται τῆς μείζονος κἀνταῦθα μενούσης ἐπαληθευούσης· ἐπὶ μέρους γὰρ τὴν προαγωγὴν ἡ πρότασις ἔχει. Εἰ δ' εἰς τὸν καθόλου τύπον ἀναχθείη, αὐτίκα πεφωραμέ-

A sanctitas de iis ipsis ut compendiosus conscribatur tractatus desideravit ac petiit : nihil vetat breviter de iisdem disserere.

3. Incorporeorum igitur rationes, quæ subjectum distinguunt, manifeste sunt incorporeæ, quia et genera ac species, quæ in ipsis continentur; atque nomini consideratio et disceptatio de illis difficultatem ullam videtur exhibere. Rationes autem corporum, quomodo corpora fuerint, etiamsi proportio id prima fronte videatur exigere? Ratio enim et corpus nullam adinvicem communionem agnoscunt. Si vero ratio a corpore diversa est, quomodo non ea quæ complent rationem genera ac species eamdem exigant diversitatem? Quomodo vero de corporibus incorporeum prædicetur? An vero non B erunt incorporea eorum genera neque species, imo nec in corporum redigentur molem, neque materiam, in qua dimensionum plenitudo constituitur, substratam habent, sed corpora omnino et circa corpus dicentur? Corpus enim explicant et elucidant subjectum : *homo*, ex. gr., corporeum est, quia Socratem vel Platonem, qui corpus est, denominat et eorum substantiam explicans ab aliis ejusdem generis denominatione distinguit; sed quomodo, si homo non est corpus, Socrates vero homo, non concludetur, Socratem non esse corpus? Hoc enim et si quid aliud simile, omnium difficultatum validissima esse videtur. Sed ejus solutio non est difficilis. Nam in prima figura, si diligenter advertas, propositio major particularis accipitur; hoc enim C modo producta a veritate non recedit. Si vero quis eam in universalem vertat, simul eam de vera reddidit falsam. Falsum enim est manifeste dicere : Nullus homo est corpus, cum vera sit propositio, hominem esse corpus, secundum ea quæ ante dicta sunt. Si vero quis relicto perplexo argumenti nodo non esse operæ pretium arbitratur curiosius id investigare, quod inde videtur concludi, sed dicat, esse per se absonum aut dicere aut censere hominem non esse corpus, etiam seclusa illa conclusione, quæ inde consequi videtur, scilicet Socratem non futurum corpus; — quomodo substantiæ divisio in corpus et incorporeum, quæ prima sub alternorum distinguit, produci queat? — id postea consiD derandum est; tractatio vero a serie et consequentia prædictorum non recedat. Etenim non secundum negativam duntaxat figuram id quod diximus in ejusmodi conspicitur prædicationibus; verum et in affirmativa, modo quis velit solidam aliquam producere rationem, qua confirmetur quæstio. Dicentes enim : *Homo vel animal corporeum*; deinde : *Socrates est animal vel homo*, nonne cogemur corporeum dicere etiam Socratem? Ita enim concluditur, majori quoque hic manente

NOTÆ.

(21) Vel quid deest vel aposiopesis statuenda. Sane anacoluthon constructio similis.
(22) Οὐδὲ γὰρ habet Apogr. Ven., quod Catif. correxit.

Digitized by Google

vera; particulariter enim ea propositio procedit. Quod si in universalem efformetur, illico deprehenditur falsa. Quomodo enim dici queat: *Omnis homo vel omne animal corpus*, si propositio ista: *Nullus homo et nullum animal est corpus* sit manifeste vera? Ad hæc: Quomodo non erunt corporea, quæ subjectum suum corpus esse indicant? Quomodo vero a corporis appellatione et constitutione removebuntur? Nam ab incorporea quidem natura sunt dissita, a corporeis vero proprietatibus recedunt; et in quamnam reducentur rerum classem, si etiam a corporibus ea quis eliminet? Si quis autem velit alia quoque via hic considerare, non minus reperiet facilem difficultatum solutionem. Nam Socrates quidem homo vel animal per se, homo vero vel animal est corporeum non per se; nec a suo principio, nec natura, sed utpote enuntiativum et declarativum subjecti corporei, et habitudinem ad illud explicans. Non est igitur validum argumentum, quod Socratem corporeum vocari exigit. Ex propositionibus enim diversi generis et dissimilibus contexitur, utpote quod nec dua queunt ejusdem argumenti dici partes; sed una forsitan unius, altera alterius, quæ pariter nil habent inter se commune. Jure igitur ex ejusmodi peregrina complexione et confusione nihil concludi poterit.

4. Verum et illud mecum considera, quod adhuc subtilius est quam propositum. Si enim *Socrates* eo quod proxime prædicatur et proprie subjectum enuntiat, non necessario quæ sua sunt communicat rei significatæ, cum tamen et major hoc loco, si quis velit syllogismum componere, possit quodammodo ad universalem figuram procedere. Neque enim rem, quam vox *Socrates* enuntiat, enuntiativam vel significativam subjecti quispiam sanæ mentis dixerit; si vero hoc, quomodo non multo magis ea quæ e mediatis Socratis prædicatis consequuntur omnis ratio vetabit etiam ad Socratem per se trahi eique attribui?

5. Divisio vero, quæ substantiam in corpus et incorporeum partitur, apta erit solvendæ quæstioni, si quis respondeat, divisionem illam spectare ad extrema et ultima subjectorum et hoc pacto divisionem ac sectionem operari. Licet enim etiam altius progredi videatur divisio, attamen per curiosam rerum inferiorum investigationem ratio a sensibus ad judicandum adjuta atque inde ab omni errore circa singularia se eximens, sicque ad contemplationem generaliorem ascendens, tanquam a specula quadam consultius meliusque inferiora perspicit, et divisivam profert methodum, recentiorem tamen et posteriorem prædicta illa, sicut eam, quam volunt analyticam nominare. Verum ad hoc et aliæ rationes adhiberi possunt, quoniam plerosque ad sublimia rem istam et philosophicam causarum tractationem connitentes est cernere. Multa enim, quæ rationem habent profundam, non

A νον τὸ ψεῦδος παρέχεται. Πῶς γὰρ ἂν ἢ λέγειν· *Πᾶς ἄνθρωπος ἢ πᾶν ζῶον σωματικόν*, τῆς, *Οὐδεὶς ἄνθρωπος καὶ οὐδὲν ζῶον σωματικόν*, διαρρήδην ἐπαληθευούσης; Ἔτι δὲ πῶς οὐκ ἂν σωματικὰ, ἃ σῶμα τὸ ὑποκείμενον ἐκδιδάσκει; πῶς δ' ἂν τῆς σωματικῆς ἀλλοτριωθείη κλήσεώς τε καὶ συστάσεως; Τῆς μὲν γὰρ ἀσωμάτου διέστηκε φύσεως, τῶν δὲ σωματικῶν ἰδιωμάτων ἀνακεχώρηκε· καὶ τίνα ἂν ὑπέλθοι τῶν ὄντων κλῆρον, εἰ καὶ τῶν σωματικῶν τις ὁρίων αὐτὸ ὑπερορίσειεν; Εἰ δέ γέ τις ἐθέλοι καὶ ἄλλως ἐπισκοπεῖν, οὐκ ἔλαττον εὑρήσει τῶν ἀπορουμένων τὸ εὐδιάλυτον. Καὶ γὰρ ὁ μὲν Σωκράτης ἄνθρωπος ἢ ζῶον καθ' αὑτό· ὁ δὲ ἄνθρωπος ἢ τὸ ζῶον σωματικὸν οὐ καθ' αὑτὸ οὐδ' ἄνωθεν, οὐδὲ φύσει· ἀλλ' ὡς ἐξαγγελτικὸν καὶ δηλωτικὸν ὑποκειμένου
B σώματος καὶ τὴν πρὸς αὐτὸ περιπτυσσόμενον σχέσιν. Οὐκοῦν οὐκ ἔστι λόγος, ὃς τὸν Σωκράτην ἀπαιτεῖ σωματικὸν καλεῖσθαι· ἐκ προτάσεων γὰρ ἑτερογενῶν καὶ ἀνομοίων διαπλέκεται, ὡς μηδὲ δύο δυναμένων τοῦ αὐτοῦ λόγου μέρη λέγεσθαι, ἀλλὰ τὴν ἴσως ἑτέρου, θατέρου δὲ τὴν ἑτέραν, καὶ τούτων πρὸς ἀλλήλους τὸ ἀκοινώνητον συνδιασωζόντων· εἰκότως οὖν ἐκ τῆς τοιαύτης ἀλλοφύλου πλοκῆς καὶ συγχύσεως οὐδὲν ἂν συμπερανθείη.

δ'. Ἀλλὰ γὰρ κἀκεῖνό μοι συνόρα δριμύτερον δν τοῦ προκειμένου· εἰ γὰρ ὁ *Σωκράτης* καὶ τὸ προσεχῶς κατηγορούμενον καὶ κυρίως ἀπαγγέλλον τὸ ὑποκείμενον οὐκ ἂν ἀπαιτηθείη τὰ αὐτοῦ μεταδοῦναι τῷ
C δηλουμένῳ· καίτοι καὶ τῆς μείζονος ἐνταῦθα, συλλογιστικὸν εἴ τις ἐθέλει συνθεῖναι, δυναμένης ἀμωσγέπως εἰς τὸ καθολικὸν σχῆμα προελθεῖν. Οὐ γὰρ τὸ πρᾶγμα, ὅπερ ἡ *Σωκράτου* ἐδήλου φωνὴ, ἀπαγγελτικὸν ἢ δηλωτικὸν ἐρεῖ τις τοῦ ὑποκειμένου, οὐμενοῦν οὐκ ἔχων εἰς βλάβην ἀπορρέοντα τὸν λογισμόν· εἰ δὲ τοῦτο, πῶς οὐχὶ πολλῷ μᾶλλον τῶν διὰ μέσου τοῦ Σωκράτους κατηγορουμένων ἅπας ἐκστήσεται λόγος τὰ ἐπόμενα μὴ καθ' αὑτὸ καὶ ἐπὶ τοῦ Σωκράτους ἕλκειν τε καὶ μεθαρμόζειν;

ε'. Ἡ δὲ διαίρεσις, ἡ τὴν οὐσίαν εἰς σῶμα διαστέλλουσα καὶ ἀσώματον, οὐκ ἂν ἐκσταίη θεωρίας ἐπιλυομένης τὸ ζήτημα, εἴ τις ἀποδοίη λόγον, πρὸς τὰ ἔσχατα καὶ τελευταῖα τῶν ὑποκειμένων ἀφορῶσαν οὕτω τὴν τομὴν ἐργάσασθαι. Εἰ γὰρ καὶ ἄνωθεν δο-
D κεῖ προϊέναι τὸ τῆς διαιρέσεως, ἀλλ' οὖν διὰ τῆς κάτωθεν πολυπραγμοσύνης τάς τε αἰσθήσεις ἐπικούρους φέρων τῆς κρίσεως ὁ λογισμὸς καὶ τὸ περὶ τὰ καθέκαστα ἀπλανὲς ἐκεῖθεν συναθροισάμενος ἑαυτῷ καὶ οὕτως ἐπὶ τὴν κοινοτέραν θεωρίαν ἀναδραμὼν ὥσπερ ἀπό τινος περιωπῆς ἐμπειρότερόν τε καὶ σοφώτερον τὰ κατωτέρω τε διορᾷ καὶ τὴν διαιρετικὴν προηνέγκατο μέθοδον, μεταγενεστέραν μὲν δηλονότι τῆς προειρημένης οὖσαν, ὥσπερ ταύτην, ἣν ἐθέλουσιν ἀναλυτικὴν ὀνομάζειν. Ἀλλὰ πρὸς τοῦτο μὲν καὶ ἑτέροις ἂν τις χρήσαιτο λόγοις· διότι καὶ τοὺς πολλοὺς πρὸς τὴν ὑψηλοτέραν ταύτην καὶ ἐμφιλόσοφον αἰτιολογίαν σκαρδαμύττοντας ἔστιν ὁρᾷν. Πολλὰ γὰρ

Digitized by Google

τῶν ἐχόντων λόγον βαθυνόμενον (23), ταῖς τῶν ἀνθρώπων προχείροις ἀκοαῖς καὶ ἐπιπολαίοις διανοίαις οὐκ ἐθέλει συναρμόζεσθαι, πεφυκότων διὰ πείρας τε μεθοδικῆς καὶ κρίσεως; σχολαζούσης εἰσοικίζεσθαι μάλιστα, ἧς ἀπούσης τῆς ἀποδείξεως ὁ λόγος ἀσθενὴς εἶναι δοκεῖ, τὸν νοῦν τῶν ἀκροατῶν πρὸς ἑαυτὸν ἐφελκύσασθαι.

Ϛ'. Τοὺς δέ γε διαπορουμένους, ὡς, εἴ τις δοίη τὰ τῶν σωμάτων γένη καὶ εἴδη σώματα, τότε τριχῆ διαστατὸν αὐτοῖς συμβήσεται καὶ ἡ ἐν τόπῳ περιγραφὴ καὶ τὸ ταῖς αἰσθήσεσιν κρίνεσθαι καὶ τὸ σῶμά γε διὰ σώματος χωρεῖν, καὶ εἴ τι ἄλλο τοιοῦτον τοῖς περιττοῖς πεφιλοτίμηται, οὐκ ἂν ἀπεικότως θαυμάσαιμι, ὡς οἱ τὰ τοιαῦτα ζητοῦντες καὶ νομίζοντες πρὸς τὴν αὐτῶν ὁρᾶν σπουδὴν τὰ ἐπιχειρήματα, πῶς οὐκ ἔφασαν πρὸ τῶν ἄλλων ἁπάντων, ὡς· « Εἰ τὰ γένη καὶ τὰ εἴδη σώματα καὶ ἄτομα, πάντως καὶ καθέκαστα ἔσται; » Οἱ γὰρ τῶν ἀτόμων σωμάτων τὰ ἰδιώματα (24) μὴ ἐρυθριάσαντες ἐπὶ τὰ γένη καὶ τὰ εἴδη τούτων ἀναβιβάζειν, πῶς ηὐλαβήθησαν μὴ καὶ τὸν καθέκαστον καὶ ἄτομον ἤτοι τὸν Σωκράτην ἢ Πλάτωνα κατ' αὐτῶν συναγαγεῖν; Ἅπαξ γὰρ ἀναστρέψαντες τὴν τάξιν τῶν κατηγορουμένων, καὶ τὰ ἴδια τῶν ἐσχάτων ὑποκειμένων κατὰ τῶν κατηγορουμένων γενῶν καὶ εἰδῶν ἀξιώσαντες κατηγορεῖσθαι, δίκαιοι τυγχάνουσι λόγον ὑπέχειν, ὅτι μὴ καὶ αὐτὸ τὸ καθέκαστον καὶ ἄτομον ἐπεχείρησαν τῶν γενῶν καὶ τῶν εἰδῶν κατηγορεῖν καὶ ὅτι μὴ διὰ ταύτης μᾶλλον τῆς ἀτοπίας ἐνόμισαν ἐξελέγχειν τοὺς τὰ γένη καὶ τὰ εἴδη σώματα τιθεμένους. Τοῦτο γὰρ αὐτῶν σύμπασα τῶν σοφῶν ἐπιχειρημάτων ἡ ἐπίνοια πραγματεύεται.

Ζ'. Ἀλλ' ἐάσθω ταῦτα νεανικῆς ἐντρεχείας, οἶμαι, ὄντα σκιρτήματα· νεανικὸν γὰρ διάττειν τε καὶ σπουδάζειν ἀνατρέπειν τὸ προκείμενον, οἷς τὰς λαβὰς ἐκεῖνο διαφεῦγον βεβαιοτέραν ἢ πρότερον τὴν δόξαν ἐφέλκεται τῆς ὑπάρξεως. Τὸ γὰρ πρὶν εἰς βάσανον ἀντιλογίας καταστὰν ἄδηλον ἔχει τὴν ἰσχύν, οὔπω παρόντων ἐλέγχων· τῶν δὲ πειραθέντων ἐλέγχειν αὐτὸ κραταιότερον ἐπιδειχθὲν προσέλαβεν ἥσπερ εἶχε πρότερον δόξης τε καὶ τῆς ἐν τῷ ἀληθεύειν πολλῷ πλέον παῤῥησίας.

η'. Τοῖς δὲ λέγουσιν, *Ἐν διανοίᾳ μὲν τὰ εἴδη καὶ τὰ γένη λαμβανόμενα τῶν σωμάτων ἀσώματα δεῖ* (25) *καὶ νομίζειν καὶ ὀνομάζειν, ἐπειδὰν δὲ τοῖς ὑποκειμένοις περιαφθείη, σώματα προσῆκε τότε καὶ καλεῖν καὶ λογίζεσθαι*, ἡδέως ἂν ἐροίμην, *πότερον* ἐν τῷ διανοεῖσθαι ἀσώματα λαβόντες αὐτὰ διενοήσαντο, ἢ ἐν αὐτῷ τῷ διανοεῖσθαι ταύτην αὐτοῖς ἐχαρίσαντο τὴν φύσιν. Εἰ μὲν γὰρ ἀσώματα λαβόντες οὐδὲν διανοηθέντες ἠμείψαν, τὸ τῆς ἀπορίας πάλιν διαμένει οὐδὲν ἧττον, ἀλλά γε δὴ καὶ θρασύτερον· εἰ δὲ σώματα λαβόντες πρὸς τὸ ἀσώματον μετετάξαντο, βαβαὶ μὲν αὐτῶν τῆς θαυμαστῆς οὕτω καὶ ταχείας δημιουργίας! Τὰ μὲν γὰρ ἐννοήματα καθὸ

A solent prima statim fronte hominum auribus ac mentibus quadrare, cum isti soleant illa potissimum assequi per methodicam experientiam quietamque judicationem; quæ ubi desit, demonstrationis ratio infirma videtur esse ad trahendam ac pelliciendam auditorum mentem.

B 6. Qui vero dubitant, ne forte, si quis det corporum genera et species esse corpora, ne, inquam, sequatur, trinam illis mensurabilitatem convenire et in loco circumscribi et sensibus judicari et corpus per corpus penetrare et si quid aliud ejusmodi otiosi indagatores excogitarunt, hos merito ego admiror, quomodo, cum talia argumenta quærunt eaque ad suum ipsorum studium spectare arbitrantur, quomodo non dixerint præ aliis cunctis: « Quod si genera et species sunt corpora, individua quoque et singularia omnino erunt. » Qui enim individuorum corporum proprietates non erubuerunt ad genera et species horum elevare, quomodo veriti sunt, etiam singulare atque individuum, scilicet Socratem aut Platonem, ad hæc redigere? Semel enim cum ordinem prædicatorum inverterint et quæ sunt extremorum subjectorum propriæ de prædicatis generibus speciebusque prædicari voluerint, tenentur rationes reddere, cur non et ipsum singulare et individuum de generibus et speciebus prædicaverint, et cur non per hanc potius absurditatem refellendos eos duxerint, qui genera et species C corpora esse statuunt. Hoc enim omnibus suis ingeniosis argumentis agunt et efficere student.

7. Verum omittantur hæc utpote juvenilis industriæ tripudia; juvenile enim est, nimis anxie conari, quod proponitur, argumentis evertere, quorum ansas illud effugiens certiorem quam prius exsistentiæ suæ fidem adstruit. Quod enim examinis contradictionem subit, incertam habet vim, cum nondum adsint argumenta: ubi vero adversarios illud refellere conatos superavit, multo majorem quam prius haberet, acquisivit gloriam magisque apertam veritatis existimationem.

D 8. Ex iis vero qui dicunt, *in mente quidem species et genera corporum accepta incorporea oportere et censeri et nominari; postquam vero subjectis fuerint aptata, corpora tunc et vocanda et censenda esse*; ex his, inquam, libenter quæsierim, utrum in cogitando incorporea nacti talia mente sua conceperint, an in ipso cogitando hanc eis naturam impertierint. Nam si incorporea nacti nil cogitando immutarunt, difficultas rursus permanet nihilo minor, imo et validior; si autem corpora nacti in incorporea transverterunt, proh miram ipsorum et celerem creandi virtutem! Cogitationes enim quatenus cogitationes omnino incorporeæ sunt; quis

NOTÆ.

(23) Sic Vat. Catif. βαθυνότερον.
(24) Philad. ἰδιαίτατα. (Catif. nota).
(25) Catif. Apogr. δή.

Digitized by Google

tamen per hoc quod cogitet, corpora in incorporeum convertet? Verumvero sicut cogitarunt, ita et subjectis aptaverunt? et quomodo non de corporibus incorporea prædicant? Sin autem, ut ab initio acceperant, ita rursus et subjectis aptarunt, frustra ipsorum laboravit mens mutare contendens quod mutari nequit, formasque nobis imaginationum effingens. Sed etiam et ipsis rebus ipsa, ut aiunt, cooptantes et propterea corporibus non privantes, utrum considerantes ista attribuunt, an temere ac fortuito conjunctionem istam formant? At utrumque, opinor, errori subest; alterum enim destruit oppositum, quo asserebatur, per cogitationes mentis corpora in substantiam incorpoream converti, alterum vero delirantium est et ridiculum. —

9. Quænam sit igitur ratio, qua omnes istæ declinentur ansæ, diximus quidem expressius acriusque fortasse et antea, nunc tamen clarius iterum dicamus. Corporea quidem sunt genera et species corporum, non tamen corpora; et indicativa subjectorum, non indicata, et explicantia horum exsistentiam, non autem constituentia; et partium ipsorum substantiationem enuntiantia, non autem præstantia, et nomina convenientibus propriisque conceptibus subjectorum subsistentias significantia, non autem rebus jam exstantibus sibique sufficientissimis ea quibus non egent per se ipsa præbentia; sicut et bonum et sapiens et justum atque humanum et ejusmodi prædicamenta, tametsi alia actionem aut passionem subjecti indicant, alia exsistentiam et substantiationem, vel passiones et actiones. Nam si horum prædicatorum quodlibet secundum utramque dictorum partem subjectis suæ prædicationi individuis cumulum de suo adjiceret aut e corporibus coacervatum aut e proprietate qualitatum deductam, vel corporum naturas vel si vis incorporeorum accessiones congereret: quid, quæso, a portentosis figmentis et spectris ejusmodi sententia discreparet? Si vero quis corporis voce gaudens et a corporea notione non recedens corpora vocare vult genera et species, quæ de individuis corporibus prædicari dicuntur, nil ei reluctabimur; nam corpus hoc pacto dictum omnes prædictas ansas plene ac pure effugit, ac per vocabuli unius conversionem (*l.* concessionem) mentem ejus qui philosophari cupit, curare, nunquam, opinor, apud æquos judices absurdum censebitur.

10. Verum hæc quidem est compendiosa ac secundum tuam petitionem suscepta de subalternis generibus ac speciebus, quæ de individuis corporibus prædicari dicuntur, disceptatio, quæ, ut equidem censeo, haud ignobiliorem doctrinam tradit, quam ille qui Stagiris oriundus universam Græciam in dulcem suæ sapientiæ admirationem rapuit, de iis ipsis philosophico more disseruit·

A νοήματα παντως ἀσώματα· τίς δ' ἂν ἐξ ὧν ἐννοήσει μεταποιήσει (26) τὰ σώματα πρὸς τὸ ἀσώματον; Πότερον δὲ ὡς ἐνόησαν, οὕτω καὶ τοῖς ὑποκειμένοις ἡρμόσαντο; καὶ πῶς οὐ κατηγοροῦσι τῶν σωμάτων τὰ ἀσώματα; Εἰ δ' ὡς ἀπ' ἀρχῆς ἔλαβον, οὕτω πάλιν καὶ τοῖς ὑποκειμένοις ἡρμόσαντο, μάτην αὐτοῖς ἐκοπίασε μεταβάλλουσα τὸ ἀμετάβλητον ἡ διάνοια καὶ φαντασιῶν ἡμῖν ἀναπλάττουσα σχήματα· ἀλλὰ γὰρ καὶ αὐτοῖς τοῖς πράγμασιν αὐτὰ, ὥς φασι, συναρμόττοντες καὶ διὰ ταῦτα τῶν σωμάτων οὐκ ἀποστεροῦντες, πότερον ἐννοοῦντες ταῦτα περιάπτουσιν, ἢ μάτην καὶ ὡς ἂν ἐπέλθοι τὴν συνάφειαν ταύτην σχεδιάζουσιν; Ἀλλ' ἑκάτερον, οἶμαι, σφαλερόν· τὸ μὲν γὰρ ἀναιρεῖ τὸ ἀντικείμενον, ὃ διὰ τῆς ἐννοίας ἔλεγεν εἰς ἀσώματον οὐσίαν μεταπίπτειν τὰ σώματα,

B τὸ δὲ ληροόντων καὶ γέλωτος.

θ'. Τίς οὖν ὁ λόγος ὁ ταύτας πάσας διαφεύγων τὰς λαβάς, εἴρηται μὲν ἐμφαντικώτερον ἴσως καὶ πρόσθεν, καὶ νῦν δὲ τρανότερον λεγέσθω. Σωματικὰ μέν ἐστι τὰ γένη καὶ εἴδη τῶν σωμάτων, οὐ σώματα δέ· καὶ δηλωτικὰ τῶν ὑποκειμένων, οὐ δηλούμενα δέ· καὶ ἀναπτύσσοντα τὴν ὕπαρξιν τούτων, οὐχ ὑφιστῶντα δέ· καὶ τῶν ἐν αὐτοῖς μερῶν τὴν οὐσίωσιν ἀπαγγέλλοντα, οὐ παρέχοντα δέ· καὶ ὀνόματα κατ-αλλήλοις νοήμασι καὶ οἰκείοις τῶν ὑποκειμένων τὰς ὑποστάσεις σημαίνοντα, οὐ τοῖς ὧσι καὶ αὐταρκεστάτοις ὧν μὴ δέονται ταῦτα δι' ἑαυτῶν παρεχόμενα· ὥσπερ δὴ καὶ τὸ ἀγαθὸν καὶ τὸ σοφὸν καὶ δίκαιον καὶ φιλάνθρωπον καὶ τὰ τοιαῦτα κατηγορήματα, εἰ καὶ τὰ μὲν ἐνέργειαν ἢ πάθος τοῦ ὑποκειμένου δη-

C λοῖ, τὰ δὲ τὴν ὕπαρξιν καὶ οὐσίωσιν ἢ τὰ πάθη καὶ τὰς ἐνεργείας. Εἰ γὰρ ἕκαστον τῶν κατηγορουμένων καθ' ἑκατέραν τῶν εἰρημένων μερίδα σωρὸν οἰκοθεν τοῖς ὑποκειμένοις ἢ τὸν ἐπινοούμενον διὰ σωμάτων, ἢ τὸν ἀπὸ τῆς ἰδιότητος τῶν πεποιωμένων· εἰ τούτων ἕκαστον τοῖς ὑπὸ κατηγορίαν ἀτόμοις τελοῦσιν ἢ σωμάτων φύσεις, εἰ βούλει δὲ ἢ ἀσωμάτων ἐνετίθεσαν (27) καὶ συνεφορτίζοντο προσθήκας (28), τί ἂν τῶν τερατωδῶν πλασμάτων τε καὶ φασμάτων ἡ ταῦτα παραδεχομένη διέφερε δόξα; Εἰ δέ τις τῇ τοῦ σώματος χαίρει φωνῇ καὶ τῆς σωματικῆς ἐννοίας οὐκ ἀφιστάμενος σώματα καλεῖν ἐθέλοι τὰ γένη καὶ τὰ εἴδη, ἃ τῶν ἀτόμων σωμάτων κατηγορεῖσθαι λέγεται, οὐδὲν πρὸς αὐτὸν διοισόμεθα· τὸ γὰρ οὕτω λε-

D γόμενον σῶμα λαβὰς ἁπάσας τὰς προειρημένας καθαρῶς διαπέφευγε, καὶ φωνῆς ἐνδόσει διάνοιαν φιλοσοφεῖν ἐθέλοντος θεραπεύειν οὐκ ἂν, οἶμαι, φιλανθρωπίας κρινούσης νομισθείη παράλογον.

ι'. Ἀλλὰ τοιαῦτα μὲν ἡ κεφαλαιώδης καὶ κατὰ τὴν σὴν ἀξίωσιν περὶ τῶν ὑπαλλήλων γενῶν καὶ εἰδῶν, ἃ τῶν ἀτόμων λέγεται κατηγορεῖσθαι σωμάτων, διατύπωσις· οὐκ ἀκομψοτέραν, οἶμαι, προβαλλομένη θεωρίαν, ἢ ὁ τὰ Στάγειρα λαχὼν πατρίδα καὶ τὴν Ἑλληνίδα πᾶσαν εἰς θαῦμα γλυκὺ τῆς αὐτοῦ σοφίας ἐπιτρέψας περὶ αὐτῶν ἐφιλοσόφη[φει?-φησε?]· τοῦτο μὲν μετὰ πολλὴν περὶ τῶν γενῶν καὶ εἰδῶν

NOTÆ.

(26) Vat. : μεταποιήση.

(27) Sic Vat.; Catif. Ap. ἀνετίθεσαν correct. postea.

(28) Cat. πρὸς θήκας.

Digitized by Google

σχολὴν καὶ τριβὴν τερετίσματα ταῦτα καλέσας, καὶ τῶν πολλῶν περὶ αὐτὰ πόνων ὥσπερ ποινὴν ἀπαιτεῖν αὐτὰ τὴν ὕβριν ὠρμημένος, τοῦτο δὲ καὶ εἰς τὸ μηδὲν τὸ τηλικοῦτον ἀποῤῥιψάμενος σπούδασμα. Ἡ μέντοι γε τῶν δέκα γενῶν προσεχὴς καὶ ἄμεσος τῶν ὑπ' αὐτὰ τελούντων κατηγορία (ἔχει γάρ τι καὶ αὐτὴ βαθύτερον, οἶμαι, τῆς τῶν παλαιοτέρων δόξης καὶ φιλοσοφίας) ἑτέρας ἔτυχεν ἀκριβεστέρας ἐπισκοπῆς, ἔτι ταῖς διαλεκτικαῖς ἐνασχολουμένων ἡμῶν μελέταις, ἡνίκα καὶ πολλοὺς παῖδας ὠδίνοντες οἱ λόγοι εἰς φῶς ἀπέτικτον τῆς πολλοῖς χρόνοις δι' ἐπινοίας ἀνδρῶν παρανόμων ἐναποσβεσθείσης θεωρίας· ἐκεῖθεν οὖν καὶ ἀπ' ἐκείνης τῆς γυμνασίας, ἃ πολλῶν ἔμπροσθεν ἔλαθε τὴν σπουδὴν, ταῦτα ῥᾷόν ἐστι τοῖς νῦν ἀπὸ τῆς ἱερᾶς ἐκείνης γονῆς φιλοσοφοῦσιν· εἴη δὲ τοῖς μεθ' ἡμᾶς καὶ ἀνθούσης καὶ ἐνωραϊζομένης σὺν τῷ δικαίῳ λόγῳ λέγειν ἁλαζονείας τε πόῤῥω καὶ δὴ καὶ οὐ νεμεστητόν.

A qui modo post multum studium longamque exercitationem circa genera et species inanes citharæ strepitus ista vocavit et diuturni circa ea laboris quasi pœnam exigere per hanc contumeliam censuit, modo autem etiam quia in nihilum ejusmodi studium ac laborem dejecit. Proxima vero et immediata decem generum, quæ sub ipsa cadunt, prædicatio (habet enim et ipsa profundius quidpiam, quam veteres senserint et tractarint) aliam eamque accuratiorem nacta est disquisitionem, cum adhuc dialecticis vacaremus studiis, quando et multos filios in lucem ediderunt libri explicantes doctrinam multis jam annis solerti iniquorum virorum consilio exstinctam; inde igitur et ex illa exercitatione quæ plurium antea studia effugerunt, B hæc facilius desumere poterunt, qui nunc ex sacra illa sobole philosophantur. Quam sobolem utinam posteri et florentem et ornatam justa cum ratione citra fastum atque invidiam appellare queant!

ΕΡΩΤΗΣΙΣ ΟΗ'.

Ἀπορίαι καὶ λύσεις [τῶν] ἐκ τοῦ περὶ Υἱοῦ δευτέρου λόγου (29) τοῦ Θεολόγου Γρηγορίου ἀντιῤῥητικῶν καὶ δογματικῶν ἱερῶν ζητημάτων.

QUÆSTIO LXXVIII. [*al. Coisl. Taur.* CI].

Difficultates et solutiones dogmaticarum et antirrheticarum quæstionum ex Gregorii Theologi Oratione secunda de Filio.

Nunc primum edita a D. Hergenrœther.

α'. Οὐκ ἠξίουν ἔγωγε ῥημάτων πατρικῶν διάνοιαν εἰς μάθησιν ἐλθεῖν ἐπιζητεῖν, ὃν ὅ τε χρόνος καὶ τὸ περὶ τὰς λογικὰς ἐφόδους φιλόπονον καὶ τῶν ἱερῶν Λογίων ἡ σχολὴ ἑτέροις προκαθίζουσι πολλῶν καὶ καλῶν μαθημάτων διδάσκαλον· πλὴν ἐπεί σοι, καθάπερ τῶν παίδων οἱ φιλοπάτορες, κἂν ἤδη καθ' ἑαυτοὺς ἀκριβῶς τὸ πρακτέον συνορῶσιν, ὅμως τοῖς πατρικοῖς βουλεύμασιν ἐπιστηρίζεσθαι θέλοντες εἰς αὐτοὺς ἀφορῶσιν, οὕτως καὶ αὐτὸς αὐτάρκης ὢν ἐπιλύεσθαι τὰς ἀνακυπτούσας λογικὰς ἀμφισβητήσεις, πρὸς τὴν C ἡμετέραν ὅμως ἀφορᾷν ἔκρινας γνώμην, καὶ τὸν φιλοπάτορα μὴ καθυβρίζειν ἐδοκίμασα, καὶ τὸ περὶ τὰ τέκνα τιμᾷν οὐχ ἧττον εἰλόμην φιλόστοργον· διὸ καὶ τοῦ καιροῦ τὸ βαρύτατον καὶ τῶν ὑπογραφέων τὸ ἄπορον τὸ ἧττον ἔσχε ῥᾳδιούργημα πράττειν τῆς αἰτήσεως βιαζόμενον.

1. Non id ego mihi arrogavero, ut a me tibi explicari SS. Patrum verba peteres, quem et ætas et rationalium artium studium et sacrorum eloquiorum exercitatio aliis præficiunt multarum nobiliumque disciplinarum præceptorem. Quoniam tamen tu, ut filii genitorum amantes, tametsi per se ipsos optime quid sibi faciendum percipiant, tamen paternis consiliis inniti cupientes in ipsos respiciunt, ita et tu ipse, cum sufficias emergentibus ambiguitatibus dissolvendis, nostram tamen sententiam requiris, statui et tuo in patrem amori non esse injurius et simul meæ in filios dilectioni indulgere. Idcirco et molestissima temporis iniquitas et scribarum penuria non potuit me ab obsequendo postulatis tuis deterrere.

β'. Τοῦ μὲν οὖν προτεθέντος σοι ζητήματος (30) ὁ νοῦς σαφής τε καὶ οὐδεμιᾶς ἑρμηνείας, οἶμαι, δεόμενος· ἡ δὲ τοῦ λόγου συμπλοκὴ ἔχει τι συνεστραμμένον καὶ δεόμενον εἰς διάλυσιν ἐπισκέψεως. Καὶ γὰρ καὶ *ὁ Θεὸς* καὶ *ὁ Πατὴρ* ἐπὶ τοῦ ἐνανθρωπήσαντος Λόγου ῥηθείη ἄν, ἀλλὰ Πατὴρ μὲν κυρίως τοῦ Λόγου, Θεὸς δὲ κυρίως τοῦ προσλήμματος· ὥσπερ καὶ Θεὸς μὲν οὐ κυρίως τοῦ Λόγου, οὐδὲ Πατὴρ τοῦ προσλήμματος· ὥστε καὶ τὸ *κυρίως* καὶ *οὐ κυρίως* ἐπί τε τοῦ Πατρὸς, φημὶ, καὶ τοῦ Θεοῦ εὑρίσκεται προαγόμενον· τὸ

2. Quæstionis itaque a te propositæ sensus clarus est nec ulla, puto, indiget interpretatione; orationis tamen complexio habet quid convolutum, quod bene expendi debet ut dissolvatur. Etenim et *Deus* et *Pater* de incarnato Verbo affirmari potest; at Pater quidem proprie Verbi, Deus vero proprie assumptæ humanitatis, sicuti nec proprie dicitur Deus Verbi nec Pater assumptæ humanitatis; D quare voces istæ *proprie* et *non proprie* de Patre et de Deo reperiuntur prolatæ; vox quidem *proprie*,

NOTÆ.

(29) Apud Montfaucon ex cod. Coisl. titulus mendose incipit: Ἐκ τοῦ περὶ τοῦ β' λόγου.

(30) Quæstio versatur circa hæc Gregorii Nazianzeni verba ex Orat. 2 de Filio sive 4 de Theol. (Orat. 36 ed. Bill. p. 582; Orat. 30, c. 8, p. 545, ed. Clem.): Θεὸς δὲ λέγοιτο ἄν, οὐ τοῦ Λόγου, τοῦ ὁρωμένου δέ· πῶς γὰρ ἂν εἴη τοῦ *κυρίως* Θεοῦ Θεός; ὥσπερ καὶ Πατὴρ, οὐ τοῦ ὁρωμένου, τοῦ Λόγου δέ· καὶ γὰρ ἦν διπλοῦς· ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, τὸ δὲ οὐ κυρίως ἐναντίως ἢ [al. δὲ] ἐφ' ἡμῶν ἔχει· ἡμῶν γὰρ κυρίως μὲν Θεὸς ὁ Θεὸς, οὐ κυρίως δὲ Πατήρ· καὶ τοῦτό ἐστιν ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐπαλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν. Ad textum Joan. xx, 17 hæc pertinent. Hunc Greg. locum explanat S. Maximus *De variis et difficilibus locis*; ed. Fr. Oehler, Halis, 1857 p. 248-252.

Digitized by Google

quando Pater Verbo adjungitur et Deus assumptæ humanitati, vox vero *non proprie* vicissim, quando Deus redditur Verbo et Pater assumptæ humanitati. Talis est igitur sententia, quæ, ut vides, nihil habet obscurum. Plexus autem orationis quomodo resolvetur, nisi accipiendo verba illa ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, nempe ut alterum quidem proprie de utroque dicatur, non seorsim, nec vocem *Deus*, nec vocem *Pater* de uno aliquo subjectorum, neque de ambobus; sed referendo horum utrumlibet ad utrumlibet subjectorum, Patrem quidem reddentes Verbo, Deum vero assumptæ humanitati; ita pariter verbum illud *non proprie* non determinate unum aliquod prædicatorum sumendo de uno aliquo subjectorum, nec de ambobus, sed utraque ad utrumlibet subjectorum, per alternationis tamen rationem, vel sicut de voce illa *proprie* dicebatur. Quando enim Deus esse Verbi reperitur, et Pater assumptæ humanitatis, significatio non propria subjicitur. Apparet autem voces istas *proprie* et *non proprie* contra quam in rebus nostris adhibentur se habere. Nam in ineffabili Verbi carnisque unione *Pater* quidem de Verbo *proprie* dicitur, *Deus* vero *non proprie*; in nostra autem natura ex adverso Deus quidem *proprie* affirmatur, Pater autem *non proprie*. Atque id est, quod quæsieras, vis nempe vocis illius ἤ non disjunctionem significans nec aliud quidquam ex iis, in quæ dividi consuevit, sed declarativum amplectens characterem munusque explens vocis παρό (contra quam, contra id quod). Poterit autem oratio clarius efformari, si quis verba transsumens dicat: Quare vox quidem *proprie* ab alterutra conjugationum sumpta, vox vero *non proprie* ab altera, contra quam apud nos se habent. Resultabat enim tum vox *proprie*, tum vox *non proprie* ex tali quadam prædicatorum subjectorumque complexione. Sumens autem voces illas *proprie* et *non proprie*, quæ jam ex se ipsis subintelligebantur (studet enim si quis alius Theologus iste brevitati) et ad resultantes ex his conjugationes mentem auditorum remittens subjunxit illud: *Contra quam apud nos*. Etenim utramque complexionem, quæ ex vocibus *proprie* et *non proprie* conflatur, sensus verborum illorum *contra quam in nobis est* amplecti cernitur. Vult autem hæc orationis pericope docere, nihil obstare, quominus *proprie* et *non proprie* de Verbo dicatur, quandoquidem etiam de nobis, licet sensu opposito, utrumque affirmatur. Ibi enim vox *Deus* non proprie, dicitur, sed *Pater*; hic vero non *Pater* proprie sed *Deus*.

3. In diagrammate autem clarius innotescunt quæ diximus; ponendo quidem superius *Patrem* et *Deum*, subjiciendo autem Patri *Verbum*, et Deo *humanitatem*, et lineas ex adverso producendo, quæ Verbo conjungant Patrem et Deum humanitati; nec

A μὲν *κυρίως* τοῦ Πατρὸς τῷ Λόγῳ συνταττομένου καὶ τοῦ *Θεὸς* τῷ προσλήμματι· τὸ δὲ *οὐ κυρίως* ἔμπαλιν, τοῦ μὲν *Θεὸς* ἀνταποδιδομένου τῷ Λόγῳ, τοῦ δὲ *Πατὴρ* τῷ προσλήμματι. Τοιαύτη μὲν οὖν καὶ, ὡς ὁρᾷς, οὐδὲν ἀσαφὲς παρέχεται ἡ διάνοια· ἡ δὲ πλοκὴ τοῦ λόγου πῶς ἂν ἐπιλυθείη, ἢ λαμβανόντων ἡμῶν διὰ τοῦ *ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν* οὐκ ἀνὰ μέρος, οὔτε τὸ *Θεὸς* οὔτε τὸ *Πατὴρ* καθ' ἑνός τινος τῶν ὑποκειμένων, οὐδὲ κατ' ἄμφω· ἀλλ' ἑκατέρου τούτων πρὸς ἑκάτερον τῶν ὑποκειμένων, τοῦ μὲν Πατρὸς τῷ Λόγῳ, τοῦ δὲ Θεὸς ἀποδιδομένου τῷ προσλήμματι· ὡσαύτως δὲ καὶ τὸ *οὐ κυρίως* οὐκ ἀφορισμένως ἑνός τινος τῶν κατηγορουμένων λαμβανομένου καθ' ἑνός τινος τῶν ὑποκειμένων, οὐδὲ κατ' ἄμφω, ἀλλ' ἄμφω μὲν πρὸς ἑκάτερον τῶν ὑποB κειμένων, κατὰ δὲ τὸν λόγον τῆς ἐναλλαγῆς, ἢ ὡς ἐπὶ τοῦ *κυρίως* ἐλέγετο. Ὁ γὰρ Θεὸς εἶναι τοῦ Λόγου κατηγορούμενος καὶ ὁ Πατὴρ τοῦ προσλήμματος τὴν τοῦ *μὴ κυρίως* σημασίαν ὑποβάλλεται. Ἔοικε δὲ τὸ *κυρίως* καὶ τὸ *μὴ κυρίως* σημασίαν παρὼ κεχρήμεθα τούτοις ἐφ' ἡμῶν ἐναντίως ἔχειν. Ἐν μὲν γὰρ τῇ ἀῤῥήτῳ τοῦ Λόγου συνόδῳ καὶ τῆς σαρκὸς τὸ μὲν *Πατὴρ* κατὰ τοῦ Λόγου κυρίως λέγεται, τὸ δὲ *Θεὸς* οὐ κυρίως· ἐπὶ δὲ τῆς καθ' ἡμᾶς φύσεως ἔμπαλιν τὸ μὲν *Θεὸς* κυρίως, οὐ κυρίως δὲ τὸ *Πατήρ*. Καὶ τοῦτό ἐστιν ὅπερ ἠρώτησας, ἡ τοῦ ἤ δύναμις, οὐ διάζευξιν δηλοῦσα οὐδέ τι ἄλλο τῶν εἰς ὅσα καταμερίζεσθαι πέφυκεν, ἀλλὰ τὸν διασαφητικὸν ἀσπαζομένη χαρακτῆρα καὶ τὴν τοῦ *παρὸ* (31) χρείαν ἀναπληροῦσα. Εἴη δ' ἂν ὁ λόγος ἐσχηματισμένος εἰς τὸ σαφέστερον, εἴ τις ἐθέλοι μεταλαβεῖν καὶ λέγειν· ὥστε C τὸ μὲν *κυρίως* ἀπὸ θατέρας τῶν συζυγιῶν λαμβανόμενον, τὸ δὲ *οὐ κυρίως* ἀπὸ τῆς ἑτέρας, ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει· συνίστατο μὲν γὰρ τό τε *κυρίως* καὶ τὸ *οὐ κυρίως* ἐκ τῆς ποιᾶς συμπλοκῆς τῶν κατηγορουμένων καὶ ὑποκειμένων, αὐτόθεν δὲ συνεπινοούμενον. Λαβὼν τό τε *κυρίως* ἑκάτερον καὶ τὸ *οὐ κυρίως* (φιλοσύντομος γὰρ εἰ καί τις ἄλλος ὁ θεωρητικὸς οὗτος ἀνὴρ) καὶ πρὸς τὰς ἐκ τούτων ὑφισταμένας συζυγίας τὸν νοῦν τῶν ἀκροατῶν ἀναπέμπων ἐπήγαγε τὸ *ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει*· καὶ γὰρ ἑκατέραν συμπλοκὴν τὴν ἐκ τοῦ *κυρίως* καὶ τοῦ *μὴ κυρίως* ἀποτελουμένην ὁ νοῦς τοῦ *ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει* ὁρᾶται περιπτυσσόμενος· βούλεται δὲ ἡ περιD κοπὴ τοῦ λόγου διδάσκειν αὕτη, ὡς οὐδὲν κωλύει καὶ τὸ *κυρίως* καὶ τὸ *οὐ κυρίως* ἐπὶ τοῦ Λόγου λέγεσθαι, ἐπεὶ καὶ ἐφ' ἡμῶν, εἰ καὶ κατὰ διάνοιαν ἀντιτεταγμένην, ἅμφω θεωρεῖται. Ἐκεῖ μὲν γὰρ τὸ *Θεὸς* οὐ κυρίως, ἀλλὰ τὸ *Πατὴρ*, ἐνταῦθα δὲ οὐ τὸ *Πατὴρ* κυρίως, ἀλλὰ τὸ *Θεός*.

γ'. Ἐπὶ δὲ διαγράμματος γένοιτ' ἂν σαφέστερον ἔχοντα τὰ εἰρημένα· προτασσομένων μὲν τοῦ *Πατὴρ* καὶ *Θεὸς*, ὑποτασσομένων δὲ τῷ μὲν Πατρὶ τοῦ Λόγου, τῷ Θεῷ δὲ τοῦ προσλήμματος, καὶ γραμμῶν ἐκ παραλλήλου προαγομένων, αἱ συνάπτουσι τῷ

NOTÆ.

(31) Vat. παρά.

Digitized by Google

Λόγῳ τὸν Πατέρα καὶ τὸν Θεὸν τῷ προσλήμματι, καὶ μὴν καὶ γραμμῶν ἄλλων εὐθειῶν γραφομένων ἀφ' ἑκατέρας ἀρχῆς τῶν παραλλήλων πρὸς ἑκάτερον πέρας συναπτομένων καὶ χιασμὸν (32) μέν τινα πρὸς ἄλληλα σχηματιζομένων, διαγώνιον δὲ θέσιν πρὸς τὰς παραλλήλους ἑκατέρας ἀναδεχομένης. Δῆλον γὰρ ἐντεῦθεν, ὡς κατὰ μὲν τὴν παράλληλον τῶν εὐθειῶν θέσιν ὅ τε Πατὴρ τοῦ Λόγου Πατήρ, καὶ ὁ Θεὸς τοῦ προσλήμματος Θεὸς ἂν ὀφθείη κυρίως λεγόμενος, κατὰ δὲ τὴν συνάφειαν τοῦ χιασμοῦ καὶ ὁ Θεὸς Θεὸς τοῦ Λόγου καὶ ὁ Πατὴρ οὐ κυρίως ἂν ῥηθείη Πατὴρ τοῦ προσλήμματος. Εἰ δὲ τὸ μὲν ἐκ παραλλήλου λάβοις, τὸ δὲ κατὰ τὴν διαγώνιον γραμμήν, καὶ τοῦτο καθ' ἑκατέραν συζυγίαν, δι' ἀμφοτέρων δῆλον τό τε *κυρίως* ἅμα καὶ *οὐ κυρίως* ἀναφυόμενον· καὶ γὰρ ὁ μὲν Πατὴρ τοῦ Λόγου κυρίως, ὁ δὲ Θεὸς οὐ κυρίως· καὶ πάλιν ὁ μὲν Πατὴρ τοῦ προσλήμματος οὐ κυρίως, ὁ δὲ Θεὸς κυρίως. Τεσσάρων οὖν συζυγιῶν ἐνδιπλασμῶν θεωρουμένων, μιᾶς μὲν τῶν ἐκ παραλλήλου, ἑτέρας δὲ τῶν κατὰ χιασμὸν, δυοῖν δ' ὑπολοίπων, ὧν ἑκατέρα διὰ μιᾶς μὲν τῶν διαγωνίων, θατέρας δὲ τῶν ἐκ παραλλήλου συμπλεκομένων ἀλλήλαις ἀποτελεῖται, φανερὸν, ὡς τὸ *ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει* πρὸς ἑκατέραν τῶν τελευταίων ἀποδοθήσεται· καὶ γὰρ ἐπὶ τούτων ὁ Πατὴρ τῷ Λόγῳ καὶ τῷ προσλήμματι συναπτόμενος, τῷ μὲν Λόγῳ κυρίως, οὐ κυρίως δὲ τῷ προσλήμματι συναρμόζεται· ὡσαύτως δὲ καὶ τὸ *Θεὸς* κυρίως τοῦ προσλήμματος, οὐ κυρίως δὲ τοῦ Λόγου Θεὸς εἶναι περιαγγέλλεται. Οὕτω τοιγαροῦν ἡμῶν ἐπισκοπούντων τὸ μὲν τῆς συζυγίας κυρίως, τὸ δὲ οὐ κυρίως ἔχον ἀναφανήσεται, καὶ τοῦτο οὐ μονοειδῶς, ἀλλ' ἐν σχέσει καὶ συναφείᾳ παραλλαττούσῃ διπλασίονι· καὶ δῆλον, ὡς ἑκατέρας τῶν συζυγιῶν ἑκάτερον τοῦ *κυρίως* καὶ τοῦ *οὐ κυρίως* ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει· καὶ ἐπειδὴ ἐπεζεύχθη τὰ ὀνόματα, τὸ *Θεὸς* λέγω καὶ *Πατὴρ*, διὰ τῆς τοῦ *κυρίως* οἰκειώσεως, ἐπεζεύχθη δὲ οὐδὲν ἧττον καὶ διὰ τῆς τοῦ *μὴ κυρίως* συναρτήσεως, εἰ βούλει δὲ καὶ διότι ἐπὶ τῆς αὐτῆς ὑποστάσεως, εἰ καὶ μὴ ὁμοίως φέρεται, πρόφασις γέγονε τοῖς αἱρετικοῖς τὸ τοιοῦτον εἰς τὸ κρατύνειν αὐτῶν μετὰ προσωπείου τὸ δυσσέβημα κλεπτόντων μὲν τὸ *κυρίως* καὶ τὸ *οὐ κυρίως*, σεσυλημένα δὲ προφερόντων ὡς ἂν βούλοιντο τὸ *Πατὴρ* καί γε τὸ *Θεὸς* ἐφ' ἑκατέρας τῶν καθ' ὑπόστασιν ἡνωμένων φύσεων πρὸς τὴν τῆς ἰδίας βλασφημίας σύστασιν. Ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα ὁ τῆς φιλοσόφου θεωρίας διέξεισι λόγος.

non alias rectas lineas scribendo, quæ ex utroque parallelorum initio ad terminum utrumque copulentur, et chiasmum quemdam ad invicem efformet, utraque tamen diagonalis ad parallelas statuatur. Hinc enim perspicuum fit, quod in parallelo rectarum linearum et Pater Verbi Pater, et Deus humanitatis assumptæ Deus *proprie* dicitur; in conjunctione autem chiasmi et Deus Verbi Deus et Pater humanitatis Pater *non proprie* dicitur. Quod si alterum quidem secundum parallelam lineam, alterum vero secundum diagonalem sumas, idque secundum utramque conjugationem, utrinque prodire videbis et propriam simul et minus propriam acceptionem. Etenim Pater quidem Verbi proprie, Deus autem minus proprie, et rursum Pater quidem assumptæ humanitatis minus proprie, Deus vero proprie. Cum igitur quatuor conjugationes duplicatæ considerentur, una quidem linearum parallelarum, altera vero linearum chiasmi (intersectarum), et aliæ duæ, quarum quælibet ex una diagonalium et alia parallelarum inter se complicatis resultat, manifeste apparet, quod verba illa *contra quam apud nos usu venit*, ad utramlibet postremarum reddenda sunt. In his enim *Pater* Verbo et assumptæ humanitati copulatus Verbo quidem proprie, humanitati autem assumptæ minus proprie coaptatur; ita vero et vox *Deus* proprie humanitatis assumptæ, minus proprie Verbi esse pronuntiatur. Sic igitur his a nobis consideratis, alteram quidem conjugationem proprie, alteram vero minus proprie accipi apparebit, idque non una simplicique forma, sed in habitudine et copulatione variante gemina. Et patet, in utralibet conjugatione utramlibet proprii et minus proprii rationem contra quam apud nos sit se habere. Et quoniam copulata fuerunt nomina, Deus inquam et Pater, per hujus adverbii *proprie* adjectionem, copulata tamen nihilominus fuerunt per adverbii *non proprie* colligationem, vel si vis etiam, quia illa de eadem hypostasi, licet non similiter, efferuntur, id ansa exstitit hæreticis ad confirmandam cum fraude suam impietatem, auferentibus quidem voces illas *proprie* et *improprie* doloque sacrilego ad suum proferentibus libitum vocem illam *Patris* et *Dei* supra utramlibet naturarum hypostatice unitarum, ut suam blasphemiam stabiliant. Verum hæc quidem ita ex catholicæ fidei doctrina explicantur.

A

B

C

D

NOTÆ.

(32) Chiasmus est figura formam litteræ x exhibens. In cod Vat. schema a Photio designatum ascriptum est:



Digitized by Google

4. De illo autem, *Nunc ego mentior*, etc., puto te ad rei narrationem illico memoriam revocaturum. Cum enim ego olim in dialecticis exercitationibus artes topicas explicarem auditoribus, quorum ipse non infimus, imo in disputando eras præcipuus, librum integrum de hac quæstione elucubravimus, quem etiam scribendum tunc volentibus quibusque permisimus. Unde oportet tu quoque istum reperiens ac pervolvens, si quid de hac controversia te præterivit, in memoriam revoces. Non erit tamen, opinor, supervacaneum nec subibit ambitionis notam, nunc quoque in tui gratiam pauca de eadem re verba facere.

A δ'. Περὶ δὲ τοῦ, *Νῦν δ' ἐγὼ ψεύδομαι* καὶ ἑξῆς (33), εἰς μνήμην οἶμαί σε μὴ βραδύτερον τῆς ἱστορίας ἐλθεῖν διηγουμένης· καὶ γὰρ πάλαι ποτὲ κατὰ τὰς διαλεκτικὰς συγγυμνασίας τὰς τοπικὰς μεθόδους ἀναπτύσσοντός μου τοῖς ἀκροωμένοις, ὧν καὶ αὐτὸς οὐδὲ τῶν τυχόντων, ἀλλὰ τῶν μάλιστα συζητούντων ἦσθα, ἱκανῶς ἔχων λόγος περὶ τούτου τοῦ ζητήματος κατεβλήθη· ἐφ' ᾧ καὶ γεγραμμένον ἔχειν τηνικαῦτα τοῖς βουλομένοις ἐξεδόθη καὶ χρή σε τοῦτον ἀνερευνησάμενον καὶ εὑρόντα, εἴ τί σε διέλαθε περὶ τῆς προκειμένης ἀμφισβητήσεως, ἀνακτήσασθαι τῇ μνήμῃ. Πλὴν καὶ νῦν ὡς ἐν τύπῳ σὴν χάριν οὐ περιττὸν οὐδὲ φιλότιμον οἶμαι εἰπεῖν.

5. Gregorius, qui de rebus divinis excellentissime disseruit, cum Eunomiani arbitrarentur posse se ex logico discursu incomprehensibilium comprehensionem quasi rem aliquam minimam venari ac prædari, ac per contradictoriam illam interrogationem, ut putabant, coæternum Patris Verbum cum rebus postmodum factis collocare auderent, divinus, inquam, (ἡμί?) Gregorius concedens interrogationem illam per contradictionem processisse (quanquam non ita res erat, sed ambæ oppositionis partes per affirmationem efferebantur, etsi altera illarum vocem simplicem, altera ex transpositione gerebat formam), hoc tamen neglecto, ne videretur artificiis et argutiis gloriari, qui nullum his in rerum divinarum tractatione dabat aditum, contra ipsammet illorum arcem validos veritatis arietes constituit, et rerum evidentia potius quam objectionis exceptione clamat, quod non omnino vestrum, o viri sapientissimi, contradictionis perfugium exigit ut altera propositionum admittatur, quod vobis invictum contra veritatem videbatur argumentum; neque est ejusmodi ratiocinationis æquissima et rectissima dijudicatio. Cumque id adversariis reposuisset, adfert exempla ista: *Nunc ego mentior*, et, *tibi nascenti aderas*, et alia hujus generis, ostendens non esse omnino necessarium, ut altera contradictionis admittatur pars; sed potest, ut in allatis exemplis, aliquando (quis) utramque inficiari et repudiare et aliud tertium excogitare, in quo emicare veritas conspiciatur. Ac poterat quidem Gregorius ex logicæ præceptis distinguere, quænam contradictoriarum verum ac falsum dirimant, et quænam non; quia tamen de Deo disserere, non autem artis ornatum ostentare sibi erat propositum, et hæreticos ar-

C ε'. Ὁ τὰ θεῖα θεολογήσας ὑπερφυῶς Γρηγόριος τῶν ἀπ' Εὐνομίου τὴν κατάληψιν τῶν ἀκαταλήπτων ἐκ τῆς λογικῆς ἐντρεχείας οἰομένων ὥσπερ τι τῶν πολλῶν ὑπὸ θήραν ποιεῖν καὶ προνομεύειν καὶ διὰ τῆς ἀντιφατικῆς ἐρωτήσεως, ὡς ᾤοντο, τὸν συναΐδιον τοῦ Πατρὸς Λόγον ὕστερον καὶ τοῖς γεγονόσιν ἕνα συντάττειν θρασυνομένων, συγχωρήσας εἶναι, τὸν ἐρωτηθέντα λόγον, ὁ θεῖος Γρηγόριος, δι' ἀντιφάσεως προελθεῖν, καίτοι γε οὐχ οὕτως εἶχεν, ἀλλ' ἄμφω τὰ μέρη τῆς ἀντιθέσεως πρὸς τὸ καταφατικὸν διετυποῦτο, εἰ καὶ ἡ μὲν τῶν φωνῶν τὴν ἁπλῆν, ἡ δὲ τὴν ἐκ μεταθέσεως ἔφερε μορφήν· πλὴν ἀλλὰ τοῦτό γε παριδών, ἵνα μὴ δόξῃ ταῖς τεχνολογίαις ὁ ταύταις πάροδον ἐπὶ Θεοῦ καὶ θεολογίας μὴ διδοὺς ἐπισεμνύνεσθαι, κατ' αὐτῆς αὐτῶν τῆς ἀκροπόλεως τὰς τῆς ἀληθείας ἐφίστησιν ἐλεπόλεις καὶ τῇ ἐναργείᾳ τῶν πραγμάτων μᾶλλον ἢ τῇ τῶν ῥημάτων ἀνθυποφορᾷ βοᾷ, ὡς Οὐ πάντως, ὦ σοφώτατοι, τὸ τῆς ἀντιφάσεως ὑμῶν καταφύγιον θατέραν ἀπαιτεῖ συνομολογεῖν τῶν προτάσεων· δι' ὅπερ ὑμῖν κατὰ τῆς εὐσεβείας τὸ θράσος ἐδόκει ἅμαχον· οὐδέ ἐστιν αὐτῆς ἀδέκαστος ἡ διάκρισις. Καὶ τοῦτο ἀνθυπενεγκὼν τίθησι παραδείγματα, τό τε, *Νῦν ἐγὼ ψεύδομαι*, καὶ τὸ, *Σαυτῷ δὲ γενομένῳ παρῆς*· καὶ ὅσα τοιαῦτα, δεικνὺς ὡς οὐ πάντως τὸ ἕτερον τῆς ἀντιφάσεως ἀνάγκη συνομολογεῖν, ἀλλ' ἔσθ' ὅτε δυνατὸν ὥσπερ καὶ ἐπὶ τῶν προκειμένων ἑκάτερον ἀπαρνεῖσθαι καὶ ἀποπέμπεσθαι καὶ τρίτον ἕτερον ἐφορᾶν, ἐν ᾧ καθοράται ἀναφυομένη ἡ ἀλήθεια· καὶ ἦν μὲν τεχνολογοῦντι τῷ Θεολόγῳ διαιρεῖν, ποῖαι τῶν ἀντιφάσεων ἔχουσι τὴν διάκρισιν τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους, καὶ ποῖαι μή· ἐπεὶ δὲ θεολογεῖν αὐτῷ, ἀλλὰ μὴ καλλωπίζεσθαι τῇ τέχνῃ προὔκειτο, καὶ τοὺς αἱρετικοὺς διελέγχειν, ἀλλὰ μὴ τελεῖν τοὺς γνωρίμους οἷς ὁ διαλεκτικὸς

NOTÆ.

(33) Naz. *Orat. I de Filio*, sive Orat. 3 de Theol. (Billii Or. 35 p. 567. Clem. Or. 29) Contextus hic est: Εἰ δέ σοι φαίνεται ἀναγκαῖον εἶναι, τὸ ἕτερον ἀληθεύειν ἐπὶ παντὸς κατὰ τὰς σὰς διαλεκτικὰς ὑπολήψεις, δεῖξαι μοῦ τι μικρὸν ἐρώτημα· ὁ χρόνος ἐν χρόνῳ ἢ οὐκ ἐν χρόνῳ; εἰ μὲν οὖν ἐν χρόνῳ, τίνι τούτῳ; καὶ τί παρὰ τοῦτον ὄντι καὶ πῶς περιέχοντι; εἰ δὲ οὐκ ἐν χρόνῳ, τίς ἡ περιττὴ σοφία, χρόνον εἰσάγειν ἄχρονον; τοῦ δὲ, Νῦν ἐγὼ ψεύδομαι, δὸς τὸ ἕτερον ἢ ἀληθεύεσθαι μόνον ἢ ψεύδεσθαι· οὐ γὰρ ἀμφότερα δώσομεν· ἀλλ' οὐκ ἐνδέχεται· ἢ γὰρ ψευδόμενος ἀληθεύσει ἢ ἀληθεύων ψεύσεται πᾶσα ἀνάγκη· τί οὖν θαυμαστὸν, ὥσπερ ἐνταῦθα συμβαίνει τὰ ἐναντία, οὕτως ἐκεῖσε ἀμφότερα ψεύδεσθαι, καὶ οὕτω σοι τὸ σοφὸν ἠλίθιον ἀναφανήσεται . . . Billius (t. II, p. 954) ex Elia Cret. ad h. l. observat. ostendit non esse necesse, ut ubique pars contradictionis altera vel vera sit vel falsa. « Hoc autem problema ab Alexandro Aphrodis. sumptum est; fieri enim nequit, ait ille, ut in hoc unum duntaxat reperiatur. Nam qui de re aliqua inquit: *Nunc ego mentior*, siquidem re ipsa mentitur, omnino mentiendo verum dicet, quippe qui cæteroquin fatetur se mentiri, sin autem reipsa non mentitur, omnino verum dicendo mentietur, ut qui falso etiam dicat: mentior. » Deinde Billius adducit verba Hier. Epist. ad Ocean. « Statim recordatus sum Chrysippei sophismatis: *Si mentiris idque vere dicis, mentiris.* »

Digitized by Google

θειασμὸς ὀργιάζεται· εἰκότως ἠρκέσθη διὰ τῶν παραδειγμάτων στηλιτεῦσαι τοὺς τεχνολογεῖν τὴν τοῦ Θεοῦ φύσιν εἰς θράσος ἀπενεχθέντας πολλῷ δεισιδαιμονίας χαλεπώτερον, καὶ δεῖξαι, μηδὲ τὸ τῆς ἀντιφάσεως αὐτοῖς πολυθρύλλητον ὄργανον ἐπὶ τῶν τυχόντων ἀεὶ πραγμάτων τὴν ἰσχὺν ἄμαχον ἔχειν, μήτι γε κριτήριον ὑπάρχειν τῆς ὑπερφυοῦς οὐσίας καὶ ὑπὲρ λόγον μεγαλειότητος. Πολλὰ δ' ἂν εἴη τῶν ῥημάτων τὸ μὲν σχῆμα σώζοντα τῆς ἀντιφάσεως, τὴν δὲ χρείαν οὐκέτι ὁμοίως παρέχοντα τῆς διακρίσεως· οἷον εἴ τις περὶ τοῦ ζῶντος ἐπερωτᾷ, πότερον οὗτος ἀναστήσεται τοῦ θανάτου, ἢ οὐκ (34) ἀναστήσεται· οὐδέτερον γὰρ ἐνταῦθα σωφρονοῦντός ἐστιν ἀποδέξασθαι. Καίτοι γε ἡ παροῦσα τοῦ λόγου συνθήκη καὶ πλέον τι πρὸς ἀσφάλειαν ἔχειν δοκεῖ· τὸ γὰρ ἀρνητικὸν μόριον τῷ κατηγορουμένῳ συνῆπται ῥήματι· ἀλλ' οὐ μετέβη πρὸς τὸ ὑποκείμενον. Τοιοῦτον δὲ καὶ τὸ, Πότερον τοὺς τῶν λεόντων ὄνυχας ἔτι φύουσιν οἱ τῶν ἀνθρώπων πόδες, ἢ οὐ φύουσιν; ἀλλ' ὁ τοῖς δρόμοις φερόμενος ἤδη πρὸς τὸ τέλος τοῦ ἀγῶνος πότερον ἐν αὐτῷ τῷ φέρεσθαι τὴν ἀρχὴν τῆς φορᾶς ἐβάλετο, ἢ ὅλως οὐκ ἤρξατο; πῶς γὰρ ἡ τοιαύτη πλάσις τῶν λόγων τοῦ ψεύδους διακρίνει τὴν ἀλήθειαν; τὸ δὲ, Πῦρ ὑγραῖνον καὶ ψύχον τὰ σώματα πότερον κατὰ φύσιν ἢ οὐ κατὰ φύσιν ταύτην ἐπιδείκνυσι τὴν ἐνέργειαν; τοῦτο δὲ δηλονότι ὥσπερ καὶ τὸ παρὰ τῆς αἱρετικῆς ἐπινοίας προτεινόμενον παραπεποιημένην ἔχει τῆς ἐρωτήσεως τὴν διάπλασιν· ὁ δὲ ἄνθρωπος μετάρσιος ἀπὸ γῆς φερόμενος, πότερον παύεται τῆς μετεώρου φορᾶς, ἢ οὐ παύεται; τῆς μὲν εἰρημένης αἰτίας ἀπήλλακται, οὐχ ἧττον δὲ τὸ σχῆμα μετασχηματίζει καὶ παραχαράττει τῆς κυρίως ἀντιφάσεως· ὁ δὲ χρόνος ὑδάτων ῥέων νάμασι παραπλησίως, ἆρα στήσεται τῆς ῥοῆς ἢ οὐ στήσεται; δῆλον δὲ ὡς ἡ συμπλοκὴ καὶ αὕτη τοῦ λόγου τὴν πρὸ αὐτοῦ μιμουμένη διὰ τῆς αὐτῆς κακουργίας προελήλυθεν· εἰ βούλει δὲ καὶ πότερον ἡ ἀσώματος φύσις τὴν σωματικὴν ὑποδυομένη διάπλασιν, ἐξ ὕλης καὶ εἴδους, ἢ ἐξ οὐδετέρου τούτων ἔσχε τὴν σύγκρισιν; εἰ μὲν γὰρ ἐξ ὕλης καὶ εἴδους, πῶς ἀσώματον; εἰ δὲ ἐξ οὐδετέρου τούτων, πόθεν τὴν σωματικὴν ὑπέστη διάπλασιν; πάλιν ἡ κίνησις ἐν κινήσει γίνεται, ἢ ἐν οὐ κινήσει; εἰ μὲν γὰρ ἐν κινήσει, τίς καὶ ἐν τίνι, καὶ τίς αὐτῶν ἡ πρὸς ἄλληλα διαφορά; πῶς δὲ οὐ κἀκείνη πάλιν ἐν κινήσει, καὶ παρεισδύσει τὸ ἄπειρον; εἰ δὲ μὴ ἐν κινήσει, πῶς ἀκινησία συνέξει τὴν κίνησιν καὶ ἡ στάσις τῇ φορᾷ συνοῦσα οὐ συγκινηθήσεται (35); ἢ μὴ συναναικινηθείσῃ (36) τῇ ἠρεμίᾳ καὶ ἡ κίνησις παύσεται; Ἡ δὲ σύμπασα κτίσις κρείττων οὖσα δημιουργίας, πότερον ὑπό τινος ἐνεργείας παρήχθη ἢ οὐδ' ὅλως παραχθεῖσα γνωρίζεται; εἰ μὲν γὰρ οὐ παρήχθη, πῶς ὅλως καὶ κτίσις ὑπάρχειν λέγεται; εἰ δὲ παρήχθη, πῶς τὸ κρεῖττον εἶναι τῆς δημιουργίας ἀπηνέγκατο; καὶ πόση τοιαύτη λέσχη καὶ τερατεία περὶ τὸ σχῆμα χορεύει τῆς ἀντι-

A guere, non autem suos mysteriis dialecticorum initiare, merito sufficere judicavit exemplis eos refellere, qui per artis argutias Dei naturam perscrutari audebant, audacia multo, quam superstitio sit, graviori, et ostendere ne illud quidem nimium apud ipsos decantatum contradictionis organum vel in his ipsis rebus infinis invictum semper habere robur, nedum criterium esse judicandi de supernaturali substantia ineffabilique majestati aptum. Multa porro enuntiari queunt, quæ speciem quidem contradictionis præferunt, non tamen verum ac falsum distinguunt, ut e. gr. si quis de homine vivente interroget, utrum hic resurgat a morte an non; neutrum enim hic ab homine sanæ mentis admitti potest. Quanquam hæc orationis constructio videtur ad fidem faciendam pluris aliquid habere; negativa enim
B particula prædicato adnectitur, non vero ad subjectum migrat. Tale est et hoc: Utrum leoninos ungues generant humani pedes an non generant; et hoc: Qui cursu jam ad stadii defertur metam, utrum in ipso motu initium motus posuit, an prorsus non incepit? Quomodo enim ejusmodi orationum formatio a falso discriminabit verum? Et: Ignis humectans ac refrigerans corpora, utrum ex natura, an non ex natura hoc operatur? Hoc vero manifeste, sicut et quod ab hæreticis objicitur, vitiatam habet interrogationis conformationem. Hoc quoque: Homo, qui a terra in sublime fertur, utrum cessat ab hoc sublimi motu an non cessat? Immune quidem est ab
C exposito orationis vitio; non minus tamen contradictionis veræ figuram transformat ac pervertit. In hoc autem: Tempus quod fluxu fluit undis aquarum simili, desistitne ab ejusmodi fluxu an non? Orationis complexio præcedentem manifeste imitans eodem peccat vitio, ut et hæc propositio: Utrum incorporea natura corpoream subiens conformationem ex materia et forma vel ex neutro horum habuit compositionem? Si ex materia et forma, quomodo incorporea? Sin vero ex horum neutro, unde corpoream subiit conformationem? Rursum motio vel in motione fit vel in non-motione. Si in motione, quænam ea est et in qua est et quænam earum ad invicem differentia? Quomodo non et illa rursum in motione fit, et sic proceditur in infini-
D tum? Si vero non in motione, quomodo immobilitas motionem continebit et quies motui coexsistens non simul movebitur aut simul cum quiete etiam motio jam conquiescet? Creatura universa, creatione superior, estne ab aliqua actione producta an prorsus non producta cognoscitur? Si non fuit producta, quomodo plane et creatura esse dicitur? Sin vero producta, quomodo, creatione ut superior sit, accepit? Et quisnam numerandis par erit nugis ejusmodi ac tricis, quæ circa contradictionis formam effingi queunt? Quæ quanta indigent repurgatione!

NOTÆ.

(34) Οὐδ' ἕτερον in cod.

(35) Leg. cum Catiforo: Κινηθήσεται, licet cod. habeat: συγκρινηθήσεται.

(36) Catif. συναναικινηθήσῃ.

Digitized by Google

Imo et eorum quæ desunt additione et eorum quæ redundant detractione, nec non subtiliori distinctione atque agglutinatione! Quorum nihil beatam illam atque immortalem naturam potest attingere', non solum cominus, sed ne eminus quidem. Quod si in rebus materiatis non est fidendum contradictionis formæ pro librando veritatis ac falsitatis judicio, nisi simul et alia multa adsumuntur quæ accuratius distinguant et fulciant et perficiant criterii istius vim, multominus in divina et ineffabili mentibusque humanis imperscrutabili natura poterit criterii robur et dignitatem habere operositas contradictionis.

νης ἔρευναν χώραν εὑρήσει κριτηρίου περιβαλέσθαι ἔργον;

6. Atque inspice, si lubet, exempla propiora B quoque, quam quæ attulimus. Exstantia produxitne Deus sæcula, an non exstantia, et subsistuntne an non subsistunt? Si enim exstantia, quomodo non inaniter (produxit)? Quomodo non fabulosa erit illa productio? Sin autem non exstantia, ubi est quod æternis est coextensum? Et si non subsistunt, quomodo in rebus exsistentibus omnino vel unde sunt sive erunt sæcula? Si vero subsistunt, unde ipsis accedit illimitatum et immensum? Visne adhuc propius absurditatem conspicere? Pater exsistens factus est Pater vel non exsistens. Si exsistens, aliquid ipsius exstitit prius et aliud posterius accessit, et quomodo mutatum fuit, quod est immutabile? Si vero non exsistens, mutationis ratio nihil minus destruit immutabilitatem et contra sem- C piternitatem validius pugnat. Verum hæc nugantium sunt, et hæreticæ ac primæ sationis omnia fructus.

φάσεως; πόσης δὲ δεῖται τῆς ἀνακαθάρσεως, ἀλλὰ καὶ παρενθήκης τῶν λειπομένων, ἀλλ' ἀποβολῆς τῶν περιττευόντων, ἀλλὰ λεπτουργίας καὶ ἐπιγομφώσεως! ὧν οὐδὲν δυνατὸν τῆς μακαρίας ἐκείνης καὶ ἀχράντου ψαύειν φύσεως, οὐδ' ἐγγὺς, ἀλλὰ καὶ λίαν πόρρω, καὶ πλέον ἢ ὅσον δημιουργικὴ φύσις τῶν γηγενῶν δημιουργημάτων ἀνακεχώρηκεν. Εἰ δὲ ἐπὶ τῶν ἐνύλων οὐ καταπιστεύεται τὸ σχῆμα τῆς ἀντιφάσεως κρίσιν ζυγοστατεῖν ἀληθείας καὶ ψεύδους, μὴ πολλῶν καὶ ἄλλων συμπαραλαμβανομένων καὶ συνακριβολογούντων, ὑποστηριζόντων τε καὶ συντελειούντων τοῦ κριτηρίου τὴν δύναμιν, ἢ ποῦ γε ἐπὶ τῆς θείας καὶ ὑπὲρ λόγον καὶ λογισμῶν ἀνθρωπίνων οὐκ ἀνεχομέκράτος τε καὶ ἀξίωμα τῆς ἀντιφάσεως τὸ περί-

ς'. Καὶ ὅρα, εἴ γε βούλει, καὶ τῶν εἰρημένων ἐγγύτερον. Ὄντα προήγαγεν ὁ Θεὸς τὸν αἰῶνα ἢ μὴ ὄντα; καὶ ἆρα ὑφέστηκεν ἢ οὐχ ὑφέστηκεν; Εἰ μὲν γὰρ ὄντα, πῶς οὐ μάτην, πῶς δ' οὐ λῆρος ἡ παραγωγή; εἰ δὲ μὴ ὄντα, ποῦ τοῖς ἀϊδίοις τὸ παρεκτεινόμενον; καὶ εἴ γε μὴ ὑφέστηκε, πῶς τῶν ὄντων ὅλως ἢ πόθεν αἰών; εἰ δ' ὑφέστηκε, πόθεν αὐτῷ τὸ ἀπέραντον ἐπακολουθήσει καὶ ἀδιεξίτητον; Ἔτι δὲ ἐγγύτερον τὸ ἄτοπον βούλει καθορᾷν; Ὁ Πατὴρ ὢν γέγονε Πατὴρ ἢ μὴ ὤν; εἰ μὲν γὰρ ὤν, τὸ μὲν αὐτοῦ πρότερον, τὸ δὲ ἐπιγέγονε, καὶ πῶς μεταβέβληται τὸ ἀμετάβλητον; εἰ δὲ μὴ ὤν, καὶ ὁ τῆς μεταβολῆς μὲν λόγος οὐδὲν ἧττον ἀποσκευάζεται τὸ ἀμετάβλητον· καὶ κατὰ τῆς ἀϊδιότητος πλέον ἵσταται. Ἀλλὰ ληρούντων ταῦτα τῆς αἱρετικῆς ἐστι καὶ πρώτης σποράς πάντα γεώργια.

7. Esto: sed forsitan aliud hæreticum argumentum audacius emerget et amovens a se transpositionis culpam, qua oppositio illa vitiabatur, ita ferme instituere interrogationem molietur: Exsistentem ne genuit Pater Filium an exsistentem non genuit? et poscet alteram partem oppositionis sibi concedi. Verum enimvero et tale effugium ostensum est per supradicta exempla infirmas prorsusque dejectas habere vires. Nihil autem vetat et nunc directe et breviter illud refutari (37). Vel enim simpliciter significat *non genuit*, nil aliud eorum, quæ adjungi debent, connectens, vel una secum ducit, quod addi debet, scilicet *non genuit jam exsistentem*. Qui fallaciam omnem evitat apte orationem connectens affirmabit, quia genitus simul cum sui gene- D ratione habet exsistentiam. Istud igitur hæreticorum argumentum per priorem acceptionem simpliciores territans, ad fugam illos impellit nec sinit animum ad secundam sententiam advertere, quæ rationi congruit. Si enim ad illam quis animum adjiciat, facillimam, ut vides, piissimamque reddiderit responsionem; nam affirmare, quod exsistentem jam non genuit, quia simul cum exsistentia exstitit generatio,

ζ'. Εἶεν· ἀλλ' ἴσως ἂν τις ἕτερος αἱρετίζων νεανιεύσοιτο λόγος καὶ τὴν ἐκ μεταθέσεως ὑφ' ἧς ἀντίθεσις ἐνοθεύετο, ἀποσκευαζόμενος αἰτίαν, οὕτω πως προαγαγεῖν ἐπιτεχνάσαιτο τὴν ἐρώτησιν· Ὄντα γεγέννηκεν ὁ Πατὴρ τὸν Υἱὸν ἢ ὄντα οὐ γεγέννηκε; καὶ ἐπιζητήσει θάτερον μέρος τῆς ἀντιθέσεως ἀποκρίνασθαι. Ἀλλὰ γὰρ καὶ ἡ τοιαύτη καταφυγὴ δέδεικται μὲν διὰ τῶν εἰρημένων παραδειγμάτων σαθρὸν προβεβλημένον καὶ περιυβρισμένον τῷ δικαίῳ τὸ ἄσυλον· οὐδὲν δὲ κωλύει καὶ νῦν τὸν ἔλεγχον ἐπ' εὐθείας τε καὶ ἐπιτόμως εἰπεῖν· τὸ τοίνυν *ὄντα οὐ γεγέννηκεν* εἰς διττὸν ἐπιμερίζεται διανόημα· καὶ τὸ μὲν ἁπλῶς ἐπάγει πρὸς τὸ *μὴ γεγέννηκεν*, ἕτερον οὐδὲν τῶν ὀφειλόντων ἐπισυνάπτεσθαι συμπλέκον, τὸ δὲ συνεπάγεται καὶ τὸ ἀκόλουθον, *οὐ γεγέννηκε γὰρ ὄντα*. Ὁ ῥᾳδιουργίαν πᾶσαν ἐκφεύγων ἁρμοδίως τὸν λόγον συνείρων ἐρεῖ· διότι σύνδρομον ὁ γεννηθεὶς ἔχει τῇ γεννήσει τὴν ὕπαρξιν. Μορμολύττων τοίνυν ὁ αἱρετίζων λόγος διὰ τῆς προτέρας ἐκδοχῆς τοὺς ἁπλουστέρους φεύγειν ἀναπείθει, μηδὲ πρὸς τὴν δευτέραν διάνοιαν καὶ τῷ λόγῳ προσήκουσαν ἐπιστρέφεσθαι· εἰ μὲν γὰρ ἀπερείσαιτο τις πρὸς ἐκείνην τὸν νοῦν, εὐχερεστάτην, ὡς ὁρᾷς, καὶ ὀρθοδο-

NOTÆ.

(37) Hæc igitur propositio, *exsistentem non genuit*, in duplicem scinditur sententiam.

Digitized by Google

ξοῦσαν ἀποδοίη τὴν ἀπόκρισιν· τὸ γὰρ, ὄντα οὐ γεγέννηκεν, ἀποφήνασθαι, διότι τῇ ὑπάρξει σύνδρομος ἡ γέννησις, τί μὲν ἐργῶδες, τί δὲ ἄπορον; πῶς δὲ τῇ αἱρέσει σύνδρομον, μᾶλλον δὲ πῶς οὐ μαχόμενον; τίνος δὲ λειπόμενον πρὸς εὐσέβειαν; Εἰ δὲ καὶ πρὸς τὸ ταπεινότερον τοῦ Λόγου δεήσει κατελθεῖν, κἀκεῖθεν περὶ τῆς ὑψηλοτέρας διασκέψεως ἔτι μᾶλλον ἀνηπλωμένην τὴν θεωρίαν λαβεῖν, ἐντεῦθεν ἔξεστί σοι σκοπεῖν· οἷον τὸ γεγεννημένον ἀπέθετο τὸ ἀΐδιον ἢ οὐκ ἀπέθετο; ἁπλῶς μὲν γὰρ ὑπενεγκεῖν, *ἀπέθετο*, τῷ σοφιζομένῳ [τοῦ] κακουργεῖν ὁδὸν οὐκ ἐκώλυσεν· ἁρπάσας γὰρ τὴν φωνὴν ὁ σοφιστὴς *οὔκουν παρ' ἑαυτῷ ἔχει*, συμπεραίνειν δόξει, *τὸ ἀΐδιον*· εἰ δέ τις ἐπισυνάψας τὸ λεῖπον ἀποφήναιτο, ὡς *οὐκ ἀπέθετο*, διότι μηδὲ ἔσχε ποτὲ (τῶν γὰρ προκεκτημένων ἐστὶ τὸ ἀποτίθεσθαι) ἰσχυρὸν ἔθετο κημὸν τῷ μελετᾷν τέχνην ἔχοντι τὴν γλωσσαλγίαν. Κἀκ τούτου δὲ μυρία σοι κατὰ νοῦν γεωργοῦντι ἀναβλαστήσει τὰ, δι' ὧν ἡ αἱρετικὴ λέσχη καὶ τὸ θράσος ἐπιστομίζεται, παραδείγματα.

A quid difficultatis, quidve ardui præ se feret? Quomodo hæresi favebit, imo quomodo ei non repugnabit? Quidque illi assertioni ad pietatem deerit? Jam vero si et oporteat ad Verbi incarnati humiliationem descendere, indeque de sublimiori mysterio pleniorem adhuc explicationem sumere, ita poteris considerare. V. gr. : Quod natum est, deposuit sempiternitatem, an non deposuit? Respondendo enim simpliciter *deposuit*, cavillari volenti aperitur via; nam ille vocem istam arripiens concludet : Non ergo apud se habet sempiternitatem. Quod si quis annectens quod deerat affirmat : *non deposuit*, quia nec unquam habuit (eorum enim est aliquid deponere, qui id antea possederunt), validum injecit frenum hæreticæ garrulitati. Hincque tu sedulam B animi navans operam innumera germinare facies exempla, per quæ hæreticorum loquacitas atque audacia reprimatur.

η'. Ἀλλὰ γὰρ ταῦτά σοι περὶ τῆς κατὰ τὴν ἀντίφασιν τεχνολογίας καὶ τῆς αἱρετιζούσης ἀδολεσχίας κατ' ἐπιδρομὴν εἴρηται, τὴν ἐντελεστέραν διδασκαλίαν καὶ θεωρίαν τοῦ προειρημένου λόγου, ὃς κατὰ τὰς διαλεκτικὰς πάλαι παῤῥησιάζεται διατριβάς, παρέχειν ὄντος ἱκανωτάτου. Τὰ δὲ ἄλλα ἔῤῥωσο καὶ βραδύνειν πρὸς τὰς σὰς αἰτήσεις διὰ τὴν τῶν ὑπογραφέων ἀπορίαν ἀντὶ τοῦ τῶν σῶν αἰτήσεων ὀλιγωρεῖν ἡμᾶς νόμιζε.

8. Atquē hæc tibi de contradictionis artificio et de hæretica garrulitate obiter dicta sunto. Absolutiorem doctrinam et explicationem supra memoratus liber, qui in dialecticis jam dudum prostat scholis, exhibere sufficientissime poterit. Ceterum vale et potius me tuis postulatis tarde obsequi ob scribarum inopiam, quam tuas petitiones negligere putato.

ΕΡΩΤΗΣΙΣ ΟΘ'.

Διατί ἀγγέλων μνήμην οὐκ ἔσχεν ἐν τῇ κοσμογενείᾳ Μωσῆς (39)*; καὶ τί σημαίνει τό· « Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ; »*

QUÆSTIO LXXIX [*al.* XII]. (38)

C *Cur angelorum mentionem non fecit Moses in creatione mundi? et quid sibi vult illud : « Hoc enim faciens, carbones ignis congeres super caput ejus? »*

Edita a Wolfio, *Cur. Philol.* V, p. 687-691, apud Galland., t. XIII, p. 707-709, n. 12. In Rom. XII, 20.

Ἄμφω μὲν τὰ ζητήματα ταῦτα καὶ ἐν ἑτέροις ἡμῶν γράμμασιν (40) οἶμαι τὴν λύσιν εὑρεῖν, τῆς μὲν ἀκριβείας οὐκ ἂν εἴποιμι μηδὲν ἀποδέουσαν, τῆς δὲ δυνάμεως οὐδὲν ἔχουσαν ἀνδεέστερον. Ἐπεὶ δέ σοι φίλον, καὶ ἰδιαίτερον ἔχειν τὴν περὶ αὐτῶν θεωρίαν καὶ ἀνάμνησιν, καίτοι γε κεχαριτωμένος ὢν καὶ αὐτὸς οὐ μόνον εἰδέναι τὰ τοιαῦτα, ἀλλὰ καὶ ἄλλοις μαθεῖν παρέχειν, τῆς σῆς συνέσεως τὴν αἴτησιν οὐ παῤῥησάμεθα. Διό φαμεν· Ἐξ ὧν τῆς μνήμης καὶ τῶν λογισμῶν ὁ πολὺς ὄχλος, καὶ των πειρασμῶν καὶ τῶν θλίψεων οὐκ ἀφείλαντο, ἀλλ' ἔτι μένειν τινὰ D τῶν λειψάνων ὑπελείποντο, ὡς καὶ δι' ἄλλας μὲν αἰτίας Μωσῆς, τῆς κοσμογενείας εἰς ἐμφανῆ διήγησιν καθιστάμενος, ἀγγέλων οὔτε οὐσίας οὔτε γενέσεως ἐπεμνήσθη. Κεχωρισμένα τε γὰρ ταῦτα τῆς αἰσθητῆς κτίσεως. Καὶ τοῖς ἐξ Ἰσραὴλ ἄρτι πρὸς θειοτέραν θεωρίαν ἀναγομένοις ἀπὸ τῆς Αἰγυπτιακῆς μάλιστα δεισιδαιμονίας, ἐν ᾗ πολὺν χρόνον εἰ καὶ μὴ τῇ πλάνῃ κάτοχοι, ἀλλ' ἔν γε (41) τοῖς κατεχομένοις τὸν βίον διέτρι-

Duas has quæstiones etiam in aliis scriptis nostris solutas esse existimo, ita quidem, ut, quamvis accurationi solutionis nihil deesse non dixero, efficacia tamen non sit inferior. Quoniam vero tibi placuit, singularem aliquam disquisitionem et commentationem de argumentis illis in promptu habere, mihi vero ipsi jucundum sit, non solum scire talia, sed et, ut alii discant, efficere, petitionem tuam aversari nolui. Dico itaque : Quandiu vulgus Judæorum memoriam et recordationem variarum tentationum et calamitatum nondum amiserat, sed reliquias quasdam in promptu habebat, Mosen quidem præter alias quoque causas accuratam orbis conditi enarrationem ingressum, nec exsistentiam nec originem angelorum commemorasse. Hæc enim a rebus, quæ sensibus obviæ sunt, vehementer sunt distincta. Porro Israelitis, tanquam qui ad sublimiorem quamdam meditationem ab Ægyptiaca inprimis superstitione, (in qua

(38) Quoad priorem partem hæc quæstio ejusdem fere argumenti est ac quæstio VI et XV, quoad posteriorem convenit cum q. LII.

(39) Colb. ita : Διὰ τί Μωϋσῆς ἐν τῇ κοσμογενείᾳ οὔτε ἀγγέλων οὐσίας, οὔτε γενέσεως ἐμνημόνευσεν;

(40) Fortasse hoc factum est in Commentariis Photii in varios Codicis sacri libros, quos passim videas afferri. In epistolis certe ejus altum est de utroque capite silentium.

(41) Ita scripsi pro οὖν γε.

Digitized by Google

longum tempus, eidem quidem errori non obnoxii, sed inter eos tamen, qui illo capti erant, excerant) nuper admodum perducti fuerant, non facile nec obvium erat, ut ad incorporeas Deoque similes mentes percipiendas animum eveherent. Non minus vero, nisi potius magis huc, præter dicta, pertinet, quod leges laturus erat non angelis, sed hominibus, qui et conditi erant, et ex nihilo exsistere cœperant. Ideo rerum Conditor doctrinas necessarias, et cum utilitate conjunctas, hoc est, cœli, terræ, aliorumque similium originem, exponit, quoniam illa quidem antequam hominem conderet esse voluit, quodque homo ipse in illis vitam acturus erat, quod denique etiam alia, ad vitam naturalem necessaria, illis, quibus leges ferebantur, suppeditare volebat. Dei enim notiam, si non accuratam, saltem qualemcunque animis infixam habebant, angelorum vero illam minime omnium : quemadmodum etiam Saducæorum secta multis sæculis post Deum quidem profitebatur, angelorum et spirituum nomina nec audire sustinebant [80]. Quod vero Moses, qui Deum vidit, mentium incorporearum commemorationem propter imbecillitatem illorum, qui eam audituri erant, sub initium omiserit, ex eo manifestum est, quod in fine reliquæ historiæ, et post alia multa recitata, mentionem eorum fecit, quamvis ne tunc quidem creationem illorum, sed lætitiam cœlorum et angelorum adorationem commemoravit. « Lætamini, inquit, cum illo, cœli, et adorent eum omnes angeli Dei [81]. » Similiter *David*, Dei pater, et igneam eorum essentiam commemorat, et conditorem eorum appellat [82], qui reliquarum rerum omnium auctor sit et agnoscatur. Atque hæc quidem hac occasione de angelis afferre licuit.

Quod vero ad illud dictum spectat : « Hoc enim faciens, carbones ignis congeres in caput ejus [83], » idem illud est ac si dixeris : Coacervabis carbones, caput ejus depascentes et consumentes. Citius enim illud consumerent, nisi mature illos ab eo removeas, et a repente ac consumente labe illud liberes. Nonne vero, ita si egeris, optimus proximi tibi medicus videberis ? Si enim mensa et convictu hostis tuus a te excipiatur, quomodo fieri potest, ut, si non ob boni virtutisque studium, saltem propter, delicias quibus apud te fruitur animum suum ab inimicitia revocet, ab insidiis vero faciendis abstineat, mentisque sobrietate recepta, flammas et iram, quas inimicitia excitaverat, in placidos mansuetosque mores convertat, atque adeo sensim eo adducatur, ut amare discat benefactorem, benefica et amica manu eo usus, ut acerbitatem ex odio natam molliat, simultatemque adversus benefactorem, quæ et animum ejus, et corpus, et caput depascit, in pudo-

δον, οὐκ ἦν εὐχερὲς οὐδὲ ῥᾴδιον φέρειν πρὸς τὴν τῶν ἀσωμάτων καὶ θεοειδῶν νόων ἐπανάγεσθαι μάθησιν. Οὐδὲν δὲ ἧττον, εἰ μὴ καὶ μᾶλλον τῶν εἰρημένων, ὅτι μηδ' ἀγγέλοις τοὺς νόμους (42) εἰσφέρειν ἐμελλεν, ἀλλ' ἀνθρώποις, οἷς ἦν καὶ ἡ γένεσις, καὶ ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πρόοδος. Καὶ ὁ Γενεσιουργὸς ἀναγκαῖα μαθήματα, καὶ τὸ χρήσιμον παρεχόμενα, οὐρανοῦ μέντοι καὶ γῆς, καὶ τῶν ἄλλων εἰσάγει γένεσιν, ὅτι ταῦτά τε πρὸ τῆς τοῦ ἀνθρώπου (43) οὐσίας ὑπέστη, καὶ ὅτι ἐν αὐτοῖς τὴν δίαιταν ὁ ἄνθρωπος ἐμελλεν ἔχειν, καὶ διότι τὰς κατὰ τὴν αἴσθησιν ἄλλας ἀναγκαίας χρείας τοῖς νομοθετουμένοις ἐμελλε παρέχειν. Θεοῦ μὲν γὰρ ὁποίαν δήποτε ταῖς ψυχαῖς, εἰ καὶ μὴ πρὸς τὴν ἀκρίβειαν ἀνηγμένην, ὅμως ἔννοιάν τινα καὶ φαντασίαν εἶχον· ἀγγέλων δὲ οὐδαμῶς· ὅπου γε καὶ τὸ Σαδδουκαίων μετὰ πολλὰς γενεὰς ἔθνος Θεὸν μὲν ὁμολογεῖν ἐφρόνει, ἀγγέλους δὲ καὶ πνεύματα οὐδὲ ἀκοῇ παραδέχεσθαι ἀνεκτὸν ἡγοῦντο. Ὅτι δὲ δι' ἀσθένειαν τῶν δεχομένων ἡ τῶν ἀσωμάτων νόων διήγησις τῷ θεόπτῃ κατ' ἀρχὰς παραλέληπται Μωσεῖ, δῆλον, ἐξ ὧν ἐπὶ τέλει τῆς ἄλλης ἱστορίας, καὶ τῶν πολλῶν λόγων εἰς μνήμην αὐτῶν περιῆλθεν, εἰ καὶ μηδὲ τότε γένεσιν εἰσάγων, ἀλλ' εὐφροσύνην μὲν οὐρανῶν, προσκύνησιν δὲ ἀγγέλων, « Εὐφράνθητε, λέγων, οὐρανοί, ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. » Ὁ μέντοι γε θεοπάτωρ (44) Δαβὶδ πυρός τε αὐτῶν ἀνεῖπεν τὴν οὐσίαν, καὶ δημιουργὸν ὑπάρχειν, ὃς καὶ τῆς ἄλλης ἐστὶ κτίσεως ἁπάσης καὶ ἐπιγινώσκεται δημιουργός. Ὁ μὲν οὖν καιρὸς περὶ τῶν ἀγγέλων τοιαῦτα παρέσχεν εἰπεῖν.

Τὸ δὲ, « Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, » ἀντὶ τοῦ, Ἐπισυνάξεις τοὺς κατανεμομένους αὐτοῦ καὶ διαφθείροντας τὴν κεφαλὴν ἄνθρακας. Καὶ γὰρ θᾶττον ἂν αὐτὴν διεργάσαιντο, εἰ μὴ θᾶττον αὐτοὺς σὺ ταύτης ἀποσωρεύσῃς καὶ ἀπαλλάξῃς τοῦ ἕρποντος καὶ κατεσθίοντος αὐτὴν πάθους. Πῶς δ' οὐκ ἂν ὀφθείης ἄριστος οὕτως πράττων τοῦ πλησίον ἰατρός ; Τραπέζῃ γὰρ καὶ φιλοτησίᾳ παρὰ σοῦ δεξιούμενος ὁ ἐχθρὸς, εἰ καὶ μὴ διότι φιλόκαλος, καὶ τῆς ἀρετῆς ἐραστής, ἀλλ' οὖν γε διὰ τὴν εὐπάθειαν, ἧς παρὰ σοῦ τὴν ἀπόλαυσιν ἔχει, πῶς οὐκ ἂν ἐκστῆναι μὲν τῆς ἔχθρας λογισμὸν ἀναλάβοι, ἐκστῆναι δὲ διανασταίη τῆς ἐπιβουλῆς ; καὶ ἀνανήψας τοὺς λογισμοὺς καὶ τὴν ἐν αὐτοῖς πύρωσίν τε καὶ φλεγμονὴν, ἣν ἀνέφλεγεν ἡ ἔχθρα, πρὸς τὸ μαραίνεσθαι καὶ πραΰνεσθαι μεταβαλὼν, κατὰ μικρὸν ἐπὶ τὸ εἰδέναι καὶ στέργειν τὸν εὐεργέτην χειραγωγηθείη διὰ τῆς εὐεργέτιδος καὶ φιλοφρονούσης δεξιᾶς πᾶσαν τὴν τοῦ μίσους διαγλυκάνας πικρίαν, καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα, καὶ

[80] Matth. xxii, 8. [81] Deut. xxxii, 43. [82] Psal. civ, 4. Rom. xii, 20.

NOTÆ.

(42) Colb. pro τοῖς νόμοις.

(43) Idem pro ποιητὴς οὐρανοῦ, quæ posterior vox ex compendio scriptionis ἄνου, id est, ἀνθρώπου, nata est, ad quam voces πρὸ τῆς in ποιητὴς mutata ideo a librario videtur, quod voci οὐρανοῦ magis videretur accommodata.

(44) Hoc Elogium Davidi ob Christum θεάνθρωπον, ex familia ejus natum, tribuitur Chrysostomo et aliis, quorum locos habes apud Suicerum.

Digitized by Google

τὴν κεφαλὴν κατὰ τοῦ εὐεργέτου δυσμένειαν εἰς αἰδὼ διαλυσάμενος καὶ στοργήν; Εἰ δέ γε μετὰ τὴν τοσαύτην εὐεργεσίαν, δι' ἣς τὸ τῆς ἀγαθότητος ἐξεικονίζεται κάλλος, οὐδὲν πρὸς τὸ βέλτιον, ὁ τῷ φθόνῳ τοῦ πλησίον καὶ τῷ μίσει κάτοχος, οὐδὲ πρὸς μεταβολὴν καὶ διόρθωσιν ἐπιβλέψαι βούλοιτο, θηρίον μὲν ἂν ὁ τοιοῦτος καὶ οὐκ ἄνθρωπος εἴη, καὶ σπάνιον ἐν ἀνθρωπίνῃ φύσει τὸ τοιοῦτον κακόν. Σὺ δὲ οὐδὲν μὲν ἧττον οὐδὲ (45) μετὰ τὴν τοσαύτην ἀπόνοιαν, ἀλλὰ καὶ μᾶλλον τοὺς κατανεμομένους αὐτοῦ τὴν κεφαλὴν ἄνθρακας τῇγε σῇ προνοίᾳ σωρεύων, τὴν Δεσποτικὴν ἂν εἴης μίμησιν ταῖς εὐεργεσίαις ἀναπληρῶν. ἐκεῖνος δ' αὐτοῦ τὸ ἁμάρτημα πάσης (46) ἀθλίως ἐπὶ πλέον ὥσπερ εὐεργεσίας οὕτω καὶ συγγνώμης ἔδειξε δυνατώτερον. Εἰ δέ τις τό· « Ἄνθρακας πυρὸς ἐπισωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, » καὶ κατὰ τὴν πρόχειρον ἐκδοχὴν, καὶ τοὺς πολλοὺς παρακαλοῦσαν, εἰς τὸ μὴ τὴν ἔχθραν ἔχθρᾳ καὶ ἀμύνῃ χαλεπωτέραν ποιεῖν, θελήσει νοεῖν, οὐδὲ τοῦτο ἂν εἴη στοχασμοῦ διαπέσειν, ὑφ' οὗ παρασκευάζεται. Καὶ πρὸς συγκατάθεσιν ἕλκειν μᾶλλον δύναται ἡ του μὴ ἀμύνασθαι παραινοῦσα τοὺς πολλοὺς πειθώ. (47) Οὐ παύεται βέλη κινῶν ὁ μάτην κατὰ σοῦ τὴν ἔχθραν ὑπελθών, ἄμεινον μὲν ἂν εἴη, τὸν κοινὸν πλάστην καὶ τὴν πλάσασαν δεξιὰν καὶ τὴν αὐτὴν φύσιν ἐννοοῦντα νικῆσαι γνώμης χρηστότητι τὸν μισούμενον· διότι παράγει (48) δι' ἔχθρας τὸ ὁμοφυές. Εἰ δὲ μὴ, βούλει δὲ τοῦτον ἀμύνασθαι καὶ λυπῆσαι, καὶ μηδὲν ἐν τούτοις διαμαρτεῖν, ψώμιζε, πότιζε αὐτόν. Πῶς καὶ διὰ τί; Τὸν κοινὸν Δεσπότην διὰ τούτων σαυτοῦ παρασκευάζεις ἐκδικητήν, ἐκεῖνον δὲ διὰ τῶν εὐεργεσιῶν εἰς ἐκδίκησιν κινήσεις, θᾶττον ἂν ἴδοις τὸν ἐχθρὸν οἷα πυρὶ τῇ ἐκείνου δίκῃ καὶ κρίσει φλεγόμενόν τε καὶ καταπεμπράμενον, καὶ αὐτῇ συναπολλύμενον ἔχθρᾳ καὶ ἐπιβουλῇ.

rem quemdam et amorem convertat? Quod si tamen post tantam beneficentiam, per quam benignitatis pulchritudo repræsentatur, homo, invidiæ et odio in proximum sibi obnoxius, nec melior reddatur, nec ad mutationem morumque correctionem respicere velit; ille quidem fera bestia potius, quam homo fuerit, qualis tamen inter homines rarissime inveniatur. Tu autem nihilominus vel sic, imo vero diligentius carbones, caput ejus depascentes, provida cura post tantam amentiam coacervans beneficiis tuis, Domini exemplum imitaberis; alter vero ille ostendet, peccatum suum apud se plus valere, quam omnis ejusmodi beneficientia factaque liberaliter venia efficere possit. Si quis vero verba illa: « Carbones ignis congeres super caput ejus; » de proclivi in gratiam receptione, quæ multos compellit, ut inimicitiam inimicitia et vindicta graviorem non reddant, accipere malit, nec ille judicio, quo utitur, admodum falletur. Quæ enim ad vindictam cavendam adhortatur oratio, illa ad consensionem animorum conciliandam egregie facit. Quòd si enim is, qui præter rem inimicitiam adversus te fovet, tela movere non desinat; præstiterit tamen, communem Conditorem, dextramque, quæ utrumque formavit, eamdem porro utriusque naturam recogitare, et facilitate sua iniquum osorem vincere. Naturæ enim affinitas per inimicitiam tollitur. Sin minus hoc placeat, malisque injurias ulcisci, et injuriam tristitia afficere, eadem vero opera non peccare, ciba et pota illum. Quomodo vero et cur ita? Sic enim communem Dominum vindicem tibi concilias, quem si beneficiis illis tuis ad ultionem capiendam excitaveris, inimicum pœna ejus et judiciis, tanquam igne quodam, consumptum et combustum, inimicitiaque sua et odiis devoratum citius videris.

STEWARTII MONITUM IN SEQUENTEM QUÆSTIONEM.

Est et hoc opusculum Photii a Turriano Latine versum inter schedas Canisianas repertum. Argumentum pauculis hisce verbis complexus est Turrianus: « Voluntas comedendi simpliciter fuit quidem in Christo, quia hæc voluntas naturalis est. Voluntas vero comedendi aliquid hac vel illa qualitate affectum, ut dulce, aut amarum, aut multum, aut parum, non fuit in eo, quia hujusmodi, quæ dicitur ποιά, id est, qualis, vel πῶς, id est, quomodo, voluntas personæ humanæ est, non naturæ, Christus autem non erat persona humana, nec hominem aliquem assumpsit, sed naturam hominis, quæ una est (speciescilicet). Hujusmodi voluntas non naturalis, sed personæ humanæ dicitur voluntas κατὰ γνώμην, sive γνωμική. Hic est scopus hujus tractationis. » Hæc Turrianus. Inscriptio Græca est: Περὶ τῶν γνωμικῶν θελημάτων ἐπὶ Χριστοῦ.

Dicitur autem gnomicum a *gnome*; quod nomen « variam et multiplicem significationem habet, » inquit beatus Damascenus lib. III *De fide orthodoxa*, cap. 14. Interdum enim admonitionem significat, ut cum ait Apostolus: « De virginibus præceptum Domini non habeo, γνώμην autem do. » Interdum consilium, ut cum ait Propheta: « *Super populum tuum malignaverunt* γνώμην. » Quodcunque item *decretum*, ut in his Danielis verbis: *A quo exiit impudens hæc* γνώμη? Nonnunquam denique pro *fide*, aut *opinione*, aut *animi affectione* sumitur; *atque, ut brevi perstringam*, γνώμης *vocabulum plurimis significationibus usurpatur*. Hæc Damascenus. Invenitur libellus iste Græce in variis *Bibliothecis*, nominatim

NOTÆ.

(45) Sic scribo pro οὐδέν. Proximum τὴν addidi ex Colb.

(46) Πάσης debeo eidem pro πᾶσι.

(47) Crediderim, hic excidisse, εἰ δ'.

(48) Colb. διότι περ ἄγει.

Digitized by Google

in Cæsarea Viennensi et in ducali Bavarica Monachensi. Latine, quod sciam, nunquam in manus hominum venit. Quocirca mirandum non est, si disputatio hæc Latinis hucusque vix nota fuit. Vale : et post lectum opusculum lege etiam subjunctam criticam Dissertatiunculam.

QUÆSTIO LXXX (49). [*Coisl.* CCXLVII, *Taur.* CCXXXVIII].

ΕΡΩΤΗΣΙΣ Π'.

Quales debeant dici in Christo voluntates gnomicæ, et qualis debeat in eodem Christo dici voluntas humana, hypostatica aut alia.

Ποῖα δεῖ λέγειν ἐπὶ Χριστοῦ γνωμικὰ θελήματα, καὶ ποῖον ἔστι λέγειν ἐπ' αὐτοῦ τοῦ Χριστοῦ ἀνθρώπινον θέλημα ὑποστατικὸν καὶ ἕτερα.

Edita a Stewartio et Basnagio (Auctarium Stewart, p. 437-452. Ingolstad., 1616, n° 4, et gr. in *Antiquis lectionibus* ed. Antuerp. 1725, t. II. P. II, p. 439-458. – De voluntatibus Christi gnomicis.

Disserere de voluntatibus in Christo, quæ dicuntur γνωμικὰ θελήματα, tum difficile, tum facile est. Quia enim nemo, quod sciam, ex sanctis Patribus, quidquam alicujus momenti, et limate et distincte de hac re tradidit, excepto sancto Maximo, magno veræ pietatis defensore (50), idcirco difficultas subit de ea loquendi ; iis enim qui volunt calumniari, non videtur metuendum esse, et non accedendum B ad tam grave dogma in uno viro commovendum : rursus vero quia ab ipsis thalamis pietatis et ratiocinationibus inter se consentientibus multæ necessariæ conclusiones prodierunt, quæ rectam opinionem muniunt, hac ratione facile est dicere, vel non remanet saltem hoc dogma altius, quam ut comprehendi possit.

Tu vero, frater mihi charissime (51), si partus sermonis mei petitione tua et spe dignus videatur, amplectere tanquam communem et tecum, qui obstetricatus es, et mecum, qui peperi : sin autem imperfectus et mancus, cum iis collatus, quæ sunt jam tibi studio contemplationis ad maturitatem perducta (optarem autem hoc, si desiderio vincendi tenerer, multo enim suavius est in fratre, quam in C alio vincere ; siquidem non in Care periculum, ut est in proverbio, machinamur, sed in cognato sanguine verum robur inquirere cordati ac prudentis esse existimamus), attamen tanquam expositum fœtum suscipe, et tuis laboribus auge et perfice, eoque communi lætitia oblectari et frui ne desinas.

Cum igitur duo genera potentiarum veteres distinxerint (oportet enim paulo altius repetere), unum genus est earum, quæ versantur in cognitione, quæ dicuntur *cognitivæ* ; aliæ animales : ad eam rem, de qua nunc agendum est, magis opus est animalibus potentiis, id est *appetitivis*. Ingenerata itaque est animæ vis appetendi illud, quod est secundum naturam, sive naturæ conveniens, et D omnia, quæ substantialiter insunt, continendi et conservandi, quæ dicitur θέλησις, id est *voluntas*,

Ὁ περὶ τῶν γνωμικῶν θελημάτων ἐπὶ Χριστοῦ λόγος, πῇ μέν ἐστι χαλεπὸς, πῇ δὲ ῥᾴδιος. Διότι μὲν γὰρ οὐδείς, ὅσα γε ἐμὲ εἰδέναι, τῶν ἁγιολόγων καὶ θεοφόρων Πατέρων ἡμῶν οὐδὲν ἀξιόλογον καὶ διακεκαθαρμένον εἰς εὐκρίνειαν περὶ τούτου παραδέδωκεν, πλὴν γε Μαξίμου τοῦ μεγάλου τῆς εὐσεβείας ὡς ἀληθῶς προμάχου, διὰ τοῦτο τὸ χαλεπὸν εἰπεῖν ὑπεισέρχεται. Ἐφ' ἑνὶ γὰρ ἀνδρὶ τηλικοῦτον δόγμα σαλεύειν, οὐκ ἂν εἴη τοῖς ἐπηρεάζειν βουλομένοις φοβερὸν καὶ ἀπροσπέλαστον. Διότι δὲ πάλιν ἀπ' αὐτῶν τῶν τῆς εὐσεβείας θαλάμων καὶ τῶν λογισμῶν τῶν συμψήφων πολλαὶ προῆλασιν ἀποδείξεις τὴν ὀρθὴν δορυφοροῦσαι δόξαν, ταύτῃ τὸ ῥᾷστον εἰπεῖν ἢ [a] ὑψηλότερον καταλήψεως περίεστιν.

Σὺ δέ μοι, ἱερέων ἐρασμιώτατε, εἰ μὲν ὁ τοῦ λόγου τόκος ἄξιός σοι τῆς αἰτήσεως καὶ τῆς ἐλπίδος φανῇ, οἷα δὴ κοινὸν ὄντα τοῦ τε μαιευσαμένου, καὶ τοῦ τεκόντος, περίπε· εἰ δ' ἀτελῶς καὶ ἐνδεῶς πρὸς τὰ ἤδη σοι τελεσφορηθέντα ταῖς θεωρίαις ἔχει (εὐξαίμην δ' ἂν τοῦτο, εἴπερ ὁ τοῦ νικᾶν πόθος εἶχεν· πολλῷ γὰρ ἥδιον ἐν φίλῳ [b] ἢ ἐν ἄλλῳ νικᾶν· οὐ γὰρ ἐν τῷ Καρὶ τὸν κίνδυνον, ὡς ἡ παροιμία, σοφιζόμεθα, ἀλλ' ἐν τῷ οἰκείῳ αἵματι τὸ τοῦ κράτους γνήσιον ἐπιζητεῖν ἡγούμεθα συνετὸν), πλὴν ἀλλ' ὡς ἔκθετον ἀναλαβὼν τὸ γέννημα καὶ πόνοις οἰκείοις συναυξήσας καὶ τελεσφορήσας κοινὴν ἐπ' αὐτῷ ποιεῖσθαι μὴ φθονήσῃς τὴν εὐφροσύνην καὶ τὴν ἀπόλαυσιν.

Διττῶν τοιγαροῦν τῶν ψυχικῶν δυνάμεων ὑπάρχειν πάλαι διευκρινομένων (μικρὸν γὰρ ἀναδρομὴν δεῖ), τῶν μὲν γνωστικῶν, τῶν δὲ ζωτικῶν, μᾶλλον πρὸς τὴν παροῦσαν ὑπόθεσιν, ἡ τῶν ζωτικῶν ἐστι χρεία, ἤτοι τῶν ὀρεκτικῶν. Ἐνέσπαρται τοίνυν τῇ ψυχῇ δύναμις ὀρεκτικὴ τοῦ κατὰ φύσιν ὄντος, καὶ πάντων τῶν οὐσιωδῶς προσ[ει]όντων σύνεκτικὴ, ἥτις λέγεται θέλησις. Διὸ καὶ ὁρίζονται φυσικὸν εἶναι θέλημα ὄρεξιν φυσικήν τε καὶ λογικὴν θέλησιν. Διὸ καὶ ὁρίζονται φυσικὸν εἶναι θέλημα, ὄρεξιν φυσικήν τε καὶ λογικὴν

VARIÆ LECTIONES.

[a] ἢ οὐχ legisse videtur Turrianus. Caper. *notæ ms.* [b] Turrianus legebat ἐν ἀδελφῷ, *in fratre.*

NOTÆ.

(49) Ille codex Græcus habetur ms. in Bibl. Cæsar. Vindobonensi, n. 208, chartaceus, mediocriter antiquus, folio; Lamb. *Bibl. Vind.* t. V, p. 15.

(50) Vide Damasc., lib. III *Fidei orth.*, cap. 14, et Anastasium Sinaitam in suo *Hodego* seu *Viæ duce.*

(51) Photii frater Tarasius. In Græco non frater, sed *sacerdotum charissime*

Digitized by Google

A ἀκτῖνος ἐνηυγάσθησαν τὰς μαρμαρυγὰς [r], οὕτω καὶ Θεὸς, οὐ μόνον ἡ πάντων δεσπόζουσα καὶ κατεξουσιάζουσα φύσις, ἀλλὰ καὶ τοὺς ἀνθρώπους ἔστιν ἰδεῖν ταύτης ἠξιωμένους τῆς ὀνομασίας. Πρῶτος δὲ τῆς κλήσεως τυγχάνει ὁ τοῦ Σὴθ παῖς Ἐνώς ἀνὴρ, δι' εὐσέβειαν καὶ χρηστότητα τρόπων, ὑπὸ τῶν τότε ἀνθρώπων, τῇ τοῦ θείου κλήσει τετιμημένος · ἐξ οὗ καὶ τὸ γένος ἅπαν θεοί τε καὶ θεῶν παῖδες ὠνομάσθησαν [r'], καθά πού φησιν, « Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας, ἀπὸ πασῶν ὧν ἐξελέξαντο. » Υἱοὺς γὰρ Θεοῦ δηλονότι τοὺς ἐκ τοῦ Ἐνὼς φύντας ἐκάλεσεν· οἳ ταῖς ἐκ τοῦ Κάϊν ὠμιληκότες, τό τε γένος ἐνόθευσαν, καὶ εἰς ἀσέβειαν καὶ κακίαν, συναλίσθησαν [s]. Τὸ γὰρ λέγειν ἀγγέλους B πεσεῖν, τὴν ἀσώματον φύσιν, εἰς ἔρωτας γυναικῶν, πεσόντων ἐστὶν, ὡς ἀληθῶς, εἰς μυθώδεις καὶ οὐδὲ κεχωρισμένους τοῦ ἀσεβεῖν λογισμούς. Ἐξ ἐκείνου τοιγαροῦν τοῦ γένους, καὶ τῶν ἄλλων ἀνθρώπων, ὅσοι δι' ἐπιμελείας ἠθῶν τῷ Θεῷ προσεγγίζειν ἐμελέτησαν· ναὶ δὴ καὶ ὅσοις εἰς ἀξίωμα τῶν δικαίων κριτῶν ἀνελθεῖν καὶ ἀρχόντων τάξιν ἐξεγένετο, οὗτοι πάντες τῆς θείας κλήσεως τετυχήκασι· « Θεὸς γὰρ, φησὶ, θεῶν Κύριος ἐλάλησε· » καὶ, « Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες· » καὶ, « Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν · » καὶ, « Ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ · » καὶ, « Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. Δῆλον γὰρ ἐκ τῶν εἰρημένων, ὅτι θεοὺς ἡ θεία Γραφὴ τούς τε τῆς ἀρετῆς φίλους, καὶ τοὺς τῆς δίκης καλεῖ C ὑπηρέτας.

γ'. Ἔστι δὲ καὶ τρίτον, παρὰ ταῦτα, σημαινόμενον τρόπῳ μέν τινι συναπτόμενον, τρόπῳ δὲ πλείονι διαιρούμενον δευτέρου· καθ' ὃ δίδοται Μωσῆς Θεὸς εἶναι Φαραώ. Εἴη δ' ἂν ὁ τρόπος οὗτος, τῆς προσηγορίας, ἐξ ἀναλογίας εἰλημμένος. Καὶ γὰρ, ὥσπερ Θεὸς ἐχρημάτιζε Μωσῇ, « Ῥίψαι τὴν ῥάβδον, εἰς πίστωσιν τῶν ἐπηγγελμένων· » οὕτω Μωσῆς Ἀαρὼν ἐκέλευσε ῥίπτειν τὴν ῥάβδον, εἰς ἔκβασιν τῶν ἀπειλουμένων. Καὶ Μωσῆς μὲν ὑπηρετεῖτο προστάγμασι Θεοῦ· Ἀαρὼν δὲ Μωσέως ἐξεπλήρου τὰς ἐντολὰς εἰς Φαραὼ, μαστίζων τὴν Αἴγυπτον, καὶ προφήτης [t] γινόμενος τἀδελφοῦ, ὃν ἐκεῖνος τρόπον ἐγίνετο τοῦ Θεοῦ. Διὸ οὐδὲ Θεὸς Μωσῆς ἁπλῶς, ἀλλὰ *θεὸς* εἴπηται *Φαραώ*. Πάντα γὰρ ἔπραττεν D εἰς αὐτὸν, ὥσπερ αὐτεξουσίῳ κράτει ὑπηρετουμένου τοῦ Ἀαρών. Ἀλλὰ κοινωνεῖ μὲν οὗτος τῆς κλήσεως ὁ τρόπος τῷ πρὸ αὐτοῦ· τῷ τε ἐπ' ἀνθρώπου καὶ ταύτην τεθεῖσθαι, καὶ τῷ, ἔχοντος ἀρετήν· διαφέρει δὲ ἄλλοις τε πολλοῖς· καὶ ὅτι, ἡ μὲν ἐξιδιωσαμένη Μωσῆν, αὐτοῦ γίνεται· καὶ οὐκ ἔστιν, ὥσπερ ἐκείνη, κοινή· καὶ ὅτι, ἐκεῖ μὲν Θεὸς ἁπλῶς, καὶ οὐχί τινος, ὁ τὴν κλῆσιν ὑπελθών, ἀπεδείδοτο · ἐνταῦθα δὲ

[1] Gen. vi, 2. [2] Psal. lxxxii, 1 6. [3] Exod. xxii, 28. [4] Exod. vii, 1.

VARIÆ LECTIONES.

[r] ταῖς μαρμαρυγαῖς. C. M. τὰς μαρμαρυγάς. [r'] Hac de re peculiariter disputatur q. CCLV. [s] Cod. Mon. συνωλίσθησαν. [t] *Ita*. ὑποφήτης, h. e. διερμηνευτὴς aut ὑποτεταγμένος. Cod. Mon leg. προφήτης.

Digitized by Google

τούναντίον, *Θεὸς Φαραώ*. Ὅτι δ' οὐ κατ' ἐκεῖνον A τὸν νοῦν, ἀλλὰ καθ' ὃν ἔφαμεν, ὁ Μωσῆς εἴρηται *Θεὸς Φαραώ*, γνώριμον μὲν ἐκ τῶν εἰρημένων. Οὐδὲν δὲ ἧττον, τεκμηριοῖ καὶ τὸ τῶν [u] Ἀαρὼν, ἄνθρωπόν τε ὄντα, καὶ ἀρετὴν ἀσκοῦντα, εἰ βούλει δὲ, καὶ ταῖς τερατουργίαις ἐφεστηκότα, μὴ *θεὸν Φαραὼ* κληθῆναι *θεὸν Φαραώ*.

quod nequaquam illo sensu, sed eo quem diximus, Moses dicitur *Deus Pharaonis*, e dictis scitur. Sed conjectari præterea licet, quod Aaron, homo cum esset, qui virtutem exerceret, et fortassis miracula operaretur, nullibi appelletur *Deus Pharaonis*.

δ'. Ἐπὶ γοῦν τριῶν διαφόρων ὑποκειμένων τῇ θείᾳ [v] τιθεμένης προσηγορίας, καὶ τοῦ μὲν κυρίως, τῶν δὲ καθ' ὁμωνυμίαν λεγομένων· ἔστιν εὑρεῖν καὶ ἄλλο τι τῆς φωνῆς σημαινόμενον, οὐκέτι μὲν κατὰ δόξαν, χρήσει δὲ μόνῃ λαμβανόμενον τῆς θείας Γραφῆς. Τὰ γὰρ τῆς Ἑλληνικῆς θρησκείας σεβάσματα, θεοὺς καὶ αὐτὴ [x] πολλάκις μὲν κατειρωνευομένη, καὶ ἐπὶ ἐλέγχῳ τῶν προσκεκυνηκότων· » Βαδίζετε γὰρ, φησὶν, καὶ βοᾶτε πρὸς τοὺς θεοὺς, οὓς ἐξελέξασθε ἑαυτοῖς, καὶ αὐτοὶ σωσάτωσαν ὑμᾶς· « πολλάκις δὲ, καὶ εἰς μόνην δήλωσιν τοῦ προκειμένου, εἰώθε καλεῖν· « Οὐκ ἔσονταί σοι γὰρ, φησὶν, θεοὶ ἕτεροι πλὴν ἐμοῦ· » καὶ, « Οὐκ ἐποιήσατε ὑμῖν θεοὺς ἀργυροῦς καὶ χρυσοῦς; » καὶ μυρία ἡ χρῆσις.

4. Ista tria cum subjecta reperiantur divinæ propositæ nominationis; quorum unum proprie, duo homonyme dicuntur: alia vocis significatio reperiri potest, non formata opinione, usu tantum obtinente divinarum Scripturarum. Quæ enim a paganis colebantur numina, *deos* interdum vocat per ironiam, in convictionem eorum qui colebant: « Ite, inquit, et inclamate apud deos quos elegistis B vobis, et ipsi vos salvos facient [5]; « sæpe etiam ut tantummodo indicet quem designat, ita appellare solet: « Non erunt, inquit, tibi dii alii præter me [6]. » Et: « Annon fecistis vobis deos argenteos et aureos [7]? » Sed multiplex iste usus.

ε'. Ἐπεὶ δὲ τέσσαρα [y] τῆς, *Θεὸς*, φωνῆς διεκρίθη τὰ δηλούμενα· εἰδέναι δεῖ ὡς ἐν τῷ προκειμένῳ σοι πρὸς μάθησιν ῥητῷ, « Ἄνθρωπος ὃς καταράσηται Θεὸν, ἁμαρτίαν λήψεται, » καὶ ἑξῆς, οἱ μὲν Θεὸν ἐνταῦθα, τὸν ἀληθῶς καὶ κυρίως Θεὸν ἐξακούουσιν· οἱ δὲ, τῶν ψευδωνύμως ἐπονομασθέντα λαμβάνουσιν· ἀρχὴν δὲ διάφορον ἑαυτοῖς ὑποθέμενοι, καὶ τὰ ἑξῆς διαφόρως περαίνουσιν. Οἱ γὰρ ὑπειληφότες Θεὸν εἰρῆσθαι νῦν, ὃν ἕκαστος τῶν δυσσεβούντων ἄγει σέβασμα, οὕτω τὸν νοῦν ἀναπτύσσουσιν· Οὐ δεῖ, φησὶν, οὐδὲ τὸν Ἑλληνικαῖς θρησκείαις προσανακείμενον ἐξυβρίζειν ὅπερ σέβεται. Εἰ γὰρ κἀκεῖνο δυσφημίας ἐστὶν ἀπάσης ἄξιον· καὶ τῶν εὐσεβούντων ἑκάστῳ βδέλυγμα καὶ νομίζεσθαι καὶ ὀνομάζεσθαι δίκαιον· ἀλλ' οὖν ὅ γε Θεὸν νομίζων, εἶτα δὲ δυσφημῶν, ἁμαρτίας ἐστὶν ἔνοχος. Τῇ γὰρ ἑαυτοῦ γνώμῃ καὶ κρίσει, Θεὸν ὁ τοιοῦτος ἀλίσκεται βλασφημῶν, καὶ δυσσεβείας ὑπεύθυνον ἑαυτὸν καθιστάς. Τί γὰρ, ἐνὸν ἢ μὴ σέβειν, ἢ μὴ δυσφημεῖν; Σὺ δὲ μιγνὺς τὰ ἀσύμβατα, ὅπερ σέβεις τοῦτο δυσφημεῖν [z] κατέγνως, ἀπόστηθι. Ἀλλ' ἔτι προσέρχῃ ὡς Θεῷ, πῶς οὐ πέφρικας δυσφημεῖν, καὶ ἀραῖς ὑπάγειν τὸν ἔτι σοι λατρευόμενον; « Ἄνθρωπος τοιγαροῦν, ἄνθρωπος, ὃς καταράσηται Θεὸν αὐτοῦ, διὰ τοῦτο ἁμαρτίαν λήψεται· » οὐχ ὅτι Θεὸν ἐπηράσατο· ἀλλ' ὅτι ὅπερ ὡς Θεὸν αὐτοῦ σέβεται, κατ' αὐτοῦ καὶ γλῶσσαν ἀφῆκε δύσφημον. Εἶτα· « Ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω. » Ἂν δέ τις τὸν ἀληθῆ Θεὸν, καὶ πάντων Δεσπότην, ὑπ' ἀρὰν καὶ βλασφημίαν ἀγαγεῖν τολμήσοι, θάνατος αὐτῷ τὸ ἐπιτίμιον. Διττοῖς γὰρ οὗτος ἄτοπος συνείληπται. Τό τε γὰρ οἰκεῖον ἐδυσφήμησε σέβασμα, καὶ τὴν ὕβριν κατὰ τοῦ Σωτῆρος καὶ Δημιουργοῦ τῶν ὅλων, ὃς πά-

5. Ista quatuor vocis *Deus* significata cum distinguantur, sciendum est, ut dubium a te propositum explicemus, « Homo qui Deo maledicet, peccatum capiet [8], » etc.

Sunt qui vere et proprie intelligi Deum volunt: alii falso nomine dictos: principium vero sibi discrepans substernunt isti, et diversimode de sequentibus determinant. Nam qui supponunt Deum hic intelligi, quem pro numine quispiam adorat impie, C sensum ita reddunt: Non oportet ne quidem paganicæ religionis addictum, contumeliis id quod colit afficere: nam licet id mercatur quavis affici contumelia, et a viris religiosis pro abominando haberi debeat et nominari; is tamen qui id pro Deo habet, et tum blasphemat, reatum incurrit peccati. Nam ex animi sui sententia, Deum manifeste blasphemat, et impietatis se reum præstat. Certe aut non coluisse, aut non blasphemasse oportuit. Tu commisces incongruentia, dum quod colis, blasphemas illud. Si condemnas, ab ejus cultu recede. Si tamen accedis tanquam ad Deum, quare non formidas male verbis incessere, et exsecrationi subjicere, quem colis? Quocirca « Homo D ille qui exsecratur Deum suum, ob idipsum peccatum incurrit: » non quod Deo maledixerit, sed quod in eum quem deum suum colebat, linguam immisit maledicam. Addit: « Nominans autem nomen Domini, morte moriatur [9]: » hoc est: Si quis verum Deum, universorum Dominum, sub imprecatione et blasphemia adducere ausus fuerit, mors illi infligitur pœna. Duplici enim absurditate premitur; Numen enim proprium blasphemavit, et contumeliis affecit Deum, qui Salvator omnium et

[5] Judic. x, 14. [6] Exod. xx, 3. [7] Dan. v, 23. [8] Levit. xxiv, 15. [9] ibid.

VARIÆ LECTIONES.

[u] Col. Mon. τὸν. [v] *Ist.* Θεός. C. M. Θείας. [x] *Ist.* αὐτούς. C. M. αὐτή. [y] Sic et Cod. Mon. [z] Cod Mon. δυσφημεῖς.

Digitized by Google

Creator est, qui superat omnem laudationem et gloriam : peccati reatu tenetur, hoc est, pœnam insolentiæ et convitii subibit. Qui id quod veneratur, ipse exsecratur, utramque usurpatam deitatis vocationem sibi assumpserit : duplici pœna, imo multiplici subditus merito erit, qui universi factorem, et Deum maledictis proluit, et exsecrationibus audet supponere. Quare dignum illud blasphemum caput est, ut lapidibus vita privetur, lascivientis linguæ luens supplicium.

6. Atque ita hoc dictum interpretantur vetustiores. Posteriores ad hunc modum sententiam explicant : « Homo, inquam, qui diis suis maledixerit, peccatum incurret; » est hæc, illi inquiunt, per se plana sententia. Qui nimirum verum Deum exsecratur, aut alioquin in eum insanit, peccati reus est, quod in ineluctabili supplicio terminatur. Hoc autem dictum : « Nomen Dei Domini nominans, » tale prohibetur esse Judæis nomen Dei, aut per labia proferri, sed indictum, et haud cuicunque prolatum custodiri, nisi solis pontificibus, in cultum Dei et reverentiam. Quocirca nec litteris apud illos usitatis scribitur, sed peregrinis et exoticis characteribus litteras figurant, quasi symbolis quibusdam mysticis; sunt autem litteræ quatuor, unde et tetragrammaton apud eos usurpatur. Idem ergo, inquiunt, apud Judæos erat, *exsecrari et nominare* Deum, hoc est, nomen ejus ineffabile per labia ad profanas aures transmittere : quocirca morte utrumque luebatur.

7. Atque hactenus isti. Porro autem nomen istud aureo folliculo inscriptum, et vinculis quibusdam ad filamen annexum pontificale, summi sacerdotis frontem ornabat et custodiebat : nam tremendum et venerandum intuentibus videbatur : simul intimabat, oportere pontificem mente perpetuo copulari Deo, nec ab illa beata connexione divulsum ad terrestria et evanida deferri. Atque ita quid intendat hoc nomen, Deus ipse docet : cum interrogaret Moyses : « Quod est nomen tuum? » respondit : « Ego sum, qui sum : » tum quasi asseveraret hoc ejus esse nomen quod protulerat, « Ego, inquit, Dominus visus sum Abrahæ, Isaaco, Jacobo : » tum, « Nomen meum non revelavi illis [10]; » ut tu dicas me te majori honore prosecutum, quam majores tuos patriarchas, nomen enim meum quod iis non indicavi, ne quidem Jacobo, cum instantius rogaret, hoc tibi innotui, per « Ego sum, qui sum; » et hoc nomen Hebræis Aia dicitur, Samaritanis Iabe scribitur. Porro hisce litteris Ἰώθ. Ἄλφ. οὐαύθ. ἦθ. quibus indicatur, sine fine, sine

A σης ἐστὶν εὐφημίας καὶ δόξης ὑπεράνω, κατεσκέδασεν· ἁμαρτίας μὲν γάρ ἐστιν ἔνοχος, τουτέστιν, παροινίας καὶ ὕβρεως δίκην ὀφείλων. Καὶ ὁ τὸ ἴδιον ἐπαρώμενος θρήσκευμα, εἰ καὶ ψευδωνύμως τὴν κλῆσιν ἐφέλκοιτο τῆς θεότητος, διπλῆς δὲ καὶ πολλαπλῆς τιμωρίας ὑπόχρεως, ὁ τὸν τοῦ παντὸς Δημιουργὸν καὶ Θεὸν ὕβρεσιν πλύνων, καὶ ἀραῖς τετολμηκὼς ὑπάγειν. Δι' ὃ λίθοις τοῦ ζῆν ἡ βλάσφημος ἐκείνη κεφαλὴ ἀξία ἐκκόπτεσθαι, τῆς ἀκολάστου γλώσσης τὴν δίκην ὑπέχουσα.

ς'. Οὕτω μὲν οἱ πρότεροι τὸ ῥητὸν διασαφοῦσιν· οἱ δὲ μετ' ἐκείνους, ὧδε διηγοῦνται τὸν νοῦν· « Ἄνθρωπος, ὃς καταράσηται Θεὸν αὐτοῦ, ἁμαρτίαν λήψεται, » αὐτόθεν ἐστὶ, φασὶ, σαφὴς ἡ διάνοια. Ὁ γὰρ τὸν ἀληθῆ Θεὸν ἐπαρώμενος, ἢ ἄλλως ἐμπαροινῶν αὐτῷ, ἔνοχός ἐστιν ἁμαρτίας· ἡ δὲ εἰς τιμωρίαν ἀπαραίτητον τελευτᾷ. Τὸ δὲ [a], « Ὀνομάζων τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ· » τοιοῦτον εἶναι ἀπείρητο τοῖς Ἰουδαίοις τὸ τοῦ Θεοῦ ὄνομα· ἀλλ' ὅτι παρὰ τὴν, Θεὸς, φωνὴν νομιζόμενον διὰ χειλέων ὅλως προφέρεσθαι· ἄφραστον δὲ καὶ ἀνέκφορον παντελῶς, πλὴν ὅσα γε τοῖς ἀρχιερεῦσι μόνοις, ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ Θείου, διετετήρητο. Διὸ οὐδὲ γράμμασι τοῖς παρ' αὐτοῖς διεγράφετο, ξένοις δέ τισι καὶ παρηλλαγμένοις γραμμάτων τύποις χαρακτηρίζοντες, οἷα δὴ μυστικωτέροις συμβόλοις, αὐτὸ παρυπέφαινον τέσσαρα δὲ τὰ γράμματα ἦν ἐξ οὗ καὶ τετράγραμμον αὐτοῖς ἐπωνομάζετο. Ἐν ἴσῳ τοίνυν, φασὶν, ὑπῆρχε. παρ' Ἰουδαίοις *ἀράσασθαί* τε τὸν Θεὸν, καὶ *ὀνομάσαι*· τουτέστιν, τὸ ἄφραστον ὄνομα αὐτοῦ διὰ χειλέων, καὶ μάλιστα κοιναῖς προσενεγκεῖν ἀκοαῖς. Διὸ καὶ ἑκατέρῳ θάνατος ἐπέκειτο ἡ ζημία.

ζ'. Ἀλλὰ ταύτῃ μὲν καὶ οὗτοι. Τοῦτο δὲ τὸ ὄνομα, καὶ χρυσοῦ πετάλῳ ἐγχαραττόμενον, καὶ τῇ ἀρχιερατικῇ ταινίᾳ δεσμοῖς ἁρμοζόμενον, τὸ τοῦ ἀρχιερέως ἐφρούρει τε καὶ ἐκόσμει μέτωπον· ἅμα μὲν φοβερὸν καὶ σεβάσμιον τοῖς ὁρῶσι δεικνύς· ἅμα δὲ καὶ παρεγγυώμενον ἀεὶ δεῖν τὸν ἀρχιερατὸν [b] νοῦν συντηνῶσθαι τῷ Θεῷ, καὶ μηδέποτε τῆς ἐκεῖθεν συναφείας καὶ μακαριότητος διασπώμενον, ἐπὶ τὰ γήϊνα, καὶ ἅπερ ἐστὶ τῆς ματαιότητος, καταφέρεσθαι. Τί δή ποτ' οὖν ἐστι τοῦτο τὸ ὄνομα, αὐτὸς ὁ τῶν ὅλων Θεὸς διδάσκει. Ἐπερωτήσαντι γὰρ τῷ Μωσεῖ, τί τὸ ὄνομα αὐτοῦ, ἔφη, « Ἐγώ εἰμι ὁ ὤν· » καὶ πάλιν, ἐπιβεβαιῶν ὡς τοῦτο αὐτοῦ εἴη ὄνομα, ὃ προεξέφηνεν, « Ἐγὼ, φησὶ, Κύριος ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· » εἶτα, « Καὶ τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς· » ἵνα εἴπῃς [c], μείζονός σε φιλοτιμίας, ἢ τοὺς πατριάρχας, τοὺς σοὺς προγόνους, ἠξίωσα· τὸ γὰρ ὄνομά μου, ὅπερ ἐκείνοις οὐκ ἐδήλωσα, καίτοι τῷ Ἰακώβ, καὶ προσλιπαρήσαντι, τοῦτό σοι διεσάφησα ἀποφηνάμενος, « Ἐγώ εἰμι ὁ ὤν. » Τοῦτο δὲ παρὰ μὲν Ἑβραίοις λέγεται Αἰά·

[10] Exod. III, 14

VARIÆ LECTIONES.

[a] C. M. τί δέ. [b] leg. ἀρχιερέα τόν. C. M. ἀρχιερατικὸν νοῦν. [c] εἴπῃ.

Digitized by Google

παρὰ δὲ Σαμαρείταις, Ἰαβέ. Γράφεται δὲ καὶ γράμμασι τούτοις· ἰὼθ. ἅλφ. οὐαύθ. ἦθ. δι' ὧν δηλοῦται τὸ ἀνάρχόν τε καὶ ἀτελεύτητον τοῦ Θεοῦ. Τοῦτο γὰρ παρίστησιν καὶ τὸ [d], *ὁ ὤν*. Αὕτη γὰρ ἡ φωνὴ, μήτε πρὸ αὐτοῦ, μήτε μετ' αὐτὸν εἶναί τι κυρίως, καὶ ὑπάρχειν ὅλως, ἐνδείκνυται· ὅπερ τὸ ἀεὶ εἶναι, καὶ ἀϊδίως εἶναι, συνίστησιν. Ἑκατέρᾳ τοίνυν προσομιλῶν ἑρμηνείᾳ, οὐδ' ἑτέραν, οἶμαι, διώξεις, οὔτε ἀσαφείας, οὔτε τοῦ μὴ περὶ πόδα εἶναι τὴν ἑκατέρωθε διάνοιαν τῷ ῥητῷ. Ἔρρωσο.

A principio esse Deum. Et hoc significat, *qui est* : hæc enim vox neque ante eum, nec post eum aliquid omnino exsistere, proprie notat; idque semper exsistere et æternaliter subsistere intimat. Utrivis istarum expositionum si te accommodes, haud opinor aliam indagabis, cum nec obscuritas ulla adsit, et utrumque dictam sententiam exhibeat in procinctu. Vale.

ΕΡΩΤΗΣΙΣ ιγ'.

QUÆSTIO XC [CCLXXI, *Taur.* CCXLVI].

Edita a Montacutio, ep. 163, *ad Amphil.*, p. 220. De pœna in pronuntiantes nomen Dei ineffabile. Levit. xxiv, 16.

Ὡς καλή σου ἡ ἀπορία! Γράφεις γὰρ, ὡς εἰ μὲν ἄῤῥητον ὄνομα τὸ θεῖον, καὶ γνώσεως μεῖζον, πῶς ἐπέκειτο θάνατος τῷ φθεγξαμένῳ ἡ ζημία; Οὐδὲ γὰρ ἐνῆν, οὐδὲ πολλὰ θελήσαντι, φθέγξασθαι· εἰ δ' ἐνῆν διὰ χειλέων προενεγκεῖν, πῶς ἄῤῥητον καὶ ἀνέκφραστον; Ἀλλ' ἔχεις, οἶμαι, προγεγραμμένην σοι καὶ λαμπρῶς τὴν λύσιν. Τῷ γὰρ εἰπεῖν τὸν ὑπερουσίως ὄντα Θεὸν, « Ἐγώ εἰμι ὁ ὤν· » ὄνομά τε αὐτοῦ εἶναι τοῦτο ἂν εἰπεῖν, καὶ τῷ ταύτης τῆς φωνῆς Μωσέα διακοῦσαι· οὐκ ἀκοῦσαι δὲ μόνον, ἀλλὰ καὶ τοῖς ἀρχιερεῦσιν ἀπαγγεῖλαι· οὐκ ἀπαγγεῖλαι δὲ μόνον, ἀλλὰ καὶ χρυσῷ πετάλῳ γράφειν παραδοῦναι· ὅτι μὲν τῇ ἑαυτοῦ φύσει καὶ γνωστὸν ἦν, καὶ ῥητόν· καὶ ὅτι τισὶ μὲν ἐπέγνωστο, καὶ οὐκ ἄφραστον πρὸς ἀλλήλους ἦν, διὰ πάντων ὑπάρχει σαφέστατον. Ὅτι δὲ δι' ὧν τοῖς πολλοῖς οὔτε εἰς ἀκοὰς, οὔτε εἰς γνῶσιν ἀφῖκτο, ἀλλὰ καὶ οἷς ἐγινώσκετο φυλακὴ προσῆν εἰς ἄλλους μὴ ἐξάγειν· καὶ τοῦτο δῆλον ὡς ἄῤῥητον αὐτὸ καὶ ἀνέκφραστον ἐδίδου καλεῖσθαι· ἄφραστος οὖν καὶ ἀνέκφορος ἡ θεία κλῆσις, οὐχ ὅτι φύσιν οὐκ εἶχε ῥήμασι καὶ γλώσσῃ ῥηθῆναι (δῆλον γὰρ, κἀξ ὧν νῦν ἅπαντι τῷ βουλομένῳ ῥητός ἐστιν), ἀλλ' ὅτι οὔτε πᾶσι ῥητὸν ἦ γνωστὸν, οὐδ' ὅτι οἷς ἐπεπίστευτο εἰδέναι, οὐδὲ ἐκείνοις ἦν δυνατὸν, φόβῳ τοῦ θανάτου, πρὸς ἄλλους λέγειν, ἢ τρόπον ἕτερον εἰς γνῶσιν ἄγειν. Ἔχεις τοιγαροῦν, ὦ βέλτιστε, ὅπως παρ' Ἰουδαίοις ἄγνωστόν τε καὶ ἀνέκφραστον τὸ τοῦ Θεοῦ ὄνομα ὑπῆρχε· καὶ ὅπως ἐνῆν βουλομένοις ἐνίοις αὐτῶν, καὶ αὐτοὺς εἰπεῖν καὶ ἑτέρους εἰδέναι τε καὶ ἀναφθέγγεσθαι παραπλησίως αὐτοῖς, ἐκδιδάσκειν· εἰ μὴ τῆς τιμωρίας ἐπικείμενος ὁ φόβος, μεῖζον ἐγίνετο τῆς ἐπιθυμίας τῶν τὰ τοιαῦτα ζητούντων μυεῖσθαι. Καὶ οὐδὲν, ὡς ὁρᾷς, καθορᾶται οὔτε δύσκολον οὔτ' εἰς ἀπορίαν τινὰ περιστῆναι βιαζόμενον.

Quam erudita est tua quæstio! Ita enim scribis, si ineffabile nomen Dei sit, et cogitationem excedit, cur morte luebant, qui efferebant? neque enim poterat quis, licet valde cuperet, illud proferre; quod si labiis proferri potuit, quomodo erat ineffabile, aut inexplicabile? Sed habes jam præscriptam, ni fallor, luculentam solutionem. Cum enim dixerit, qui Deus est suprasubstantialis, « Ego sum, qui sum, » dicendum quoque est hoc esse nomen ejus, eo quod hanc vocem fando accipiebat Moyses; sed nec ipse solus audiit, verum et pontificibus annuntiavit; nec annuntiavit tantum, sed inscriptum aureæ laminæ dedit : atque ideo insinuat et intelligi et nominari Deum posse; et certe quod non nemini cognoscebatur, et quod non plane inter illos indicibilis, e multis patet vel clarissime. Quod autem, et per quæ quamplurimis, nec ad aures, nec ad intelligentiam ascendit, sed et insuper in eos, quibus innotuerat, custodia apponebatur, ne ad extraneos effarentur, liquet inde, quod innominabile et indicibile voluit appellari. Et ergo nomen Dei ineffabile et inefferibile; non quod natura præditus est Deus, quæ verbis et lingua dici nequeat : patet enim quod etiamnum illud quisquis voluerit, proferre queat : sed quod omnibus passim nec intelligi, vel edici queat, sed nec iis, quibus cognitio ejus concredebatur, licitum erat sub pœna capitali, aliis enarrare, aut aliis quovis modo cognifacere. Habes ita, o bone, quomodo Dei nomen apud Judæos ignotum et ineffabile fuit, et quod licebat nonnullis inter eos, cum enuntiare ipsis, tum apud alios proferre, et eos docere, quæ cognoscebant ipsi : nisi mortis metus major desiderium eorum superasset, qui volebant hæc mysteria addiscere. Atque ita vides nihil videre licet, vel difficile, aut quod impingat in aliquam inextricandam dubitationem.

ΕΡΩΤΗΣΙΣ ιδ'.

QUÆSTIO XCI [*Coisl.* CCLVI. *Taur.* CCXLVII].

Τί ἐστιν « Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς; »

Quid sibi vult illud : « Sæpe proposui venire ad vos? »

Edita a Montacutio, ep. 164, *ad Georg. Nicom.*, p. 221-229. In Rom. I, 13.

« Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι πολλάκις

« Nolo vos ignorare, fratres, quod cum sæpius

VARIÆ LECTIONES.

[d] C. M. omittit τό. [e] Ἴσ. εἶπον ὅτι.

Digitized by Google

vos adire proposuerim, ut aliquem fructum inde percipiam, hactenus fuerim impeditus [11], etc. » Locum hunc, cujus tu sententiam et sensum desideras, per hyperbaton exponere possumus, ut consequentia talis sit : Nolo vos ignorare quod sæpenumero in animo habui ad vos accedere, ut fructum aliquem etiam a vobis percipiam, sed ad hunc usque diem impeditus fui. Syntaxis istius dicti plena est hæc, quæ et perspicua est, et periodi sensum explicat. Attamen dicet aliquis : Si fides illorum in toto orbe annuntiabatur (hoc enim paulo prius testimonium iis perhibuerat), quem tandem fructum volebat ipse præsens, si adesset perhibere? Multiplicem affirmamus. Si enim illi credebant, et propter urbis amplitudinem fidei ipsorum fama ad omnes propagabatur, nihilominus multis adhuc indigebant. Patet hoc ex eo, quod paulo prius dixit : « Ut stabiles efficiamini. » Nam stabiliri ad quos spectat, nisi ad eos qui concutiuntur? Iterum præterea cum in præcedentibus admonet, ut ne se invicem condemnent, ut divisiones declinent, atque scandala. Plurima hujus generis per totam sparsim epistolam cernere licet, unde monstratur eorum imperfectio et nupera compaginatio. Ita non abluditur, ut licet eorum fides deprædicetur, multiplici tamen opus subsidio habeant a Paulo (verbis ut dicam ipsius) « irrigandi, ut fructum ferant. » Videsis autem ut dicat, « Ut fructum aliquem percipiam et a vobis. » Docet quod illorum fructus Pauli proprius fructus ei reputabatur, et quod haud aliter de vicinorum rectefactis gauderet, quam de propriis lætaretur. Fructum, quem ferrent illi, suum fructum proprium ducit; idque vult, ut fructum percipiam. Quo dicto demum et illud insinuat, distulisse se ideo profectionem ad ipsos, ut commodis ipsorum consuleret. Alioquin autem Pauli fructus, si quis accurate consideraverit, revera est illorum fructus. Illius enim opus, studium, agricolatio, erat hominum salus, et ut fructum eos ferentes redderet pietatis et virtutum. Optime ergo inquit, « Ut fructum aliquem feram. » Breviter, ut unumque perfectum, et nativo colore præstans manifestat : nempe, recte ut illi factis suis fructum ferant, et ipse illos pro fructu habeat : nam in eo quod frugiferi essent, Pauli cultura illustris reddebatur. Quod si per hyperbaton locum intelligendum quis putet, sensum feret iste simplicem : cum plurimum hac figura utatur magnus Paulus, uti et ellipsi et circumlocutione, et ἀπὸ κοινοῦ, et fere omnibus aliis figuris. Tamen fieri potest ut qui haud ceperit per hyperbaton, sed eo ordine quo voces disponuntur, istiusmodi inde sententiam venetur : « Sæpenumero proposui ad vos venire. » At quorsum non venisti? « Impeditus fui, respondet, usque nunc. » Quid impediebat autem? « Ut

A προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα τινὰ καρπὸν σχῶ, » καὶ ἑξῆς. Τοῦτο δὴ τὸ χωρίον οὗ τὴν διάνοιαν ἀναμαθεῖν ἐπεζήτησας, ἔστι μὲν καὶ καθ' ὑπερβατὸν ἐκλαβεῖν, ἵν' ᾖ τὸ ἀκόλουθον τοιοῦτον· Οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὅτι πολλάκις προσθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα καρπόν τινα σχῶ καὶ ἐν ὑμῖν, ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο. Καὶ ἡ μὲν ἀπηρτισμένη τοῦ ῥητοῦ σύνταξις τοιαύτη ἂν εἴη σαφὴς καὶ τὸν νοῦν τῆς περιόδου παρέχουσα. Ἀλλ' εἴποι τις ἄν, ὅτι εἰ ἡ πίστις αὐτῶν ἐν ὅλῳ τῷ κόσμῳ κατηγγέλλετο (τοῦτο γὰρ αὐτοῖς ἐμαρτύρησεν προμικροῦ), τίνα καρπὸν ἤθελε παραγενόμενος αὐτὸς παρασχεῖν; Ἀλλὰ πολὺν μὲν οὖν ἐροῦμεν. Εἰ γὰρ καὶ ἐπεπιστεύκασιν ἐκεῖνοι, καὶ διὰ τὸ λαμπρὸν τῆς πόλεως εἰς πάντας ἐχύθη τῆς αὐτῶν πίστεως B ἡ φήμη, παμπόλλων ὅμως ἐδέοντο. Καὶ τοῦτο δῆλον ἔκ τε τοῦ πρὸ ὀλίγου εἰπεῖν· « Εἰς τὸ στηριχθῆναι ὑμᾶς. » Τὸ γὰρ στηριχθῆναι τίνων ἄλλων ἢ τῶν σαλευομένων ἐστίν; Καὶ πάλιν ἐν τοῖς ἔμπροσθεν, ἡνίκα μὴ κρίνειν ἀλλήλους, ἀλλὰ καὶ τὰς διχοστασίας ἐκκλίνειν καὶ τὰ σκάνδαλα παραινεῖ· καὶ μυρία τις τοιαῦτα δι' ὅλης ἴδοι τῆς ἐπιστολῆς, δι' ὧν τὸ ἀτελὲς αὐτῶν καὶ νεοπαγὲς ἐπιδείκνυται. Οὐδὲν οὖν ἀπεικὸς καὶ τὴν πίστιν αὐτῶν [f] καταγγέλλεσθαι καὶ αὐτοὺς ἔτι πολλῆς δεῖσθαι τοῦ ἐπικουρίας Παύλου καὶ τῆς διὰ τῶν αὐτοῦ ῥημάτων ἀρδείας καὶ καρποφορίας. Ὅρα δὲ πῶς φησιν· « Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν. » Τοῦτο μὲν δεικνὺς ὡς ἐκείνων καρπὸς, οἰκεῖος ἐλογίζετο τῷ Παύλῳ καρπός· καὶ C οὕτως ἔχαιρεν [g] ἐν τοῖς τῶν πλησίον, ὡσεί τις ἄλλος ἐν τοῖς ἰδίοις κατορθώμασιν. Ἵνα τινὰ, φησὶν, καρπὸν σχῶ, τὸν ἐκείνων καρπὸν καρπὸν οἰκεῖον τιθέμενος. Τοῦτο δὲ πάλιν παριστὰς ὅτι τῆς αὐτῶν ἕνεκεν ὠφελείας τὴν πρὸς αὐτοὺς πορείαν ἐστέλλετο. Ἄλλως τε δὲ καὶ εἴ τις ἀκριβῶς ἐπισκοποίη, Παύλου καρπὸς ἀληθῶς ἐστιν ὁ ἐκείνων καρπός. Ἔργον γὰρ ἦν ἐκείνῳ καὶ σπουδὴ καὶ γεώργιον ἡ τῶν ἀνθρώπων σωτηρία, καὶ τὸ καρποφοροῦντας αὐτοὺς παραστῆσαι τὴν εὐσέβειαν καὶ τὰς ἀρετάς. Καλῶς οὖν φησιν, « Ἵνα τινὰ καρπὸν σχῶ. » Ἑκάτερον συντόμως τελείαν καὶ σὺν τῷ εὐφυεῖ ἐπίδηλον ποιῶν, καὶ τὸ ἐκείνους τὴν ἐν κατορθώμασι πίστιν καρποφορεῖν, καὶ τὸ αὐτὸν αὐτοὺς ἐκείνους. Ἐν γὰρ τῇ ἐκείνων καρποφορίᾳ ἡ τοῦ Παύλου λαμ- D πρῶς ἐδείκνυτο γεωργία. Ἀλλ' εἰ μὲν καθ' ὑπερβατόν τις εἰρῆσθαι τὸ χωρίον ἐκλάβοι, ἔχει τὴν διάνοιαν οὕτως ἐξηπλωμένην· καὶ γὰρ πολλή τις τοῦ τοιούτου σχήματος τῷ μεγάλῳ Παύλῳ ἡ χρῆσις, ὥσπερ καὶ τῆς ἐλλείψεως, καὶ τῶν περιβολῶν, καὶ δὴ καὶ τοῦ ἀπὸ κοινοῦ, καὶ κατὰ πᾶσαν ἰδέαν ἡ μεταχείρησις. Ἀλλ' οὖν δυνατὸν καὶ μὴ καθ' ὑπερβατὸν εἰληφότα, ἀλλ' ὡς ἔχει τάξεως συντηρήσαντα τοιοῦτον ἐν αὐτῷ θηρᾶσαι τὸν νοῦν· « Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς. « Διὰ τί οὖν οὐκ ἦλθες; « Ἐκωλύθην, φησὶν, ἄχρι τοῦ δεῦρο. » Τίνος ἕνεκεν; « Ἵνα τινὰ καρπὸν

[11] Rom. I, 13.

VARIÆ LECTIONES.

C. Mon. minus recte αὐτοῖς. [g] C. Mon. ἔχαιρον.

Digitized by Google

σχῶ καὶ ἐν ὑμῖν. » Τουτέστιν, διὰ τοῦτο ἐκωλύθην, ἵνα μὴ θᾶττον ἐλθὼν ὀκάρπους ὑμᾶς ἔτι καταλάβω· καταλαβὼν γὰρ ἀώρους ἐμεμψάμην ἂν ἐμαυτῷ μὲν τῆς ἀκαίρου ταχύτητος, καὶ ὑμῖν δὲ τῆς ἐν οἷς οὐκ ἔδει βραδύτητος. Διὸ ἀνεβαλόμην τὴν παρουσίαν, ἐλπίζων τὴν γεωργίαν, ἧς οὐχὶ μήπω πρὸς βλάστην ὁρώσης, ἀλλ' ἤδη καὶ τοῖς ἄνθεσιν ἐνυστερούσης, ὄκνος ἔχει παρεῖναι τὴν ταύτης ἐν ἀπολαύσει γενέσθαι ποθοῦντα. Ἐπειδ' ἂν δὲ μετὰ τὴν βλάστην καὶ τὰ ἄνθη, ἐπιφαίνηται καὶ τελεσφορουμένη· τότε χαρᾶς καὶ εὐφροσύνης ὁ πρὸς αὐτὴν πληρούμενος δρόμος. Οὐκ οἶδεν λογίζεσθαι πόνους, οὐδὲ πρὸς ἄλλα τὴν σπουδὴν καταμερίζειν. Τί οὖν ἂν καὶ καρποφορῶσιν; τίς ἡ χρεία τῆς παρουσίας; Παύλου; Πολλὴ μὲν οὖν. Οὐ γὰρ πάντα ἀνέμενεν τὸν καρπὸν, ἀλλά τινά. « Ἵνα γάρ τινα καρπὸν σχῶ, φησὶ, καὶ ἐν ὑμῖν. » Ὥσπερ δὲ περιττὸν καὶ μάταιον τὸν τελείως καρποφοροῦντα εἰς καρποφορίαν παρακαλεῖν, οὕτως ἐπίπονον καὶ ὀκνηρὸν, ἂν μηδὲ χρηστὰς ἐλπίδας ὑπάρχῃ λαβεῖν, ἐπὶ τὰ τέλεια παραινεῖν. Εἰ δὲ [b] καρπός τις ἦν, καὶ οὗτος τέλειος ἐν αὐτοῖς, οὐδ' οὕτως ἁπλῶς ἐνεκόπτετο τὴν παρουσίαν [b*] ὁ πτηνὸς ἐκεῖνος καὶ μετάρσιος ἄνθρωπος· « ὀφειλέτην» γὰρ ἑαυτὸν καὶ οἶδε καὶ ἀποκαλεῖ, «οὐχ Ἑλλήνων μόνων καὶ βαρβάρων, ἀλλὰ καὶ σοφῶν καὶ ἀνοήτων· » καὶ τῷ καθ' ἑαυτὸν προθύμῳ, οὐχ ἵστατο μὴ πλείω τῶν ὄντων ἐπιζητεῖν, ὥστε καὶ [i] τοῖς ἔργοις ἐκόμων, αὐτὸς ἂν τὸ αὐτοῦ οὐκ ἀπέστη ποιῶν· ἀλλ' ἐπέκειτο προσθήκην μειζόνων ἐπιζητῶν. Ἀλλ' οὕτω μὲν καὶ ἡ τοιαύτη τοῦ ῥητοῦ διασάφησις. Ἔστι δὲ καὶ ἄλλως τὸ νόημα συνιδεῖν, ἁπλουστέραν μὲν ἴσως τὴν ἐξήγησιν ἐκδεχόμενον, οἰκειωτέραν δ', οἶμαι, καὶ τῆς Παύλου διανοίας καὶ τῆς λέξεως. « Πολλάκις, φησὶ, προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο. » Διὰ τί; « Ἵνα τινὰ καρπὸν σχῶ, » ἵνα εἴπῃς; [j] ἐνελείπετό μοι καρπός τις ὃν ἔδει συλλέξαι πρότερον, εἶτα πρὸς ὑμᾶς παραγενέσθαι. Τίς οὖν ἦν ὁ καρπὸς ἐκεῖνος, καὶ ἐν τίσι συνελέγετο; Αὐτὸς ἐκεῖνος ἐρεῖ· ἐπὶ γὰρ τῷ τέλει τῆς ἐπιστολῆς, ὥσπερ ἐπιλογιζόμενος αὐτῷ τὰ προοιμιασθέντα, οὕτω φησίν· « Διὸ καὶ ἐνεκοπτόμην ἐλθεῖν πρὸς ὑμᾶς, » ὅπερ εἰς ταὐτὸν ἥκει τὸ [k] καὶ « Ἐκωλύθην ἄχρι τοῦ δεῦρο· » εἶτα, « Νυνὶ δὲ μηκέτι ἔχων τόπον ἐν τοῖς κλίμασι τούτοις, » ἀλλὰ πεπληρωκὼς δηλονότι τὸ ἔργον, « Ἐλεύσομαι πρὸς ὑμᾶς. » Ὁρᾷς ὅτι τὸ, ἕως τοῦ νῦν μὴ ἐλθεῖν, ὁ ἐν τοῖς κλίμασιν ἐκείνοις συλλεγόμενος ἐπεῖχε καρπός· ἀτέλεστον γὰρ τὸν ἐν ἐκείνοις πόνον λιπεῖν οὐκ ἦν τῆς Παύλου ψυχῆς καὶ σπουδῆς. Καὶ ὅρα ὡς ἡ τοιαύτη ἀνάπτυξις τοῦ ῥητοῦ, οὔτε τοῦ κατὰ τὸ ὑπερβατὸν ἐδέηθη σχήματος, οὔτε μὴν ἔσχε τινὰς ἀντιπίπτοντας λογισμοὺς, ἀλλὰ καὶ προσήρμοσται μᾶλλον τῶν ἄλλων ταῖς τε λέξεσι, καὶ τῷ τοῦ θεσπεσίου Παύλου σκοπῷ. Καὶ τὸ, *ἐν ὑμῖν*, δὲ οὐδαμῶς ἐναντιοῦται· ἀρχὴ γὰρ ἐστι τῶν ἑφεξῆς,

fructum aliquem a vobis percipiam. » Id est, eam ob causam prohibitus sum, ne si citius venissem, vos infrugiferos reperissem; si enim immaturos invenissem, culpassem intempestivum adventum meum, me de festinatione nimia, vos de tarditate, in iis quæ non decebant. Ideo adventum comperendinavi meum, proventum exspectans, qui cum nondum egerminationem respiceret, sed tardius in florem solveretur, gravaretur ille adesse, qui desiderio ejus fruendæ teneretur. At cum post germinationem et flores ad perfectionem adducta fuerat, tum accessus ad eos cursu festinatus, gaudio et lætitia abundabat; labores haud novit computare, non curam divisim aliis impendere. Quod si fructificent, cui usui inserviet adventus Pauli? Multiplici profecto. Non enim omnimodum exspectavit fructum, sed quemdam tantum. Inquit enim, « Ut aliquem in vobis fructum feram. » Quemadmodum autem superfluum et frustraneum est, cum ad fructum ferendum citare, qui jam perfectos tulit fructus; ita et laboriosum et grave erit, ubi bona spes non suppetit, ad perfectionem inducere velle: sin fructus in iis aliquis, et ille quidem perfectus fuit, ne sic quidem suam præsentiam interfidisset alatus ille et sublimivolans homo; « debitorem » siquidem se et agnovit et professus est: « Non Græcis tantum aut barbaris, sed sapientibus insipientibusque; » et quod ipsius studium attinebat, non se continuit, ut ne quid amplius requireret, quam quod habebat; adeo ut si operibus florerent, ipse tamen haud absisteret, quod suum erat facere, sed majorem fieri additionem instaret. Atque ita sit hujus dicti expositio. Potest et aliter sensus explicari, simpliciori quadam forte interpretatione, at quæ propius accedat ad Pauli mentem et ipsam dictionem. « Sæpius, inquit, proposui ad vos venire, sed impeditus huc usque fui. » Cur autem? « Ut aliquem in vobis fructum percipiam. » Ac si diceres, deficiebat mihi fructus, quem prius oportuit percepisse, atque ita demum advenisse. Quis autem fructus ille, et in quibus colligebatur? Ipse hoc docebit: nam ad finem epistolæ, quasi recolligendo, quæ præmiserat, ait: « Quocirca impeditus sum, ne ad vos venirem, » quod idem est cum, « Prohibitus sum hactenus. At nunc cum locum in hisce regionibus non habeam, » sed opus nimirum absolverim, « veniam ad vos. » Vides, ut fructus in illis locis colligendus huc usque adventum retardaverit. Neque enim Pauli vel animum vel studium decebat, semiperfectum in manibus laborem deserere. Et adverte, ut hæc dicti enodatio, nec figura hyperbato indigebat, nec ratiocinia quædam intercidentia habuit; sed plus quam aliæ interpretationes cum verbis ipsis, tum Pauli congruat intentioni. Nec

VARIÆ LECTIONES.

[b] C. Mon. καί. [b*] C. Mon. τῆς παρουσίας. [i] κἂν. C. M. καί. [j] εἴπῃ. C. M. εἴπῃς. [k] τῷ. C. M. τό.

Digitized by Google

illud *in vobis* impedimentum est; initium enim sequentibus dat, nec connectitur cum : « Ut fructum aliquem in vobis percipiam, » ut, « Vobis debitor sum, quemadmodum ut in cæteris gentibus, Græcis et barbaris, sapientibus et insipientibus sum. » Ne objicerent : Quid ergo tanto studio in fructibus colligendis apud cæteras gentes incubuisti, at nostri nullam habuisti rationem? Imo, inquit, « Et in vobis debitor sum, quemadmodum in cæteris gentibus. » Hoc contendo, hoc inquiro, omnibus debeo, nec aliquis est, pro quo non summa constringor sollicitudine. Atque hæc quidem hactenus. Explicationis enim forma alienior est ab epistolica figura. Quare neutrum licet plane, et ut artis leges requirunt, observare illi, qui per epistolam interpretatur. Quod si exquisite interpretari occasio facultatem dederit, fortassis cum bono Deo absolutius mihi explicanda erunt, et gratiosius tibi audienda.

A καὶ οὐ συναπτόμενον πρὸς τὸ, « Ἵνα τινὰ καρπὸν σχῶ, » οἷον καὶ, « ἐν ὑμῖν ὀφειλέτης εἰμὶ, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι, Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις. » Ἵνα γὰρ μὴ λέγωσι Τί οὖν τὸν μετὰ ἐν τοῖς ἑτέροις κλίμασι καρπὸν διὰ σπουδῆς εἶχες συλλέγειν, ἡμῶν δὲ οὐδένα λόγον [1]; « Ναὶ, φησὶ, καὶ ἐν ὑμῖν ὀφειλέτης εἰμὶ, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι. » Τοῦτο σπεύδω, τοῦτο ἐπιζητῶ, πᾶσι χρεωστῶ· καὶ οὐδείς ἐστιν ὑπὲρ οὗ μὴ πολλῇ συνέχομαι φροντίδι. Ἀλλὰ ταῦτα μὲν τέως ἐπὶ τοσοῦτον. Τῆς γὰρ ἑρμηνείας ὁ τρόπος ἀλλοιότερος [m] ἢ ὃν ὁ τῆς ἐπιστολῆς ἐπιζητεῖ τύπος. Διόπερ οὐδέτερον καθαρῶς, καὶ ὡς οἱ τῆς τέχνης νόμοι, κατ' ἐπιστολὴν ἑρμηνεύοντα πράττειν. Ἂν δὲ καὶ τοῦ καθαρῶς ἑρμηνεύειν ὁ καιρὸς τὴν ἄδειαν δῷ, ἴσως, B Θεοῦ βουλουμένου, καὶ τελειότερον ἐμοὶ μὲν εἰπεῖν, σοὶ δ' ἀκούειν γενήσοιτο χάρις.

QUÆSTIO XCII [*Coisl.* CCLXXII, *Taur.* CCLXII].

ΕΡΩΤΗΣΙΣ ΡΒ'.

Edita a Montacutio, ep. 165, *ad Georg. Nic.*, p. 224-235. De epistolis Pauli et cur se Paulus idiotam vocet, I Cor. XIV, 16.

Miraris Pauli Epistolas tot ideis variatas. Noli ob veritatem mihi succensere : et ego miror nondum te ad profundam illius sapientiam pervenisse. Quod si majori cura et industria illius scripta meditaberis, adhibente nimirum cœlitus auxilio, mirabere magis qui potuit te tantæ sapientiæ gratia latere, et inde pulchritudo sermonibus insita ejus fervidum haud invenit amatorem. Nec insisto adhuc in illa, quæ dogmatum et fidei est sapientia; de illo videris quippe haud dubitare : sed vim et facultatem dicendi urgeo admirabilem. At tum quomodo sermone erit idiota? Certe, eo quo « Princeps C peccator, quo infimus apostolorum, rejectamentum, purgamentum mundi; ut, spectaculum angelis et hominibus. » Quis? Qui ut apostolus Christi gravis esse posset auditoribus; qui abundantius cæteris laboravit; qui priusquam matris partus ederetur, Deo consecrabatur; qui non spectandorum spectator, non audiendorum auditor fuit; Dei in Christo odor bonus; qui Jesu mortificationem, sed et vitam in corpore circumgestabat. Quemadmodum igitur rejectamentum, purgamentum, spectaculum talis vir et tantus fuit; ita plane et sermone idiota fuit. Certe, aliquid istorum reputabatur abiis, qui præconii altitudinem non capiebant; aliquid esse volebat, et quia fuit moderatione et morum facilitate admittebat. At quid tum? Numine in humana sapientia fides nostra? Deus D meliora; sed in potentia Dei, per quam idiotæ sapientia imbuuntur. An ergo Dei sapientia, et hujus mundi, et principum ejus sapientia? Quis hoc dixerit? Talis enim sapientia per crucis stultitiam evacuatur. Impiorum dogmatum terror, erroris auxiliatrix plausibilitas sermonis, implexio artificiosa male-

Θαυμάζεις εἰ τοιαύταις εἰδέαις [n] θείου Παύλου αἱ Ἐπιστολαὶ σχηματίζονται. Καί μοι μηδὲν τῆς ἀληθείας ἀχθεσθῇς, ὅτι οὔπω διέκυψας πρὸς τὸ βάθος τῆς ἐνούσης τῷ ἀνδρὶ σοφίας. Εἰ δέ σε φιλοπονωτέρα περὶ τοὺς ἐκείνου λόγους λάβοι μελέτη, τῆς ἄνωθέν σοι δηλονότι ῥοπῆς εἰς εὐμένειαν ὁρώσης, θαυμάσαις ἂν μᾶλλον, ὅπως σε τοσαύτη σοφίας διελάνθανε χάρις, καὶ κάλλος ἐμφύτου λόγου θερμὸν ἐραστὴν οὐκ εἶχε. Καὶ οὕπω γε τὴν ἐν δόγμασι καὶ πίστει λέγω σοφίαν· τοῦτο γὰρ οὐδ' αὐτὸς ἡμῖν ἀμφισβητῶν ὤφθης, ἀλλ' ὅση κράτος τε λόγων καὶ ἰσχὺν θαυμάζεσθαι παρέχει. Πῶς οὖν ἰδιώτης τῷ λόγῳ; ὥσπερ καὶ « τῶν ἁμαρτωλῶν πρῶτος· » ὡς « ἔσχατος τῶν ἀποστόλων, ἐκτρωμα πάντων [o] » · ὡς « περικάθαρμα τοῦ κόσμου· » ὡς « μὴ ὢν [p] ἄξιος καλεῖσθαι ἀπόστολος· » ὡς « πάντων περίψημα· » ὡς « θέατρον ἀγγέλοις καὶ ἀνθρώποις. » Τίς; Ὁ δυνάμενος ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολος· ὁ περισσότερον πάντων κοπιάσας, ὁ καὶ πρὶν ἢ τὰς μητρικὰς ὠδῖνας λῦσαι, τῷ Θεῷ ἀφωρισμένος· ὁ τῶν ἀθεάτων θεατὴς, καὶ τῶν ἀπορρήτων κατήκοος· ἡ τῷ Θεῷ Χριστοῦ εὐωδία· ὁ τὴν νέκρωσιν τοῦ Ἰησοῦ, ἀλλὰ καὶ τὴν ζωὴν ἐν τῷ σώματι περιφέρων. Ὥσπερ οὖν ἔκτρωμα, καὶ περίψημα, καὶ θέατρον, καὶ περικάθαρμα, ὁ τοσοῦτος καὶ τηλικοῦτος, οὕτω καὶ ἰδιώτης τῷ λόγῳ. Καὶ γὰρ τούτων, τὰ μὲν ἦν τῇ ὑπολήψει τῶν τοῦ κηρύγματος, μὴ συνιέντων τὸ βάθος· τὰ δὲ καὶ αὐτοὺς ἐδίδου, φέρων τῇ τῶν ἠθῶν μετριότητι καὶ ἐπιεικείᾳ. Τί οὖν; Ἐν σοφίᾳ ἀνθρώπων ἡ πίστις ἡμῶν; Μὴ γένοιτο· ἀλλ' ἐν δυνάμει Θεοῦ, δι' ἧς καὶ ἰδιῶται σοφίζονται. Σοφία οὖν Θεοῦ ἡ τοῦ αἰῶνος τούτου, καὶ τῶν αὐτοῦ ἀρχόντων σοφία; Καὶ τίς ἂν φαίη τοῦτο; Ἡ γὰρ τοιαύτη σο-

VARIÆ LECTIONES.

[1] *Isc.* ἐποίησας. [m] *Isc.* ἐστίν. [n] C. Mon. 553 ἰδέαις. [o] C. Mon. ὡς ἔκτρωμα πάντων. [p] C. Mon. omittit ὤν.

Digitized by Google

φία τῇ τοῦ σταυροῦ μωρίᾳ μᾶλλον κατήργηται. Ἡ τῶν δυσσεβῶν δογμάτων πλάνη, ἡ ταύτης ἐπίκουρος πειθανολογία, ἡ πλοκὴ καὶ τέχνη τῶν κακοσχόλων σοφισμάτων, θνητὴ ἡ ψυχή, ὅτι συμμερίζεται καὶ συμπάσχει τῷ σώματι· οὐκ ἔχει Δημιουργὸν ὁ κόσμος· ὅτι οὐχ ὥσπερ τὸ πῦρ, ἐθέλει οὐδὲ τὸ ὕδωρ [q] φέρεσθαι· κοινὸς ὁ γάμος, ὅτι μᾶλλον οὕτως ἡ πόλις φιλάλληλος· ἐκ τῶν νεκρῶν οἱ ζῶντες· καὶ γὰρ ἐκ τοῦ ἵστασθαι καθεζόμεθα· πολλοὺς δὲ δεῖ καὶ θεοὺς εἶναι, ὅτι πλείονα τὰ προνοούμενα, καὶ φόβος, καμεῖν τὸν ἕνα, τῇ κοινῇ φροντίδι ἐνασχολούμενον· ἢ ὅτι τὸν πρῶτον ἀνάγκη πείθει παράγειν καταδεέστερον, ἵνα μὴ τῆς ἀρχῆς περιαιρεθῇ τὸ προνόμιον, καὶ τὸν δεύτερον πάλιν ὑφειμένον ἄλλον, καὶ τοῦτο εἰς ἄπειρον· τὰ μωρὰ ταῦτα καὶ παρανοίας ἐσχάτης ἐπέκεινα, καὶ ψυχῆς ὄντως θνητῆς καὶ τοῦ κωνείου ἄξια. Ταύτην τοῦ αἰῶνος τὴν σοφίαν, Παῦλος ὁ τὰ θεῖα τῷ ὄντι σοφὸς καὶ τὰ ἀνθρώπινα, διὰ τῆς ἐν μυστηρίῳ Θεοῦ σοφίας τῆς οἰκουμένης ἀπήλασε, καὶ τὰς τῶν πιστῶν διανοίας ἀδάτους αὐτῇ συνετήρησεν. Ἡ τοιαύτη σοφία, μωρία παρὰ τῷ Θεῷ· τῶν ταύτῃ σοφῶν οἱ λογισμοὶ μάταιοι, καὶ ταῖς οἰκείαις πανουργίαις ἁλισκόμενοι, τῷ ἁπλῷ τῆς ἀληθείας λόγῳ περιδράσσονται. Ταύτην, ὥσπερ πάλαι, οὕτω δὴ καὶ νῦν, ἅπας εὐσεβὴς διαπτύει λογισμός· τοὺς μακροὺς λήρους, τὰ ψυχικὰ βάραθρα, τὰ τοῦ Πονηροῦ θήρατρα, τὸ μέγα τῆς ἀπωλείας ἐργαστήριον. Τῶν δέ γε ῥημάτων καὶ τῆς δι' αὐτῶν συνθήκης ἡ ὀρθότης, τί λυμαίνεται τῇ εὐσεβείᾳ; τίνα βλάβην φέρει τοῖς; χρωμένοις; πρὸς ποίαν ὑποσκελίζει μικρὰν ἢ μεγάλην πλάνην; Εἰ δ' ὁ τῆς φύσεως πλάστης, αὐτὸς καὶ τῶν γλωσσῶν ὁ τεχνίτης, πῶς οὐκ ἔστιν ἀκόλουθον, μᾶλλον τοὺς μαθητὰς τοῦ λόγου τῷ καθήκοντι κεχρῆσθαι λόγῳ; Οὐκοῦν οὐ προσελάβετο μαθητὰς ὁ Χριστὸς ἰδιώτας, καὶ μάλιστα φαίην ἂν ἔγωγε, καὶ εἰ βούλει γε, καὶ τῶν ἰχθύων, οὓς ἐθήρων, ἀφωνοτέρους· ἀλλ' ὥσπερ ἰδιώτας, οὕτω καὶ τελώνας, καὶ ἁλιεῖς, μήτι τελώνας ἢ ἁλιεύειν ἀπέλιπε, καὶ ποῦ τοῦτο θαύματος ἢ τῆς Χριστοῦ δυνάμεως ἄξιον; Πῶς δ' ἂν τις διαδύσῃ τὸν ἐπὶ τῶν ἔργων αὐτῶν ἔλεγχον; Οὕτως οὖν οὐδ' εἰς ἰδιώτας ἀφῆκεν, οὓς ἐκεῖθεν προσείληφεν· ἀλλ' ἀντὶ μὲν ἁλιέων, ἁλιεῖς ἀπετέλεσεν ἀνθρώπων. « Δεῦτε, γάρ, φησίν, ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς; ἀνθρώπων· » ἀντὶ τελωνῶν δὲ, ψυχῶν χειμαζομένων σωτῆρας· καὶ ἀντὶ ἰδιωτῶν, τῆς οἰκουμένης διδασκάλους, τῆς τε θείας καὶ οὐρανίου σοφίας ἐμπλήσας, καὶ τῆς ἀνθρωπίνης, ὅπου χρεία καλεῖ, οὐδὲν ὑστερουμένους ἀποφήνας. Ἐπεὶ πῶς Στωϊκοῖς, πῶς Ἐπικουρείοις, πῶς μυρίαις ἄλλαις πλάναις, ἐπὶ λόγοις μέγα ὄνομα λιπούσαις, κατὰ λόγους συνεπλέκοντο; πῶς ὁ τοῦ λόγου δρόμος, καὶ τῶν ῥημάτων ἡ εὔροια, συνδεδραμηκότα τῷ θαύματι, Ἑρμῆν νομισθῆναι τὸν Παῦλον τοῖς ἀκροαταῖς παρεσκεύασε; καὶ εἰγε μὴ φθάσας αὐτὸς, τοὺς χιτῶνας διέσχισε, καὶ γέρας

A ferlatorum sophismatum, anima mortalis, quæ et dispertitur et compatitur cum corpore; quod mundus opificem non habet; quod non quemadmodum ignis, ita et aqua ferri sursum velit, quod matrimonium commune sit, eo quod hoc pacto magis se mutuo ament cives; quod e mortuis vivi, cum qui consistebamus, sedeamus; plurimos oportet deos esse, cum plura sint quæ prævideantur: et metuendum sit, ne unus, si omnium communi cura inviliget, defatiscat; aut quod princeps necessitate adigitur, cum non sufficiat ipse, alium superinducere, ne principatu suo privetur, et secundarius iste deficiens alium, atque ita in infinitum: stulta sunt ita et stultitiam omnem excedentia, quæ ani-
B mam decent revera mortalem, et cicutam merentur. Hanc mundi istius sapientiam Paulus, qui vere sapiebat divina, et humanas istas cogitationes a se alienabat, et mundo ejiciebat, propter sapientiam Dei in mysterio, fidelium cogitationes illi impervias voluit custodire. Talis sapientia Deo stultitia est: sapientum cogitationes vanæ, propriis apprehensæ machinationibus per simplicem veritatis sermonem decerpantur. Hanc ut olim, ita et nunc quælibet cum pietate conjuncta ratio respuit: deliria longa, animarum barathra, diaboli venatica, magnam malorum officinam. At quid verborum recta compo-
C sitio veritatem lædit? quod damnum infert adhibentibus, quem vel magnum vel parvum errorem supplantando inducit? Si naturam qui finxit, ipse linguarum artifex, unde haud consequens erit, ut qui potiores discipuli sermonis sunt, convenienti sermone utantur. Ideo discipulos idiotas ascivit Christus omnino concesserim, et si velis, magis quam erant pisces, quos capiebant, mutos: verum ut idiotas, ita publicanos et piscatores, qui nec publicani essent, nec piscatores desinebant, quod mirum erat, sed potentia Christi dignum. Quomodo quis ab operibus convictionem effugiat? Inter idiotas non dimisit, quos abinde admisit, sed pro piscatoribus piscatores fecit hominum; nempe, « Venite, enim inquit, post me, et faciam vos piscatores hominum [12]; » pro publicanis, animarum tempestatibus jactatarum servatores; et pro idiotis,
D mundi doctores, impletos divina et cœlesti sapientia; nec, ubi erat opus, humana sapientia destitutos. Certe enim cum Stoicis, cum Epicureis, et sexcentis aliis erroribus congressi, cum celebre nomen ob eruditionem erant consecuti, verborum cursus, et dictionum fluvius miraculo conjuncto ferebantur; et Paulum pro Mercurio putari apud auditores faciebant, quod si ipse diloricatis vestibus eos non prævenisset, in honorem ejus publica sacrificia oblata essent. Mitto in præsenti vim sub manu natam sermonis, quæ in Ecclesiis, apud populum, pro Tribunali, in Judæorum Synagogis, in

[12] Matth. IV, 19.

VARIÆ LECTIONES.

[q] *Ισ. add.* ἄνω. C. M. sicut in textu.

Digitized by Google

foro, cum doceret, corriperet, admoneret, se defenderet, testificaretur, quæ viritim, catervatim, apud judices, sycophantas. Quomodo dicendo regem Judæorum allicuit, ita ut tantum non inter Christianos censeretur, si non regni et purpuræ inflatio, quæ multis multoties lethale vulnus inflixere, impedimento fuisset ad effectum operatio nemque verbi. Ut proloquendo compescuit clamosos et in se concitatos, qui sanguinem ipsius sitiebant, quos ad suam protectionem suscipiendum induxit : ut ascendit in Areopagum, ubi inter eos versabatur, qui verbis in ipsum exacerbabantur; Areopagum nimirum, ubi, ut fabulis Græcorum solemniter narratur, et dii et homines rei et actores ferebantur : utque ibi constitutus, non uni soli oppositus, sed contra omnes omnino disertissimus fuit ; si modo omnium hominum Athenienses, Atheniensium Areopagitæ præstiterunt dicendo, quorum affectus animosque ita dicendo concussit, et transformavit, ut multi inter eos ab ipsius lingua et sermone suspensi abjicerent quæ per totum vitæ cursum amplexati fuerant, et transirent ad pietatem, illum imitari studiosi, qui apud intimas ipsorum animas virtutis et veræ pietatis dogmata exaraverat. Tot et talia sine sermone congruo non assequebatur. Ecquis enim barbaro attendisset animo, qui nec recta in ipsis vocibus incedebat? Quomodo igitur, quæ ne loqui noverat, recte consentire aliis videbatur : nedum alios sibi consentientes habere. Verum gratia de cœlo operabatur, gratia, inquam, et non artificium. Nam quod arte constat, humanum est et vile; quod e gratia, cœleste et apostolicum. Operata est gratia, at in primis hæc operatur, ut nihil se dedecens loquantur ipsius ministri. Non est enim hoc leviusculum, inducere eos, qui sunt ex opposito, in sensum ejus irresistibilis potentiæ, quæ in ipsis operatur. Alicubi enim ait Scriptura : « Videntes Judæi, Petri et Pauli audentiam. » Quamnam? Nempe in loquendo per quam impudentem quæstionem retuderunt. Quid tum? « Et cognoscentes quod indocti erant, et idiota, mirabantur [12]. » Cernimus piscatores rhetores, et labiis sapientiam proferentes, qui scientiam haud habebant litterarum. Quid hoc? unde illis accidit quod humanam excedebat conditionem? unum scimus : « Quod cum Jesu fuerant. » Vides ut in admirationem non minus quam patrata in procinctu miracula, etiam sermonis vis et facultas hostes excitavit ; et modo vellent adhibuisse consensum, in veritatis adduxisset cognitionem. Sed et aliunde perspicias licet in quantum dicendi eorum facultatem metuerint, indictum ipsis erat ne omnino prædicarent. Quid dices hic? An si indoctus vel labia moverit tibi statim gloria concidit, et dogma

A ἂν αἱ θεῶν αὐτῷ θυσίαι δημοτελῶς προσεφέροντο. Ἐῶ νῦν τὴν ἄλλην αὐτοσχέδιον ἰσχὺν τοῦ λόγου, τὴν ἐν Ἐκκλησίαις, τὴν ἐν δήμοις, τὴν ἐν δικαστηρίῳ, τὴν κατὰ συναγωγὰς Ἰουδαίων, τὴν ἐν ἀγορᾷ, διδάσκοντος, διελέγχοντος, παραινοῦντος, ἀπολογουμένου, διαμαρτυρομένου, ὅση κατ' ἄνδρα, ὅση κατὰ πλῆθος, ὅση πρὸς δικαστάς, ὅση πρὸς συκοφάντας· ὡς εἷλε λέγων τὸν βασιλέα τῶν Ἰουδαίων, καὶ μικροῦ ἂν οὗτος [r] εἰς Χριστιανοὺς μετετάξατο, εἰ μὴ τῆς ἀρχῆς καὶ τῆς ἀλουργίδος τὸ φύσημα (ὃ πολλοῖς ποικιλάκις εἰς τὰ καίρια ἐλυμήνατο) ἐμποδὼν αὐτῷ κατέστη πρὸς τὴν ἀκρίβειαν τοῦ κηρύγματος· ὡς ἔσχησε [s] δημηγορήσας τοὺς κατ' αὐτοῦ φονῶντας, καὶ τοὺς διψῶντας τοῦ αἵματος, ἀναλαβεῖν τὰς ὑπὲρ τῆς αὐτοῦ σωτηρίας φροντίδας ἀνέπεισεν· ὡς ἐπὶ τὸν B Ἄρειον ἀνέβη πάγον, ἀνδρῶν ἐν μέσῳ τοῖς λόγοις φλεγμαινόντων· Ἄρειον πάγον ἐκεῖνον, οὗ καὶ θεοὺς παρ' ἀλλήλων, καὶ πρὸς ἀνθρώπους δίκας καὶ λαβεῖν καὶ δοῦναι μῦθοι χαίρουσιν Ἑλληνικοὶ διηγούμενοι· ὅπως ἐκεῖσε καταστάς, οὐ πρὸς ἕνα λόγον ὑποσχεῖν, ἀλλὰ πρὸς ἅπαντας τοὺς ἐν ἀνθρώποις λογίους, εἴπερ Ἀθηναῖοι μὲν τότε τῶν ἄλλων ἀνθρώπων [t], Ἀθηναίων δὲ, οἱ ἐν Ἀρειοπάγῳ τὸ κράτος εἶχον, οὕτω κατέσεισεν αὐτῶν τοῖς λόγοις τὰς ψυχὰς, καὶ μετεσκεύασεν, ὡς πολλοὺς αὐτῶν τῆς ἐκείνου γλώττης καὶ τῶν ῥημάτων ἐκκρεμασθέντας, ῥίψαντας ἅπαντα, διὰ βίου παντὸς πρὸς τὴν εὐσέβειαν μεθαρμόσασθαι, καὶ μιμητὰς ὀφθῆναι τοῦ διὰ βάθους αὐτῶν ταῖς ψυχαῖς τὰ τῆς ἀρετῆς καὶ τῆς ὀρθῆς λατρείας ἐγχαράξαντος δόγματα. Ἆρα ταῦτα C καὶ τὰ τοιαῦτα χωρὶς λόγου τοῦ καθήκοντος; καὶ τίς ἂν αὐτῷ τὸν νοῦν βαρβαρίζοντι προσεῖχε, καὶ μηδ' ἐν αὐταῖς ὀρθῶς ταῖς φωναῖς φερομένου; Πῶς δ' οὖν ἃ μηδὲ λέγειν ἤδει, ταῦτα φρονεῖν ὀρθῶς ἔδοξεν ἄλλοις [u], μήτι γε καὶ συμφρονεῖν αὐτῷ πειθομένους εἶχεν [v]; Ἀλλὰ χάρις ἄνωθεν ἐνήργει· κἄγωγέ φημι, πάντων μάλιστα, χάρις ἄνωθεν, οὐ τέχνη. Τὸ μὲν γὰρ ἐκ τέχνης, ἀνθρώπινον καὶ κοινόν· τὸ δὲ ἐκ χάριτος, οὐράνιον καὶ τῶν ἀποστόλων. Χάρις ἐνήργει· ἀλλ' αὐτό γε τοῦτο πρῶτον ἐνεργοῦσα τὸ μηδὲν αὐτῆς ἀνάξιον φθέγγεσθαι τοὺς ὑπηρέτας. Οὐδὲ γὰρ τοῦτο μικρότερον ἐνάγειν τοὺς ἀνθεστηκότας εἰς συναίσθησιν τῆς ἐνισχυούσης αὐτοὺς; ἀμάχου δυνάμεως. Καὶ γάρ πού φησι, « Θεωροῦντες δὲ D οἱ Ἰουδαῖοι τὴν τοῦ Πέτρου παῤῥησίαν καὶ Ἰωάννου. » Ποίαν, ἢ τὴν ἐν λόγοις δηλονότι, δι' ὧν αὐτοῖς καὶ τὴν ἀναίσχυντον ἐρώτησιν ἐπεστόμισαν; Εἶτα τί; « Καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον. » Ἁλιεῖς ὁρῶμεν ἄφνω ῥήτορας γραμμάτων, τέχνην οὐκ ἔχοντας, καὶ σοφίαν χειλέων προχέοντας. Τί τοῦτο; Πόθεν αὐτοῖς τὰ ὑπὲρ ἄνθρωπον παραγέγονεν; Ἐν ἴσμεν, « Ὅτι τῷ Ἰησοῦ συνῆσαν. » Ὁρᾷς ὅπως εἰς θαῦμα τοὺς ἐχθροὺς οὐδὲν ἔλαττον τοῦ παρὰ πόδας τερατουργηθέντος, ἡ

[12] Act. IV, 13.

VARIÆ LECTIONES.

[r] *Ισ.* αὐτόν. [s] Ἔσχισε. C. M. Ἔσχησε. [t] λογικώτεροι. C. M. legit quod est in textu. [u] ἄλλως. C. M. ἄλλοις. [v] Ἔχειν. C. M. εἶχεν.

Digitized by Google

τῶν λόγων ἰσχὺς ἐξεκαλεῖτο, καὶ πρὸς ἐπίγνωσιν, εἴπερ ἤθελον, τῆς ἀληθείας προεβίβαζεν. Ὅρα καὶ ἑτέρωθεν εἰς ὅσον αὐτῶν ἐδεδίεσαν τὸ ἐν λόγοις κράτος. Παρήγγειλαν αὐτοῖς τὸ καθ' ὅλου μὴ φθέγγεσθαι. Τί λέγεις; Ἂν μόνον χείλη ὁ ἀγράμματος κινήσῃ, αὐτίκα σοι μεταπίπτει τὰ τῆς δόξης, καὶ παλαιὸν οὗτω δόγμα τῆς μακρᾶς ἐπικρατείας ὑπεξίσταται τῷ ἰδιώτῃ λόγῳ· καὶ μεθίσταται λαὸς πρὸς νέαν γλῶτταν, ὁ Μωσαϊκοῖς θεσμοῖς ἐντεθραμμένος, καὶ ζῆν καὶ θνήσκειν πρὸς τὴν ἐκείνων ἀρχαιότητα κεκροτημένος. Ναί, φησίν· οὐ γὰρ ἰδιωτικὰ ὁ ἰδιώτης, ἀλλὰ σοφίας ῥήματα φθέγγεται· οὐδ' ὡς ἀγράμματος, βάρβαρα, ἀλλ' ὡς διὰ πάσης τέχνης ἐλάσας κεχαριτωμένα καὶ εὔσημα· ἔστι τις αὐτῶν ἐγκαθημένη τοῖς χείλεσιν ἔμφυτος πειθώ, δι' ἧς καὶ ῥητόρων ἔθνη, καὶ ἰδιωτῶν ἀγέλαι, ὥσπερ δεσμοῖς ἀλύτοις δεθέντα, πρὸς τὸ κηρυττόμενον αὐτοῖς ἕλκεται. Διὰ τοῦτο φθέγγεσθαι κωλύω, ὅτι ῥήμασιν ὀλίγοις πολλοὺς ἀφέντας τὰ πάτρια, ἐκείνοις[x] ὁρῶ προσχωρήσαντας, ὅτι μιᾷ πολλάκις ὁμιλίᾳ, καὶ τοὺς σὺν ἡμῖν ἑκάστοτε κατ' αὐτῶν ἱσταμένους καὶ πολεμιωτάτους ὄντας, νῦν ὑπηκόων ἔχει καὶ μαθητῶν εὐγνωμόνων τάξις. Τοῦτό με στῆσαν αὐτοὺς ἐπιτάττειν περίστησιν εἰς ἀνάγκην· διὰ τοῦτο μηδὲ στόμα ἀῖρειν οὐκ ἐπιτρέπω, διὰ τὴν ἐν λόγοις παῤῥησίαν, τὴν ἰσχύν, τὴν ἔμφυτον πειθανότητα. Ἴδες τοὺς Ἰουδαίους ὅσον ὁ διδάσκαλος τῶν ἀποστόλων λόγος ὑποπτήσσειν καὶ καταπεπλῆχθαι παρεσκεύαζε· καίτοι Παύλῳ περισσότερον ἡ τοιαύτη περιήστραπτε χάρις. Βούλει δέ σοι τὸν κορυφαῖον καλῶμεν μάρτυρα τῆς ἐνούσης τῷ ἀνδρὶ σοφίας; « Καθὼς, φησὶν, ὁ ἀδελφὸς ἡμῶν Παῦλος κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν ἔγραψε· » δῶρον θεῖον τὴν Παύλου σοφίαν καὶ εἰδὼς καὶ διαμαρτυρόμενος. Εἶτα, καὶ τὸ βαθὺ καὶ πυκνὸν τῶν γεγραμμένων οἷον ἀποθεάζων καὶ ἐξυμνούμενος, « Ἐν οἷς ἐστι, φησὶ, δυσνόητά τινα. » Ὡσανεὶ Φρενὸς ὀξείας δεῖται, ῥοπῆς θείας, σοφῶν μαθητῶν, συνέσεως σταθερᾶς, ὁ τῶν γραμμάτων Παύλου θεωρός. Διὰ τοῦτο οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι, πρὸς τῷ μηδὲν κερδαίνειν καὶ σφᾶς αὐτοὺς διασφάλλοντες, προσαπόλλυνται. Εἰ δὲ καὶ γλωσσῶν, ὁ Παῦλος, αἷς μηδ' ἐνείθιστο, μηδ' εἰς ἀκοῆς ἀφῖκτο πεῖραν, τὴν χάριν ἐπλούτει· κἂν ταύταις, οὐδενὶ τῶν πρωτείων ἐξίστατο· « Εὐχαριστῶ γὰρ τῷ Θεῷ μου, φησὶ, πάντων μᾶλλον γλώσσαις λαλῶν· » εἰ τοίνυν κἂν τοῖς ἐκφύλοις γλώσσαις ἄμαχον εἶχε τὸ κράτος, τῆς τοῦ Πνεύματος αὐτὸν σοφιζούσης ἐπινοίας[y], πῶς ἂν αὐτὸν διαφθείρειν λόγος καὶ τότε οὖσαν ἐθάδα δέξαιτο τὴν Ἑλλάδα· καὶ δι' ὧν πολλοὺς ἔμελλον εἰς εὐσέβειαν αἱρήσειν, ἐν ταύταις τὸ ἀριστεῖον ἔχειν· δι' ἧς δὲ σχεδὸν ἅπαντας ἀνθρώπους, ἐν ταύτῃ γέλωτος αἰτίαν καὶ χλεύης παρέχειν; καὶ μὴν οὐχ οὕτως εὐχερὴς εἰς λόγους, οὐδὲ τοῖς ἐχθροῖς ἐνομίζετο, ἃ δὲ τοῖς ἐχθροῖς εἰς ἔπαινον ὁρᾷ μαρτυρίας, οὐκ ἔστιν

A adeo antiquum a longe obtenta potestate, per idiotæ sermonem deturbatur? et populus Mosaicis institutis innutritus, quique vivere et mori secundum eorum antiquitatem gloriabatur, ad novam linguam transfugit. Omnino : non enim idiota idiotice loquitur, sed sapientiæ verba ; nec ut illiteratus barbare loquitur, sed ut qui per omnes artes meavit, gratioso et facili intellectu : quorum labris insidet naturalis quædam πειθὼ (*aut suavis medulla*) et rhetorum gentes, ac idiotarum greges, vinculis velut insolubilibus constricti, ad illud, quod ipsis annuntiatur, trahuntur. Ob hoc igitur dicere eum prohibeo, quod paucissimis verbis, relictis patriis moribus multos video ad eos se conferre, ita ut unico interdum congressu, subditorum locum et discipulorum optimorum impleant, qui infestissimi prius ipsos circumstabant. Hæc me necessitate eo adigunt, ut silentium ipsis imponam : ea propter non permitto, vel os aperire, quia vim dicendi liberam, et gratiam persuadendi inhærentem habeant. Vides quantum didascalicus apostolorum sermo Judæos terrore et metu repleverit, qui tamen Paulum abundantius circumfulgebat. Unum huc testem citatum sistam coryphæum, sapientiæ quæ Paulo inerat. « Quemadmodum, inquit Petrus, frater noster Paulus, juxta ipsi concessam sapientiam, scripsit[14]. Et scivit, et agnovit sapientiam Pauli, Dei fuisse donum. Tum veluti canonizans, et omni præconio efferens, profunditatem et densitatem ipsius sermonum, addit: « In quibus sunt quædam haud facile intelligenda[15]. » Quasi diceret, animo opus est celeri inclinatione divina, discipulis intelligentibus, prudentia stabili, si quis rimari ea velit, quæ scripsit Paulus. Quocirca indoctos et instabiles, cum nihil ejusmodi acquirant, seipsos decipiunt, et per ruinam pereunt. Si linguarum requiris scientiam, Paulus illa gratia ornabatur : etiam in iis quibus nec assuefecerat, nec quæ fando acceperat : « Gratias, inquit, Deo meo ago, linguis magis omnibus loquor[16]. » Si igitur tantam habebat facultatem in linguis peregrinis, dum Spiritus afflatu instrueretur, quomodo vel rationabiliter cogitari poterit, eum linguam vernaculam, quæ Græca fuerat, corrupisse : ut in quibus haud sane multos inducere poterat ad pietatem, ibi principatum obtineret : ubi vero omnes fere homines convertere, ibi risus et irrisionis materiem exhiberet. Omnino, ne quidem ab inimicis suis haud ita sermone contemptibilis habebatur. Quæ autem quispiam intuebitur in laudem martyrii tendere, non est cur aliquis declinet, licet magnos sibi assumat spiritus, et per omnia velit esse contentiosus : et hic meum vide testimonium : Sitiebat Pauli sanguinem Judæorum natio : ille lumine cœ-

B

C

D

[14] II. Petr. III. 15. [15] Ibid. 16. [16] I. Cor. XIV, 18.

VARIÆ LECTIONES.

[x] ἐκείνῳ. C. M. ἐκείνοις. [y] ἐπιπνοίας. C. M. ἐπινοίας.

Digitized by Google

iesti collustratus totus transfertur ad eum quem persequebantur. Tunc autem imprimis et sitiebant, et in voluntarium homicidium incendebantur, cum ipsorum Synagoga vacuas illius reddiderat prædicationes. Omne movebant sycophantiarum artificium, omnes machinas admoverant. Non *lanceis* tantum *argenteis*, quod dicitur, res gerebatur, sed mendaciorum, insidiarum, iræ, audaciæ copiis in eædem illius, contribules armabantur, adeo ut manus haberent rorantes ab ipso flagrante maleficio. Cum vero frustra ipsos exsultantes et gaudentes, spes desereret (nimirum ille athleta per suas apologias, omnes omnium machinationes discutiebat, et ad extremum per sermonis facultatem irresistibilem dejiciebat), cum hærerent, oratorem quemdam mercenarium, qui calumnias consilio suo foveret, conducebant. Opinabantur enim rem et accusatum, utcunque omni omnino culpa careret, illius artes et orationis versutias non evasurum, idque indubitato futurum. Verum sapiens ille Paulus, utpote qui divina callebat et humana, qui contra mercede conductum artificiose accusabat per divinitus suppeditatam prudentiam et gratiam, ita oratione contendebat, ut illum repelleret, et rubore suffunderet, cum sua arte qui pretio accepto, persequebatur ; pontifices, sacerdotes, alios qui in eædem ejus conspiraverant, attonitos redderet, et intricaret ; ita ut non solum ipsos hujus suæ molitionis pœniteret, sed et silentium, vel efferatissimis, quasi pœnam quamdam per biennium imponerent (19). Vides ut infensissimos etiam contra voluntatem istius athletæ in dicendo facultas ad dicendum impulit testimonium, quod nimirum sapientia Pauli, apud hostes maxime capitales, re et verbo prædicatur : unde ab initiatis religioni, sine contradictione ulla, meritissime honoratur. Noli autem putare me sermonis sapientiam intelligere, dicendi illam facultatem, quæ superflua quadam curiositate, supercilio pomposo, calamistris, medicamentis et floribus, insitam dicendi pulchritudinem adulterat, et coloribus quibusdam superductis, puerile quod est et elumbe, ad se trahit : nec illam e contrario, quæ caperata fronte sine risu ullo nihil utilitatis subit, sed in profundo considens obscuritatis, illiteratos, et de fæce convenas suis tenebris circumvolutos terrificat : cœcos ad se attractos amatores, speciosius prostituit : sed nec quæ effrænis et cervicosa, ad licentiam exorbitat poetarum incitamentis quibusdam novitatis meretricie lasciviat et illudat : sed illam ego velim quæ modeste insinuat, publice instruit, princeps docet, sola inducit, et per congeneres intellectus clare naturam rerum explicat, quod emphasi alicubi opus

A ὅστις οὐκ ἂν ἐκδυσωπηθείη, κἂν μέγα θέλοι φρονεῖν, ἐπὶ τῷ πάντα φιλόνεικος εἶναι · καί μοι πρόσεχε τῇ μαρτυρίᾳ.' Ἐδίψα τὸ Ἰουδαίων ἔθνος τοῦ αἵματος Παύλου, ἐπεὶ τῷ οὐρανίῳ φωτὶ περιαστραφθεὶς ἐκεῖνος, ὅλος μετέστη πρὸς ὃν ἐδίωξεν [x] · ἐδίψα δὲ τότε μᾶλλον, καὶ πρὸς τὴν μιαιφονίαν ἀνεφλέγετο, ὅτε τὰς συναγωγὰς αὐτῶν τὸ ἐκείνου κήρυγμα κεκενωμένας αὐτοῖς ἀπελίμπανε · καὶ δὴ πᾶσα μὲν αὐτοῖς συκοφαντίας τέχνη [a], πᾶσα δὲ μηχανὴ ἐκεκίνητο. Οὐκ ἀργυραῖ δὲ ἄρα λόγχαι μόνον, ὃ λέγεται, ἀλλὰ καὶ ψεύδους, καὶ ἀπάτης, καὶ ὀργῆς, καὶ θράσους πρὸς τὴν τοῦ ἀνδρὸς σφαγὴν, τοὺς ὁμοφύλους ἐξώπλιζον, καὶ τὰς χεῖρας ἤδη ταῖς ἐλπίσι σταζούσας εἶχον θερμοῦ τοῦ μιάσματος. Ἐπεὶ δὲ μάτην αὐτοὺς ἀνασκιρτῶντας καὶ χαίροντας αἱ ἐλπίδες ἀπέλιπον (κρεῖττω

B τοῦ ἀριστέως ἁπάντων μηχανημάτων ταῖς ἀπολογίαις καθισταμένου), τελευταῖον πρὸς τὸ ἐν λόγοις κράτος καὶ τὸ ἀνεπηρέαστον ἀπορούμενοι, ῥήτορά τινα μισθοῦ ποιοῦνται, τῶν συκοφαντηθέντων συνήγορον · οὐκ ἂν ἔτι διαδῦναι τὰς ἐκείνου τέχνας καὶ πλοκὰς τῶν λόγων τὸν γραφόμενον, κἂν μυριάκις εἴη ἀναίτιος, οὐδ' ὅπως οὖν ἐν ἀμφιβόλῳ τιθέμενοι. Ἀλλ' ὅ γε σοφὸς τῷ ὄντι Παῦλος, ὅσα τε θεῖα καὶ ὅσα ἀνθρώπινα, καὶ πρὸς τὸν οὕτω τῇ τέχνῃ καὶ τῷ μισθῷ παρεσκευασμένον, διὰ τῆς ἄνωθεν δηλονότι χορηγουμένης αὐτῷ σοφίας καθ' χάριτος, οὕτως ἀντικατέστη τοῖς λόγοις καὶ διηγωνίσατο, αὐτὸν μὲν τρεψάμενος καὶ καταισχύνας αὐτῇ τέχνῃ καὶ μισθαρνίᾳ · τοὺς δὲ ἀρχιερεῖς καὶ Ἱερεῖς, καὶ ὅσοις ὁ κατ' αὐτοῦ συνεκε-

C κρότητο [b] φόνος, ἐκπλήξεως καὶ ἀμηχανίας ἐμπλήσας, ὥστε μὴ μόνον αὐτοῖς τῆς τοιαύτης ἐπιχειρήσεως μεταμελεῖν, ἀλλὰ καὶ σιωπῆς, καίτοι πλέον τῷ θυμῷ ἠγριωμένοις, ὅλα δύο ἔτη καταδίκην σφίσιν ἐπιθεῖναι. Ὁρᾷς ὅπως τοὺς ἐχθίστους καὶ ἀκοντας, ἡ τῶν τοῦ ἀριστέως λόγων δύναμις εἰς μαρτυρίαν ἐξεβιάσατο. Ὅτε [c] δὲ καὶ τοῖς ἐχθροῖς ἡ Παύλου σοφία ἔργῳ καὶ λόγῳ διαβεβόηται, τοῖς ἐκεῖθεν [d] τὰ τῆς εὐσεβείας μεμυημένοις, οὐ διαφερόντως καὶ ἀξίως τιμηθήσεται. Καὶ μή με νομίσῃς σοφίαν λόγων καὶ κράτος λέγειν καὶ δύναμιν, τὴν περίεργον ταύ-

D την καὶ σοβοῦσαν, καὶ κομμωτικοῖς φαρμάκοις καὶ ἄνθεσι τὸ ἔμφυτον κάλλος τοῦ λόγου νοθεύουσαν, καὶ τοῖς ἐπιπλάστοις χρώμασι τὸ μειρακιῶδες καὶ ἔκλυτον πρὸς ἑαυτὸν ἐπιστρέφουσαν · μηδ' αὖ ἐκείνην, ὅση τὸ σκυθρωπὸν καὶ ἀμειδὲς, ἐπ' οὐδενὶ χρηστῷ ὑποδύεται, βαθεῖ τε τῆς ἀσαφείας ὑποκαθημένη σκότῳ, καὶ τοὺς ἀμαθεῖς καὶ ἀγελαίους τῷ περὶ αὐτὴν ζόφῳ συγχέουσά τε καὶ καταπλήττουσα, τυφλοὺς ἐραστὰς ἐπισυρομένη καλλωπίζεται · οὐδ' ὅση πρὸς τὸ ποιητῶν αὐτόνομον ἐκτραχηλίζεται τὰς νεωτερικὰς ὁρμὰς ἑταιριζομένη καὶ διαπαίζουσα. Ἀλλ' ἐκείνην ἐγωγέ φημι, ὅση σώφρων μὲν ἀπαγγέλλειν, κοινὴ δὲ διδάσκειν, πρώτη δὲ παιδεύειν, μόνη δὲ συμπείθειν, εὖ-

VARIÆ LECTIONES.

[x] ἐδίωξαν. C. M. ἐδίωκε [a] C. M. συκοφαντία καὶ τέχνη. [b] C. M. συνεκροτεῖτο. [c] C. M. ὅτι. [d] C. M. πῶς τοῖς ἐκεῖθεν.

NOTÆ.

(19) Nam per biennium carcere inclusus libere tenebatur.

Digitized by Google

σημος δὲ διὰ τῶν συγγενῶν νοημάτων τὴν τῶν πραγμάτων φύσιν ἀναπτύσσειν, καὶ εἴ που χρεία ἐμφάσεως, μυστικῶς εὖ μάλα καὶ τελεστικῶς ἀνακαλύπτειν τὴν τῶν κεκρυμμένων ἀλήθειαν. Ταῦτα μὲν γὰρ τῆς ἐμφύτου, καὶ κοσμίας, καὶ βιωφελοῦς τοῦ λόγου σοφίας· ἐκεῖνα δὲ τῆς τερπούσης τὴν ἄλογον αἴσθησιν, καὶ ταῖς παρατροπαῖς μᾶλλον καὶ τῷ νεωτερίζοντι χαιρούσης ἤθει, καὶ πρὸς μὲν ὠφέλειαν οὐδὲν ὁρώσης, εἰς κρότους δὲ καὶ κολακείας, καὶ πολὺν λῆρον, διαλυομένης. Οὐκ ἦν ἄρα διὰ ταῦτα τῆς μεγαλονοίας Παύλου οὐδ' ἐγγὺς ἀπομιμεῖσθαι, ὃν σὺ τῆς ἐν λόγῳ δυνάμεως (19), ἐπ' αὐτῆς φέρων κεφαλῆς, μονονουχὶ προσκυνεῖς, τὸν, Ἦ δ' ὅς· τὸν, Ἦν δ' ἐγώ. Ὡς πού τις καὶ τῶν εἰς δόξαν οἰκείων αὐτὸν ἀπεσέμνυνε, προσθείην δ' ἂν ἔγωγε, καὶ μάλα εἰκότως, καὶ τὸν Ἐπεπόνθει ἐγώ· καὶ, Ἤδει ἐγώ· καὶ, Ἠκηκόει ἐγώ· καὶ τὸν οὐκ οἶδ' ὅπως ἄν τις οὐκ εἰς μακρὰν ἀηδίαν αὐτὸς ἐμπέσοι τὰ ἐκείνου διεξιών· ὃς ἐπὶ τοσοῦτον ταῖς τῶν ῥημάτων καινοτομίαις διαῤῥυπτόμενος ἐθηλύνετο, ὡς μηδὲ προσώπων αὐτοῖς ἐμφάσεις ἔτι βούλεσθαι καταλιπεῖν, εἰς παράσημον δὲ τύπον ἀπαρεμφάτων τὸν χαρακτῆρα τούτοις μεταδιάζεσθαι. Ἐῶ δὲ νῦν τὸν τὰ λιπάσματα τῶν ὀφθαλμῶν, κατὰ ψυχὴν μᾶλλον πεπονθότα, ἢ φθεγξάμενον· καὶ τὰ τῆς σαρκὸς πιστὰ ἐλπίσατα [e], καὶ εὐσταθῆ καταστήματα ἀθλιώτερον στέρξαντα ἢ ἐκληρήσαντα, καὶ πολλαῖς τοιαύταις λέσχαις καὶ κακαῖς ἄταις ἐνασελγαίνοντα· ὧν οὐδ' ἑτέρου μιμητὴν εἰς λόγους, οὐδ' εἴ τις τοιοῦτος ἕτερος, τὸν θαυμάσιον Παῦλον, οὐδὲ πολλοῦ δεῖ, ὥσπερ οὐδ' εἰς πράξεις· οὐδ' εἰς σέβας, θείην ἂν ἔγωγε. Οὐ μὴν ἀλλ' οὐδ' ἡ Γόργειος παιδιὰ, καὶ μικροῦ παρισουμένη τοῖς ἐπὶ σκηνῆς τῶν χορευτῶν σκιρτήμασι καὶ λυγίσμασιν ἀπαγγέλλειν, ἀξία τὸ βαθὺ καὶ βεβηκὸς [f] τῶν ὑψηλῶν Παύλου νοημάτων. Ἀλλ' ἐκείνων γε τῶν λόγων τὴν γλῶτταν εἶχε κανόνα, οἱ τηλικούτων πραγμάτων τὸν νοῦν ἐκφέρειν ἐδύναντο κατ' ἀξίαν, μηδὲν μήτε δολοῦντες μήτε ἐξυβρίζοντες. « Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! καὶ, « Τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; » ἤ, « Τίς προέδωκεν αὐτῷ καὶ ἀνταποδοθήσεται αὐτῷ; Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. » Ἐπὶ ταύτῃ τῇ σοφίᾳ τὸν διδάσκαλον ἐγὼ τῆς οἰκουμένης θειάζω, καὶ θειάζειν ἂν ἀξίως μὴ τολμηρὸν εὐξαίμην, δι' ἧς τοιαῦτα ἐφθέγγετο, εὐσήμῳ μὲν καὶ σταθερᾷ λέξει τὸ νόημα παριστῶν, κοινὸν δὲ πᾶσι τὸ ὄφελος προτιθείς. Τί δ' ἂν εἴποις ἐνθεωρήσας αὐτοῦ τὸ καθαρὸν τῶν ῥημάτων, οὐ μόνον ὅσον εἰς ὀρθότητα φωνῆς καὶ συμμετρίαν ἥκει περιόδων ἐναρμονίως συστελλόμενον, ἀλλὰ καὶ εἴ τι πρὸς τὴν τῶν πραγμάτων ἀφήγησιν ἀπευθύνεται, μηδὲν τῶν ἀναγκαίων ἔξωθεν ἐπισυρόμενον, ἐφ' ὅσον τε τὸ τετραμμένον τῶν ὀνομάτων, καὶ ὅσον ἐπὶ

A sit, mystico more, et sacramentali revelat veritatem absconditorum. Hæc enim dicendi prudentia, exornat naturalem ornatum et vitæ utilem; illa, cum qui oblectat irrationalem sensum, quæ ipsa potius aversionibus et novitatibus afficitur; dum nullum commodi respectum habet, sed in applausum adulationem et ineptias meras resolvitur. Quocirca non decuit Paulinam illam sublimem prudentiam, ne a propinquo imitari, illam dicendi facultatem (19') quam tu tantum non adoras. Nempe, inquam ego, inquiebat ille, ut alicubi ille qui gloriolam aucupabatur, seipsum laudat. Cui cur non ego merito adjiciam; et Quem desideravi ego, et, Agnovi ego; et, Audivi ego. Nec ego illum novi, qui longo fastidio laboraret, in illis percensendis, qui in tantum a

B verborum novitatibus corrumpitur, et emollitur, ut nec vultus repræsentationem aliquam velit remanere; sed in figuram nobis conjunctam, sine ulla significatione characterem eorum compingere. Mitto in præsenti oblinimenta oculorum, quæ animum potius afficiunt, quam loquuntur: carnis speratam constitutionem ad amantes, vel in ea potius delirantes, ac multis istiusmodi negotiis impiis et damnandis lascivientes, quorum in dicendo imitationem mirabilem illum Paulum, nedum veneratorem dixerim, et agendi participem. Quin nec Gorgiæ ludicra oratio, fere cum scenica adæquanda, propter saltationes in choris salientium; et molles inflexiones, meretur cum gravitate et incessu Paulini sensus componi, sed linguam ille suam regu-

C lam habebat quasi sermonum illorum qui efferre poterant pro dignitate tantarum rerum sensum et sententiam, sine ulla sui contumelia. « O altitudo divitiarum sapientiæ et cognitionis divinæ! quam inscrutabilia judicia ejus, et impervestigabiles viæ ejus! » Et, « Quis novit mentem Domini? vel quis illi fuit a consiliis [17]? » Et, « Quis prius dedit ipsi ut retribuatur ei? Christus nos redemit a maledictione legis, factus ipse pro nobis maledictio [18] » Ob hanc ipsius sapientiam, mundi doctorem admiror ego, neque est cum audacia conjuncta hæc admiratio mea: qui cum istud pronuntiabat intelligibili et constanti sermone, intelligendum exhibens, quo, id quod omnibus conducit, docetur.

D Quid dicturus est dictionis puritatem intuens, nec illam quæ spectat rectitudinem vocis, et congruenter consentit cum periodi harmonia, sed ulterius ad rerum cognitionem dirigitur explicandam, nec quidquam necessarium de foris accersit. Sed quod vocum inversionem spectat, et durum quid præ se fert distinctum scite ablegat: sublimi generi perspicuitatem, si quis alius, revera plus quam alius, ubique intermiscens. Nec hic commemoro, quod conciliatorio et dictatorio dicendi genere variatur

[17] Rom. XI, 33. [18] Galat. III, 13.

VARIÆ LECTIONES.

[e] C.M. ἐλπίσματα. [f] *Isc.* [male] ἐπιβεβηκός. C. M. βεβηκός.

NOTÆ.

(19') Platonem intelligit.

Digitized by Google

Nec quod de divinis rebus instituitur sermo; et quæ maximo honore apud homines habentur: nec quod neminem habet qui possit ipsum imitari in illuminanda et illustranda oratione. « Certamen bonum certavi: cursum confeci: fidem servavi; de cætero, reposita est mihi justitiæ corona [19]. » Et, « Ita curro, ut non in vanum: ita certo, ut non aerem flagellans [20]. » — « Qui in forma servi exsistens non reputavit rapinam esse æqualem Deo, sed exinanivit semetipsum, servi formam assumens. Quapropter Deus ipsum superexaltavit, et dedit illi nomen super omne nomen, ut in nomine Jesu omne genu flectatur, cœlestium, terrestrium, et infernorum; et omnis lingua confiteatur, quod Dominus Jesus Christus est in gloria Dei patris [21]. » et: « Conversatio nostra in cœlis est, unde et exspectamus Servatorem Dominum Jesum Christum, qui transformabit corpus humilitatis nostræ, ut assimiletur corpori gloriæ ipsius [22]. » Valde sunt hæc admiranda. (Quidni enim) cum ob alia, tum propter perspicuitatem et puritatem summam concurrentem. Sed qualis fuit in sententiis, talis videtur in sententia ferenda, in convincendo, in reprehendendo, cum oportet, et quomodo oportet, per declarationem et testificationem non fluctuantem. « In quo quis vincitur, ei servus subjicitur [23]. » « Corrumpunt bonos mores colloquia prava [24]. » Et, « Hoc affirmo, quod caro et sanguis, regnum Dei non possidebunt: neque enim corruptio hæreditabit incorruptionem [25]. » — « Currebatis bene, quis vos fascinavit ut ne veritati obtemperaretis [26]. » Et: « Nolite errare, Deus non illuditur [27]. » Et: « En ego Paulus vobis denuntio quod si circumcidemini, Christus vobis nihil proderit [28]. » Et: « Testificor omni homini circumciso, quod debitor est toti legi servandæ [29]. » Et: « Audetne quis qui negotium cum alio habet de injuriis apud exteros judicium subire, et non coram sanctis [30]? Certe idem est magnitudines omnes in unum colligere, et ejus sermonum compositiones per omnia relegere: adeo ubique dignitas et majestas per singulas dictiones permiscetur. At mores ejus quales: « Christus in mundum venit, peccatores salvos facere, quorum ego primus sum [31]. » Et: « Ego minimus sum apostolorum, qui nec dignus sum vocari apostolus [32]. » et: « Desidero te videre, memor tuarum lacrymarum, ut gaudium percipiam; recordationem habens fidei quæ in te est, sine hypocrisi, quæ primum habitavit in avia tua Loide, et matre tua Eunice [33]. » — « Utinam exscinderentur, qui vos conturbant [34]. » — « Sine nobis regnastis, et utinam regnetis [35], » et sexcenta talia. Nunquid ergo in aliquo inferior est iis qui

A τὸ σκληρὸν ἀπονεύει διακρίνον καλῶς ἀποπέμπεται, καίτοι μεγέθει τὸ σαφὲς, ὡς εἴ τις ἄλλος, μᾶλλον δ' ὡς οὐδεὶς ἕτερος, δι' ὅλων ἐγκερασάμενος. Καὶ οὕτω τοῦτό φημι ὅτιπερ τῷ συμβουλευτικῷ καὶ νομοθετικῷ διαποικίλλεται· οὐδ' ὅτι περὶ θείων ὁ λόγος αὐτῷ πραγμάτων, καὶ τῶν ἐν ἀνθρώποις μάλιστα τιμίων· ἀλλ' οὐδ' ὅτι λαμπρύνεσθαι καὶ φαιδρῶς εἰπεῖν μιμητὴν οὐκ ἔχων. « Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι· τὸν δρόμον τετέλεκα· τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως. Οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. » Καὶ, « Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ

B ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ, πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός· » καὶ, « Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστὸν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμφορον τῷ σώματι τῆς δόξης αὐτοῦ. » Θαυμαστὰ μὲν γὰρ ἄγαν καὶ ταῦτα (πῶς γὰρ οὔ;) ἔν τε τοῖς ἄλλοις καὶ τῆς ἐπ' ἄκρον συνδρομῆς φαιδρότητός τε καὶ καθαρότητος. Ἀλλ' οἷος ἐν τῷ γνωμολογεῖν [S] καὶ εὐσταθῶς ἀποφαίνεσθαι ἐλέγχειν ἔνθα δεῖ καὶ ὡς δεῖ ἐπιτιμᾷν διαμαρτύρεσθαι; « ὯΙ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. » — « Φθείρουσιν ἤθη χρηστὰ

C ὁμιλίαι κακαί· » καὶ, « Τοῦτο δέ φημι, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. » — « Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ πείθεσθαι; » καὶ, « Μὴ πλανᾶσθε, Θεὸς οὐ μυκτηρίζεται· » καὶ, « Ἴδε, ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει· » καὶ, « Μαρτύρομαι παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι· » καὶ, « Τολμᾷ

D τις πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων. » Καὶ ἴσον ἐστὶ τὰ τοῦ μεγέθους συλλέγειν καὶ τὰς ἐκείνου συντάξεις εἰς ὁλόκληρον ἀναγινώσκειν, οὕτως αὐτὸ τὸ ἀξίωμα δι' ὅλων κέκραται τῶν λόγων. Ἀλλὰ τὸ ἦθος ὁποῖον; « Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· » καὶ, « Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, καὶ ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος. » — « Ἐπιποθῶ σε ἰδεῖν μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾷ πληρωθῶ, ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνίκῃ. » — « Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς· » καὶ, « Χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασι-

[19] II Tim. v, 24. [20] II Cor. ix, 26. [21] Philipp. ii, 6-11. [22] Philipp. iii, 20, 21. [23] II Petr. ii, 19. [24] I Cor. xv, 33. [25] I Cor. xv, 50. [26] Galat. iii, 1. [27] Galat. vi, 7. [28] Galat, v, 2. [29] Ibid. 3. [30] I Cor. vi, 1. [31] I Tim. i, 15. [32] I Cor. xv, 9. [33] II Tim. i, 4. [34] Galat. v, 12. [35] I Cor. iv, 8.

VARIÆ LECTIONES.

[S] C. M. ἐν τῷ κρίνειν.

Digitized by Google

λεύσατε· » καὶ μυρία ἄλλα. Ἆρ' οὖν ἐνδεῖ τινος τῶν περὶ ταῦτα τὸν βίον ὅλον κατατριψάντων, ὁ μηδὲ μέχρι τῶν ὀνομάτων, οἶμαι, τῆς ἐπιμελείας αὐτῶν ἀνασχόμενος, ἀλλ' αὐτοσχέδιον ἔχων τὴν γλῶτταν ῥήτορα; Ἀλλ' ἄρα τὸ μὲν ἦθος αὐτῷ καὶ τὸ σαφὲς διὰ τοῦ μεγέθους οὕτω διαπρέπει κεραννύμενον, τοῦ τάχους δ' ἐνδεῖ. Καὶ τίς οὕτω πέφυκε συγκράτῳ κεχρῆσθαι γοργότητι; « Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς. » — « Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. » — « Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; πολὺ κατὰ πάντα τρόπον. Πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. Τί γὰρ εἰ ἠπίστησαν; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει; Μὴ γένοιτο. » Καὶ, Τί οὖν προεχόμεθα; οὐ πάντως καὶ πάλιν· « Λοιδορούμενοι εὐλογοῦμεν· διωκόμενοι ἀνεχόμεθα· βλασφημούμενοι παρακαλοῦμεν. Τί [h] ἂν τις πελάγη θαλάσσης σταλαγμοῖς μετρεῖν ἐπιχειρῇ; ἴσον γὰρ ἐκεῖνά τε σταλαγμῶν λογισμοῖς ὑποβάλλειν, καὶ τὴν Παύλου σοφίαν πειρᾶσθαι λόγῳ διεξελθεῖν· οὐδὲ γὰρ οὐδὲ τὸ καλλωπίζον, καίτοιγε περιορῶν αὐτὸ εἰς τέλος παρέδραμεν, ἀλλὰ τῆς ἐπιβουλῆς μὲν γυμνώσας, ἐν ᾗ ἄν τις καὶ ἐκαλλωπίσατο, τῷ ἐμφύτῳ δὲ περιβαλών, ὅπερ ἄν τις μόλις ἐλπίσειεν, οὕτω καὶ θαυμάσαι προήνεγκεν, ὡς αὐτὸ τοῦτο κανόνα καὶ τύπον κάλλους ἀληθινοῦ τοῖς συνορῶσι προκεῖσθαι, πολλῷ τοῦ σεσοφισμένου καὶ κατ' ἐπιτήδευσιν εἰς ὡραιότητα διαφέροντος. Ἀλλ' οὐδέν ἐστιν οἷον αὐτοῦ ἀκούειν. « Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν, οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσιν χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσιν· καθὼς γέγραπται, Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά; » πάλιν, « Εἴ τις οὖν ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν· » εἶτα, « Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. » Οὕτως ὁ τῶν Ἐπιστολῶν τοῦ μεγάλου Παύλου χαρακτὴρ ἀρετῆς ἁπάσης τῆς ἐν λόγῳ τὰς ἰδέας ἐμμορφούμενος, καὶ τοῖς καταλλήλοις καὶ οἰκείοις ἐμποικιλλόμενος σχήμασιν, ἀρχετύπου καὶ παραδείγματος λόγον ἐπέχειν καὶ ζηλοῦσθαι ἄξιος, ἀλλὰ μὴ πρὸς ἑτέρων μίμησιν ἀναγεγράφθαι τοῖς γε σωφρονοῦσίν ἐστι δίκαιος. Οὐδὲ γὰρ οὐδὲ ῥᾴδιον εὑρεῖν, ὃν εἰκόνίσειεν· ἐπεὶ μηδὲ μελέτης καρπὸς, ἀλλ' ἐπινοίας [i] ὑπερφυοῦς τὰ Παύλου ῥήματα ὁ τῆς σοφίας πλοῦτος, ἡ τῆς ἀληθείας καθαρὰ καὶ διαυγὴς καὶ ἡδονῆς σωτηρίου βρύουσα πηγή· τοῦτο τῆς ἄνωθεν φοβερᾶς ἀστραπῆς, βραχεῖά τις λαμπηδὼν, τῶν ἀποστολικῶν χειλέων ἀποπάλλουσα· τοῦτο τῆς ἐν ἀσθενείᾳ τελειουμένης θείας δυνάμεως ἀπορροή τις μετρία, κόσμον

A totam suam vitam in istis impenderunt : qui, nec nominum tenus, quod ego reor, aliquid in iis curæ posuit, sed cum volubilem e re nata linguam haberet, rhetoricam, ethicam, et perspicuam speciem ita cum grandiloquentia exercuit conjunctam. At celeritate destitultur; imo quis cum illo comparandus in miscenda granditate : « Deus est qui justificat, quis ille qui condemnat? Christus qui mortuus est, potius qui surrexit [36]. »—« Omnia mihi licent, sed non conducunt omnia. Omnia mihi licent, at non omnia ædificant [37]. »—« Quæ est ergo Judæi superioritas? aut quæ utilitas circumcisionis? Multa, per omnem modum. In primis, quod concredebantur ipsis oracula Dei. Quid autem si increduli fuerint, num eorum incredulitas Dei fidelitatem evacuabit? Absit [38]. » — « Conviciati autem benedicimus; persecuti, sustinemus; blasphemati, admonemus [39]. » Quid autem mare magnum guttis metiri velit quis : idem est enim mare guttulis subjicere, et velle verbis exprimere sapientiam Pauli, qui nec, ornatum licet penitus non haberet insuper, in totum non omisit, sed fucis delibutum, in quibus non nemo gloriabitur, naturali vero decore imbutum, quod vix quispiam speraret, ita provexit in admirationem, ut canonem et formam veræ pulchritudinis intuentibus exhibeat, longe semotum a sophistica et studiose quæsita floriditate. Sed nihil hoc tam probat quam ipsummet audire : « Quomodo invocabunt, in quem non crediderunt? quomodo credent in eum, de quo non audierunt? quomodo audient sine præcone? quomodo prædicabunt, nisi mittantur? ut scriptum est, Quam pulchri pedes evangelizantium pacem, evangelizantium bonum [40]! » Iterum : « Si quæ ergo in Christo consolatio : si amoris solamen : si viscera et miserationes, adimplete meum gaudium [41]. » Et : « Afflictio patientiam operatur, patientia probationem, probatio spem : spes autem non pudefacit [42]. » Atque ita character Epistolarum Pauli illius magni omnimoda dictionis virtute confirmatus, congruis atque propriis figuris variegatus, archetypi et exemplaris rationem subire, atque imitatione exprimi dignus est, non autem reflgi aut rescribi ad aliorum imitationem a prudentibus debet. Neque enim erit in promptu invenire ad quem alium sit effigiandus. Sunt enim Pauli verba, non meditationis fructus, sed inspirationes, et excellentiores cogitationes : divitiæ sapientiæ, fons virtutem salutiferam ebulliens, brevis quædam coruscatio, e labiis apostolicis exsiliens, terribilis e cœlo fulgurationis, effluxus quidam commensuratus divinæ illius potentiæ per infirmitatem perfectæ qua totus mundus irrigatur. Gratia est hæc operans in testaceis vasis, veneran-

[36] Rom. VIII, 33, 34. [37] I Cor. X, 22, 23. [38] Rom. III, 1 3. [39] I Cor. IV, 12, 13. [40] Rom. X, 14, 15. [41] Philipp. II, 1, 2. [42] Rom. V, 3-5.

VARIÆ LECTIONES.

[h] C. M. Καὶ τί. [i] C. M. ἐπιπνοίας.

Digitized by Google

dorum et paradoxorum mysteriorum testimonium indelebile. Sapientia distillans e lingua idiotica, regula dirigens eloquentiam ex ore immeditato ; ex illitteratis labiis ars rhetorica. Quid tu ad ista? An te adhuc ratiocinatio dubia, et ambigua opinio, de Pauli sapientia turbat? Potius tibi imputabitur parcimonia in figuras ejus epistolas si confluxeris, vel plurimum tu teipsum accusabis, quod antehac te tantarum gratiarum munera latuerunt. Quid porro diceres, si profundius descendas in alteram partem facultatis ejus in dicendo : Qualis cernitur in plerisque capitibus summis disponendis, quoad ordinem, prudentiam; dum inducit, disponit per hypopheras anthypopheras : quibus in inveniendo epichremasi; quam copiosus in operando ; quam promptus ad persuadendum, quam frequens in parabolis et similitudinibus; quantus in enthymemasin, et istis virtutibus congeneribus quas studiose complecti poteris, licet nulli alias meditanda velis præstare, ad amorem vere celerem, et oblectamentum delectabile conciliandum : Accedat ad ista hujus hominis de idolothytis commentatio : et ubi id agit ut deprimat fastum illorum et inflationem, qui de loquela linguarum ingentes sumpserant spiritus : et quod lex debitor erat quæ concedere et locum dare gratiæ deberet. Sed abunde de istis dictum est : eoque magis quod litterarum commercio insinuantur : si aliquando insimul convenerimus ; conveniemus autem, id Domino mihi suggerente, tum diffusius quam in præsenti de istis apud te disseram.

A

B

QUÆSTIO XCIII. [*Coisl.* CCLXXIII. *Taur.* CCLXIII.]

Diversæ quæstiones ex Apostolo per viginti septem capita solutæ.

Edita a Montacutio, ep. 166, *ad Georg. Nicom*, p. 255 seq. De variis Pauli locis.

Quandoquidem agnoscis te non modo victum, libenter, sed insuper sic vinci, inter festivitatis commoda reputes, quid est quod ulterius adhuc desideres exempla Scripturarum, in prioribus litteris meis allatarum figurarum; cui tuo desiderio, celeriter cupis satisfieri : quod et æquum esse sentio, sapit enim invidiam illi veritatem non repræsentare, quia veritate victus, quod verum est, quærit. Quocirca, quatuor illorum modorum exempla adhuc adjungo, ita ut haud difficulter distingui et discerni possint ex istis, illa quæ reliqua sunt, tum ut ne tuam prudentiam contumelia afficere videam, nec pro epistola integrum tibi librum exarem. Veluti enim inepte quæque levia prosequi, adhæret fere ille quod obscuritate involvitur, ita quod in aperto positum est, si non cum brevitate exhibeatur in opprobrium tendit, vel doctoris, vel discentis.

C

D

ΕΡΩΤΗΣΙΣ ΚΓ'.

Ζητήματα διάφορα τοῦ Ἀποστόλου διὰ κ' καὶ ζ' κεφαλαίων ἐπιλυόμενα.

Ἐπειδήπερ οὐ μόνον χαίρων ἀνοπολογεῖς ἡ τὴν ἧτταν, ἀλλὰ καὶ εἰς ἑορτὴν αὐτὴν ὠφελείας ἀναφέρεις, ὅμως δ' ἐπιζητεῖς ἔτι παραδείγματα τῶν ἐν τῷ πρώτῳ γράμματι εἰρημένων τρόπων· καὶ ταύτην σοι τὴν ἐξαίτησιν πέρας λαβεῖν οὐ βραδύνον[k], δίκαιον νομίζω· ἀνδρὶ γὰρ ἀληθείας ἡττωμένῳ, φθονερὸν μὴ παρέχειν μαθεῖν τὴν ἀλήθειαν ἐπιζητοῦντι. Καθ' ἕκαστον τοιγαροῦν ἐκείνων σοι τῶν τεσσάρων τρόπων ὀλίγα τινὰ παραθέντες τῶν παραδειγμάτων, ἅτε ῥᾳδίαν οὖσαν τῶν λοιπῶν ἐκ τούτων τὴν θεωρίαν καὶ διάκρισιν, ἵνα μὴ καὶ σὴν ἐξυβρίζειν δόξωμεν σύνεσιν, καὶ βίβλον ὅλην ἀντ' ἐπιστολῆς γράφειν παραλείψωμεν. Ὥσπερ γὰρ τὸ λεπτολογεῖν τῷ δυσθεωρήτῳ προσαρμόζεται, οὕτω τὸ σαφὲς ἂν μὴ διὰ τοῦ συντόμου πρόεισι, τοῦ μανθάνοντος ἢ τοῦ διδάσκοντός γε πάντως εἰς κατηγορίαν περίσταται (18).

VARIÆ LECTIONES.

corrig. ex C. M. ἀνομολογεῖς. [k] C. Mon. 551 f. 134 βραδῦναι.

NOTÆ.

(18) Capita ex codice Monac. 551 signantur. Edit.

Digitized by Google

α'. Αὐτίκα τοίνυν τὸ, « Τί οὖν ἐροῦμεν, Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα, » φανερῶς καθ' ὑπερβατὸν ἐσχημάτισται· τὸ γὰρ, *κατὰ σάρκα*, δέον πρὸ τοῦ *πατέρα* κεῖσθαι, ὑπερβεβηκὸς τὴν οἰκείαν χώραν, μετὰ τὸ *εὑρηκέναι*, συντέτακται.

A

1. Ut instemus : « Abraham Patrem nostrum, quid dicemus, inventum fuisse juxta carnem [43], » patet quod figurate per hyperbaton dicitur. Illud enim κατὰ σάρκα, *secundum carnem*, præcedere debuit, πατέρα ἡμῶν, *patrem nostrum;* suum ergo locum supergressa dictio, conjungitur cum *invenisse.*

β'. Τοιοῦτον καὶ τὸ, Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· ἀντὶ γὰρ τοῦ, Βλέπετε τὸν κατὰ σάρκα Ἰσραὴλ, εἴρηται.

2. Tale et illud, « Videte Israel secundum carnem pro, Videte Israel qui est secundum carnem [44].

γ'. Καὶ τοῦτο, Οἱ δοῦλοι δὲ ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, ἀντὶ τοῦ, τοῖς κατὰ σάρκα κυρίοις.

3. *Et*, « Servi, obedite dominis secundum carnem [45], pro, secundum carnem dominis.

δ'. Ἀποδέδοται τούτοις καὶ τό· Πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ· συνδιαποικίλλεται· τὸ γὰρ ἁπλοῦν, Πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ σύνεσίν μου· ἢ εἰ βούλει· Πρὸς ὃ δύνασθε νοῆσαι τὴν σύνεσίν μου τὴν ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ. Δύναται γὰρ τοῦτό τε καὶ ἕνια τῶν προειρημένων δι' ἑκατέρου τρόπου εἰς τὸ ὀρθόν τε καὶ συνειθισμένον τῆς φράσεως ἐπανάγεσθαι. Λέγω δὲ ἤτοι διὰ τοῦ καθ' ὑπερβατὸν, ἢ διά γε τοῦ κοινοποιοῦντος ἐλλειπτικοῦ τὸ προειρημένον τοῖς ἑπεῖτα, ὥσπερ καὶ νῦν, τὸ κατ' αἰτιατικὴν ἐκπεφωνημένον ἑνικὸν ἄρθρον ἀπὸ κοινοῦ παραληφθὲν ὁλόκληρον τὸ ῥητὸν ἀπειργάσατο.

4. Accedat ad ista et illud : « Potestis cum legeritis cognoscere prudentiam meam in mysterio secundum Christum [46] : » ubi elegantia variatur : B simpliciter enim sic est : Ad quod potestis legentes intelligere in mysterio Christi prudentiam meam ; aut si vultis, Πρὸς ὃ δύνασθε νοῆσαι τὴν σύνεσίν μου, τὴν ἐν τῷ μυστηρίῳ Χριστοῦ. Potest hoc effatum, ut ei alia etiam jam dicta per utrumque modum ad recti intelligentiam, et phrasis usum reduci. Intelligo autem per hyperbaton, aut per ellipsin quamdam novam, præcedentia sequentibus copulantem, uti nunc articulus singularis numeri, qui in accusativo effertur, ἀπὸ τοῦ κοινοῦ consummatam periodum reddat.

ε'. Τοιοῦτον καὶ τὸ, Δι' ὃ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν· ἢ γὰρ, ταῖς ὑπὲρ ὑμῶν, ὀφείλει προσειρῆσθαι, δι' οὗ γνώριμον τὸ ἀπὸ κοινοῦ, ἢ ἐν ταῖς ὑπὲρ ὑμῶν θλίψεσί μου, ὅπερ ἐνδείκνυσι τὸ ὑπερβατόν· καθ' ὁπότερον γὰρ τῶν δύο τούτων διαληφθὲν, ἀπηρτισμένην τὸ ῥητὸν ἀναδέχεται τὴν ἑρμηνείαν.

5. Tale et illud, Δι' ὃ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου· quod hyperbaton habet : vel enim conjungi debet cum ταῖς ὑπὲρ ὑμῶν, per quod cognoscitur quod est ἀπὸ κοινοῦ aut, ἐν ταῖς ὑπὲρ ὑμῶν θλίψεσί μου. Quovis modo accipitur, sententia perfectam admittit interpretationem.

C

ς'. Πάλιν, Διὰ τοῦτο ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ, οὐ παύομαι εὐχαριστῶν. Ὅμοιον γὰρ καὶ τοῦτο τοῖς εἰρημένοις· ἢ γὰρ τὴν ἐν τῷ Κυρίῳ Ἰησοῦ καθ' ὑμᾶς πίστιν· ἢ τὴν καθ' ὑμᾶς πίστιν τὴν ἐν Κυρίῳ Ἰησοῦ ἀναγινώσκοντες κεκοινοποιημένην· καὶ οὐδὲν ἔχουσαν παρατετραμμένον τὴν φράσιν εὑρίσκομεν.

6. Iterum, Διὰ τοῦτο ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ, οὐ παύομαι εὐχαριστῶν. Similis hic locus ante allatis, vel enim potest esse, τὴν ἐν τῷ Κυρίῳ Ἰησοῦ καθ' ὑμᾶς πίστιν, aut, τὴν καθ' ὑμᾶς πίστιν τὴν ἐν Κυρίῳ Ἰησοῦ. Ita legentes nihil innovatum, nihil perversum in loquendi modo inveniemus.

ζ'. [Παραπλήσιον] καὶ τὸ, Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε· τὸ γὰρ ἐντελὲς, Εἰ δέ τις οὐχ ὑπακούει τῷ διὰ τῆς ἐπιστολῆς ἡμῶν λόγῳ, τοῦτον σημειοῦσθε· ἢ καὶ οὕτως· Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν τῷ διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε. Καὶ δῆλον, ὅτι τὸ μὲν πρότερον ἀπὸ τοῦ καθ' ὑπερβατὸν ἐπανάγεται· τὸ δὲ ὕστερον ῥηθὲν, ἀπὸ τοῦ κατ' ἔλλειψιν κοινοποιοῦντος τοῖς ἐφεξῆς τὰ προειρημένα ἀπαρτίζεται.

7. Simile est et hoc : Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε. Absoluta oratio ita se habet ; Εἰ δέ τις οὐχ ὑπακούει τῷ διὰ τῆς ἐπιστολῆς ἡμῶν λόγῳ, τοῦτον σημειοῦσθε· aut hoc modo, Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε, Patet, quod istorum modorum prior, per hyperbaton reducitur : posterius dictum liquet per ellipsin a superioribus intelligendam absolvi. D

η'. Καὶ, Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν· ἀντὶ τοῦ, τοῖς ἐν τῷ νῦν αἰῶνι πλουσίοις, ἢ, τοῖς πλουσίοις τοῖς ἐν τῷ νῦν αἰῶνι. Καὶ, Νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν· ἀντὶ τοῦ, ἐν τοῖς ὑπὲρ ὑμῶν παθήμασιν· ἢ ἐν τοῖς παθήμασι τοῖς ὑπὲρ ὑμῶν.

8. Et, Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, pro τοῖς ἐν τῷ νυνὶ αἰῶνι πλουσίοις· et, Νῦν χαίρω ἐν τοῖς ὑπὲρ ὑμῶν παθήμασιν· aut, ἐν τοῖς παθήμασι τοῖς ὑπὲρ ὑμῶν.

θ'. Ἔτι δέ· Τὴν δέησιν ποιούμενος, ἐπὶ τῇ κοινωνίᾳ

9. Adhuc, Τὴν δέησιν ποιούμενοι, ἐπὶ τῇ κοινωνίᾳ

[43] Rom. IV, 1. [44] I Cor. X, 18. [45] Ephes. VI, 5. [46] Ephes. I, 4.

Digitized by Google

ὑμῶν τῇ εἰς τὸ Εὐαγγέλιον. Singula enim antedicta per utrumque modum dicendi, regressum in id quod est τὸ κοινὸν recipiant : per hyperbaton autem simpliciter, id quod hyperthesin dictum est, contexitur.

10. Illud : Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν ἐν Κυρίῳ· ubi illud, ἐν Κυρίῳ, annexum est illi, ἀσπάζομαι ὑμᾶς, juxta usum sequentem dicendi ad finem repetitur. Et illud : Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ· simili figura effertur. Nam vox πονηροῦ locum supplere debet ejus quod sequitur ἐνεστῶτος, et postremum locum absolvit.

11. Iterum : Τούτου χάριν, ὁ δέσμιος ἐγὼ τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν· quasi diceret : Τούτου χάριν, ὁ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν δέσμιος Χριστοῦ. Captivi enim Jesu Christi plures fuerant martyres, sed non pro gentibus in carcerem conjecti. Non enim ideo vinciebantur et occidebantur, quod gentes adducerent ad Christum, sed quod ipsi fidem in Christum nolebant abnegare. Paulus vinctus Jesu Christi, haud aliter fuit, quam propter gentes ; nempe quod illis Jesum Christum, et non hunc aut illum annuntiabat, nullum particularem nominem, sed integras nationes ad Christum converteret. Eapropter captivus tenebatur. Sed de sensu loci interiori, et verborum significatione, alibi sum dicturus.

12. Ad eum tropologiæ modum spectat : Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι ἢ μετέχοντες. Patet autem quod εὐεργεσίας ἀντιλαμβανόμενοι per hyperbaton dicitur ; proprium vero locum si disponatur recte sic supplebit : Ἀλλὰ μᾶλλον οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι, δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί· nempe quod ipsorum heri tales sint.

13. Ad eumdem modum et hoc refertur, Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν, εἴγε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε· καθώς ἐστιν ἡ ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον. Nisi enim ordine mutato dicerenus : Ἀποθέσθαι ὑμᾶς τὸν κατὰ τὴν προτέραν ἀναστροφὴν παλαιὸν ἄντρωπον· aut si velis, Ἀποθέσθαι ὑμᾶς τὸν παλαιὸν ἄνθρωπον, τὸν κατὰ τὴν προτέραν ἀναστροφήν· locus sensu destitueretur.

14. Ita et in istis, Ἵνα δῷ, κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπων, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν

A ὑμῶν τῇ εἰς τὸ Εὐαγγέλιον· τουτέστιν ἐπὶ τῇ εἰς τὸ Εὐαγγέλιον κοινωνίᾳ ὑμῶν· ἢ καὶ οὕτως· ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν τῇ εἰς τὸ Εὐαγγέλιον· ἕκαστον γὰρ τῶν εἰρημένων ἀφ' ἑκατέρου τρόπου τὴν εἰς τὸ κοινὸν ἐπάνοδον ἀπολαμβάνει· καθ' ὑπερβατὸν δὲ καθαρῶς, ὃ καθ' ὑπέρθεσιν λέγεται, διαπλέκεται.

ι'. Τὸ, Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν ἐν Κυρίῳ· τὸ γὰρ, ἐν Κυρίῳ, συναπτόμενον τὸ [1], ἀσπάζομαι ὑμᾶς, κατὰ τὴν ἀκόλουθον τοῦ λόγου χρῆσιν πρὸς τῷ τέλει νῦν ἀποδέδοται. Καὶ τὸ, Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, παραπλήσιον ἔσχε τὸν σχηματισμόν· τὸ γὰρ, πονηροῦ, τὴν ἐφεξῆς τοῦ ἐνεστῶτος χώραν ἐπέχειν ὀφεῖλον, τὴν ἐσχάτην ἀνεπλήρωσεν.

B

ια'. Καὶ πάλιν, Τούτου χάριν ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν, οἷον, Τούτου χάριν ὁ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ. Δέσμιοι μὲν γὰρ γεγόνασι τοῦ Χριστοῦ Ἰησοῦ καὶ πολλοὶ τῶν μαρτύρων, ἀλλ' οὐχ ὑπὲρ τῶν ἐθνῶν. Οὐ γὰρ ὅτι τὰ ἔθνη προσῆγον τῷ Χριστῷ διὰ τοῦτο ἐδέδεντο καὶ ἐσφάττοντο, ἀλλ' ὅτι αὐτοὶ καθ' ἑαυτοὺς τὴν εἰς Χριστὸν οὐκ ἠθέτουν πίστιν. Οὐδὲ Παῦλος δέσμιος μὲν ἦν τοῦ Χριστοῦ Ἰησοῦ, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐθνῶν. Ὅτι γὰρ ἐκήρυττεν αὐτοῖς τὸν Χριστὸν καὶ ὅτι οὐχὶ τόνδε ἢ τόνδε, ἀλλὰ καὶ δῆμους ὅλους μετετίθει πρὸς Χριστόν· διὰ τοῦτο τὸ πλέον ἐδέδετο. Ἀλλὰ περὶ μὲν τῆς ἐν τῇ διανοίᾳ θεωρίας καὶ τῆς

C τῶν λέξεων ἀναπτύξεως ἐν ἄλλοις.

ιβ'. Τῆς αὐτῆς μέντοι τροπολογίας ἔχεται καὶ τό· Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι ἢ μετέχοντες· τὸ γὰρ, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι, φανερὸν ὡς ὑπερτέθειται· ἀναπληρώσει δὲ τὴν οἰκείαν χώραν οὕτω πως διαταχθέν· Ἀλλὰ μᾶλλον οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί· οἱ δεσπόται δηλονότι.

ιγ'. Εἰς τὸν αὐτὸν δὲ τρόπον ἀναφέρεται καὶ τὸ, Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν· εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἡ ἀλή-

D θεια ἐν τῷ Ἰησοῦ ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον. Εἰ μὴ γὰρ ὑπερθέντες εἴπωμεν, Ἀποθέσθαι ὑμᾶς τὸν κατὰ τὴν προτέραν ἀναστροφὴν παλαιὸν ἄνθρωπον· ἢ, εἰ βούλει, Ἀποθέσθαι ὑμᾶς τὸν παλαιὸν ἄνθρωπον τὸν κατὰ τὴν προτέραν ἀναστροφὴν εἰς ἀδιανόητον ἂν περιενεχθέντες εἴημεν.

ιδ'. Καὶ δὴ καὶ ἐν τῷ, Ἵνα δῷ κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν ἀγά-

VARIÆ LECTIONES.

[1] *Isc.* τῷ.

Digitized by Google

πῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι· ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις τί τὸ πλάτος καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος. Ἐν τούτῳ τοιγαροῦν τῷ χωρίῳ, εἴτις τὸ, ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, τῇ ὑπερτεθείσῃ λέξει μὴ ὑποτάξας οὕτω τὴν σύμφρασιν εἰς τὸ κατὰ φύσιν ἔχον ἐπαναστρέψει, βαρβαρίζουσαν οὗτος ὑπόληψιν τῷ θείῳ Παύλῳ περιάψει· τὸ μέντοι διηρθωμένον[m] εἴη ἂν τοιοῦτον· Ἵνα ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι ἐξισχύσητε καταλαβέσθαι· καὶ ἑξῆς. Καὶ ὅρα ὅπως ἔμπροσθεν μὲν τοῖς μὴ προορῶσι τὸ ἀνακεχωρημένον καὶ σοφὸν τῶν ῥημάτων ἐδόκει τὸ ῥητὸν βάρβαρον· ἀναφανείσης δὲ τῆς τροπῆς, συνανεφάνη καὶ τὸ ἐμμέθοδον.

ιε'. Τὸ αὐτὸ δὲ εἶδος καθορᾶται καὶ ἔνθα φησὶν, Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσιν ζωὴν αἰώνιον· ὑπερβέβηκε γὰρ κανταῦθα τὸ, ζητοῦσι ζωὴν αἰώνιον· καὶ ἔστι τὸ κατὰ πόδα τῆς ἑρμηνείας· Τοῖς καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ἀποδώσει. Καὶ σκόπει μοι πάλιν ὅπως συνανεφάνη τῷ ὑπερβατῷ ἡ τοῦ ἀπὸ κοινοῦ μεταχείρισις· τὸ γὰρ, ἀποδώσει, ὄπισθεν ῥηθὲν καὶ ἐνταῦθα συνεφέλκεται.

ις'. Τὰ μέντοι γε τοῦ προκειμένου ῥητοῦ ἐφεξῆς ἔχουσι μὲν καὶ αὐτὰ τὸ ἀπὸ κοινοῦ· ἔχουσι δ' εἰς τὸ καλούμενον ζεῦγμα ἀπομεριζόμενόν τε καὶ εἰδοποιούμενον. Τὸ γὰρ, Πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος, οὐκ ἂν ἀπηρτισμένον εἴη εἰ μὴ ἑλκυσθείη πάλιν τὸ, ἀποδώσει, σχηματισθὲν εἰς τὸ, ἀποδοθήσεται. Ὅπερ ἑξακούειν δεήσει καὶ ἐπὶ τοῦ, Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

ιζ'. Ναὶ δὴ τῇ ἀπὸ κοινοῦ τροπῇ διαμεμόρφωται, καὶ τό· Εἴτε θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως· δεῖ γὰρ πάλιν προσυπακουσθῆναι τὸ, θλιβόμεθα.

ιη'. Ὥσπερ καὶ ἐν τῷ, Εἴτε παρακαλούμεθα ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· ὀφείλει προσεπισυνῆφθαι τὸ, παρακαλούμεθα.

ιθ'. Καὶ τὸ, Εἴτε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν· εἰς τὸν αὐτὸν τύπον ἐσχημάτισται· τὸ γὰρ ἐντελὲς, Εἴτε γὰρ ἐξέστημεν, Θεῷ ἐξέστημεν· εἴτε σωφρονοῦμεν, ὑμῖν σωφρονοῦμεν.

κ'. Μάλιστα δὲ πλεονάζει τὰ εἰρημένα ἐν τῷ χωρίῳ τούτῳ· « Δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν. » Ἅπερ εἴ τις μὴ προσαποδιδοὺς τῷ ῥητῷ εἰς τὴν καθ' εἰρμὸν ἀπαγγελίαν καθαῤῥυθμίζοι τὸν λόγον, εἰς ἀδιανόητον ἂν περισταίη παντελῶς ἡ ὑφήγησις[n] τοῦ προκειμένου. Καὶ τόγε αἴτιον οὐ τοῦ γράμματος,

A ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι καὶ σὺν πᾶσι τοῖς ἁγίοις τί τὸ πλάτος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος. Ubi si quis illud : Ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, dictioni transpositæ non subjiciat, is connexionem loci in id, quod natura postulat, convertens, barbarum sensum divino Paulo affinget : sententia rite et articulate prolata, hæc est : Ἵνα ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι ἐξισχύσητε καταλαβέσθαι, etc. Videsis autem qualiter iis qui ab arte non prævident id quod resultabit, et quam prudenter verba sint disposita, barbare sonare videbitur dictum, ut figura ubi comparuit, una patebit et illustris ordo.

15. Eadem forma cernitur et ubi ista ait : Τοῖς B μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν, ἀφθαρσίαν ἀποδώσει. Attende autem quemadmodum una cum hyperbato ἀπὸ τοῦ κοινοῦ, repetitio est : Nam ἀποδώσει in fine adjectum et hic assumitur. Quæ ergo in præsenti sententia sequuntur, habentur ; et illa quæ ἀπὸ κοινοῦ intelliguntur : habent autem et in eo quod Zeugma appellatur abstractum et specificatum. Illud enim : « Πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ, καὶ θλῖψις, καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου, τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος· » non esset perfecta sententia, nisi iterum attrahatur, C ἀποδώσει formata per ἀποδοθήσεται, quod omnino subintelligi debet in iis, δόξα δὲ, καὶ τιμὴ, καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

17. Etiam et per conversionem ἀπὸ τοῦ κοινοῦ formatur. Et istud : Εἴτε θλιβόμεθα ὑπὲρ τῆς ὑμῶν παρακλήσεως· nam denuo subintelligendum est θλιβόμεθα.

18. Ut et in istis : Εἴτε παρακαλούμεθα ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· nempe annectendum est παρακαλούμεθα.

19. Item et illud : Εἴτε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν· per eamdem figuram formatur : nam absolute ita est : Εἴτε γὰρ ἐξέστημεν, Θεῷ ἐξέστημεν· εἴτε σωφρονοῦμεν, ὑμῖν σωφρονοῦμεν. D

20. Ita redundant omnino in hoc loco ; Δοξάζοντες Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν, εἰς τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν. Quæ nisi quis indultæ sententiæ seriatim deducta prolatione in ordinem redigat, interpretatio loci omnino sine sensu destituetur. Cujus causa non est Scripturæ attribuenda, sed ignorantibus figuras, quibus scriptor utitur. Ver-

VARIÆ LECTIONES.

[m] *Isc.* διηρθρωμένον. C. M. διηρθωμένον. [n] C. M. recte habet ὑφήγησις.

Digitized by Google

horum consummatus ordo hic est : Δοξάζοντές εἰσι οἱ ἅγιοι τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν, τῇ εἰς τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, καὶ ἐπὶ τῇ ὑποταγῇ τῇ ἁπλότητι τῆς εἰς αὐτοὺς κοινωνίας, καὶ τῇ εἰς πάντας. Iterum, Δοξάζοντές εἰσι Θεὸν, καὶ ἐπὶ τῇ ὑπὲρ ὑμῶν δεήσει αὐτῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν εἰς ὑμᾶς χάριν τοῦ Θεοῦ. Vide qualiter hic locus συνέστραπται et ἐλλέλειπται, ac si placet περιβέβληται· a foris haud multa deerant, sed paucis vocibus per ellipsin, et ἀπὸ κοινοῦ assumptis, et hyperbato juxta seriem in locum communem recepto, apertissima erit et perspicua interpretatio.

A τῶν δὲ μὴ συνιέντων τῶν ἐν τῷ γράμματι σχημάτων· Εἴη δ' ἂν ἡ τῶν ῥημάτων αὐτοτέλεια τοιαύτη· Δοξάζοντές εἰσιν οἱ ἅγιοι τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν τῇ εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἐπὶ τῇ ἁπλότητι τῆς εἰς αὐτοὺς κοινωνίας, καὶ τῇ [o] εἰς πάντας· πάλιν, Δοξάζοντές εἰσι τὸν Θεὸν καὶ ἐπὶ τῇ ὑπὲρ ὑμῶν δεήσει αὐτῶν τῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν ἐφ' ὑμῖν χάριν τοῦ Θεοῦ. Καὶ ὅρα ὅπως συνέστραπται μὲν τὸ χωρίον καὶ ἐλλέλειπται, εἰ βούλει δὲ καὶ περιβέβληται· οὐ μὴν ἐξωθέν γε πολλῶν ἐδεήθη· ἀλλὰ ῥήμασι βραχέσιν κατά τε ἔλλειψιν καὶ ἀπὸ κοινοῦ παραλαμβανομένοις καὶ τοῦ ὑπερβατοῦ τὸν καθ' εἱρμὸν ἀπολαμβάνοντος τόπον εἰς τὸ κοινὸν καὶ σαφέστατον τῆς ἑρμηνείας διαμορφωθεὶς ἐπανέδραμεν ὁ λόγος.

21. Per ellipsin et hoc etiam enuntiatur, Εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε καὶ ἀπὼν ἀκούσω. Deest enim manifeste hoc εὐφρανθῶ, aut quid simile.

B κα'. Κατ' ἔλλειψιν δὲ διαπέφρασται καὶ τὸ, Εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε καὶ ἀπὼν, ἀκούσω. Ἐλλείπει γὰρ ἐπιφανῶς τὸ, εὐφρανθῶ, ἢ ἕτερόν τι τοιοῦτον.

22. Sed et istud, Ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί· effertur ἀσχηματίστως. Sed est quod deficit, est quod per ἐπίζευξιν ἀπὸ κοινοῦ subjicitur prolato, sine omni tropo et figura ad hunc modum proferendum est : Ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντὶ πράγματι ὑποτασσέσθωσαν aut ὀφείλουσιν ὑποτάσσεσθαι.

κβ'. Οὐ μὴν οὐδὲ τὸ, Ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί· ἀσχηματίστως προενήνεκται· ἀλλὰ τοῦτο μὲν ἐνδεῖ, τοῦτο δὲ τῷ κατ ἐπίζευξιν ἀπὸ κοινοῦ λεγομένῳ ὑποβέβληται· ἀπαγγελθείη δ' ἂν οὕτω γε χωρὶς τροπικῆς ἐπιτεχνήσεως· Ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντὶ πράγματι ὑποτασσέσθωσαν, ἢ ὀφείλουσιν ὑποτάσσεσθαι.

23. A dictis non abhorret et istud : Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι, ἓν δὲ, τὰ ὀπίσω ἐπιλανθανόμενος, τῶν δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως.

C κγ'. Οὐκ ἀπέοικε δὲ τοῖς εἰρημένοις οὐδὲ τὸ, Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι, ἓν δὲ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τῶν δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως.

Ποῖον γὰρ ἂν παρασταίη νόημα διὰ τοῦ, Ἓν δὲ, εἰ μήτε ἀπὸ κοινοῦ παραληφθείη τὸ, λογίζομαι κατειληφέναι, μήτε εἴ τι [p] ἄλλως παρείθη συνδιαληφθείη ἡ ἀναπλήρωσις; ἐκείνων δὲ κατὰ νόμους τῆς τροπικῆς τεχνολογίας συμπαραληφθέντων, τοιοῦτος ἂν εἴη καὶ ὁ νοῦς καὶ τὸ ἀκόλουθον τῆς συντάξεως· Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι· ἓν δὲ λογίζομαι κατειληφέναι, ὅτι τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τῶν δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως· ὡστεἴ ἔλεγεν· Τοῦτό ἐστι, ὃ λογίζομαι κατειληφέναι, τὸ μήπω μέν τι κατειληφέναι, δεῖν δὲ ζητεῖν, ἀεὶ καταλαβεῖν, καὶ μὴ ἐῤῥᾳθυμεῖν τοῖς κατορθωθεῖσιν· ὁ γὰρ τοῦτο κατειληφὼς, οὗτός ἐστιν ἀληθῶς ὁ κατὰ σκοπὸν διώκων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως. Ἀλλ' ἡ μὲν τῶν νοημάτων παράστασις, εἰ καὶ συγγενοῦς, ὅμως οὐκ ἰδιαζούσης δεῖται ὑποθέσεως· νῦν δὲ πρὸς ἔνδειξιν εἴρηται μόνον τῆς τροπικῆς ἀναπτύξεως.

κδ'. Σαφεστάτην δ' ἂν ἐμφανιεῖ τὴν ἔλλειψιν καὶ μικροῦ δεῖν εἰς περίοδον ἀποτεινομένην (ὅπερ ἐμοὶ μᾶλλον ἔδοξεν), αὐτοτελῶς εἰπόντα πρότερον, οὕτω τὸ κατεσχηματισμένον παραθεῖναι· οἷον, Εἴτε ὑπὲρ Τίτου χρὴ λέγειν, κοινωνός ἐστιν ἐμὸς, καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ὑπὲρ τῶν συνεστραλλένων αὐτῷ λοιπῶν δύο, ἀδελφοὶ ἡμῶν εἰσι κακεῖνοι, ἀπόστολοι Ἐκκλησιῶν, δόξα Χριστοῦ. Τοῦτο μὲν ἀπὸ τοῦ τροπικοῦ λόγου εἰς τὸ κατὰ φύσιν ἐπανήνεκται· τὸ δὲ τροπικὸν δῆλον ὡς· ταύτην ἔχει τὴν γραφήν· Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργὸς, εἴτε ἀδελφοὶ ἡμῶν ἀπόστολοι Ἐκκλησιῶν δόξα Χριστοῦ. Καὶ οἶδα ὅτι οὐκ ἂν σοι δόξῃ παράδοξον εἶναι τὸ τοιοῦτον τῆς ἐλλείψεως εἶδος· πολλὰ γὰρ τοιαῦτα καὶ παρ' Ὁμήρῳ, καὶ Ἀντιμάχῳ, καὶ Ἀριστοφάνει, Θουκυδίδῃ τε καὶ Πλάτωνι, καὶ Δημοσθένει, καὶ σχεδόν τι τοῖς ἄλλοις ποιηταῖς τε καὶ λογογράφοις· εἰ καί τινες, ὧν καὶ Καλλίμαχος ὁ Λίβυς, τά τε ἄλλα πολλῶν ἡττώμενοι, καὶ οὐκ εἰς κόρον μόνον, ἀλλὰ καὶ εἰς ἐκτοπωτάτην τομὴν τοῦ συνήθους καὶ παρατροπὴν καὶ ἀφαίρεσιν τὸ τὸ [q] τοιοῦτον εἶδος βιασάμενοι, οὐκ ἀναιτίως ὑπὸ τῶν ἐπιστήμην ἐχόντων [r] κρίνειν τὰ τοιαῦτα (κριτικοὶ δὲ οὗτοι) ὑπὸ ἐπιτίμησιν ἔπεσον. Ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

κε'. Τὸ μέντοι, Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ὑμῖν δ.άφορα, εἴτε προφητείαν κατὰ

VARIÆ LECTIONES.

[o] C. M. omittit τῇ. [p] C. M. τῶν. [q] τὸ mendose repetitur. [r] C. M. add. [male] μή.

Digitized by Google

τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι· τοῦτο δή, τοῦτο τὸ ῥητὸν λαμπρὸν ἂν εἴη περιβεβλημένου λόγου παράδειγμα· ἔχει μὲν γὰρ εὐθὺς τῷ καθολικῷ ἐπιφερόμενα τὰ μερικά· τοῦτο μὲν, τῷ χαρίσματι τὴν προφητείαν καὶ τὴν διακονίαν· τοῦτο δ' αὖ πάλιν τῇ διακονίᾳ τὰ μερικώτερα ταύτης τὴν διδασκαλίαν τὴν παράκλησιν, καὶ εἴγε βούλει, τῇ παρακλήσει τὴν μετάδοσιν, τὴν προστασίαν, τὴν ἐλεημοσύνην. Ὁ τε γὰρ μεταδιδοὺς καὶ ὁ προϊστάμενος καὶ ὁ ἐλεῶν, εἰς παραψυχήν τινα καὶ παράκλησιν καθίστανται· τοῖς δ' αὐτῶν εὐεργετουμένοις οὐ μὴν ἀλλὰ καὶ καθ' ἕτερον τρόπον περιβέβληται· τὴν αἰτίαν γάρ ἐστιν οἷς προσάπτει τῶν κεχαρισμένων· οὐ περιβέβληται δὲ μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ ποικίλλεται τῷ [s] ἀπὸ κοινοῦ· καὶ δὴ προβάλλεται καὶ τὴν εἰδικῶς καλουμένην Ἔλλειψιν· τὸ γὰρ, ἔχοντες, ἀπὸ κοινοῦ [t] μὲν φέρεται κατὰ τοῦ, Εἴτε προφητείαν εἴτε διακονίαν· εἰς τὸ καλούμενον δὲ ζεῦγμα διασχίζεται, ἐπὶ τοῦ, εἴτε ὁ διδάσκων, εἴτε ὁ παρακαλῶν· καὶ ἐν τοῖς ἑφεξῆς δὲ μέρεσι τοῦ λόγου. Καὶ γὰρ ἐν ἀρχῇ πληθυντικῶς ἐκπεφωνημένου τοῦ, ἔχοντες, ἑνικῶς ἐξακούομεν ἐπί τε τοῦ, Ὁ διδάσκων καὶ ὁ παρακαλῶν, καὶ τῶν ἄλλων· πάλιν δὲ τὸ αὐτὸ χωρίον κρέμαται ὅλον, ἀνάπαυσιν οὐκ ἔχον οὐδεμίαν, ἂν μή τι ῥῆμα προσεπινοηθῇ. Ἂν γὰρ μὴ ἐπινοήσωμεν τὸ, μενέτω μὲν ἔν τε τῇ διακονίᾳ καὶ διδασκαλίᾳ καὶ τῇ παραβλήσει [*corrig.* παρακλήσει]· καὶ πρό γε τούτων ἐν τῷ, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως μετὰ καὶ προσθήκης τοῦ, ἐν τῇ προφητείᾳ· μὴ συνάψωμεν δὲ πάλιν τῷ [u], μεταδιδότω καὶ προϊστάσθω καὶ ἐλεείτω, τοῖς ἑφεξῆς, ἀτελὲς ὅλον καὶ παράσημον πεποιηκότες ἂν εἴημεν τὸ χωρίον. Ἀλλὰ τὸ μὲν ῥητὸν τοῦτο τρισὶν ἅμα διεσχηματίζετο τρόποις.

κς'. Ἑφεξῆς δὲ πάλιν ὁ ἐλλειπτικὸς προκύπτει. Λείπει γὰρ ἐν τῷ, Ἡ ἀγάπη ἀνυπόκριτος, τὸ, ἔστω, καὶ λοιπὸν ἑφεξῆς.

κζ'. Ἀρχὴν ἄλλη περίοδος δέχεται, ἡ, Ἀποστυγοῦντες τὸ πονηρόν· ἥτις διὰ μακροτάτου ποιουμένη τὴν ἀπόδοσιν, εἰς πνεῦμα μὲν ἀποτείνεται· οὐκ ἀπήλλακται δὲ οὐδὲ τοῦ περιβεβλῆσθαι. Τὸ γὰρ, ἀποστυγοῦντες τὸ πονηρὸν, εἰς τὸ, Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε, τὸν ἀπαρτισμὸν λαμβάνει. Ἐπεὶ καὶ τῶν ἄλλων πασῶν ἀρετῶν τέλος ἐστὶ καὶ οἱονεὶ συγκεφαλαίωσις τὸ μέχρι τῶν ἐχθρῶν καὶ μεμισηκότων τὴν ἀγαθότητα καὶ ἀγάπην παρατείνειν. Κατὰ γὰρ ταύτην τὴν πρᾶξιν καὶ ὁ σωτήριος καὶ ἀψευδὴς [v] λόγος ἀφομοιοῦσθαι τοὺς ἐπὶ γῆς ἀνθρώπους πρὸς τὸν ἐν οὐρανοῖς ἐπιστώσατο Πατέρα. Ἄλλα γὰρ πολὺ πλῆθος ἐν τοῖς γράμμασι τοῦ θείου Παύλου τῶν τοιούτων ἔνεστι παραδειγμάτων· ἐξ ὧν ὀλίγα παρεθέμην, δι' ἃς καὶ καταρχὰς ὑπολήψεις ἔφην, αἷς τὰς αἰτίας ἀνατίθημι, καὶ διότι μηδὲ περὶ τῶν λοιπῶν οἷς συνεχρήσατο διεξῆλθον τρόπον ὅλως τε περὶ τρόπου γενέσεως καὶ διαφορᾶς ποσότητός τε καὶ χρήσεως· ὅθεν τε ἡ τροπολογία ἔφυ, καὶ δι' ἣν ποτε αἰτίαν ἡ Ἑλληνὶς ταύτην ᾠκειώσατο γλῶσσα· οὐδὲ γὰρ οὐδ' ἀξιώσαιμι· οὔτε σὲ δεῖσθαι μαθήσεως ὅλως τῆς περὶ ταῦτα τηλικοῦτον ὄντα οὔθ' ἡμᾶς ἐν τῇ περὶ τούτων διδασκαλίᾳ φιλοτιμεῖσθαι.

Τὰ μὲν γὰρ στοιχειώδη τε καὶ οἰκεῖα τοῖς εἰσαγομένοις· τὰ δὲ, δι' ὧν ἔφημεν ὑποδειγμάτων σαφῆ καὶ ῥᾳδίαν εἴληφε τὴν γνῶσιν. Τῶν μὲν οὖν ἀποστολικῶν γραμμάτων καὶ τοῖς εἰρημένοις καὶ πολλοῖς ἑτέροις σχήμασιν ὁ χαρακτὴρ οὕτω πέφυκε διαμορφοῦσθαι· οὐχὶ δ' ὅπερ καὶ πολλαχοῦ ἀπεπάμην τέχνῃ καὶ μελέτῃ ταῦτα γράφειν αὐτὸν ἠδέως εἰποιμι ἄν· οὐχ οὕτως μικρολογῶ τὸν οὐράνιον ἄνθρωπον ἐκεῖνον, τὸν ὡς οἰκίαν ἢ πόλιν μίαν τὴν οἰκουμένην ὅλην πολίσαντα τῷ κηρύγματι· ἀλλ' ἐμφύτῳ κράτει διανοίας καὶ τῷ περὶ πάντα δραστηρίῳ, μᾶλλον δὲ τῇ ἄνωθεν χάριτι· ἢ καὶ τὸν πλοῦτον αὐτῷ τῆς ἐμφύτου γνώσεως καὶ τῆς ὑπὲρ τὸ ἀνθρώπινον ἀγχινοίας καὶ φρονήσεως χορηγοῦσα διὰ πάντων οὐ διέλιπεν, δι' ἧς καὶ τῶν [x] ἄλλοις ὅσα πόνοι καὶ μελέται μόλις κατορθοῦσιν αὐτὸς ἀταλαίπωρον ἔσχε τὴν χρῆσιν καὶ μεταχείρισιν. Σὺ δέ μοι ταῖς ἐκεῖθεν καθαρῶς ἐλλαμπόμενος τῆς ἀληθείας ἀκτῖσιν, εἷς ὥσπερ τὸ θεωρητικὸν ὀμματούμενος, οὕτω καὶ τὸ πρακτικὸν ταῖς αὐτόθεν ἐντολαῖς διὰ βίου ῥυθμιζόμενος.

A Quæ enim sunt quædam elementaria primitus initiatis: alia redduntur clara et manifesta satis, ita ut facile apprehendi possint per illa quæ protulimus exempla. Atque ita scriptorum apostolicorum character per ante recitatas et multas alias figuras ad hunc modum confirmari potest. Nec quod jam aliquoties negavi, dixerim eum affectasse hunc scribendi modum. Non ita vili pendo cœlestem illum virum, qui totum orbem tanquam unicam aliquam urbeculam prædicando circumiit: sed ab insita animi facultate, et actuoso per omnia habitu, imo potius a cœlesti gratia inspiratus, quæ divitias ipsi illas, insitæ cognitionis et prudentiæ ultra humanam et intelligentiæ copiam per omnia et in omnibus continuo suggesta suppeditavit, unde sine B labore et difficultate usum earum rerum et exsecutionem nanciscebatur, quas alii per labores et serias meditationes vix assequuntur. Tu autem veritatis radiis hinc coruscantibus illuminatus, ut quod theoriam attinet illustraris, ita quoad praxim præceptis Paulinis per totum vitæ tuæ cursum confirmeris.

VARIÆ LECTIONES.

[s] C. M. legit τό. [t] C, M. τὸ γὰρ ἀπὸ κοινοῦ ἔχοντες. [u] τό. [v] καὶ ἀψευδὴς des. in C. Monac. [x] C. M. διέλειπεν, δι' οἷς καὶ τοῖς.

Digitized by Google

QUÆSTIO XCIV [*Coisl.* CCLVII, *Taur.* CCXLVIII].

Quid est : « Luceat lux vestra coram hominibus » etc. ?

ΕΡΩΤΗΣΙΣ ιΔ'.

Τί ἐστι τό· « Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, » καὶ τὰ ἑξῆς ;

Edita a Montacutio, ep. 167, *ad Paul. Laodic.*, p. 212. An sibi contradicant Matth. v, 6 et Matth. vi, 2-4.

Prolixioris tuæ ac dedita opera prolatæ quæstionis simplicem et brevem solutionem fero. Primo, « Sic luceat lux vestra coram hominibus ut videant opera vestra bona, et glorificent Patrem vestrum qui est in cœlis [47]. » Est ad perfectissimam virtutem exhortatio. « Nolite facere eleemosynam vestram coram hominibus [48], » ad tollendam gloriæ ambitionem, quæ est improbitas, usurpatur. Quomodo nequitiæ destructio igitur contravenire potest exhortationi quæ est ad virtutem : imo potius B aversio quæ ab una fuerit, alterius firmat substitutionem. Nam qui gloriolam humanam pro Dei legibus rejicit, ille virtutis amore incenditur, et virtutum sit probus Deum habet propalatorem et publicum præconem operum ipsius instar lucis : at qui misericordiæ studet faciendæ propter hominum famam et opinionem, is est, qui ob ostendendam vanitatem causam quærit et occasionem. Quantum ergo Dei suffragium humanam industriam superat, tantum differt vir faciens voluntatem Dei, et virtutem amplexus, ab eo qui curam solam illam adhibet ut laudes venetur humanas. Ab istorum imitatione abhorrere Servatoris præceptum eos vetat, qui in id incumbunt ut Deum habeant testem et præconem suorum operum : non autem C id intendunt ut proprias ipsorum artes præferant cœlesti testimonio.

Τῆς μακρᾶς σου καὶ μεμηχανημένης ἀπορίας ἁπλῆν καὶ σύντομόν σοι παρεχόμεθα τὴν λύσιν. Τὸ μὲν, « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν οὐρανοῖς, » εἰς ἀρετὴν ἐστι δηλονότι τὴν τελειοτάτην παράκλησις. Τὸ δὲ, « Μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, » φιλοδοξίας ἐστὶν, ὅπερ καὶ ἔστι κακίας ἀναίρεσις. Πῶς οὖν ἡ τῆς κακίας ἀναίρεσις τῇ παρακλήσει τῆς ἀρετῆς δύναιτ' ἂν ὑπάρχειν μαχόμενον ; τουναντίον γὰρ καὶ συνίστησι μᾶλλον ἡ θατέρας ἀποτροπὴ τῆς ἑτέρας τὴν ὕπαρξιν. Ὁ γάρ τοι τῆς ἀνθρωπίνης δόξης διὰ τοὺς θείους νόμους ὑπερορῶν, οὗτός ἐστιν ὁ τῆς ἀρετῆς θερμὸς ἐραστὴς, καὶ ὁ μὲν σπουδαῖος τὸ θεῖον ἔχει δημοσιεύον [y] καὶ λάμπειν αὐτοῦ παρασκευάζον [z] τὰ ἔργα δίκην φωτός. Ὁ δὲ πρὸς ἀνθρώπων δόξαν τὸν ἔλεον μετιὼν, αὐτός ἐστιν ὃς ἀποφέρεται δηλονότι καὶ τὴν τῆς ἐπιδείξεως αἰτίαν. Ὅσῳ γοῦν ἀνθρωπίνης σπουδῆς ψῆφος θεία διαφέρει, τοσούτῳ διενήνοχεν ἄνθρωπος πράττων ἀρετὴν καὶ Θεῷ ἀρέσκων, ἀνδρὸς θήραν ἐπαίνων ἀνθρωπίνων τὴν πρᾶξιν προβαλλομένου. Οὗ τὴν μίμησιν φεύγειν ὁ σωτήριος παρακελεύεται λόγος, πᾶσιν οἷς ἔστι σπουδὴ τὸν Θεὸν ἔχειν μάρτυρα καὶ κήρυκα τῶν ἔργων· ἀλλὰ μὴ τὰς οἰκείας τέχνας τῆς ἄνωθεν μαρτυρίας ἔμπροσθεν ποιεῖσθαι.

QUÆSTIO XCV [*Coisl.* CCLVIII. *Taur.* CCXLIX].

Quid est illud : « Pater meus major me est ? »

ΕΡΩΤΗΣΙΣ ιΕ'.

Τί ἐστι τὸ, « Ὁ Πατήρ μου μείζων μού ἐστιν ; »

Edita a Montacutio, ep. 176, *ad S. Sabam*, p. 262-264. — Disquisitio de sensu verborum Christi. Joann. xiv, 28.

Dictum illud evangelicum, « Pater meus me major est [49], » non uno modo Patres nostri interpretantur, nulla interim expositione veritatem debilitante. Sunt qui exponunt causalitate majorem, quod non substantiæ alterationem identitatem potius et connaturalitatem notat. Omnis enim pater, dum filium causalitate præcedit, per illud ipsum constringit potius et in unum compingit, utcunque C sint hypostases tam divulsæ : quæ dispersio inde contingit, quod e sexcentis in rebus genitis accidentibus fluens et multiplicata, in aliam speciem vi impellitur. Filio igitur majorem esse Patrem spectat ad paritatem substantiæ et subsistentiæ, nullo autem modo ad substantiæ diversitatem. Alii, major me, ad humanam naturam retulerunt. Aiunt enim, quod quemadmodum « proficisci ad Patrem ; » et, « Non adhuc multa cum discipulis loqui [50] ; » et, « Venit Princeps mundi, » nec in me

Τὴν, « Ὁ Πατήρ μου μείζων μού ἐστιν, » τοῦ Εὐαγγελίου φωνὴν, διαφόρως οἱ Πατέρες ἡμῶν ἐξειλήφασι· μηδεμιᾶς λυμαινομένης τῇ ἀληθείᾳ ὑπολήψεως. Οἱ μὲν γάρ φασι τῷ αἰτίῳ μείζονα εἰρῆσθαι· ὅπερ οὐκ οὐσίας παραλλαγὴν, ταυτότητα δὲ μᾶλλον καὶ συμφυΐαν, παρίστησιν. Ἅπας γὰρ πατὴρ τοῦ υἱοῦ τῷ αἰτίῳ καθηγούμενος, συσφίγγει μᾶλλον δι' αὐτοῦ καὶ συνδιακρατεῖ τὴν τῆς οὐσίας ἑνότητα, κἂν ὁ σκεδασμὸς τῶν ὑποστάσεων τοσοῦτος, μάλιστα τοῖς γενητοῖς ἐκ μυρίων ῥέων καὶ πληθυνόμενος περιστάσεων, εἰς ἑτερότητα ἐκβιάζηται· ὁμοουσιότητος ἄρα [a] καὶ συμφυΐας τὸ μείζω εἶναι τῷ αἰτίῳ τὸν Πατέρα τοῦ Υἱοῦ, ἀλλ' οὐδαμῶς γε τῆς κατ' οὐσίαν ἑτερότητος. Ἄλλοι δὲ τὸ, μείζων, κατὰ τὸ ἀνθρώπινον εἰλήφασι. Φασὶ γὰρ, ὥσπερ τὸ « πορεύεσθαι πρὸς τὸν Πατέρα, » καὶ τὸ, « Μηκέτι πολλὰ μετὰ τῶν μαθητῶν λαλεῖν· » καὶ τὸ « ἔρχεσθαι τὸν τοῦ κόσμου ἄρχοντα, » καὶ ἐρευνῶντα μηδὲν εὑρίσκειν ὅλως·

[47] Matth. v, 16. [48] Matth. vi, 1. [49] Joan. xiv, 28. [50] Ibid. 30.

VARIÆ LECTIONES.

[y] C. M. 551 f. 139 δημοσιεύων. [z] C. M. παρασκευάζων. [a] Cod. Mon. 551 f. 151 b habet ἄρα.

Digitized by Google

ὥσπερ δὴ ταῦτα τοῦ προσλήμματος ἦν, οὐ τοῦ λόγου· οὕτω καὶ τὸ, « Ὁ Πατήρ μου μείζων μού ἐστι· » μεταξὺ γὰρ ἐκείνων τοῦτο, καὶ παραπλησίως αὐτοῖς εἴρηται. Τινὲς δὲ, περὶ μὲν τοῦ Λόγου τὸ μεῖζον συνεχώρησαν· οὐχ ἁπλῶς δὲ τοῦτο καὶ κατ' οὐσίαν, ἀλλ' εἴπερ ἐστὶν ἡ ἐνανθρώπησις ἄκρα κένωσις καὶ ταπείνωσις, καθ' ὃ κεκένωκεν ἑαυτὸν ὁ Λόγος καὶ ἐταπείνωσε [b] « μορφὴν δούλου ὑπελθὼν [c], » δῆλον ὅτι τοῦ μηδαμῶς ὑποστάντος τὴν κένωσιν καὶ ταπείνωσιν, ἀκολούθως λέγοιτ' ἂν τὸ ἔλαττον ἀπενέγκασθαι· ἐν μείζοσι γὰρ ὑπεροχαῖς, κατ' αὐτό γε τοῦτο, ὁ ἀκένωτος τοῦ κεκενωμένου μείζων ἐστὶ καὶ ὁ τῆς ἰδίας ὑπεροχῆς μηδὲν καθαφεὶς [d], τοῦ μέχρι καὶ τῶν ἐπονειδίστων παθῶν, σταυροῦ, φημὶ, καὶ θανάτου διεληλυθότος τῆς ἀνθρωπίνης φύσεως. Ἐκδέξαιτο δ' ἂν τις οὐκ ἀπεικότως καὶ πρὸς τὴν τῶν μαθητῶν διάνοιαν εἰρῆσθαι τὸν λόγον· ἐπεὶ γὰρ ἔτι ἀτελῶς οὗτοι διέκειντο περὶ τὸν Θεὸν καὶ διδάσκαλον, μείζονά τε πολλῷ τὸν Πατέρα ἐνόμιζον· τοῦτο μὲν τῶν Μωσαϊκῶν νόμων ἐμφανέστερον, αὐτοῖς τὸν Πατέρα ἢ τὸν Υἱὸν καταγγελλόντων· τοῦτο δὲ [e] τοῦ Σωτῆρος ἄνω καὶ κάτω περιστρέφοντος αὐτοῖς τὸν Πατέρα. Ἐπεὶ οὖν τοιαύτη τις αὐτοῖς ἐνεστήρικτο ἡ δόξα (διὰ γὰρ τοῦτο καὶ ἔλεγον, « Δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν »), πρὸς τὴν ἐκείνων ὑπόληψιν ἀποτεινόμενος ἵσταται, τοιοῦτόν τι λέγων, αὐτοὺς [f] ἀσύμφωνα ταῖς σφῶν ὁμολογίαις διαπράττεσθαι, λύπῃ διδόντες ἑαυτούς, « Ὅτιπερ ἔφην· Πορεύομαι πρὸς τὸν Πατέρα. » Εἰ γὰρ ἠγαπᾶτέ με, δοκεῖ δὲ ὑμῖν καὶ μείζων εἶναι ὁ Πατὴρ, χαίρειν ὑμᾶς ἔδει, διότι πρὸς τὸν μείζονα πορεύομαι· τοῦτον γὰρ καὶ ὑμῖν εἶγε μόνον ὑποδείξαιμι, ἀντὶ πάντων ἐξαρκέσειν διετείνεσθε. Ἀλλὰ γὰρ καὶ κατὰ ταύτην τὴν διάνοιαν, μείζονα λελέχθαι τὸν Πατέρα παρὰ τοῦ Υἱοῦ, εἴ τις ἐκδέχοιτο, οὐκ ἂν ἀπενεχθείη τοῦ πρέποντος. Οὐδὲν δὲ ἴσως κωλύει καὶ ῥῆμα τοῦτο ὑπολαβεῖν συγκαταβάσεως, διὰ τὴν τῶν ἀκροατῶν ἀσθένειαν ἐσχηματισμένον πρὸς τὸ ταπεινότερον· ἔστι γὰρ πολλὴ [g] καὶ τῶν τοιούτων λόγων ἡ οἰκονομία ἐπὶ κέρδει καὶ σωτηρίᾳ τῶν τὰ τελειότερα μήπω φέρειν δυναμένων· ὥσπερ καὶ τὸ, « Ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον πέμψει· » καὶ, « Εὐχαριστῶ σοι, ὅτι πάντοτέ μου ἀκούεις, » καὶ μυρία ἄλλα. Πόθεν οὖν δῆλον, ὅτι ταῦτα πρὸς τὴν ἀσθενοῦσαν ἀκοὴν ἐσχημάτισται; Αὐτὸς ὁ Σωτὴρ ἡ πηγὴ τῆς σοφίας, καὶ συνέσεως ἄβυσσος [h], ἑαυτὸν ἑρμηνεύων ἐδίδαξεν εἰπών· « Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. » Ἀλλὰ γὰρ κατ' ἐπιστολὴν ἀποχρώντως, οἶμαι, σοὶ ἔχει τοῦ ζητηθέντος τὴν μάθησιν.

A facta disquisitione, quidquam invenit, veluti, quam hæc ad assumptam carnem referuntur, non autem ad verbum, sic et illud, « Pater meus me major est, » inter enim superius recitata simili modo prolatum et hoc dicitur. Quidam etiam de Verbo concedunt illud, major non autem simpliciter, vel secundum substantiam : sed si incarnatio fuerit summa exinanitio et humiliatio, secundum quam evacuavit se Verbum et humiliavit : « Formam servi induens [51], » patet quod illius rei, quæ nullo modo substernebatur, evacuatio et humiliatio consequenter dicatur minoritatem retulisse ; in majoribus enim excellentiis, qui vacuabilis non est, major est quam is qui evacuatur ; et qui nihil de sua sublimitate remittit, major est eo qui vel ad B usque despectabilia descendit sufferenda, cruecm, dico et mortem, quæ natura subivit humana : sed et opinari quis poterit nec improbabiliter, dictum fuisse de mente discipulorum : erant etenim adhuc illi imperfecti, nec de magistro suo, ut de Deo cogitabant, multo autem majorem Deum Patrem cogitabant, præcipue cum Mosaica lex multo explicatius Patrem quam Filium ipsis insinuet : et ipsemet Servator Patrem apud eos multifariam prædicaret. Quocirca apud ipsos cum hæc opinio obtineret, a qua profecti dicebant : « Ostende nobis Patrem et sufficit nobis [52]. » Hanc illorum opinionem respiciens sistit se nec progreditur ; sed tantum non dixit, parum consentanea vobis ipsis agitis et vestræ opinioni, dum tristitiæ vos traditis, « eo quod C dixerim, vado ad Patrem [53], » si me diligeretis, et si revera majorem me Patrem arbitramini, gaudere potius deberetis, quia vado ad Patrem meum me majorem. Hunc si ego vobis ostendere tantum velim, omnino sufficturum vobis ad omnia diceretis: Quod si vero juxta sensum istum putaverit quisquam, « Patrem dictum majorem Filio, » a bona convenientia non deviabit. Nihil porro impedit hanc vocem per condescentiam adhiberi, et ad humilitatem conformatam propter auditorum infirmitatem. Multiplex enim dispositio istiusmodi orationum adhiberi solet, ad commodum et salutem eorum procurandam, qui nondum ferre possunt consummatiora : uti illud : « Rogabo Patrem, et alium Paracletum dabit vobis [54] ; » et « Gratias tibi, D Pater, ago, quod semper me et ubique audias [55] ; » et similia plura. Sed unde constabit, quod ad auditorum imbecillitatem ista confirmantur. Certe quidem Servator, fons jugi sapientiæ, et intelligentiæ abyssus, ipsum se explanans, id per ista docet : « Ego autem scio, quod me semper audis, sed propter turbam circumstantem dixi : Ut credant quia misisti me. » Atque ita sufficienter habes, ut per epistolam, quæstionis a te positæ solutionem.

[51] Philipp. II, 7. [52] Joan. XIV, 8, [53] Joan. XVI, 6. [54] Joan. XIV, 16. [55] Joan. XI, 42.

VARIÆ LECTIONES.

[b] C. M. τεταπείνωκε. [c] C. M. add. ὁ δεσπότης. [d] C. M. recte καθυφείς. [e] καὶ. [f] C. M. τι λέγων ὁ Σωτήρ. [g] C. M. 152 b. ἔστι γὰρ ἔστι πολλή. [h] Q. M. καὶ ἡ τῆς γνώσεως ἄβυσσος.

Digitized by Google

QUESTIO XCVI. [*Coisl.* CCLIX. *Taur.* CCL.]

Quomodo non pugnat illud : « In domo Patris mei mansiones multæ sunt » cum sequenti : « Si abiero, parabo vobis locum ? »

ΕΡΩΤΗΣΙΣ ιϛ'.

Πῶς οὐ μάχεται τὸ, « Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσι· » καὶ τὸ, « Ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον; »

Edita a Montacutio, ep. 177, *ad Sabam*, p. 264. An non sibi repugnent, Joann. xiv, 2 et Joann. xiv, 3.

Quoad sensum, non repugnat illud effatum : « In domo Patris mei multæ et multiplices sunt mansiones : Sin minus, edixissem *utique* vobis, vado autem ut locum vobis apparem [86], » cum illo quod dictum sequitur, « Si proficiscar, apparabo vobis locum [87]. » Siquidem per providentiam et præcognitionem, aut si magis placet, per et quoad substantificationem et exsistentiam omnibus omnino, qui dignum cœlesti gloria vitæ suæ cursum instituerunt, a Deo loci sunt præparati. Consecrat autem et mansiones revera statuit, si modo mansiones proprie sunt, in quibus recumbunt, qui manent ibi : nullus enim omnino usque ad Christum in cruce passum, et descensum in infernum, ac in cœlos reditum ibidem susceptus requiescebat : sed postquam in carne assumebatur, ascendens in cœlos, quo « viam nobis novam, et vivam, » juxta quod habet beatus Paulus, consecrarat, apparatiores deinceps, et tantum non sub oculis expositas illorum qui digni erant, revera perfecit mansiones. Itaque apud Patrem mansiones illæ erant, et Filius eas perfectas eo profectus apparavit.

Οὐ μάχεται κατὰ διάνοιαν τὸ, « Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν· Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν· » καὶ τὸ ἐφεξῆς εἰρημένον· « Ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον. » Τῇ μὲν γὰρ προνοίᾳ καὶ προγνώσει, ἢ εἰ βούλει, τῇ οὐσιώσει καὶ τῇ ὑπάρξει, πάντως ἅπασιν ὅσοι τῆς οὐρανίου δόξης ἀξίως ἐπολιτεύσαντο, τῷ Θεῷ τῶν ὅλων οἱ τόποι προητοιμάσθησαν. Ἐγκαινίζων δὲ αὐτοὺς, καὶ μονὰς δεικνὺς ὡς ἀληθῶς, εἴπερ κυρίως μονὰς, αἷς οἱ μένοντες ἐναυλίζονται· οὐδεὶς οὐδαμοῦ, μέχρι τοῦ σωτηρίου σταυροῦ, καὶ τῆς εἰς ᾅδου καθόδου, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου τοῦ Δεσπότου, ἐπιδέδειχεν [1]· αὐτὸς δὲ κατὰ τοῦ προσλήμματος εἰς οὐρανοὺς ἀναβάς, καὶ « πρόσφατον ἡμῖν ὁδὸν, καὶ ζῶσαν, » κατὰ τὸν μακάριον Παῦλον, ἐγκαινισάμενος, ἑτοιμοτέρας τῷ ὄντι, καὶ μονονουχὶ βλεπομένας τοῖς ἀξίοις τὰς ἐκεῖσε μονὰς ἀπειργάσατο. Ὥστε καὶ παρὰ τῷ Πατρὶ αἱ μοναὶ, καὶ ὁ Υἱὸς ταύτας πορευθεὶς ἡτοιμάσατο.

QUÆSTIO XCVII [*Coisl* CCLX, *Taur.* CCLI.]

Cur apostolorum princeps incidit in negationem?

ΕΡΩΤΗΣΙΣ. ιζ'.

Διὰ τί ὁ κορυφαῖος τῶν ἀποστόλων περιπίπτει ἀρνήσει ;

Edita a Montacutio, ep. 178, *ad Amphil.*, p. 265-267. De Petro Dominum negante. Matth. xxvi, 69-75; Luc. xxii, 55 61.

Quod volebas sciscitando discere, potes illud in quantum patitur disciplina epistolaris, auribus accipere : Quandoquidem Petrus universalem totius mundi curam erat susceperturus commissi ipsius fidelitati, idcirco permittebatur lapsu circumagi; quo suo commonefactus ipsius exemplo humanum se et facilem erga lapsos sed pœnitentes ferret. Si enim talem in lapsu illo gravi veniam consecutus est et indulgentiam, non debuit tam inexorabili, et præpropera sententia vitam Ananiæ quasi falce demetere : Et quis totus mundus ejus zelum contineret, si amorem erga Dominum et affectum illibatum, nec intercisum retinuisset? Quamobrem, communis omnium, qui est et Dominus et Servator permittit illum solum cadere, ut sic per illum pluribus compassionis fontes et misericordiæ emittens doceret, tanquam de immenso oceano inexhaustam haurirent bonitatem : deinde, ut discipulus ille, qui vires humanas operibus suis transcenderet, in divinam de supernis potius gratiam respiceret, quam ut gratiam collatam sibi ideo reputaret, quod vita esset inculpabilis. Patratio enim miraculorum ad tumorem ocius et ela-

Ὅπερ μαθεῖν ἐπηρώτησας, ἔξεστί σοι, κατά γε διδασκαλίαν ἐπιστολῆς, ἐνωτίζεσθαι. Ἐπειδήπερ ἐμελλεν ὁ Πέτρος τῆς οἰκουμένης τὴν προστασίαν καταπιστεύεσθαι, συγχωρεῖται περιενεχθῆναι τῷ πτώματι· ἵνα τῷ καθ' ἑαυτὸν ὑποδείγματι φιλάνθρωπος εἴη καὶ ἐπιεικὴς τοῖς μετανοοῦσιν ἐφ' οἷς ἥμαρτον. Εἰ γὰρ καὶ τοσαύτης ἀπολαύσας συγγνώμης ἐπὶ τηλικούτῳ πταίσματι, ὅμως τοὺς περὶ Ἀνανίαν ἀδυσωπήτῳ καὶ ὀξείᾳ δίκῃ τοῦ βίου ἐθέρισε τίς ἂν αὐτοῦ κόσμος τὸν ζῆλον ἐχώρησεν, εἰ τοῦ Δεσποτικοῦ πόθου τὸ φίλτρον ἀλώβητον ὅλως διὰ βίου καθαρὸν διεσώσατο; Οὐκοῦν ὁ κοινὸς Σωτὴρ καὶ Θεὸς, ἀφῆσαι τὸν ἕνα πεσεῖν, ἵνα πολλοῖς δι' αὐτοῦ τὰς τῆς συμπαθείας πηγὰς, καὶ τοῦ ἐλέου ἀναβλύζων, ἀπαρύεσθαι τῆς φιλανθρωπίας τὸ πέλαγος ἐπιδείξῃ ἀνεξάντλητον· ἔτι δὲ, καὶ ἵνα ὁ μαθητὴς τὰ ὑπὲρ ἄνθρωπον τελεσιουργῶν, εἰς τὴν ἄνωθεν ἔχοι χάριν ἀναφέρειν μᾶλλον, ἢ τῷ ἀνευθύνῳ τοῦ οἰκείου βίου ἐπιγράφειν τῶν κατορθωμάτων τὸ αἴτιον. Ὀξὺ γὰρ θαυματουργία εἰς ὄγκον καὶ φύσημα, τῷ τοῦ συνειδότος ταπεινῷ μὴ καθελκομένη πρὸς τὸ μέτριον. Διὸ καὶ ὁ Σωτὴρ φησι, « Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν

[86] Joan. xiv, 2. [87] ibid. 3.

VARIÆ LECTIONES.

[1] C. Mon. 551 f. 153 a legit ἐπιδέδειχται.

Digitized by Google

ἐγράφη ἐν τοῖς οὐρανοῖς. Καὶ, πολλοί ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Οὐ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ ἐρῶ αὐτοῖς, Οὐκ οἶδα ὑμᾶς. » Διὰ τοῦτο καὶ Παῦλος πειρασμοῖς τισι παλαίειν ἀφίεται, « ἵνα μὴ, ὡς αὐτός φησιν, ὑπεραίρηται καὶ τῶν ἀποκαλύψεων ἡ ὑπερβολή, » τὰ πάθη παιδαγωγὸν ἐπιφέρουσα, περιστέλλοιτό τε καὶ διακόπτοιτο τὰ σκιρτήματα, οἷς ἡ ἀνθρωπίνη φύσις ἐκφέρεται πρὸς φυσίωσιν. Εἰ βούλει δὲ, καὶ ἵνα μετὰ ταῦτα τὰς φοβερὰς ἐκείνας ἀπειλὰς, καὶ τοὺς πικροὺς διωγμοὺς, καὶ τὰς μυρίας σφαγὰς ἐν ἀκλονήτῳ φέρων ὁ κορυφαῖος καὶ ἀσαλεύτῳ τῷ φρονήματι, εἰς θαῦμα τῆς Δεσποτικῆς συμμαχίας προσκαλεῖται τοὺς κολάζοντας· καθορῶντας, τὸν ὑπὸ φωνῆς παιδίσκης καταπεσόντα, οὕτως ἀκίνητον πρὸς τοσαῦτα πάθη καθιστάμενον· μεθέλκοι τε καὶ διὰ τούτου πρὸς τὸ μέγα τῆς εὐσεβείας μυστήριον Ἰουδαϊκῆς ταπεινότητος [i]. Καὶ τέταρτον, ἔμοιγε δοκεῖ λαμπρὸν καὶ μέγα ψυχαγωγίας παράδειγμα. Τί τοῦ κορυφαίου λαμπρότερον ταῖς ἔπειτα γενεαῖς, ἐπειδ' ἄν τις ἐξασθενήσας ἁλῷ, πρὸς τὰ τέλεια ἀναστηλῶσαι βουλόμενος; Εἰ γὰρ τῶν μαθητῶν ὁ κορυφαῖος μετὰ τηλικαύτας δυνάμεις, ὧν τὰς μὲν ἴδεν, τὰς δὲ καὶ ἐτέλεσε· μετὰ τοσαύτην διδασκαλίαν· μεθ' οὕτω πολλὴν καὶ ποικίλην τοῦ Διδασκάλου πεῖραν, τρὶς ἀρνησάμενος, διὰ μετανοίας ὅμως καὶ θερμῶν δακρύων, οὐ τὸ ἁμάρτημα μόνον ἐκάθηρεν, ἀλλὰ πρὸς τὸ αὐτὸ τῆς ἀποστολῆς ἀξίωμα ἐπανέστρεψεν· οὐ χρὴ ῥαθυμεῖν ἐμὲ καὶ καταπίπτειν, ἐξ ἀσθενείας ὁλισθαίνοντα· ἀλλὰ θᾶττον ἀνίστασθαι πρὸς μετάνοιαν, καὶ τὸν πλοῦτον τῆς Δεσποτικῆς χρηστότητος ἐννοοῦντα, ὅλον ἑαυτὸν [k] ἐν συντριμμῷ καρδίας ἀνατιθέναι τῷ τὰς νόσους ἡμῶν καὶ τὰς ἀσθενείας βαστάσαντι. Διὰ ταῦτα οὖν, οἶμαι, καὶ τὰ τοιαῦτα, Πέτρος ἁλῶναι συνεχωρήθη τῷ ἁμαρτήματι· ἀλλ' οὐχ ὅτι προανεῖπεν τὴν ἄρνησιν ὁ Διδάσκαλος, ἀνάγκῃ τινὶ τῆς προγνώσεως ἐξεβιάσθη πρὸς τὸ ἀθέλητον. Ἐπεὶ οὕτω γε φθάνοις ἂν τῶν φαύλων πράξεων ἁπασῶν τὴν αἰτίαν, εἰς τὴν τῶν ἀγαθῶν πηγὴν ἀναφέρων· προεῖπε γὰρ καὶ Ἰούδᾳ τὴν προδοσίαν· Ἰουδαίων τὴν μιαιφονίαν· ναὶ δὴ καὶ ἂν μὴ προεῖπεν, ἀλλό γε προῄδει πάντως, ὅτιπερ τῆς δοθείσης ἐντολῆς ὁ πρῶτος ἄνθρωπος, ἀντὶ τῆς φυλακῆς προέλοιτ' ἂν τὴν ὑπεροψίαν· καὶ τοῦ Κάϊν τὴν ἀδελφοκτονίαν· Φαραὼ τὴν σκληροκαρδίαν, καὶ Σαοὺλ τὴν παρανομίαν. Καὶ τί καθ' ἕκαστον λέγω; οὐχ ὅτι καὶ κατὰ πόλεις ὅλας, καὶ ἔθνη ὁλόκληρα, αἱ πράξεις αὐτῶν τῇ προγνώσει περιέχονται. Σοδόμων καὶ Γομόρρας αἱ ἀρρητουργίαι, Ἑλλήνων, Αἰγυπτίων, μικροῦ συμπάντων βαρβάρων ἐν πολλοῖς χρόνοις αἱ εἰδωλομανίαι. Ἀλλὰ τί ταῦτα; Αὐτοῦ τοῦ σπορέως τῶν κακῶν καὶ ἀρχιτέκτονος, καὶ ὅσαι αὐτῷ δυνάμεις τῆς ἄνω συναπερράγησαν λήξεως. Ἆρ' ἠγνόει τὴν ἀλαζονείαν καὶ τὴν ἐπιβλαβῆ τῶν ἀνθρώπων ἀνυπέρβλητον αὐτῶν μοχθηρίαν; Τί

A tionem inducit, si non per conscientiæ dejectionem ad moderationem deducatur. Quocirca dicebat Salvator: « Nolite ob id gaudere, quod vobis dæmonia subjiciantur, sed quoniam nomina vestra scripta sint in cœlis. Multi mihi dicturi sunt in illa die: Nonne in tuo nomine virtutes multas operati sumus? ad quos dicturus sum, Apagete, non novi vos [58]. » Atque hanc ob causam permissum fuit ut Paulus cum quibusdam tentatonibus colluctaretur, « ne, quod affirmat ipse, nimis elatus ferretur, propter multitudinem revelationum [59]. Quare, passio ejus pro Pædagogo contraxit et abscidit exsultus omnes, a quibus natura hominis inflata] effertur. Accedat huc, ut deinceps terribiles illas minas, mille mortes, acres persecu-
B tiones, coryphæus ille inconcusso, et immoto ferens animo ad mirandum Magistri auxilium, carnifices ipsos induceret, cum viderent eum, qui ad vocem ancillæ dejectus fuerat, adeo immotum contra tot pressuras consistere: exindeque ad magnum pietatis mysterium in Judæos pervicaces impelleret. Est et quartum quid, quod mihi videtur illustre, et pro ingenti consolatione exemplum: quid enim præstantius coryphæo apud succedentes generationes? cum autem quis infirmitate laboret ad perfectam sanitatem reverti volens est. Si princeps ille discipulorum, post tot virtutes, quas partim vidit, patravit partim, post talem disciplinam, tantam et tam multiplicem de Magistro experientiam,
C ter illo abnegato, per pœnitentiam tamen et lacrymas, non modo purgavit peccatum, sed ad eumdem evectus est apostolatus apicem: profecto me ignavum esse et abjectum non decet, qui lapsus sum ab infirmitate, sed cum ocius resurgere per pœnitentiam et recolentem divitias bonitatis divinæ, totum me cum cordis contritione illi date qui morbos et infirmitates nostras portavit [60]. Propter istas, opinor, et consimiles causas permissum fuit Petro a peccato apprehendi: non quod prædixerit Magister abnegationem, ad actum involuntarium per necessitatem præscientiæ impellebatur: ita enim præveniendo referes malorum omnium acceptam causam in fontem bonorum omnium Deum: prædixit et Judæ traditionem, et Judæorum animos
D sanguinarios: quin si non prædixerat, at prævidit tamen; quod primus homo pro observatione mandati a Deo dati, illius eligeret negligentiam, præscivit Cainis fratricidium, Pharaonis obdurationem, Saulis transgressionem. Et quid singula persequar? per totas civitates, gentes integras, quidquid agitur, cadit sub præscientia: Sodomitarum et Gomorrhæorum infanda flagitia, Græcorum, Ægyptiorum, omnium fere barbararum nationum per multa sæcula idolomaniæ. Sed unde hæc proficiscebantur? ni-

[58] Luc. x, 17, 20. [59] II Cor. xii, 7. [60] Isa. liii, 4.

VARIÆ LECTIONES.

[i] *Isc.* σκληρότητος. C. M. ταπεινότητος. [k] *Isc.* ἐμαυτόν. C. M. ἑαυτόν.

Digitized by Google

mirum, ab illo seminatore malorum, et architecto : a potestatibus illis, qui a sedibus cœlestibus exciderunt. Ignorabatne insolentiam damnosam, et supremam malitiam hominum? Si nihil talium sapientia bonorum operatrix ignorabat, num ideo hominum spontaneo motu peccantium, et bona pro malis eligentium reatum abolentes, in eum qui præscivit, ea, tantum quod præscivit culpam omnem conjiciemus? Ast ubinam huic sententiæ locus? Siquidem intuear ego aliquem in præcipitium aperte delatum, et ex eo mortuum intuear; si alium evaginato gladio in proximum aliquem furentem videam, occisum videbo, sed non ut actor pœnas dabo. Quod si hoc ridiculum sit, et amentiæ plenum, quomodo non audax furor censebitur, cum culpari debeant, qui id patrarunt, mali alicujus causa ad divinam attrahere præscientiam? sin præscientia vacet culpa, an prædictio reatu teneri poterit? Non ideo fit aliquid quod præscitur et præsvidetur, sed quia spontaneo motu facturi fuerant, quæ facere non deberent homines; ea minime latere possunt omnia permeantem et retegentem Dei oculum. Quocirca et beatus Petrus, non quia prædixit Dominus, abnegavit eum, sed quoniam exorbitare per abnegationem volebat, ideo Magister ejus id præscivit et prædixit palam.

A οὖν, ἐπεὶ μηδὲν μηδὲ τῶν τοιούτων ἡ ἀγαθουργὶς ἠγνόει σοφία, ἄρα διὰ τοῦτο, τῶν ἐθελοκάκῳ γνώμῃ τὰ χείρω τῶν κρειττόνων ἀλλαξαμένων ἀφελόντες τὸ ὑπεύθυνον, τοῦ προεγνωκότος καταγνωσόμεθα; Καὶ ποῦ τοῦτο χώραν ἔχει; Εἰ γὰρ ἐγώ τινα φερόμενον ἐπὶ κρημνὸν ἰδὼν, ἔπειτα τὸν ὄλεθρον διαγνοίην· ἢ ξίφος σπασάμενον κατὰ τοῦ πλησίου, οὐκ ἀγνοήσω τὸν φόνον· ἄρ' ἀντὶ τοῦ δεδρακότος ἐγὼ τὴν δίκην ὑπέχειν δίκαιος εἰμί; Εἰ δὲ γέλως τοῦτο καὶ παράνοια, πῶς οὐ μανία καὶ τόλμα ἀντὶ τοῦ δίκας ἀπαιτεῖν, τοὺς αἰτίους τῶν φαύλων πράξεων, τὴν δυσφημίαν μεθέλκειν κατὰ τῆς θείας προγνώσεως; Εἰ δ' ἡ πρόγνωσις τῶν ὑπαιτίων ἀνεύθυνος, ἄρα πρόῤῥησις [1] ἔνοχος; Οὐ γὰρ διότι προέγνωσται ἢ προείρηται, διὰ τοῦτο διαπέπρακται, ἀλλ' ἐπεὶ αὐθαιρέτῳ B κρίσει πράξειν ἔμελλον ἃ μὴ ὤφειλον, τὸ ἀλάθητον καὶ πανεπίσκοπον ὄμμα τοῦ Θεοῦ [m] λαβεῖν οὐκ ἔσχον τὸ δυνάσθαι. Διὰ τοῦτο τοιγαροῦν καὶ ὁ μακάριος Πέτρος, οὐχ ὅτι προεῖπεν ὁ Δεσπότης, ἠρνήσατο, ἀλλ' ὅτι προσολισθαίνειν τῇ ἀρνήσει ἔμελλε, καὶ προγινώσκεται τῷ Διδασκάλῳ [n] καὶ προανακηρύττεται.

QUÆSTIO XCVIII. [*Coisl.* CCLXI. *Taur.* CCLII.]

ΕΡΩΤΗΣΙΣ ϞΗ'.

Edita a Montacutio, ep. 180, *ad Constant.*, p. 268-269. De antilogia inter verba Christi Joann. v, 31 et Joann. viii, 14.

Expeditam quæstionis tuæ solutionem dabo. « Si ego testimonium mihi de me perhibeo, testimonium meum verum non est [61] : » lege per interrogationem : per istud Servator Judæorum suspicionem redarguit et refellit. Est autem : « Etiamsi de meipso testimonium fero, testimonium meum verum est [62]. » Cogita Dominum hoc in loco propriam suam sententi m ponere ac pronuntiare : et prætextus ille dubitationis accessum non admittit : aut si tu mavis (difficulter enim suppetit facultas ad omnium dubitationum solutiones) dupliciter constitutus erat Dominus noster Jesus Christus, e Deitate nimirum et humanitate. Illud dictum : « Si testimonium ego perhibeo, » etc., secundum leges humanæ naturæ intelligendum, quomodo et multa insuper alia suscipiemus. Nemo enim hominum de seipso ferens testimonium testis fide dignus est : at « si ego testimonium de me perhibeo, » etc., secundum dignitatem et potentiam deitatis. Nullus enim indiget suprema omnium Natura et Dominus vel testimonii vel confirmationis aliunde; utpote quæ ab intus et e domo fidem sibi adhibendam procurat; sed ulterius aliis omnibus quibus fides adhibetur, tanquam fons exsistendæ et subsistendæ fidei est ac origo. Et hæc sufficere tanquam per epitomen sublecta crediderim. Sunt præterea non paucæ solutiones antedictorum, quæ magis dila-

Σύντομόν σοι τῆς ἀπορίας τὴν λύσιν ἐρῶ· τὸ μὲν, « Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής· » ἀνάγνωσον κατ' ἐρώτησιν, δι' ἧς, πρὸ ἁπάντων, ὁ Σωτὴρ τὴν τῶν Ἰουδαίων ὑπόληψιν ἐλέγχει καὶ διακρούεται· τὸ δὲ, « Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι· » τὴν ἰδίαν τιθέντα ψῆφον καὶ ἀποφαινόμενον εἰπεῖν τὸν Δεσπότην νόμιζε, καὶ παρείσδυσιν οὐχ ἕξει τῆς ἀπορίας ἡ πρόφασις. Ἢ εἰ βούλει (οὐκ ἄπορον γὰρ εἰς ἐπιλύσεις τῆς ἀληθείας ἡ δύναμις), ἐπιδιπλοῦς [n] ἦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἐκ θεότητος καὶ ἀνθρωπότητος. Τὸ μὲν, « Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής· » νόμῳ φύσεως τῆς ἀνθρωπίνης, ὥσπερ καὶ πολλὰ ἕτερα, [o] διαληψόμεθα. Οὐδεὶς γὰρ ἀνθρώπων εἰς τὴν αὐτὸς αὐτοῦ μαρτυρίαν ἀξιόπιστος· τὸ δὲ, « Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν, ἀξιώματι καὶ ἐξουσίᾳ τῆς θεότητος· ἀπροσδεὴς γὰρ ἡ πασῶν ἀνωτάτω φύσις, καὶ πάντων Δεσπότης, τῆς ἑτέρωθεν μαρτυρίας καὶ βεβαιώσεως, οὐκ οἰκοθεν μόνον προβαλλομένη τὸ αὐτόπιστον, ἀλλὰ γὰρ καὶ τοῖς ἄλλοις ἅπασιν, οἷς τὸ πιστὸν περιγίνεται, ὥσπερ πηγὴ οὐσιώσεως καὶ ὑπάρξεως, οὕτω δὲ καὶ ἀξιοπιστίας ὑπάρχουσα. Ἀλλὰ ταῦτα μὲν, ὡς κατ' ἐπιτομὴν ἱκανῶς ἔχειν οἶμαι. Εἰσὶ δὲ καὶ τῶν εἰρημένων εἰς πλάτος μᾶλλον ἀποτεινόμενα· τοῦ προκειμένου λύσεις οὐκ ὀλίγαι· αἷς ὅτι ταῖς πα-

[61] Joan. v, 31. [62] Joan. viii 14.

VARIÆ LECTIONES.

[l] C. M. οὐδ' ἡ πρόῤῥησις. sine signo interrogationis. [m] *Isc.* λαθεῖν. [n] C. M. hic add. προλέγεται. [n*] C. M. f. 155 a ἐπεὶ διπλοῦς. [o] εἰρῆσθαι.

Digitized by Google

τρικαῖς ἐνομιλοῦντι βίβλοις ῥᾷόν ἐστιν ἐντυχεῖν, καὶ οὐδεμίαν ἀνάγκην ὁρῶ τοῖς ἑτέρων φροντίσιν ἐμαυτῷ συναπαρτίζειν τὸ ῥᾷστον· ἐκὼν νῦν ἀφίημι. Εἰδέναι μέντοι χρὴ, ὅτι καὶ τὸ, « Ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, ἡ δόξα μου οὐδέν ἐστιν· » ἢ διὰ τῆς κατ' ἐρώτησιν ἀναγνώσεως, ἢ κατὰ τοὺς προσήκοντας νόμους τῇ ἀνθρωπίνῃ φύσει, τὸ ῥητὸν εἰρῆσθαι ἐξακούοντες εἰς οὐδεμίαν ἂν συζήτησιν περιενεχθείημεν. A

tantur, in quas facile tu, qui Patrum lectioni assuefis, incidere possis ; nec ullam perspicio necessitatem, cur ego ab aliorum inventis astruam mihimet facilitatem ; libens ergo omittam. Sciendum porro tamen est, quod effatum illud. « Si glorifico meipsum, gloria mea nihil est [63] : » vel per interrogationem legendum, aut secundum leges quæ congruunt humanæ naturæ intelligendum. Atque ita non erit, cur ab ullis quæstionibus circumagamur.

ΕΡΩΤΗΣΙΣ ιθ'.

QUÆSTIO XCIX. [*Coisl.* CCLXII. *Taur.* CCLIII.]

Edita a Montacutio, ep. 181, *ad Eulamp.*, p. 269-270. An pugnant verba discipuli Joann. XIV, 5, cum præcedentibus verbis Magistri.

Τῇ Δεσποτικῇ φωνῇ τῇ λεγούσῃ, « Ὅπου ὑπάγω ἐγὼ οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε, » οὐκ ἀνακόλουθος οὐδὲ τἀναντία φθέγγεται ἡ τοῦ μαθητοῦ ὑποφώνησις· « Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς δυνάμεθα τὴν ὁδὸν γνῶναι ; » Οὐ γὰρ ἁπλῶς, οὐδ' ἀπολύτως τοῦτο, οὐδὲ χωρίς τινος προηγουμένης ὑποθέσεως εἴρηται· ἀλλ' ἔχει προηγούμενον, ᾧ καὶ συνάπτεται τὸ, « Πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς. » Τοῦτο γὰρ εἰπὼν, ἐπισυνάπτει διὰ τοῦ, *ἵνα*, καὶ τὴν αἰτίαν τῆς παραλήψεως εἰς τρία ταῦτα διελὼν αὐτήν· εἴς τε τὸ εἶναι τοὺς μαθητὰς, ἔνθα καὶ ὁ Διδάσκαλος· καὶ εἰς τὸ εἰδέναι ὅπου ὑπάγει· καὶ εἰς τὸ τὴν ὁδὸν εἰδέναι. Φησὶ γὰρ, « Πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν. » Διὰ τί ; « Ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἦτε· καὶ ἵνα ὅπου ὑπάγω οἴδατε, καὶ ἵνα τὴν ὁδὸν οἴδατε· » τοῦ *ἵνα*, δηλονότι ταῖς τρισὶν αἰτίαις, ὡς πολλάκις εἴωθε, κοινοποιουμένου. Οὐκοῦν τὸ, εἰδέναι τὴν ὁδόν· καὶ τὸ ὅπου ὑπάγει, οὕπω ἔλεγεν αὐτοῖς παρεῖναι· ὥσπερ οὐδὲ τὸ, εἰς οὐρανοὺς αὐτῷ συνεῖναι· ἀλλ' εἰς τὸν τοῦ ἐπανέρχεσθαι καιρὸν, καὶ παραλαμβάνειν αὐτοὺς, τεταμιεῦσθαι αὐτοῖς ταῦτα. Τριῶν οὖν τοῖς μαθηταῖς, κατὰ τὴν ἐπάνοδον, ὑπισχομένων· ἀποθαυμάζων ὁ Θωμᾶς τὸ μέγεθος τῶν ἐπηγγελμένων, ἅτε δὴ μηδὲ τοῦ ἐλάττονός πω ἐν καταλήψει γεγονὼς, εἰκότως διαμφισβητεῖ πῶς ἐν μεθέξει γενήσονται τῶν μειζόνων· ἔλαττον γὰρ τὸ εἰδέναι ἁπλῶς ποῦ τόδε ἐστὶν, ἢπερ τὴν ἀπάγουσαν ὁδὸν εἰδέναι· καὶ τοῦτο πάλιν, τοῦ ἐν αὐτῷ ἤδη τῷ ζητουμένῳ τόπῳ διαιτᾶσθαι. Ἀκόλουθος οὖν ἡ τοῦ μαθητοῦ διαμφισβήτησις, καὶ οὐδὲν τῇ διδασκαλικῇ φωνῇ μάχεται. Οὐ γὰρ ἐκεῖνος τὴν ὁδὸν αὐτοὺς ἤδη ἔφησεν εἰδέναι, ἢ ὅπου ὑπάγει, ἢ τὸ ἐν οὐρανοῖς αὐτῷ συνεῖναι· ἀλλ' ἔσεσθαι αὐτοῖς ταῦτα, ἐπειδ' ἂν αὐτοῦ μὲν ἡ ἐπάνοδος, ἐκείνων δὲ διαπραχθείη ἡ πρόσληψις. Ἐπάνοδος δ' ἂν εἴη τοῦ Δεσπότου, ἡ μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν τελεσθεῖσα τοῖς μαθηταῖς ἐπιφάνεια· καθ' ἣν Θεὸν αὐτὸν ἀληθῶς ἐπεγνωκότες, τήν τε ὁδὸν, καὶ οὗ πορεύεται, ἔμαθον, καὶ ὅτι συνέσονται αὐτῷ ἐν ἀδιηγήτοις ἀγαθοῖς, οὐκέτι διστάγμον εἶχον, ἀλλ' ὡς συνόντες ἤδη ταῖς ἐλπίσιν ἔχαιρον. Ἢ οὖν τοῦτο δηλοῖ τὸ, « Πάλιν ἔρχομαι, » καὶ ἐξῆς· ἢ κατὰ τὴν δευτέραν αὐτοῦ καὶ φρικτὴν παρουσίαν ἐπάνοδον· ὅτε καὶ τὴν ὁδὸν, καὶ τὸν μακά- B C D

In Dominico illo pronuntiato, « Quo ego vado intelligitis, et viam nostis [64], » nulla inconsequentia reperitur, vel contrarietas in discipuli subloquio, « Domine, non novimus quo vadis, et quomodo viam cognoscere poterimus [65] ? » Non enim id simpliciter, non indefinite dicitur, nec sine præcedente quodam argumento ; habet enim quid præcedens cui subnectitur, nimirum illud : « Rursus reveniam, et assumam vos ad me [66]. » Hoc ubi dixerat, annectit per ἵνα, tanquam causam assumptionis tripliciter distributam : primo, ut discipuli, ubi Magister, consistant, ut cognoscant quo vadit ; et ut intelligant viam. Ait enim : « Rursus veniam, et assumam vos ad me. » Cur ita ? nimirum, « Ut ubi ego sum, et vos sitis : et quo vadam scitis, et viam scitis [67]. » Ἵνα, ut frequenter fit, tribus illis causis communicato. Igitur, viam scire, et quo vadit, ait, haud dum iis cognitum : ut nec quod in cœlis cum eo versabuntur : sed hæc seposita esse ipsis præmia ad tempus reversionis. Tria sunt igitur quæ discipulis suis pollicetur in reditu : Thomas, magnitudinem promissorum admiratus et excellentiam, utpote qui ne minima plane comprehendere poterat, probabiliter addubitat quomodo majoribus perfruentur. Nam omnino minus est simpliciter scire ubi aliquid est, quam viam eo tendentem tenere : et hoc etiam minus quam illud in quæsito loco acquiescere. Consequenter eapropter discipulus dubitat, nec consistit ad oppositum vox informantis. Non enim affirmat viam illos adhuc tenere, vel quo vadit ; vel conversationem cum eo in cœlis, sed futurum olim, hæc ipsis innotescant, cum revertetur ipse, et assumptio illorum confirmabitur. Est autem regressus ille sacerdotis, post crucem et resurrectionem perfecta apud discipulos apparentia : cum Deum planissime ille agnoscentes, et viam didicerint, et quo vadit : et quod cum ipso mansuri sint in fruitione bonorum inenarrabilium ; nec distractionem hic ullam patiebantur, sed non aliter quam si jam cum eo ibi versarentur, ita per spem lætificabantur. Omnino certe vel hoc vult illud : « Rursus venio, » vel regressum intelligit in secundo ipsius et formidabili adventu, cum et locum illum beatum et viam, et oblectationem

[63] Joan. VIII, 54. [64] Joan. XIV, 4. [65] ibid. 5. [66] ibid. 3. [67] ibid. 4.

Digitized by Google

in eodem, per æternum habituri sint experientiam.

QUÆSTIO C [*Coisl.* CCLXIII, *Taur.* CCLXIV].

Cur angelus non venit ad Joseph antequam in dubitationem de Virgine incideret?

ριον ἐκεῖνον χῶρον, καὶ τῶν ἐν αὐτῷ τὴν ἀπόλαυσιν διὰ τῆς πείρας αὐτῆς ἀϊδίως εἴσονται.

ΕΡΩΤΗΣΙΣ Ρ'.

Διὰ τί μὴ πρὸ τοῦ πεσεῖν τοῦ Ἰωσὴφ εἰς ἀπορίαν περὶ τῆς Παρθένου, ὁ ἄγγελος ἦλθε πρὸς αὐτόν;

Edita a Montacutio, ep. 182, *ad Eulamp.*, p. 270-271. In Matth. I, 20.

Cum Joseph cogitationibus inextricabilibus distraheretur, affuit præsto angelus illarum discordiam sedaturus. Cum enim de partu dubitaret, atque totus incertitudine laboraret, e cogitatis satis patet, quid acturus parturiret : « Cogitabat autem clanculum dimittere illam [68]. » Quin nec clam nec omnino illam dimisisset, si tumorem illum uteri de adulterio procuratum suspicatus fuisset. Cum enim esset justitiæ cum primis amator ad leges et supplicium illam transcripsisset propter illud flagitium. Nequaquam vero sibi hoc persuaserat, cum esset incredibilis desponsatæ virtus : et proci congruens custodia, pravam omnem suspicionem excludebat, sed nec intelligere poterat, quod conceptio a divina operatione erat ; transcendebat humanam omnem cogitationem illa actio. Fluctuabat igitur cogitabundus, quid facere deberet, unde placeret Deo. Cum hujusmodi volveret turbatus cogitationes, angelum in rem præsentem amandavit Deus, qui miraculose tumorem illum in virgineo utero minister fecerat, ut in illis Josephum constabiliret, in quibus stabilis omnino persistere debuit. Ait ergo : « Ne timeas accipere [69], » etc. Tu, inquiens, secreto statuisti apud animum dimittere virginem, veritus illam detinere, quæ ab ignoto imprægnatur ; ego te jubeo illam ad te assumere : « nam quod in ea natum est, de Spiritu sancto est [70] ; » nec tantummodo immunem a culpa prægnantem statuit, sed gloria eam et dignitate ultra humanam naturam replet : quia mundi totius Servatorem et redemptorem gignit. Opportune quocirca angelus et non prius apparuit Joseph, tum cum cogitationes ambiguæ distractas illi rederent cogitationes, cum enim vehementius attolluntur fluctus, tranquillitas est exoptatissima. In eo quod dicit, « Uxorem tuam, » intendit illam nulli addictam : nec visum nec cogitationem aliorsum impendisse, sed uxoris statum integrum et inviolatum custodisse docet, ita ut nec animo violaverit leges sponsalium. Uxores porro dicere ab antiquo usu est, quas vinculum sponsale solum colligavit, licet congressus lege non servatur.

Ὅτε εἰς ἀπορίαν λογισμῶν κατέστη ὁ Ἰωσὴφ, τότε ὁ ἄγγελος ἐπέστη λύων τὴν ἔριν τῶν λογισμῶν· ὅτε γὰρ διηπορεῖτο περὶ τῷ τόκῳ, καὶ ἀμηχανίας ὅλος ἐγένετο, δῆλον ἐξ ὧν διενοεῖτο, καὶ ὅσον οὔπω πράξειν ἔμελλεν· « Ἐβουλήθη γὰρ, φησὶ, λάθρα αὐτὴν ἀπολῦσαι· » οὐκ ἂν οὔτε λάθρα οὔτε ὅλως ἐκπέμψαι διανοηθεὶς, εἰ νόθου γονῆς τὸν ὄγκον ἐπείστο τῆς γαστρός· νόμῳ δὲ καὶ τιμωρίᾳ, δικαιοσύνης ὢν μάλιστα ἐραστὴς θᾶττον ἂν παρεδίδου τὸ τόλμημα· ἀλλὰ τοῦτο μὲν οὐκ ἐπέπειστο· ἥ τε γὰρ ἀνυπέρβλητος ἀρετὴ τῆς μνηστευθείσης, καὶ ἡ πρέπουσα φυλακὴ τοῦ μνηστῆρος πᾶσαν ἀπετείχιζεν ὑποψίαν οὐκ εὐαγῆ· οὐδὲ ἐκείνου δὲ πάλιν σύνεσιν εἶχεν, ὡς ἄρα θείας ἐνεργείας ἡ κύησις ἦν· ὑπὲρ ἔννοιαν γὰρ ἀνθρωπίνην ἐχρημάτιζεν ἡ πρᾶξις· διὸ τοῖς λογισμοῖς ἐκυμαίνετο, καὶ τί ἂν, διηπορεῖτο, πραξάμενος, τὰ ἀρεστὰ πράττοι τῷ Θεῷ. Ὅτε γοῦν τούτοις ἐκλονεῖτο τοῖς λογισμοῖς, τότε λίαν ἐπικαίρως ἄγγελον ἀφῆκεν P, ὁ τῇ παρθενικῇ γαστρὶ τὸν ὄγκον θαυματουργῶν, στηρίζοντα αὐτὸν ἐφ' οἷς ἔδει μένειν ἀκλόνητον καὶ σταθερόν· διό φησι, « Μὴ φοβηθῇς παραλαβεῖν, » καὶ ἐξῆς· « Σὺ μὲν, φησὶ, λαθραίως μελετᾷς ἐκπέμψαι τὴν παρθένον, » δεδιὼς κατέχειν, ἣν τόκος ἄδηλος ἔχει· ἐγὼ δέ [σε] παραλαβεῖν, καὶ παρὰ σεαυτῷ ἔχειν προστάσσω· « τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ Πνεύματός ἐστιν ἁγίου· » καὶ οὐ μόνον ἀνεύθυνον τὴν κυοφοροῦσαν τελεῖ, οὐδ' ὑπὲρ ἄνθρωπον δόξης καὶ λαμπρότητος πληροῖ, ἀλλὰ καὶ κόσμῳ παντὶ Σωτὴρ τίκτεται καὶ λυτρωτής. Εὐκαίρως ἄρα οὐ πρότερον ὁ ἄγγελος ἐπιφαίνεται τῷ Ἰωσὴφ, ἀλλ' ὅτε αὐτὸν ἀμφίβολοι διετάρασσον λογισμοί· ὅτε γὰρ σφοδρὰ ἡ ζάλη, τότε μάλιστα γλυκεῖα ἡ γαλήνη. Καὶ τὸ, « τὴν γυναῖκά σου » δέ· ἀντὶ τοῦ P*, ὅσα γε ἐκ τοῦ μὴ πρὸς ἕτερον ἄνδρα, μήτε ὄμμα μήτε λογισμὸν ἐπιβεβληκέναι, σῶόν σοι καὶ ἀκαινοτόμητον τὴν τῆς γυναικὸς διατηρήσασαν τάξιν· καὶ μηδ' ἐπινοίᾳ λύσασαν τοὺς θεσμοὺς τῆς μνηστείας. Ἄλλως τε δὲ καὶ γυναῖκας ἔθος ἦν καλεῖν παλαιὸν, καὶ ἃς μόνος ἡ τῆς μνηστείας δεσμὸς συνεδέσμει κἂν ὁ τῆς ὁμιλίας αὐταῖς οὐκ ἐγινώσκετο νόμος.

QUÆSTIO CI [*Coisl.* CCLXIV. *Taur.* CCLV].

Quid sibi vult : « Vendite quæ possidetis, et date pauperibus, » etc.

ΕΡΩΤΗΣΙΣ ΡΑ'.

Τί ἐστι· « Πωλήσατε τὰ ὑπάρχοντα καὶ δότε πτωχοῖς, » κ. τ. λ.

Edita a Montacutio, ep. 187, *ad Christophor.*, p. 275-286. In Luc. XII, 33.

Dubium a te propositum scio olim et acerbius et

Τὴν σὴν ἀπορίαν, καὶ πικρότερον καὶ διαμύτερον

[68] Matth. I, 19. [69] ibid. 20. [70] ibid.

VARIÆ LECTIONES.

P C. M. f. 157a ἐφῆκεν. P* *Isc.* τὴν.

Digitized by Google

οἶδα ποτὲ Ἰουλιανῷ τῷ Παραβάτῃ διεσκευασμένην· ἃ γοῦν ἐν τοῖς πρὸς ἐκεῖνον εἶπον, καὶ ὧν ἡ μνήμη τὴν σωτηρίαν ἔχει, ταῦτα δή σοι ἄρα γράφων, ἀποχρῶσαν οἶμαι τὴν λύσιν παρεσχηκέναι. Ἔλεγεν οὖν ἐκεῖνος, ὥσπερ ἐμπανηγυρίζων ταῖς κατὰ τῆς Ἀληθείας ὕβρεσιν, τοιαῦτα· Ἀκούσατε καλοῦ καὶ πολιτικοῦ παραγγέλματος· Πωλήσατε τὰ ὑπάρχοντα, καὶ δότε πτωχοῖς· ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα· ταύτης τίς εἰπεῖν ἔχει πολιτικωτέραν τῆς ἐντολῆς; Εἰ γὰρ πάντες σοι πεισθεῖεν, τίς ὁ ὠνησόμενος; ἐπαινεῖ τίς ταύτην τὴν διδασκαλίαν, ἧς κρατυνθείσης, οὐ πόλις, οὐκ ἔθνος, οὐκ οἰκία μία συστήσεται; πῶς γὰρ, πραθέντων ἁπάντων, οἶκος ἔντιμος δύναταί τε, ἢ οἰκία q; τὸ δὲ, ὅτι πάντων ὁμοῦ τῶν ἐν τῇ πόλει πιπρασκομένων, οὐκ ἂν εὑρεθεῖεν οἱ ἀγοράζοντες, φανερόν ἐστιν καὶ σωπώμενον. » Διὰ τοιούτων μὲν λογισμῶν, ὁ Παραβάτης τῆς θείας ἐντολῆς κατασκεδάζων q* τὴν χλεύην, οἴεταί τι σοφὸν καὶ γενναῖον ποιεῖν. Ὁ δὲ τῆς Ἀληθείας λόγος, ὧδέ πως ἐπιῤῥαπίζων τὸ μειρακιῶδες αὐτοῦ καὶ σαθρὸν τῶν λόγων· πρῶτον μέν φησιν ὡς οὐδὲν θαυμαστὸν, εἰ δι' ἧς ἐντολῆς, τῷ σοφρονοῦντι μέγα ὄφελος περιγίνεται, καὶ θαῦμα γλυκὺ πρὸς ὕμνους διεγεῖρον τοῦ νομοθέτου, διὰ τῆς αὐτῆς ὁ παραβάτης, ἀντὶ μὲν σωτηρίας βλάβην, ἀντὶ δὲ κέρδους ζημίαν, καὶ ἀντὶ τοῦ χάριν εἰδέναι τὰ βλάσφημα λέγειν ἑαυτῷ προσεπορίσατο. Ἔστι μὲν γὰρ, ἔστιν ὁρᾷν τὸ ἀγαθὸν, ὑπὸ τῆς περὶ αὐτὸ τῶν ἀνθρώπων διαθέσεως, δυσὶ τούτοις περιστοιχιζόμενον, αἱρέσει, λέγω, καὶ φυγῇ· ὧν ἡ μὲν τοὺς αἱρουμένους, ἐπὶ τὴν ἀμείνω τάξιν ἀνάγουσα, θεατὰς τοῦ κάλλους ἔτι μᾶλλον, καὶ γνησίους ἐραστὰς ἀπεργάζεται· τῇ προσθήκῃ τῆς ἐν θεωρίᾳ καταλήψεως, προσθήκην ἐντιθεῖσα τοῦ ἔρωτος· ἡ δὲ τοὺς οἰκείους, ὡς ποῤῥωτάτω συμφυγαδεύουσα, καὶ κατὰ κρημνῶν καὶ σκοπέλων καὶ μυρίας πλάνης φέρουσα, ἄτε δὴ ἐφάπαξ τῆς πρὸς τὸ ἀγαθὸν νεύσεως διαστήσασα, καὶ λήθην βαθεῖαν τοῦ καλοῦ θεάματος ἐμποιήσασα, μόνῳ δὴ χαίρειν τῷ τῆς κακίας ἐνεθίζει ζόφῳ, καὶ τυφλοὺς οὐχ ἧττον ἢ πολεμίους τῆς σφῶν σωτηρίας περίστησι. Ταύτῃ τοι καὶ Ἰουλιανὸς, τῷ τῆς ἀποστασίας γνόφῳ ὅλην τὴν ψυχὴν τεθολωμένος, καὶ τὰς ὄψεις, δι' ὧν ἡ κατάληψις τοῦ κυρίως ὄντος ἀφῃρημένος, ἐχθρὸς καὶ πολέμιος ταῖς εἰς τὸ ἄριστον ἀναγούσαις ἐντολαῖς ἐπιδείκνυται· ὃς οὐδὲ τηλικαύτης ἐφείσατο καθυλακτεῖν παραινέσεως· ἀλλ' εἰς μώμους ἀπάγειν ἐφιλονείκησε τὴν παντὸς ἀξίαν ἐπαίνου καὶ θαύματος. Τὸ γὰρ, « Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην, » τίνα συμπαθείας, τίνα δὲ τῆς πρὸς ἀλλήλους ἀληθοῦς εὐνοίας ἀφορμὴν ἐλλείπει· ἀλλ' ἐγκράτειαν, ἀλλὰ σωφροσύνην, τίς δὲ μᾶλλον τῆς ἐντολῆς ταύτης φιλοσοφίας διδάσκαλος; Οὐχὶ δὲ πάντων τῶν παθῶν, ὅσα τίκτειν οἶδε τὸ φιλάργυρον, ἐλευθερίαν χαρίζεται; ποῦ γὰρ κλοπὴ φιλαργυρίας ἀνῃρημένης, ποῦ δ' ἁρπαγή; ποῦ δὲ λῃστεία;

A virulentius per Julianum parabatem propositum, et meditatum: Quæ in illum aliquando dicebam, et quæ memoria retenta conservavi, eadem ad te nunc perscripta, sufficientem, opinor, suppeditabunt solutionem. Dicebat ergo ille, contumelias conjectans in Veritatem, quasi per panegyrem ista: « Audite vos præclarum, et cum prudentia politica conjunctum consilium: Vendite quæ possidetis, et date pauperibus. Comparate vobis crumenas non veterascentes. Ecquis magis cum politia conjunctum præceptum dederit? Cui si omnes obtemperarent, quotusquisque restaret emptor? Ecquis hanc doctrinam laudaverit? quæ si obtineat, non civitas, non gens, non domus subsisteret. Quomodo enim divenditis et distractis omnibus, domus aliqua fuerit pretio redimenda? Liquet autem, licet nos taceamus, quod si omnia venderentur, haud futuri sunt ulterius emptores. » Taliter discursum instituens parabata, mandatum divinum ludibrio exponit, seque in eo prudenter et generose retinere gessisse. Verum veritatis sententia, quasi colapho impacto, ad hunc modum rejectam exsibilat puerilem et putidam ratiocinationem. Inprimis statuit mirandum non esse, si præceptum illud, unde quivis modestus ac prudens utilitatem percepturus est, ille transfuga nequissimus, pro salute noxam, pro utilitate damnum, pro gratiarum actione blasphemias eructare sibi proposuit. Animadvertere enim licet bonum quodcunque juxta hominum diversam erga ipsum dispositionem, duobus hisce circumscriptum, electione nimirum et aversione: quarum illa, seligentes ad meliora traducit, spectatores quoscunque amatores adhuc magis majores operata, per adjectionem theoreticæ apprehensionis amorem illum accumulando. Hæc autem suos affines et familiares quam longe effugando, per præcipitia, scopulos, et infinitos errores trahens, postquam semel ab inclinatione ab bonum separata fuerit, et profundam boni animadversi oblivionem induxit, solis malorum tenebris oblectari assuefacit, et cæcos non minus quam suæ salutis inimicos reddit. Julianus, cum partes animæ singulas per suam apostasiam pollutas haberet et obvolutas tenebris, exemplis iis oculis, per quos, id quod vere subsistit, intueretur, hostem se declarat et perduellem contra illa præcepta, quæ ad optima quæque reformant: nec desistit allatrare quamvis adhibitam exhortationem, et quod revera laude ac admiratione dignissimum habetur, momice traducendum statuit. Illud enim effatum: « Vendite quæ habetis, et eleemosynam facite, » in quo defectum patitur alicujus compassionis, aut genuini amoris hominum erga homines; continentiam vero et temperantiam quis in philosophia magister, luculentius quam hoc præceptum docet? Nonne passiones illas

VARIÆ LECTIONES.

q C. M. οἶκος ἔντιμος δύναταί τι ἢ δύναταί τε ἡ οἰκία. q* C. M. κατασκευάζων.

Digitized by Google

omnes, quas parere solet avaritia, liberrime amplectitur? rapinæ, latrocinium, etc., ubi consistent? si quæ possidemus studiose dispergere tolerabimus? concertationes, rixæ, pugnandi studium, continuo evanescunt, si divitiis non parcamus dissipandis: lasciva, prodiga, luxuriosa vivendi ratio nusquam subrepere poterit, ubi dominatur eleemosyna et quidquid superstat in usum pauperum, et necessitates alleviandas impenditur: quæ non patitur hominem contumeliosius se gerere, propter luxuriæ satietatem aut alicujus alterius voluptatis unde solent passiones illæ pullulare, vel turpitudines tactus accommodatæ. Quocirca, quomodo fieri potest ut humanitas, communio bonorum, dispositio ad commiserandum super egentes, civitates, gentes, domos everteret et familias? Quomodo rapinæ, latrocinii, injustitiæ et tyrannidis sublatio civilis esse poterit gubernationis subversio? Nam qui pro bono publico propriis suis facultatibus non pepercerit, qui in vicinos de propriis suis rebus contulerit, qui se sublimiorem præstiterit, quam ut materiæ affixus adhærescat, quomodo is per quamvis prædictarum passionum captivum se abduci patietur? Imo potius, cum ab istis omnibus purus fuerit, et omnimodo illa, quæ vere bona sunt, sibi conquirat, qui non modo civibus indigentibus auxilium afferat, sed et per privatam sui ipsius conversationem, et maximam præstiterit utilitatem, ac philosophicæ et sublimis vitæ exemplum. Illi, qui quasi publica complectuntur omnia, qui dexteras plenas misericordia attollunt, qui vim et violentiam exterminant omnem, qui justitiam honorant, et ut compendio dicam, qui se cum cæteris sub pari conditione gerunt: ubi per tales incolitur aliqua civitas, non sequetur desolatio vicinorum: imo qui diutini temporis felicitate sunt gavisi, eamdem numeris suis perfectionem, et longa duratione continuatam cum gloria trahent.

A ἐν οἷς καὶ τῶν ἰδίων ἡ διανομὴ περισπούδαστον ὁρᾶται· ἔρεις δὲ καὶ μάχαι, καὶ φιλονεικίαι, οὐ τῇ τῶν χρημάτων ἀφειδίᾳ αὐτίκα συναφανίζονται· ὁ δ' ἀκόλαστος καὶ ἄσωτος βίος ἆρα παρείσδυσιν ἕξει, τῆς ἐλεημοσύνης ἐπικρατούσης, καὶ τὸ περισσὸν ἅπαν εἰς τὴν τῶν ἐνδεῶν καταναλισκούσης χρείαν, καὶ οὐκ ἐώσης εἰς κόρον τρυφῆς, ἢ τῆς ἄλλης ἡδυπαθείας τὸν ἄνθρωπον ἐξυβρίζειν, δι' ὧν εἴωθε καὶ τὰ περὶ ἀφὴν αἰσχρότερα πάθη παραφύεσθαι. Πῶς οὖν τὸ φιλάνθρωπον καὶ κοινωνικὸν, τὸ πρὸς τὸν ἔλεον τῶν ἠπορημένων ἕτοιμον, ἀναστρέψει τὰς πόλεις καὶ τὰ ἔθνη, καὶ τὰς οἰκίας; πῶς δὲ ἡ τῆς ἁρπαγῆς ἢ τῆς ληστείας [r] ἢ πάσης ἁπλῶς ἀδικίας καὶ τυραννίδος ἀναίρησις [s], τῆς ἀνθρωπίνης ἔσται καταστροφὴ πολιτείας; Ὁ γάρ τοι καὶ τῶν ἑαυτοῦ κτη-
B μάτων ὑπὲρ τοῦ κοινῆ λυσιτελοῦντος ἡφειδηκὼς, καὶ τοῖς πλησίον ἐξιστάμενος τῆς ἰδίας ὠφελείας, καὶ ὅλον ἑαυτὸν ὑψηλότερον φέρων, τῆς περὶ τὴν ὕλην προσπαθείας, πῶς ἂν ἑνί τινι τῶν εἰρημένων ἁλοίη παθῶν; Μᾶλλον δὲ, πῶς οὐχὶ τούτων ἁπάντων καθαρεύων, ἑαυτῷ τε διαφερόντως καταπράττοιτο τὰ ὄντως ὄντα ἀγαθὰ, καὶ τοῖς πολίταις, οὐ μόνον δι' ὧν ἐπεκούρησεν ἀπορουμένοις, ἀλλὰ καὶ δι' αὐτοῦ καθ' ἑαυτὸν πολιτεύματος μέγα ἂν εἴη ὄφελος καὶ ὑπόδειγμα φιλοσόφου καὶ ὑψηλοῦ βίου προτεθειμένος. Ἐκ δὲ τοιούτων ἀνδρῶν, κοινὰ μὲν τὰ ὄντα προτιθέντων, ἐλέους δὲ πλήρους τὰς δεξιὰς προτεινόντων, καὶ βίαν μὲν πᾶσαν ἐλαυνόντων, τὸ δίκαιον δὲ τιμώντων, καὶ συντόμως εἰπεῖν, ἐν ἴσῳ ἑαυτοῖς τοὺς
C πλησίον ποιουμένων· ἡ ἐκ τοιούτων ἀνδρῶν πόλις οἰκιζομένη, ἆρα φθορᾶς ἐκ γειτόνων ἔσται· ἢ μακρῷ καὶ ὅσαι πώποτε συχνοῖς ἔτεσι τὴν εὐδαιμονίαν ἔσχον παραμετρουμένην καὶ τούτων ἁπασῶν ἀμείνω τε καὶ διαιωνίζουσαν μᾶλλον τὴν διαμονήν τε καὶ τὸ κλέος ἕξει.

Verum prudens ille Iulianus non hoc intendebat, ut videtur: cives suos volebat gravi et dura manu injecta, de alienis laboribus facultates sibi acquirere, nec parcere vel latrocinandi audaciæ, non quidem insidias, non vim apertam subterfugere. Quod si per tyrannidem insultare oporteat, si quidquam Phalaride truculentius et crudelius sit agendum, si superandi omnes ab ullo facinore famigerati, nihil omnino prætermittere eos vult, aut diffugere, ut rem suam faciant ampliorem, ut omnigenæ voluptatis segetem uberiorem, et cupiditatis materiem comparent et recondant: quo securius deinceps licentiæ possent indulgere, ventri et pudendis viventes, vitam cum honore ac æmulatione conjunctam et longissimo tractu duraturam, non aliam quam præsentem sibi circumscribunt: neque enim laudari debet consilium illud, quo per sedulam curam civitas ædificatur, cujus summa et profunda prudentia gentes continet, et domos stabi-

Ἀλλ' ὁ σοφὸς, ὡς ἔοικεν, Ἰουλιανὸς οὐ βούλεται τοῦτο· ἐθέλει δὲ τοὺς αὐτοῦ πολίτας χεῖρα μὲν βαρεῖαν προβεβλῆσθαι ἐκ τῶν ἀλλοτρίων πόνων αὐτοῖς τὴν περιουσίαν συλλέγουσαν [t], μὴ φείδεσθαι δὲ μήτε ληστρικοῦ τόλμης, μήτε λαθραίας, μήτ' ἐμφανοῦς ἐπιβουλῆς. Ἀλλὰ κἂν τυραννίδι ἐπιθέσθαι δέοι· κἂν Φαλάριδος ὠμότερον πράξαι τε καὶ δόξαι· κἂν πάν-
D τας ἀποκρύψασθαι τοὺς ἐπὶ πάσῃ κακίᾳ βεβοημένους, ὑπὲρ τοῦ πλείω τὰ ὑπάρχοντα ποιῆσαι μηδὲν μηδαμῶς παραιτεῖσθαι, ὡς ἂν ἀπάσης ἡδονῆς καὶ ἐπιθυμίας ὕλην ἄφθονον ἑαυτοῖς παρεσκευακότες καὶ ἀποθέμενοι, ἀδεῶς τοῦ λοιποῦ τρυφῶσί τε καὶ καταspαταλῶσι, γαστρὶ καὶ αἰδοίοις ζῶντες, καὶ τὸν εὐκλεᾶ καὶ ἀξιοζήλωτον βίον, καὶ εἰς μήκιστον παρατεινόμενον χρόνον, οὐκ ἄλλον ἀλλ' οἷς οὗτοι βιοῦσιν, περιορίζοντες. Οὐ γὰρ καλή γε ἡ συμβουλὴ τοῦ, τὰς πόλεις, δι' ὧν φροντίζει, πολίζοντος, καὶ οὗ ἡ βαθεῖα καὶ μεγάλη πρόνοια τὰ ἔθνη συνέχει, καὶ τὰς οἰκίας συνίστησιν, ὃς ἐξ ὧν ἔδοξε λέγειν, ἀντὶ μὲν φιλ-

VARIÆ LECTIONES.

[r] C. M. ἡ τῆς ληστ. [s] C. M. ἀναίρεσις. [t] *Isc.* συλλέγοντας, C. M. συλλέγουσαν.

Digitized by Google

ἀνθρωπων, φιλαργύρους, ἀντὶ δὲ φιλαλλήλων, ἐπι- A litas facit, qui, quod e sermonibus colligi potest,
βούλους, καὶ ἀντὶ ἐλεημόνων, ἀνελεήμονας, καὶ, συν- pro homines amantibus argenti substituit amatores,
τόμως εἰπεῖν, ἀντὶ τοῦ διὰ πάντων ἀρίστους, ἐν πᾶσι pro mutuo amore insidias, pro commiseratione
κακίστους εἶναι, εἰσηγούμενος. Δῆλον γὰρ, ὅτι καθ' immisericordiam, et breviter ut expediam, pro op-
ὃν τρόπον τὸ ἀφιλάργυρον ἦθος συνεφέλκεται τὰς timo pessimum rerum statum introducit. Patet
ἄλλας ἀρετάς· οὕτως ἡ φιλάργυρος νόσος συνεπι- enim, quod quemadmodum ab avaritia abhorrens
σύρεται πᾶσαν τὴν συγγενῆ κακίαν. Ἀλλ' οὖν, ὅπερ virtutes omnes contrahit, ita et avaritiæ morbus
ἔλεγον [u], ὁ καλὸς οὗτος σύμβουλος, καὶ τῆς Δεσποτι- affinem et congenerem improbitatem omnem se-
κῆς ἐντολῆς χλευαστής, ἀντὶ τοῦ βελτίστου, τὰ χεί- cum trahit. Atque ita, quod dicebam, egregius iste
ριστα τοὺς ἀνθρώπους αἱρεῖσθαι, κατὰ τὸ ἀκόλου- consiliarius, Dominici præcepti irrisor, qui præ-
θον, ὑποτιθέμενος, μηδ' ἂν ἄλλως εὐδαιμόνως clara quæque suggerere debuit, pessima hominibus
βιῶσιν, μήτε πόλιν, μήτε ἔθνος, μηδ' οἰκίαν, κατ- eligenda offert, ita ut haud aliter cum felicitate
επαγγέλλεται· ἀλλὰ μηδὲ προελθεῖν ἐπὶ μακρότατον, vivere, non urbem, gentem, domum constituere,
εἰ μὴ ἔλοιντο μᾶλλον, ἀντὶ τοῦ πάντα εἶναι χρηστοὶ, quæ consistent, possint: imo nullos omnino pro-
τὰ πάντα εἶναι φαυλότατοι. Εἰς τοιοῦτον αὐτῷ, καὶ gressus facere, si non, qui debebant omnium esse
βουλῆς, καὶ πολιτείας, καταστρέφει τέλος, τὸ κατὰ B optimi, pessimi omnium velint esse. Huc enim
τῆς θείας ἐντολῆς θράσος, καὶ ἡ εἴρων γλῶσσα, καὶ spectat ipsius et consilium et politia, per insolen-
τὰ τῆς ἀνατροπῆς σοφὰ ἐνθυμήματα· καίτοι γε, εἰ tiam contra mandatum divinum, per linguæ diasyr-
μή τι ἄλλο, τοὺς σοὺς κύνας, οὓς ἐθαύμαζες, ἔδει σε mos et præclaras conclusiones. Sed, mi homo, si
μεμνῆσθαι, καὶ αἰσχύνεσθαι τὸν Διογένη, τὸν Ἀντι- tamen nihil aliud, canes illos tuos, quos sic admi-
σθένη, τὸν Κράτητα, τὸν ἄλλον χορὸν τῶν θαυμα- raris, Diogenem, Antisthenem, Cratetem, cæteros-
σίων σου κυνῶν. Οἳ εἰ καὶ τῷ ἐπιδεικτικῷ τοῦ que præclaro illo consessu, recolere et verecundari
ἤθους τὸν τῆς ἀληθοῦς ἀκτημοσύνης χαρακτῆρα debueras. Illi utcunque per vanam ostentationem
ἐκιβδήλευον· ἀλλ' οὖν μεμισηκότες ἐφαίνοντο τὸ veræ paupertatis characterem adulterabant: tamen
φιλόπλουτον, καὶ τὸν λιτὸν δοκεῖν ἀσπάζεσθαι, καὶ amorem divitiarum detestabantur, cum videri vel-
ἀφιλάργυρον βίον μέγα ἐποιοῦντο· ἐκείνοις ἐχρῆν σε lent amplecti inopem et immunem ab avaritia
μᾶλλον λέγειν, ἀντὶ τοῦ θειάζειν, ὡς εἰ πάντες ὑμῖν omni vitam. Apud illos poteras, quos adoras, effu-
πεισθεῖεν· οὐκ ἂν ἔθνος, οὐ πόλις, οὐκ οἰκία μία tire præclarum illud tuum apophthegma, si omnes
συστήσεται· πῶς γὰρ ἔτι, μιμησαμένων ὑμᾶς vellent vobis obtemperare, non adhuc gens, urbs,
ἁπάντων ἀνθρώπων, οἶκος ἔντιμος δύναταί τι καὶ C domus subsisteret. Hæc est enim illa tua vomitu
οἰκία; τὸ σοφόν σου τοῦτο, καὶ πάσης ναυτίας γέμον, fœdanda ad præceptum quæstio, illa præclara ut
κατὰ τῆς ἐντολῆς ἐπαπόρημα· πῶς οἶκος ἔντιμος videtur tibi. Quomodo domus vel habitatio subsis-
δύναταί τι καὶ οἰκία; ἀλλὰ γὰρ πῶς, ἀντὶ τοῦ ταῦ- tet? Sed tu, qui hæc canibus tuis objicere debueras,
τα, τοῖς σοῖς ἐπιτιμᾷν σε κυσὶ, τούτους μὲν ὑπερ- illos admiratus, oracula autem illa divina derisui
θαυμάζεις· ἃ δὲ τὴν ἀμείνω πολλῷ τούτων, καὶ habes, quæ longe meliorem vivendi rationem et ab
ἀμιγῆ πάσης μοχθηρίας, εἰσηγεῖται πολιτείαν, improbitate abhorrentem introducunt. Quid est?
ταῦτα δὲ τὰ λόγια διασύρεις; τί δὲ καὶ ἐπὶ μόνης quod in istam tantummodo doctrinam conclusiones
τῆς διδασκαλίας ταύτης, τὸ δριμύ σου τῶν ἐνθυμη- tuæ virulentiæ intendas, et dispositionis improbæ
μάτων, καὶ τῆς ἰθυβόλου φύσεως τὸ βαθὺ καὶ ἔντο- jacula incussa violenter stringas, cum non minus
νον, ἐπεδείξω; ἡδύνω γὰρ τὰ αὐτὰ ματαιολογεῖν καὶ contra alia quam ista, si liberet, blaterare debeas.
ἐπὶ πλειόνων ἄλλων. « Λαμψάτω τὸ φῶς ὑμῶν ἔμ- « Luceat sic lux vestra coram hominibus, ut videant
προσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν bona vestra opera et glorificent Patrem vestrum
ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν οὐρα- qui est in cœlis [71]. » Quod si omnes et singuli sic
νοῖς. » Ἀλλ' εἰ πάντες ἐκλάμψουσι, τίνες οἱ ὀψόμενοι, lucerent, ubi erunt qui videant, et Deum, pro illis
καὶ τὸν Θεὸν, ἐφ' οἷς ἴδον, διὰ δόξης θεραπεύσοντες; D quæ vident, glorificent? « Date, et dabitur vobis [71a]; »
« Δίδοτε, καὶ δοθήσεται ὑμῖν· » εἰ πάντες ἔλοιντο δι- si omnes dederint, quis accipiet? « Remittite, et
δόναι, τίς ὁ ληψόμενος; « Ἀφίετε, καὶ ἀφεθήσεται remittetur [72]; » si omnes indulgentes, ubi erunt
ὑμῖν· » εἰ πάντες ἀφῶσιν, τίνες οἷς ἀφήσουσιν; quibus indulgetur? « Diligite inimicos vestros [73]; »
« Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· » εἰ πάντες ἀγαπή- si omnes diligant, ubi comparebunt qui sunt animo
σουσι, ποῦ οἱ ἐχθρῶς ἔχοντες; « Εἰ πάντες τοῖς τὴν inimico? « Si omnes affecti contumelia, dextram ge-
σιαγόνα παίουσι τὴν δεξιὰν, καὶ τὴν ἄλλην εἰς ὕβριν nam et sinistram obvertere debent [74] » injuriæ illatæ,
ἴσην ἐκδώσουσι, ποῦ οἱ τυπτήσοντες; » Καὶ μυρία ubi erunt qui plagam infligent? Sunt hujusmodi
ἄλλα· μᾶλλον δὲ [v], ὡς ἔπος εἰπεῖν, οὐδεμία θεία infinita: et ut uno verbo expediam omnia, nullum
παραίνεσις, ἐν τῇ πρὸς ἕτερον ἀφ' ἑτέρου πράξει plane erit divinum mandatum, nulla exhortatio in-

[71] Matth. v, 16. [71a] Luc. vi, 38. [72] Matth. xviii, 35. [73] Matth. v, 44. [74] Ibid. 39.

VARIÆ LECTIONES.

[u] C. M. ἔλεγεν. [v] C. M. οὐκ ἔστιν.

Digitized by Google

ter homines observanda, quo non pervadat næc siulta et a ratione aliena improperatio.

Qui enim ista dividit a mutuo inter se habitu ac connexione, quæ in personarum copula mandatum constituunt, et ita vult omnibus pedibus concedere in alteram partem divisionis, quæ post talem operationem constituitur, ille nullo negotio ad abolendum mandatum id quod residuum erit, assumet, consequentiam falsam eliciendo et absurdam ejus, quam comminiscitur, propositionis, quæstionisque tam fastuosæ cum ironia et inflatione vana conjunctæ. Si omnes etenim operabuntur, ubi erit, in quem tendat operatio? Ad hunc modum facile erit impetum facere in omnem Spiritus doctrinam, per de loco superiori violentam incursationem, unde fiet, ut in pleraque si non in omnia, tali modo hoc tuum examen incussisti: sed intra unius mandati exceptionem, quæ tua fuit pietas et devotio conclusisti: certe ita magis admiramur modum tuæ actionis tam facilem et profundum. Sed erat hæc a malitia tua potius quam imprudentia profecta machinatio. Intelligebas enim, si eamdem objectionem in quodvis divinum mandatum ejaculatus esses, facile potuisse animadverti inceptum illud tam ineptum; cuivis enim esset perspicuum, quod omnia Dei mandata eamdem arrodendi exhiberent occasionem innovationis. Quod si calumniam in uno aliquo terminaret, multo se melius latiturum et paratiorem aditum inventurum nequitiæ, per quem impeterentur, quæ vacabant capita culpa, ita in quibus latitare voluit, ipse quasi in triumphum duxit suorum sermonum futilem improbitatem.

Sed par profecto fuit, ut is, qui oblectabatur istiusmodi ineptis et putidis sophismatibus, minime ex adversa fronte in contumeliam personarum descenderet; sed eadem mentis celeritate, et animo in partes versatili addubitando diceret: si omnes loco venditionis emptionem instituant, quinam erunt vendentes? Nam quid interest inter eum qui in partem vendentium omnes compingit, et illum qui emptores quærit? aut e contra in licitantes referentem, eos investigare, qui velint vendere? Verum missum hoc faciamus. Quid? an tu vis omnes homines bonos, honestos et frugi fieri, nec lapsibus subjectos? an hoc tibi potius displicet? Quod si omnes essent probi, nulla foret legum necessitas, legumlatorum cura, studium, providentia: et tamen, ut tales fierent, leges illi provide condiderunt: Justitia an non in Tragelaphos transibit, et Scindapsos? ubi enim δικαιοσύνη; si non sit δίκη, ubi illa? si nemo injuriam inferat: si singuli in melius immutabuntur, una quoque abibit et mansuetudo: nam nisi sit iracundia movens, non est mansuetudo: ubi erit ille movens qui irritabit? de qua causa, non enim si velit maxime vir bonus in bonum irritabitur, non autem ille ita velit, sic secum dum improbissimum isthoc deliramentum, culpa non vacat, qui tenetur maxima,

A κατορθουμένη, καθ' ἧς οὐκ ἔστιν ἰδεῖν τὴν ἄλογον ταύτην καὶ μωρὰν ἐπήρειαν διαβαίνουσαν.

Τῆς γὰρ ἐχούσης ἐντολῆς, ἐν συζυγίᾳ προσώπων, τὴν ὕπαρξιν, ὁ διασχίζων ταῦτα τῆς πρὸς ἄλληλα συναφείας καὶ σχέσεως, εἶτα πάντας ἀξιῶν εἰς θατέραν συνωθεῖν μοῖραν τοῦ τμήματος, οἷον ἐξ ἧς προβάλλεται ἡ ἐνέργεια· οὗτός γε τὴν ὑπόλοιπον πάντως εὐχερῶς εἰς καταστροφὴν τῆς ἐντολῆς παραλήψεται, ψευδεῖ καὶ ἀτόπῳ τῇ παρ' αὐτοῦ συμπλασθείσῃ θέσει, ἀκόλουθον ἔχω τὸ περαινόμενον, καὶ διερωτήσει γε μάλα σεμνῶς, σὺν εἰρωνείᾳ καὶ διαχένῳ φυσήματι· Εἰ πάντες ἐνεργήσουσι, τίνες ἐν οἷς ἡ ἐνέργεια; Οὕτω τοιγαροῦν ῥᾳδίας οὔσης φέρεσθαι κατὰ πάσης σχεδὸν τῆς διδασκαλίας τοῦ Πνεύματος, τῆς ὑψηλῆς σου ταύτης καὶ δραστηρίου
B καταδρομῆς, πῶς εἰ καὶ μὴ ἐπὶ πασῶν, ἀλλά γε τῶν πλείστων, οὐκ ἀφῆκας τὴν τηλικαύτην σου βάσανον· μιᾷ δὲ μόνῃ τῶν ἐντολῶν, ὑπὸ πολλῆς εὐλαβείας συγκατέκλεισας; οὕτω γὰρ ἂν σου τῶν ἐπιχειρημάτων τὸ εὔπορον καὶ βαθὺ μᾶλλον ἀπεθαυμάζομεν. Ἀλλ' ἦν καὶ τοῦτο κακουργίας μᾶλλον ἢ ἀνοίας ἐπιτέχνασμα· ᾔδει γὰρ, ᾔδει κατὰ πάντων μὲν τῶν Δεσποτικῶν προσταγμάτων τὴν αὐτὴν κατάῤῥησιν προβαλλόμενος, εὐφώρατον ἕξειν τὸ ῥᾳδιούργημα, ἅτε δυναμένου καὶ τοῦ τυχόντος συνορᾶν, ὡς οὐκ ἂν οὕτω γε πάντα τὰ σωτήρια παραγγέλματα, τὴν αὐτὴν παρεῖχεν αἰτίαν, τοῦ δι' ἑαυτῶν περιτρέπεσθαι· ἐπὶ μιᾶς δὲ μᾶλλον ἤλπισε λαθεῖν, εἰ περι-
C γράψοι τὸ συκοφάντημα· καὶ τὸ οἰκεῖον κακούργημα παρεισδυσιν οὕτω πλέον εὑρεῖν εἰς ψόγον τῶν ἀμωμήτων ἀντιπεριενεχθήσεσθαι· ὥστε καὶ δι' ὧν λαθεῖν ἐμελέτησε, τὸ φιλοκακουργὸν καὶ σαθρὸν τῶν λόγων τῶν αὐτὸς αὑτοῦ ἐθριάμβευσεν.

Ἐχρῆν δὲ τοιαύταις αὐτὸν, ἐκδεδωκότα λέσχαις καὶ κακοσχόλοις σοφίσμασι, μηδὲ τὴν διὰ τῆς ἑτέρας μοίρας τῶν προσώπων ἐπήρειαν παρελθεῖν· ἀλλ' ἐξ ὁμοίου τάχους διανοίας, καὶ ἀγχιστρόφου φρονήματος ἐπαπορεῖν, καὶ λέγειν· Εἰ δὲ πάντες, ἀντὶ τοῦ πιπράσκειν, ἕλοιντο ὠνεῖσθαι, τίνες ἂν οἱ πωλοῦντες εἶεν; Τί γὰρ διαφέρει, πάντας εἰς τὴν τῶν ἀγοραζόντων μοῖραν συνελαύνοντα, τοὺς ὠνησομένους ἐπιζητεῖν, ἢ ἀνάπαλιν, εἰς ἀγοράζοντας ἀναφέροντα, τοὺς πωλεῖν ἐθέλοντας διερευνᾶσθαι, καὶ περιεργάζεσθαι; Ἀλλ' ἐάσθω τοῦτο. Τί δὲ σύ;
D ἆρα βούλει πάντας ἀνθρώπους καλοὺς καὶ ἀγαθοὺς εἶναι, καὶ πταισμάτων κρείττους; ἢ ἀπαρέσκει σοι; Ἀλλ', εἰ πάντες καλοὶ καὶ ἀγαθοὶ, ποῦ ἡ τῶν νόμων χρεία; ποῦ δὲ τῶν νομοθετῶν ὁ πόνος, καὶ ἡ σπουδὴ, καὶ ἡ πρόνοια; καίτοιγε αὐτὸ τοῦτο καλοὺς καὶ ἀγαθοὺς εἶναι τοὺς ἀνθρώπους προνοούμενοι τοὺς νόμους ἐτίθεσαν· ἡ δικαιοσύνη δὲ ἄρ' οὐκ εἰς τραγελάφους σοι καὶ σκινδάψους περιστήσεται; Ποῦ γὰρ δικαιοσύνη, δίκης οὐκ οὔσης; ποῦ δὲ δίκη, μηδενὸς ἀδικοῦντος; ἀδικῶν δὲ τίς, πάντων εἰς ἀμείνους μεταταξαμένων; οὐχὶ δὲ καὶ ἡ πραότης συνοιχήσεται; τινὶ γὰρ πρᾶος, οὐκ ὄντος τοῦ παροργίζοντος; ποῦ δὲ ὁ παροργίζων καὶ τίνα; καὶ ἡ αἰτία ποία; ἀγαθῷ γὰρ ἀγαθὸς, οὐκ ἔστιν ἐφ' ὅτῳ, κἂν βουληθῇ, παροργίσειεν· δῆλον δὲ, ὡς οὐδὲ βουλήσε-

Digitized by Google

ται· οὐκοῦν κατὰ τοῦτό γε τὸ περιπόνηρόν σου λήρημα, πολλῆς καὶ μεγάλης ἔνοχος αἰτίας, ὁ τοὺς ἀνθρώπους καλοὺς καὶ ἀγαθοὺς βουλόμενος εἶναι. Κρατυνθείσης γὰρ τῆς [x] διδασκαλίας, οἰχήσεται τὰ κράτιστα τῶν κατορθωμάτων· καὶ αὐτοὶ οἱ νόμοι, μάταιόν τι, καὶ περιττὸς ὄχλος ἔσονται. Καὶ οὕπω λέγω, ὅτι δι' αὐτοῦ, ἀγαθοῦ ἀναίρεσις καταπράττεται· οὐδ' ὅτι ἡ τοῦ ἀρίστου αἵρεσις εἰσαγωγὴ τῶν χειρόνων ἐπιδείκνυται· οὐ γὰρ σοφά σου, καὶ πολιτικῆς θεωρίας ἔμπλεα τὰ ἐνθυμήματα, ὁ τὰ πολιτικὰ ἡμῖν ἐπισείων, καὶ λέγων, ταύτης ἔχει τις εἰπεῖν πολιτικωτέραν τῆς ἐντολῆς; καίτοι, τὸν τὰς Πλάτωνος πολιτείας μονονουχὶ προσκυνοῦντα, μυρίας μὲν γεμούσας ἀσελγείας, μυρίας δὲ πρὸς ἑαυτὰς μάχης, καὶ πολεμιωτάτας μὲν πάσῃ ἀνθρωπίνῃ πολιτείᾳ, τὸ ἀνύπαρκτον δὲ καὶ ἀνούσιον παρ' ὅλον τὸν αἰῶνα πολιτευομένας· τὸν ἐκείνας ἐν μνήμῃ λαμβάνοντα, καὶ ταύταις ἐνσεμνυνόμενον, ἆρ' οὐκ ἐχρῆν ὅλως αἰσχύνεσθαι, καὶ αὐτὸ τὸ τῆς πολιτείας ὄνομα ψιλὸν διὰ χειλέων προάγειν; σὺ δὲ καὶ ἐπειρωνεύειν ἡμῖν ταύτην ἐθρασύνθης· καὶ τοσοῦτόν σοι τὸ δραστήριον, ὅτι ἃ μὲν ψέγειν σπουδάζεις, ἐπαινεῖς λανθάνων· οἷς δὲ τὸν ἔπαινον φέρειν ἀγωνίζῃ, ταῦτα ψέγων οὐκ αἰσθάνῃ. Ἀλλ' ἐῶ μὲν [y] τοῦτο τέως.

Ἐνόμισας δὲ ἄρα ὑπὸ πολλῆς σοφίας σου, ὡς καὶ προηγούμενον εἶχε σκοπὸν ὁ Σωτὴρ πολιτικὴν παραδοῦναι τέχνην. Πῶς οὖν οὐκ αἰτίαις ὑπάγεις (καίτοι φιλαιτιώτατος ὤν, καὶ πνέων τὴν ὕβριν), ὅτι μηδὲν περὶ στρατηγῶν, μηδὲ στρατοπέδων, μηδὲ στρατιωτῶν ὥρισεν· οὐδ' ὅπως δεῖ πολεμίοις διὰ μάχης ἰέναι, οὐδ' ὅτε σπένδεσθαι· ἀλλ' οὐδ' ὅσου δέοι τὸν σῖτον ἢ τὰ ἄλλα πιπράσκεσθαι· ἀγορανόμους δὲ καὶ δικαστὰς καὶ νομοθέτας, ὁποῖοί τε ἔσονται καὶ ὅσοι, οὐ δυσχεραίνεις ὅτι μηδὲν εἰσηγήσατο; τυφλὲ καὶ μωρὲ, οὕτω βαθὺν ὕπνον ἐκάθευδες (καὶ ταῦτα τὰς νύκτας ἄϋπνος τελῶν, ἐπὶ τῇ κατὰ τῶν θείων λογίων ματαιοπονίᾳ), ὥστε μηδὲ τούτου συναίσθησιν δέξασθαι, ὅτιπερ ὁ Σωτὴρ ἡμῶν καὶ Θεὸς, τῶν μὲν πολιτικῶν τύπων, καὶ τῆς περὶ αὐτὰ τάξεως οὐκ ἔσχε προηγούμενον τὸν σκοπόν. Ἤδει γὰρ, ἤδει τοὺς ἀνθρώπους ἱκανὴν τῇ πείρᾳ παρασκευὴν πρὸς ταῦτα λαβεῖν· τῆς χρείας καὶ τῆς ἀνάγκης τὴν μάθησιν αὐτοῖς ὁσημέραι ῥᾳδίαν παρεχομένης, καὶ τῶν προλαβόντων τὰ πταίσματα ἀποχρῶσαν τοῖς ἐσομένοις ἐπὶ τῶν ὁμοίων ἀντεισάγειν τὴν διόρθωσιν. Εἴ τι δὲ καὶ ταύτης ἡμάρτητο καὶ τοῦ μὲν πρὸς τὸ εὖ ἔχον καὶ καθεστηκὸς ἐπανορθούμενος μεταρύθμιζεν· προηγουμένη δὲ τῷ Σωτῆρι φροντὶς, ἡ τῶν ψυχῶν ὑπεῖρχε [z] σωτηρία, καὶ εἰσαγωγὴ βίου φιλοσόφου καὶ ζωῆς ὑψηλοτέρας· διὰ ταύτης γὰρ ἡ τῶν παθῶν ἐλευθερία, καὶ ἡ πρὸς τὸ πρῶτον ἀγαθὸν ἐπιστροφὴ καὶ συνάφεια, ἀλλ' οὐ πολιτικῆς διαγωγῆς ἢ σωματικῆς εὐδαιμονίας ἡ ἐπιμέλεια κατεβέβλητο· ταύτῃ τοι καὶ τοῖς φιλοσάρκοις καὶ φιλοσωμάτοις ἡ Δεσποτικὴ παραίνεσις, ὥσπερ δὴ καὶ σοὶ δύσοιστός τε καὶ δυσάρεστος· ἐχρῆν δὲ ἄρα, εἴπερ

qui id agit, ut homines honesti et probi fiant. Hæc doctrina si obtineat, præclara facinora evanescunt omnia. Leges ipsæ erunt inane nomen, et superfluus tumultus censebuntur. Non dum hoc urgeo, probitatem ita tolli, nec quod melioris electio pessimas subintroducat consequentias: neque enim prudentia, et politicæ considerationis plena enthymemata adhuc nobis proclamat (ecquis autem magis politicam rationem inibit) utcunque Platonis rempublicam tantum non adoret, (in qua sunt multiplices impuritates, multiplices inter se contradictiones, et ad oppositum constitutæ cuicunque reipublicæ humanæ constitutiones, nusquam exsistentes, nullibi ab omni ævo usurpatæ: illas memoria recolentem rationes, et easdem magni æstimantem, omnino pudore suffundi oportet, quoties vel nudum reipublicæ nomen labiis protulerit. Ast hic tu te ironice gerere ausus es et tantam prætulisti patrandi audaciam, ut quæ vituperare cogitas, tacite laudes: quæ laudare vel maxime desideras, ea vituperare te non persentiscas. Sed mitto in præsenti istud.

Opinaris, pro tua summa prudentia, principalem Servatori scopum propositum fuisse, artem tradere politicam. Et quorsum non incusas, qui eo facile descendis, quod de militibus, castris, ducibus, nihil statuit, non docuit quomodo hostes sint excipiendi, fœdera ineunda, frumentum contrahi et commeatus possint. Nec iniquo animo fers, quod nihil intulerit de venalium rerum curatoribus, judicibus, legumlatoribus. Cæce tu et stulte, itane profundo somno sepultus jacuisti? (qui tamen totas noctes insomnes transmeasti, dum inepta meditaris et frustranea adversus oracula Dei) ut nullum istius sensum habueris, quod Deus et Servator noster de formis politicis et actionibus, nullam principalem habuit intentionem statuendi. Intelligebat enim homines satis ab experientia instructos ad ista, quibus necessitas et usus, facile ad eam aditum discendi faciebat quotidie, et a præcedentibus admissi errores in similibus actitandis expeditam suppeditarent emendationem. Quod si admissus inibi error fuerit, ad statum facile præclarum reducetur: scopus Servatori primarius fuit, animarum salus: vitæ sublimioris philosophicæ institutio: per istam enim a passionibus quies, conversio ad summum bonum, et conjunctio cum eodem, cura, et studium docebatur, non civilis alicujus conversationis, aut felicitatis corporalis. Enimvero Servatoris nostri ista admonitio iis qui carnem et corpus diligunt, uti ac tibi non placet, sed videtur intolerabilis: si ergo inerat aliqua ratio, licet tota sycophantiis scateret, observare debueras consequentias, nec

VARIÆ LECTIONES.

[x] *Isc.* ταύτης. Etenim in cod. Mon. deest. [y] C. M. ἀλλ' ἐῶμεν. [z] C. M. ὑπῆρχε.

Digitized by Google

per ironiam cavillari, quod politicum nil sapiat Christi sermo : sed quod vitæ illius et conversationis fundus philosophicam vitam non attingat. Ac tu, in quibus minime vituperandus ejus sermo fuerat, accusas tamen : tibi namque propositum fuit ineptias effutire, nulla illius injecta mentione quod concedere in vituperium præcepti poterat. Ita invalidam et fluidam protulisti rationem, quæ mentem tibi calumniandi avidam malefaciendi cupidam et putridam declaras : et ut non sponte tamen mandatum, ultra omnem vituperii et calumniæ aleam positum. Videsis ulterius, qualiter ille qui sibi impossibile proposuerat aliter videtur consequens absurdum inferre. Nam cum dixerat, si omnes vendant, quis erit emptor ; per thesin impossibilem absurdum quod est infert : opinatur autem non ejusdem esse stultitiæ, crimen calumniis petitum mandatum quasi culpæ causam. Non est enim, licet Christus illud toties commonefecerit, licet multis minis devinxerit, licet fulgetra, fulmina, tonitrua, hiatus terræ sermonibus suis adjunxerit, non est possibile, ut omnes per idem momentum vendere velint, ita ut nemo avarus et divitiarum cupidus relinquatur ; semper enim et ubique tales exsistunt. Non est virtus omnibus parabilis : sufficit si eam ambiant plures sigillatim : sed nec illud obviam, nec in aliqua virtute observandum ; pauciores virtutem quam vitia adamant. Nec tamen debet humani generis curam suscipiens, consilium omittere dandum aut informationi supersedere, quod non omnes obtemperant : Sed quod multi ab hoc ortu profecti, malum quod est fugiunt, bonum eligant, idcirco generatim admonendi sunt omnes ut virtutem colant. Sed et illud intueri etiam licet, quod prudens iste et acutus in discernendo nihil videbat, cum proferret illud dictum : Quomodo omnes vendent ? An omnes divites, nec quisquam pauper, nullus qui suis contentus vivit ? cum videas plerosque in talibus vivere.

Divites multo pauciores sunt : ubi ergo omnes locupletes invenies, unde tibi tam obsequentes, ut res suas vendant ? Sed videris ista e Platonis Republica collegisse, nempe nullibi inveniendos, nusquam exsistente tali republica. Si quis egregium tuum hoc et curiosum examen, et exquisitam ignorantiæ legem in ipsa sancita velit remittere, et admirabilia doctorum et majorum apophthegmata, risus et ludibrii argumentum abunde suppeditaretur ; examen illud tuum in nos collatum, nihil præter hostilem calumniam, ambitionem gloriosuli, nihil sani suggeret : quod si in auctores regeratur, lex erit amantis viri, judicium inimicitiis vacuum, redargutio vera, nec injuria. Tua scita igitur, per tua scita evertuntur, et diffunduntur irrisa ; cum

τις ἦν λογισμὸς, κἂν γοῦν ἐν ταῖς συκοφαντίαις μελετῶν, φυλάττειν τὸ ἀκόλουθον, μὴ ὅτι οὐκ ἔστι πολιτικὴ ἡ Δεσποτικὴ ἐντολὴ ἐν εἴρωνι λόγῳ διαθρύπτεσθαι· ἀλλ' ὅτι οὐ φιλόσοφος οὐδὲ φιλοσόφου βίου κρηπίς· σὺ δὲ, ἐξ ὧν μὲν ἐκείνη ψόγον οὐ δέχεται, τοῦτο αἰτιασάμενος, καίτοι κἀν τούτῳ ματαιολογεῖν προεληλεγμένος· δι' ὧν δ' ἂν ἐντολὴ τοιαύτη ψεχθείη, μηδὲ μεμνῆσθαι θαρρήσας καὶ τὸ τῆς σῆς γνώμης φιλαίτιον καὶ φιλοκακοῦργον καὶ σαθρὸν ἀμάχῳ λόγῳ διήλεγξαι· καὶ τὸ τῆς ἐντολῆς κρεῖττον μώμου καὶ διαβολῆς ἁπάσης καὶ ἄχων προσεμαρτύρησας. Ὅρα δὲ λοιπὸν, ὅπως αὐτὸς ἑαυτῷ ὑποθέμενος τὸ ἀδύνατον καθ' ἑτέρου δοκεῖ συνάγειν τὸ ἐπόμενον ἄτοπον. Λέγων γὰρ, ὅτι Πωλούντων ἁπάντων, τίς ὁ ὠνησόμενος ; ἀδυνάτῳ μὲν αὐτὸς θέσει τὴν ἀτοπίαν ἐφέλκεται· οἴεται δὲ οὐ τῆς αὐτοῦ ῥαδιουργίας εἶναι τὸ ἔγκλημα τὴν ἐπηρεαζομένην δ' ἐντολὴν παρέχειν τὸ αἴτιον. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν κἂν πολλάκις τοῦτο Χριστὸς παραινέσειεν, κἂν μυρίαις ἀπειλαῖς καταδήσειεν, κἂν ἀστραπὰς καὶ βροντὰς καὶ κεραυνοὺς καὶ γῆς χάσματα τοῖς λόγοις συνεπαφήσειεν· οὐκ ἔστι δυνατὸν ἅπαντας μὲν ὑφ' ἕνα καιρὸν ἐλέσθαι πωλεῖν, οὐδένα δὲ ὑπολελεῖφθαι τὸν φιλοχερδῆ καὶ φιλόπλουτον· εἰσὶ γὰρ, εἰσὶ κατὰ πάντα καιρὸν οὗτοί τε κἀκεῖνοι· βάσιμος δὲ οὐδέποτε πᾶσιν ἅμα ἡ ἀρετὴ ἀγαπητὸν, δι[a] κἂν οἱ πλείους καὶ ἀνὰ μέρος· ἀλλ' οὐδὲ τοῦτο βᾴον, οὐδ' ἐπί τινος ἔστιν ἰδεῖν ἀρετῆς· ἐλάττους γὰρ ἀεὶ ταύτης ἢ οἱ τῆς κακίας ἐρασταί. Οὐ μὴν διὰ τοῦτο προσήκει τοῦ ἀνθρωπίνου γένους προνοητῇ[b] τοὺς νουθετηρίους λόγους ἀφαιρεῖν καὶ τὴν διδασκαλίαν προελεῖν[c], διότι μὴ πάντας πειθομένους ἔχοι· ἀλλ' ὅτι πολλοῖς ἐγγίνεται δι' αὐτῶν, φυγὴ μὲν τοῦ χείρονος, αἵρεσις δὲ τοῦ βελτίονος, διὰ τοῦτο δεῖ πάντας ἐπ' ἀρετὴν παρακαλεῖν. Κἀκεῖνο δὲ σκοπεῖν ἔξεστιν, ὅπως μηδὲν προορώμενος ὁ συνετὸς οὗτος καὶ ταχὺς ἐν θεωρίᾳ, τὸ ἐπιὸν λέγοι· Πῶς γὰρ πάντες πωλήσωσιν ; Ἆρα πάντες πλούσιοι, καὶ πένης οὐδείς ; οὐδεὶς δὲ οὐδὲ τῶν ἐν αὐταρκείᾳ μόνῃ βιούντων ; Καίτοι τὸ πλεῖστον τῶν ἀνθρώπων ἐν τοιούτοις ὁρῶμεν ἐξεταζόμενον.

Πλούσιοι δὲ παρὰ πολὺ τῶν ἄλλων ἐλάττους. Πόθεν οὖν πάντας ἀνθρώπους πλουσίους εὗρες, καὶ πωλεῖν αὐτοὺς τὰ ὑπάρχοντα πειθηνίους ἔσχες ; Ἀλλ', ὡς ἔοικεν, ἐκ τῆς Πλάτωνος τούτους συνελέξω πολιτείας, ἐκ τῆς μηδαμῇ μηδαμῶς ὑφεστώσης, τοὺς οὐδαμοῦ εὑρισκομένους. Εἰ δέ τις τὴν καλὴν σου ταύτην καὶ περίεργον βάσανον καὶ τὸν ἀκριβῆ τῆς ἀνοίας νόμον, ἐπὶ τὰς σὰς ἐπαφήσει νομοθεσίας, καὶ τὰ θαυμαζόμενά σοι τῶν διδασκάλων καὶ πατέρων ἀποφθέγματα, ἆρ' ἔστιν ὃ μὴ γέλωτος καὶ χλεύης ὑπόθεσις εὑρεθείη ; καίτοι καθ' ἡμῶν προβαλλομένη σου ἡ βάσανος, ἐχθροῦ διαβολὴν καὶ φιλαιτίου δόξαν ἀνδρὸς, καὶ ἕτερον ὑγιὲς οὐδὲν μηνύει· κατὰ δὲ τῶν ἰδίων ἐπαφιεμένη, φιλοῦντος νόμος, καὶ κρίσις ἔχθρας κεχωρισμένη, καὶ ἀληθὴς ἔλεγχος, καὶ μάλα δικαίως ἂν

VARIÆ LECTIONES.

[a] C. M. ἀγαπητον δέ. [b] C. M γένους τῷ προνοητῇ. [c] C. M. περιελεῖν.

Digitized by Google

νομισθείη. Ὥστε τὰ μὲν σὰ, διὰ τῶν σῶν ἀνατέτραπται καὶ διαπέπαικται· τῶν δ' ἡμετέρων οὐ μόνον οὐδενὸς καθάπτεται, ἀλλὰ καὶ ἀνοίας καὶ θράσους δι' ὧν ἔφθασε συκοφαντεῖν, ἔλεγχον ὑπέχει. Ἀλλ' εἰ πάντες πωλήσειαν, ποῖος οἶκος ἔντιμος εἶναι δύναται; Ὦ διαλεκτικῆς ἀκριβείας καὶ δεινότητος! βαβαί! τῆς ῥητορικῆς σου πιθανότητος καὶ δριμύτητος! ὁ πολὺς ὀρᾷν, καὶ πόρρωθεν, τὸ ἑπόμενον! ὁ τοῖς ῥήμασι σοβαρὸς, καὶ ταῖς ἀνατροπαῖς ἀνυπόστατος! ὁ τὰ ἐκ τριόδου κατονειδίζων ἡμῖν! Ἆρα γραῦς ἐν τριόδῳ ἐκ παννυχίδων ἥκουσα τῶν σῶν θεῶν, καὶ οἴνῳ διάβροχος, οὐχὶ τούτων ἐντρεχέστερά τε καὶ ἀστειότερα φθέγξαιτο; Ποῖος οἶκος ἔντιμος εἶναι δύναται; Καὶ τί τῆς ἰσότητος, εἰπέ μοι, τοῖς ἰσότιμον λαχοῦσι φύσιν, τιμιώτερον; τί δ' εἰς αἵρεσιν ἄμεινον, οἷς τὴν αὐτὴν πόλιν γέγονεν οἰκεῖν, ὑπὲρ τοῦ κοινῆς ἀπολαύειν καὶ ὁμοίας πολιτείας; Ἀλλ' ἡ πλεονεξία [d], ἡ τυραννὶς σοι τὰ ἔντιμα, ἢ οἱ δόλοι καὶ τὰ τῶν παλιγκαπήλων καὶ μεταβολέων ἐπάρατα κατὰ τῶν πλησίον μηχανήματα καὶ τεχνάσματα· πᾶς γὰρ ὡς ἐπίπαν πλοῦτος ἢ προσφάτους ἢ παλαιτέρας ταύτας ἔχει τὰς πηγὰς τῆς γενέσεως, δι' ὧν ὁ παραβάτης ἀποσεμνύειν ἔγνω τὸ ἔντιμον. Ἀλλ' ὅλως ἠγνόηκεν, ὥσπερ ἅπαντα, τί μὲν τὸ ἀληθῶς, καὶ παρὰ Θεῷ τίμιον, τί δὲ τὸ μὴ οὕτως ἔχον. Ἄνθρωποι μὲν γὰρ, καὶ τό τε οἱ ἐξ ἀγέλης· οὐ γὰρ ἂν οἵ γε φιλοσοφίας καθαρὸν τὸν ἔρωτα συντηρήσαντες, πρὸς ἓν μόνον τὸν πλοῦτον, καὶ τὴν ἐξ αὐτοῦ τρυφὴν καὶ δόξαν κεχηνότες, κἂν μυρίοις ὁ κεκτημένος βρύῃ κακοῖς, τίμιον αὐτὸν καὶ μακάριον ἡγοῦνται. Θεὸς δὲ τὸν εὐσεβῆ τιμᾷ, καὶ τοῖς φιλαρέτοις τὸ εὐκλεὲς ἀπονέμει, κἂν ὁ τῶν χρημάτων αὐτοὺς ὄγκος οὐ φλεγμαίνει, οὐδ' ὁ ἐκεῖθεν τύφος καὶ ἡ τρυφὴ περιβλέπτους ποιεῖ. Μᾶλλον δὲ οἷς ἡ δόξα διὰ τούτων, οὐδ' ὁ τῆς ἀρετῆς ἐθέλει πόθος, οὐδ' ὁ τῆς εὐσεβείας ζῆλος περιεῖναι. Ἔδει τοιγαροῦν, ἔδει, Θεὸν ὄντα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐπὶ σωτηρίᾳ τοῦ γένους κενώσαντα ἑαυτὸν καὶ παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος κοινωνήσαντα, μὴ πρὸς τὸ ἡδὺ καὶ κεχαριτωμένον τοῖς τὰ ἐπίγεια φρονοῦσιν ἰδεῖν, μηδ' ὅσα κακίαν φύει τούτων εἰς ῥίζας περιορᾷν, καὶ καρπὸν τὰ σπέρματα διαδίδοσθαι· ἐκεῖνα δὲ νόμον καὶ παράγγελμα ποιεῖν, δι' ὧν πρόῤῥιζα μὲν τέμνεται τὰ πάθη, ἀρετῆς δὲ πάσης καὶ θεωρίας εἰλικρινοῦς κατορθοῦται [e] ἡ τελείωσις· ὧν οὐδεμιᾶς ἐνδεὴς, μᾶλλον δὲ πλειόνων, ἐξ ὧν εἴρηται, τὸ κράτος ἐπέχει καὶ ἡ προκειμένη παραίνεσις. Ἀλλ' ἆρα μήποτε ῥηθῆναι μὲν ἡ ἐντολὴ ἅπαν διαφεύγει παράλογον, καὶ τῆς ἐκ λόγων λαβῆς ἔστηκεν ὑψηλοτέρα· παραχρῆναι δὲ οὐχ ὁμοίαν ἔλαχε φύσιν· ἐνδεῖ δὲ τῆς ἐν ῥήμασιν ἀκολουθίας, ἡ ἐν ταῖς πράξεσιν ὕπαρξις, καί τις οὕτως ἔσχε δι' αὐτῶν τῶν ἔργων ἐναργεστάτην παρασχεῖν τὴν ὑπόστασιν, καὶ τὸ ἐν λόγοις ἀκόλουθον ὁμόλογον τῇ πρακτικῇ οὐσιώσει ἐπιδείξασθαι. Ἐπεὶ γὰρ ἡ σωτήριος αὐτὴ παραίνεσις διὰ τῶν Δεσποτικῶν καὶ ἀχράντων χειλέων προελήλυθεν, ἐξ ἐκείνου μέχρι νῦν οὐκ ἔστι χρόνον εὑρεῖν, ἐν ᾧ οὐκ ἔστι ταύτην ἰδεῖν ἐν ταῖς τῶν ἀν-

nostra nullo horum impetantur; sed impudentiam, audaciam, calumniam accusatoris convincunt. Sed si omnes venderent, quæ domus aut pretio, aut valore suo constare posset? Hem tuam exaccuratam dialecticam! oh gravitatem! Papæ! Quam rhetorica persuasio, quam severitas hæc pungit, et sæpe, et longe a consequentia intuetur! quam verborum pompam in refutando præ se fert! quæ convicia de trivio arrepta in nos congerit! Certe triobolaris anus de vigiliis deorum tuorum per compita permeans, vino madefacta, an non magis apposite et exacte responderet? Quæ domus pretio constare poterit? et quidnam magis honoratum, quam æqualitas inter eos quibus est natura æqualis? quid magis optabile, quam ut qui eamdem civitatem colunt, æquali statu et conditione perfruantur? Sed inæqualitas, sed tyrannis apud te in pretio, vel doli, sed cauponantium et licitatorum in vicinos machinæ et artificiosæ fraudes. Omnes enim opes, vel novos, vel antiquos fontes eosdem habent, per quos apostata suum honorabile magnificare vult. Qui plane, ut et cætera ignorabat, quid apud Deum honorificum esset veritate, ac quid non. Homines enim, licet non gregarii, sed philosophi, qui illibatum conservant amorem, unicas tantum divitias earumque lautitias et gloriolam inhiant, et utcunque qui eas possident opes multis malis scateant, honorandum tamen et beatum judicant. Deus pietate præditos honorat, et gloriam dat virtutem diligentibus, licet opum illos tumor non inflet, nec typhus aut luxus observabilis fuerit. Nam qui gloriam inde aucupantur, nec virtutis desiderio, nec pietatis aliquo tanguntur zelo; æquum erat ergo, ut Dominus et Deus noster Jesus Christus, qui ob generis nostri salutem se evacuaverat et carnis nostræ atque sanguinis fiebat particeps, non id quod suave et acceptum est iis qui terrena sapiunt, aut quæ nequitiam progerminant, eorum radices consideraret, et semina sereret ejusmodi fructum producentia; sed, ut leges et edicta illa sancire per quæ radicitus passiones evelluntur, virtutis et contemplationis puræ perfectio consummatur: nullo illorum indiget, imo multipliciter ea continet præsens admonitio et consilium. Sed fortassis nihil est in hoc consilio absonum aut absurdum, nec ansam quod præbeat juste carpendi. Sed non tam facile natura fert, ut fiat, et actione compleatur deficit actus, nec aspirat ad orationis sequelam, nec quis opere subsistentem actionem suggeret, aut conformem sermoni. Consilium hoc salutiferum per purissima Domini labia prolatum, ab omni præterita memoria ad hunc usque diem semper animitus hominibus radicatum, et profunde, late, longe augmentum capiens, virtutes cæteras perfectas consummavit; ter mille quinquies mille olim, et postea innumerabilis hominum multitudo, in commune conve-

VARIÆ LECTIONES.

[d] Ισ. ἡ. [e] C. M. κατορθοῦσαν.

Digitized by Google

nientes, et de propriis decedentes, communia voluerunt esse quæ possidebant, nec inter eos quispiam pauper erat (erat hæc mirabilis æqualitas, nec speranda nisi cum adhiberetur), sed nec dives. « Quicunque enim, » ait Scriptura, « domos vel agros possidebant, vendebant, et pretium adductum ad pedes apostolorum deponebant, et distribuebatur cuique prout indigebat[75]. » Audis, Juliane : Qui possessores erant, vendebant. Nonne omnes? sed tum ab initio mandatum illud ita splendide ferebatur, ut opere floreret : Ab eo tempore ad hunc usque diem, non modo florem summe immarcescibilem conservatum videmus, unde animæ hominum circumfuso odore perfusæ ad virtutum omnium salutiferam et vivificam fragrantiam trahuntur a corrupta passionum affectione, quæ plurima maleolentia exhalat : sed omnes terrarum orbes acta diffusa pertransivit, non tantum viritim, sed populatim, et infinitam plane multitudinem hominum monasticam, hoc est cœlestem vitam amplectentium super terram, qui opera sua extenderunt, et præscripto mandati cum summa omnium laude et prædicatione : ita Domini nostri verba efficacia et actuosa magnopere sunt, ob hoc ipsum, admirationis, animas, hominum meritorum ad se convertentia, et verbi semen inspergentia satis profunde faciunt, ut a fructibus arbor cognoscatur : et per fructum atque arborem hortulani potentia et sapientia laudetur, cujus laudis opulentum satis segetem suggerunt, et tamen nondum per hæc tot et talia encomia, naturalis enim magnificentia satis abunde manifestatur; nam multarum præterea virtutum subsistentiam sustentat et complectitur : et certe, nisi quis pari cum Juliano judicio divino occæcatus, in clarissima luce aberrabit, summopere admiraturus est naturalem ejus vim, sublimem illam et salutiferam? Qui cœlestem conversationem terrestri sua vita repræsentant, ii discerni facile possunt, hoc fundamento inprimis innixi : « Vendite quæ possidetis, et eleemosynam date. » Cui sic jacto, cæteras superstruunt virtutes, ita ut sine illo subsistere non posse pure illæ videantur. Quocirca cum vendideritis primo quæ possidetis, et indigentibus distribueritis, omnino hoc Christi consilium, ut Dei opus, ut humanitate plenum, celebrabitur. Ad hunc modum nudi demum homines, opibus et passionibus vacui terrenis, ad certamina athletica se componunt, in illud solum mente intenti, et scopum directum habentes, quod Paulo dicitur : « Cupio dissolvi, et cum Christo esse[75*]. » Unde visio paterna, in Spiritu sancto (felix omnino visio), perfecta, et sine speculo revelata, et revelans bonorum primum, et desiderato-

θρώπων ψυχαῖς διαῤῥιζουμένην, καὶ ἐμβαθύνουσαν, καὶ εἰς πλάτος καὶ μῆκος αὐξάνουσαν, συναύξουσάν τε τὰς ἄλλας ἀρετὰς καὶ συναπαρτίζουσαν· τό τε μὲν γὰρ τρισχίλιοι καὶ πεντακισχίλιοι, εἶτα καὶ πλῆθος ἐκφεῦγον τὴν ἀπαρίθμησιν, συνιόντες ἀλλήλοις, καὶ τῶν ἰδίων ἐξιστάμενοι, κοινὰ τὰ ὄντα προὐτίθεσαν, καὶ πένης ἦν οὐδεὶς ἐν αὐτοῖς (ὦ θαυμασίας ἰσομοιρίας καὶ πρὶν πραχθῆναι μηδ' ἐλπιζομένης), οὐδὲ πλούσιος. « Ὅσοι γάρ, φησὶ, κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, διεδίδοτο δὲ ἑκάστῳ, καθ' ὅ τις χρείαν εἶχεν. » Ἀκούεις, Ἰουλιανὲ, ὅσοι κτήτορες, οὗτοι ἐπώλουν. Οὐχὶ ἅπαντες; ἀλλὰ τότε μὲν ἐξ αὐτῆς ἀρχῆς οὕτως εἰς πλῆθος ἡ ἐντολὴ τελεσιουργουμένη, λαμπρῶς ἐπεδίδου καὶ ὑφειστήκει ταῖς ἐνεργείαις ἐναρμάζουσα· [f] ἐφεξῆς δὲ μέχρι νῦν, οὐκ ἀμάραντον μόνον τὸ τῆς ἀκμῆς ἄνθος διεσώσατο, δι' οὗ τὰς ἀνθρωπίνας ψυχὰς περιανθίζουσα, ἀπὸ τῆς τῶν παθῶν σηπεδόνος πολὺ τὸ δυσῶδες ἐναποπνεούσης, ἐπὶ τὴν τῶν ἀρετῶν σωτήριον καὶ ζωοποιὸν εὐωδίαν συνεφέλκεται· ἀλλά γε δὴ καὶ πάντα τῆς οἰκουμένης τὰ πέρατα, ταῖς ἐνεργείαις περιλαβοῦσα καὶ διατρέχουσα, οὐ κατ' ἄνδρα μόνον, ἤδη δὲ καὶ κατὰ δήμους ὅλους, καὶ ἀριθμοῦ κρείττω, συστήματα τῶν ὡς ἀληθῶς μονάδα βίον καὶ οὐράνιον πολίζουσά τε τοῖς ἐπὶ γῆς, καὶ πλατύνουσα δι' αὐτῶν τῶν ἔργων, ὅσον ἐστὶν αὐτῆς τὸ ἐν τοῖς λόγοις ἀκόλουθον μᾶλλον, ἢ διὰ τῆς κατὰ τὸν λόγον ἀκολουθίας τὸ ὑφεστὸς αὐτῆς ἐν τοῖς ἔργοις καὶ περιούσιον λαμπρῶς ἐπιδείκνυσιν. Οὐ μὴν [g] ἀλλά γε καὶ τῶν Δεσποτικῶν ῥημάτων τὸ ἐνεργὸν, καὶ τὴν δύναμιν οὐδὲν ἧττον δι' ἑαυτῆς παρέχει θαυμάζεσθαι· τὰς γὰρ ἀνθρωπίνας ψυχὰς, ὅσαι ἄξιαι, πρὸς ἑαυτὴν ἐπιστρέφουσα, καὶ τὸν τοῦ λόγου σπόρον ἐνιεῖσά τε καὶ ἐμβαθύνουσα, ἀπὸ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκεσθαι, καὶ δι' αὐτῶν τοῦ φυτοκόμου πάλιν τὴν ἰσχὺν καὶ σοφίαν ἐξυμνεῖσθαι, παρασκευὴν πολλὴν συνεξεύρατο· καὶ οὕπω γε διὰ τούτων, καίπερ τηλικούτων ὄντων, ἐφ' ὅσον ἧκει τὸ μεγαλεῖον τῆς φύσεως αὐτῆς ἐμφανίζεται· ἀλλ' ὅτι καὶ τῶν ἄλλων ἀρετῶν καὶ κατορθωμάτων ὑπερείδει τε καὶ συνέχει τὴν ὕπαρξιν. Πῶς, εἰ μή τις Ἰουλιανῷ τὴν ἴσην δίκην ὑπέχων τυφλὸς τῷ φωτὶ περιπλανώμενος διελέγχοιτο, οὐκ ἂν ὑπεραγασθείη τὸ ἐν τῇ φύσει κράτος αὐτῆς καὶ ὑψηλὸν καὶ σωτήριον; Καὶ γὰρ ὅσοι τὴν οὐράνιον πολιτείαν, δι' ὧν βιοῦσιν ἐπὶ γῆς, ὑπογράφουσι, τούτους δὴ, τούτους ἔνεστιν ὁρᾷν αὐτὸ τοῦτο πρῶτον, θεμέλιον, οἷον καὶ ὑπόβαθρον, τὸ, « Πωλήσατε τὰ ὑπάρχοντα, καὶ δότε ἐλεημοσύνην, » ὑποβαλλομένους· καὶ οὕτω τὰς ἄλλας ἀρετὰς ἐποικοδομοῦντας· ὡς ἄνευ ταύτης, μηδεμιᾶς ἄλλης ὑφεστάναι καθαρῶς δύναμιν ἐχούσης. Διὸ πωλοῦντες πρότερον τὰ ὑπάρχοντα, καὶ τοῖς δεομένοις διανέμοντες, πῶς ἄν τις ἀξίως, ἐξυμνήσῃ τὸ θεῖον καὶ

[75] Act. IV, 34, 35. [75*] Philip. I, 23.

VARIÆ LECTIONES.

[f] *Ισ.* ἐξ ἐκείνης. [g] C. M. οὐ μήν.

Digitized by Google

θεουργικὸν καὶ φιλάνθρωπον τῆς παραινέσεως; Οὕτω γυμνοὶ λοιπὸν καὶ χρημάτων καὶ προσπαθείας ἄλλης γυῖνης, τοὺς ἀσκητικοὺς ἄθλους ὑποδύονται, πρὸς ἓν μόνον τὸν νοῦν ἀνατεινόμενοι, καὶ τὴν ἔφεσιν ἔχοντες, εἰς τὸ κατὰ Παῦλον, « ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. » Δι' οὗ, τοῦ Πατρὸς ἐν ἁγίῳ Πνεύματι (ὦ μακαρίου θεάματος!) ἡ τελειοτέρα, καὶ χωρὶς τῶν ἐσόπτρων γνῶσις, συναναλυπτομένη τε καὶ συναναστράπτουσα τὸ πρῶτον ἀγαθὸν εἰς ἀπόλαυσιν τοῖς θεαταῖς, καὶ τῶν ἐφετῶν χαρίζεται τὸ ἀκρότατον. Οὕτω δὴ, οὕτως ἡ σωτήριος αὕτη καὶ Δεσποτικὴ ἐντολὴ οὐ ῥηθῆναι μόνον τὸ εὔλογόν τε καὶ ἀκόλουθον πολλῇ δυνάμει συνδιεσώσατο ἅπαν μαχόμενον καὶ πολεμεῖν ἠρμένον τρεψαμένη τε κατὰ κράτος, καὶ καταισχύνασα· ἀλλὰ καὶ πολύ γε πλέον τὸν εἰρμὸν τῶν λόγων, καὶ τῆς γνώμης τὸ ἀνεπίληπτον, διὰ τῆς κατὰ τὰς ἐνεργείας περιφανείας τε καὶ ὑπάρξεως τῆς ἀνὰ πᾶσαν τὴν ὑφ' ἡλίῳ ἐντελέστερόν τε καὶ θαυμασιώτερον ἐπεδείξατο, καὶ κρεῖττον ἢ κατ' ἰσχύν τε καὶ φύσιν ἐπιχειρημάτων, τοὺς τετολμηκότας αὐτὴν ἐξυβρίζειν τῆς μηχανούσης αἰσχύνης τὸ σκυθρωπὸν ὑπελθεῖν ἐρύθημα κατεπράξατο. Ἀλλὰ τοσαῦτα μὲν, ἐξ ὧν ἡ λήθη μὴ προκατέλαβε πρὸς Ἰουλιανὸν τὸν Ἀποστάτην κακουργοῦντά τε καὶ κατὰ τῆς εὐσεβείας ἡμῶν θρασυνόμενον εἴρηται. Σοὶ δὲ φιλομαθοῦντι, καὶ τὸ Θεῖον θεοπρεπῶς ὀργιάζοντι, καὶ ὀλίγα τῶν εἰρημένων ἐξαρκέσειν οἶμαι πρὸς τὴν τῆς ἀπορίας ἐπίλυσιν.

A rum summum intuentibus fruendum, repræsentat. Atque ita Servatoris Domini mandatum, non modo dictu rationabile et consequens videtur esse, et multa veritate fulcitum, sed quidquid ad oppositum repugnat, fugat prævalendo et pudore suffundit: sed et multo magis seriem verborum et sententiarum censura vacuam, per operationes eximias et subsistentiam universam sub sole consummatiorem et admirabiliorem ostendit, atque ultra vim et naturam epicherematum, ita ut audentes ipsam violare dedecus cum pudore subire coegerint. Atque hæc hactenus, ex iis quæ oblivio non prævenit, contra Julianum Apostolam nequiter et impie contra veritatem insolescentem dicta sunto. Tibi, discendi cupido, et divina oracula, ut divinis rebus B convenit, edocto, etiam pauca e dictis, scio, sufficient ad quæstionis solutionem.

ΕΡΩΤΗΣΙΣ ΡΒ'.

Τί δηλοῖ τὸ ἐφούδ;

QUÆSTIO CII. [*Coisl.* CCLXV. *Taur.* CCLVI.]

Quid significet ephod?

Edita a Montacutio, ep. 192, *ad Galatonem.*, p. 291-292.

Τὸ ἐφοὺδ, περὶ οὗ μαθεῖν περιεζήτησας, τρία σημαίνειν, ἐξ ὧν ἀνέγνωμεν, εὕρομεν· ἓν μὲν, τὴν ἱερατικὴν καὶ ἁγίαν στολὴν, ᾗ κεχρῆσθαι θεμιτὸν οὐκ ἦν, ἀλλ' ἢ τοῖς ἱερεῦσι μόνοις. Ἐδηλοῦτο δὲ δι' αὐτῆς τὸ πρακτέον, ἐφ' ὧν ἀνθρωπίνη κρίσις τὸ συμφέρον ἰδεῖν ἐξησθένει, οἷον ἐκχειρίαν θέσθαι πολεμίοις, ἢ τῷ δόρατι τὴν τοῦ πολέμου κρίσιν ἐπιτρέψαι, καὶ εἴ τι ἄλλο παραπλήσιον. Ἀλλὰ πρῶτον μὲν σημαινόμενον τοῦ ἐφοὺδ τοῦτο. Ἕτερον δὲ σχήματί πως τῷ εἰρημένῳ παρεοικὸς, κοινὸν δὲ, καὶ οὐχ ἱερατικόν· ὃ φαίνεται καὶ Δαβὶδ ἀμπισχόμενος. Ἐπὶ γὰρ Δαβὶδ, φησὶν, Ἐφοὺδ μόνον· ὃ ἔνιοι (βύσσου γὰρ ἐπεποίητο· φυτὸν δὲ ἡ βύσσος) στολὴν ἐκ τῆς ὕλης ὠνόμασαν βυσσίνην· οἱ δὲ τῷ τρόπῳ τῆς χρήσεως τὴν γένεσιν διδόντες τοῦ ὀνόματος ἐπωμίδα τε καὶ ἐπένδυμα. Παρὰ δὲ ταῦτα, ἔστι καὶ τρίτον ἰδεῖν σημαινόμενον. Οἱ γὰρ τῶν εἰδώλων θεραπευταὶ, κατὰ μίμησιν τῶν ἱερέων τοῦ Θεοῦ, τοῖς σφῶν ἱερεῦσι στολὰς ἀφωρισμένας ἐτίθεντο εἰς σχῆμα τοῦ ἐφοὺδ, τὸ ὕφασμα περιγράφοντες, καὶ τὴν κλῆσιν ἐκεῖθεν μεθέλκοντες, ἐφοὺδ καὶ αὐτὸ προσηγόρευον. Ἐκέχρηντό τε τῷ μιμήματι, δι' αὐτοῦ τὰ δαιμόνια· καὶ αὐτοὶ ἐπερωτῶντες εἰς τὴν τῶν πρακτέων κατάληψιν, καὶ καινὸν οὐδέν· ὥσπερ γὰρ τὸ, Θεὸς, ὄνομα, καὶ τὸ ἀληθῶς [c. m.] ὄντα σημαίνει, ἐφέρετο δὲ καὶ κατὰ τῶν ψευδωνύμων δαιμονίων· οὕτω καὶ τὸ ἐφοὺδ εἰς διάφορα διαιρεῖται σημαινόμενα. Οὐ τὸ, Θεὸς, δὲ μόνον ὄνομα πρὸς τἀναντία μερίζεται, ἀλλὰ καὶ τὸ Ὂν καὶ τὸ κάδδησιμ· τούτων γὰρ ἑκάτερον, καὶ τὸν κυρίως ὄντα, καὶ κυρίως ἅγιον, δηλοῖ· καὶ τοῖς λατρευταῖς τῶν δαιμόνων, ἐπὶ τιμῇ τῶν οἰκείων σεβασμάτων, καθ' ὃν δὴ τρόπον καὶ τὸ ἐφοὺδ, μετενήνεκται. Σὺ δέ μοι ψυχῇ καὶ σώματι ἔρρωσο.

Inter legendum observavimus ephod, de qua voce interrogas, tria significare: imprimis sacram et pontificalem stolam, qua uti nulli licuit, nisi sacerdoti. Illa significabatur quod agendum erat in C iis rebus, quo consilium humanum pertingere non poterat, nempe, an a bellis cessandum, an prælio erat decertandum, et similia? Et hæc principalis ephod significatio. Secunda, præcedenti fere eadem erat forma ephod, usus communis, et non sacerdotalis: eo amictus videtur David; ait enim: Ephod erat super David, quod e bysso fiebat [75] (erat autem byssus planta)[1]; stolam ex illa materia confectam byssinam nominabant: at qui nominis originem, usus modo et formæ ascribunt, vocant epomida, et ependuma. Est et tertia adhuc illius significatio: idolorum cultores, in imitationem sacerdotum Dei, sacerdotibus etiam suis stolas appropriaverunt, texturam earum in figuram D ephod conformantes, rem quoque ipsam vocarunt ephod. Hanc imitationem adhibuerunt dæmones: qui nihil novi ad rem intelligendam attulerunt: ut nomen, Deus, vere exsistentem significat, at de dæmonibus falsis diis usurpatur, sic et ephod in varia significata distribuitur. Neque nomen illud, Deus, tantum in discrepantia dividitur, sed ὄν et κάδδησιμ utraque vox, et proprie ens, et proprie sanctum significat: et non aliter quam ephod, a servientibus dæmoniis ad honorem eorum qui coluntur trahitur. Tu autem corpore et anima vale.

[75] II Paral. xv, 27

Digitized by Google

QUÆSTIO CIII [*Coisl.* CCLXVI *Taur.* CCLVII].

Quomodo non est contrarium illud : « Oculum pro oculo et deutem pro dente, » illi sententiæ : « Si quis te percusserit in unam maxillam, porrige illi et alteram (20). »

ΕΡΩΤΗΣΙΣ ΡΓ'.

Πῶς οὐκ ἔστιν ἐναντίον τὸ « Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος, » πρὸς τὸ, « Ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον καὶ τὴν ἄλλην. »

Edita a Montacutio, ep. 196, *ad Constant.*, p. 294. In Matth. v, 38, 39.

Lex illa qua præcipitur, « Oculus pro oculo, et dens pro dente », non adversatur, ut imperiti quidam arbitrantur, illi, « Si quis te in unam malam percusserit, obverte illi et alteram, » et quæ sunt ejus generis. Hæc enim judicem recte disponit, et lege lata intendit, ut impartialis sit erga litigantes, et injuriam passo ut satisfiat, qui pœnam poscit B infligendam afficienti injuria. Altera nec judicem respicit, neque lex est; ita enim contrairetur; sed injuriam qui patitur, ad comitatem incitat, et compassionem informat : idque agit, ut iracundiam superet et furorem, consilium philosophicum et accommodum adhibens. Nam vel non recuperat quod ablatum est ab eo : aut si recuperet, haud possidebit plus quam ab initio habebat. Sed qui per tolerantiam, comitatem, et compassionem, inimicum superat, post victoriam, monumentum sibi suscitat immortale virtutis suæ, et Judicem universalem propitium sibi et placatum reddit, dignum se præparans qui patiatur illa, quæ in proximum intendebat.

Οὐκ ἔστιν ἐναντίον, ὡς ἔδοξέ τισι τῶν μὴ σωφρονούντων, ἡ, « Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, » ζημιοῦσθαι προστάσσουσα νομοθεσία, πρὸς τὴν γνώμην· « Ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, » καὶ ὅσαι ταύτῃ παραπλήσιοι. Ἡ μὲν γὰρ τὸν κριτὴν ῥυθμίζει, καὶ πρὸς αὐτὸν ἀποτείνεται, ἀδίκαστον αὐτὸν τοῖς κρινομένοις παρέχειν νομοθετοῦσα, καὶ τῷ ἀδικουμένῳ τιμωρεῖν, τὴν ἴσην ἀπαιτοῦντα ποινὴν τὸν ἠδικηκότα. Ἡ δὲ, οὐ μὲν οὖν οὐκ ἔστιν πρὸς τὸν κριτὴν, οὐδὲ νόμος, οὐδὲ πολλοῦ γε καὶ δεῖ· οὕτω γὰρ ἂν ἦν ἐναντίον· ἀλλὰ τὸν ἀδικηθέντα παραινεῖ εἰς ἐπιείκειαν καὶ συμπάθειαν ἐπαλείφουσα καὶ κρείττονα παρασκευάζουσα ὀργῆς καὶ θυμοῦ φιλοσόφως λίαν καὶ ὠφελίμως εἰσηγουμένη τὴν συμβουλήν. Τὸ μὲν γὰρ στερηθὲν ἢ οὐκ ἔστιν ἀναλαβεῖν, ἢ ἀναλαβόντα οὐδὲν πλέον ἐστὶν τοῦ ἐξαρχῆς προσλαβεῖν. Ὁ δὲ δι' ἐπιεικείας καὶ συμπαθοῦς γνώμης περιγεγόνως τοῦ ἐχθροῦ, μετὰ τοῦ νικῆσαι λαμπρῶς καὶ ἀείμνηστον τῆς ἀρετῆς ἐγείρει μνημεῖον, καὶ τὸν κοινὸν κριτὴν εὐΐλατον ἑαυτῷ καὶ εὐμενῆ παρασκευάζει, ἑκεῖνα παθεῖν ἑαυτὸν ἄξιον εὐτρεπίσας, ἃ προσλαβὼν αὐτὸς τῷ πλησίον ἐπεδείξατο.

QUÆSTIO CIV [*Coisl.* CCLXVII, *Taur.* CCLVIII].

ΕΡΩΤΗΣΙΣ ΡΔ'.

Edita a Montacutio, ep. 203, *ad Theodor. legum.*, p. 300, 301. De Abele justo ante peccatorem Adamum vita functo (21).

Secretior omnis et profundior causæ ratio, apud C Deum seponatur : sed in quantum humano captui comprehendendam dare voluit, illam ego attulerim; quod idcirco Abelem virum justum, Adamo priorem, cum tamen princeps is peccaverat, et sententiam ideo mortis acceperat, morti traditum voluit, ut qui reatui subjacebat, per et in filio suo inculpato majorem tristitiam conciperet animo, et majorem monstraret pœnitentiam; ita ut cum minimo, in quantum fieri potuit, transgressionis debito hinc transiret : deinde ut puteum illum mortis profundum, per justi hominis eo introitum injuria affecti receptum redderet putridum et inanem. Quod si eum qui peccato reus fuit principem recepisset, firmum subjecisset ei firmamentum : sed abrepto illuc viro justo, putridum solum nec difficulter sub- D ruendum, nesciens tamen confecit. Tu autem porro in mentem advoca cogitando, an non status et ratio resurrectionis, tam longo præcedente intervallo præstruatur, et per mysterium præsignificetur? Si enim bonus ac justus Deus fuerit, aut utriusque potius fons et origo, haud immunerstum hinc abire virum justum ne ad horulæ unius spatium

Ὁ μὲν ἀπορρητότερος καὶ βαθύτερος τῆς αἰτίας λόγος ἀνείσθω Θεῷ· ἐξ ὧν γε διανοίας ἀνθρώποις ἔδωκε γενέσθαι ληπτὰ, φαμὲν, ὡς διὰ τοῦτο τὸν Ἄβελ δίκαιον ὄντα, πρὸ τοῦ ἐξημαρτηκότος Ἀδὰμ, καὶ τὴν ἀπόφασιν δεξαμένου, συνεχώρησεν εἰς θάνατον ἐλθεῖν· ἵνα μαθὼν ὁ ὑπόδικος ἐν τῷ ἀνευθύνῳ παιδὶ τὸ φοβερὸν τοῦ ἐπιτιμίου καὶ ἄφυκτον, πλέον τε τὸ ἄλγος εἰσδέξηται, καὶ τὴν μετάνοιαν ἐπιδείξηται· κἀκεῖθεν ἔλαττον ἀπέλθῃ τῆς παραβάσεως χρεωστῶν· ἔτι δὲ, καὶ ἵνα τοῦ θανάτου τὸ βάθρον, τὸν ἠδικημένον πρῶτον δεξάμενον σαθρὸν καταστῇ. Ὥσπερ γὰρ εἰ τὸν ὑπεύθυνον πρῶτον ἐδέξατο, στερρὸν ἂν θεμέλιον ὑπεβάλετο· οὕτω τὸν δίκαιον ἁρπασάμενος, σαθρὰν ἑαυτὸν ἔλαθε καὶ εὐπερίτρεπτον τὴν οἰκείαν κρηπῖδα πηξάμενος [h]. Σὺ δέ μοι σκόπει, καὶ εἴ πως [i] ὁ τῆς ἀναστάσεως διὰ τούτου προκαταβάλλεται καὶ μυσταγωγεῖται λόγος. Εἰ γὰρ ἀγαθὸς καὶ δίκαιος ὁ Θεὸς, μᾶλλον δι' ἀγαθότητος καὶ δικαιοσύνης πηγὴ, οὐκ ἂν ἀγέραστον ἀπελθεῖν καὶ πρὸ ὥρας τὸν δίκαιον εἴασεν Ἄβελ. Καὶ τί λέγω ἀγέραστον; ἀλλ' οὐκ ἂν ἀδίκως καὶ τὸ μεῖζον ἀνθ' ὧν ὤφθη θεοφιλὴς, οὐκ ἂν ὑπερείδειν ἀναιρούμενον· εἰ μή τις ἐκεῖθεν ἄλλη κατάστασις, καὶ βίος ἄλλος

VARIÆ LECTIONES.

[h] C. M. δεξάμενος. [i] *Ισ.* ωπως. C. M. εἴ πως.

NOTÆ.

(20) Cum hac quæstione conferendæ sunt ex præcedentibus qq. XXXVII et XLVI.

(21) Idem argumentum quæstione XI pertractatur.

Digitized by Google

ἀπέκειτο, ἐν ᾧ τῶν πραχτέων τὰς ἀμοιβὰς, καὶ τὰς ἀντιδόσεις, ἀφάτῳ πλούτῳ προνοίας εὐτρεπίσας, ταμιεύει. Οὐκοῦν οὐκέτι διαμφισβητήσεις, διὰ τί πρῶτος Ἄβελ, φίλος δικαιοσύνης γεγονὼς, πρῶτος τῷ θανάτῳ ἐλειτούργησεν. Εἰ δὲ καὶ πρὸς τὸν Ἐνὼχ ἀποβλέψεις, δικαιότατον γεγονότα, πλέον ἕξεις δι' ὧν οὐ ζητήσεις, πῶς τῶν δικαίων, μᾶλλον ἢ τῶν ὑπ' αἰτίαν, ὁ θάνατος ἐκυρίευσεν· ἀνώτερος γὰρ οὗτος ἐξ ἀρετῆς καὶ φιλοτιμίας Θεοῦ (καὶ ἵνα μὴ τὸ δυσθεώρητον ἔχωσιν αἱ σαὶ ἀπορίαι) τῶν τοῦ θανάτου βρόχων καὶ τῆς τυραννίδος ἐχρημάτισεν.

A pati debuit. Quid autem immuneratum dico? certe haud fuisset passus injuste aliquem tolli, nedum virum sui amantem, si non alius vitæ status, conditio alia reposita fuisset illi, ubi rerum a se gestarum retributionem et remunerationem per inexplicabiles divinæ providentiæ divitias præparatam disposuerat. Quocirca non est cur tu adhuc addubites, unde factum ut Abel justitiæ cultor omnium hominum princeps mortem famularetur. Quod si respexeris ad Enochum qui et ipse justissimus fuit, plus adhuc tibi suggeretur, cur non addubites, unde factum ut mors prius in justos quam in reos dominium exerceret : superior enim justus est propter virtutem et amorem Dei eximium (ne dubia a te proposita difficulter explicentur) laqueis mortis irretitus et ejus tyrannidem expertus fuisse dicitur.

ΕΡΩΤΗΣΙΣ ΡΕ'.

Περὶ τῆς περιτομῆς.

B

QUÆSTIO CV. [*Coisl. et Taur.* CXXVII.]

De circumcisione.

Edita a Montacutio, ep. 205, *ad Theodor. hegum.*, p 302-304.

Ἡ περιτομὴ τρία τινὰ πραγματεύεσθαί μοι δοκεῖ· ἓν μὲν, οἱονεὶ σημείῳ τινὶ καὶ σφραγῖδι τοὺς ἐκγόνους Ἀβραὰμ ἀφορίζουσα, καὶ τῶν λοιπῶν διαστέλλουσα ἐθνῶν· δεύτερον δὲ, ἐν ἑαυτῇ τὴν τοῦ θείου βαπτίσματος προδιατυποῦσα καὶ προαναχηρύττουσα χάριν καὶ δυνάμιν. Ὥσπερ γὰρ ὁ περιτεμνόμενος, εἰς λαὸν Θεοῦ διὰ τῆς σφραγῖδος πάλαι ἐχρημάτιζεν· οὕτως ὁ βαπτιζόμενος, σφραγῖδα τοῦ Χριστοῦ [1] ἐν ἑαυτῷ τυπωσάμενος, εἰς υἱοθεσίαν Θεοῦ ἀναγράφεται. Καὶ τρίτον, σύμβολον τῶν ἐν τῇ χάριτι καθισταμένων πιστῶν, οἱ τῶν σαρκικῶν ἡδονῶν καὶ παθῶν τὰς ἐπαναστάσεις, τῷ τιμητικῷ τῆς πίστεως λόγῳ καὶ πόνοις ἀσκητικοῖς ἐκτέμνουσι καὶ ἀπονεκροῦσιν· οὐ σῶμα τέμνοντες, ἀλλὰ τὴν καρδίαν· καὶ πνεύματι, οὐ γράμματι περιτεμνόμενοι· ὧν καὶ τὸν ἔπαινον οὐκ ἀνθρωπίνης ἐπικρίσεως δεῖσθαι, ἀλλὰ τῆς ἄνωθεν ἠρτῆσθαι ψήφου, Παῦλος ὁ θεῖος, ὁ τὰ τοιαῦτα μυσταγωγὸς, λαμπρᾷ τῇ φωνῇ διαμαρτύρεται. Εἰ δὲ τῷ κἀκεῖνο [k] δοκεῖ, ὡς γένους μὲν Χαλδαίων ἐχρημάτιζεν Ἀβραάμ· τὸ δὲ, καὶ μητράσι καὶ θυγατράσι καὶ ἀδελφαῖς ἐκθέσμῳ νόμῳ συνανεφύρετο. Ἵνα οὖν μὴ τοῖς πατρῴοις ἔθεσι μήτε αὐτὸς, μήτε τὸ ἐξ αὐτοῦ γένος, καταμιαίνοιτο, τέμνεται, φασὶ, τὴν ἀκροβυστίαν εἰς ἀθέτησιν τῆς τοιαύτης ἀῤῥητοποιίας, καὶ γίνεται αὐτῷ τῆς οἰκείας σαρκὸς ἡ περιτομὴ, διαίρεσις τῆς προσεχοῦς συγγενείας καὶ ἀποστροφὴ, ὅσα γε εἰς ὁμιλίαν γαμικήν. Οὐδὲ γὰρ οὐδ' ἦν φωράσαι τινὰ, μετὰ τὴν περιτομὴν, ἐν τοῖς ἐξ αἵματος Ἀβραὰμ ταῖς τοιαύταις ἐνισχημένον ἀῤῥητουργίαις· τῆς Χαλδαϊκῆς ἀκρασίας ἀδεῶς καὶ ἀνεπαισχύντως μακροῖς, καὶ μετὰ ταῦτα, χρόνοις τὰ τοιαῦτα δραματουργούσης. Ἀλλὰ τοῦτο μὲν ὡς φίλον ἑκάστῳ καὶ νομιζέτω· ἀφορισθῆναι μέντοι τὸ Ἀβραὰμ ἔδει γένος· πρῶτον μὲν, ἵνα μὴ τοῖς ἄλλοις ἔθνεσιν ἐπιμιγνύμενον, καὶ κατὰ μικρὸν τοῖς ἐκείνων τρόποις ὑποσυρόμενον, τῆς τε οἰκείας εὐσεβείας παρατροπὴν πάθῃ, καὶ τοῖς ἐκείνων λατρεύσῃ βδελύγμασιν· ἔπειτα, ἵνα τῆς θείας ὑποσχέ-

Tria præ se ferre videtur mihi circumcisio : primum, quod tanquam signum et sigillum Abrahami progeniem separaret, et a cæteris gentibus distingueret : secundum, in se divini baptismatis gratiam et efficaciam per figuram prædicabat. Veluti enim olim circumcisus, per sigillum in Dei populo censebatur, sic et baptizatus, Christi in se sigillum expressum habens, adoptatus inscribitur Dei filiorum albo : tertium, symbolum erat fidelium in gratia exsistentium, qui carnalium voluptatum et passionum insurrectiones tumultuosas excisorio fidei sermone, et asceticis laboribus abscindunt et mortificant : non corpus scindunt, sed cor : nec secundum litteram sed spiritum circumciduntur : quorum C laudatio non habet opus humano præconio, sed a Dei calculo dependet, ut Paulus harum rerum mystagogus clara voce testatur. Ulterius, et illud fortassis arriserit alicui, quod e gente Chaldæa oriebatur Abraham, ubi matribus, filiabus, et sororibus de consuetudine impia carnaliter miscebantur. Quocirca, ne per patulos mores vel ipsemet polluueretur, vel ab illo descendentes, circumcidebatur ei præputium, quo sic aboletur hujusmodi nefanda turpitudo, atque ita accrescebat ei suæ propriæ carnis circumcisio, ut divisio ab affinibus suis et consanguineis, ac quantum ad maritalem copulam spectabat, aversio. Non enim vel furtim quis post circumcisionem e sanguine Abraham infandis istiusmodi impediebatur : cum Chaldæorum lascivia affatim et impudenter ad multa post hæc sæcula D prostitueretur. Sed fruatur hic quisque judicio suo : certe erat necesse ut Abrahami progenies separaretur : inprimis, ne permista cæteris nationibus illarum moribus paulatim abduceretur, facta pietatis cultusque mutatione, et ita exsecrandis illarum sacris inserviret; secundo, ut promissionis divinæ apparens et cuicunque intelligibilis finis et perfectio redderetur, Abrahami semine in innume-

VARIÆ LECTIONES.

[1] C. M. τὸν Χριστόν. [k] C. M. εἰδέτω κἀκεῖνο.

Digitized by Google

rabilem multitudinem multiplicato et excrescente. Quod si cum cæteris nationibus permisti mansissent, veritas promissionis adimpleta non agnosceretur, nec multitudo tantæ esset admirationi, ubi separatim si agerent, et rempublicam privatam tuerentur. Tertio, quod ante alias causas censetur, quandoquidem Dei dilecto et diligenti Deum Abrahæ pactum fuerat : « In semine tuo benedicentur universæ mundi nationes [764]. » Hoc pactum a nullo progredi poterat, quam a Conditore, et ineffabili sua providentia ubique diffusa et disseminata omnes complectente : communis enim Formator solus poterat tam communem benedictionem impertiri. Enimvero, cum hoc ipsum Provisorem illum ad incarnationem, quod maximum est, destinaret; (quod ab omni retro æternitate divino et abscondito nutu ordinabatur :) ideo genus Abrahæ separatur, et a commistione eximitur aliarum gentium : ut Creator et Dominus naturam nostram ex illa stirpe assumeret, et similiter ac nos carnis et sanguinis particeps fieret, quo pacti et promissi veritas omnibus numeris, apud omnes consummaretur : nempe Christo Deo nostro, in quo gentes omnes benedictionis per gratiam participes fiunt, e lumbis illius per principia generationis humanæ descendente. Atque hæc quidem hactenus, secundum pietatis sensum : quin et illud tibi etiam liquere arbitror, quod circumcisio divino viro Abrahæ causa nequaquam fidei fuerat, nec illa secundum fidei ordinem censeri debeat; prius crediderat et cum illa fides anterior apud illum resedisset, sigillum hoc impressum accepit. Affirmare igitur, quod idcirco præputium abscindebatur, ut nudatus naturalibus ornamentis, sordes genitalis illa elueret, scio paganos et Judæos : sed deblaterant. Contra quos cum multa mihi dicenda suppetant, quæ abunde refellant hanc absurdam opinionem, hoc unicum edisseram, quod non illibenter audirem ita dictitantes, si contra fontem effluxionis seminalis, gladium vel cultellum adhibitum vidissent, vel contra ventrem, quem plurima immunditie, et abominabili adhuc magis repletum et subjectum sternunt.

σεως ἐναργὲς, καὶ πᾶσι γνώριμον τὸ πέρας δειχθῇ εἰς ἀναρίθμητον πλῆθος τοῦ ἐξ Ἀβραὰμ σπέρματος πληθυνομένου καὶ αὔξοντος. Οὐ γὰρ ἂν ὁμοίως τοῖς ἄλλοις ἔθνεσι συμφυρομένων τό τε τῆς ἐπαγγελίας ἀψευδὲς ἐγινώσκετο, καὶ τὸ τοῦ πλήθους παράδοξον ἐθαυμάζετο, ὥσπερ καθ' ἑαυτοὺς καὶ ἀφορισμένην τὴν πολιτείαν ἐχόντων. Καὶ τρίτον, ὃ καὶ τῶν ἄλλων ἐστὶν ἰδεῖν αἰτιώτατον, ἐπείπερ ὑπεσχημένον ἦν τῷ θεοφιλεῖ Ἀβραὰμ, ἐν τῷ σπέρματι αὐτοῦ πάντα τὰ ἔθνη εὐλογηθήσεσθαι. Τοῦτο δὲ δι' οὐδενὸς ἄλλου δυνατὸν ἦν προελθεῖν, ἀλλ' ἢ δι' αὐτοῦ τοῦ καὶ πλάσαντος, καὶ τὸ τῆς προνοίας ἄφατον, μέχρι καὶ αὐτῶν τῶν ἐπὶ γῆς καθιέντος καὶ ἐκχέοντος· ὁ γὰρ κοινὸς Πλάστης αὐτὸς μόνος καὶ κοινὴν τὴν εὐλογίαν χαρίζεσθαι. Ἀλλ', ἐπειδὴ τοῦτο πάλιν τὸ μέγιστον τῆς περὶ ἡμᾶς προνοίας εἰς ἐνανθρώπησιν τὸν Προνοητὴν ἐκάλει (οὕτω γὰρ ἄνωθεν καὶ πρὸ τῶν αἰώνων τοῖς θείοις καὶ ἀπορρήτοις προώριστο νεύμασι), διὰ τοῦτο τὸ Ἀβραμιαῖον γένος ἀφορίζεται, καὶ τῶν ἐθνῶν τῶν ἄλλων τῆς ἐπιμιξίας διακρίνεται· ἵνα τοῦ Δημιουργοῦ καὶ Δεσπότου τὴν ἡμετέραν φύσιν ἐξ αὐτοῦ προσλαμβάνοντος, καὶ παραπλησίως ἡμῖν σαρκὸς κοινωνοῦντος καὶ αἵματος, ἐπίδηλόν τε λίαν καὶ περιφανὲς ἅπασι τὸ τῆς ὑποσχέσεως ἀψευδὲς καταστῇ. Καὶ ὅτι Χριστὸς Θεὸς ἡμῶν, ἐν ᾧ πάντα τὰ ἔθνη τῆς ἐν χάριτι εὐλογίας κατηξιώθησαν, ἐκ τῆς ὀσφύος ἐκείνου τὰς πρώτας καὶ ἀνθρωπίνας ἀρχὰς οὐκ ἀπηξίωσεν αὐτῷ γενέσθαι τῆς κατὰ σάρκα γεννήσεως. Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα, οἱ εὐσεβεῖς λογισμοί. Κἀκεῖνο δέ σοι δῆλον οἶμαι καθεστάναι, ὡς τὴν περιτομὴν ὁ θεσπέσιος Ἀβραὰμ, οὔτε πίστεως ἔσχεν αἰτίαν, οὐ μὴν οὐδ' αὐτό γε τοῦτο τάξιν ἐπέχουσαν πίστεως· προεπίστευσε γὰρ, ἀλλὰ τῆς προϋπαρξάσης αὐτῷ μόνον σφραγῖδα ταύτην ἐδέξατο. Τὸ μέντοι γε λέγειν, ὡς διὰ τοῦτο περιετμήθη τὴν ἀκροβυστίαν, ὡς ἂν γυμνὸν γεγονὼς τῶν ἐκ φύσεως περιβλημάτων, τὸ παιδογόνον τῶν ἐκεῖθεν ῥύπων καθαρεύοι, οἶδα μὲν Ἑλλήνων παισὶ, καὶ τισιν Ἰουδαίων πεφλυαρημένον. Καὶ μυρία λέγειν ἔχων πρὸς αὐτοὺς τῆς ἀτόπου δόξης, τὸ τῶν ἐλέγχων ἄφθονον χορηγούσης, ἐκεῖνο μόνον ἐρῶ, ὡς ἡδέως ἂν αὐτῶν ἤκουον τοῦτο λεγόντων, εἰ κατ' αὐτῆς τῶν σπερματικῶν ῥευμάτων τῆς πηγῆς, πρῶτον τὸ ξίφος ἔβλεπον φέροντας, ἢ κατὰ γαστέρων, ἃς αὐτοὶ ἑαυτοῖς καὶ πλειόνων ἀκαθαρσιῶν καὶ βδελυρωτέρων ὑπονόμους ὑπεστήσαντο.

QUÆSTIO CVI [*Coisl.* et *Taur.* CXXVIII].

Quid significat redundantia verbi εἰμί (*sum*)?

ΕΡΩΤΗΣΙΣ ΡϚ'.

Τί σημαίνει ἡ τοῦ εἰμὶ *παρολκή;*

Edita a Montacutio, ep. 208, *ad Leonem philos.*, p. 305-306. Quæstio grammatica.

Abundantia vocis εἰμί, *sum*, in composita oratione, cum pronomine *ego* præcedente, frequens est in divinis Litteris, nec tamen crimen subit solœcismi : si de hoc dubites, recogita, Ἔνιοί τινες· Σφᾶς αὐτούς· Ἀπῆλθεν ἔχων, quæ redundant in Græcorum libris, et ita desiste addubitare : patet enim, quod ἔνιοι, cum voce τινές, σφᾶς, cum αὐτοὺς, non aliquid aliud significant, quam quod primis

Ἡ τοῦ εἰμὶ παρολκὴ, τῆς ἐγὼ ἀντωνυμίας κατὰ σύνθεσιν προηγησαμένης, σύνηθες μέν ἐστι τῇ θείᾳ Γραφῇ, ἀλλ' οὐδεμίαν διὰ τοῦτο σολοίκου γλώσσης αἰτίαν παρέχεται. Εἰ δέ γε διαμφισβητεῖς, ἐννοήσας τὸ, Ἔνιοί τινες· καὶ τὸ, Σφᾶς αὐτοὺς, καὶ τὸ, Ἀπῆλθεν ἔχων, ἃ τοῖς Ἑλληνικοῖς πλεονάζει γράμμασι, στῆσον σαυτὸν τῆς ἀμφισβήσεως. Δῆλον γὰρ ὡς τὸ, τινὲς, μετὰ τοῦ ἔνιοι, καὶ τὸ σφᾶς, μετὰ

[764] Gen. XII, 3.

Digitized by Google

τοῦ *αὐτοὺς*, οὐδὲν ἕτερον, ἀλλ' ὅπερ ἐδήλουν αὐτῶν αἱ προτεταγμέναι σημαίνουσι λέξεις. Τὸ δὲ τοιούτων[1] εὔδηλον, ὡς μία τίς ἐστιν ἰδέα τῆς παρολκῆς καὶ σχῆμα λόγου, ἀλλ' οὐ σόλοικος ἄγνοια· καὶ τὸ, *ἔχων* δὲ πολλάκις μετὰ τοῦ *ἀπῆλθες*, ἢ τοῦ *βαδίζεις*, ἢ τοῦ *σπεύδεις*, καὶ μετὰ πλειόνων ἄλλων, ἐν ὑποταγῇ συντιθέμενον, παρὰ τοῖς σοῖς σοφισταῖς οὐδὲν ὅλως σημαῖνον εὑρίσκεται, ἀλλ' αὐτὸ τοῦτο παρολκῆς ἐπέχον τόπον. Εἰ δὲ καὶ ἐγγυτέρας βούλει κατασιωπηθῆναι τοῖς παραδείγμασιν, οὐδὲ τοῦτο παρήσω. Αὐτοῦ γὰρ τοῦ *εἰμὶ* τὴν ἀπαρέμφατον ἔγκλισιν, καὶ τὴν *ἐκὼν* μετοχὴν, εἰς μνήμην ἀνειληφὼς (καίπερ ὀλίγοι τῶν Ἀττικιστῶν, οἷς οὐκ ἔστι τὸ *ἐκὼν εἶναι* τῶν συγγραμμάτων ἐν μοίρᾳ λαμπροῦ καλλωπίσματος), εὖ οἶδ' ὅτι σαυτὸν αἰτιάσῃ, ὅτι τοῖς ἐκείνων πόνοις ἐνομιλῶν, καὶ τὸ *εἶναι* βλέπων παρέλκον αὐτοῖς, τρανῶς πολλαχοῦ, καὶ οὐδὲν νοῆσαι· τολμήσας ποτὲ ὀνειδισμὸν σολοίκου φωνῆς, ἢ ὑπόνοιαν αὐτοῖς τὸ τοιοῦτον ἐμποιεῖν; Οὐκ ἐδυσωπήθης, διὰ τὴν τοῦ *εἰμὶ* παρολκὴν, τὴν (εἴπερ ἦν ταῦτα γλώσσης Ἑλληνίδος ἁμάρτημα) ὁμοίως ἑκατέροις ἐφαρμόζουσαν τοῦ σολοικίζειν γραφὴν, ὥσπερ ἐκ βαρβάρου ἐπιτάγματος κατὰ μόνης τῆς θείας ἡμῶν καὶ ἱερωτάτης μὴ καταψηφίζεσθαι Γραφῆς; Ἀλλ' οὖν εἰδώς σου τὸ τῆς γνώμης ἀδέκαστον, εὐελπίς εἰμι τοῦ λοιποῦ, οὐ μόνον μηκέτι σε τὰ τοιαῦτα ὑπ' αἰτίαν ὁρᾷν· ἀλλὰ καὶ εἴ τινες τολμῷεν παραπλησίως ἐξαμαρτάνειν, ῥᾳδίως αὐτοὺς μεθέλκειν, καὶ ἀναδιδάσκειν ὧν ἡ ἄγνοια (θράσους γὰρ ἀμαθία μήτηρ), εἰς τὸ πλημμελεῖν αὐτοὺς ἀνεπτέρου καὶ ἀνηρέθιζεν.

A vocibus designabatur. Et patet hanc unam esse speciem parolciæ seu redundantiæ. Figura est orationis, non solœca ignoratio : et sæpe ἔχων cum ἀπῆλθες substrata vox in compositione apud sophistas tuos nihil aliud notat quam βαδίζεις, σπεύδεις, etc., ad formam nimirum παρολκῆς. Sin per viciniora exempla vis ut silentium tibi imponatur, id non prætermittam. Vocis εἰμὶ infinitivum cum participio in memoriam revocans (licet pauci sint inter Atticistas, qui non ἐκὼν εἶναι, ut ornamento orationis utuntur), scio, teipsum culpabis, quod cum in eorum scriptis versatus fueris, ubi εἶναι sæpissime redundare deprehendes manifestissime, nec aliquid omnino significare, ausus fueris solœcismum iis imputare, aut in ejus venire suspicionem ? Cur B igitur non metuisti propter vocis εἰμὶ redundantiam (si esset in sermone Græco peccatum), quæ utrisque competit, ac si barbare loqueretur, sacram et divinam Scripturam incusare ? Sed cum intelligam incorruptum tuum esse judicium, spes me tenet bona, te hujusmodi locutionem dehinc non incusaturum : sed si qui sint qui illud ausi fuerint, te facile eos instructos in viam reducturum, quorum ignorantia (nam audaciæ mater est ignorantia) ad hoc modo delinquendum ipsos excitavit, et quasi alis instruxit.

ΕΡΩΤΗΣΙΣ ΡΖ'.

Διὰ τί τῷ τληπαθεῖ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσιν; C

QUÆSTIO CVII [*Coisl.*, *Taur.* CXXIX].

Cur laborioso Herculi poetæ Amaltheæ cornu in manibus ponant ?

Edita a B. de Montfaucon, *Biblioth. Coisl.* p. 547, et a Montacutio, ep. 209, *ad Leonem*, p. 506, 507.

Ἴσθι ὡς οὐ μόνον τῷ τληπαθεῖ Ἡρακλεῖ, ἀλλὰ καὶ τῷ λόγιῳ Ἑρμῇ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσι. Μὴ τοίνυν στρατείαις καὶ πόνοις σωματικοῖς ὅλον σεαυτὸν διδοὺς, τῶν καλῶν μαθημάτων ἀφίστασο, ἐκεῖθέν σοι ῥεῦσαι μόνον τὴν εὐδαιμονίαν τοῦ βίου οἰόμενος· ἀλλὰ καὶ ταῖς ἡμετέραις εὐγενέσι μούσαις, αἳ τῶν Ἑλληνίδων τοσοῦτον διαφέρουσιν, ὅσον ἐλεύθεροι φύσεις δούλων ἠθῶν καὶ κολακείας ἀλήθεια, δίδου κἂν ἐν μέρει τὰ σεμνὰ καὶ ἡδέα τῶν ᾀσμάτων κατεπᾴδειν σοι. Τὸ μὲν γὰρ Ἀμαλθείας κέρας καὶ τῷ Ἀχελῴῳ ποταμῷ, ὅτι τὴν ὑποκειμένην περιῤῥέων χώραν πάμφορον ἐργάζεται, τὸ ποιητῶν αὐτόνομον ἔθνος ἑτοίμως χαρίζονται. Καὶ οὐδὲν ἀνθρώπῳ μέγα τυχεῖν ὧν ἐκ φύσεως ἔχει καὶ τὰ ἄψυχα. Τὴν δ' ἀληθῆ καὶ θείαν εὐδαιμονίαν καὶ ἀνθρώπῳ πρέπουσαν, καὶ πρὸς ἣν ἡ D Ἀμάλθεια παρατιθεμένη νόσος καὶ πενία εὑρίσκεται, ἐκ μόνων ἔστιν τῶν θείων Λογίων καὶ τῆς ἐκεῖθεν γεωργίας ἀμήσασθαι.

Nosti, non solum laborioso Herculi, sed etiam erudito Mercurio Amaltheæ cornu poetas in manibus ponere. Ne igitur militiæ laboribusque corporeis totum te dedens, a bonis disciplinis absistas, ratus illinc tantum tibi orituram vitæ felicitatem : sed etiam nobilibus musis nostris, quæ tantum a Græcanicis illis differunt, quantum liberæ naturæ a servilibus moribus, et ab adulatione veritas, concede ut vel ex parte honesta dulciaque cantica tibi modulentur. Nam Amaltheæ cornu etiam Acheloo fluvio, quia subjectam terram circumfluens feracem reddit, libera poetarum natio libenter attribuit. Neque magni momenti homini reputatur, ea assequi quæ vel inanimata ipsa ex natura habent. Veram autem, divinam et homini convenientem felicitatem, cui comparata Amaltheæ morbus et paupertas esse deprehenditur, ex solis divinis Eloquiis, exque agricultura inde sumpta demetere licet.

ΕΡΩΤΗΣΙΣ ΡΗ'.

Τί ἐστι τὸ ἐξουσίαν ἔχειν τὴν γυναῖκα ἐπὶ τὴν κεφαλήν;

QUÆSTIO CVIII [*Coisl. et Taur.* CXXX].

Quid est mulierem habere potestatem in caput suum ?

Edita a Montacutio, ep. 210, *ad Eulamp.*, p. 307-309. Explanatio in I Cor. xi, 10.

Τὸ, ἐξουσίαν ἔχειν τὴν γυναῖκα ἐπὶ τὴν κεφα- Illud, « mulierem habere capitis sui potestatem, »

VARIÆ LECTIONES.

[1] C. M. 553 f. 180 τοιοῦτον.

Digitized by Google

non, ut prima facie verba sonare videntur, ita in præsenti usurpat divinus Paulus. Cum audimus, « potestatem habere, » forte dominationem et principatum quidam intelligent : at ille hic « potestatem habere » ponit pro « subdi et subjici potestati. » Utque quod dicitur manifestius fiat, et ad aliorum quæ abinde oriuntur, dubitationes solutio expediatur, dicendum : Mundi doctor viros inter orandum et prophetandum non velatis capitibus esse vult, mulieres autem velatis. Causam affert geminam, cur hoc præcipiat : « Vir caput suum tondit, aut etiam radit, » neutrum facere mulieri permittitur. Ita non perinde mulieri licet invelatum caput, ut viro licet. Vir « ne caput dedecoret, » non tegit. Non est enim cum ratione conjunctum, ut cum coma tollatur, quam natura dedit, externum asciscatur operimentum : mulieri decori est operimentum; caput dehonestat non modo tonsa, rasa, sed etiam non velata. Licet enim illud natura institutum, hoc autem a modestia et pudore sit : utrumque tamen capitis operimentum est : et veluti rasa naturale deponit operimentum, sic inoperta pudoris velamen et modestiæ tollit, «atque ita pari constat statu cum erasa. » Una igitur et eadem habetur causa, cur velari debeat illa, iste non item. Imo, re perspecta diligenter, haud ista subire causæ rationem dabunt; refutationem verò et negationem continere eorum, qui statutum vituperare volunt, et paria mulieres cum viris factitare volunt, propterea quod utrisque sit natura communis : sed sive causam inducant, seu redargutionem tollentium illorum, hæc tamen eo sensu dicuntur. Sententiam alteram hanc statuunt : Natura stat ut mulier sit subjecta viro : nam ab illo originem ortus sui ea derivat. Multis quidem aliis imperitat vir : illustrissimum ejus imperium et potestas eximia est in mulierem. Hoc sensu dicitur : «Viri gloria mulier est.» Cum ergo principatus viri apex mulier sit, debitrix est ea facere, quæcunque virum, ut principem, honorent. Faciet autem habens potestatem ipsius super caput, et declarans subjectionem, in eo quod proprium caput velet, illum autem reputet ejus caput, et in eum omnimodo tanquam caput, relationem habens. Impudens certe et ingratum opus est, non agnoscere illum principium et causam suæ exsistentiæ, et ut principi honorem tribuere : si nihil aliud, quæ multa sunt, recogitet, si detractet viri in se imperium, et suam subjectionem. At vero angelos, inquit, testes suæ a viro originis, æquum est ut metuat ac revereatur, et propter illos velamentum capitis gestare in signum suæ subjectionis. Nam hoc declarant illa : «Quocirca debet mulier potestatem habere in capite, propter angelos. » At non perinde vir eadem lege subjectionis tenetur : non est opus ergo ut caput tegat. Imo vero, inquit quis, cur vir, qui caput suum Christum habet, et cum sit ejus principatus pars gloriosissima (est enim vir imago et gloria Dei, ut et mulier ipsius

A λὴν, οὐχ ὡς τὸ πρόχειρον τῶν ῥημάτων νοεῖ, δίδωσιν, οὕτω νῦν ὁ θεσπέσιος Παῦλος ἐξείληφε. Καὶ γὰρ, ἐξουσίαν ἔχειν, ἀκούοντες, τὸ κατεξουσιάζειν καὶ κυριεύειν ἴσως τινὲς ἐξακούουσιν· αὐτὸς δὲ νῦν, ἐξουσίαν ἔχειν, φησὶ τὴν γυναῖκα, τὸ ὑπ' ἐξουσίαν τάττεσθαι καὶ τελεῖν. Καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, καὶ τῶν ἄλλων αἱ λύσεις, ἃ σοι κατὰ τὸ αὐτὸ χωρίον συνδιηπόρηται, ῥητέον ἐντεῦθεν· Τοὺς ἄνδρας ὁ τῆς οἰκουμένης διδάσκαλος ἀκαλύπτους ἔχειν τὰς κεφαλὰς ἐν τῷ προφητεύειν τε καὶ προσεύχεσθαι διατάσσεται, τὰς γυναῖκας δὲ κεκαλυμμένας. Καὶ τίθησιν αἰτίας δι' ἃς τοῦτο παρακελεύεται διττάς· « Ὁ ἀνὴρ, φησὶ, κείρεται τὴν κεφαλὴν καὶ ξυρᾶται· » γυναικὶ δὲ οὐδ' ἕτερον τούτων ποιεῖν θέμις. Οὕτως οὖν εἰ καὶ ὁ ἀνὴρ ἀκάλυπτον ἔχοι τὴν B κεφαλὴν, ἀλλ' οὐκέτι καὶ γυναικὶ τολμητέον. Ὁ μὲν γὰρ, ἵνα μὴ ταύτην αἰσχύνῃ, φυλάττει ἀκάλυπτον. Οὐ γὰρ λόγον ἔχει τὴν μὲν κόμην, ἣν ἡ φύσις δίδωσιν, ἀφαιρεῖν· ἔξωθεν δὲ περιβόλαιον ἐπινοεῖν· γυναικὶ δὲ χρέος τὸ κάλυμμα· καταισχύνει γὰρ τὴν κεφαλὴν αὐτῆς, ὥσπερ ξυρωμένη τε καὶ κειρομένη, οὕτω δὴ καὶ μὴ καλυπτομένη. Εἰ γὰρ καὶ τὸ μὲν ἡ φύσις προβάλλεται· τὸ δὲ, ἡ σώφρων αἰδώς· ἀλλ' οὖν ἄμφω κεφαλῆς περιβόλαια· καὶ ὥσπερ ἡ ἐξυρημένη τὸ φυσικὸν ἀπέθετο περιβόλαιον, οὕτω καὶ ἡ ἀκάλυπτος τῆς σώφρονος αἰδοῦς περιεῖλε τὸ ἀμφίασμα, καὶ γίνεται κατὰ τοῦτο ταυτὸν τῇ ἐξυρημένῃ. Μία μὲν οὖν αἰτία τοῦ τὴν μὲν δεῖν κατακαλύπτεσθαι, τὸν δὲ μηκέτι, αὕτη. Μᾶλλον δέ τις ἀκριβῶς C ἐπισκοπῶν, οὐδὲ αἰτίας ἀπόδοσιν ἐρεῖ ταῦτα· ἀναστροπὴν δὲ καὶ ἀναίρεσιν τῶν αἰτιᾶσθαι τὴν νομοθεσίαν ἐπιχειρούντων, καὶ τὰ αὐτὰ τοῖς ἀνδράσιν ἀξιούντων καὶ ἐν τούτοις πράττειν τὰς γυναῖκας διὰ τὴν κοινωνίαν τῆς φύσεως. Ἀλλ' εἴτε αἰτία, εἴτε τῶν αἰτιωμένων ἔλεγχος, τοιαύτη ἂν ἡ διάνοια εἴη. Δευτέραν δὲ τίθησι τοιαύτην· Ἡ γυνὴ, φησὶ, ὑπὸ τὴν ἐξουσίαν πέφυκε τελεῖν τοῦ ἀνδρός· ἐξ αὐτοῦ γὰρ ἔσχε κατὰ πρώτας τὰς σωματικὰς ἀρχὰς τῆς γενέσεως· καὶ πολλῶν μὲν ἐξουσιάζει καὶ ἄλλων ὁ ἀνὴρ· τὸ δὲ ἐνδοξότερον αὐτοῦ καὶ τιμιώτερον τῆς ἐξουσίας καὶ ἀρχῆς, ἡ γυνή ἐστι. Τοῦτο γὰρ λέγει· « Γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. » Ἐπεὶ οὖν τὸ ἐνδοξότερον καὶ ἐπισημότερον τῆς τοῦ ἀνδρὸς ἀρχῆς ἡ γυνή ἐστι, κεχρεώστηκεν ὅσα τιμῶσιν, ὡς ἀρχὴν, τὸν ἄνδρα D πράττειν. Πράττοι δ' ἂν ἔχουσα τὴν ἐξουσίαν αὐτοῦ ἐπὶ κεφαλῆς, καὶ ἐπιδεικνῦσα τὴν ὑποταγὴν ἐν τῷ καλύπτειν μὲν τὴν ἰδίαν· ἐκεῖνον δὲ κεφαλὴν αὐτῆς νομίζειν, καὶ εἰς ἐκεῖνον ὅλην ἑαυτὴν ὡς εἰς κεφαλὴν ἀναφέρουσαν ἀνατιθέναι. Ἀναίσχυντον γὰρ καὶ ἀχάριστον, μὴ οὐχὶ τοῦτον ἀρχὴν καὶ παραίτιον τῆς ὑπάρξεως εἰδέναι, καὶ τὴν ἀρχικὴν τιμὴν ἀπονέμειν. Εἰ γὰρ καὶ μηδὲν ἕτερον, πολλῶν ὄντων, ὑπολογίζοιτο, μηδέ τινας ἀνθρώπων αἰσχύνοιτο τὴν ἀρχὴν αὐτοῦ, καὶ τὸ ὑποτετάχθαι παραιτουμένη· ἀλλὰ τοὺς γοῦν ἀγγέλους, φησὶν, οἱ ἐπόπται καὶ μάρτυρές εἰσι τῆς ἐξ ἀνδρὸς γενέσεως αὐτῆς καὶ προόδου, δίκαια ἂν εἴη δυσωπεῖσθαι καὶ αἰσχύνεσθαι, ὑπόκεισθαί τε διὰ τοῦτο τῷ ἀνδρὶ, καὶ τῆς ὑποταγῆς σύμβολα, τὸ ἐπὶ τῆς κεφαλῆς κάλυμμα φέρειν. Τοῦτο γὰρ ἐδή-

Digitized by Google

λωσεν εἰπών, « Διὰ τοῦτο ἡ γυνὴ ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους. » Ὁ μέντοι γε ἀνὴρ, οὐκέτι τῷ αὐτῷ τῆς ὑποταγῆς ὑπόκειται νόμῳ· διὸ οὐδὲ χρείαν ἔχει καλύπτεσθαι τὴν κεφαλήν. Ἀλλὰ, Ναὶ, φησὶν, εἴποι ἄν τις, διὰ τί ὁ ἀνὴρ κεφαλὴν ἔχων τὸν Χριστὸν, καὶ τῆς ἀρχῆς αὐτοῦ τὸ ἐνδοξότατον ὑπάρχων (εἰκὼν γὰρ καὶ δόξα Θεοῦ, φησὶν, ὥσπερ καὶ αὐτοῦ χρηματίζει ἡ γυνὴ), οὐχὶ καὶ αὐτὸς κατακαλύπτει τὴν κεφαλήν; Πρὸς ὃν ἔστιν εἰπεῖν, ὅτι δι' αὐτὸ μὲν τοῦτο μᾶλλον οὐκ ὀφείλει κατακαλύπτειν, ἵνα καὶ αὐτὸς ἐν τῷ ἄρχειν καὶ ἐξουσιάζειν, ἀλλὰ μὴ τελεῖν ὑφ' ἑτέρους τὸν κοινὸν εἰκονίζων Δεσπότην δεικθῇ· οὗπερ ἐνδειξίς ἐστι τὸ φέρειν ἀκάλυπτον τὴν κεφαλήν. Ὅτι μὲν γὰρ ἄρχει Θεὸς καὶ κυριεύει, κεφαλὴ πεφηνὼς τοῦ ἀνδρὸς, οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ συμπάντων, οὐδεὶς ἀμφιβολίας λόγος. Διόπερ οὐδὲ συμβόλων εἰς τοῦτο καθέστηκε χρεία, τὴν ὑποταγὴν ἐνδεικνυμένων· πᾶσι γὰρ τὸ κατὰ πάντων αὐτοῦ κράτος, καὶ ἡ Δεσποτικὴ ἀνωμολόγηται κυριότης. Ὅτι δὲ γυναῖκα ὑπὸ τὴν ἐξουσίαν δεῖ τετάχθαι τοῦ ἀνδρὸς, οὔτε πᾶσιν ὁμοίως φανερὸν, αὐτήν τε εἰδέναι μάλιστα προσήκει καὶ τοῖς συμβόλοις ἐπιδεικνύναι. Ἔνιαι γὰρ καὶ τὰ σύμβολα περιφέρουσαι πολλῶν τε κατεξανίστανται, καὶ τὴν οἰκείαν τάξιν ἀμείβουσαι θορύβων καὶ ταραχῆς οὐ τὰς οἰκίας μόνον, ἀλλὰ καὶ πόλεις ἐπλήρωσαν. Εἰ δὲ μὴ τοῦτο ἦν, καὶ τὴν ὑποταγὴν μὴ προσετέτακτο φυλάττειν, τί ἂν ἐγεγόνει; Εὐλόγως ἄρα καὶ βιωφελῶς ὁ μακάριος Παῦλος τά τε ἄλλα διωρίσατο, καὶ σοφοῖς τε καὶ φυσικοῖς, ἀλλὰ καὶ πολιτικοῖς συγκατεσκευάσατο ἐνθυμήμασιν, ὡς ἀνδρὶ μὲν ἀκάλυπτον ἔχειν τὴν κεφαλὴν, γυναικὶ δὲ οὐχὶ θεμιτὸν μὴ κατακαλύπτεσθαι.

A est), non et ipse suum caput tegit? Cui respondendum, quod ob hoc ipsum tegendum illi caput non est, ut in imperando et potestatem habendo, non subjiciendo se aliis, communem Dominum exprimere ostendatur; est ejus ostensio caput suum opertum habere. Quod Deus imperet et dominetur, ut quod caput viri sit, non viri solius, sed et omnium rerum, non est in ambiguo positum. Quocirca, nec a symbolis opus est indicare subjectionem, cum opponatur apud omnes in confesso ipsius potestas, et dominatio principalis super omnia. Ast, quod mulier debeat viro supponi, non est ex æquo omnibus clarum, ipsam vero hoc fateri opus est, et per symbola idem declarare. Sunt enim quæ cum signa ea circumferant, a multis resiliunt, et B ordinem invertunt, unde turbæ et tumultus non privatas solum ædes, sed urbes repleverunt: quod nisi ita esset, ut subjectionem servare juberentur, quid non accideret? Quocirca cum ratione conjunctum, et e communi utilitate Paulus, cum alia dedit in mandatis, et sapientiæ plenis, non tantum physicæ, sed et politicæ enthymemasi definita circumscripsit, quibus vir nudatum caput, mulier autem velatum habere jubetur.

ΕΡΩΤΗΣΙΣ ΡΘ'.

Τί δηλοῖ τὸ, « Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, » κ. τ. λ;

C QUÆSTIO CIX [*Coisl. et Taur.* CXXXI].

Quid sibi vult illud: « Non si recte obtuleris, » etc.

Edita a Montacutio, ep. 211, *ad Constant.*, p. 309-313. Explanatio in Genes. IV, 7 (juxta interpretationem LXX virorum).

Τοῖς φιλομαθοῦσιν ἐγωγε (πῶς ἀνεπιφθονώτερον εἴπω;) χαρίεις εἰμί. Δι' ὧν ἠπορημένων σοι τὴν λύσιν, μετὰ τοῦ ῥᾳδίου σύντομον εὑρήσεις. Τὸ τοίνυν πρὸς τὸν ἀρχηγὸν τῆς ἀδελφοκτονίας εἰρημένον, « Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες, ἡσύχασον, » διαφόρους ἴσθι δυνάμενον δέξασθαι τὰς ἀναπτύξεις. Ὁ μὲν γὰρ ἀποφαντικῶς αὐτὸ εἰρῆσθαι ὑπειληφὼς, τοιοῦτόν τινα τὸν ἐν αὐτῷ θεωρήσειε νοῦν· Οὐκ ἂν ὀρθῶς προσενέγκοις, ὅτιπερ μηδὲ διεῖλες ὀρθῶς. Τουτέστιν. Ἐπεὶ μὴ διεῖλες ὀρθῶς, οὐδὲ προσήνεγκες ὀρθῶς· ἡ γὰρ ὀρθὴ προσένεξις τῆς ὀρθῆς ᾖρηται [m] διαιρέσεως· δι' ὃ ἥμαρτες, ἡσύχασον. Εἰ δέ τις οὐκ ἀποφαινόμενον, ἀλλ' ἐν τύπῳ προενηνεγμένον ἐρωτήσεως τὸν λόγον ἐκλάβοι (καὶ γὰρ καὶ τοῦτο μάλιστα ἐγχωρεῖ), τοιοῦτον εὑρήσει τὸν νοῦν· Οὐχὶ, φησὶ, κἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ ὅμως μὴ διέλῃς, ἥμαρτες; οἷον, Ἆρα γὰρ διότι ὀρθῶς προσήνεγκας, ὀρθῶς δὲ μὴ διεῖλες, οὐ δοκεῖς ἁμαρτεῖν; Οὐδὲν γὰρ ἴσως κωλύει ὀρθῶς μὲν προσενεγκεῖν, τὸν μὴ ἑτέρῳ τινὶ, μόνῳ δὲ θυσιάζοντα τῷ πάντων Θεῷ· μὴ μέντοι διι-

In eos qui discendi sunt cupidi, valde (ne quid magis invidiosum dicam) ego gratiosus et ab iis acceptus sum: quocirca quæstionum a te propositarum solutionem, et facilem et concisam recipies. Illud, ad eum qui princeps fratricidium invenit, dictum: « Si recte obtuleris, non recte diviseris, peccasti, quiesce: » multiplices, velim scias, admittet expositiones. Qui dictum putat assertive, talem sententiam latentem extundet: Haudquaquam recte offerre potes, quia non recte divisisti: hoc est: Quia minus recte divisisti, et minus recte obtulisti, nam recta oblatio pendet a recta distributione, quocirca peccasti et sis quietus. Quod si non assertive dictum, at interrogationis forma prolatum velit (nam et id videtur), tum hic sensus erit: D Nonne, licet recte obtuleris, et non recte diviseris, peccasti? ac si diceret: An igitur quia recte obtulisti, recte autem non divisisti, non videris peccasse? Nihil vetat illum recte offerre dici, qui Deo soli, qui super omnia est, sacrificium et non alii offert; at non statim recte dividere, cum non ob-

VARIÆ LECTIONES.

[m] *Ισ.* ἧρτηται.

NOTÆ.

(1) Eumdem textum exponit Photius supra, quæst. 71.

Digitized by Google

servet in dividendo congruentem legem. Qui sine reprehensione Deo vult servire, inprimis recte dividere, et similiter recte offerre debet. Quod si una periodo concludatur locus, taliusmodi subjacebit speculationi. Quod si non unam et simplicem, sed veluti e duabus contractam figuram hic quis agnoscet, et ad hunc modum periodum absolventem, ut partim elliptice, partim plenarie dicatur; nec ita vis infertur veritati, ita : Non, si recte attuleris, laudem consequeris, nisi et recte quoque diviseris : nam ut pietatem sapit recte offerre, ita non recte dividere impietatis reatum affert. Hæc est constructio istius dicti, hic sensus inde elicitus.

Verum ulterius, « recte offerre » per se manifestum est; « recte dividere» indiget ulterioris explicationis. Ille igitur recte dividit, qui dona non quæ-libet Deo sacrat, sed recto judicio illa discernit ac dividit, atque ita longe optima offert. Fieri enim non potest, quin omnium præstantissima et pretiosissima productori, datori et causæ universorum Deo debeant offerri et sacrari. Talis fuisse docetur Abel, animo puro et sincero Deum amans. Narratur de illo, quod « de primogenitis et pinguioribus oblationem tulit; » hoc est : illa quæ in primogenia productione, et in eo quod pinguia erant et altilia cæteris præstabant, obtulit. Nam de omentosis, bene pastis et pinguefactis, et multa sedulitate curata quæ fuerant, selectiora et optima dedit. Uterque frater studium in offerendo par habuit : at dividendi et eligendi optima, non erat par; sed Abel, ut recte obtulit, ita et recte divisit : Cain vel non recte obtulit, quia non recte divisit, vel si detur eum recte obtulisse, tamen in electione et separatione multum defecit; nam non præstantia, sed imperfecta obtulit. Id apparet quod in « ejus sacrificia Deus non respexit, » nec divinitus igne immisso, ut Abelis assumpsit : ita enim produnt factum, et inde convictum de non recte facta divisione. Atque ita se habet, « Nonne, si recte obtuleris, non et recte diviseris, peccasti? » Quod sequitur : *Quiesce*, quasi diceret ad peccantem, Sis apud te solum quietus, et diligenter considera absurditatem facti tui et per pœnitentiam peccato veniam acquire. Per quietem et sedatas passiones facilius id et discernitur et judicatur, quod prætermissum fuit. Sed et forte volebat reprimere illius impetum, quo ille misere ferebatur : « Peccasti, inquit, quiesce : » ne injustitiæ accumules aliam : insaniam in me tuam circumscribito, a fraterno sanguine et manus et mentem immunes præsta. At illud : « Ad te erit conversio ejus, et tu illi dominaberis, » vel de oblato munere dicitur, quasi vellet, Indignum est, quod ego acceptem, quocirca aversum est ad te, et tu illius dominus etiamnum eris, ut fuisti, priusquam offerretur : vel, non quod offerebatur, sed in quo

A ελεῖν ὀρθῶς, τὸν μὴ τηροῦντα τὸν πρέποντα τῇ διαιρέσει θεσμόν. Δεῖ δὲ τὸν ἀνεπιμώμως τοῖς θείοις ὑπηρετούμενον, ὀρθῶς τε προδιελεῖν, καὶ ὀρθῶς ὁμοίως προσενεγκεῖν. Ἀλλ' εἰ μὲν κατὰ μίαν περίοδον εἴη τὸ χωρίον τεθεωρημένον, τοιαύταις ἂν ὑπάγοιτο θεωρίαις. Εἰ δέ τις οὐχ ἁπλῆν καὶ μίαν, ἀλλ' οἷον ἐκ δύο τινῶν βραχυτέρων συγκειμένην, ὑπολάβοι τὸ τοῦ ἀποφαινομένου σχῆμα, καὶ οὕτω φυλάττουσαν τὴν περίοδον, καὶ τὸ μὲν αὐτῆς κατ' ἔλλειψιν, τὸ δὲ αὐτοτελῶς εἰρῆσθαι· οὐδ' οὕτω τῇ φύσει τῆς ἀληθείας λυμανεῖται· οἷον· Οὐχὶ ἂν ὀρθῶς μὲν προσενέγκῃς εὐδοκιμήσας, ἂν δὲ μὴ ὀρθῶς διέλῃς, ἥμαρτες. Καὶ γὰρ ὥσπερ τὸ ὀρθῶς προσενεγκεῖν εὐσεβές, οὕτω τὸ μὴ ὀρθῶς διελεῖν ἀσεβείας ὑπεύθυνον. Καὶ ὁ μὲν τῆς τοῦ ῥητοῦ συντάξεως λόγος, καὶ ἡ ἀπ' αὐτῆς ἀναφαινομένη διάνοια, ἐν τούτοις.

B Ἀλλὰ γὰρ τὸ μὲν, προσενεγκεῖν ὀρθῶς, αὐτόθεν δῆλον· τὸ δὲ, μὴ διελεῖν ὀρθῶς, ἴσως δεῖται σαφηνείας. Ἐκεῖνος τοιγαροῦν ὀρθῶς διαιρεῖ, ὁ μὴ τὰ τυχόντα δῶρα φέρων Θεῷ, ἀλλ' ὀρθῇ κρίσει διαιρούμενός τε καὶ διακρίνων, καὶ δωροφορούμενος αὐτῷ τὰ πολλῷ τῶν ἄλλων προφερέστερα. Πῶς γὰρ οὐχὶ τὰ πάντων ἐν ὑπεροχῇ τιμιώτερα, τῷ γενεσιουργῷ καὶ δοτῆρι καὶ πάντων αἰτίῳ τῶν καλῶν Θεῷ, μὴ προσῆκεν ἐξαίρειν καὶ ἱεροθυτεῖν; Τοιοῦτος δέδεικται καὶ Ἄβελ, εὐγνωμονῶν τε καὶ τὸ Θεῖον καθαρῶς φιλῶν· καὶ γὰρ εἴρηται περὶ αὐτοῦ, ὡς « Ἀπὸ τῶν πρωτοτόκων καὶ ἀπὸ τῶν στεάτων προσήνεγκεν· » τουτέστιν, ἃ τῶν ἄλλων ἔν τε τῷ πρωτότοκα εἶναι, καὶ ἐν τῷ, ὡς ἂν εἴποι τις, ἐστεατῶσθαι

C καὶ καταλελιπάνθαι διέφερε, ταῦτα προσέφερε. Τὸ γὰρ ἀπὸ τῶν στεάτων, τῶν εὐτραφῶν καὶ ἐστεατωμένων φησὶ, καὶ τῇ πολλῇ ἐπιμελείᾳ παρεχομένων τὸ ἐξῃρημένον καὶ ἄριστον. Ἀλλὰ τοῦ μὲν προσενεγκεῖν, ἀμφοῖν ἐγεγόνει ἡ φροντίς· τοῦ δὲ διελεῖν καὶ ἐκλέξασθαι τὰ ἀμείνω, οὐκέτι ὁμοίως ἀμφοῖν· ἀλλ' ὁ μὲν Ἄβελ, ὥσπερ διεῖλεν ὀρθῶς, οὕτω καὶ προσενήνοχεν· ὁ δὲ Κάϊν, ἢ οὐδὲ προσήνεγκεν ὀρθῶς, ὅτι μηδὲ διεῖλεν· ἢ εἰ καὶ δοίη τις ὀρθῶς προσενεγκεῖν, ἀλλὰ περί γε τὴν ἐξαίρεσιν καὶ ἐκλογὴν πλεῖστον

D ὅσον διήμαρτεν· οὐδὲ γὰρ τὰ κρείσσω, τὰ δὲ μὴ τοιαῦτα, προσήνεγκε. Καὶ δῆλον ἐξ ὧν τε « Θεὸς ταῖς αὐτοῦ θυσίαις μὴ ἐπέβλεψε, » μηδὲ πυρὶ θείῳ, ὥσπερ τὰ τοῦ Ἄβελ ὁλοκαύτωσε· τοῦτο γάρ τινες ἐκδεδώκασι, καὶ ἐξ ὧν τὸν ἔλεγχον τῆς οὐκ ὀρθῆς ἀπέτισε διαιρέσεως. Ἀλλὰ τὸ μὲν, « Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; » τοιοῦτον. Τὸ δὲ, *Ἡσύχασον*, ἵνα εἴπῃς πρὸς ἡμαρτηκότα, Ἡρέμησον κατὰ σεαυτὸν, καὶ διασκόπησον ἀκριβῶς τοῦ πεπραγμένου τὸ ἄτοπον, καὶ μετανοίᾳ τὸ ἁμαρτηθὲν ἐξιλέωσαι. Ἐν ἡσυχίᾳ γὰρ καὶ τῷ ἀταράχῳ τῶν λογισμῶν μᾶλλον συνορᾶται καὶ κρίνεται τὸ παροραθέν. Τάχα δὲ καὶ προανασείλλοντος ἦν τὴν ὁρμὴν τὴν ἐφ' ᾧπερ αὐτὸς ἀθλίως ἐκδέδηκεν· « Ἥμαρτες, φησὶν, ἡσύχασον· » μὴ πρόσθῃς ἕτερον τῷ ἀδικήματι· μέχρι τῆς εἰς ἐμὲ πλημμελείας περίγραψον τὴν ἀπόνοιαν, ἀδελφικῶν αἱμάτων μὴ τὰς χεῖρας μόνον, ἀλλὰ καὶ τὴν γνώμην καθαρὰν διαφύλαξον. Τὸ δὲ, « Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ,

Digitized by Google

καὶ σὺ αὐτοῦ ἄρξεις, » ἢ περὶ αὐτοῦ τοῦ προσενεχθέν- A
τος εἴρηται, οἷον, Ἀνάξιον, φησὶν, τῆς ἐμῆς ἐστι
προσφορᾶς, διὸ ἀποστρέφεταί σοι καὶ αὐτὸς αὐτοῦ,
ὥσπερ καὶ πρὶν ἢ προσενεχθῆναι κύριος ἔσῃ· ἢ
οὐχὶ τὸ προσενεχθὲν, ἀλλ' αὐτὸ τὸ διαμαρτη-
θὲν περὶ τὴν προσένεξιν ὁ λόγος δηλοῖ· τουτέστιν,
Σὺ τοῦ ἁμαρτήματος, οὐκ ἄλλος, γέγονας αἴτιος·
διὸ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ ἡ ἀναφορὰ πρὸς σὲ
ἐπανήξει, καὶ σὺ αὐτοῦ ἄρξεις ἀρχηγὸς ὀφθεὶς τῆς
περὶ τὸ Θεῖον ὀλιγωρίας, ἐξ οὗ καὶ τὰ λοιπὰ τῶν ἁμαρ-
τημάτων προέρχεται. Εἰ δέ τις εἴποι καὶ ὡς παρα-
ψυχῆς ἕνεκα τοῦτο εἴρηται (ἐλελύπητο γὰρ ὁ Κάϊν,
εἰ καὶ μὴ διότι ἡμάρτηκεν, ἀλλ' ὅτι τὸ ἧττον ἔσχεν
ἐπὶ ταῖς θυσίαις παρὰ τὸν ἀδελφὸν), οὐδὲ τοῦτο μα-
κρὸν τῆς ἀπείρου καὶ ἀνεξιχνιάστου φιλανθρωπίας
τοῦ Θεοῦ· ὡς ἂν εἴποι φιλόστοργος πατὴρ πρὸς B
ἡμαρτηκότα παῖδα, Μὴ συμπέσῃς, μηδὲ καταποθῇς
τῇ λύπῃ, τοῖς δώροις σε παρευδοκιμήσαντος τοῦ
ἀδελφοῦ· εἰ γὰρ καὶ ἐξ ὧν αὐτὸς ὁσίως ἔπραξεν δι-
καιοπρεπῶς προτετίμηται, ἀλλ' οὖν ἀποστραφήσεταί σοι πάλιν καὶ ὑπὸ σὲ ἔσται, καὶ τῷ προνομίῳ τῶν
πρωτοτοκίων αὐτὸς πάλιν τὸ πρεσβεῖον ἕξεις, ἂν μεταμελείᾳ σαυτὸν τοῦ πταίσματος ἀνορθώσῃς· ἀν-
αφαίρετον γὰρ ἔσται σοι τὸ κατ' αὐτοῦ κύρος, ὅπερ εἴληφας ἐξ ὧν πρῶτος τὰς μητρικὰς ἔλυσας ὠδῖνας.

Ἀλλὰ κατ' ἐπιστολὴν ἱκανὰ καὶ ταῦτα οἶμαι. Οἶδα Atque hæc suffecerint epistolæ. Novi quosdam
δέ τινάς ποτε τῶν παλαιοτάτων Ἰουδαίων γεγρα- res Judæorum antiquissimas memoriæ mandan-
φότας, οἳ τὸ ἐλλόγιμον τῶν ἄλλων ἔχειν ἐδόκουν, διὰ tes, qui ante alios scientia præditi visi sunt,
τοῦτο εἰρῆσθαι τὸν Κάϊν μὴ διελεῖν ὀρθῶς διότι ἀπὸ qui ideo existimant Cain minime recte divisisse
τῶν ἀψύχων, ἀλλ' οὐκ ἀπὸ τῶν ἐμψύχων, ὥσπερ ὁ dici, quia non a viventibus, ut Abel, sed ab inani-
Ἄβελ, τὰ δῶρα προσέφερεν (καθυστερεῖν γὰρ καὶ matis munera accepta dedit (multis enim modis
ἐλαττοῦσθαι πολλῷ τῶν ἐμψύχων τὰ ἄψυχα)· δι' ὃ inanimata cedunt animatis) : Deum itaque universa
καὶ τὸν τῶν ὅλων Θεὸν τοῦ μὲν ἐφησθῆναι τοῖς δώ- C illius dona animata accepta habuisse, hujus sacrifi-
ροις ὡς ἐμψύχοις, τοῦ δὲ τὴν θυσίαν ὑπεριδεῖν ὡς ἐκ cium rejecisse, quod de inanimatis appararetur.
τῶν ἀψύχων εἰσκεκομισμένην. Ἀλλ' εἴπερ οὕτως εἶ- Sed si id ita fiet, haudquaquam divisio, sed ipsum
χεν, οὐκ ἂν ὁ Κάϊν τὴν διαίρεσιν, ἀλλ' αὐτὴν ἂν τὴν sacrificium accusaretur, quod non animalia pro
θυσίαν ὠνειδίζετο, ὅτιπερ ἀντὶ τῶν καρπῶν μὴ ζῶα frugibus offerret. Sed non videtur hoc divina illa
προσήνεγκεν. Ἀλλ' οὐδαμοῦ φαίνεται τοῦτο ἡ θεία voce increpatum; de donis non accusat, reprehen-
καταμεμψαμένη φωνή· ἀλλὰ τῶν μὲν δώρων οὐδὲν dit tantum divisionem. Certe si ab initio agricola-
ἠτιάσατο, ὑπὲρ δὲ τῆς διαιρέσεως τὴν μέμψιν ἐπ- tionem ille, pastoritiam iste sequebatur, a ratione
ήνεγκεν. Ἀλλ' ὥστε δὲ εἰ ὁ μὲν ἀπαρχῆς βίον τὸ γη- omnino alienum est existimare Cainum in culpa
πονεῖν, ὁ δὲ τὸ ποιμαίνειν ἐτίθετο, πῶς οὐκ ἄλογον fuisse, quia non de alienis, sed de suis oblationem
ὑπολαμβάνειν ὑπ' αἰτίαν γενέσθαι τὸν Κάϊν, διότι offerebat. Addere licet, quod non in offerendo, sed
μὴ ἀπὸ τῶν ἀλλοτρίων, ἀλλ' ἀπὸ τῶν οἰκείων προσ- in eligendo vitæ instituto accusandus erat : quia
ήνεγκεν; Κἀκεῖνο δέ τις προσθείη, ὡς οὐκ ἐν τῇ προσ- agriculturam elegerit, et fratri reliquerit pasturam.
ενέξει τῆς θυσίας μᾶλλον, ἀλλ' ἀπαρχῆς τῆς τῶν βίων Differentia quippe institutæ vitæ causam dedit et
αἱρέσεως ἔδει τὸν μὲν φαυλίζειν ὅτι γηπονεῖν εἵλετο, D principium, quod opinantur illum peccasse, dum
τὸν δὲ ποιμαίνοντα ἀποδέχεσθαι. Τὸ γὰρ τῶν ἐπιτη- de fructibus sacrificium offerret, cum ille laudetur,
δευμάτων διάφορον ἀρχὴ καὶ αἰτία καθέστηκεν τοῦ qui animalia dedit. Sed deinceps etiam in lege, quo-
τὸν μὲν, ὡς ἐνόμισαν, ἁμαρτεῖν καρποῖς θυσιάζοντα, modo simila, aristæ, panes propositionis ad obla-
τὸν δὲ παρευδοκιμῆσαι ζῶα τὰ δῶρα ποιούμενον. tiones divinas deputabantur? Quod si « valde bo-
Πῶς δὲ κἂν ταῖς νομοθεσίαις ὕστερον σεμίδαλίς τε na » non aliquæ tantum res creatæ, sed universim
καὶ στάχυες καὶ ἄρτοι προθέσεως εἰς προσφορὰν Θεῷ omnia verbo Conditoris commendantur, quæ ratio
ἐλογίζοντο; Εἰ δὲ καὶ « καλὰ λίαν » οὐχί τινα τῶν suaserit ut fructus e terra, quæ humanæ alitioni
δημιουργημάτων, ἀλλὰ πάντα τῷ γενεσιουργῷ λόγῳ tum deputabantur, inhonoranda aut vilia despue-
εἴρηται, καὶ πεποίηται, τίνα λόγον ἔχει, τοὺς ἀπὸ rentur? Quocirca priorem illam expositionem lon-
γῆς καρποὺς, καὶ ἃ μᾶλλόν ἐστιν ἀνθρώπῳ τροφὴ, ge prætulerim hac adjectitia. Nam ista, iis quibus
ἐν ἀτίμῳ μοίρᾳ καὶ βδελύγματι τὸν δημιουργήσαν- ratio ignoratur puri nostri et sine sanguine sacrifi-
τα παραπέμπεσθαι; Διὸ τῆς τοιαύτης ἐπιβολῆς τὴν cii, quodammodo videtur consentire : unde apo-
προτεθεωρημένην ἐξήγησιν μᾶλλον ἐγκριτέον. Αὕτη stata Julianus ille contra religionem scribens, cum
γὰρ καὶ οἷς ὁ τῆς καθαρᾶς ἡμῶν καὶ ἀναιμάκτου stulta et ridicula proferret, videbatur tamen non
θυσίας λόγος ἠγνόηται, δοκεῖ πως ᾄδειν ὁμόφωνα· inepte nec absurde Christianos reprehendere, quod
ἐξ ὧν καὶ ὁ τῆς ἀποστασίας Ἰουλιανὸς κατὰ τῆς εὐ- nequaquam Numen animalibus cæsis honorarent.

Digitized by Google

σεβείας γράφων, ἀλλόκοτα μὲν καὶ μωρὰ γράφων, ὅμως ἔδοξέν τι σοφὸν καὶ δυσεπιτίμητον τίτιᾶσθαι Χριστιανοὺς, ὅτι μὴ ζωοθυσίαις τὸ θεῖον γεραίρουσιν.

QUÆSTIO CX [*Coisl. et Taur.* CXXXII]. ΕΡΩΤΗΣΙΣ ΡΙ'.

Edita a Montacutio, ep. 213, *ad Euschemon.* p. 313, 314. De Christi apparitione in Hierosolymis promissam in Galilæa apparitionem prævertente.

Promissum prævenit Servator propter discipulorum parvanimitatem : et ante accessum in Galilæam apud Hierosolymas se manifestat : non in hoc promissum suum violavit, nec longe differtur, quod propter magnam misericordiam tam cito adimplebatur. Si quis animo perverso veritatem in mendacium vertere velit, et dicat non esse veracis, promittere visionem in Galilæa, illam vero Hierosolymis exhibere : consideret, quod ubi dixerat Servator se fruitionem beatæ ipsius visionis in Galilæa exhibiturum, et omnino non exhiberet : vel si adjiceret Hierosolymis haudquaquam ipsum visuros, et tamen viderent, non sine justa forsitan ratione quis de mendacio postularet. Quod si Galilaicam apparitionem præmittens et illam præstitit, ac etiam in Hierosolymis addiderit aliam, ubi mendacii processus, licet in exili phantasia relinquatur? Imo quare non potius veritatis duplex erit adimpletio, illius quam promisit, et ejus quam sine promisso præstitit? Sed ulterius adverte : si simpliciter discipulis pollicitus esset se visum iri in Galilæa, et ille prius alicubi videretur, in confesso erit non mentitum. Sin abeuntes diceret visuros, at illi non abirent, quippe qui miraculum illud resurrectionis nequaquam firmiter credentes, ut, relictis Hierosolymis, illum in Galilæa videndum exspectarent : quomodo non irrationalis est opinio de mendacio et sycophantia? Sed et absque istis prædictis, intueri inprimis oportet, quod, licet Hierosolymis adfuit, et visus est discipulis suis Servator, non tamen principaliter illi eum intuebantur. Qui enim possent, qui se spiritum videre putabant? Quod si autem postea credebant, tamen nec illud magnum fuit. Quid enim præter hoc, « Spiritum carnem et ossa non habere[76], » quod, qui mortem obierat, resurrexit? Quocirca illos increpans ait : « Quid turbati estis? Quorsum cogitationes ascendunt in corda vestra[77]? » Hoc non erat eorum qui animis fuerant confirmati, qui immobilibus veritati rationibus adhærebant. In Galilæa revera viderunt eum, ibidem revelato modo manifestabatur : quod quem intuebantur oculis, ipse esset, « qui mortis dominium spoliaverat[78]; » ipse, « qui rerum omnium quæ in cœlo sunt ac in terra potestatem acceperat et dominium[79], » quando summam et excelsam apostolatus dignitatem super orbem universum collatam accipiebant. Quare doctorem suum discipuli revera in Galilæa videbant, Dominum et cum potestate omnibus imposi-

A Συντέμνει τὴν ὑπόσχεσιν ὁ Σωτὴρ, διὰ τὴν ὀλιγοψυχίαν τῶν μαθητῶν· καὶ πρὸ τῆς Γαλιλαίας ἐν αὐτοῖς Ἱεροσολύμοις αὐτοῖς ἐμφανίζεται· καὶ οὐ δήπου τοῦτο τῆς ἐπαγγελίας ὑπάρχει παράβασις, οὐδὲ πολλοῦ δεῖ· ταχεῖα δὲ μᾶλλον ἐκ πολλῆς φιλανθρωπίας ἐκπλήρωσις. Εἰ δ' ἔτι τις ἀγνωμονῶν εἰς ψεῦδος ἕλκειν τὴν ἀλήθειαν ἐκβιάζοιτο, οὐκ εἶναι λέγων ἐπαληθεύοντος, ἐν μὲν τῇ Γαλιλαίᾳ παρασχεῖν τὴν ὄψιν ἐπαγγείλασθαι, ἐν Ἱεροσολύμοις δὲ ταύτην δωρήσασθαι· ἐκεῖνο μᾶλλον συνιέτω, ὡς, εἴπερ εἰπὼν ὁ Σωτὴρ, ἐν τῇ Γαλιλαίᾳ δοῦναι τοῖς μαθηταῖς τὴν ἀπόλαυσιν τῆς μακαρίας θέας [n] ἐκείνης, εἶτα μηδ' ὅλως παρέσχεν· ἢ προσθεὶς ἐν Ἱεροσολύμοις μηδαμῶς αὐτοῖς ὀφθῆναι, ἔπειτα ὤφθη, οὐκ ἂν ἀφρόνως λίαν εἰς ὑπόνοιάν τις ἐξεφέρετο τοῦ ψεύδους· εἰ δὲ B τὴν ἐν τῇ Γαλιλαίᾳ ἐπιφάνειαν προαγγείλας, καὶ ταύτην ἐπλήρωσε, καὶ τὴν ἐν Ἱεροσολύμοις ἐχαρίσατο, ποῦ τῷ ψεύδει πάροδος, κἂν γοῦν ἐν ψιλῇ τινι καταλείποιτο φαντασίᾳ; Μᾶλλον δὲ, πῶς οὐκ ἔστιν, ὡς ἄν τις εἴποι, διπλῆ τις τῆς ἀληθείας ἐκπλήρωσις, ὧν τε ὑπέσχετο, καὶ ὧν μηδὲ ὑποσχόμενος ἐχαρίσατο; Ὅρα δὲ κἀκεῖνο· εἰ μὲν ἁπλῶς ἦν προαγγείλας ἐν τῇ Γαλιλαίᾳ τοῖς μαθηταῖς ὁραθήσεσθαι, ὁ δὲ ἀλλαχοῦ πρότερον ὡράθη, συγχεχωρείσθω καὶ μηδὲ χώραν ἔχον τὸ ψεῦδος. Εἰ δὲ ἀπελθόντας ἔφη ὄψεσθαι, οἱ δὲ οὔπω παρεγένοντο, οὐδὲ γὰρ ἦν αὐτοῖς ἐνεστηριγμένον τὸ τῆς ἀναστάσεως θαῦμα, ἵνα τὸν ἀναστάντα, τὰ Ἱεροσόλυμα λιπόντες, εἰς τὴν Γαλιλαίαν ἰδεῖν προσδοκήσωσι· πῶς οὐκ ἀσύνετος σφόδρα τῆς ἐπὶ τῷ ψεύδει συκοφαντίας ἡ δόξα; Χωρὶς δὲ τῶν εἰρημένων συνορᾷν μάλιστα δεήσει, ὡς κἂν C ἐν Ἱεροσολύμοις ἐπέστη, καὶ ὤφθη τοῖς μαθηταῖς ὁ Σωτὴρ, ἀλλ' οὖν οὐ κυρίως ἐκεῖνοι τοῦτον ἐθεάσαντο· πῶς γὰρ ἑώρων, οἵ γε πνεῦμα θεωρεῖν ἐδόκουν; Εἰ δὲ καὶ ὕστερον ἐπίστευον, ἀλλ' οὐδὲ οὕτω μέγα· τί γὰρ, πλὴν ὅτι « Πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, » καὶ ὅτι αὐτὸς ὁ θανατωθεὶς καὶ ἀνέστηκε; Διὸ καὶ ἐπιτιμῶν αὐτοῖς ἔλεγε· « Τί τεταραγμένοι ἐστὲ, καὶ διὰ τί λογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; » ὅπερ οὐκ ἦν ἐστερεωμένων ταῖς γνώμαις, οὐδ' ἀκινήτοις χρωμένων περὶ τὴν ἀλήθειαν τοῖς λογισμοῖς. Ἐν τῇ Γαλιλαίᾳ δὲ ἀληθῶς ἐθεάσαντο καὶ εἶδον· ἐκεῖσε γὰρ αὐτοῖς ἀποκαλυφθὲν ἐτρανώθη, ὡς ὃν βλέπουσι καὶ ὁρῶσιν, αὐτὸς μέν ἐστιν « ὁ τοῦ θανάτου σκυλεύσας τὸ κράτος· αὐτὸς δὲ ὁ πάντων D ἅπασαν τῶν ἐπὶ γῆς καὶ οὐρανῷ, τὴν ἐξουσίαν καὶ κυριότητα ἀναδεδεγμένος [o] · » ὅτε καὶ τὸ μέγα καὶ ὑψηλὸν τῆς ἀποστολῆς ἀξίωμα, τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην περιεβάλοντο. Τοιγαροῦν, ἐν τῇ Γαλιλαίᾳ

[76] Luc. xxiv, 39. [77] ibid. 38. [78] Hebr. ii, 14. [79] Matth. xxviii, 18-20.

VARIÆ LECTIONES.

[n] C. M. θεωρίας. [o] C. M. ἀναδεδειγμένος.

Digitized by Google

τὸν διδάσκαλον, ὡς ἀληθῶς, οἱ μαθηταὶ ἐθεάσαντο· Κύριον γὰρ καὶ ἐξουσιαστὴν τοῦ παντὸς, τῆς τε χάριτος τοῦ παναγίου Πνεύματος χορηγὸν, καὶ τῶν ἄλλων ἀγαθῶν ταμίαν τότε μᾶλλον ἢ πρότερον διδαχθέντες, κατενόησαν. Παναληθῶς ἄρα καὶ θεοπρεπῶς ἔφη ὁ Χριστὸς, κἂν ἐν Ἱεροσολύμοις ἑαυτὸν προϋπέδειξεν, ὅτιπερ οἱ μαθηταὶ τὴν Γαλιλαίαν καταλαβόντες, ἐκεῖ αὐτὸν ὄψονται.

tum divinæ Spiritus sancti gratiæ elargitorem : aliorum quoque bonorum promum condum : quod clarius quam antea cognoscebant. Quocirca verissime et divine dixit Christus, utcunque se præostendebat Hierosolymis, quod ipsum, cum venissent in Galilæam, visuri erunt

ΕΡΩΤΗΣΙΣ ΡΙΑ'.

QUÆSTIO CXI [*Coisl. et Taur.* CXXXIII].

Edita a Montacutio, ep. 214, *ad Stephanum*, p. 315-317. In psal. cxxxiv, 15, et psal. cxv, 4, juxta LXX.

« Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον ἔργα χειρῶν ἀνθρώπων. » Τί δὲ τὰ σπονδεῖα τῆς τῶν Χριστιανῶν θρησκείας, καὶ οἱ κρατῆρες, καὶ αἱ θυῖσκαι, καὶ οἱ τοῦ σταυροῦ τύποι καὶ μυρία ἄλλα; ἐῶ γὰρ εἰπεῖν τῆς Μωσαϊκῆς θυσίας τὰ σύμβολα· οὐχὶ ἄργύριον, καὶ χρυσίον, καὶ ξύλα, καὶ χρώματα, καὶ ἔργα χειρῶν ἀνθρώπων; Μὴ γένοιτο· οὐ γὰρ ἀργύριόν εἰσιν, ἀλλ' ἐξ ἀργύρου· οὐδὲ χρυσίον, ἀλλὰ χρυσοῦ πεποιημένα· οὐδὲ ξύλα, ἢ χρώματα, ἀλλ' ὕλην μὲν ἔχει ταῦτα. Ἕτερον δέ τί ἐστιν ἐκ τούτων, θαυμάσιον οἷον συντετελεσμένον· οὐ μὴν οὐδ' ἔστι χειρῶν ἀνθρώπων παιζόντων περὶ τὴν ὕλην, χωρίς τε πάσης ἐνεργείας θείας τὸ παρεμπίπτον αὐτῶν ταῖς διανοίαις ἀναπλαττόντων. Διὰ τοῦτο, τὰ μὲν οὐδὲν ἕτερόν ἐστι πλὴν αὐτὴ ἡ ὕλη περιυβρισμένη, καὶ ὁ τῶν ἀνθρωπίνων χειρῶν ἀνεπίσκεπτός τε καὶ ἀλόγιστος πόνος· τὰ δὲ μορφάζεται μὲν ἐπὶ τῇ ὕλῃ, καὶ τὴν χεῖρα ὑπηρετοῦσαν ἔχει, ἀλλ' ἄνωθεν κινουμένην· ὑπηρετεῖται γὰρ ταῖς ἄνωθεν ἐπιπνοίαις καὶ λογισμοῖς ἔμφροσι, καὶ πρὸς τὴν εὐσεβῆ κρίσιν ἀνηγμένοις. Προσύχες P, Εἰκονομάχε, καὶ μὴ ἐπαισχυνθῇς μαθεῖν, δι' ὧν αἰσχύνης φρικτῆς ἀπαλλάττῃ q, καὶ δίκην ἄφυκτον φυγεῖν ἐξευρήσεις. Ὥσπερ δὲ τὰ ἡμέτερα σπονδεῖα καὶ οἱ κρατῆρες, καὶ αἱ θυῖσκαι, καὶ οἱ τοῦ σταυροῦ τύποι, καὶ τὰ παραπλήσια, οὐ χρυσὸς, οὐκ ἄργυρος, οὐδὲ ξύλων, ἢ χρωμάτων ὕλη, οὐδ' ἔργα χειρῶν ἀνθρώπων· οὕτως οὐδὲ τὰ ἱερὰ ἡμῶν τῶν εἰκονισμάτων ἐκτυπώματα, οὐκ ἔστιν ἀργύριον, οὐδὲ χρυσίον, οὐδὲ χαλκὸς, οὐ μὴν οὐδὲ χρώματα οὐδ' ἔργα (μήτι γένηται!) χειρῶν ἀνθρωπίνων. Τῆς γὰρ ἀνέκαθεν ἀποστολικῆς τε καὶ πατρικῆς παραδόσεως, τὸ θεῖον καὶ ἀδιάπτωτον κήρυγμα, οἷόν τις ἔμπνους σοφία, τὴν ὕλην ἀπολαμβάνουσα, καὶ κατὰ τοὺς ἰδίους καὶ ἱεροὺς θεσμοὺς ἐργαζομένη, ταύτην καὶ τεχνιτεύουσα, εἰκονίζει τε καὶ μορφοποιεῖ οὐδὲν τῆς ὑλικῆς ἀκοσμίας, ἢ τῆς ἀνθρωπίνης περιεργείας, ἐν αὐτοῖς ἐῶσα παῤῥησιάζεσθαι· ὅλον δὲ τὸ ἔργον ἑαυτῆς δεικνῦσα καὶ ἀποφαίνουσα καθαρὰς ἡμῖν καὶ ἀκιβδήλους ἐν τοῖς σεπτοῖς εἰκονίσμασι τὰς τῶν πρωτοτύπων ἐμφάσεις ἱεροπρεπῶς τε καὶ ἱεροτύπως παρέχεται.

Ἔχεις οὖν, ὡς ἐν βραχέσιν, οἶμαι, δι' ὧν τε σαυτὸν τὴν προγονικὴν εὐσέβειαν καρποφοροῦντα μᾶλλον ἐπιδείξεις, καὶ τοὺς αἱρετίζοντας ἐπιστομίσεις. Τῷ μὲν γὰρ τῆς ὕλης λόγῳ καὶ τῷ ὑποκειμένῳ, ὥσπερ τράπεζα Θεοῦ, καὶ τράπεζα δαιμονίων,

« Idola gentium argentum et aurum, opera manuum humanarum. » Vasa libatoria in religione Christiana, crateres, thuribula, crucis effigies, et sexcenta alia : prætermitto enim symbola Mosaici sacrificii ; nonne argentum sunt et aurum, ligna, colores, opera manuum humanarum ? Imo absit, argentum non sunt, sed argentea, non aurum, sed ex auro facta, non ligna, non colores, sed materiem illam habent. Aliud est ex istis, quod perficitur opus mirum : non sunt manuum humanarum in materia ludentium, et sine omni operatione divina id quod cogitationem subierit fabricantium. Quocirca illa nihil aliud sunt. quam materia contumeliose tractata, et manuum humanarum labor sine ratione et consideratione ulla : ista autem efformata in materia, et manus habent subministrantes, sed motas a cœlo : nam subservitur cœlestibus inspirationibus, et rationi prudenti, et judicium pietatis promoventibus. Attende, Iconomache, nec ediscere te pudeat illa per quæ liberaberis a pudore terribili, et unde rationem inibis judicium inevitabile declinandi : veluti cum libatoria nostra, calices, et thuribula, crucis figuræ, ac similia, non sunt aurum, non argentum, non lignorum, non colorum materies, neque opera manuum humanarum : ita sacratæ imaginum repræsentationes non sunt aurum, argentum, æs, colores, non opera manuum (Deus meliora !) humanarum. Prædicatio divina et invariata traditionis ab initio apostolicæ et patritæ, tanquam vivida quædam sapientia materiem apprehensam juxta proprias et divinas leges operata, et artificiose tractans, formam et figuram imaginis in eam inducit, nihil plane vel deordinationis materialis, vel humanæ curiositatis ibi permittens libere exstare ; sed opus suum omnino et in solidum ostentans, puras et impermistas prototyporum repræsentationes, ut rei sacræ convenit et sacratæ famæ, exhibet.

Ita habes, opinor, unde fructus pietatis tuorum progenitorum percipere declares, et hæreticorum ora obtures, breviter expressa. Nam, quod materialem rationem spectat, mensa Dei, et mensa dæmonum, sacrificium divinum, et diabolicum sacri-

VARIÆ LECTIONES.

P C. M. πρόσχες. q C. M. ἐπαλλάγῃ.

Digitized by Google

ficium, paganorum orgia, et mystagogiæ Christianorum, et multa alia, quæ per summos gradus disparantur, non magna tamen constant differentia: usu ac titulo, consecratione, ac mystica participatione, et in multis aliis, inexplicabile discrimen obtinent. Ad hunc modum idola gentium, et Christianorum imagines, templum Dei, et idolorum aræ, nidoris Græcanici liturgica vasa, ac nostri sacrificii puri illius et sine sanguine sacrata receptacula: hæc utraque, quæ sic in oppositum secernuntur, materiem habent aliquando eamdem, ac in nullo discrepantem: at secundum formalia, et speciem inducentia, aut alteritatem inducere valentia, inexplicabilis resultat nec verbis exprimenda differentia. Quapropter materia minime in meliorem statum mutata, quin potius abunde participans, non immerito lignum, lapides, aurum, argentum, æs, opera manuum humanarum appellantur, et profana sunt, impia, impura, partim propter materiem, partim propter artificem, partim ab iis quibus impie et scelerate ascribuntur denominationem sortita. Hanc ob causam, licet os habeant, muta dicuntur; licet pedes et manus, non moveri tamen: licet aures, nasos, tamen sine sensu, sine actione inania esse dicuntur. Quorum enim archetypa, vel nihil, vel misera, vel sacrilega sunt, eorum artifex inter impios magis miser est, et cultus exhibitus Deo magis exosus; hisce nullo modo potest adaptari gratiæ et gloriæ quidquam operationis, aut honestior appellatio. At Christianorum sacra et venerabilia vasa sacramentalia, templa, imagines, et alia pietatis cultusque signa, utcunque eamdem materiem sortiantur, in melius tamen multo transformantur; usu, nomine, mystagogia et exemplarium divinitate, quorum per characteres exprimuntur, et sanctificata separataque perficiuntur. Hanc ob causam haud ulterius lignum, lapis, argentum, aurum, non modo colores potestate et gratia assistente et specificante destituti reputari debent vel nominari: sancta potius, honoranda, gloriosa, venerabilia. Cum enim participent cœlestem operationem, et eam iis communicent, quibus dedicantur, quorum nomen referunt, speciem repræsentant, cumque animum nostrum ad illa transvehant et transportent, et divinum favorem nobis procurent, et bona attrahant, non a materia denominantur, non ab aliqua alia proprietate inconvenienti, et quæ contrariis congruere possit, sed quæ participant, ad quæ traducuntur, quibus subserviunt et devoventur, ab illis quidem optime et cognoscuntur a viris piis, et denominationem sortiuntur.

A θυσία τε θεία, καὶ θυσία δαιμονώδης, δργιά τε ἐθνῶν, καὶ Χριστιανῶν μυσταγωγίαι, καὶ πολλὰ δὲ ἄλλα τῶν εἰς τὸ ἀκρότατον ἀντικειμένων, παρ' ὀλίγον ἔχουσι τὸ παρηλλαγμένον· χρήσει δὲ καὶ κλήσει, ἐπιθειασμῷ τε καὶ τελεσιουργίᾳ, καὶ μυρίοις ἄλλοις ἄφατον αὐτῶν ὑπάρχει τὸ διωρισμένον. Οὕτω δὴ, οὕτω καὶ εἴδωλα ἐθνῶν, καὶ Χριστιανῶν εἰκόνες, ναός τε Θεοῦ, καὶ βωμὸς εἰδώλων, καὶ δὴ καὶ κνίσσης Ἑλληνικοῦ[f] λειτουργικὰ σκεύη, καὶ τῆς καθαρᾶς καὶ ἀναιμάκτου θυσίας ἡμῶν ἱερουργικὰ δοχεῖα· καὶ γὰρ καὶ τούτων ἑκάτερον τῶν εἰς ἀντίθετον συστοιχίαν ἀποκεκρινομένων[g] ὕλην μὲν ἔχουσιν, ἔστιν ὅτε μηδόλως ἔχουσαν τὸ διηλλαγμένον· κατὰ μέντοι τὰ μορφοῦντα, καὶ εἰδοποιοῦντα, καὶ τὴν ἑτερότητα ἐργάζεσθαι πεφυκότα, ἄπειρος ὁρᾶται καὶ

B λόγῳ μόλις ῥητὴ ἡ ἐν αὐτοῖς ἀλλοτριότης. Δι' ὃ τὰ μὲν τῆς ὕλης οὐδὲν ἐπὶ τὸ ἄμεινον μετενηνεγμένα, ἀλλὰ καὶ πολὺ τοῦ χείρονος μετειληφότα, δικαίως ἂν ξύλα, καὶ λίθοι, καὶ χρυσὸς, καὶ ἄργυρος, ἢ ἔργα χειρῶν ἀνθρώπων ἐπονομάζοιντο, βέβηλά τε καὶ ἐναργῆ καὶ ἀκάθαρτα· τὸ μὲν ἐκ τῆς ὕλης, τὸ δὲ, ἐκ τοῦ πλάττοντος, τὸ δὲ ἐξ ἐκείνων, οἷς δυσσεβῶς καὶ ἀθέως ἀνιερώθησαν ἐξωνομασμένα. Διὰ τοῦτο κἂν ἔχῃ στόμα, τὴν ἀφωνίαν ὀνειδίζεται· κἂν πόδας, κἂν χεῖρας, τὴν ἀκινησίαν· κἂν ὦτα, κἂν ῥῖνας, κἂν εἴ τι ἄλλο, τὴν ἀναισθησίαν, καὶ ἀπραξίαν, καὶ τὸ μάταιον. Ὧν γὰρ ἡ οὐδὲν ἢ δύστηνα καὶ ἐναγῆ τὰ ἀρχέτυπα, καὶ ὁ τούτων πλάστης μετὰ τοῦ δυσσεβοῦς ἀθλιώτερος καὶ τὸ τῆς λατρείας ὅλον θεοστυγέστερον· τούτοις πόθεν ὅλως χάριτός τινος ἢ δόξης, ἢ

C ἐνεργείας, ἢ τινος σεμνοτέρας κλήσεως οἰκείωσις πορισθήσεται; Τὰ δὲ ἅγια, καὶ σεπτὰ τῶν Χριστιανῶν ἱερουργικά τε σκεύη, καὶ τεμένη, καὶ εἰκονίσματα, καὶ τἆλλα τῆς θείας ἡμῶν θρησκείας σύμβολα, ἐπεὶ κἂν ὕλην οὐχ ἑτέραν ὑποβέβληται, ἀλλ' οὖν γε πρὸς τὸ πολλῷ ἄμεινον μετεσκεύασται· χρήσει γὰρ καὶ κλήσει καὶ μυσταγωγίᾳ, καὶ τῇ τῶν παραδειγμάτων θεότητι, ὧν τοῖς χαρακτῆρσι διαμεμόρφωται, καὶ μυρίοις ἄλλοις καθαγιασθέντα τετελείωται. Διὰ τοῦτο οὐκέτι ξύλα, ἢ λίθος, οὐδ' ἄργυρος, οὐδὲ χρυσός· οὐ μὴν οὐδὲ χρώματα γυμνὰ τῆς εἰδοποιούσης καὶ παρεδρευούσης δυνάμεώς τε καὶ χάριτος, οὔτ' ἂν ἐννοηθείη ποτὲ, οὔτε παρονομασθήσεται· ἅγια δὲ μᾶλλον, καὶ τίμια καὶ δεδοξασμένα, καὶ σεπτά. Τῆς γὰρ

D ἄνωθεν ἐνεργείας, καὶ οἷς ἀνατέθειται, ὧν τε τὴν κλῆσιν καὶ τὸ εἶδος φέρουσιν, ἐν μετουσίᾳ γενόμενα, καὶ τὸν ἡμέτερον νοῦν πρὸς ἐκεῖνα διαβιβάζοντα, διαπορθμεύοντά τε ἡμῖν τὴν ἐκεῖθεν ἀγαθοειδῆ καὶ θείαν εὐμένειαν, οὐκ ἐκ τῆς ὕλης ἂν εἰκότως κληθείη· οὐ μὴν οὐδ' ἀπό τινος ἀπεμφαινούσης ἄλλης, καὶ τοῖς ἀντικειμένοις ἁρμοζούσης ἰδιότητος· ἀλλ' ὧν τε μετέσχε, καὶ πρὸς ἃ παρῆκται· οἷς τε ὑπηρετεῖται καὶ ἀφιέρωται· ἐκεῖθεν εὖ μάλα, καὶ λίαν ἐνδίκως καὶ γινώσκεται τοῖς εὐσεβέσιν ὄντως καὶ ὀνομάζεται.

QUÆSTIO CXII [*Coisl. et Taur.* CXXXIV]. ΕΡΩΤΗΣΙΣ ΡΙΒ'.

Edita a Montacutio, ep. 216, *ad Georg. Nicom.* p. 318-323. Explanatio in Rom. IX, 3 seqq.

Quem nihil separare potest ab amore Dei, non — Ὃν οὐδὲν δύναται χωρίσαι τῆς ἀγάπης Θεοῦ· οὐ

VARIÆ LECTIONES.

[f] C. M. κνίσσης Ἑλληνίου. [g] C. M. ἀποκεκριμένων.

Digitized by Google

tionem. Unde igitur tu arreptam ignorantiam in Filii eam transfers contumeliam, nisi secundum te una cum hominibus et angelis hoc est servis censebitur Dominus? quod hactenus apud omnes impios inauditum est : sin hoc non audeas, sed Filium ab angelica substantia separes, licet Patri adhuc eum æqualem non facias, non consequeris, cum tam clare de angelis ignorantiam verba prædicent, ut liceat tibi ipsi eamdem affingere, utcunque multoties violenter transferre illam coneris, in ordinem a Patre suo diversum ; et tamen vel sic, ut refugias, licet secundum te Unigenitus Patri coadunitus scientiæ naturam omnem et sublimitatem transcendenti, quia paterna est, ridebit tuam tertiam extra lineas ambulantem ordinationem ; et ubinam hoc pacto apparet, quod hæreticorum insania fingit, ignorantia Christo insiliens, vel secundum litteram, aut sensum? Imo aiunt, quia addit, « Nisi Pater solus, » recte, et valde sapienter : ne existimes, quod cum intelligentias præterierit incorporeas, locum habiturum usque ad naturam primam progressum facit. Certe ab hac sola conditrice et dominante universorum uti omnia cætera quæ consignant creaturam, ita et ignorantia longissime disjungitur. Quod si vox, *solus*, turbas conciet, intellectum sit potius quod a quibus, ignorantiam citans, Patrem disjunxit, contra illos et divisit illud, *solus;* quæ ratio est, angelis tribuere ignorantiam, tum ut illis omissis, ad differentiam Filii, de quo aut contra quem nihil dixit, illud putetur dictum : « Nisi Pater meus solus. » Quod si *solus* turbet, turbæ illæ dispelluntur per « Pater meus. » Patet enim quod non ad scipsum relatione facta, cujus naturalem conjunctionem insinuavit dicens : « Pater meus, » sed ad illos quorum ignorantiam notavit, dixit, *solus*. Non enim in illo dicto, « Nisi Pater meus solus, » intelligendus est scipsum disterminare ab eo cum et verbis et factis testetur : « Ego et Pater unum sumus [83]; — Omnia quæ habet Pater, mea sunt [83]. » Scientia pars est, licet exigua, eorum quæ cum infinitis aliis generans habet : sed absque his dictis, si erat unigenitus qui illis ignorantiam, Patri scientiam assignat, quæ est illa superflua sapientia, cum se dignatus sit eorum participem facere, quæ majora sunt et Deo soli æterno competunt indignum arbitrari cognitione rei olim omnibus et bonis, et malis revelandæ?

Itaque omnimodo patet, quod neutiquam ignorantiam ei, prout hæretici volunt, competet ; communis doctor et generis nostri salus, instituens, quos selegerat discipulos, proprios suos modulos agnoscere, et a quæstionibus abstinere, quibus

γνῶσιν μαρτυρεῖ. Πόθεν οὖν σὺ τὴν ἄγνοιαν λαβὼν, ἐφ' ὕβρει κατασκευάζεις τοῦ Υἱοῦ; εἰ μὴ ἄρα σοι τοῖς ἀγγέλοις καὶ δούλοις ὁ Μονογενὴς καὶ Δεσπότης συντετάξεται· ὃ, μέχρι P νῦν, οὐδεμία ὤφθη δυσσέβεια μελετήσασα. Εἰ δὲ μὴ τοῦτο τολμᾷς, ὑπεξαίρεις q δὲ τὸν Υἱὸν τῆς ἀγγελικῆς οὐσίας· κἂν τῇ πατρικῇ οὐδέπω ἴσον ἂν ἔχῃ· οὐχ ἕξεις δήπουθεν λαμπρῶς οὕτω τῶν λέξεων, ἐπὶ τῶν ἀγγέλων ἀπαγγελλόντων τὴν ἄγνοιαν οὐδαμόθεν αὐτῷ ταύτην περιάπτειν, κἂν μυριάκις εἰς ἄλλην τάξιν ἀπάγειν παρὰ τὸν πατρῶν κλῆρον ἐκβιάσῃ· καὶ οὕτω πάλιν, κἂν μὴ βούλῃ τῇ καὶ κατὰ σὲ ὑπερφυεῖ καὶ ὑπερτάτῳ καὶ πατρικῇ γνώσει ὁ Μονογενὴς τῷ Πατρὶ συναπτόμενος, τὴν σὴν ὑπερόριον ἐκμυκτηριεῖ καὶ τρίτην διάταξιν. Ποῦ τοίνυν ἐνταῦθα φαίνεται κατὰ λέξιν ἡ διάνοιαν, ὡς ἡ τῶν αἱρετιζόντων παράνοια τῷ Υἱῷ ἡ ἄγνοια ἐπιπηδῶσα ; Ναὶ, φησὶν, ἀλλ' ἐπήγαγεν, « Εἰ μὴ ὁ Πατήρ μου μόνος· » καλῶς γε λίαν καὶ σοφῶς· ἵνα μὴ νομίσῃς ὡς καὶ τοὺς ἀσωμάτους νόας διαδραμοῦσα, χώραν ἔχοι καὶ μέχρις αὐτῆς τῆς πρώτης φύσεως προΐεναι. Ταύτης γὰρ δὴ, ταύτης μόνης τῆς δημιουργοῦ καὶ κυρίας τῶν ὅλων, ὥσπερ τὰ ἄλλα πάντα ἐν οἷς ἡ κτίσις γνωρίζεται, οὕτω δὲ καὶ τὸ τῆς ἀγνοίας διέρριπται ὡς πορρωτάτω. Εἰ δὲ τὸ, *μόνος*, ἔτι τάραχον κινεῖ, συνιέτω μᾶλλον, ὅτι ὧν τὴν ἄγνοιαν εἰπὼν διέστειλε τὸν Πατέρα, πρὸς ἐκείνους διώρισε καὶ τὸ *μόνος*. Ἐπεὶ τίνα λόγον ὅλως ἔχοι, ἀγγέλοις μὲν ἐπιφέρειν τὴν ἄγνοιαν συνειδέναι, εἶτα τούτους ἀφέντα εἰς διαστολὴν οὐ μηδὲν κατεῖπεν Υἱοῦ, τὸ, « Εἰ μὴ ὁ Πατήρ μου μόνος, » νομίζειν εἰρῆσθαι· ἔτι δὲ εἴπερ τὸ *μόνος* θορυβεῖ, διὰ τοῦ « ὁ Πατήρ μου » τὸ θορυβοῦν διαλυέσθω. Δῆλον γὰρ ὡς οὐκ ἂν πρὸς ἑαυτὸν οὗ τὴν φυσικὴν οἰκείωσιν ἀνεκήρυξεν εἰπὼν « ὁ Πατήρ μου, » ἀλλὰ πρὸς ἐκείνους, ὧν τὴν ἄγνοιαν ἐφ' ᾗ q· συναπεφήνατο καὶ τὸ *μόνος*· πῶς δ' ἂν ἐν τῷ λέγειν, « Εἰ μὴ ὁ Πατήρ μου μόνος, » ἑαυτὸν νομισθείη διαστέλλειν, ὁ καὶ τοῖς λόγοις, καὶ τοῖς ἔργοις ἐφ' ἴσης βοῶν, « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν ; » καὶ, « Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι ; » Δῆλον γὰρ, ὡς καὶ ἡ γνῶσις, ἕν τι καὶ τὸ βραχύτατον ὧν ὁ γεγεννηκὼς ἔχει, καὶ μυρία ἄλλα. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ αὐτὸς ἦν ὁ μονογενὴς, ὁ τοῖς μὲν τὴν ἄγνοιαν, τῷ Πατρὶ δὲ διαιτῶν τὴν γνῶσιν, τίς ἡ περιττὴ σοφία αὕτη, ἑαυτὸν ἀξιοῦντα τῶν μειζόνων, καὶ ἃ μόνῳ Θεῷ ἀεὶ διαπρέπει, πράγματος εἰς πάντας ὕστερον καὶ σπουδαίους καὶ φαύλους ὁμοίως ἐκκαλυφθησομένου, τῆς γνώσεως ἀνάξιον ἀποφαίνειν ;

Ἆρ' οὐ πανταχόθεν γνώριμον, ὡς οὐδαμόθεν ἡ ἄγνοια τοῖς αἱρετίζουσι συνδραμεῖται; Ὁ μὲν γὰρ κοινὸς διδάσκαλος, καὶ τοῦ γένους ἡμετέρου Σωτὴρ, οὓς ἀφώρισε μαθητὰς παιδεύων τὰ οἰκεῖα συνιέναι μέτρα, καὶ ζητημάτων ἀναχωρεῖν, ἃ βίον μὲν r

[83] Joan. x, 30. [83] Joan. xvi, 15.

VARIÆ LECTIONES.

P C. M. ὃν μέχρι. q C. M. ὑπεξαίρει. q' C. M. ἕξῃ. r C. M. ἃ βίῳ μέν.

Digitized by Google

οὐδένα βελτίω ποιεῖ, ὄγκου δὲ καὶ κενοῦ φυσήματος, ἐσθότε πολλοῖς ὑπόθεσις γίγνοιτ' ἄν, ἁλύπως τε αὐτοῖς τὰ τῆς ὠφελείας εἰσηγεῖσθαι διοικονομούμενος, καὶ τῇ πειθοῖ μᾶλλον, ἢ διὰ τῆς βίας· τοὺς ἀγγέλους αὐτοῖς προκομίζει εἰς παράδειγμα, ἵνα ὥνπερ αἱ ἀσώματοι καὶ ὑπὲρ ἡμᾶς οὐσίαι τὴν γνῶσιν οὐκ ἔχοιεν, τούτων μηδ' αὐτοὶ λαβόντες, μήτε ἀνιᾶσθαι, μήτε τῷ διδασκάλῳ μηδὲν ἐπικαλεῖν [a] ἔχοιεν μὴ βουληθέντι διδάξαι, ἃ μηδ' ἡ τῶν ἀσωμάτων καὶ ὑπὲρ αὐτοὺς φύσις ἐγίνωσκε. Τί οὖν; οὐκ ἤρκει τοῦτο τοῖς μαθηταῖς, εἴς τε τὸ ἀλυπώτατον αὐτοῖς τὴν τῆς αἰτήσεως ἀποτυχίαν διαθέσθαι, καὶ τὰς γνώμας, εἰς τὸ μηδὲν τῶν ὑπὲρ αὐτοὺς ἐρευνᾷν καταρρυθμίσαι· ἀλλ' ἔδει ἄρα καὶ τὴν ἐνυπόστατον σοφίαν τὸν Υἱὸν εἰς τὴν ἐκείνων, ὡς ἔοικε, περιενεχθῆναι ἄγνοιαν; καὶ τί παραμύθιον, ἢ παράκλησις ποία Θεοῦ ἄγνοια τοῖς λατρευταῖς, προνοίας τε τῆς ἐκεῖθεν καὶ σοφίας δεομένοις; μᾶλλον δὲ πῶς οὐχὶ βάθος [b] ἀπογνώσεως, καὶ δυσσεβὲς ἄλλως καὶ σκότος βαθὺ, καὶ ἀθυμία ἐσχάτη, καὶ πλάνη μηδ' ἔλεον ἔχουσα, Θεὸν ἔχειν ἀγνοίας ἥττονα, καὶ τοῦτον ἀνομολογεῖν τοῦ σοφίσοντος δεῖσθαι, καὶ τῆς ἑτέρου προνοίας, ἵν' ἔχοι μαθεῖν ἃ μηδέπω τέως, ὥσπερ οὐδ' ἡ λοιπὴ κτίσις, οἶδεν; Εἰ μὲν γὰρ κατὰ τὸ ἀνθρώπινον παραδέχοιτό τις τὴν ἄγνοιαν, εἴρηται καὶ πρόσθεν, ὡς οὐδὲν δυσχερὲς τὴν τῆς σοφίας πηγὴν, τὸν, ὅσα ὁ Πατὴρ, καὶ εἰδότα καὶ ἔχοντα, ὥσπερ τὰ ἄλλα ἀνθρώπινα, οὕτω καὶ τὴν ἄγνοιαν ὑποδύεσθαι. Εἰ δ' εἰς τὴν θείαν αὐτοῦ καὶ ἄχραντον φύσιν, τὴν ἀπὸ τῆς ἀγνοίας ὕβριν ἀναφέροι, πῶς οὐ πανταχόθεν χαλεπόν τε καὶ μεῖζον συγγνώμης τὸ δυσσέβημα; Σὺ δέ μοι κἀκεῖνο συνεπισκόπει· ἔφη που ὁ Σωτήρ· « Οὐδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός. » Τί οὖν; ἄρα τὸν Πατέρα, διὰ τὸ, « Οὐδεὶς οἶδε, » καὶ διὰ τὸ, « Εἰ μὴ ὁ Υἱὸς, » τῆς ἑαυτοῦ ὑπερορίσεις γνώσεως; καὶ πῶς οὐχὶ τοῦτο μανία λαμπρά; Ἀλλὰ ταῦτα μὲν πρὸς ἀντιδιαστολὴν τῶν, ὅσα μετὰ τὴν πρώτην ἐστὶ φύσιν, νοήσεις, οὐδαμῶς δὲ κατὰ τοῦ Πατρός· συνεπινοούμενον δὲ μᾶλλον αὐτὸν, καὶ συνεισαγόμενον τῇ μνήμῃ τοῦ Υἱοῦ καὶ πῶς κἀπειδὰν ἀκούοις, « Οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ Πατὴρ, » οὐχὶ τὸν αὐτὸν θεσμὸν συντηρεῖς, καὶ τῇ μὲν τοῦ Πατρὸς μνήμῃ συνεπινοεῖς τὸν Υἱόν· τὸ δὲ, « Οὐδεὶς οἶδε, » τῇ κτίσει νέμεις τῇ λογικῇ; καίτοι ἐνταῦθα μὲν καὶ κτισμάτων φύσιν, κατ' εἶδος, ἀπηριθμήσατο, καὶ ἐγγύτερον ἦν τὸ, « Οὐδεὶς οἶδεν, » ἐπ' ἐκείνων ἐκλαβεῖν· ἐν [c] δὲ τὸ, « Οὐδεὶς οἶδε τὸν Πατέρα, » ἀπόλυτον φέρει τὴν φωνὴν, καὶ οὐκ ἔχουσαν ὅσον ἐκ τῶν προειρημένων, ἐφ' ὧν μερισθῇ. Εἰ οὖν ἐν τῷ, « Οὐδεὶς οἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, » φεύγεις τὸν γεννήτορα βλασφημεῖν, μηδὲ ἐν τῷ, « Οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ Πατὴρ, » εἰς ὕβριν τοῦ γεννήματος περιτραπῇς. Εἰ δὲ τὸ δεύτερον τολμᾷς, προτετόλμηταί σοι πολλῷ μᾶλλον καὶ τὸ πρῶτον· ἀμαθέστερον γὰρ ἑαυτὸν ἀγνοεῖν, ἢ ἕτερον· τί μὴ

neutiquam vita melior redditur, sed tumore vano et inflatione repletos ita agit, et disponit, ut sine mœrore, quæ ipsis utilia sunt, apprehendant, idque suasu potius quam violentia : ita angelos in exemplum posternit iis; ut quemadmodum illæ incorporeæ, et supra nos substantiæ harum rerum scientiam non percipiunt, ita nec ipsos se consecuturos opinentur, non tamen inde affligantur, aut magistrum incusent, si docere nollet, quæ ne incorporeæ quidem et supernæ substantiæ sciunt. Quid ergo, an non satisfactum hinc apostolis, ut sine tristitia ferrent petitionem non obtinere, et ad animi sententiam ita confirmandam, ut ne investigent, quæ sunt supra ipsos, nisi etiam Filius illa sapientia inhypostata in eorum ignorantiam assumatur? et quodnam, quæso, solamen, quæ consolatio Dei ignorantia erit colentibus Deum, qui providentia et sapientia cœlesti opus habent? Potius desperationis quoddam profundum, impietas, densæ tenebræ, extrema disconsolatio et error non miserandus erit, Deum habere ignorantiæ subjacentem et in confesso indigentem institutione et directione alterius, ut ea intelligat, quæ nondum, nec magis quam cæteræ creaturæ, intellexit. Si quis humano more accipiat ignorantiam, jam ante dictum est, non esse offendiculo, si fons sapientiæ, qui omnia novit, habet omnia quæ Pater, uti cætera humanitus, ita et ignorantiam subiisse. Sin in divinam ipsius et impollutam naturam ignorantia contumeliose ingeratur, impietas est extrema, et indulgentiam excedens. Sed et considera sis mecum istud : dixit alicubi Servator : « Nemo novit Patrem, nisi Filius : » Hinc an Patrem excludes a sui cognitione per illud : « Nemo novit, » et illud; « Nisi Filius? » at hæc insania conspicua est. Nam hoc intelligendum est, ad antidiastolen eorum quæ post primam naturam subsistunt, et non ut Patrem comprehendunt. Quocirca cum eum una conceptum, et una inductum cum Filio memoria recolis, et cum audis : « Nemo novit horam nisi Pater, » nonne ex eadem lege agis, et Patre commemorato Filium intelligis? illud, « Nemo novit, » ad creaturam transcribis rationalem, ubi creaturarum naturam secundum species recensuit : de quibus propius est, ut « Nemo novit, » intelligatur in illo dicto, « Nemo novit Patrem, » vocem adhibet indefinite, nec habentem ad quod e præcedentibus referatur : si ergo in illo, « Nemo novit Patrem, nisi Filius, » genitorem blasphemare non vis, nec in illo, « Nemo horam novit, nisi Pater, » in contumeliam Filii feraris : sin hoc audes, multo magis illud prius aude : nam stupidius est seipsum quam alium ignorare. Quidni multo horridius et contumeliosius prius quam secundum? sin illud furorem et impietatem omnem excedat, quid de hoc dicendum? Iterum ait, « Nemo novit Filium,

VARIÆ LECTIONES.

[a] C. M. ἐπιβαλεῖν. [b] βύθος. [c] Ισ. εἰ.

Digitized by Google

nisi Pater : » nec contradicet aliquis, Filium seipsum ignorare, si non post alia absurda, minorem statuat scientiam Patris : dum Filio relinquitur illa, quæ ad sui ipsius propriam non pertingit. Si ergo in hoc effato, « Nemo novit Filium, nisi Pater, » Filium a sua scientia non excludunt; ita nec in illo, « Nemo novit horam nisi Pater, » ab illa cognitione excludent Filium : sin ab hac eliminent, jam prius ab illa excluserunt, utcunque suæ impiæ sententiæ labiorum ministeria non accommodarunt : figura orationis, unde imprimis errore se implicuerunt, et spem blasphemandi arripuerunt simillima est; et Filii scientiam, ne si magis adhuc insanire velint, non inficiabuntur, ultra cognitionem illius horæ, ad alia magis divina, et sublimia extendere.

Atque hæc quidem fuit Matthæi sententia, tali theoria considerata. At beatus Marcus, eodemmet spiritu inspiratus, eadem abundans gratia, eumdem prædicationis sermonem sibi concreditum habens, nihil plane repugnans prolocutus est, idque sine accurata dicti inspectione patet, synhierophantæ, et symmystagogo, neque veritati quam illi tradiderunt, et multipliciter etiamnum manifestatæ. Sed si verba ejus exponenda susceperimus, adhuc magis illius consensum, et cum veritate conspirationem intelligemus : nota mihi ergo, quod divinus iste vir, ne prætextum quidem hæreticis relinquere voluit, sed omnes illorum machinas funditus concutiens, ne quidem vocem, *solus*, quo licet frustraneo utebantur refugio impietatis suæ, suæ scriptioni insertam adhibuit. Vocem ergo amputans, et una eximens impietatis occasionem, a deorsum et ipse, quemadmodum synhierophanta ascendit usque ad angelos, et apud eos ignorantiam circumscribit, cum qua orationis periodum finit, ab alio deinceps principio exorsus, non solum nullam Unigenito ignorantiam ascribit, sed e contra plane Patris cognitionem habere illum profitetur; non illam modo, sed illius modum et mensuram declarat, cujus ut et divinarum naturaliumque dignitatum fontem esse Patrem Filio theologice docet. Quid autem dicit, « neque Filius sciret, nisi Pater revelaret? » hoc est, ab eo fonte fluit cognitio, unde et generationis causa; nam non est Filius sine principio, et causa, ut est Pater; sed in principium refertur et causam congenerem, nempe. Patrem. « Nec Filius sciret, nisi prius revelasset Pater : » quid isto testimonio illustrius, aut validius est? Novit Pater, et Filius novit; si latet Filium quidquam id a Patre habet : sed Patris scientiam nihil fugit : quocirca, nec Filii communis natura, Deitas

A εἰδέναι καὶ φοβερώτερον εἰς ὕβριν τοῦ δευτέρου τὸ πρότερον ; Εἰ δ' ἐκεῖνο μανίας καὶ δυσσεβείας οὐδενὶ καταλείπει ὑπερβολήν, τί ἂν τις ἐρεῖ περὶ τούτου; Πάλιν φησὶν, « Οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ · » καὶ οὐκ ἂν τις ἑαυτὸν ἀγνοεῖν καταψηφιεῖται τὸν Υἱὸν, εἰ μὴ μετὰ τῆς ἄλλης ἀτοπίας, ἐλάττονα θείη καὶ τὴν γνῶσιν τὴν περὶ τοῦ Πατρός · εἴγε αὕτη μὲν τῷ Υἱῷ κατείληπται, τῆς δὲ ἰδίας οὕπω ἐφίκετο. Εἰ τοίνυν ἐν τῷ, « Οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, » οὐδαμῶς τῆς περὶ αὐτὸν εἰδήσεως ἐξωθοῦσι τὸν Υἱόν · οὐδ' ἐν τῷ, « Οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ Πατὴρ, » τῆς περὶ τὸν καιρὸν ἐκεῖνον προγνώσεως ἐξωθήσουσι. Εἰ δὲ ταύτης ἐλαύνουσι, προαπήλασαν κἀκείνης, κἂν οὕπω τεθαρρήκασι διδόναι τὰ χείλη τοῖς δυσσεβέσι λογισμοῖς ὑπηρετήσασθαι · τό τε γὰρ

B σχῆμα τοῦ λόγου, ἐφ' ᾧ μάλιστα τὴν ἀπάτην ἑαυτοῖς συγκατεσκεύαζον, καὶ τὰς τοῦ δυσσεβήσειν ἐλπίδας ἀνεῖχον ὁμοιότατον · καὶ τὴν περὶ τὸν Υἱὸν γνῶσιν, οὐδ' ἂν πλέον ἐκμανεῖεν, οὐδ' αὐτοὶ ἂν ἀρνηθείην [v], μὴ μακρῷ τῆς περὶ τὴν ὥραν ἐκείνην προγνώσεως, θειοτέραν τε καὶ ὑψηλοτέραν εἶναι.

Ἀλλ' ἦν [x] μὲν τοῦ ἱεροῦ Ματθαίου ῥῆσις, ἐν τούτοις τε καὶ τοιαύτην ἔχουσα τὴν θεωρίαν. Ὁ δέ γε μακάριος Μάρκος, πνεύματί τε τῷ αὐτῷ ἐμπνεόμενος, καὶ τὴν αὐτὴν πλουτῶν χάριν, καὶ τὸν αὐτὸν τοῦ κηρύγματος ἐμπεπιστευμένος λόγον, δῆλον μὲν ὅτι καὶ χωρὶς τῆς τοῦ ῥητοῦ διασκέψεως, οὐκ ἂν οὔτε τῷ συνιεροφάντῃ καὶ συμμυσταγωγῷ, οὔτε τῇ παρ' αὐτῶν μυσταγωγηθείσῃ, διὰ πολλῶν δὲ καὶ νοῦ [y] ἐπιδεδειγμένῃ λαμπρῶς ἀληθείᾳ, οὐδαμῶς ἂν μαχόμενα φθέγξαιτο. Ὅμως δὲ καὶ ἡ τοῦ ῥητοῦ μεταχείρησις, μᾶλλόν τε αὐτῶν τὴν συμφωνίαν, καὶ τὸ πρὸς τὴν ἀλήθειαν ἐνάμιλλον παραστήσει. Καί μοι συνόρα λοιπὸν, ὡς οὗτος ὁ θεῖος ἀνὴρ, οὐδὲ πρόφασίν τινα λιπεῖν τοῖς αἱρετίζουσι προνοούμενος, πάντα δὲ κατασείων ἐκ βάθρων αὐτῶν τὰ μηχανήματα, οὐδὲ τὸ *μόνος*, ὅπερ ἂν ἦν ἐκείνοις ἐνταῦθα

C προσκείμενον, εἰ καὶ μάτην, καταφυγὴ δ' ὅμως τοῦ δυσσεβήματος, οὐδὲ τοῦτο τῇ οἰκείᾳ γραφῇ προσηρμόσατο · περιελὼν δὲ τὴν λέξιν καὶ συνεξελὼν αὐτοῖς [z] τῆς πονηρίας τὴν πρόφασιν, ἄνεισι μὲν καὶ αὐτὸς, ὥσπερ ὁ συνιεροφάντης, ἐκ τῶν κατωτέρω μέχρι δὲ τῶν ἀγγέλων φθάσας, καὶ σὲ περιγράψει, τὴν ἄγνοιαν συναπαρτίζων αὐτῇ, καὶ τὴν τοῦ λόγου περίοδον · ἀπ' ἄλλης δ' ἀρχῆς λοιπὸν ἀπαρχόμενος, οὐ μόνον οὐδεμίαν ἄγνοιαν ἐπιφημίζει τῷ Μονογενεῖ, ἀλλὰ καὶ πᾶν τοὐναντίον καθαρῶς αὐτῷ

D τὴν πατρῴαν γνῶσιν ἐπιμαρτύρεται · καὶ οὐ τὴν γνῶσιν μόνον, ἀλλὰ καὶ τὸν τρόπον συναναπτύσσει τῆς γνώσεως, τὴν τῶν ἄλλων φυσικῶν τε καὶ θεοπρεπῶν ἀξιωμάτων πηγὴν τὸν Πατέρα, τοῦτον αἴτιον εἶναι τῷ Υἱῷ καὶ τῆς γνώσεως θεολογῶν. Τί γὰρ, φησὶν, « Οὐδὲ ὁ Υἱὸς ἂν ᾔδει εἰ μὴ ὁ Πατήρ; » τουτέστιν, ἐκεῖθεν πηγάζεται τῷ Υἱῷ ἡ γνῶσις, ὅθεν αὐτῷ καὶ τῆς γεννήσεως ἡ αἰτία. Οὐδὲ γὰρ ἄναρχος καὶ ἀναίτιος, ὥσπερ ὁ Πατὴρ, ἀλλ' εἰς ἀρχὴν ἀναφέρεται καὶ συμφυὲς αἴτιον τὸν γεγεννηκότα·

VARIÆ LECTIONES.

[v] C. M. ἀρνηθεῖεν. [x] C. M. ἡ. [y] C. M. νῦν. [z] C. M. αὐτῆς.

Digitized by Google

« Οὐδὲ ὁ Υἱὸς ἂν ᾔδει, μὴ ὁ Πατήρ. » Τί ταύτης τῆς μαρτυρίας λαμπρότερόν τε καὶ ἐμβριθέστερον; Οὗ δεν ὁ Πατὴρ, οἶδε καὶ ὁ Υἱός· εἰ λέληθέ τι τὸν Υἱὸν, ἐκ τοῦ Πατρὸς ἔλκει τὴν αἰτίαν· ἀλλ' οὐδὲν τὴν τοῦ Πατρὸς διαφεύγει γνῶσιν· οὐδ' ἄρα τοῦ Υἱοῦ κοινὸν ἡ φύσις· κοινὸν ἡ θεότης· κοινὸν ἡ οὐσία· τούτων δὲ ἡ κοινωνία, καὶ τὰ ἄλλα θεοπρεπῆ ἀξιώματα κοινὰ ποιεῖται καὶ ἀδιαίρετα. « Οὓς θέλει ζωοποιεῖ ὁ Πατήρ· καὶ οὓς θέλει πάλιν ὁ Υἱὸς ζωοποιεῖ. Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ διὰ τοῦ Υἱοῦ· καὶ οὐδεὶς ἔρχεται πρὸς τὸν Υἱὸν, εἰ μὴ διὰ τοῦ Πατρός. Γινώσκει ὁ Πατὴρ τὸν Υἱόν· » ἀλλὰ καθὼς γινώσκει αὐτὸν, οὕτω καὶ « ὁ Υἱὸς γινώσκει τὸν Πατέρα. » Ὅσα ἔχει ὁ Πατὴρ, πλὴν τῆς ἀγεννησίας, πάντα ἔχει ὁ Υἱός· ἀλλὰ καὶ ὅσα ἔχει ὁ Υἱὸς, πλὴν τῆς γεννήσεως, πάντα ἔχει ὁ Πατήρ. « Τὰ γὰρ ἐμὰ, φησὶ, σά ἐστι, καὶ τὰ σὰ, ἐμά· » ὧν δὲ μεμυσταγωγημένος καὶ μυσταγωγῶν ἡμᾶς ὁ θεῖος Μάρκος τὴν θεολογίαν, εἷς τε τὸ ἀκριβὲς ἅμα καὶ αὔντομον ἀφοριζόμενος τὴν διδασκαλίαν, ὡς « Οὐδὲ ὁ Υἱὸς ἂν ᾔδει, διαπρύσιον βοᾷ, εἰ μὴ ὁ Πατήρ, » καὶ τὸ συνημμένον, εἰπὼν τοῦ λόγου, ὡς αὐτόθεν ἅπασι δῆλην οὖσαν, καὶ μηδ' ἀμφιδοξουμένην τινὶ τὴν μετάληψιν παρῆκεν· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, οὐδ' οὐ μὴ γένηται, οὐδ' ἂν αὐτὸς ὁ τῆς κακίας ἀρχιτέκτων πάλιν, εἰς ἀκοάς τινων αὐτοῖς ἐρεύξοιτο χείλεσιν, ὃς οὐχὶ τῷ Πατρὶ τὴν γνῶσιν ἐκείνης τῆς ἡμέρας καὶ ὥρας προσαναθήσει [a-b] τοῦτο δὲ διδοὺς καὶ [c] δυσχεραίνων, οὐ λήξῃ συγχωρήσει πάντως καὶ ἄκων, τὴν αὐτὴν ἐνεῖναι γνῶσιν τῷ Υἱῷ· τὸ γὰρ, « οὐδὲ ὁ Υἱὸς, εἰ μὴ ὁ Πατήρ, » ἀπαραγράπτῳ λόγῳ τοῦ Πατρὸς εἰδότος εἰς τὴν αὐτὴν συνάγει γνῶσιν τὸν Υἱόν. Ὥστε οὐδ' [d] ἔστιν εἰπεῖν, ὅσον εἰς τὸ ἀκριβέστατόν τε καὶ θεοπρεπέστατον τὴν ἐν Πατρὶ γνῶσιν κοινὴν ἀνακηρύττει καὶ τοῦ Υἱοῦ. Σὺ δέ μοι λοιπὸν τὴν τοῦ παναγίου καὶ θείου Πνεύματος σοφὴν οἰκονομίαν καὶ πολυμερῆ συνεπιλογίζου· ὅπως ἐνεργοῦν ἐν ἑκατέρῳ τῶν εὐαγγελιστῶν, δι' ἑτέρας καὶ ἑτέρας λόγου συμφράσεως, εἰς τὴν αὐτὴν αὐτοὺς τῆς εὐσεβείας ἔννοιαν συνάγει. Ὁ μὲν γὰρ ἱερὸς Ματθαῖος, τὸ, *μόνος*, τοῖς λόγοις συνάπτων, οὐδαμῶς ἐντίθησι τὸ, « Οὐδὲ ὁ Υἱός· » ἵνα μὴ δόξῃ τὸν Υἱὸν τοῖς αἱρετίζουσιν τῆς μὲν πατρικῆς δόξης διαιρεῖν, εἰς δὲ τὴν τῶν ἀγγέλων τάξιν συνελαύνειν. Ὁ δὲ θεῖος Μάρκος, προστάξας τὸ, « Οὐδὲ ὁ Υἱὸς, » καὶ ἀρχὴν τοῦτο δευτέρας περιόδου ποιησάμενος, ἀφαιρεῖται τὸ *μόνος*, ἵνα μὴ τοῦτο πάλιν ἐνταῦθα προσκείμενον, ἅρπαγμα τοῖς δυσσεβέσι γένηται· καὶ οὐκ ἀρχὴ μᾶλλον ἑτέρας περιόδου, « Οὐδὲ ὁ Υἱὸς » νομισθῇ, τῆς προτεταγμένης δὲ πέρας καὶ συναπαρτισμὸς ῥᾳδιουργηθῇ. Καὶ γὰρ ἐκείνως [e] μὲν ἡ πατρικὴ γνῶσις τῷ Υἱῷ κοινὴ καθίστατο καὶ αὐτοτελής· διὰ δὲ τῆς κακουργίας, ἡ ἄγνοια δέχεται, καὶ ὁ τῶν ἀγγέλων καὶ δούλων βαθμὸς, ὅπερ ἐστὶ τῶν θεομαχούντων σπούδασμα, τὸν Δεσπότην καὶ Δημιουργόν. Ὧν τὸ κακοῦργον ἐκτέμνων ὁ εὐαγγελιστὴς, τὴν τοῦ *μόνος* πρόφασιν προδιακόπτει καὶ προαναιρεῖ. Οὕτως οὖν δι' ἑκατέρου τῶν θεσπεσίων καὶ ἱερολόγων ἀνδρῶν, τὰ τῶν αἱρετιζόντων ὁρῶν ἐμφραττόμενα στόμματα, καὶ τὰς λύσεις ὧν ἠπόρεις, δι' αὐτῶν ἐκείνων καταπλουτιζόμενος,

A communis, communis substantia, harum communio et alia Deo congrua axiomata indivisa reddit, et communia. « Quos vult Pater vivificat, et Filius vivificat quos item vult [84]. Nemo venit ad Patrem, nisi per Filium, et ad Filium nemo, nisi per Patrem. Cognoscit Pater Filium » sed et ita « cognoscit Filius Patrem [85]. » Omnia quæ habet Pater, præter ingenitum, habet Filius, et omnia quæ habet Filius præter genitum, habet Pater : « Tua enim, » inquit, « mea sunt, et mea sunt tua. » Horum uti erat initiatus ipse, ita nos initiavit scientia beatus Marcus, theologiam accurate, et circumcise definiens, clare clamat, quod « Nec Filius novit, nisi Pater, » quod copulatum erat extulit, orationis metalepsin, utpote cunctis claram, nec in dubio positam omisit. Non est enim, nec erit ille impietatis artifex, nec labiis eructabit tale, qui nec Patri scientiam diei illius et horæ attribuit; hoc concesso, cum difficultate et invitus licet, concedet tamen Filio eam cognitionem : nam, « Neque Filius nisi Pater, » cum in circumscripta ratione Pater sciat, in eamdem cognitionis mensuram et Filium ascribet : ita non est dicendum, quod accuratiorem et diviniorem modum tangit, scientiam in Patre communem prædicat cum Filio; tu autem, quod restat, sancti Dei Spiritus sapientem et multiplicem dispensationem recolito : quæ in utroque evangelista operabatur; per unam et alteram dicendi formam, in unam et eamdem pietatis cogitationem deducens; sanctus Matthæus vocem *solus* adnectens, non interserit, « Neque Filius, » ne videatur cum hæreticis a paterna gloria Filium separare, et in cohortem compingere angelorum : Marcus adjiciens illud : « Neque Filius, » et principium alterius periodi statuens, tollit *solus*, ne si accesserit, ab impiis arriperetur : et non principium alterius periodi esset, « Neque Filius, » sed præcedentis clausula ac terminus inanis; ibi enim scientia paterna Filio communicatur consummate, per improbitatem ignorantia suscipitur, et gradus assignatur angelorum servorumque, hoc conantur qui Deo bellum indicunt, Domino et Creatori affingere. Quorum impietatem amputans evangelista, prætextum ab illis, *solus*, præscindit et prætollit. Atque ita per utrumque divinum, et sacrum Scriptorem, cum ora videas hæretisantium obturata, et cum abundanter habeas dubiorum a te propositorum solutiones, impietatis communionem constantius evitabis, et pietatis te magis fervidum amatorem, et defensorem præstabis.

[84] Joan. v, 21. [85] Joan. xiv, 6.

VARIÆ LECTIONES.

[a-b] C. M. προσανατεθήσει. [c] C. M. κἂν. [d] C. M. συνάγει οὐδ'. [e] C. M. recte ἐκεῖνος.

Digitized by Google

τήν τε τῆς δυσσεβείας εἰς τὸ βεβαιώτερον ἐκτρέπου κακόνοιαν [f], καὶ τῆς εὐσεβείας θερμότερον αὐτὸν ἐραστὴν καὶ ὑπέρμαχον ἐπιδείκνυσο.

QUÆSTIO CXV. [*Coisl. Taur.* CXXXVII.] *De sapientia Salomonis.*

ΕΡΩΤΗΣΙΣ ΡΙΕ'. *Περὶ τῆς Σολομῶντος σοφίας.*

Edita a Montacutio (ep. 241, *ad Theophan.*, p. 561 seq.) Explanationes in III Regum, IV, 31, et I Reg. IX, 24.

Quid tu passus, qua cogitatione motus tu, vir Dei, post tam longum tempus et nostri tam profundam oblivionem, post amnestiam horrendam, nec facile commemorandam, ab olim mihi amicis profectam, post mala tot exantlata tantum silentium, haud dixerim ego æquali mea condemnatione, ea proponere tibi visum fuerit, quæ curiosius ab iis inquiri solent, qui jucunde vitam istam transigunt, et accuratius philosophantur : at nos, quorum jam olim vita malis emarcuit, qui plurima ex parte mortui sumus : qui nunc, ut obscurum quoddam simulacrum, et vix agnoscendum, veteris illius nostræ institutionis, et discendi cupiditatis, in hac carne misella (o quousque vivendi desiderio teneberis !) circumagimur : unum est, de quo philosophemur, mors, et angimur, quod sic tardet, nec nos citius de istis miseriis educit, quibus quotidie nos premimur, dum nihil se remittunt persequentes. Quod si cupitis (et cur, quæso, cupietis, qui summa fruimini felicitate, quorum linguæ libenter rhetorum greges famulantur?) de tumulo vocem audire, loquetur certe simulacrum mei, ita enim magis congruum præsenti statui. Fortassis silentio insidiatur scriptum, et alterius tragœdiæ quærit occasionem. Si per insidias sermones feruntur, jamdudum est, cum experti simus istiusmodi insessores. Quocirca, loquetur potius, quam silebit ; at loquetur breviuscule, et humiliter, ut par est illum respondere quæsitis, qui in mea constituitur conditione.

Unum e dubiis illud est : « Sapientia excelluit Salomon omnes homines ; erat super Getham Israelitam, » etc. Respondeo in primis, me nusquam reperisse scriptum *Israelitam*, quod a te positum est ; nisi mihi memoriam tribulationes excusserint : sed pro *Israelita*, *Zaraitam* legi : Israelitæ erant natio Judaica, et communiter ita vocabantur : at charactere communi denotare aliquem, cum ad illum omnes suum genus referant, juste reprehenditur. Quocirca pro *Israelites*, omnino rescribendum *Zaraites* ; *Æthan*, in quibusdam exemplaribus *Gethan* dicitur : fortassis eumdem binomine voce exprimente. Quod igitur deinceps sequitur in loco isto, dividitur in duplicem aream, et gemina consideratione variatur. Si Ænam, et Chalcad, et Cardala exhibeat, significat antiquos ob sapientiam olim celebres Ægyptiorum prophetas ante natum Moysen ; posteri erant Zara, qui Thamaris e Juda filius erat, et illi præter prophetiam et aliam sapientiam, præditi erant scientia pangendi odas,

Ἄνθρωπε τοῦ Θεοῦ, τί παθὼν, τί δὲ διανοηθεὶς, μετὰ τοσοῦτον χρόνον μακρὸν, μετὰ λήθην ἡμῶν οὕτω βαθεῖαν, μετὰ φοβερὰν καὶ ἀνιστόρητον ὑπὸ τῶν ποτε φιλούντων ἀμνηστίαν, μετὰ τοσούτων πεῖραν δυσχερῶν, μετὰ τηλικαύτην ἐκ καταδίκης (οὐ λέγω ποίας) σιγὴν, ἐκεῖνα προτείνειν ἔγνως, ἃ τοῖς ἐνευημεροῦσι τῷ παρόντι βίῳ καὶ φιλοσοφοῦσιν ἀκμαιότερον, πολυπραγμονεῖσθαι εἰώθεν ; Ἡμεῖς δὲ, καὶ αὐτῆς ἡμῶν τῆς ζωῆς πάλαι τοῖς κακοῖς ἐναπομαρανθείσης, τὸ πλέον τεθνήκαμεν· καὶ νῦν, οἷά τις εἰκὼν ἀμυδρὰ, καὶ μικροῦ μηδ' ἐπιγινωσκομένη, τῆς παλαιᾶς ἐκείνης ἀγωγῆς καὶ φιλομαθείας, τῷ ταλαιπώρῳ τούτῳ σαρκίῳ (ᾧ μέχρι τίνος φιλοζωήσεις ;) περιπλανώμεθα, ἐν μόνον ἡμῖν φιλοσοφεῖται, ὁ θάνατος, κἀκεῖνος παραλυπῶν ὅτι βραδύνει· καὶ οὐκ ἀπάγει θᾶττον τῶν θλίψεων, αἷς ἀδιαλείπτως οὐκ ἐνδιδόντων τῆς ἐπιτιθεμένων συνεχόμεθα. Πλὴν εἰ γέγονέ παθεν φίλον, ὡς οὐκ οἶδ' ἀνθ' ὅτου οἷς ἀκμάζει μὲν τὰ τῆς εὐδαιμονίας, ῥητόρων δ' ἀγέλαι χαίρουσιν ὑπηρετεῖν τῇ γλώττῃ, καὶ τῆς ἐκ τάφων φωνῆς ἐπακοῦσαι· φθέγξεται μὲν τὸ ἐμὸν εἴδωλον· οὕτω γὰρ εἰπεῖν τοῖς παροῦσιν οἰκειότερον. Τάχα γὰρ καὶ γραφὴ τὴν σιγὴν ἐνεδρεύει, καὶ ζητεῖ πρόφασιν ἄλλης τραγῳδίας. Εἰ δὲ καὶ λοχᾷ τοὺς λόγους, πάλαι τῶν λοχώντων πεπειράμεθα. Δι' ὃ φθέγξεται μᾶλλον, ἢ σιωπήσει· φθέγξεται δὲ βραχέα καὶ ταπεινὰ, καὶ οἷα εἰκὸς, τοῖς οὕτω διακειμένοις, ἀποκρίνεσθαι.

Ἓν μὲν οὖν τὸ, « Ἐσοφίσατο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπους, καὶ ὑπὲρ Γεθὰν τὸν Ἰσραηλίτην, » καὶ ἐξῆς. Πρῶτον μὲν ἐκεῖνό φαμεν, ὡς οὐκ *Ἰσραηλίτην* εὑρομέν που γεγραμμένον, ὡς αὐτοὶ τὸ ῥῆμα παρέθεσθε· εἰ μήπω καὶ αὐτὴν ἡμῶν τὴν μνήμην προσαφείλοντο αἱ θλίψεις· ἀλλ' ἀντὶ τοῦ *Ἰραηλίτην*, *Ζαραΐτην* ἀνέγνωμεν· Ἰσραηλῖται μὲν γὰρ τὸ Ἰουδαίων ἅπαν φῦλον, καὶ κοινὴν ἔλκει τὴν κλῆσιν τὸ ἔθνος, κοινότητι δὲ χαρακτηρίζειν τινὰς, εἰς ἣν ἅπαντας συναφέρει τὸ γένος, οὐκ ἔστι δικαίαν λαβὴν ἐκφυγεῖν· ἀλλὰ τοῦτο μὲν ὀρθῶς ἂν εἴη ἔχον, εἰ ἀντὶ τοῦ *Ἰσραηλίτης*, *Ζαραΐτης*, μεταληφθείη· τὸν δὲ *Αἰθὰν*, ἕνια τῶν ἀντιγράφων *Γαιθὰν* ὀνομάζει, διωνύμῳ τάχα κλήσει, τὸν αὐτὸν ὑποδηλοῦντα. Τὸ μέντοι ἑξῆς τοῦ χωρίου καὶ εἰς δύο σχίζεται ἐδάφη, καὶ διπλῇ ποικίλλεται θεωρίᾳ. Εἰ μὲν γὰρ Αἶναν καὶ Χάλκαδ, καὶ Κάρδαλα, τὸ ἔδαφος ἀναπτύσσει παλαιοὺς ἄνδρας ἐπὶ σοφίᾳ γεγεννημένους ὑποφαίνει, οἳ κατὰ τὴν Αἴγυπτον προεφήτευσαν, οὕπω Μωσέως εἰς αὐγὰς ἡλίου προελθόντος·

VARIÆ LECTIONES.

[f] Ἴσ. κοινωνίαν.

Digitized by Google

γονῆς δ' ἄρα εἶεν οὗτοι τοῦ Ζαρὰ, ὃς ἐκ τῆς Θάμαρ ἐγένετο [a] τῷ Ἰούδᾳ· ἐνῆν δὲ αὐτοῖς μετὰ τῆς προφητείας, καὶ τῆς ἄλλης σοφίας, καὶ περὶ ποίησιν ὠδῶν ἡ φύσις λαχοῦσα τὴν εὐκληρίαν, ὡς καί τινας τῶν ψαλμῶν εἰς τὸ ἐκείνων ὄνομα τὴν ἐπιγραφὴν ἀναφέρειν. Φησὶ τοιγαροῦν ἡ θεία Γραφὴ, ὡς οὐ μόνον τῶν ἄλλων ἀνθρώπων, ἀλλὰ καὶ τούτων Σολομῶν ἐκράτει τῇ σοφίᾳ. Εἰ δὲ κατὰ θάτερον τῶν λογισμῶν εἶδος ἀποκρύψασθαι μὲν λέγοιτο Σολομῶν ἀνθρώπους πάντας, σοφίσασθαι δὲ καὶ ὑπὲρ Αἰθὰν, καὶ ὑπὲρ Αἰμάν· ἐκεῖνο προσῆκεν εἰδέναι, ὡς Αἰθάν τε καὶ Αἰμὰν οὐκ ἐν μνήμῃ, καθάπερ οἱ περὶ Χαλκὰδ, κατέλειπον τὴν αὐτῶν σωζομένην δόξαν· ἀλλ' ὑπὸ τοὺς αὐτοὺς χρόνους, ἐν οἷς καὶ Σολομῶν ἐπὶ σοφίᾳ [h-i] πάντας κατέπληττε θαύματι, καὶ αὐτοὶ, τοῦτο μὲν μεγέθει φύσεως, τοῦτο δὲ σοφίας πλούτῳ, τῶν ὁμογενῶν ἁπάντων ὑπερέχοντες ὠρῶντο. Καὶ τί ἄλλο, ἢ τὴν δόξαν δι' ὧν ἕφερον τὰ δεύτερα τῷ βασιλεῖ περιφανεστέραν ἀνεκήρυττόν τε, καὶ τοῖς πέρασι περιηχεῖν κράτος ἦσαν ἄμαχον ἐμπειρειληφότες· ψαλμῳδοὶ δὲ πρὸς οἷς ἐθαυμάζοντο, τοῖς ἄλλοις ἐχρημάτιζον καὶ οὗτοι διὰ κινύρας καὶ νάβλας καὶ κυμβάλων τὰ τοῦ Θεοῦ θαυμάσια μελῳδοῦντες; Ἦν δὲ τῷ μὲν Αἰθὰν πρόγονος, οἶμαι, ὁ Μεραρί· ὃς εἰς ἀριθμησιν τῶν παίδων τοῦ Λευΐ τρίτην ἀνεπλήρου τάξιν. Ὁ δὲ Αἰμὰν παῖς μὲν ἦν Ἰωὴλ, υἱδοῦς δὲ τοῦ προφήτου Σαμουήλ· ὃν τὰ Λόγια εἰς τὴν Κορὲ συνάπτει συγγένειαν· ἀνεψιαδοῖ δὲ Μωσέως τοῦ νομοθέτου, οἱ περὶ Κορὲ, ὥστε καὶ τῷ Αἰμὰν ἐκεῖθεν ἡ σωματικὴ ἀπορρόη τοῦ γένους. Ἀλλὰ περὶ μὲν τοῦ πρώτου ζητήματος ταῦτα.

A quo eos naturalis inclinatio ducebat, adeo ut quidam psalmi eorum de nominibus inscribantur. Ait ergo divina Scriptura, quod præstabat Salomon non modo cæteris hominibus, sed et istis. Si dicatur Salomon secundum utramvis speciem rationis superasse omnes sapientia, etiam et Æthan et Æman prætergressus; sciendum est, quod Æthan et Æman non commemorantur ut Chalcad opinionem de se tam celebrem reliquisse; sed eadem ætate qua Salomon admirabili sapientia præcessit omnes, et ipsi illi, partim naturæ beneficio, partim sapientiæ divitiis ultra omnes congeneres elati cernebantur. Qua autem alia in re, nisi hac, quod gloriosi a rege constituti in secundis ferebantur, et undique non æquandi prædicabantur: psalmis concinendis periti, quam ob causam erant cunctis admirationi: cum ipsi cynaris, nabliis, cymbalis mirabilia Dei decantarent. Erat autem, arbitror, Merari Æthanis progenitor, qui tertio filiorum Levi ordine censebatur: Æman filius Joelis erat, nepos prophetæ Samuelis; quem sacra oracula stirpitus Core assignant, exinde per carnalem progeniem descendebat Æman. Hæc ad quæsitum tuum primum.

Τὸν δὲ Δαβὶδ ἅπαξ ἴσμεν χρισθέντα, δεύτερον δὲ ἀναγορευθέντα εἰς βασιλέα· καὶ χρισθέντα μὲν ὑπὸ Σαμουὴλ τοῦ προφήτου· ἀναῤῥηθέντα δὲ, πρότερον μὲν ψήφῳ τῆς Ἰούδα φυλῆς ἐν Χεβρών· ἑπτὰ δὲ μεταγενέστερον ἐτῶν, παρὰ τῶν ὑπολοίπων φυλῶν τὴν φθάσασαν κρίσιν συμφώνοις γνώμαις ἐπικροτησάντων. Κοινότερον δὲ, τὰ Λόγια, καὶ τὴν προτέραν, καὶ τὴν ὑστέραν ὑπὸ τοῦ πλήθους ἀνάῤῥησιν, χρίσιν ὀνομάζει. Βασίλειον μέντοι στέφανον φαίνεται περιθέμενος Δαβὶδ, ὅσα γε ἐμὲ μεμνῆσθαι, ἡνίκα προπολεμήσαντος Ἰωὰβ ἐν Ῥεμὰθ τῶν υἱῶν Ἀμὼν, τὴν βασιλίδα πόλιν, ἐγγύς τε ἐγκαταστήσαντος τοῦ ἁλῶναι, ἐπιστὰς ὁ βασιλεὺς τέλος ἐπέθηκε τῇ πολιορκίᾳ· τότε γὰρ λάφυρον ἔχων τὸν στέφανον τοῦ Μελχὼλ (ἐβασίλευε δὲ καὶ αὐτὸς τῶν ἁλωκότων), ἅτε δὴ κατ' αὐτοῦ τε καὶ παντὸς τοῦ πλήθους ἀδήριτον καὶ λαμπρὰν αὐτῷ περιπεποιημένος τὴν νίκην, τῇ ἰδίᾳ περιῆψε κεφαλῇ, λίθῳ μὲν τιμίῳ περιηνθισμένον, ἕλκοντα δὲ σταθμὸν εἰς τάλαντον χρυσίου.

Davidem semel inunctum scimus; secundo inauguratum per suffragia tribus Judæ in Hebron; post septem annos a reliquis tribubus communibus suffragiis priorem ejus electionem confirmantibus: communi quadam ratione Scriptura priorem declarationem et generalem in regem inunctionem vocat. Videtur David regium diadema sibi imposuisse, quantum memoria mihi suggerit, cum Joab apud Ammonitos bellum gerente Remath urbs regia caperetur, sed prius quam Joab illam caperet, rex per suum adventum obsidioni terminum imposuit, tum enim inter spolia coronam Melchol cepit, et regnavit ipse super captivos; et ut splendidam atque indubiam victoriam se obtinere doceret, suo circumdedit capiti lapidem fulgentem pretioso, pendentem auri talentum coronam:

Τὴν δὲ κωλέαν ἡ τοῦ Ἀκύλου ἔκδοσις κνήμην ἀναγράφει. Εἴη δ' ἂν, ἀκριβέστερον εἰπεῖν, σκέλος· ὅπερ καὶ δυσὶν ἑτέροις ὀνόμασι δηλοῦται. Λέγω δὴ τὴν μετάμηρον κωλὴν, καὶ τὸ μετὰ τὸν μηρὸν ἀκροκώλεον· τὸ γὰρ τῆς κνήμης ὄνομα διαφόροις πράγμασιν ἐπιπλανᾶται. Εἰώθασι γὰρ καλεῖν κνήμην καὶ τὸ ἔμπροσθε [j] μὲν τοῦ σκέλους εἰς μῦν ἐπηρμένον, ὥσπερ τὸ ὄπισθεν ἀντικνήμιον· καὶ αὐτὸ δὲ τοῦτο τὸ συγκείμενον ἔκ τε τοῦ προκνημίου καὶ τῆς πα-

Κωλέαν versio Aquilæ κνήμην transtulit: sed exactius loquendo σκέλος esset; quod per alia duo nomina indicatur: intelligo autem μετάμηρον κωλὴν et μετὰ τὸν μηρὸν ἀκροκώλεον. Nomen enim illud κνήμη, in rebus variis divagatur: solent enim nominare κνήμην, id quod ante σκέλος est, et ad μῦν pertingit: ut quod a retro est nominant ἀντικνήμιον. Idem quoque dicitur id quod componitur e προκνημίου, et παρακνημίδος, una cum ob-

VARIÆ LECTIONES

[a] C. M. ἐγεννήθη. [h-i] Hæc duo verba desunt in Mon. [j] C. M. recte ἔμπροσθεν.

Digitized by Google

velante illud carne, et cuticula, quam vetus Græcorum lingua κνήμην vocat. Apposuit ergo Samuel κωλέαν coram Saul, illi honorem ante alios exhibens, quem honorem, regni insigne velut consecravit, quasi ipsum oporteret pro populo labores omnes subire, et adire pericula. Ideo superaddidit: « Comede id quod tibi in testimonium apponitur. » Quod sequitur, in quibusdam veteribus libris legitur παρὰ τοῦ λαοῦ in aliis παρὰ τοὺς ἄλλους, si legamus παρὰ τοῦ λαοῦ, hoc vult: Testimonium tibi exhibui in præsentia populi: sin, παρὰ τοὺς ἄλλους, per partem tibi præcipuam appositam honorem ante alios eximium exhibui. Nam membra hæcce corporis regni præ se ferunt imaginem: nam ut ista in corpore breviora sunt quam multa, tamen substrata sustinent molem totius compositi: ita et regalis firmitas, utcunque in uno aliquo comprimatur coarctata, et sic vacillet, tamen corpus totius reipublicæ compactum continet et substrata sustentat, nec permittit eam in se collisam diffringi. Ast hæc fortassis multo curiosius, quam vox εἴδωλον, explicantur. Tu autem animo valeas atque corpore nec ulterius istiusmodi iis offeras, qui sunt apud inferos: sed apud illos expone, quibus vitæ cursus est ad beneplacitum, quorum mens, oratio, manus non defecerunt.

A ρακνημίδος, ἅμα τῆς ἐπαλειφούσης αὐτὰ σαρκὸς, καὶ τῆς δερματίδος, ἣν παλαιὰ τῆς Ἑλλάδος γλῶττα κνήμην ὀνομάζει. Παρέθηκεν δ' οὖν ὁ Σαμουὴλ τὴν κωλέαν ἐνώπιον τοῦ Σαούλ· τιμὴν αὐτῷ τῶν ἄλλων προαπονέμων· σύμβολον δὲ τὴν τιμὴν ἐξοσιούμενος τῆς βασιλείας· καὶ τοῦ δεῖν αὐτὸν ὑπὲρ τοῦ λαοῦ πάντας ὑφίστασθαι πόνους, καὶ προκινδυνεύειν. Διὸ καὶ ἐπήγαγεν, « Φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι. » Τὸ δ' ἐφεξῆς, ἕνια μὲν τῶν παλαιῶν γραμμάτων, « παρὰ τοῦ λαοῦ· » ἕνια δὲ, « παρὰ τοὺς ἄλλους, » ὑπαγορεύει· ἀλλ' εἰ μὲν εἴη « παρὰ τοῦ λαοῦ, » ἀντὶ τοῦ, Ἐνώπιον τοῦ λαοῦ τὸ διὰ μαρτυρίου σοι προσενήνοχα, σημαίνει· εἰ δὲ « παρὰ τοὺς ἄλλους, » ἀντὶ τοῦ, Ἐξαίρετόν σοι, παρὰ τοὺς ἄλλους B προκρίτῳ μερίδι τὴν τιμὴν ἀνῆψα. Εἴη δ' ἂν τὰ μέλη ταῦτα τοῦ σώματος καὶ εἰκόνα φέροντα τῆς βασιλείας. Ὥσπερ γὰρ ταῦτα τῷ σώματι τοῦ ζώου βραχύτερα πολλῶν μελῶν ὄντα, ὅμως ὑπεστήρικται, καὶ ἀναβαστάζει τὸν ὅλον τοῦ συγκρίματος ὄγκον· οὕτω καὶ ἡ βασιλικὴ στερρότης, καίτοι ἐφ' ἑνὶ ἀνδρὶ συστελλομένη, καὶ σαλεύουσα σύμπαν τὸ σῶμα τῆς πολιτείας ἀνέχει τε καὶ ὑπερείδει· καὶ οὐκ ἐᾷ εἰς αὐτὴν καταπεσεῖν τε καὶ περιθραυσθῆναι. Ἀλλὰ ταῦτα μὲν ἴσως, καὶ φωνῆς εἰδώλου περιεργότερον. Σὺ δὲ ψυχὴν καὶ σώματι ἔρρωσο· καὶ μηκέτι τοῖς ἐν ᾅδου τὰ τοιαῦτα πρότεινε· ἀλλ' ἐκείνοις, οἷς τὰ κατὰ τὸν βίον εὑροεῖ, καὶ ὁ νοῦς, καὶ οἱ λόγοι, καὶ αἱ χεῖρες οὐ παρείθησαν.

QUÆSTIO CXVI. [*Coisl. Taur.* CXXXVIII.]
De patria Pauli.

ΕΡΩΤΗΣΙΣ ΡΙϚ'.
Περὶ πατρίδος Παύλου.

Edita a Montacutio (ep.. 246, *ad Euschem.*, p. 377, 378).

Paulus ille divinus apostolus, qui ex inflammato desiderio, et amore Christi, et inexsuperabili prædicationis cursu cœlestem illam Jerusalem occupatam suam fecit, patriam habuit jam olim a majoribus suis secundum corporis propagationem Giscala (viculus est ille nunc in Judæa olim urbecula censebatur): bello autem Romano parentibus ipsius cum plerisque aliis in captivitatem abductis Tarsum migrarunt, hic ille editus in lucem dicitur, et patriæ ascribebatur: « Ego sum, dixit ipse, vir Judæus, natus Tarsi in Cilicia: » benignitate vero Romanorum cum victoria contendente, et ad alienigenas se extendente, concessa fuit facultas partim gratis, pretio partim transcriptionis in nobilitatem et reipublicæ et nominis participandam. Hinc factum, ut parentes Pauli, et ipse per syllabas paucas, secundum humanas leges Romam patriam obtinerent, et rempublicam Romanam: hoc est, quod divinus ille vir insinuavit, inquiens apud chiliarcham, qui de civitate Romana pretio obtenta prædicabat, « Ego autem liber natus fui; » id est, sorte paterna Romana illa affinitas mihi contigit, nec de materno utero vulgaribus parentibus genitus in lucem prodii, sed qui beneficio

Παῦλος ὁ θεῖος ἀπόστολος, ὁ τῷ διαπύρῳ πόθῳ τῆς εἰς Χριστὸν ἀγαπήσεως καὶ τῷ ἀνυπερβλήτῳ δρόμῳ τοῦ κηρύγματος, τὴν ἄνω Ἱερουσαλὴμ ἑαυτῷ καταλαβόμενος πατρίδα, τὴν ἐκ παλαιῶν προγόνων, καὶ τῆς σωματικῆς γενέσεως τὰ Γίσχαλα (κώμη δὲ νῦν τὸ χωρίον τῆς Ἰουδαίας, πάλαι πολίχνιον χρηματίσαν) πατρίδα λαχὼν εἶχε· τῷ Ῥωμαϊκῷ δὲ δόρατι τῶν γεννησαμένων ἅμα καὶ πολλοῖς ἑτέροις τοῦ ἔθνους συνεαλωκότων, Ταρσοὺς αὐτῷ τὸ συνενεχθὲν, ἐν οἷς καὶ τὰς μητρικὰς ἔλυσεν ὠδῖνας, δίδωσι πατρίδα. « Ἐγὼ γάρ εἰμι, φησὶν, ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας· » εἶτα τῆς Ῥωμαίων φιλοτιμίας, τῷ μεγέθει τοῦ κράτους παραμιλλωμένης, καὶ μέχρις αὐτῶν τῶν ἀλλοφύλων τὸ φιλότιμον D καθυπατευούσης, εἰς τὴν τούτων εὐγένειαν, καὶ τῆς πολιτείας καὶ τοῦ ὀνόματος, τοῦτο μὲν πρώϊκα, τοῦτο δὲ καὶ χρήμασι πολλοῖς ἀναδραμεῖν ἐχαρίσθη ἐξουσία· γίνεται τοίνυν ἐκ τούτου καὶ τοῖς γονεῦσι τοῦ θεσπεσίου Παύλου συλλαβαῖς ὀλίγαις καὶ νόμοις ἀνθρωπίνοις πατρὶς ἡ Ῥώμη, καὶ τὸ Ῥωμαίων πολίτευμα. Καὶ τοῦτό ἐστιν, ὃ καὶ ὁ θεῖος ἐκεῖνος ἀνὴρ ἐπεσημήνατο λέγων πρὸς τὸν χιλίαρχον αὐχοῦντα τὴν ἐξ ἐμπορίας Ῥωμαίων συγγένειαν, ὡς « Ἐγὼ δὲ καὶ γεγέννημαι, » ἀντὶ τοῦ, Κατὰ κλῆρόν μοι πα-

VARIÆ LECTIONES.

[a] γλῶσσα deest in Mon.

Digitized by Google

τρῶον ἡ Ῥωμαϊκὴ συγγένεια κάτεισι, καὶ οὐκ ἰδιωτεύουσι τοῖς γονεῦσιν λαγόνων μητρῴων προῆλθον εἰς φῶς, ἀλλ' ἤδη καὶ τοῦ Ῥωμαϊκοῦ τοῖς γράμμασιν αὐτοὺς σεμνύνοντος αἵματος. Ὥστε οὐ μόνον δύο πατρίδες, ὅπερ αὐτὸς ἀμφισβητεῖς, τῷ τῆς ἀληθείας εὑρίσκονται ῥήτορι· ἀλλ' ἤδη πρὸς ταύταις καὶ τρίτη· ὧν εἷς μὲν τὰ Γίσχαλα, ἐν τῇ μερίδι καὶ δικαίῳ τῆς Βενιαμίτιδος φυλῆς ἀναφέρεται· οἱ Ταρσοὶ δὲ τῆς αἰχμαλωσίας δῶρον ἐγένοντο· Ῥωμαῖον δὲ τῶν τεκόντων ἡ εἰς τοὺς Ῥωμαίους ἀναγραφὴ ποιεῖ, καὶ τὸ πατρικὸν διὰ τοῦ κλήρου διαβαῖνον εἰς αὐτὸν ἀξίωμα.

A codicillorum Romanorum de eorum affinitate gloriabantur. Ita duæ patriæ, de qua re tibi quæstio instituitur, veritatis illi præconi contingebant; sed erat adhuc tertia; prima nempe, Giscala in tribu Benjamini; Tarsus beneficio captivitatis; Romana civitas per parentes, qui censu Romano describebantur, quæ dignitas per sortem paternam ad illum transibat.

ΕΡΩΤΗΣΙΣ ΡΙΖ'.

Ἡ αὐτὴ ἀπορία καὶ λύσις.

QUÆSTIO CXVII. [*Coisl.* CXXXIX.] (21)

Eadem dubitatio et solutio.

Edita a Montacutio (ep. 247, ad eumdem, p. 378, 280).

Ὥσπερ ὁ κλεινὸς Βαρνάβας, τὸ τῆς πραότητος καὶ συμπαθείας ὡς ἀληθῶς σκεῦος, αἵματι προγόνων Ἰουδαῖος ὢν, Κύπριον τὸ ἀπὸ τῆς πατρίδος εἶλκε γένος· καὶ ὁ λόγιος Ἀπολλὼς, ὁ τῷ κηρύγματι τὴν Ἔφεσον φθάσας, καὶ πρὸς τὴν Ἀχαΐαν διαβάς, Ἰουδαϊκῆς ὑπάρχων φυλῆς, ὅσα εἰς φύσιν ἀναφέρεται τῶν γεννησαμένων, διὰ τῆς παροικίας τὴν Ἀλεξάνδρειαν ἐπεγράφετο πατρίδα· οὕτω καὶ ὁ ἱερὸς Παῦλος, ἐξ Ἰουδαίων τε φὺς, καὶ εἰς τὴν Βενιαμίτιδα φυλὴν ἀνηγμένος, Ταρσοὺς τῶν τεκόντων τὴν Ἑλληνίδα πόλιν ἐπῳκηκότων, ἐκτήσατο πατρίδα. Ὥσπερ δὲ πάλιν ὁ χιλίαρχος, διὰ μὲν τῶν φύντων καὶ τῆς ἐνεγκούσης, ὡς πορρωτάτω τοῦ Ῥωμαϊκοῦ διίστατο γένους· χρήμασι δὲ, ὡς αὐτὸς ἐκεῖνος διωμολόγει, εἰς τὴν ἐκείνων εὐκλειαν ἀνελήφθη· καὶ ὥσπερ ἡ Φιλίππων πόλις τῆς Μακεδόνων ἐπαρχίας μητρόπολις οὖσα, καὶ οὐδὲν δίκαιον ἔχουσα πρὸς συγγένειαν Ῥωμαίων, ὅμως ἠδυνήθη τῷ ταύτης ὀνόματι λαμπρυνθῆναι. Καὶ γὰρ οἱ κύριοι τῆς παιδίσκης, ἐξ ἧς τὸ τοῦ Πυθῶνος ἀπηλάθη πνεῦμα, ἀγανακτοῦντες κατὰ τῶν τῆς ἀληθείας κηρύκων, καὶ πρὸς τοὺς στρατηγοὺς ἕλκοντες τοὺς ἀπαλλάξαντας τὸ πλάσμα τοῦ δαιμονίου, ἐπείπερ ἡ θεραπεία τῷ πάθει συναπήλαυνεν αὐτῶν καὶ τὴν ἐμπορίαν, « Οὗτοι οἱ ἄνθρωποι, φασὶν, ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν. » Ὁρᾷς; ὅπως οἱ Φιλιππήσιοι, τῇ Ῥωμαίων ἑαυτοὺς ἐπισεμνύνουσι κλήσει. Ὥσπερ δὲ πάλιν, τούτων ὕστερον, Ἰώσηπος Ἑβραίων τε γνησίας σποράς ἐκβλαστήσας, καὶ αὐτὰ πατρίδα τὰ Ἱεροσόλυμα κεκληρωμένος, ἐξ ἱερέων τε καὶ ἱερεὺς αὐτὸ τοῦτο χρηματίσας, πλὴν πρὸς τῇ Ῥωμαίων κλήσει, καὶ τὴν *Φλάβιος* ἐπεγράφετο προσηγορίαν· ὁ γέρας ἡ τοῦ Οὐεσπασιανοῦ ἐπωνυμία τοῖς Ῥωμαϊκὴν αὐχοῦσιν τὴν συγγένειαν ἐδίδου. Καὶ οὐ μόνον Ῥωμαῖον αὐτὸν καὶ Φλάβιον ἀναγράφων οὐδαμοῦ ξενίας ὁ Ἰώσηπος ἐάλω· καίτοι πολλῶν τῷ φθόνῳ κατ' αὐτοῦ βαλλόντων· ἀλλ' οὐδ' ἔνδειξιν εἰσήχθη. Εἰ βούλει δὲ καὶ αὐτὴ τῶν Ἱεροσολύμων ἡ πόλις, γενεαῖς ὑστέραις ἐκ τῆς Ἀδριανοῦ προσωνυμίας τὴν Αἰλίων κλῆσιν λαχοῦσα,

Quemadmodum præclarus ille Barnabas, comitatis et compassionis vas, per majorum sanguinem Judæus erat, sed patria ortus Cypro: et disertus ille Apollo, qui per suam prædicationem Ephesum occupavit, et inde transiit in Achaiam, cum, quod parentes spectat, de tribu Judæ esset, provincia tamen Alexandrina oriebatur; sic et sanctus Paulus, a Judæis ortus, et ad tribum Benjamini relatus, eo quod parentes Tarsum Græcam urbem incolebant, eam sibi patriam habuit: chiliarcha itidem per genitores suos patrem et matrem a Romana origine longissime aberat, sed data pecunia, quod fatetur ipse, in illorum nobilitatem assumebatur: et velut urbs Philippi, Macedonici regiminis metropolis, nec affinitatem habuit cum Romanis ullam, tamen de Romano nomine potuit illustrari: nam herus illius ancillæ e qua spiritus Pythonicus fuit, indignatus contra veritatis præcones, et trahens illos ad magistratum puniendos, qui creaturam Dei a diabolo liberaverat, eo quod per curationem illam illorum quoque lucrum absciderat, « Isti homines, inquiens, cum sint Judæi, nostram conturbant civitatem, et quasdam nobis obtrudunt consuetudines, quas admittere non debemus, cum Romani simus [46]. » Vides hic Philippenses titulo se Romano venditantes. Et post ea tempora, Josephus a Judaica propagine genuina genitus, et patriam sortitus Jerusalem, e sacerdotum stirpe sacerdos ipse, tamen more Romano Flavius dicebatur: quem illi honoris titulum, Vespasiani prænomen dedit, cum illis communem, qui consanguinitate cum Romanis efferebantur? Nec Josepho, qui Romanum et Flavium indigitabat, dicam aliqui ξενίας inscripsere; cum tamen ex invidia illi plures adversarentur; sed nec rapiebatur κατ' ἔνδειξιν, ad judicii tribunal: verum et ipsa urbs Hierosolymitana, sequenti sæculo, de Adriani nomine Æliæ titulo insigniebatur, et genus hoc pacto indutum Romanum communiter semper vocabatur. Quemadmodum autem isti omnes, natione et patria cum alienigenæ essent, in civitatem Romanam asciti fuerant;

[46] Act. xvi, 20.

NOTÆ.

(21) Hæc quæstio in cod. Taurin. indice non numeratur; inde a Coisliniano differt, cum quo in numero et ordine circa 138 priores quæstiones consenserat.

Digitized by Google

sic et beati Pauli parentes cum vitam suam agerent non in obscura gente Judæorum, sed ultra communem popularium sortem digni habebantur, qui tribubus Romanis ascripti et societate eorum gauderent : Paulus prudenter sortis paternæ successionem, et nobilitatem ad se a parentibus derivatam non ignorabat. Deinceps igitur tibi curæ sit non modo dubia proponere, sed et peculiarem illorum solutionem acceptare, et illa contentum esse : nam si quis dialecticas quæstiones, ab immediatis, et primis et καθ' αὐτὸ conetur solvere, ludibrio habebitur, nec mendacii effugiet actionem ; et si quis in rhetoricis regulas elementares ut necessarias requirat; si in mathematicis politica theoremata et superficiales persuasiones in medium proferre voluerit, ne quid fœdius dicam, ita est et hic; sed, et si quis etiam historicas quæstiones, non ex historia sed aliunde solvat, non est sperandum posse illum ad historicam veritatem pervenire; ita et hic.

A δημοποιητὸν, ὡς φάναι τὸ ἔπος, τὸ Ῥωμαίων γένος ὑπέδυ. Ὥσπερ οὖν οὗτοι πάντες, ἔθνους καὶ πατρίδος ὄντες ἀλλόφυλον [l], εἰς τὴν Ῥωμαϊκὴν ἐτέλεσαν πολιτογραφίαν · οὕτω καὶ οἱ τοῦ θεσπεσίου Παύλου γονεῖς, οὐκ ἐν τῷ λεληθότι τῆς Ἰουδαϊκῆς πολιτείας βιοῦντες, ἀλλὰ καὶ τῶν πολλῶν ἔχοντές τι πλέον, τῆς Ῥωμαϊκῆς φατρίας φυλέται διὰ τῆς ἐγγραφῆς ἐκρίθησαν οὐκ ἀνάξιοι χρηματίσαι · ἐξ οὗ καὶ ὁ σοφὸς Παῦλος διαδοχῆς κλήρῳ τὴν Ῥωμαίων εὐγένειαν πατρόθεν αὐτῷ κατιοῦσαν οὐκ ἠγνόει. Τὸ λοιπὸν μηκέτι σοι τὸ ἀπορεῖν μόνον · ἀλλὰ πολὺ μᾶλλον τὸ ἐπιζητεῖν τὸ οἰκεῖον τῶν λύσεων, καὶ ἀγαπᾷν ἐπιμέλεια γινέσθω. Ὥσπερ γὰρ εἴ τις τὰ κατὰ διαλεκτικὴν ζητήματα, ἐξ ἀμέσων τε καὶ πρώτων καὶ τῶν καθ' αὐτὸ, πειρῷτο διαλύσασθαι, διδοὺς τὸ γελοῖον, οὐδὲ τὴν τοῦ ψεύδους δίκην διαφεύγει · καὶ ἐν ῥητορείᾳ γραμμικὰς ὁ ἀπαιτῶν ἀνάγκας, καὶ ὁ τῶν κατὰ τὰ μαθήματα θεωρημάτων πολιτικάς τε καὶ ἐπιπολαίους πίστεις ἐπιχειρῶν προκομίζειν παραπλήσιόν τι, ἵνα μὴ ἀσχημονέστερον εἴπω, κατα-

B

λαμβάνει · καὶ τοὺς ὅσοι τῶν καθ' ἱστορίαν ζητημάτων ἀνέχουσιν, εἰς μάθησιν ἐλθεῖν τῆς ἀληθείας.

οὐχ ἱστορικῶς, ἀλλ' ἐξ ἑτέρου γένους, ἐλπίδα

QUÆSTIO CXVIII. [*Coisl.* CXL, *Taur.* CXXXIX.]

Cur circumcisus est Christus?

ΕΡΩΤΗΣΙΣ ΡΙΗ'.

Διὰ τί περιετμήθη ὁ Χριστός ;

Edita a Montacutio (ep. 218, *ad Georg. Nicomed.*, p. 380-383).

Profunditas divinæ Providentiæ, per quam Jesus Christus Deus noster in carne sua circumcidebatur, in judiciorum abyssum impervestigabilem humanam exsuperantem cogitationem immergitur : hoc e doctrina beatorum Patrum acceptum; denique ipsi ad cognitionem cogitationes nostras convertentes, cognoscemus non esse penitus insolubile : imprimis enim caro illi circumcidebatur, ad redarguendum eos qui Vetus Testamentum blasphemabant, et convitiis legislatorem prosequebantur. Cum enim circumcisionem ibi institutam, quod negare non possunt, is subiret, qui bonus, et Deus existebat, aperte patet, legem de circumcisione ferentem et bonum quoque esse, et boni largitorem fuisse, ejusdem, cujus illi erant, participem naturæ. Non enim si quis ex opposito fuisset, bonitatis fons ab ipso guttas aliquas de carne distillantes ostenderet : quocirca, ut patentia contra Patrem ora, vel contra Filium blaspheme loquentia obturaret (« Omnia enim Patris Filii sunt, ea quæ facit Pater, facit et Filius »), carnem sui præputii circumcidit ; et una sustulit multarum impiarum hæresium occasiones et ansas. Secundo, recole mecum et istud : Audebat olim impius ille hæresiarcha Apollinarius prodigiosa quædam comminisci, quod caro assumpta per Deitatem consubstantialitatem Deitatis simul possideat : carnem scilicet confinxit, qualem volebat, non qualem agnoscit suam natura humana, sed qualem elon-

C

D

Τὸ μὲν βαθύτερον τῆς Προνοίας, δι' ἣν Ἰησοῦς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, σαρκὶ τὴν περιτομὴν ἔσχεν, εἰς τὸν ἀνεξερεύνητον αὐτοῦ τῶν κριμάτων βυθὸν, τῆς ἀνθρωπίνης ἀναχωροῦν διανοίας, καταδύεται · ἃ δὲ, καὶ τῶν μακαρίων ἡμῶν Πατέρων διδασκόντων καὶ αὐτοὶ διασκοποῦντες συνιδεῖν, οὐχ εὑρίσκομεν ἄπορον. Πρῶτον μὲν ἐπ' ἐλέγχῳ τέμνεται τὴν σάρκα τῶν τὴν Παλαιὰν δυσφημούντων Διαθήκην, καὶ τὸν ἐν αὐτῇ νομοθετήσαντα ὕβρεσι βαλλόντων. Δι' ὧν γὰρ τὴν ἐκεῖθεν δοθεῖσαν περιτομὴν, ὡς οὐδ' ἂν αὐτοὶ ἀρνηθεῖεν, ὁ ἀγαθός τε καὶ ἀληθὴς Θεὸς ὑπέστη, τοῖς ἔργοις αὐτοῖς μαρτυρεῖ, τὸν τῆς περιτομῆς νομοθέτην ἀγαθόν τε εἶναι, καὶ ἀγαθῶν δοτῆρα, καὶ τῆς αὐτῆς φύσεως κοινωνόν. Οὐ γὰρ ἂν τινος ὄντος ἐναντίας, ἡ τῆς ἀγαθότητος πηγὴ τὰς ἐκεῖθεν τοῦ νόμου ῥανίδας διὰ τῆς σαρκὸς ἐπεδείκνυ προχεομένας. Ἵνα οὖν τὰ ἀπύλωτα στόματα, τὰ κατὰ τοῦ Πατρὸς, ἢ καὶ κατ' αὐτοῦ γε τοῦ Υἱοῦ τὴν βλασφημίαν λαλήσαντα ἐπιστομίσῃ (« Πάντα γὰρ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι· καὶ, ἃ ποιεῖ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ποιεῖ »), τέμνεται καὶ τὴν σάρκα τῆς ἀκροβυστίας · συνδιατέμνων αὐτῇ πολλῶν δυσσεβῶν αἱρέσεων ἀφορμάς. Δεύτερον δὲ ἐκεῖνό μοι νόει · ἐτόλμησέ ποτε ὁ δυσσεβὴς Ἀπολινάριος τερατεύσασθαι, ὡς ἡ προσληφθεῖσα σὰρξ, τῇ προσλαβούσῃ θεότητι τὸ ὁμοούσιον συνδιέσωζε · σάρκα γὰρ ἀνέπλαττεν, ὡς ἠβούλετο, οὐχ οἵαν ἡ ἀνθρωπίνη φύσις οἶδεν · ἀλλ' οἵαν ἡ φαντασία τῶν ἐξεστηκότων λογισμῶν ἐδημιούργει · ἡ τοίνυν [m] τομὴ τῆς σαρκὸς, καὶ τὸ πρὸς

VARIÆ LECTIONES.

[l] C. M. 553 f. 239 ἀλλοφύλου. [m] C. M. 553 f. 240a ἡ τοίνυν.

Digitized by Google

τὴν θεότητα λαμπρῶς ἀνακηρύττει ἑτεροφυὲς, καὶ τὸ πρὸς τὴν ἡμετέραν σάρκα ὁμοούσιον παριστᾷ. Τρίτον δὲ πρὸς τοῖς εἰρημένοις, οἱ τῶν Μανιχαίων παῖδες, φαντασίᾳ τὴν σάρκα τὸν Χριστὸν προειληφέναι δογματοποιοῦνται· ἀλλ' ὡς ὁρᾷς, προαποτειχίζεται τῇ περιτομῇ, καὶ τοῦτο τὸ δύσφημον. Ἡ φαντασία γὰρ τομὴν καὶ πάθος καὶ ῥύσιν ὁρωμένην αἵματος οὐκ ἀνέχεται· οὐδὲ τὰ τῆς ἀληθείας ἔργα, τὸ πλάσμα καθαρῶς παραδέχεται. Πάλιν Οὐαλεντῖνος κενοφωνεῖ, οὐκ ἐκ τῶν παρθενικῶν καὶ ἀχράντων αἱμάτων τὴν ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα παγῆναι· κάτω δὲ τῆς εὐσεβείας πεσὼν, ἄνωθεν αὐτῷ ποθεν καταβιβάζει τὸ σῶμα· ἀλλὰ καὶ τούτου πόρρωθεν, ὡς δῆλον, ἡ περιτομὴ τὸ θράσος παραποτέμνεται· καὶ πρὸς τούτοις περιτέμνεται, ἵνα τὸ βέβαιον τῆς δοθείσης ἐντολῆς παραστήσῃ· διαμένειν γὰρ αὐτῇ τὸ ἀπαράβατον μέχρι τῆς αὐτοῦ παρουσίας, ἐξ ὧν ὑπηρετήσατο, μετὰ τοῦ ἀνεπιλήπτου, συγκατασκευάζει. Εἰ γὰρ ὁ μὴ δεηθεὶς ὅλως περιτομῆς, ὅμως ὑπέρχεται[a] ταύτην, σχολῇ γ' ἄν τις ἄλοιη τῶν ὑπὸ τῷ νόμῳ ταύτην παρεωραμένος οὐκ ὀφείλων δίκας. Πάλιν τῶν Ἰουδαίων ὁ δῆμος φιλαιτιώτατος ὢν, καὶ τὰς μὴ οὔσας δεινὰς προφάσεις ἀναπλάττειν, εἰ μὴ τὴν περιτομὴν ὑποστὰς, οὗτος αὐτοῖς τὰ σωτήρια εἰσηγεῖτο· τίνος ἂν οὐκ ἐνόμιζον περιδράττεσθαι δικαιολογίας διωθούμενοι τὴν διδασκαλίαν ὅτιπερ ἀπερίτμητον[b] ὄντα καὶ ἐξ αὐτῆς ἑστίας[p] πάντα λύοντα θεσμὸν, πῶς ἐνῆν παραδέχεσθαι σωτῆρα; Ἵνα οὖν αὐτῶν ἀναχώρησιν πᾶσαν ἀποκλείσῃ, καὶ τὸ οἰκεῖον ἁμάρτημα, μηδεμίαν ἔχωσι χώραν, εἰς τὸν ἀναίτιον περιτρέπειν, περιτεμνόμενος τὴν ἀκροβυστίαν, συναποτέμνει τῶν ἀχαρίστων πᾶσαν εὐπρόσωπον πιθανολογίαν. Σκόπει δέ μοι κακεῖνο· εἰ μὲν μὴ περιτμηθεὶς, ἔπαυε τὴν πρᾶξιν, τάχα ἂν τισιν ὁ Δεσπότης, ὡς ἑαυτὸν ἀπαλλάσσων αἰτίας, καὶ τῆς ἰδίας προθέσεως προϊστάμενος, τὴν τῆς περιτομῆς ἀναίρεσιν διὰ τῶν μαθητῶν ὑπενοεῖτο μεθοδεῦσαι· ἐπεὶ δὲ καὶ περιτέμνεται, καὶ παύει τὸ ἔργον, καὶ ταύτην προαφαιρεῖται τὴν ὑπόνοιαν τῶν φιλαιτίων. Σὺ δὲ μηδ' ἐκεῖνο παραδράμῃς· τύπος ἦν καὶ σύμβολον τοῦ βαπτίσματος ἡ περιτομή· μήπω τοιγαροῦν τῆς[q] ἀληθείας φανερωθείσης, τὸν τύπον ἐπικρατεῖν ἔδει· ἐπιστάσης δ' ἐκείνης ταύτην ὑποχωρεῖν. Διὸ περιτέμνεται μὲν τὸ κρύφιον τῆς σαρκὸς, οὕπω τῆς ἐν χάριτι περιτομῆς φανερωθείσης· ἐκείνης δὲ τῷ Δεσποτικῷ βαπτίσματι πάντα περιαυγαζούσης, καὶ λαμπρὰν τὴν ἀλήθειαν ὑποδεικνυούσης, τὰ ἐν σκιᾷ καὶ αἰνίγματι παῤῥησιάζεσθαι τόπον οὐχ εὑρίσκει. Χωρὶς δὲ τῶν εἰρημένων, ἀναμνησθῆναι κακεῖ δεήσει, ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ τὰ ἔθνη πάντα ἐνευλογηθήσεσθαι[q]· ὅρκον καθ' ἑαυτοῦ διδοὺς ὁ Θεὸς τῷ δικαίῳ, ποιεῖται λογάδα πάντων ἐθνῶν τὴν ἐκείνου φυλήν· καὶ οἱονεὶ σφραγίζων αὐτὴν διὰ τοῦ φυλάρχου τῇ περιτομῇ, τήν τε πίστιν ἐπισημαίνεται τοῦ πατριάρχου,

Ἀρχὰς καὶ ἐξουσίας ἐκάλεσεν τὰ ἐναέρια καὶ πονηρὰ πνεύματα, οὐχ ὡς ἀρχὴν ἡμῶν ἢ ἐξουσίαν τινὰ οἰκοθεν ἢ ἄνωθεν ἐσχηκότων, ἀλλ' ὡς ταῖς ἁμαρτίαις ἑαυτοὺς ἡμῶν ἐκδεδωκότων, ὧν εἰσιν οἱ δαίμονες ὑποσπορεῖς τε (70) καὶ ὑποφῆται, ἐκείνων (71) τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν, δι' ὧν πράττομεν τὰ αὐτῶν θελήματα, παρεσχημένων. Καὶ γάρ φησιν ὁ αὐτὸς ἱερὸς ἄνθρωπος· « ὯΙ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. » Ἡττώμενοι γοῦν τοῖς ἐκείνων ἐρεθισμοῖς καὶ ὑποθήκαις, καὶ, πρὸς ἃ βούλονται τῆς ἁμαρτίας ἔργα, φερόμενοι, εἰκότως ἂν τοὺς ἄρχοντας καὶ ἐξουσιαστὰς τῶν ἐν ἡμῖν ἐκεῖθεν φυομένων παθῶν καθιστῶμεν, ἅτε δὴ τῆς μὲν ἐλευθερίας τοῦ παναγίου Πνεύματος, καὶ τὸ τῆς αὐτεξουσιότητος ἀφῃρημένοι κύριον, εἰς δούλους δὲ ἑαυτοὺς καὶ ὑπευθύνους τῆς ἁμαρτίας γραψάμενοι. Διὰ τοῦτο οὐχ ἁπλῶς τὰ τῆς πονηρίας πνεύματα τὰς ἀρχὰς καὶ ἐξουσίας καλεῖ, ἀλλὰ τοὺς κοσμοκράτορας καὶ τοῦ κόσμου (72). Κόσμον ἐνταῦθα, ὡς ἔθος τῇ Γραφῇ, οὐ τὸ δημιούργημα τὸ ἐξ οὐρανοῦ, καὶ γῆς, καὶ τῶν ἐν μέσῳ προαχθὲν, ἅπαγε · ἀλλὰ κόσμον τοὺς τὰ κοσμικὰ φρονήματα καὶ σαρκικὰ ἐπανῃρημένους, καὶ πρὸς τὰ τὰς αἰσθήσεις θέλγοντά τε καὶ ἐκθηλύνοντα (73) ἐπτοημένους, καθ' ὃ σημαινόμενον καὶ ὁ Σωτὴρ ἔλεγεν, περὶ τῶν μαθητῶν, « ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου. » Εὔδηλον μὲν γὰρ, ὅτι καὶ οὗτοι (74) ἐκ τοῦ δημιουργήματος ἦσαν, ὥσπερ (75) καὶ σύμπαν τὸ ἀνθρώπινον γένος. « Ἀλλ' οὐκ ἦσαν, φησὶν, ἐκ τοῦ κόσμου, » τουτέστιν, οὐκ ἦσαν ἐκ τῶν ἐπτοημένων πρὸς τὰ φθαρτὰ καὶ ἐπίκηρα τῆς κοσμικῆς ματαιότητος καὶ ἀπάτης. Τὸ δὲ, « ἐν τοῖς ἐπουρανίοις, » τινὲς μὲν τὸ πρόχειρον τοῦ φιλανθρώπου προτιμήσαντες, μεταπλάττοντες τὴν τῆς λέξεως ἀρχὴν, οὐκ,

D

[69] II Cor. XII, 11. [1] Ephes. VI, 12. [2] II Petr. II, 19. [3] Joan. XV, 19.

NOTÆ.

(70) Colb. pro ὑποσπορεῖσθαι.
(71) ἐκείνων scripsi pro ἐκεῖνα.
(72) Excidisse puto τούτου. Sic enim habet contextus.
(73) Coisl. ἐνθηλύνοντα.
(74) καὶ οὗτοι, addidi ex Colb.
(75) idem pro ὡς.

Digitized by Google

ἐπουρανίοις (76), ἀλλ', ὑπουρανίοις, ἐξακούουσιν, οὐχ οὕτως τῆς ἱερᾶς ἡμῶν Γραφῆς ἐχούσης, καὶ φασι τὰ δαιμόνια καλεῖσθαι ὑπουράνια, τουτέστι τὰ πνευματικὰ τῆς πονηρίας. Καὶ γὰρ κἂν τε περὶ ἀέρα, κἂν τε περὶ γῆν αὐτῶν ἡ διατριβὴ, οὐδὲν ἧττον ἂν ὑπουράνια ῥηθείη. Ἀλλὰ τούτων μὲν κἂν ἡ διάνοια οὐκ ἀσεβὴς, ὅμως ὁ μεταπλασμὸς οὐκ εὐσεβής. Οὐ δεῖ γὰρ οὐδ' ὅλως, οὐδ' ἐφ' ἑνὶ γράμματι, παραχαράττειν τὰς λέξεις τὰς ἱερὰς, μάλιστά γε (77) ὅτι καὶ τῆς ἀπαραχαράκτου λέξεως ἐχούσης, ὡς ἔφην, ἀνεμποδίστως ἡ τοῦ ῥητοῦ πρόεισι διάνοια. Καὶ γὰρ ἐπουράνια καὶ τὰ ἐντὸς τοῦ οὐρανοῦ εἴωθεν καλεῖσθαι, οἷον ὁ ἀήρ· καὶ οὐδὲν κωλύει, τὰ ἐν αὐτῷ διατρίβοντα (78), τουτέστι τὰ πνευματικὰ τῆς πονηρίας δαιμόνια, ἀπὸ τῆς ἐν αὐτῷ διατριβῆς οὕτως ὀνομάζεσθαι.

Πνευματικὰ δὲ εἴρηται, ὅτι σαρκὸς καὶ αἵματος οὐ μετέχει, ἀλλὰ ἄϋλόν τινα καὶ ἄσαρκον τὴν οὐσίαν ἀπ' ἀρχῆς ἐκληρώσαντο. Ἀκολουθότερον δ' ἂν τις καὶ τοῦ προκειμένου φαίη, ὡς ἐπουράνια ἐνταῦθα τὴν εὐσέβειάν τε καὶ τὰς ἀρετὰς ἐπωνόμασε. Καὶ γὰρ διὰ ταῦτα τὴν τῶν οὐρανῶν κληροδοτούμεθα βασιλείαν, καὶ ἔστι ἡμῖν ἡ πάλη « πρὸς τὰ πνευματικὰ τῆς πονηρίας » ἐν ταῖς ἀρεταῖς τε καὶ ἐν τῇ εὐσεβείᾳ, ἡμῶν μὲν κατορθοῦν ταῦτα σπουδαζόντων, ἐκείνων δὲ τὸν δυνατὸν αὐτοῖς τρόπον ἀντιτιθέντων, καὶ πάντα πόλεμον (79) ἀναδεχομένων. Διὸ σοφῶς (80) ὁ τῆς οἰκουμένης διδάσκαλος καὶ ἁρμοδίως ἔφη, ὡς « Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, » τουτέστι, τὰ μήτε σαρκὶ μήτε αἵματι συνδεδεμένα δαιμόνια. Καὶ τότε ἐν τίσι καὶ περὶ τίνων ὁ πόλεμος; « Ἐν τοῖς ἐπουρανίοις, » φησὶν, τουτέστιν ἐν τοῖς προξένοις τοῦ οὐρανίου σκηνώματος, ὅπερ ἐστὶν, ὡς εἴρηται, ἡ εὐσέβεια, καὶ τῶν ἀρετῶν ὁ χορός. Εἰ δέ τις (81), « ἐν τοῖς ἐπουρανίοις » προχειρότερον ἐκλαβεῖν θέλοι αὐτὴν τὴν ἐπουράνιον κατοικίαν, καὶ οὕτω (82) ὁ τῆς εὐσεβείας νοῦς εὐοδοῦται. Καὶ γὰρ ἡ πρὸς αὐτούς ἐστι πάλη, ἡμῶν μὲν ἀγωνιζομένων τυχεῖν τῆς οὐρανίου κληροδοσίας, ἐκείνων δὲ τοῦ στερῆσαι ταύτης καὶ ἡμᾶς, ἐξ ἧς αὐτοὶ καταπεπτώκασιν.

ἐπουρανίοις nonnulli, id, quod primum obvium est, illi, quod humanius est, præferentes, mutato vocis initio non ἐπουρανίοις, sed ὑπουρανίοις legunt (quamvis ita quidem codices sacri non habeant), dicuntque dæmonia ὑπουράνια, hoc est *spiritualia nequitiæ*, appellari. Quamvis enim sive circa aerem, sive circa terram illa versentur, utrinque ὑπουράνια vocari posse. Sed quanquam hæc eorum cogitata non impia sint, mutatio tamen illa non est pia. Nullo enim modo, ne ad unam quidem litteram dictiones sacras mutare fas est, inprimis, cum ex lectione, quam dixi, salva et intemerata commodus loci sensus prodeat. Ἐπουράνια enim etiam illa vocari solent, quæ cœlo continentur, verbi causa aer : nihilque obstat quominus, quæ in cœlo versantur, hoc est spiritualia nequitiæ dæmonia, a sua in illo commoratione ita appellentur.

Spiritualia vero vocantur, quod carnem et sanguinem non habent, sed ab initio essentiam materiæ et carnis expertem nacta sunt. At argumento convenientius dixeris, ἐπουράνια hoc loco pietatem et virtutes appellari. Propter illa enim regnum cœlorum adipiscimur, luctaque adeo nobis est « adversus spiritualia nequitiæ » in virtutum pietatisque studio, quando nos quidem illis operam damus, illa vero, quoad possunt, se opponunt, et bellum undequaque movent. Propterea communis orbis doctor sapienter et convenienter dixit : « Non est nobis lucta adversus sanguinem et carnem, sed adversus spiritualia nequitiæ, » hoc est adversus dæmonia, nec carni nec sanguini juncta. Bellum vero illud in quibus et de quibus agitur? « In cœlestibus, » inquit, hoc est in illis rebus, quæ cœleste habitaculum nobis conciliant. Tales vero sunt, ut monitum est, pietas et virtutum chorus. Si quis vero phrasin, « in cœlestibus, » propius accipere malit de cœlesti habitatione, et sic quoque sancta Pauli mens perspicietur. Lucta enim adversus dæmonas suscipitur, nobis quidem ad cœlestem hæreditatem contendentibus, illis vero eadem, qua ipsi exciderunt, etiam nos privare conantibus.

ΕΡΩΤΗΣΙΣ ΚΓ'.

Διὰ τί Πράξεις τῶν ἀποστόλων ἐπιγράφεται τὸ βιβλίον, καίτοιγε οὐ τῶν δώδεκα πράξεις περιέχει, ἀλλὰ κατ' ἀρχὰς μὲν θαύματα καὶ διδασκαλίαν ὀλίγην (83) τῶν ἀποστόλων, ἐφεξῆς δὲ εἰς Παῦλον κινεῖται πᾶσα ἡ πραγματεία;

QUÆSTIO CXXIII [*Coisl.* CXLV, *Taur.* CXLIV].

Quare liber Actuum apostolicorum ita inscribitur, cum tamen duodecim apostolorum acta non contineat, sed initio quidem miracula et doctrinas paucas apostolorum, postea vero tota tractatio in Paulum convertatur?

Editarum a Wolfio octava (l. c., p. 730-732. Galland. p. 722, 723, n. 24). — De titulo Actuum apostolorum.

Ὅτι Πράξεις, φησὶν (84), τῶν ἀποστόλων ἐπιγράφεται τὸ βιβλίον, καίτοιγε οὐ τῶν δώδεκα πράξεις

Actuum apostolicorum, inquit, liber vocatur, quamvis duodecim apostolorum acta non comple-

NOTÆ.

(76) Id quidem in nullo codice adhuc inventum est. Gundlingius tamen ita legi volebat, contra quem vide, quæ in Curis meis ad Ephes. l. c. disputavi.

(77) Colb. recte pro κάλλιστά γε.

(78) διατρίβοντα ἐν αὐτῷ, ex Colb. addidi.

(79) Idem pro πολέμιον.

(80) Sic scribendum pro σοφός, quod est in Coislin.

(81) τις Colb. recte pro τοῖς.

(82) οὕτω scribo, pro οὗτος.

(83) ὀλίγην habet apographum meum, quod ex Coislin. codice petitum puto. Ex eo tamen præstantissimus Montefalconius, p. 337 ὀλίγων exhibet. Malim alterum illud. Mox enim in limine tractationis itidem legitur ὀλίγην, et paulo post διήγησις τῆς διδασκαλίας ἐπ' ὀλίγον παρατείνεσθαι dicitur.

(84) Ex hoc verbo fortasse colligas Photium hæc aliunde mutua sumpsisse.

Digitized by Google

ctatur, sed primum quidem miracula et exiguam partem doctrinæ apostolorum, postea vero tota tractatio in Paulum transferatur. Enimvero liber propterea Actuum apostolicorum titulum refert, quia, teste Paulo, « Membro uno glorificato omnia membra simul glorificantur [4]. » Similiter quoque hic scriptor, Petri et Pauli acta communia faciens, librum hunc apostolorum Acta inscripsit. Quod si porro sub capite totum corpus comprehenditur, convenienter acta præcipuorum Actus apostolorum vocantur, quemadmodum et doctrina, tanquam apostolis communis, in illis traditur, quamvis enarratio ejus succincte et paucis fiat, commodam tamen hujus inscriptionis occasionem suppeditat. Scriptorem vero Actuum alii *Clementem Romanum* appellant, *Barnabam* alii, alii vero *Lucam evangelistam*. Ipse vero *Lucas* rem definit, quando primum quidem in limine libri præmonet, quod aliam commentationem, Domini gesta complectentem, scripserit; deinde vero a cæteris evangelistis in eo differt, quod nemo eorum tractationem suam usque ad ascensionem Christi producit, ipse vero solus et ascensionem illam accurate exposuit, et ab eadem Actuum initium fecit. *Matthæi* quidem Evangelium in eo desinit, ut discipuli undecim profecti dicantur, finisque ejus est : « Usque ad consummationem mundi : Amen [5]. » Itaque de ascensione nihil addit. *Marcus* vero non tam enarrat eam, quam obiter quasi commemorat, dicens : « Dominus itaque, postquam cum illis locutus erat, receptus est in cœlum, et consedit ad dextram Dei [6]. » Itaque nec modum, nec locum, nec alia, quæ cum actione hac conjuncta erant, persequitur. *Joannis* denique Evangelium historiam ascensionis in fine non tradidit, subinnuit vero, multa alia fecisse Jesum, quibus in unum collatis, non credere se, ipsum mundum libros de iis scriptos capere posse [7]. Itaque unus *Lucas*, quod dixi, et ascensionem in fine Evangelii latius persequitur, et ab eadem Actuum facit initium.

περιέχει· ἀλλὰ κατ' ἀρχὰς μὲν θαύματα καὶ διδασκαλίαν ὀλίγην τῶν ἀποστόλων, ἐφεξῆς δὲ εἰς Παῦλον κινεῖται πᾶσα ἡ πραγματεία. Πλὴν διὰ τοῦτο Πράξεις τῶν ἀποστόλων ἐπιγράφεται, διότι, κατὰ τὸν Παῦλον, « Δοξαζομένου ἑνὸς μέλους συνδοξάζεται (85) πάντα τὰ μέλη. » Οὕτω δὲ καὶ τὰς Πέτρου καὶ Παύλου πράξεις κοινοποιούμενος ὁ συγγραφεὺς, τῶν ἀποστόλων τὸ βιβλίον ἐπέγραψε, Πράξεις. Εἰ δὲ καὶ τῇ κορυφῇ συμπεριλαμβάνεται τὸ ὅλον σῶμα, εὐλόγως ἂν τὰς κορυφαίων Πράξεις ἐκάλεσαν τῶν ἀποστόλων, πλήν γε καὶ ἡ κοινὴ τῶν ἀποστόλων ἐμπεριεχομένη ταύταις διδασκαλία, κἂν ἐπ' ὀλίγον ἡ ταύτης διήγησις παρατείνεται, ἀλλ' ἀφορμὴν τῆς ἐπιγραφῆς παρέχεται εὔλογον. Τὸν δὲ συγγραφέα τῶν Πράξεων οἱ μὲν *Κλήμεντα* λέγουσι τὸν Ῥώμης, ἄλλοι δὲ *Βαρνάβαν*, καὶ ἄλλοι *Λουκᾶν τὸν εὐαγγελιστήν*. Αὐτὸς δὲ Λουκᾶς ἐπικρίνει, πρῶτον μὲν ἐξ ὧν προοιμιάζεται, ὡς καὶ ἑτέρα αὐτῷ πραγματεία, τὰς Δεσποτικὰς περιέχουσα πράξεις καταβέβληται. Δεύτερον δὲ, ἐξ ὧν καὶ τῶν ἄλλων εὐαγγελιστῶν διαστέλλεται, ὅτι μέχρι τῆς ἀναλήψεως οὐδεὶς αὐτῶν τὸ σύνταγμα προελθεῖν ἐποιήσατο, ἀλλ' οὗτος μόνος καὶ τὴν ἀνάληψιν ἀκριβῶς ἐξηγήσατο, καὶ πάλιν τὴν τῶν Πράξεων ἀπαρχὴν ἀπὸ ταύτης ὑπεστήσατο. *Ματθαίου* μὲν γὰρ τέλος ἔχει τὸ Εὐαγγέλιον· Οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν· τέλος, « Ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν. » Καὶ περὶ μὲν τῆς ἀναλήψεως οὐδὲν προστίθησι. *Μάρκος* δὲ εἰ καὶ μνημονεύει, ἀλλ' ὡς ἐν ἐπιδρομῇ, λέγων· Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ. » Οὔτε γὰρ τὸν τρόπον, οὐδ' ἄλλο τι τῶν συνεκτικῶν κεφαλαίων τῇ τηλικαύτῃ πράξει συνδιέλαβεν. *Ἰωάννου* δὲ τὸ Εὐαγγέλιον[ἐν τῷ] τέλει ἀναλήψεως μὲν οὐ παρέδωκεν ἱστορίαν, ἐπεσημαίνετο δὲ, ὅτι « Πολλὰ καὶ ἄλλα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. » Μόνος δὲ, ὡς εἴρηται, *Λουκᾶς* καὶ τὴν ἀνάληψιν ἐν τῷ τέλει τοῦ Εὐαγγελίου πλατύτερον διεξῆλθεν, καὶ τὴν ἀρχὴν τῶν Πράξεων ἀπὸ ταύτης προάγει.

QUÆSTIO CXXIV [*Coisl.* CXLVI, *Taur.* CXLV].

Quoties Christus apostolis post resurrectionem suam apparuit, et ubi, et quando?

ΕΡΩΤΗΣΙΣ ΡΚΔ'.

Ποσάκις ὁ Χριστὸς τοῖς ἀποστόλοις μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ὤφθη, καὶ ποῦ, καὶ πότε;

Editarum a Wolfio nona (l. c., p. 732, 733. Galland. l. c., p. 723, n. 25) — De numero apparitionum Christi post resurrectionem.

Intra quadraginta dies Salvator a discipulis conspectus est, undecies vero tantum se illis conspiciendum præbuit; nec sine ratione. Cum enim undecim essent discipuli, undecies quoque iisdem apparuit. Unde vero probari potest undecies tantum eum ab illis ita conspectum fuisse? Scilicet primum apparuit Mariæ juxta sepulcrum, nec minus feminis aliis [8]. Id quod et *Isaias* prænuntiavit, mulieres appellans, et dicens : « Mulieres a visione

Ὅτι ἐν τεσσαράκοντα ἡμέραις τοῖς μαθηταῖς ὁ Σωτὴρ ὠπτάνετο, ἑνδεκάκις δὲ μόνον αὐτοῖς εἰς ὀπτασίαν κατέστη. Καὶ εἰκότως· ἕνδεκα γὰρ ὄντων τῶν μαθητῶν, ἑνδεκάτην καὶ αὐτὸς τὴν ὀπτασίαν ἐποιήσατο. Πόθεν δὲ ἡ ἀπόδειξις, ὡς ἕνδεκα μόνον ὤφθη ἐντεῦθεν; Καὶ γὰρ πρῶτον μὲν ὤφθη τῇ Μαρίᾳ ἐν τῷ μνήματι, καὶ ταῖς ἄλλαις γυναιξίν. Ὥσπερ καὶ Ἡσαΐας προαναφωνεῖ, καλῶν τὰς γυναῖκας, καὶ λέγων· « Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε, ἀναγ-

[4] I Cor. XII, 26. [5] Matth. XXVIII, 20. [6] Marc. XVI, 19. [7] Joan. XXI, 25. [8] Joan. XX, 14.

NOTÆ.

(85) I Cor. XII, 26, ubi tamen pro συνδοξάζεται legitur συγχαίρει.

Digitized by Google

γείλατε ἡμῖν (85'). » Ἔπειτα ὤφθη Πέτρῳ, εἶτα τοῖς περὶ Κλεόπαν, εἰς τε τὴν ὁδὸν ἐπιοῦσιν αὐτοῖς εἰς Ἐμμαοῦμ, κἂν οὔπω συνήεσαν ἐκεῖνοι, καὶ ἐν τῇ κλάσει τοῦ ἄρτου, ὅτε ἐφανέρωσεν αὐτοῖς ἑαυτόν. Εἶτα τοῖς δέκα, μὴ παρόντος Θωμᾶ, οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ. Εἶτα ὁμοῦ ἐπάνω πεντακοσίοις ἀδελφοῖς, ἐφάπαξ, ὡς ἐπισημαίνεται Παῦλος, ὅτι καὶ αὐτῶν οἱ πλείους μένουσιν ἕως ἄρτι. Ἔτι δὲ Ἰακώβῳ· καὶ τοῦτο Παῦλος διδάσκει οὐχὶ μόνον τοῖς δώδεκα. Καὶ γὰρ προλαβὼν εἶπεν· « Ὤφθη Κηφᾷ· εἶτα τοῖς ἕνδεκα (86); » καὶ οὕτως ἐπήγαγεν τοῖς ἀποστόλοις. Εἶτα τοῖς ἑπτὰ ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, τουτέστιν Πέτρῳ καὶ Θωμᾷ καὶ Ναθαναὴλ, Ἰακώβῳ καὶ Ἰωάννῃ, καὶ ἄλλοις δύο τῶν μαθητῶν αὐτοῦ. Εἶτα τοῖς ἀποστόλοις πᾶσιν, τουτέστι τοῖς ἑβδομήκοντα. Εἶτα εἰς τὸ ὄρος τῆς Γαλιλαίας οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ὅτε (87) καὶ ἡ ἀνάληψις.

A revertentes, venite, annuntiate nobis. » Postea apparuit Petro[9], deinde Cleophæ[10] ejusque sociis, cum iter Emauntem facerent, rem ipsam nondum edocti, et cum in fractione panis seipsum illis manifestaret. Porro decem discipulis[11], cum *Thomas* non adesset[12], et quidem sub vesperam ipso resurrectionis die. Inde discipulis undecim, præsente etiam et annumerato illis Thoma. Postea fratribus quingentis et amplius simul, quorum plerosque adhuc superesse Paulus testatur[13]. Præterea Jacobo[14]; quod idem Paulus docet, non quidem tantum inter duodecim illos. Ante enim dixerat: « Apparuit Cephæ: postea duodecim illis[15]; » adeoque apostolis illum superaddidit. Deinde septem illis, ad mare Tiberiadis congregatis, hoc est Pe- B tro, Thomæ, Nathanaeli, Jacobo, Joanni, et aliis duobus discipulis suis[16]. Porro apostolis omnibus[17], hoc est septuaginta discipulis. Deinde in monte Galilææ[18], quo convenire eos Jesus jusserat, et in monte Oliveti, unde et Ascensio facta est[19].

ΕΡΩΤΗΣΙΣ ΡΚΕ'.

Διὰ τί παρήγγειλεν ὁ Χριστὸς τοῖς ἀποστόλοις ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, καὶ πότε τὴν ἐπαγγελίαν τοῦ Πατρὸς ἤκουσαν;

QUÆSTIO CXXV [*Coisl.* CXLVII, *Taur.* CXLVI].

Quare Christus præcepit apostolis, « ne Hierosolymis discederent, et, quando promissionem Patris audiverunt[20]? »

Editarum a Wolfio decima (l. c., p. 734, 735. Galland. p. 723, 724, n. 26). — In Acta apost. I, 4.

Παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου. Ἀλλ' ὅτι μὲν ὁ Σωτὴρ ἔφη, τοῦτο δῆλον. Εἶπεν γάρ, ὅτι « Ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ παρακαλῶ αὐτὸν, καὶ πέμπει ὑμῖν τὸν Παράκλητον. » Ὁ δὲ Πατὴρ ποῦ ἐπηγγείλατο; ἐκ μὲν γὰρ τοῦ Εὐαγγελίου ἡ τοῦ Πατρὸς ἐπαγγελία οὐχ εὑρίσκεται. Ἢ δῆλον, ὡς ἐν τοῖς προφήταις C εὑρίσκεται; ὡς μαρτυρεῖ καὶ Παῦλος λέγων· « Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις περὶ τοῦ Υἱοῦ αὐτοῦ. » Προεπαγγειλάμενος τοίνυν Εὐαγγέλιον, ἐπηγγείλατο καὶ Πνεῦμα ἅγιον διδόναι. Λέγει δὲ καὶ διὰ τοῦ προφήτου ὁ Θεός· « Ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος παντοκράτωρ, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν. » Ἰδοὺ ἡ ἐπαγγελία! Ἤδη ἔκβασις, ὅτι (88) τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει γλωσσῶν ἐφ' ἕνα ἕκαστον τῶν μαθητῶν ἐκάθισε, καὶ ἐλάλουν τὰ μεγαλεῖα τοῦ Θεοῦ. Ὅτι δὲ ὁ Πατὴρ ταῦτα λέγει, οὐχ ὁ Υἱὸς, D ἐκ τῆς ἐπαγωγῆς δῆλον. « Καὶ δώσω γάρ, φησὶ, σημεῖα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω. » Αἷμα μὲν γὰρ, ὁ παραδόξου σημείου λόγον ἐπέχει, τὸ ἐκ τῆς Δεσποτικῆς μετὰ θάνατον ῥεῦσαν πλευρᾶς· πῦρ δὲ, τὸ τοῖς ἀποστόλοις, ὡς προείρηται, διαιρεθέν.

Præcepit illis ne Hierosolymis discederent, sed exspectarent promissionem Patris, quam ex se audiverint. Quod Servator id dixerit, manifestum utique est. Dixerat enim: « Ascendo ad Patrem meum, et precabor illum, et mittet vobis Paraclitum[21]. » Ubi vero Pater illud promisit? Hæc enim Patris promissio ex Evangelio non constat. Nonne igitur consequitur, in prophetis eam inveniri? Id enim Paulus quoque testatur, dicens: « Paulus, servus Jesu Christi, vocatus apostolus, separatus ad Evangelium Dei, quod antea promisit per prophetas suos in Scripturis sacris de Filio suo[22]. » Quando itaque Evangelium ante promisit, promisit etiam se Spiritum sanctum daturum esse. Deus vero etiam per prophetam ait: « In ultimis diebus, dicit Deus omnipotens, de Spiritu meo effundam in omnem carnem, et prophetabunt filii vestri, et filiæ vestræ[23]. » En promissionem! Impleta vero illa est, quando Spiritus sanctus sub specie linguarum in unoquoque discipulorum consedit[24], ipsique magna Dei opera exponebant. Patrem vero hæc, non Filium, loqui, ex sequentibus apparet: « Dabo enim, inquit, signa in cœlo supra, et in terra infra. » Sanguis enim, qui signi mirabilis rationem habet, ille est, qui ex Domini latere post obitum fluxit; ignis vero ille, qui, ut dictum est, apostolis est distributus. « Sed et sol, inquit, in tenebras

[9] I Cor. xv, 5. [10] Luc. xxiv, 16. [11] Joan. xx, 19. [12] ibid. 26. [13] I Cor. xv, 6. [14] ibid. 7. [15] ibid. 5. [16] Joan. xxi, 2. [17] I Cor. xv, 7. [18] Matth. xxviii, 7. [19] Act. i, 12. [20] ibid. i, 4. [21] Joan. xiv, 16, cujus tamen non tam verba, quam sensum recitat Photius. [22] Rom. i, 2. [23] Joel iii, 1 sqq. [24] Act. ii, 3.

NOTÆ.

(85') Isa. xxvii, 11, ubi tamen ultima verba: ἀναγγείλατε ἡμῖν, frustra quæsiveris.

(86) I Cor. xv, 5, legis τοῖς δώδεκα.

(87) Legere malim ὅθεν.

(88) Legere malim, ὅτε.

Digitized by Google

convertetur, et luna in sanguinem, antequam veniat dies Domini magna et illustris, » hoc est, Filii. Hæc autem a Patre, non a propheta, dici, initium oraculi hujus testatur. Id enim ita habet : « In ultimis diebus, inquit Dominus, effundam de Spiritu meo super omnem carnem, » etc. Manifestum hinc est per Dominum, non prophetam, qui conservus noster est, sed Deum et Patrem, qui eum miserit, indicari.

A « Ἀλλὰ καὶ ὁ ἥλιος, φησὶν, μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, τουτέστι, τοῦ Υἱοῦ. » Ὅτι δὲ ἀπὸ τοῦ Πατρὸς εἴρηται ταῦτα, καὶ οὐκ ἀπὸ τοῦ προφήτου, ἡ ἀρχὴ τοῦ ῥητοῦ μαρτυρεῖ. Ἔχει γάρ· « Ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, » καὶ ἑξῆς. Κύριος δὲ δῆλον, ὅτι οὐχ ὁ προφήτης, ὁμόδουλος ὢν ἡμῖν, ἀλλ' ὁ τοῦτον ἀπεσταλκὼς Θεὸς καὶ Πατήρ.

QUÆSTIO CXXVI [*Coisl.* CXLVHI, *Taur.* CXLVII].

Quando baptizati sunt apostoli, et a quo?

ΕΡΩΤΗΣΙΣ ΡΚϚ'.

Πότε ἐβαπτίσθησαν οἱ ἀπόστολοι καὶ παρὰ τίνος;

Editarum a Wolfio undecima (p. 735-737. Galland. p. 724, n. 27). — De baptismo apostolis Christi dato.

Videmus apostolos ante passionem Christi baptismum Joannis accepisse. Neque enim Salvator ante passionem alium baptismum contulit, ne scilicet præconium Joannis irritum redderet, aut Judæis adversantibus occasionem præberet dicendi, quod in opprobrium Joannis baptismum quemdam proprium invexerit. Quod vero illi deerat, supplebat, non aqua baptizans, sed Spiritu. Sic enim ipse ait : » Vos vero baptizabimini Spiritu sancto, non post multos dies [88], » nempe decem. Decem vero dies huic operi definiuntur, ut fides apostolorum probaretur. Gratia enim quiescente, nulloque eorum, quæ promissa erant, comparente, fides eorum exercebatur, spes vero occasionem nanciscebatur, fidem non dubiam pariendi. Spiritu itaque sancto baptizari, idem est, quod Spiritum sanctum accipere. Spiritu igitur et aqua ante perpessionem Christi baptizati erant apostoli, lavacrumque illud iisdem in remissionem peccatorum, non autem Spiritus sancti collationem, cedebat. Joannem vero apostolos baptizasse, Dominus noster docet, ad Petrum, cum lavandus esset, abnuentem dicens : « Qui lotus est, necesse non habet lavari, nisi quod ad pedes [89]. » Hac enim voce ostendit, non Petrum solum, sed etiam cæteros, quorum itidem pedes tantum lavabat, Joannis baptismo esse ablutos. Salvator igitur baptismum pœnitentiæ, qui a Joanne in remissionem peccatorum administrabatur, adeo non abrogavit, ut addito Spiritus sancti dono eum perfecerit.

B Εὑρίσκομεν τοὺς ἀποστόλους λαβόντας βάπτισμα πρὸ τοῦ πάθους Χριστοῦ τὸ Ἰωάννου. Ὁ δὲ Σωτὴρ πρὸ τοῦ πάθους οὐ δίδωσι βάπτισμα ἕτερον, ἵνα μὴ λύσῃ τὸ Ἰωάννου κήρυγμα, καὶ δῷ ἀφορμὴν τοῖς ἀντιλέγουσιν Ἰουδαίοις, ὅτι πρὸς ὕβριν τοῦ Βαπτιστοῦ ἴδιον ἐπεισήγαγεν βάπτισμα. Ἀναπληροῖ δὲ τὸ λεῖπον, οὐκ ἐν ὕδατι βαπτίζων, ἀλλ' ἐν Πνεύματι. Καθὼς καὶ αὐτός φησιν, « Ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας, » δηλονότι δέκα. Δίδονται δὲ προθεσμίαι δέκα ἡμέραι διὰ γυμνασίαν τῆς τῶν ἀποστόλων πίστεως. Ἡσυχαζούσης τῆς χάριτος, καὶ μηδενὸς τῶν ἐπηγγελμένων φαινομένων, ἐγυμνάζετο αὐτῶν ἡ πίστις, καὶ ἡ ἐλπὶς τὸ ἀδίστακτον (89) καρποφορεῖν καιρὸν ἐλάμβανεν. Τῷ γοῦν βαπτισθῆναι ἐν Πνεύματι ἁγίῳ C ἴσον ἐστὶ τὸ λαβεῖν Πνεῦμα ἅγιον. Ἦσαν οὖν Πνεύματι καὶ ὕδατι πρὸ τοῦ πάθους βαπτισθέντες οἱ ἀπόστολοι. Καὶ ἦν τὸ λουτρὸν ἐκεῖνο εἰς ἄφεσιν μὲν ἁμαρτιῶν, οὐκ εἰς μετοχὴν δὲ Πνεύματος ἁγίου. Ὅτι δὲ τοὺς ἀποστόλους ὁ Ἰωάννης ἐβάπτισε, φανερὸν ὁ Δεσπότης ποιεῖ, ἐν τῷ λέγειν πρὸς τὸν Πέτρον, κατὰ τὸν καιρὸν τοῦ νιπτῆρος ἀνανεύοντα (90)· « Ὁ λελουμένος οὐκ ἔχει χρείαν νίψασθαι, εἰ μὴ τοὺς πόδας. » Ἔδειξε γὰρ διὰ τῆς φωνῆς οὐ μόνον τὸν Πέτρον λελουμένον, ἀλλὰ καὶ τοὺς ἄλλους ἐν τῷ νίπτειν αὐτῶν τοὺς πόδας μόνον, τῷ τοῦ Ἰωάννου βαπτίσματι. Ὁ Σωτὴρ οὖν τὸ μὲν βάπτισμα τῆς μετανοίας καὶ εἰς ἄφεσιν ἁμαρτιῶν τελούμενον παρὰ τοῦ Ἰωάννου οὐκ ἠθέτησεν, ἀλλὰ καὶ ἐτελείωσε προσθεὶς D τῇ τοῦ παναγίου Πνεύματος δωρεᾷ.

QUÆSTIO CXXVII [*Coisl.* CXLIX, *Taur.* CXLVIII].

Quomodo, qui in Christum baptizantur, Christum induunt?

ΕΡΩΤΗΣΙΣ ΡΚΖ'.

Πῶς οἱ εἰς Χριστὸν βαπτιζόμενοι Χριστὸν ἐνδύονται;

Editarum a Wolfio duodecima (p. 737, 738. Galland. 724, 725, n. 28).

Si Spiritus non est Deus, si non est divinæ gratiæ fons, quomodo illi qui Christum divinum indumentum induerunt, vulgare illud Spiritus sancti induunt? Si enim, quotquot in Christum baptizati

Εἰ μὴ Θεὸς τὸ Πνεῦμα, εἰ μὴ θείκης χάριτος πηγή, πῶς οἱ θεῖκὸν ἔνδυμα τὸν Χριστὸν ἐνδυσάμενοι ἰδιωτικὸν τὸ τοῦ Πνεύματος ἐπενδύονται; Εἰ γὰρ, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο,

[88] Act. I, 5. [89] Joan. XIII, 10.

NOTÆ.

(89) Sic scribo pro ἀδιάστακτον. Nostra illa voce Photius infra, resp. 154, et alias, utitur.
(90) Ita legendum pro ἀνανεύοντος.

Digitized by Google

λέγει δὲ ὁ Σωτὴρ, « Μείνατε ἐν Ἱερουσαλὴμ ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, » πῶς ἐν τῷ καιρῷ τοῦ Δεσποτικοῦ ἐνδύματος δουλικὸν ἐνδυόμεθα; Ἀλλὰ δῆλον ἄρα ἑκάτερον ἔνδυμα ὁμότιμον, καὶ μίαν καὶ τὴν αὐτὴν τῆς εὐεργεσίας καὶ χάριτος παρίστησιν αὐθεντείαν. Ἔνδυμα δὲ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται τῶν πιστῶν, οὐχ ὡς ἱμάτιον, ἀλλ' ὡς ἐνδύεται σίδηρος τὸ πῦρ· οὐκ ἔξωθεν περιβαλλόμενος, ἀλλ' ὅλος δι' ὅλου. Οὕτω γὰρ καὶ τὸν Χριστὸν τὸ πανάγιον Πνεῦμα οὐχ ὡς ἱμάτιον, ἔξωθεν περικείμενον, περιβαλλόμεθα, ἀλλ' ὡς τὴν καρδίαν καὶ τοὺς λογισμοὺς πληρούμενοί τε φωτὸς καὶ τὸ πρόσωπον χάριτος. Διὸ καὶ ἀτενίζοντες εἰς τὸ πρόσωπον Στεφάνου οἱ ἐπανιστάμενοι εἶδον τὸ πρόσωπον αὐτοῦ ὡς πρόσωπον ἀγγέλου.

A sunt, Christum induerunt; Dominus vero noster dixit: « Manete Hierosolymis, donec super vos veniat Spiritus sanctus [27]: » quomodo eo tempore, quo Dominum instar vestis induimus, servilem aliquam recipere possumus? Ex his itaque apparet utrumque vestimentum ejusdem pretii esse, eamdemque et beneficentiæ et gratiæ dignitatem afferre. Spiritus vero sanctus indumentum credentium appellatur, non, quod instar vestis sit, sed ita, ut ferrum ignem induit; non, quod extrinsecus circumjiciatur, sed quod totus totum pervadat. Ita enim et Christum, sanctissimum illum Spiritum, non instar vestis, extrinsecus injectæ, induimus, sed ut tales, qui quod ac cor et animum luce, quod ad vultum vero gratia impleantur. Propterea B et adversarii illi, qui Stephani vultum intuebantur, faciem ejus ut faciem angeli conspiciebant [28].

ΕΡΩΤΗΣΙΣ ΡΚΗ'.

Τί καλοῦσιν οἱ ἄγγελοι Γαλιλαίους τοὺς ἀποστόλους (91);

QUÆSTIO CXXVIII [*Coisl.* CI., *Taur.* CXLIX].

Quare angeli apostolos Galilæos vocant?

Editarum a Wolfio decima tertia (p. 738, 739. Galland., p. 725, n. 29). — In Acta I, 10, 11.

« Καὶ ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ. » Οὐκέτι, φησὶν, ἀναλαμβανομένου, λέγει, ἀλλὰ, πορευομένου. Καὶ γὰρ τῇ σαρκὶ μὲν (92) ἀνελήφθη, τῇ αὐθεντείᾳ δὲ ἐπορεύετο. Γαλιλαίους δὲ καλοῦσι τοὺς μαθητὰς οἱ ἄγγελοι σεμνύνοντες αὐτούς· Γαλιλαῖοι γὰρ *οἱ ἀποκεκαλυμμένοι* (93) σημαίνει. Καὶ γὰρ καὶ πρῶτον σημεῖον ἐν Κανᾷ τῆς Γαλιλαίας ἐποίησεν ὁ Χριστὸς, καὶ ἐκεῖ ἐφανέρωσε καὶ ἀπεκάλυψε τὴν δόξαν αὐτοῦ. Ἔνθεν καὶ ὁ προφήτης Ἡσαΐας προανακράζει· « Ἐπένθησεν ἡ γῆ, ἠσχύνθη ὁ Λίβανος· ἔλη ἐγένετο ὁ Ἀσσαρών. Φανερὰ ἔσται ἡ Γαλιλαία καὶ ὁ Κάρμηλος (94). » Ἐνταῦθα δεῖ ὑποταγῆναι, « Τί ἐστήκατε ἐμβλέποντες; » Καὶ ὁ μὲν Ἠλίας ὡς δοῦλος εἰς ὕψος ἀέριον ἀνελήφθη, οὐκ εἰς τὸν οὐρανόν (95)· ὁ δὲ Δεσπότης ὡς Κύριος πάντων, οὐχ ὡς εἰς τὸν οὐρανόν [ἀλλ' εἰς τὸν οὐρανὸν ἀληθῶς.] Καὶ τρίτον δὲ ἐπισημαίνεται τὸ πορεύεσθαι, ἢ ἀναλαμβάνεσθαι τὸν Δεσπότην εἰς τὸν οὐρανὸν τῇ τριπλῇ τοῦ ῥήματος ἐπιφορᾷ τὸ βέβαιόν τε καὶ ἀληθὲς καὶ ἀφαντασίαστον παριστῶν. Ἴδίωμα γὰρ καὶ βεβαιώσεώς τε καὶ ἀσφαλείας τὸ τοιοῦτον σχῆμα τοῦ λόγου ἡ ἱερὰ ἡμῶν οἶδεν Γραφή.

« Et intuentes erant in cœlum, eo abeunte. » Non jam, inquit, *sublato eo*, dicit, sed *abeunte*. Nam quod ad corpus *sursum tollebatur*, ex sua vero potestate *abibat*. Galilæos vero angeli apostolos honoris causa appellant. Vox enim *Galilæi* homines revelatione instructos denotat. Nam et primum miraculum Dominus Canæ in Galilæa edidit, ibique gloriam suam manifestavit et revelavit [29]. Propter- C ea etiam Isaias propheta olim clamavit: « Luxit terra: pudefactus est Libanus: desertum evasit Saron: illustris erit Galilæa et Carmelus. » Hoc loco porro subjici debet illud: « Quid statis spectantes? » Elias quidem, ut servus, in aerem altum tollebatur, non in cœlum, sed *quasi* in cœlum; Dominus vero noster, ut Dominus omnium, non tollebatur *quasi* in cœlum, sed in cœlum vere. Tribus porro vicibus per triplicis verbi usum indicatur, Dominum in cœlum profectum vel sublatum esse, ut sic intelligatur, certe et vere id factum esse, nec id opinione quadam absolvi. Sacra enim Scriptura hac loquendi ratione ad fidem rei faciendam uti consuevit.

ΕΡΩΤΗΣΙΣ ΡΚΘ'.

Τίνος ἡ φωνὴ, « Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; »

D

QUÆSTIO CXXIX. [*Coisl.* CLI, *Taur.* CL.]

Cujusnam hæc vox: « Quis est iste rex gloriæ? »

Edita a Maio (*Nov. coll.* t. IX, p. 99).—In Psalm. XXIII, 8 (Gr. et Hebr. Ps. XXIV).

Ὥσπερ ἡ γῆ θεασαμένη τὸν Κύριον καὶ Σωτῆρα δύναμιν ἔχοντα θεϊκὴν καὶ ἐπιτάσσοντα τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, ξενιζομένη ἔλεγε· « Τίς ἐστιν οὗτος

Quemadmodum terra, viso Domino et Salvatore divina gaudente potentia, ventibusque et mari imperanti, attonita dicebat: « Quis est hic, quia venti

[27] Act. I, 4. [28] Act. VI, 15. [29] Joan. II, 11.

NOTÆ.

(91) Act. I, 11. In Colb. hæc quæstio ita proponitur: Διὰ τί εἶπε, πορεύομαι (leg. πορευομένου) αὐτοῦ, καὶ οὐκ, ἀναλαμβανομένου; Deinde in margine scribuntur reliqua: Καὶ διὰ τί καλοῦσιν, κ. τ. λ.

(92) Sic scribo pro μή.

(93) Ita scilicet vox Γαλιλαῖοι derivatur ex גלה *revelavit*, quemadmodum in *Glossario sacro*, quod nuper admodum Jo. Albertius, vir doctissimus, in lucem protulit, p. 54. Γαλιλαία per ἀποκάλυψιν explicatur. Confer ibi notas.

(94) Isa. XXXIII, 9. Notabis ibi aliquot lectionum varietates.

(95) ἀλλ' ὡς — τὸν δεσπότην εἰς τὸν οὐρανόν in Coislin. a librario omissa, ex Colb. addidi.

Digitized by Google

et mare obediunt ei? » sic et cœlum, incarnatam videns divinitatem, attonitum dicit : « Quis est iste rex gloriæ? »

ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουσιν αὐτῷ ; » οὕτω καὶ ὁ οὐρανὸς ἐν σαρκὶ βλέπων τὴν θεότητα, ξενιζόμενος λέγει· « Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δοξης ; »

QUÆSTIO CXXX [*Coisl.* CLII, *Taur.* CLI].

Quare jejunii tempus diebus quadraginta constet.

ΕΡΩΤΗΣΙΣ ΡΛ'.

Διὰ τί ὁ τῆς νηστείας χρόνος ἐν μ' ἡμέραις ἀριθμεῖται ;

Edita a Maio (l. c. p. 99, 100). — De jejunio quadraginta dierum.

Quærunt aliqui : Quare jejunii tempus diebus quadraginta nobis circumscribitur, nec usque ad quinquaginta vel ac sexaginta extenditur, nec iterum citra quadraginta clauditur? Non solum nobis ita traditum est, sed et ipse omnium Dominus et Salvator noster, legislator eorum qui sunt in gratia, quadraginta diebus videtur jejunasse, ut cum illi insidiaretur diabolus, ad pugnam paratus inveniretur. Et ante Dominum Eliam prophetam eodem dierum numero in jejuniis moratum fuisse legitur, et etiam ante illum Moysen, in monte Sinai, cum ad tabulas legis a Deo recipiendas sese compararet. Quæstio ergo ea est. Alius forte profundiorem et sublimiorem, nec non et altiorem et magis divinam causam, oculis ad prædictos viros attentis et elevatis, daret. Quæ autem nobis in mentem venerunt dicemus. Sex diebus Deus hunc præsentem et visibilem mundum creavit, septima autem die requievit ab omni opere, et finem perpulchro operi dedit; connumeratur autem illa cum iis quæ sunt antea, sicut et omne temporis alicujus principium et finis, in numeratione illorum quæ intersunt, comprehenduntur; et præsens sæculum continua hebdomadæ in modum circuli serie componitur. Octava autem futurum sæculum designat, et (translationem) ex hoc præsente sæculo in aliud quoddam magis divinum otium et in quietem, quæ octava vocatur et prima et una. Octava quidem, cum sit aliud quoddam interstitium per tempus ante hebdomadam consummatum, prima vero, cum sit initium requiei et vitæ magis divinæ et melioris, una autem, quia non est post eam alia temporalis periodus, sed ipsa est sine fine mansura.

Istis ergo præmissis, quicunque septimam hebdomadæ diem, quæ est tempus fugitivum et caducum, et cum fugitivis et fragilibus pertransiens et effluens, sensus omnes iniquitatibus et passionum turbine fascinabant; auditum quidem cantibus meretriciis et omnibus istius generis repleverant; visus autem illis enervantia spectacula; tactus etiam et gustus et olfactus, ne de singulo sensu loquendo sermonem longius protraham, quibus non licet applicantur, ita ut illi indiscriminatum ad ea quæ natura illis affert, et quæ a lege divina non prohibentur, sese ferant. Quinque ergo sensus cum ita inquinati sint et contaminati a passionibus et inclinationibus quas in hoc tempore fugitivo contrahimus, illorum purificatio et ad pristinum restitutio non fieri potest secundam formam et imitationem fugitivi et perversi temporis, potius

Ζητοῦσί τινες· Τί δήποτε ὁ τῆς νηστείας χρόνος ἐν ἡμέραις ἡμῖν μ' περιγράφεται· καὶ οὔτε εἰς τὸν πεντηκοστὸν ἢ ἑξηκοστὸν παρατείνεται, οὐδὲ ἐντὸς πάλιν τῶν μ' περικλείεται; καὶ οὐχ ἡμῖν μόνον οὕτω παραδέδοται, ἀλλὰ καὶ αὐτὸς ὁ κοινὸς Δεσπότης καὶ Σωτὴρ ἡμῶν, ὁ νομοθέτης τῶν ἐν τῇ χάριτι, μ' ἡμέρας φαίνεται νηστεύσας, ὁπότε αὐτῷ προσβαλεῖν [ἐμελλεν] ὁ πειράζων, πρὸς ἀγῶνα ἀπεδύετο· καὶ πρό γε τοῦ Δεσπότου ὁ προφήτης Ἠλίας, τοσαύτας ἡμέρας διανύσαι ἐν νηστείαις ἀναγέγραπται· καὶ ἔτι πρὸ τούτου Μωϋσῆς ἐν τῷ Σιναίῳ ὄρει ἡνίκα τὰς πλάκας θεόθεν λαβεῖν παρεσκευάζετο· ἡ μὲν οὖν ζήτησις αὕτη. Ἀλλὰ γὰρ τὴν μὲν βαθυτέραν καὶ ἀπορρητοτέραν αἰτίαν ἴσως ἄν τις ἄλλος κατὰ τοὺς προειρημένους ἄνδρας ἀνηγμένος τε καὶ μετάρσιος τὴν θεωρίαν, ὑψηλοτέραν τε καὶ θειοτέραν ἀποδώσειεν· ἃ δὲ εἰς ἡμετέραν ἦκε μάθησιν, ἐροῦμεν. Ἐν ἓξ ἡμέραις ὁ Θεὸς τὸν παρόντα καὶ ὁρώμενον τοῦτον κόσμον ἐδημιούργησε, τῇ δὲ ἑβδόμῃ κατέπαυσε μὲν ἀπὸ τῶν ἔργων καὶ πέρας ἔθηκε τῷ φιλοτεχνήματι· συναριθμεῖται δὲ καὶ αὕτη ταῖς πρὸ αὐτῆς, ὥσπερ καὶ πᾶσα ἀρχὴ χρόνου τινὸς καὶ πέρας ἐν τῇ συναριθμήσει τῶν μεταξὺ συμπεριλαμβάνεται· καὶ ὁ παρὼν αἰὼν τῆς ἑβδομάδος συνεχῶς ἀνακυκλούμενος ἀπαρτίζεται· ἡ δὲ ὀγδοὰς τὸν μέλλοντα αἰῶνα δηλοῖ, καὶ τὸν ἐκ τοῦ παρόντος εἰς ἄλλην τινὰ θειοτέραν λῆξιν καὶ κατάστασιν, ἥτις καὶ ὀγδοὰς καλεῖται καὶ πρώτη καὶ μία· ὀγδοὰς μὲν ὡς ἄλλο τι διάστημα παρὰ τὸν συμπληρούμενον χρόνον πρὸ τῆς ἑβδομάδος ὑπάρχουσα· πρώτη δὲ ὡς ἀρχὴ οὖσα λήξεως ἑτέρας καὶ πολιτείας θειοτέρας καὶ ἀμείνονος· μία δὲ ὡς οὐκ ἔχουσα μετ' αὐτὴν, ἑτέραν χρονικὴν περίοδον, ἀλλ' αὐτὴ ἀτελευτήτως ὑπάρχουσα καὶ διαμένουσα.

Τούτων οὕτω προτεθεωρημένων ἡμῖν, ὅσοι μὲν ἑβδόμην κατὰ τὴν ἑβδομάδα βούλοιντο τὸν ῥευστὸν τοῦτον χρόνον καὶ ἐπίκηρον καὶ τοῖς ῥευστοῖς καὶ φθαρτοῖς συμπαραμετρούμενόν τε καὶ συμπαραῤῥέοντα, οὗτοι ταῖς ἁμαρτίαις καὶ τῶν παθῶν τῇ ἀχλύϊ τὰς αἰσθήσεις πάσας κατεκηλίδωσαν· καὶ ἀκοὴν μὲν ἔπλησαν ᾀσμάτων πορνικῶν καὶ τῶν ὅσα τούτοις συνέπεται· καὶ ὄψις μὲν αὐτοῖς τὰ ψυχοφθόρα θεάματα· ἁφὴ δὲ καὶ γεῦσις, καὶ ὄσφρησις, ἵνα μὴ καθέκαστον αἰσθητήριον λέγων εἰς μῆκος ἀποτείνω τὸν λόγον, οἷς οὐ θέμις ἐνδιατρίβουσιν· ἐξ ὧν αὐτοῖς ἀκατακρίτως ἃ τε ἡ φύσις παρέσχετο καὶ ἃ μὴ θεῖος νόμος ἐκώλυσε, περὶ ταῦτα ἀναστρέφεσθαι. Τῶν οὖν ἐν ἡμῖν ε' αἰσθήσεων οὕτως ἐῤῥυπωμένων τε καὶ λελυμασμένων ὑπὸ τῶν παθῶν τε καὶ τῆς ῥοῆς, ἃ ἐν τῷ ῥέοντι προσλαμβάνομεν χρόνῳ, τούτων ἡ κάθαρσις καὶ ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις οὐκ ἂν

Digitized by Google

γένοιτο κατὰ τὸν τύπον καὶ τὴν μίμησιν τοῦ ῥευστοῦ καὶ φιλαμαρτήμονος χρόνου· κατὰ τὴν τάξιν δὲ μᾶλλον καὶ παιδαγωγίαν καὶ ἐκμίμησιν τοῦ ἀπαθοῦς τε καὶ ἀῤῥεύστου καὶ ἀτελευτήτου χρόνου· ὃν ὁ λόγος μικρὸν ἄνωθεν ὀγδόην τε καὶ πρώτην καὶ μίαν ἐδίδαξεν ἐπονομάζεσθαι. Ἐπεὶ οὖν αἱ ε' αἰσθήσεις ἡμῶν ἐπὶ τὴν ὀγδοάδα πολλαπλασιαζόμεναι τὸν μ' ἀποτελοῦσιν ἀριθμόν· διὰ δὲ τῶν ε' αἰσθήσεων ζῶμέν τε καὶ τὰς πράξεις ἐπιτελοῦμεν ὅσαι τε φαῦλοι καὶ ὅσαι εἰς ἀρετῶν ἀναφέρονται λόγον, εἰκότως διὰ μ' ἡμερῶν ταύτας καθαίρομεν, καὶ πᾶσαν αὐταῖς ἰατρείαν προσάγειν παρελάβομεν, οὕτω κατὰ ταύτας πολιτεύεσθαι ὡς ἂν ἡ ὀγδοὰς, ἀλλὰ μὴ τὸ ῥευστὸν τῆς ἑβδομάδος ἐπιτάττῃ τε καὶ διακελεύηται· ταύτῃ δὲ ἡμῶν τῇ θεωρίᾳ καὶ ὁ ἅγιος Ἰωάννης ὁ Κωνσταντινουπόλεως ἔν τινι τῶν αὐτοῦ λόγων ὃς ἐπιγέγραπται, Περὶ νηστείας, συνᾴδων τε καὶ προμαρτυρόμενος ἐπιδείκνυται.

A vero secundum ordinationem et disciplinam et formam impassibilis et immutabilis et æterni temporis, quod paulo superius octavam primamque et unam vocari didicimus. Cum ergo quinque sensus nostri per octavam multiplicati quadraginta numerum efficiant, per quinque autem sensus vivamus, et actiones sive turpes, sive virtutis habentes rationem efficiamus, merito illos per quadraginta dies purificamus, et illis omnem sanationem procurare suscipimus, ita illos regentes ut octava, at non fugitiva hebdomada dirigat et imperet. Huic autem sententiæ sanctus Joannes Constantinopolitanus, in aliqua ex suis orationibus quæ titulum habet, De jejunio, concordare et testificare videtur.

ΕΡΩΤΗΣΙΣ ΡΛΑ.

Τί λέγεται μαγνῆτις.

B

QUÆSTIO CXXXI [*Coisl.* CLIII, *Taur.* CLII].

Quid sit magnes.

Edita a Maio (*Nov. Coll.* t. I, p. 125-127).

α'. Μαγνῆτις ὅπερ ἐρώτησας καλεῖται ἡ τὸν σίδηρον ἕλκουσα λίθος· ὅτι Μάγνητας ἄνδρας λιθοφόρους, ἀρχηγούς φησι εὑρέσεως αὐτῆς γενέσθαι, καὶ τῆς ἐνεργείας εἰς γνῶσιν ἐλθεῖν· λιθοφόροις γὰρ, ὡς ἔοικε, κρηπῖσιν ὑποδεδεμένοι οὗτοι, ἐπεὶ κατὰ γῆς σιδηρίτιδος ἠρέμα βαδίζοντες γένοιντο, βάρους τινὸς καὶ δυσκινησίαν προσεχομένων τῶν ψήφων τοῖς σιδηρίοις ἀντελαμβάνοντο· θαῦμα δὲ προσπίπτον αὐτοῖς, καὶ πρὸς ζήτησιν τῆς αἰτίας ἀνακινοῦν, τὴν εὕρεσιν παρασχεῖν τῆς ἐν τῇ λίθῳ δυνάμεως· οὐ μόνον δὲ μαγνῆτις αὕτη καλεῖται, ἀλλὰ καὶ Λυδία, καὶ Ἡράκλεια, καὶ σιδηρῖτις· δεῖ γάρ σοι σπουδαιολογουμένῳ περὶ ταῦτα, καὶ ἡμᾶς προσφιλοτιμήσασθαι· ἀλλὰ γὰρ σιδηρῖτις μὲν ἀπὸ τῆς ἐνεργείας ἧς περὶ τὰ σιδήρια ἐνδείκνυται· εἰ βούλει δὲ καὶ ἀπὸ τῆς C ὄψεως· ἔχει γάρ τι ἐμφερὲς κατὰ τὴν χρόαν ἀργῷ καὶ οὔπω διακαθαρθέντι σιδήρῳ· ἀλλὰ καὶ διότι ἐξ ἀρχῆς εὑρῆσθαί φασι αὐτὴν τοῖς τοῦ σιδήρου μετάλλοις ἀναμεμιγμένην· Ἡράκλεια δὲ ὡς μέν τισιν ἔδοξε διὰ τὸ ἰσχυρὸν τῆς ὁλκῆς καὶ κρατερόν· μᾶλλον δ' ἂν ῥηθείη τὴν ἐπωνυμίαν ἔλκειν, διότι περὶ Ἡράκλειαν τὸ πρῶτον, ὥς φασιν, ἐφάνη· Ἡράκλειαν δὲ οἱ μὲν τὴν ἐν Πόντῳ ἱστορήκασι· τοῖς δὲ ἡ ἐν Σαμοθράκῃ ἔδοξεν· εἰσὶ δὲ οἳς ἑτέρα τῆς μαγνήτιδος ἡ σιδηρῖτις νομίζεται· ἣν καὶ λαμπρὰν ὅλως καὶ διαυγῆ φασιν εἶναι, καὶ μαρμαρυγαῖς ἀργυριζούσαις χαρασσομένην δι' ὅλου τοῦ σώματος· εἴη δὲ καὶ Λυδία τὴν κλῆσιν, ἴσως ἀπὸ τῆς πόῤῥω πατρίδος τῶν ἐφευρηκότων αὐτῆς τὴν ἐνέργειαν· ἢ εἴ τι ἄλλο τις D ἀπὸ τοῦ πέλάγους τῆς ἀρχαϊκῆς ἱστορίας καιρὸν λάβοι ἀναλέξασθαι (96).

1. Magnes de quo me interrogas, dicitur lapis ferrum trahens: quia Magnesii homines hunc lapidem gestitantes, rei inventores feruntur ejusque vim primi sensisse. Nam lapideis, ut credibile est, crepidis induti, dum tellure ferro abundante lente incederent, ponderitatem nescio quam motusque difficultatem, hærentibus ferro lapillis, experti sunt. Rei miraculo commoti atque ad causæ vestigationem impulsi, vim lapidi insitam esse cognoverunt. Neque magnes tantummodo hic lapis appellatur, verum etiam lydius et heraclius et siderites. Nam tibi de hoc vocabulo accurate inquirenti, æquum est nos pari sedulitate respondere. Jam sideritæ nomen a vi ejus quam erga ferrum exprimit dici constat: vel, si mavis, etiam ab ejus specie: est enim ejusdem color prope similis naturali nondumque defæcato ferro: tum etiam quia principio inventum fuisse tradunt ferri metallo concretum. Tum heraclius nonnullis dici videtur, ob attrahendi vim validam et vigorem. Sed enim æquius appellationem sortitus videtur, quia circa Heracleam primo conspectus dicitur. Porro Heracleam alii Ponti tradunt, alii Samothraciæ. Nonnulli existimant diversum esse a magnete sideritin: quem postremum splendidum et quaquaversus lucentem aiunt, argenteisque radiis toto corpore insignitum. Denique et nomen lydius, vel a longinqua illorum patria inditum est, qui virtutem ejus deprehenderunt; vel de hac re quidvis aliud ex antiquæ historiæ vorticibus expiscari pro libito licet.

NOTÆ.

(96) Inter veteres auctores satis erit videre Plinium lib. XXVI, sect. 25, de magnete non sine copia disserentem. Nam recentiores Kirkerium, Salmasium, Gassendum, reique physicæ hodiernos magistros commemorare quid interest? Vim tamen hujus lapidis ignoraverunt præcipuam prisci auctores, quos inter Photius, demonstrandi scilicet meridianam lineam, ideoque et arcticum polum: ex qua notitia res nautica incredibiles utilitates percepit. Cæterum Plinius probabilius dicit ferratas pastorum crepidas adhæsisse magneti, quam Photius ait magneticas crepidas cohæsisse cum solo ferrario.

Digitized by Google

2. Porro autem decet nos attrahentem lapidis hujus virtutem considerantes atque sympathiam ac veluti amorem natura eidem erga ferrum inditum, admirationem nostram ad creationis optimum architectum Deum transferre : pudere autem ob rerum insensibilium nexum atque compaginem, dum nos interim qui ratione præditos nos gloriamur, benevolentiæ amorisque vinculum haud æque servamus : et quidem diserte edocti, quamvis forte genus omne virtutum complexi fuerimus, absque mutua charitate spiritalique hoc amore ac vinculo, fore ut nobis omnia effluant ac dispereant. Cæteroqui alius nescio quis celebratur lapis contrariam prædicto vim sortitus, qui nondum lapis ad meas manus venit. Hunc aiunt proximum ferrum repellere. Atque hic pariter usui nostro accommodatus est. Nam qui spiritalis charitatis vinculo generis nostri consortibus copulari conjungique debemus, iidem interdum aversari illos debemus atque repellere : nempe cum ipsi scandalorum et offendiculorum instar effecti, nobis in via pietatis impedimento sunt ; vel cum virtutum subvertere ac detorquere gressus nituntur. Id enim Dominico etiam effato præcipitur, nempe si quis vel amicissimus vel summa necessitudine junctus, nobisque in civilibus studiis ac negotiis, haud secus quam dexter oculus vel dextra manus, utilis fuerit, nihilominus hunc quoque velis remisque esse devitandum.

β'. (96') Ἀλλ' ἡμᾶς γε προσήκει τὴν ἐλκτικὴν τῆς λίθου ταύτης δύναμιν διασκοποῦντας, καὶ τὴν συμπάθειαν, καὶ τὸν οἷον ἔρωτα ὃν ἡ φύσις αὐτῇ πρὸς τὸν σίδηρον ἐνέθηκεν, ἀγάλλεσθαι μὲν τῆς δημιουργίας τὸν ἀριστοτέχνην Θεὸν, αἰσχύνεσθαι δὲ τὴν τῶν ἀναισθήτων ἀλληλουχίαν καὶ συνάφειαν· ἐπειδὴ οἱ λόγῳ τιμηθέντες ἡμεῖς τὸν τῆς φιλοστοργίας καὶ ἀγάπης δεσμὸν οὐδ' ὁμοίως ἐκείνοις φυλάττωμεν· καίτοι γε σαφῶς διδασκόμενοι, ὡς εἰ καὶ πάσης ἀρετῆς εἴδος εἴημεν περιειλημμένοι, ἄνευ τῆς εἰς ἀλλήλους ἀγάπης καὶ τοῦ πνευματικοῦ τούτου φίλτρου καὶ δεσμοῦ, πάντα ἡμῖν διαῤῥυῆσκει καὶ οἴχεται· εἰ δὲ καὶ ἑτέρα τις λέγεται λίθος ἐναντίαν τῇ προκειμένῃ τὴν φύσιν λαχοῦσα, ἧς ἡμεῖς μὲν οὔπω εἰς πεῖραν ἀφίγμεθα (τὴν δέ φασιν ἀπωθεῖσθαι αὐτῇ προσαγόμενα τὰ σιδήρια) καὶ τοῦτο ἡμέτερον· οὐδὲ γὰρ οὐδ' ἡμεῖς μόνον τῷ δεσμῷ τῆς πνευματικῆς ἀγάπης ὀφείλομεν ἡνῶσθαι καὶ συνδεδέσθαι πρὸς τὸ ὁμόφυλον, ἀλλ' ἔσθ' ὅτε καὶ ἀπωθεῖν καὶ ἐκτρέπεσθαι· ἐπειδὰν σκανδάλων καὶ προσκομμάτων ὑπελθόντες βίον ἐμποδὼν ἐπιχειρῶσιν ἵστασθαι πρὸς τὰς τῆς εὐσεβείας τρίβους, ἢ τοὺς τῶν ἀρετῶν ὑποσκελίζειν καὶ διαστρέφειν δρόμους. Τοῦτο γὰρ καὶ τὸ Κυριακὸν ἐπιτάττει λόγιον· ὡς εἰ καί τις εἴη φίλων καὶ οἰκείων ὁ μάλιστα, ὥστε καὶ συνεργεῖν ἡμῖν εἰς τὰς πολιτικὰς θεωρίας τε καὶ πράξεις, ἴσα καὶ ὀφθαλμῷ δεξιῷ καὶ χειρὶ δεξιᾷ, καὶ τούτους ἐκτέμνειν καὶ ἀποτρέπεσθαι τῇ πάσῃ δυνάμει χρεών.

QUÆSTIO CXXXII. [*Coisl.* CLIV, *Taur.* CLIII.]

Quinam vocari debent τεκνία, *et qui sunt* παιδία, *quive* υἱοί? *Et quo sensu dicit Petrus :* « *Habemus sermonem propheticum firmiorem.* »

ΕΡΩΤΗΣΙΣ ΡΛΒ'.

Τί δεῖ καλεῖν τέκνα, καὶ ποῖα παιδία, καὶ τίνας υἱούς; Καὶ, τί λέγει Πέτρος· « Ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον; »

Editarum a Wolfio decima quarta (*Cur Philol.* t. V, p. 739-742, Galland. Biblioth. t. XIII, p. 725, 726 n. 30). — In II Petr. I, 18.

Tria sunt, quibus homines redduntur perfectiores, mundatio a peccatis, fides pia, nec dubia, nullaque re vana aut recens invecta immutata, denique vero lucta et victoria adversus peccata et diabolum. Mundatio quidem a peccatis generatio quædam spiritualis est, vel potius regeneratio, quæ veterem hominem renovat. In hanc sententiam Paulus quoque ait : « Filioli, quos iterum pario, donec Christus in vobis formetur[30]. » Per hanc vero regenerationem, etiam in filios adoptamur, servi Domini Christi facti. Propterea recte quoque et *filioli* et *pueri* vocantur, qui hujus gratiæ facti sunt participes. Qui vero doctrinam pietatis, ab initio prædicatam, sectantes quod ad animum consenuerunt, vani nihil, nihil recens inventi, nihil, quod juvenilem humanæ mentis jactantiam referat, admittentes, illi quidem itidem se ipsos spirituali ista denominatione dignos esse cordato cuique ju-

Τρία (97) ταῦτά ἐστιν, οἷς τὸ ἀνθρώπινον τελειοῦται· κάθαρσις ἁμαρτημάτων, πίστις εὐσεβὴς, καὶ ἀδίστακτος, πρὸς μηδὲν κενὸν (98) μηδὲ πρόσφατον ὑπαλλοιουμένη, ἀγὼν καὶ νίκη κατὰ τῶν παθῶν καὶ τοῦ διαβόλου. Ἡ μὲν οὖν τῶν ἁμαρτημάτων κάθαρσις, γέννησίς τίς ἐστι πνευματικὴ, μᾶλλον δὲ ἀναγέννησις, τὸν παλαιωθέντα ἀνακαινίζουσα ἄνθρωπον. Καὐ' ὃ καὶ Παῦλος ἔλεγεν· « Τεκνία, οὓς πάλιν ὠδίνω, ἕως ἂν ὁ Χριστὸς ἐν ὑμῖν μορφωθῇ. » Διὰ ταύτης δὲ τῆς ἀναγεννήσεως καὶ υἱοθετούμεθα, δοῦλοι ὄντες τῷ Δεσπότῃ Χριστῷ. Διὸ εἰκότως ἂν καὶ τεκνία καὶ παιδία οἱ ταύτης τῆς χάριτος ἠξιωμένοι καλοῖντ' ἄν. Οἱ δὲ τὴν ἀρχῆθεν προκατηγγελμένην εὐσέβειαν πρεσβεύοντες, ἤδη τὸ φρόνημα πεπολίωνται, μηδὲν κενὸν (99), μηδὲ πρόσφατον, μηδ' ἀνθρωπίνης ἐπινοίας νεανίευμα ταῖς διανοίαις (1) αὐτῶν εἰσδεχόμενοι, οἳ καὶ δικαίᾳ κρίσει πνευματικῆς αὐτοὺς ἐπωνυμίας ἀξίους δεικνύουσιν. Ἐπὶ (2) δὲ

[30] Galat. IV, 19.

NOTÆ.

(96') Videtur Photius fuisse usus Eulogii Alexandrini opere contra Novatianos (lib. II), ex quo plura dat in Bibliotheca cod. 280.

(97) In Catal. Bibl. Coislin. p. 337, male τοῖα.

(98) Ita scribo ex Colb. pro καινόν, id enim exprimitur per πρόσφατον. Et sic mox, n. 3.

(99) Vide n. 98.

(1) In cod. erat διαχονίαις.

(2) Codex ἐπεί, male.

Digitized by Google

τούτοις, οἱ γενναίως καὶ ἀνδρείως τὰ πάθη καὶ τὸν ἐχθρὸν καταγωνισάμενοι, καὶ στρατιωτῶν καὶ ἀθλητῶν ὡς ἀληθῶς ἔργα διαπραξάμενοι, πᾶσιν (5) ἐπ' αὐτοῖς τοῖς ἔργοις νεανικὴν τε καὶ ἀκμάζουσαν τὸν τόνον καὶ τὸν πόθον γνώμην ἐπεδείξαντο, οὐχὶ καὶ τῆς κλήσεως αὐτῆς μετασχήσουσιν; Ἔχεις οὖν, οἶμαι, διὰ τῶν εἰρημένων σαφῶς τὸ ζήτημά σοι διαλυόμενον· « Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν Πονηρόν. Ἔγραψα ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν Πατέρα. Ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν Πονηρόν. » Τεκνία μὲν γὰρ καὶ παιδία ποιεῖ ἡ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων χαριζομένη ἀναγέννησις, καὶ τὸ τῆς υἱοθεσίας ἀξίωμα, δι' ὧν τοῖς ἔργοις ἐπιγινώσκειν Πατέρα τὸν θέμενον ὥσπερ ἰσχὺν προσειλήφαμεν, οὕτω καὶ χρέος ὑπήλθομεν. Πατέρας γε μὴν καθιστᾷ ἡ τῆς ἀπ' ἀρχῆς εὐσεβείας πολιά τε καὶ ἐν τῷ βεβαίῳ στηριζομένη ἐπίγνωσις· νεανίσκους δὲ τὸ κατὰ τοῦ Πονηροῦ καὶ τῶν παθῶν κράτος. Ἀλλ' αὕτη μὲν ἡ τῶν ἀποστολικῶν λογίων διάνοια, ἡ δὲ τῶν ῥημάτων ἐπιμονή, ἡ μὲν ἀφηγήματος ἐπέχοι ἂν λόγον, ἡ δὲ ἐπαναμνήσεως, ὅπερ εἰώθεν προσεχεστέρους τε τοὺς ἀκροατὰς παρασκευάζειν, καὶ βαθύτερον τῷ μνημονικῷ τῆς ψυχῆς αὐτῶν ἐγχαράσσειν τὴν τῶν εἰρημένων διάνοιαν.

A dici ostendunt. Præter hos vero nonne et isti, qui strenue et fortiter vitia et hostem debellantes, militumque et athletarum officio egregie functi, opere ipso juvenilem, viresque omnes et nervos intendentem animum demonstrarunt, ejusdem nominis participes merito habeantur? Jam quidem, puto, quæstionem propositam his ipsis habebis solutam. « Scribo vobis, filioli, quod remissa sunt vobis peccata propter nomen ejus. Scribo vobis, patres, quod cognovistis eum, qui est ab initio. Scribo vobis, juvenes, quod vicistis malum. Scripsi vobis, pueri, quod cognovistis Patrem : scripsi vobis, patres, quod cognovistis eum, qui est ab initio : scripsi vobis, juvenes, quod fortes estis, et verbum Dei apud vos manet, et vicistis impium [31]. » Filiolos enim et pueros regeneratio, remissionem peccatorum dignitatemque adoptionis impertiens, efficit. Per utrumque enim Patrem adoptantem agnoscendi opere ipso ut vires accepimus, ita agnoscere merito debemus. Patres porro facit senescens illa et firmata pietatis pridem traditæ cognitio : juvenes denique robur illud, quod contra malum dæmonem et vitia exseritur. Atque hæc quidem oraculi apostolici mens est : vis vero ejus in eo sita est, ut hinc doctrinæ, hinc commonefactionis, quæ auditores attentiores efficit, dictorumque sensum memoriæ eorum altius infigit, locum teneat.

B

Ὁ (4) δὲ τῷ κορυφαίῳ Πέτρῳ εἰρηται, ἂν ὀρθῶς ἐπισκοπήσῃς, οὐδὲ ἀπορούμενον περιόψει. Ἐκεῖνος γὰρ εἰπών, « Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν, ἐξ οὐρανοῦ ἐνεχθεῖσαν· » εἶτα ἐπαγαγών· « Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, » οὐχ ἑαυτῷ φησιν, βεβαιότερον, ἄπαγε, μάλιστά γε προαναφωνῶν, ὡς « Ἐπόπται γενηθέντες τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεγαλειότητος, ἐγνωρίσαμεν ὑμῖν τὴν τούτου δύναμιν καὶ παρουσίαν. » Τί γὰρ ἂν εἴη τῆς αὐτοψίας [βεβαιότερον], καὶ τοῦ ἀκοὰς ἰδίας ἀναπετάσαι εἰς ὑποδοχὴν τῆς ἄνωθεν φωνῆς, καὶ τὴν πατρικὴν ἐναυγασθῆναι μαρτυρίαν (5-6); Ἀλλὰ *βεβαιότερον* ἐκείνοις φησὶν, οἷς (7) ἔγραφεν, ὡσανεὶ λέγων· Εἴτις (8) ἐπιδιστάζουσαν, οἷς μαρτυροῦμεν, ἔγοι τὴν γνώμην, εἰς τὸν προφητικὸν ἀποσκοπείτω λόγον (9), βεβαιότερον ὄντα γε τῆς τῶν πολλῶν περὶ ἡμᾶς ἀμφισβητήσεως πάντως. Οὐκ ἔτι γὰρ καὶ οὗτος (10), ὡς ἄν τινες εὐχερέστερον περὶ ἄλλων ὑπολήψονται, ἀνθρωπίνης προέρχεται δόξης. Ὅτι δὲ οὐχ ἑαυτῷ *βεβαιότερον* ἔφησεν, σαφέστερον ὑποκατιὼν ἐκδιδάσκει. Ἐπιφέρει γάρ· « ὯΙ καλῶς ποιεῖτε προσέχοντες » (ὑμεῖς, φησὶν, οὐκ ἐγὼ), « ὡς

C

Quod vero a Petro, apostolorum principe, dictum est, in eo quidem, si animum advertas, nihil dubii inveneris. Quando enim ille ait : « Et hanc vocem de cœlo delatam audivimus; » ac subjungit : « Et habemus firmiorem sermonem propheticum [32], » non sibi quidem illum firmiorem appellat; absit hoc, inprimis cum ante dixerit : « Spectatores facti ipsi majestatis Domini nostri Jesu Christi, vobis potentiam et adventum ejus manifestavimus [33]. » Quid enim firmius eo esse potest, quando quis rem ipsam videt, auresque suas ad recipiendam vocem superne delatam aperire, atque adeo Patris testimonio edoceri potest? Itaque *firmius* dicit, habito ad eos, quibus scribebat, respectu; quasi diceret : Si quis dubiam de his, quæ testamur, mentem habeat, is quidem ad propheticum sermonem respiciat, qui firmior utique est dubitatione, quam adversus nos multi fovent. Ille enim certe, quod aliqui de aliis suspicari facilius possint, ex hominum opinione non est profectus. Quod vero non ratione sui, sed illorum, ad quos scribebat, *firmiorem* dixerit, id quidem paulo post clarius ostendit.

D

[31] Joan. II, 12 seq. [32] II Petr. I, 18, 19. [33] ibid. 17.

NOTÆ.

(5) In ms. πόσιν.
(4) ὃ Colb. pro τό.
(5-6) Apparet, hic ex libris excidisse vocem βεβαιότερον, ideo quod mox iterum sequitur.
(7) Sic Colb. pro οὓς.
(8) Idem pro ἥτις.
(9) Idem pro ἐπισκοπείτω.
(10) Sic Colb. pro οὕτως.

Digitized by Google

Subjungit enim : « Cui si attenderitis, recte facitis » (vos, inquit, non ego) : « tanquam candelæ, in obscuro loco lucenti, donec dies illucescat, et phosphorus oriatur in cordibus vestris [34]. »

A λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν. »

QUÆSTIO CXXXIII [*Coisl.* CLXV, *Taur.* CLIV].

Quid Apostolus vocat « peripsema ? »

ΕΡΩΤΗΣΙΣ ΡΛΓ'.

Τί λέγει ὁ Ἀπόστολος « περίψημα; »

Editarum a Wolfio decima quinta (l. c. p. 742-748 Galland. l. c. 727, 728 n. 31). — In I Cor. IV, 13 seqq.

Vox περίψημα potest quidem simpliciter significare id, quod contemptum est, et pedibus quasi subjectum. Rectius vero sensum expresseris per redemptionem, et victimam pro aliis piacularem. Illam enim veteres frequentius περίψημα appellare consueverunt, appellationisque illius hanc reddunt rationem. Quandocunque veteres in divini Numinis indignationem inciderant, praveque factorum pœnas a se repeti sentiebant, tum cives unum aliquem suorum, qui vel sorte delectus erat, vel suo arbitrio atque adeo sponte se pro omnibus in victimam sistere eosque expiare statuerat, agmine facto, cingentes manibus eum tangere, palpare, et delinire quasi solebant, dicentes : « Sis nostrum peripsema. » Inde igitur factum est, ut Paulus, qui multa sæpe sapienter in obsequium Christi redegit, idem non minus de phrasibus gentilium faceret, non in quantum comptæ illæ essent et jucundæ auditu, sed in quantum ad rem recte significandam et repræsentandam optime essent accommodatæ. Vocem itaque ejusmodi h. l. deligens ad Corinthios scribit : « Omnium factus sum peripsema [35]. » Vere enim, tanquam victima piacularis omnium, omnia calamitatum genera sustinebat, et vexabatur, et durissima quæque perpetiebatur. Mitto alia. Invenio vero et aliam ejusdem dictionem, cum cæteris omnibus comparandam : « Per gloriationem nostram in dies morior. » Vides utique, quomodo omnium fuerit piaculum et victima, et *peripsema*. Neque enim pro Judæis solum intra se urebatur et ardebat, forisque infinita mala patiebatur ; neque pro cognatis tantum, sed et pro Græcis et barbaris, omnibusque omnino hominibus, num quem fortasse, quod ipse clamabat, salvare posset [36]. Quod igitur quotidie fiebat, id verbis quoque contestabatur, « omnium se peripsema factum esse, » professus.

Τὸ « περίψημα » δύναται μὲν οὕτως ἁπλῶς νυνὶ σημαίνειν τὸ ἐν ἀτιμίᾳ, καὶ οἷον ὑπὸ τὰ ἴχνη κείμενον· ἐγγύτερον δ' ἂν εἴη τῆς σημασίας ἡ ἀπολύτρωσις καὶ τὸ οἷον ὑπέρ τινων ἱερεῖον. Περίψημα γὰρ καλεῖν ἐκεῖνο μᾶλλον ὁ παλαιὸς οἶδε λόγος, καὶ τὴν αἰτίαν τοιαύτην πάρεχεται τῷ ὀνόματι. Τὸ παλαιὸν ἐπειδάν τινων ἄνωθεν μηνιμάτων εἰς πεῖραν ἐνέπιπτον, καὶ ποινὰς αὐτοὺς τῶν τετολμημένων ἀπαιτεῖσθαι συνῄσθοντο, ἀθρόοι περιστάντες τὸ ὁμόφυλον ἑνί τινι αὐτῶν, ὃς ἔμελλεν ἢ κλήρῳ ἀφορισθείς, ἢ τῷ προθύμῳ τῆς γνώμης (11) ἑκούσιος ὑπὲρ πάντων προθύεσθαι, καὶ καθάρσιον αὐτῶν γίνεσθαι, τοῦτον χερσὶ περιῴγοντες καὶ ἐφαψώμενοι, « Περίψημα ἡμῶν, ἔλεγον, γενοῦ. » Ἐκεῖθεν οὖν ὁ πολλὰ πολλάκις σοφῶς αἰχμαλωτίσας Παῦλος εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, οὐδὲν δὲ ἧττον καὶ τῶν ἔξω φωνῶν, οὐχ ὅση (12) κομψὴ καὶ γλῶττα καὶ εὔηχος, ἀλλ' ὅση γνησία σημαῖναι καὶ παραστῆσαι τὸ προκείμενον. Καὶ τὴν φωνὴν ταύτην συλλαβών, φησί, « Περίψημα, » πρὸς Κορινθίους γράφων, « πάντων ἐγενόμην. » Τῷ ὄντι γὰρ ὡς πάντων περίψημα οὕτω διὰ παντὸς ἔπασχεν καὶ ἐταλαιπωρεῖτο, καὶ τοῖς δεινοῖς κατετείνετο. Ἐῶ τἄλλα. Καὶ γὰρ εὑρίσκω φωνὴν αὐτοῦ ἐκείνου τῶν ἄλλων ἁπάντων ἀντίρροπον· « Νὴ τὴν ἡμετέραν καύχησιν καθ' ἑκάστην ἡμέραν ἀποθνήσκω. » Ὁρᾷς ὅπως ἦν πάντων καθάρσιον, καὶ ἱερεῖον, καὶ « περίψημα. » Οὐδὲ γὰρ ὑπὲρ Ἰουδαίων μόνον ἐπυρπολεῖτο τὰ ἔνδον, καὶ ἐφλέγετο, καὶ τὰ μυρία ἔξωθεν ἔπασχεν. Οὐδ' ὑπὲρ συγγενῶν, ἀλλὰ καὶ ὑπὲρ Ἑλλήνων καὶ βαρβάρων, καὶ πάντων ἁπλῶς ἀνθρώπων, εἴ πώς τινα, ὡς αὐτὸς ἐβόα, διασώσει. Ὅ τοίνυν ἐγένετο καθ' ἑκάστην ἡμέραν, τοῦτο καὶ διὰ τοῦ λόγου ἀπαγγέλλει, πάντων περίψημα λέγων γεγενῆσθαι.

Hunc vero significatum firmat ipsa sermonis series. Non enim, inquit, pudefaciens vos hæc dico, hoc est, Non exprobro vobis beneficentiam meam, neque beneficia vobis exhibita. Quid igitur ? ut filios dilectos potius admoneo [37]. Filios enim paternæ beneficentiæ meminisse decet, in primis, cum non simpliciter sunt filii, sed etiam dilecti. Sensus itaque est : Vos adeo mihi vindico, atque ita vestri amore ardeo, ut non dubitem *peripsema* pro vobis fieri, et in vestrum commodum me ipsum

Βεβαιοῖ δὲ τὸ προκείμενον τοῦ σημαινομένου καὶ ἡ κατὰ πόδα συνέχεια τοῦ ῥητοῦ. Οὐ γὰρ ἐντρέπων ὑμᾶς, φησί, ταῦτα λέγω· οἷον, Οὐκ ὀνειδίζω τὴν εὐεργεσίαν, οὐδὲ τὰς χάριτας· ἀλλὰ τί ; ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Δεῖ γὰρ τὰ τέκνα πατρικῆς εὐεργεσίας μεμνῆσθαι, καὶ οὐχ ἁπλῶς τέκνα, ἀλλὰ καὶ ἀγαπητά· τουτέστιν, Τοσοῦτον οἰκειοῦμαι ὑμᾶς, καὶ τοσοῦτον τῆς ὑμῶν ἀγάπης ἐκκαίομαι, ὥστε καὶ περίψημα ὑμῶν οὐ παραιτοῦμαι γίνεσθαι, θῦμα καὶ ἱερεῖον καὶ καθάρσιον προσάγεσθαι ὑπὲρ ὑμῶν.

[34] II Petr. I, 19. [35] I Cor. XV, 31. [36] I Cor. IX, 22. [37] I Cor. IV, 14.

NOTÆ.

(11) γνώμης ex Colb. pro γνώσεως.
(12) Ex eodem ὥση, pro ὡς ἡ, et mox ἀλλ' ὅση, pro ἀλλόσει.

Digitized by Google

Καὶ δὴ καὶ ἡ ὀρθότης τῆς ἐν τῷ λόγῳ συνθήκης πρὸς τοῦτο μᾶλλον ῥέπει τῆς φωνῆς ἢ πρὸς τὸ ῥηθὲν τὴν ἀρχήν, ἐπεὶ τὸ μὲν ἠτιμωμένον καὶ κατάπτυστον πᾶσι μᾶλλον ἀποδίδοται κατὰ τὴν σύνταξιν, ἀλλ' οὐχὶ πάντων. Ὁ δὲ σοφὸς καὶ θεσπέσιος Παῦλος οὐ, Περίψημα (13) πᾶσιν ἐγενόμην, φησὶν, ἀλλὰ, *πάντων*. Οὐ μὴν, ἀλλὰ καὶ τὸ προηγούμενον χωρίον τῆς λέξεως τῇ διανοίᾳ ταύτῃ συμφθέγγεται. Εἰπὼν γὰρ, « Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν, » ἐπήγαγεν· « Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι· » τουτέστι, Τί δεῖ καθ' ἕκαστον τοὺς πόνους ἀπαριθμεῖσθαι, καὶ τὰς θλίψεις, καὶ τοὺς ἀγῶνας, οὓς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ὑφίσταμαι.; Ἐν κεφαλαίῳ φάναι, « Ὡς περικαθάρματα ἐγενήθημεν τοῦ κόσμου, πάντων περίψημα ἕως ἄρτι. » Καὶ γὰρ καὶ τὸ «περικαθάρματα» ῥηθεὶς μὲν ἂν κατὰ τοῦ ἐδδελυγμένου καὶ φευκτοῦ, μᾶλλον δ' ἁρμόσειε νυνὶ τὰ καθάρσια καὶ τὰ ἱλαστήρια θύματα, ἃ ὑπὲρ ἄλλων εἴωθεν θύεσθαι, παριστᾷν. Πλὴν ἐπεὶ μηδ' ἕτερον τοῦ σημαινομένου τῇ ἀληθείᾳ λυμαίνεται, ἕκαστος, ᾧ μᾶλλον χαίρει, τοῦτο καὶ αἱρεῖσθαι οὐ κεκώλυται. Ἄν τε γὰρ ὡς ἱερεῖον ὁ Παῦλος ὑπὲρ τῶν μαθητῶν ἐθύετο, τὸν Δεσπότην ἐμιμεῖτο καὶ διδάσκαλον, ἄν τε διδάσκων καὶ παραινῶν, καὶ πάντα ὑπὲρ τῆς αὐτῶν σωτηρίας πραγματευόμενος, ὡς ἄτιμος καὶ ἐδδελυγμένος ἐνομίζετο, πρὸς τὸν αὐτὸν ἀφορῶν Δεσπότην, πάλιν ταῦτα ἐπάσχετο, ὃς λοιδορούμενος καὶ ὑβριζόμενος, καὶ πᾶν εἶδος ὑπομένων χλεύης τῆς τῶν ὑβριζόντων καὶ προπηλακιζόντων σωτηρίας καὶ προνοίας οὐκ ἀφίστατο.

A instar sacrificii et victimæ piacularis offerre. Ipsa porro vocum structura ad hunc potius significatum tenendum, quam illum, de quo primo loco diximus, adducit. Si enim contemptum aliquid et abominandum inferretur, structura vocum idonea vocem πᾶσι (*omnibus*) potius quam πάντων (*omnium*) requireret. Jam vero sapiens et divinus Paulus non ait : Peripsema *omnibus* factus sum, sed *omnium*. Imo vero et ea, quæ hanc phrasin hoc loco proxime antecedunt, sensui huic velificantur. Postquam enim dixerat : « Conviciis affecti bene precamur, vexati sustinemus, infamati precamur, » subjungit : « Facti sumus ut purgamenta mundi, et ut omnium sordes usque huc[38], » hoc est, Quid molestias omnes et calamitates et luctas, quas pro vobis B exantlavi, sigillatim enarrare attinet? Summatim dicam, « Ut purgamenta mundi facti sumus, ut sordes omnium usque huc. » Quamvis enim vox περικαθάρματα etiam de homine abominando et fugiendo adhiberi possit, hoc tamen loco convenientius fuerit, eam de victimis piacularibus, quæ in aliorum salutem offerri consueverant, interpretari. Quoniam autem neuter significatus vero adversatur, eum quisque eligere poterit, qui maxime arrideat. Sive enim instar victimæ piacularis pro discipulis offerebatur Paulus, Dominum et magistrum utique imitabatur; sive docens ipse et admonens, omniaque pro salute eorum faciens, contemptim habebatur et invisus erat, etiam hoc ad eumdem Dominum respiciens, perpetiebatur. Ille enim con- C viciis et injuriis oneratus, omneque ludibriorum genus perpessus, hominum injuriorum probrisque insectantium saluti et commodis prospicere non desinebat.

Ἀλλ' εἰς καιρὸν ἄρα τῆς μνήμης προῆλθεν καὶ, ὃ πάλαι διηρώτησας, τί ποτε δηλοῖ τὸ ἐν τῷ Εὐαγγελίῳ ῥηθέν· « Καὶ ἐκολάφισαν αὐτόν. » Τοῦτο δὲ κοινότερον μὲν τὸ, ἐνέπαιξαν, σημαίνει. Παιδιᾶς δὲ εἶδός ἐστι τὸ κολαφίζειν, μεταβαλόντος τοῦ ἔθους, ὥσπερ καὶ ἐπ' ἄλλων πολλῶν, τὸ *β* εἰς τὸ *φ*· ἡ γὰρ Ἀττικίζουσα γλῶσσα διὰ τοῦ *β* μᾶλλον τὴν λέξιν προφέρει. Τοίνυν μιαιφόνον καὶ ἀχάριστον τῶν Ἰουδαίων ἔθνος ἐπὶ τοσοῦτον εἰς τὸν εὐεργέτην τοῖς θυμοῖς ἀνηρέθιστο, ὡς μὴ μόνον χεῖρας αὐτῷ σφαγῆς ἀνατείνειν, ἀλλ' εἴ καί τι ὅλως αὐτοὺς διαλάθοι χλεύης καὶ μυκτηρισμοῦ καὶ ἀσελγείας, ὃ μὴ ἐντρίψειεν αὐτῷ, οὐδὲν ἡγοῦντο κατορθῶσαι μέγα. Οὕτω καὶ τὸν ἀκάνθινον στέφανον, καὶ τὸν κάλαμον, καὶ τὸν βασιλέα καὶ τὰ τοιαῦτα ἐνέπαιζον αὐτῷ. Καὶ νῦν δέ φησιν ὁ μὲν ὑψηλὸς καὶ μέγας Ἰωάννης, ὥσπερ ἐπιτρέχων τὴν ὕβριν, *Καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα*. Ὁ δὲ θεσπέσιος Μάρκος καὶ Ματθαῖος (μικρὰ γὰρ ἡ τῶν ῥημάτων παραλλαγὴ) καὶ τὸ ὄνομα τῆς ὕβρεως λέγουσιν, καὶ τὴν τῆς ὕβρεως πρᾶξιν· « Ἐκολάφισαν γὰρ αὐτὸν, καὶ ἤρξαντο περικαλύπτειν αὐτοῦ τὸ

Commodum hic in mentem venit recordari illius, quod olim ex me quæsivisti, quid nempe sibi velit illud, quod in Evangelio dicitur : « Et colaphos illi impegerunt[39]. » Idem scilicet est, quod communiter per ἐνέπαιξαν exprimitur : ludibrii enim genus est κολαφίζειν, mutato scilicet per consuetudinem, quod et plurimis vocibus aliis usu venit, τῷ β in φ. Attica enim dialectus verbum illud per β exprimere amat. Sanguinolenta itaque et ingratissima Judæorum gens in benefactorem suum adeo impotenter ferebatur, ut non solum truculentas manus illi injiceret, sed si quid ludibrii, subsannationis et procacitatis reliquum adversus illum fecisset, nihil, quod magni esset momenti, perfecisse se D opinaretur. Ita et corona spinea et arundine regisque appellatione et similibus ei illudebant. Jam vero sublimis et magnus Joannes[40], factam injuriam summatim complexurus, dixit : *Et dederunt illi alapas;* divi autem Marcus[41] et Matthæus[42], (exigua enim est vocum, quibus utuntur, differentia) et proprium injuriæ hujus nomen, et ipsum injuriæ

[38] I Cor. IV, 12. [39] Matth. XXVI, 67. [40] Joan. XIX, 3. [41] Marc. XIV, 65. [42] Matth. XXVI, 67.

NOTÆ.

(13) Sic Colb. pro περιψήμασιν.

Digitized by Google

exercitium exprimunt : « Colaphis enim ceciderunt illum, et inceperunt faciem ejus obtegere, colaphosque illi impingere. » Postea : « Et percusserunt illum, et bacillis eum ceciderunt, et dixerunt : Prophetiza nobis, Christe, quis est qui te cecidit? » Divus quidem Lucas verbum κολαφίζειν omisit, abunde tamen ejusdem verbi sensum per ea, quibus utitur, exponit : « Viri enim, inquit, qui Jesum tenebant, illudebant illi, cædentes, et obvelantes illum : vultum ejus percutiebant, et interrogabant eum, dicentes : Vaticinare nobis, quis sit, qui te percusserit [43]. » Ita scilicet illusionis hoc genus habebat. Alii enim oculos manibus obtegunt, alii, genas pugnis cædentes, jubent indicare illum qui ceciderit; quod si forte conjectura assequatur cædentem, immunis est a plagis; sin minus, plagas illi impingere pergunt. Hoc ipsum vult, hoc ipsum significat proprium illud verbum, ἐκολάφισαν. Quod Judæorum gens nec injuriis nec procacitate exsatiari potuerit, Lucas inprimis, tanquam stupefactus indicat. Postquam enim is dixerat, quod percusserint faciem ejus, eamdemque obtexerint, subjungit : « Et multa alia conviciantes adversus eum dixerunt [44]. » Ita satis, puto, quoad per epistolam quidem fieri potest, perspectum habes, quid sibi velit ἐκολάφισαν, quid περίψημα, quid περικάθαρμα. Tu vero, Christi et Pauli afflictiones, probra et tentationes animo circumferens, fortiter agas, vel potius gaudeas, recogitans, in quem ordinem sis ascitus, quemque habeas ducem, adversus omnem calamitatem insultum, sive adversarii tui mali dæmones sint, sive dæmonas humana forma referant, imitentur.

A πρόσωπον καὶ κολαφίζειν αὐτόν. Εἶτα, « Καὶ ἐῤῥάπισαν καὶ ῥαπίσμασιν αὐτὸν ἔβαλλον, καὶ ἔλεγον· Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε. » Ὁ μέντοι γε θεσπέσιος Λουκᾶς τὴν μὲν τοῦ κολαφίζειν παρῆκε, ἐξαπλοῖ δὲ σαφῶς, δι' ὧν λέγει τῆς φωνῆς τὸ δηλούμενον. « Καὶ οἱ ἄνδρες γὰρ, φησὶν, οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον αὐτῷ, δέροντες καὶ περικαλύψαντες αὐτὸν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ ἐπηρώτων αὐτὸν, λέγοντες· Προφήτευσον ἡμῖν, τίς ἐστιν ὁ παίσας σε. » Καὶ γὰρ τοιοῦτόν ἐστι τὸ εἶδος τῆς παιδιᾶς. Οἱ μὲν τοὺς ὀφθαλμοὺς χερσὶ περικαλύπτουσιν, οἱ δὲ πυξὶ κατὰ κόῤῥης παίοντες ἐπερωτῶσιν μηνῦσαι τὸν παίσαντα. Κἂν μὲν τύχῃ τοῦ τυπτήσαντος, ἀφίεται· ἂν δὲ μὴ, ἐπιμένουσιν αὐτῷ τὰς πληγὰς ἐντείνοντες. Τοῦτο οὖν δηλοῖ, καὶ B τοῦτο παρίστησιν ἡ κυριολεξία τὸ, ἐκολάφισαν. Ὅτι δὲ κόρον οὐδένα οὔτε ὕβρεως οὔτε ἀσελγείας τὸ Ἰουδαίων ἔθνος ἐλάμβανεν, ἐκπληττόμενος ὁ σοφὸς ἐπισημαίνεται μάλιστα Λουκᾶς. Μετὰ γὰρ τὸ εἰπεῖν, ὅτι ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ περιεκάλυπτον, ἐπάγει· « Καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον. » Ἀλλὰ γὰρ περὶ μὲν τοῦ « ἐκολάφισαν, » καὶ « περίψημα » καὶ « περικάθαρμα, » ἔχεις, οἶμαι, κατ' ἐπιστολὴν οὐκ ἐνδεῶς. Σὺ δέ μοι τὰ τοῦ Χριστοῦ καὶ Παύλου κατὰ διάνοιαν φέρων πάθη, καὶ τὰ ὀνείδη, καὶ τοὺς πειρασμοὺς ἴστασο γενναίως, μᾶλλον δὲ χαίρων, ἐννοούμενος, τίνι συντάττῃ χορῷ, καὶ τίνα κορυφαῖον ἔχεις, πρὸς πᾶσαν ἐπιφορὰν δυσχερῶν, ἄν τε δαίμονες ὦσι, ἄν τε μορφαῖς ἀνθρώπων ὑποκρινόμενοι δαίμονας οἱ ἐπιτιθέμενοι. C

QUÆSTIO CXXXIV [*Coisl.* CLVI, *Taur.* CLV].

Quot anni initia arbitrari nos oporteat et quæ.

ΕΡΩΤΗΣΙΣ ΡΛΔ'.

Πόσας ἀρχὰς δεῖ νοεῖν ἡμᾶς τοῦ ἐνιαυτοῦ καὶ ποίας ;

Edita a Maio (*Nov. Coll.* t. I, p. 127, 128).

1. Quæ ad extremos usque mundi fines spiculum suum Roma protendit, propriæque potentiæ terminum orbis terrarum limitem fecit, sicuti tribus nominibus gloriari solet, sic etiam tria principia spatio annuo attribuit. Et Romæ quidem nomina sunt mysticum, sacrum, politicum. Mysticum nomen est Ἄμωρ, nempe *amor :* sacrum Flora est, quod florentem significat : politicum Roma, quod conversis litteris in mysticum nomen recidit. Et sacrum quidem licebat ad vulgi etiam notitiam efferre : verum si quis sacerdos mysticum divulgavisset, pœnæ capitali fiebat obnoxius. Tribus igitur, D ut diximus, ornata nominibus Roma, tria quoque initia tempori annuo se facere gloriabatur, quorum

α'. Ἡ ὅσα καὶ ὅρια γῆς τὸ δόρυ παρατείνασα Ῥώμη, καὶ τὸ κράτος δείξασα τῆς οἰκουμένης μέτρον, ὥσπερ τισὶν ὀνόμασιν ἀγάλλεσθαι (14) χαίρει, οὕτω καὶ τρεῖς ὁρχὰς τῷ ἐνιαυσιαίῳ χρόνῳ χαρίζεται. Ὀνόματα μὲν οὖν ἐστιν αὐτῇ τελεστικόν τε καὶ ἱερατικόν· τελεστικὸν μὲν Ἄμωρ, ὃ σημαίνει ἔρως· ἱερατικὸν δὲ Φλῶρα, ἀνθοῦσα δὲ τοῦτο παραδηλοῖ· πολιτικὸν δὲ Ῥῶμα, ὅπερ ἀντιστρεφόμενον, εἰς τὴν τελεστικὴν σχηματίζεται λέξιν (15). Ἐξῆν μὲν οὖν τὸ ἱερατικὸν καὶ τῷ πλήθει κοινοῦσθαι· τὸ δὲ τελεστικὸν ὁ κοινώσας τῶν ἱερέων ἐσχάτην ποινὴν εἰσέπραττε (16). Τρισὶν οὖν ὀνόμασιν, ὥσπερ ἔφημεν, τιμωμένη καὶ τρισὶν ἀρχαῖς τὸν ἐνιαύσιον σεμνολογουμένη χρόνον, τὴν μὲν αὐτῶν ἱερατικὴν ἐκάλει, τὴν

[43] Luc. xxii, 63 seq. [44] ibid. 65.

NOTÆ.

(14) Verbum ἀγάλλεσθαι superadditur haud scio quam necessario.

(15) Erythræus apud Ortelium in *Geogr.* ait : « Triplex urbi Romæ fuisse nomen proditum est ; unum hoc quo utimur pervulgatum ; alterum quod arcanum fuit, unde Amaryllida suam, quæ amorem proprie significat, in Bucolicon carmen Virgilius detorsit ; tertium sacrificiis debitum, de quo vocabulum floralibus impositum ; quod Anthusam Græce Philadelphus interpretatur, a quo hæc discimus. Id tu Latine vel *florentem*, vel aptius fortasse *Floram* aut *Florentiam* vertes. Sub Amaryllidis nomine eam Virgilium describere adnotavit Servius. »

(16) De arcano Romæ nomine loquuntur Verius apud Festum ; Solinus, cap. 1 ; Servius ad Æn. 1, 277.

Digitized by Google

ἄλλην δὲ πάτριον, καὶ τὴν λοιπήν τε καὶ κυκλικήν· A ipsa primum sacratum appellabat, alterum patrium, tertium politicum et cyclicum. Sacrum est, cum Capricorno sol egrediens diei incrementa facit. Hoc autem adamussim incidit in Decembrem mensem: sed tamen id, Romanis præcipue, nonnisi Januario mense sentitur. Initium vero patrium appellatum in mensem Martium incurrebat, quo tempore arma movere solent Romani et ad bellum instrui. Septembri mense denique cyclico politicoque suffragio de quo tu studiose rogas, initium anni statutum fuit. Et quam quidem Græca quoque lingua ἐπινέμησιν appellare novit, Romani autem indictionem, hanc olim quinquennalis cyclus reducebat: idque etiam lustrum proprio vocabulo appellabant. Deinde quia Martem colebant, quem sui generis auctorem B aiunt; et quia hoc sidus quindecim annis brevissimum cursum absolvens, suum cyclum perficit, pari intervallo ἐπινέμησιν sive indictionem fieri decreverunt. Verumtamen hanc causam, ut in eorum antiquitatibus fertur, theologica eorumdem atque arcana ratio describit. Neque ab hac valde abludit sententia illa quæ ait Augustum Romanorum imperatorem, cum rescivisset æquinoctialem tempestatem a nonnullis in quindecim partes dividi, anni quoque periodum eodem numero definiendam censuisse. Sed civilior est sententia rem repetentium ab Augusto qui totidem annis principatum in patria cum Antonio gesserit, cum eoque reipublicæ clavum tenuerit, tum adversus eum decertaverit triumphumque retulerit, atque Ægyptum mense Septembri ineunte armis obtinuerit. Singulis autem anni initiis peculiaria sacrificia ritusque perage- bant, honoris ergo et placationis eorum quos ipsi putabant deos: præsertim vero mense Septembri splendidiora hæc sacra et accuratiora diis facie- bant.

ἱερατικὴν μὲν οὖν ἡνίκα τὸν Αἰγόκερων ὁ ἥλιος παρ- ιὼν, εἰς αὔξησιν ἄγει τὴν ἡμέραν. Αὕτη δὲ συμ- πίπτει πρὸς ἀκρίβειαν μὲν κατὰ τὸν καλούμενον Δεκέμβριον μῆνα· πρὸς αἴσθησιν δὲ καὶ μάλιστα Ῥω- μαίοις, εἰς τὸν Ἰανουάριον διαβαίνει. Τὴν δὲ πά- τριον ὁ τῶν μηνῶν καλούμενος Μάρτιος ἀπεκλη- ροῦτο· ὅτε καὶ ὅπλων κίνησίς τε καὶ παρασκευὴ ἐπεδείκνυτο Ῥωμαίοις. Τὸν δέ γε Σεπτέμβριον μῆνα ἡ κυκλική τε καὶ πολιτικὴ ψῆφος, ὃ τὸ σὸν φιλόπονον ἐπεζήτησεν, ἀρχὴν ἀπέφηνε τοῦ ἐνιαυτοῦ (17). Ὃ καὶ γλῶσσα μὲν Ἑλληνίζουσα καλεῖν ἐπινέμησιν οἶδε, Ῥωμαῖοι δὲ ἰνδικτιῶνα· καὶ ταύτην τὸ μὲν παλαιὸν, πενταετηρίδος χρόνος ἀνεκύκλου, ὃν καὶ λοῦστρον πατρίως ἐκάλουν. Ἔπειτα δὲ τιμῶντες Ἄρη τὸν, ὡς φασι, πάτριον αὐτοῖς· ἐπεὶ τῶν ἀστέρων οὗτος πεν- τεκαιδεκαετίᾳ ἐλάχιστον δρόμον ἀνύων τὸν ἴδιον πε- ραιοῦται κύκλον, ἰσόχρονον ἔθεντο καὶ τὴν ἐπινέμησιν ἤτοι τὴν ἰνδικτιῶνα θέσπισμα τελεῖσθαι· ἀλλὰ ταύ- την μὲν τὴν αἰτίαν, ὡς ἂν ἡ ἐκείνων ἀρχαιότης φαίη, ὁ θεολογικὸς αὐτῶν καὶ κρύφιος ὑπογράφει τρόπος. Οὐ πόῤῥω δὲ ταύτης καὶ ἡ λέγουσα, ὅτι τὴν ἰσημερινὴν ὥραν πεντεκαίδεκα μορίοις τισὶ μαθὼν ἐγγὺς περιγραφομένην ὁ αὐταρχήσας Αὔγουστος Ῥωμαίων, καὶ τὴν ἀνακύκλησιν τοῦ ἐνιαυτοῦ εἰς τὸν αὐτὸν ἀριθμὸν ἐδικαίωσε περιορίζειν. Πολιτι- κώτερον δ' ἂν λέγοιεν καὶ οἱ διότι τοσούτοις ἔτεσιν Ἀντωνίῳ συνυπατεύκοτι τήν τε τῶν κοινῶν πραγ- μάτων μεταχείρισιν ἔσχεν· εἶτα καὶ μάχην συνῆψε, καὶ τὸ κατ' αὐτοῦ τρόπαιον εἶλεν, ὅτε καὶ μηνὸς ἱστα- C μένου Σεπτεμβρίου ἡ Αἴγυπτος αὐτῷ δορυάλωτος κατέστη (18). Ἐτέλουν μὲν οὖν καθ' ἑκάστην ἀρχὴν ἐνιαυτοῦ ἰδιαζούσας τε θυσίας καὶ τελετὰς, τιμῶντες καὶ ἱλασκόμενοι οὓς ἐνόμιζον αὐτοὶ θεούς· μάλιστα δὲ κατὰ τὸν Σεπτέμβριον μῆνα λαμπρότερον αὐτοῖς καὶ φιλοτιμότερον ἐπράττετο ταῦτα.

β'. Ἐπεὶ οὖν τῆς παλαιᾶς Ῥώμης ἡ νέα τὸν κλῆ- ρον ὑπῆλθε καὶ κοινὸν ἐκτήσατο τὸ κράτος, μετ- έστησε δὲ τοῦ σεβάσματος τὸ πλάνον εἰς τὴν εὐσεβῆ τε καὶ θεῷ πρέπουσαν λατρείαν, συμμεθίστησι καὶ τὰς δαιμονίους τελετὰς καὶ θυσίας εἰς εὐσεβούσας τε καὶ θεοπρεπεῖς ἁγιστείας. Καὶ διὰ τοῦτο τὴν πρώ- την τοῦ Σεπτεμβρίου μηνὸς λιτανείαις τε δημοτελέσι καὶ ταῖς ἄλλαις ἱλαστηρίοις εὐχαῖς νόμον ἔθετο τὸν θεὸν ἐξιλεοῦσθαι, παρεῖναί τε τὸν ἀρχιερέα τοῖς τε- D λουμένοις, τῶν ἱλαστηρίων καὶ σωτηρίων προηγού- μενον ἱερουργιῶν τε καὶ θυμάτων. Ἡ δέ γε ἐπωνυ- μία τοῦ ἐνιαυσίου κύκλου ἡ μὲν Ῥωμαΐζουσα φωνὴ τὸ μήνυμα σημαίνει· μηνύει γὰρ ἡ ἀρχὴ τὴν περί- ὁδον· καὶ τοῦτο αὐτοῖς ἐστιν Ἰνδικτιών. Ἡ δὲ Ἑλλὰς φερωνύμως ἔθηκε τὴν ἐπινέμησιν. Οὐ γὰρ εἰς ἀ- παράβατον καὶ ὡρισμένον βάρος τὸ παλαιὸν οἱ φόροι τοῖς ὑπηκόοις ἐτάττοντο, ἀλλ' ἡ τῶν καρπῶν γένεσις τὴν σύνταξιν αὐτοῖς ἐφιλανθρωπεύετο· σπανίζουσα μὲν γὰρ ἠλάφρυνεν, εὐθηνοῦσα δὲ οὐκ ἐβάρυνε· καὶ

2. Jam ubi veteris Romæ nova sortem occupavit, communemque potentiam adepta, superstitionis errorem in piam Deoque dignam religionem con- vertit; tunc diabolica quoque mysteria ac sacrifi- cia sanctis Deoque dignis cæremoniis commutavit. Idcirco prima Septembris die litaniis publicis pre- cibusque piacularibus Deum propitiare decrevit: pontificemque adesse rei sacræ, atque eum præire pia et salutaria munera ac sacrificia. Porro annui cycli appellatio Romano vocabulo significat indicium. Namque initium innuit periodum: atque hæc est illis indictio. Græcia quoque nomine rei congruo dixit ἐπινέμησιν (distributionem). Non enim apud veteres tributis erat præfinitus certus atque immo- bilis limes; sed pro fructuum proventu stipendia illis clementer imperabantur: ita ut in annonæ charitate minuerentur, in ubertate non augerentur: quare sine tristitia quæstoribus justum tributum persolvebatur: et quidem ubi opus esset: nulla

NOTÆ.

(17) Vide Kalendarium Constantinopolitanum ad diem primam Septembris, et quæ ibi docte disputat Stephanus Morcellius.

(18) De hac universa re confer Petavium *Doctr. temp.* tom. II, p. 366-368.

Digitized by Google

enim instante necessitate, tributum prorsus non exigebatur ; sed uni sibi quisque agricola laborabat. Itaque ab imperando sigillatim subditis tributo nacta est nomen ἐπινέμησις anni periodus. Qui vero a victoria ad Actium indictionem confingunt, duram auditu et fide alienam vocabuli originem vi procudunt. Sed tamen hæc, prout memoria mihi suppeditavit ad tuam interrogationem dicta sint. Quod si tu ex tuo diutino historiæ studio haustum aliquid mihi protuleris, dictisque meis addideris, id mihi jucundissimum fore scito.

διένειμεν ἀλύπως τοῖς φορολογουμένοις τὸ ἀνάλογον· καὶ τότε ὅτε χρεία ἐκάλει, μηδενὸς δὲ ὄντος τοῦ βιαζομένου, οὐδ' ὅλως ὁ φόρος ἐπράττετο, ἀλλ' ἐγίνετο κέρδος ὁ πόνος ὅλος τοῖς γεωργήσασιν. Ἐξ οὗ τοῦ διανέμεσθαι τοῖς ὑπηκόοις τὴν σύνταξιν, τὴν ἐπωνυμίαν ἔσχεν ἡ τοῦ ἐνιαυτοῦ περίοδος ἐπινέμησις. Οἱ δ' ἀπὸ τῆς περὶ Ἄκτιον νίκης τὴν ἰνδικτιῶνα συμπλάττοντες, εἰς τὸ λυπηρότατόν τε τῇ ἀκοῇ καὶ πειθοῦς ἀπέσχον δοκοῦσί μοι τὴν λέξιν ἐκβιάζεσθαι. Ἀλλὰ γὰρ ταῦτα μὲν κατὰ τὸ πρόχειρον τῆς μνήμης περὶ ὧν ἠρώτησας ἀπεδόθη· εἰ δέ τι καὶ τῆς περὶ τὴν ἱστορίαν βαθείας σχολῆς ἀνελκυσάμενος ἐπιδείξεις, καὶ τοῖς εἰρημένοις προσθείης, καὶ τοῦτο ἡμῖν χαριέστατον ἔσται.

QUÆSTIO CXXXV. [*Coisl.* CLVII. *Taur.* CLVI.]

Nonne hæc contradicunt sibi invicem : « Si quis te percusserit in maxillam dextram, verte illi et alteram ; » et : « Si autem bene, quid me cædis ? »

ΕΡΩΤΗΣΙΣ ΡΛΕ'.

Πῶς οὐκ ἔστιν ἐναντίον τὸ λέγειν· « Ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. » — « Εἰ δὲ καλῶς, τί με δέρεις ; »

Editarum a Wolfio decima sexta (*Cur. Philol.* t. V, p. 748-758. Galland. *Biblioth.* t. XIII, p. 729-732, n. 32) — De antilogia inter textum Matth. v, 39 et Joan. xviii, 23.

Levis pacatæque conversationis fundamentum jaciens Salvator, præcepti instar inculcat : « Si quis te percusserit in maxillam dexteram, verte illi et alteram [44] ; » ipse vero, ab hominibus maxillam alteram percussus, pro eo quod alteram illi verteret, respondit : « Quid me cædis [45] ? » Ita vero egit, non sane, quasi incousiderate et obiter ita olim cogitasset, et nunc opere ipso sermonem suum everteret. Imo vero hoc ipso facto verbum illud suum potius astruxit. Nam ibi quidem præceptum ejus mutuas injurias prohibet, per quas contentio in infinitum producitur : ideoque a prima quoque, quæ fieri poterat, retributionem abstinere jubet. Idem vero etiam nunc faciebat. Neque enim ultrice manu injuriæ, a percutientis illa factæ, pœnas repetiit, sed in rei indignitatem, causæ suæ patrocinatus, verbis tantum animadvertit.

Propius vero illa, quæ sibi invicem repugnare putantur, ita conciliabuntur. Ibi scilicet illis vetat resistere, qui in corpus et ea, quæ circa corpus sunt, injurios se præstant. Hic vero nisi criminationem, quasi perverteret et seduceret homines, quos ipse male habitus recte ducebat et servabat, vel verbis amoliri instituisset, quando calumniatores illi sua colaphis firmare audebant ; illis quidem liberam criminandi potestatem fecisset, et, ut pejora auderent, auctor fuisset, se ipsum vero a calumnia illa et mendaciis, quæ impie in ipsum evomebant, non liberasset. Ubi igitur inter hæc pugna est, et quomodo sibi contradicunt : cædentem te ne vicissim cædas ; et, si quis dicam tibi seductionis aut improbitatis | scripserit, aut te,

Πολιτείας ἡμέρου καὶ ἀστασιάστου κρηπῖδα πηγνὺς ὁ Σωτὴρ, « Ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, » τὴν ἐντολὴν ταύτην ὑποβάλλεται, αὐτὸς δὲ πληγὰς, τὰς ἐξ ἀνθρώπων, ἐπὶ κόρρης λαβὼν ἀντὶ τοῦ στρέψαι, « Τί με δέρεις ; » ἠμείψατο. Οὐδαμῶς, ὡς ἂν εἰς τὸ ἀπερίσκεπτον (19) περιτραπείη τὸ περίεργον τῶν λογισμῶν, τοῖς ἔργοις τὸν λόγον (20) καταστρεψάμενος, τρόπον δέ τινα μᾶλλον κἀν τῇ τοιαύτῃ πράξει τὸ ῥῆμα βεβαιωσάμενος. Κἀκεῖ μὲν γὰρ ἡ παραίνεσις τὴν ἀμοιβαίαν τιμωρίαν περιέκοπτεν, δι' ἧς εἰς τὸ ἄπειρον ἡ στάσις προέρχεται. Διὸ τῆς πρώτης ἀντεπιχειρήσεως ἐξίστασθαι διετάξατο. Καὶ νῦν δὲ τὸ αὐτὸ διεπράξατο. Οὐ γὰρ ἀμύνης χειρὶ τὴν ῥαπίσασαν τῆς ὕβρεως δίκην εἰσεπράξατο, δικαιολογίᾳ δὲ μόνῃ ῥημάτων τὴν ἀδικίαν διήλεγξεν.

Ἀχθείη δ' ἂν οἰκειότερον εἰς συμφωνίαν μᾶλλον τὸ νομισθὲν ἀντιφθέγγεσθαι, ὅτι ἐκεῖ μὲν τοῖς ἀδικοῦσιν εἰς τὸ σῶμα καὶ περὶ σῶμα μὴ δεῖν ἀπείρηκεν ἀντανίστασθαι. Ἐνταῦθα δὲ πλάνης γραφὴν, καὶ βλάβης ἀνθρώπων, οὓς ὠδήγει τε καὶ διέσωζε, διωκόμενος, εἰ μηδὲ ῥήμασι διανέστη λύσασθαι, ἃ κατασκευάζειν τοῖς ῥαπίσμασιν οἱ συκοφαντοῦντες ἐμηχανήσαντο, ἐκείνους μὲν εἰς ἄφεσιν ἀπέλυεν τοῦ ἐγκλήματος, καὶ πρὸς θράσος μᾶλλον ἐπέτριβεν τῆς ἀνοσιότητος, αὐτὸν δὲ τῆς συκοφαντίας καὶ τοῦ ψεύδους, ἅπερ αὐτοῦ δυσσεβῶς κατέχεον, οὐκ ἂν τὰς αἰτίας ἀπελύετο. Ποῦ τοιγαροῦν ἐναντία ταῦτα, ἢ μαχόμενα, Τὸν ῥαπίσαντα μὴ ἀντιῤῥαπίσῃς, τὸν δὲ γραφόμενόν σε πλάνης ἢ δυσσεβείας ἢ τὴν σωτηρίαν κηρύττοντα, ὡς εἰσηγητὴν ἀπωλείας, τοῦτον μὴ

[44] Matth. v, 39 ; Luc. vi, 29. [45] Joan. xviii, 23.

NOTÆ.

(19) Sequor Colbert. qui ita habet pro εὐπερίσκεπτον.
(20) Ita scribo pro τῶν λόγων, quod est in libris.

Digitized by Google

ἐπιτρέψῃς ταῦτά σοι περιάπτειν, μηδ' ὑποκατακλιθεὶς (21), μὴ φωνῇ, μὴ διαθέσει σιγώσῃ (22) μηδ' ἄλλον εἶναι τρόπον ὑπαίτιος; Ἀλλὰ τῷ μὲν τῆς ἀληθείας φιλοθεάμονι οὐδὲ πρόφασιν ἔτι τὰ εἰρημένα ἀμφισβητήσεως ὑπολείπει. Τὸ δὲ, « Μὴ ποιεῖτε (23) τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· » καὶ, « Ὃ ποιεῖ ἡ δεξιά σου, μὴ γνώτω ἡ ἀριστερά σου· » καὶ, « Ὅταν νηστεύῃς, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ, » πρὸς τὸ, « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς, » τοσοῦτον ἀπέχει τοῦ μάχεσθαι (24), ὥστε καὶ τὴν ὅτι μάλιστα συμφωνίαν κρίσει τῇ ἐμῇ κατασκευάζει. Κακία μὲν γὰρ ἡ ἐπίδειξις καὶ τὸ θηράσαι (25) δόξαν, νέμεσίν τε σὺν δίκῃ καὶ ψόγον, οὐ γραφόμενον ἀπὸ τῶν σπουδαίων, κινοῦσα. Ἡ δὲ φυγὴ τῆς κενοδοξίας ἀρετή τέ ἐστιν καὶ σεμνοῦ ἤθους καὶ τῶν συνετῶν ἀνθρώπων ἀποτίκτειν οἶδεν εἰς Θεὸν τὴν εὐχαριστίαν, ὅτι βλέπουσι μὲν δοξοκοπίαν ἀτιμαζομένην, ἀρετὴν δὲ τιμωμένην. Πῶς οὖν οἱ ἐνδεικνύμενοι δόξαν ἐξ ἀνθρώπων θηρῶνται, ἐξ οὗ μᾶλλον αὐτοῖς ἕπεται ψόγος; Καὶ πῶς ἀπέχουσι τὸν μισθὸν αὐτῶν; οὐκ ἀπό γε τῶν θεοφιλῶν καὶ σπουδαίων, τοὺς δὲ πολλοὺς καὶ ἀγελαίους (26) διαπλανῶντες, καὶ μηδὲν πλέον ἔχοντας διασκέψασθαι τοῦ φαινομένου. Εἰ τοίνυν τὸ κενόδοξον φαῦλους ποιεῖ, καὶ τὴν ἐξ ἀνθρώπων νέμεσιν ἐγείρει, ἡ δὲ τούτου φυγὴ τἀναντία πράττει, καὶ τοὺς ἐπιεικεστέρους εἰς δοξολογίαν Θεοῦ παραπέμπει, πῶς οὐχὶ συστατικὸν εὑρίσκεται μᾶλλον τοῦ (27) μὴ ἐπιδείκνυσθαι, μηδὲ κενοδοξεῖν τό· « Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων; »

salutis præconem, perniciei doctorem pronuntiarit illum ista tibi impingere ne patiaris, neque, submittens te, vel voce, vel silentis habitu, vel ulla alia ratione reus culpæ videaris. Itaque cordato cuique veritatis scrutatori nec minima dubitandi causa ex dictis illis subnascetur. Illa vero Domini dicta : « Ne faciatis eleemosynas vestras coram hominibus [46]; » et : « Quæ facit dextera tua, ea non norit sinistra tua [47]; » et : « Si jejunaveris, ne buccines ante te, ut hypocritæ [48]; » tantum abest, ut cum illis : « Ita luceat lux vestra coram hominibus, ut bona vestra opera videant, et Patrem vestrum in cœlis laudent [49], » pugnent, ut meo quidem judicio secum invicem egregie conspirent. Vitium enim est ostentatio omnis, et affectatum gloriæ studium, vindictamque et reprehensionem, quæ alioquin ex rebus præclaris non nascitur, excitat : vanæ vero gloriæ fuga et virtus est, et honestos decet, cordatosque homines ad gratias Deo agendas permovet, quando ambitionem contemni, virtutem vero in pretio haberi vident. Quomodo itaque ostentantes se gloriam ab hominibus aucupantur, unde contumelia potius illis nascitur? Et quomodo referunt mercedem suam? non sane ab hominibus, Deo charis et virtutis cultoribus, sed a vulgo et gregariis hominibus, quos, tanquam externa tantum judicare valentes, decipiunt. Quod si itaque vanæ gloriæ studium homines malos efficit, hominumque invidiam irritat, ejusdem vero fuga omnia alia conciliat, et optimos quosque ad divini Numinis laudem incitat, nonne dictum illud : « Ita splendeat lux vestra coram hominibus; » commendare hoc in primis existimabitur, ne quis se ostentet et vanam gloriam aucupetur?

Ἀλλὰ πῶς λάμψει τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, μηδὲν τῶν ἐν κρυφῇ πραττομένων συνιέντων; Εἴρηται μὲν ἤδη. Πλὴν οὕτω μᾶλλον. Ὁ γὰρ βλέπων ἐν τῷ κρυπτῷ Πατὴρ, αὐτὸς τῆς ἔνδον ἀστραπῆς τὴν αἴγλην δυνατός ἐστιν εἰς τὸ φανερὸν ἐναυγάσαι. Ἄλλως τε δυσὶν ὁ σπουδαῖος χαρακτηρίζεται τρόποις, καὶ δυσὶ μάλιστα γράφεται χρώμασι, τῇ (28) καθ' ὁμοίωσιν τοῦ Πλάστου ἀρετῶν αἱρέσει καὶ κακίας φυγῇ. Ἡ μὲν οὖν τῆς κακίας φυγὴ (29) λάμπει πάντως ἔμπροσθεν τῶν ἀνθρώπων, κἂν ἐσώτις (30), ὅση δύναμις, κατέχῃ τὴν λαμπηδόνα. Τὸ γὰρ μὴ χεῖρα κακὸν εἶναι, μὴ περὶ ὕβριν, μὴ περὶ χρήματα, μηδ' ἀκρατῆ γλῶσσαν περὶ διαβολὴν, περὶ ὅρκους, περὶ ὅμοια, καὶ ἁπλῶς ἐν πᾶσι (31) μηδενὶ

Quomodo vero lucebit lux coram hominibus, qui nihil eorum, quæ in obscuro aguntur, perspiciunt? Id quidem jam expositum est, sed ex sequentibus amplius intelligetur. Pater scilicet, qui obscura perspicit, splendorem intus latentem in apricum proferre potest. Præterea vero bonus quisque ex duabus rebus cognoscitur, et duabus potissimum notis distinguitur, hinc ex virtutum studio, quo conditori fit similis, hinc ex fuga vitiorum. Jam vero vitiorum fuga semper splendet coram hominibus, etiamsi quis, quoad potest, lampadem intra se contineat. Si quis enim manu non abutitur circa injurias et circa pecuniam; si linguæ temperat circa calumnias, jusjurandum,

[46] Matth. vi, 1. [47] ibid. 3. [48] ibid. 16. [49] Matth. v, 16.

NOTÆ.

(21) Ms. ὑποκατακληθείς.
(22) Ita recte Colb. pro στιγώσῃ.
(23) Codex alter ποιεῖται.
(24) Ἀνέχει τοῦ μάχεσθαι, Colb. pro ἀπίχεσθαι.
(25) Idem pro θήρης καί.
(26) Sic scribo pro ἔχοντες· refertur enim ad vocem ἀγελαίους.
(27) τοῦ scripsi pro τό, et mox τό, pro τοῦ. Ita enim sensus jubet.
(28) Ita scribendum pro τό.
(29) ἡ μὲν οὖν τῆς κακίας φυγὴ debeo Colbertino, quæ verba ex altero male exciderant ob proxime antecedens : καὶ κακίας φυγῇ.
(30) Idem Colb. pro ἐσώθ.
(31) Sic scribendum pro πάσῃ, et mox λαβεῖν pro λαβεῖν.

Digitized by Google

et hujus generis alja; si denique nullam cuiquam animadvertendi in se occasionem præbet; hæc, inquam, et hic similia, invitis etiam nobis, illustrem et clarissimam lucem hominum oculis offundunt. Idem hoc divus Paulus, Timotheo sacerdotii leges inculcans, ait : « Oportet vero illum bonum testimonium etiam ab externis habere[50]. » Vitiorum porro fuga efficit, ut Judæis et gentilibus, et toti Ecclesiæ Christi non sint offendiculo[51]. Jejunium vero, et pauperum miseratio, lacrymæque oculorum et intenta precatio clam fieri amant; eadem vero itidem fugam vitiorum sui habent interpretem altum clamantem, et præconem illustrem, quandoquidem illa hominum oculos primum perstringens occultæ etiam virtutis splendorem secum ferre, et oculis ingerere consuevit.

Sunt vero etiam, sunt virtutes nonnullæ, quas in medium proferre, maxime vero illos, qui aliis præfecti sunt, oportet. Justitiam puto, et pietatem, earumque vindicem, fortitudinem, aliasque illis affines. Propterea nec illas Servator in obscuro haberi jubet, sed jejunium potius, eleemosynam, hisque similes. In omnibus tamen illud, quod ad ostentationem et vanæ gloriæ studium spectat, procul esse vult, atque id quidem per *occultum* illud, et præceptum : « Ne sciat dextera tua ea, quæ sunt sinistræ, » indicat. Qui vero mentem puram et affectu superiorem habet, sive is domi, sive in ecclesia, sive in media urbe bonum faciat, præceptum Domini curatissime observat. Ille enim non ad ostentationem, neque per vanæ gloriæ aucupium sua agit, sed opere suo spectantes quosvis ad laudem Patris convertit. Quoniam vero non multos tales videmus (præclari enim operis altitudo mentem secum evehit, vanumque gloriæ studium grave telum demittit, pectusque etiam probe munitum lædere et ad inferiora præcipitare potest), multo tutius est, si bona atque ea in primis, de quibus diximus, in occulto præstentur. Qui vero extra omnem teli hujus jactum positi sunt, illis virtutem etiam in aprico et palam consectari licet. Ita Salvator quoque noster nonnunquam miracula sua inter medios homines et in synagogis patrabat; nonnunquam vero illa publicari non patiebatur. Alterum quidem eorum faciebat, quod, sicut affectibus aliis omnibus prorsus non erat obnoxius, ita nec ostentationi patebat. Alterum vero, ut regulam et exemplum nobis præberet, ad fugiendam ostentationem, et errabundos vulgi plausus sollicite vitandos. Perfectius itaque et perfectorum hominum est, quod diximus, publicum virtutis studium et exercitium, tutius vero occultum. Ibi enim latens

A μηδεμίαν λαβὴν ἐμπαρέχειν· ταῦτα καὶ τὰ τοιαῦτα· καὶ μηδαμῶς βουλομένων ἡμῶν λαμπρὸν ἀναστράπτει καὶ μέγα φῶς τοῖς ἀνθρώποις. Τοῦτο καὶ ὁ θεῖος Παῦλος, θεσμοὺς τῆς ἱερωσύνης ὑπογράφων Τιμοθέῳ, λέγει· « Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἐκ τῶν ἔξωθεν. » Ἀλλὰ καὶ τὸ ἀπροσκόπους γενέσθαι Ἰουδαίοις τε καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ πάσῃ τοῦ Χριστοῦ, ἡ τῆς κακίας συνίστησι καὶ κατασκευάζει φυγή. Νηστεία δὲ, καὶ πενήτων οἶκτος, καὶ δάκρυον ἐξ ὀμμάτων, καὶ προσευχῆς τόνος φιλεῖ μὲν τῆς ἐργασίας τὸ κρύφιον, οὐδὲν δὲ ἧττον μηνυτὴν μεγαλόφωνον καὶ κήρυκα διαπρύσιον τὴν τῆς κακίας ἔχει φυγήν, ἥτις τοῖς ἀνθρώποις προεκλάμψασα συνεφέλκεσθαί πως καὶ συνδιαλάμπειν φιλεῖ, καὶ τῆς κρυφίου ἀρετῆς τὴν μαρμαρυγήν.

B Εἰσὶ δ' οὖν, εἰσί τινες ἀρεταὶ, ἃς εἰς τὸ μέσον εἰκὸς πράττειν καὶ μάλιστα τοὺς προεστηκότας, δικαιοσύνη, φημὶ, καὶ εὐσέβεια, καὶ ἡ ταύτης πρόμαχος ἀνδρεία, καὶ ὅσαι συνέριθοι. Διόπερ οὐδὲ ταύτας ὁ Σωτὴρ τῷ λανθάνοντι περιγράφεσθαι κελεύει, νηστείαν δὲ καὶ ἐλεημοσύνην, καὶ εἴ τι ὅμοιον. Πλὴν ἐπὶ πασῶν γε τὸ πρὸς ἐπίδειξίν τε καὶ τὸ κενόδοξον ἐξορίζει, καὶ τοῦτο αὐτῷ τὸ *κρύφιον* (32) βούλεται, καὶ τὸ μὴ γνῶναι τὴν δεξιὰν τὰ τῆς ἀριστερᾶς. Ὁ δὲ καθαρεύουσαν τὴν γνώμην ἔχων καὶ ἀνωτέραν τοῦ πάθους, ἄν τε ἐν οἰκίᾳ, ἄν τε ἐν ἐκκλησίᾳ, ἄν τε ἐν αὐτῇ μέσῃ πόλει πράττῃ τὸ καλὸν, τῆς Δεσποτικῆς ἐστιν ἐντολῆς ἀκριβέστατος φύλαξ. Αὐτός τε γὰρ C οὐ πρὸς ἐπίδειξιν οὐδὲ κενῆς δόξης προβολὴν τὴν πρᾶξιν ποιεῖται, καὶ τῷ ἔργῳ τοὺς ὁρῶντας εἰς τὴν τοῦ Πατρὸς δόξαν ἐπιστρέφει. Πλὴν ἐπείπερ οὐ πολλοὺς ὁρῶμεν (ὅτι συνανυψοῖ ἑαυτῷ τὸ ὕψος τοῦ κατορθώματος· σφοδρὸν γὰρ ἀφίησι κάτωθεν ἡ κενὴ δόξα τὸ βέλος, καὶ δυνατὴ (33) πολλάκις καὶ στερρὸν ἦθος διελάσαι, καὶ πρὸς τὰ κάτω περιτρέψαι), ἀσφαλεστέρα πολλῷ ἡ ἐν τῷ κρυπτῷ, καὶ μάλιστα τῶν εἰσαγομένων εὑρίσκεται ἐργασία. Τοῖς δ' ἔξω παντελοῦς βέλους γεγονόσιν ἀκώλυτος ἡ ἐν φανερῷ καὶ δημοσίᾳ πραττομένη. Ἐπεὶ καὶ ὁ Σωτὴρ ποτὲ μὲν εἰς μέσους καὶ ἐν ταῖς συναγωγαῖς τὰ θαύματα ἐπετέλει, ἐσθ' ὅτε δὲ οὐκ εἴα δημοσιεύεσθαι ταῦτα. Τὸ μὲν, ὅτι καθάπερ καὶ τοῖς ἄλλοις πάθεσιν ἀπροσπέλαστος ὅλως ἦν, οὕτω καὶ τὴν κενοδοξίαν ἀπρόσ- D ιτον κατεῖχεν· τὸ δὲ, κανόνα καὶ γνώμονα παρέχων ἡμῖν, φεύγειν τε τὰς ἐπιδείξεις, καὶ τοὺς πεπλανημένους τῶν πολλῶν διακρούεσθαι ἐπαίνους. Τελειοτέρα μὲν οὖν καὶ τελείων, ὥσπερ ἔφαμεν, ἡ ἐν τῷ μέσῳ πρᾶξις, ἀσφαλεστέρα δὲ ἡ λανθάνουσα. Ἐκεῖ μὲν γὰρ πολλάκις λαθοῦσα συνεισδύεται τῇ ἀρετῇ ἡ κακία, ἐνταῦθα δὲ τόγε ἐπ' αὐτῇ τῇ κρυφίῳ πράξει ἀποτετείχισται παντελῶς αὐτῇ (34) ἡ διείσδυσις.

[50] I Tim. III, 7. [51] I Cor. x, 32.

NOTÆ.

(32) ἐν τῷ κρυπτῷ, Matth. VI, 4.
(33) Cum Colb. pro διὰ τί.
(34) Malim αὐτῆς, scilicet κακίας, vel αὐτὴ ἡ διείσδυσις.

Digitized by Google

Οὕτως οὐδαμῶς οὐκ ἔστιν ἐναντία τῶν Δεσποτικῶν ῥημάτων ἡ νομοθεσία.

Ἴδοις δ' ἂν καὶ ἄλλως οὐδὲν ἧττον τὸ ῥηθέν. Ἐλέγχων γὰρ τοὺς Φαρισαίους ὁ Σωτὴρ, καὶ μεταρυθμίζων αὐτῶν τὸ κατεσχηματισμένον καὶ ὕπουλον εἰς τὸ κόσμιόν τε καὶ τὸν χρηστὸν τρόπον, ἀπεῖπεν μὲν αὐτοῖς φεύγειν τὸ πρὸς ἀνθρώπους ζῆν, διώκειν δὲ, ὅσα θεραπεύει Θεόν. Τοὺς οὖν τὴν κενοδοξίαν νοσοῦντας ἀπαλλάσσων τῆς νόσου, πρὸς ἐκείνους φησίν· « Μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· » καὶ, « Ὃ ποιεῖ ἡ δεξιά σου, μὴ γνώτω ἡ ἀριστερά σου, » καὶ ὅσα ὅμοια. Τοὺς ἐμπαθεῖς περικαθαίρων τοῦ πάθους, τοὺς ὑποκριτὰς ἐλαύνων τῆς σκηνῆς, τοὺς ὑπὸ ζόφῳ καὶ πλάνῃ πολιτευομένους, εἰς τὸν ἁπλανῆ καὶ καθαρὸν τῆς ἀρετῆς βίον μετακαλῶν, ἐξ οὗ διαυγάζει ἡ ἀπάθεια καὶ ἡ ἀληθὴς δόξα, καὶ ἡ λαμπρότης ἡ ψυχική. Οὕτως οὐκ ἔστιν ἀλλήλοις ἐναντία τὰ θεῖα καὶ ἱερὰ λόγια, ὥστε τοὐναντίον οὐδ' ἄν τι γένοιτο τῶν ἔργων ἀπαστράψαι τὴν λαμπηδόνα, εἰ μὴ τῆς κενοδοξίας τὸν ζόφον πρότερον διασκεδάσῃ, καὶ περιέλοι ἐξ αὐτοῦ.

Ἄλλως τε δὲ, εἰ τὸ μὴ σκανδαλίζειν τὸν πλησίον σύνδρομόν ἐστι, μᾶλλον δὲ προηγούμενον τοῦ περιλάμψαι τοῖς ἔργοις τοὺς ἀνθρώπους, τὸ δὲ, μὴ ποιεῖν πρὸς ἐπίδειξιν, ἐν τῷ μὴ σκανδαλίζειν ὡς ἐν μέρει νόμος περιέχεται τῷ ὅλῳ. Καὶ τὸ φεύγειν ἄρα τὴν κενοδοξίαν προπαρασκευὴ γίνεται τοῦ ἔμπροσθεν τῶν ἀνθρώπων διὰ τῶν ἔργων ἀναλάμψαι. Ἀλλὰ γὰρ τὰ μὲν Κυριακὰ λόγια σὴν (35) συνεξαίτησίν τε καὶ χάριν διαφόροις ἐπιβολαῖς ἀντὶ τοῦ διαφωνεῖν ἐπεδείχθη μᾶλλον ἀσπαζόμενα τὴν συμφωνίαν.

Ἔστι δὲ καὶ Δεσποτικῶν ἡ μίμησις νόμων, κἀκεῖθεν ἔχει τὴν πρόοδον, τὸ πλείοσιν ἐπιχειρήμασι μεθοδεύειν τὰ στασιάζειν ἀλλήλοις δοκοῦντα τῶν προβλημάτων. Καὶ γὰρ αὐτὸς ὁ κοινὸς καὶ Πλάστης καὶ Διδάσκαλος, καὶ Σωτὴρ εἰσηγητὴς ὁρᾶται τοῦ κανόνος, οἷς ἐποίησεν. Οὐκ ἄχαρι δ' ἴσως ἐν ταυτῷ σοι συνδιεξαπλῶσαι καὶ τὴν θεωρίαν τοῦ τρίτου ζητήματος. Ὅτε γὰρ τὸ ἀχάριστον καὶ ἀναίσχυντον ἔθνος τῶν Ἰουδαίων τῆς ἐν Σαββάτῳ αἰτιολογίας τοὺς μαθητὰς αἰτίας εἰσέπραττεν, οὐχ ἑνί γε τρόπῳ τὸ ἐπηρεαστικὸν αὐτῶν ἐπεστόμισεν. Ἀλλὰ πρῶτον μὲν τὴν ἀνάγκην αὐτοῖς ἀντεπέστησεν. Τοῦτο γὰρ καὶ κατασκευάζεται τῇ κατὰ τὸν Δαβὶδ πράξει καὶ τῷ παραδείγματι, ὃς τοὺς ἄρτους φαγὼν οὐκ ἐξὸν τῆς προθέσεως, αἰτίας ἀφίεται. Δεύτερον δὲ ἀπὸ τοῦ τόπου, ἤτοι παρὰ τὸ ἐν τῷ τόπῳ προνόμιον. Παραδειγματικὸν μὲν καὶ τοῦτο, πλὴν τοῦ προτέρου βαθύτερον. Ὥσπερ γὰρ ἡ αὐτὴ πρᾶξις ἔξω μὲν τοῦ ἱεροῦ

A vitium sæpe virtuti se miscet; hic vero, per occultum nempe virtutis exercitium, vitii subreptio penitus cavetur. Illa itaque Domini præcepta sibi neutiquam adversantur.

Hæc, quæ dicta sunt, alia quoque ratione illustrare et perspicere licet. Pharisæos enim castigans, moresque eorum simulatos et sublestos ad veram honestatem et probitatem compositurus, vetuit ne ad hominum judicium vitam suam agerent, sed ea potius consectarentur, quæ Deo probantur. Ilos itaque a vanæ gloriæ studio avocaturus, ita eos alloquitur : « Ne faciatis eleemosynam vestram coram hominibus; » et : « Quod facit dextera tua, illud nesciat sinistra; » aliaque his similia. Homines itaque, affectibus indulgentes, a malo hoc purB gat, hypocritas ex theatro propulsat, homines, inter nebulas et errores vitam agentes, ad vitam inculpatam et puro virtutis studio coruscam, ex qua immunis ab affectibus animus, veraque gloria, et mentis splendor emicat, perducit, Propterea divina et sacra illa oracula adeo sibi invicem non adversantur, ut potius lampas bonorum operum apud neminem lucere possit, nisi qui prius vanæ ambitionis caliginem dispulerit, seque ab illa liberarit.

Idem hoc etiam alia ratione probatur. Quod si offendiculum non ponere proximo conjunctum est, vel prævium potius illi, ut recte facta ab hominibus conspiciantur; nihil autem ad ostentationem facere, tanquam pars respectu totius, requiritur, C ut offensioni non simus; consequitur fugam vanæ ambitionis præparare hominem, ut operibus suis coram hominibus lucere possit. Itaque ad petitionem tuam tuaque causa variis modis ostensum a me est, Domini nostri dicta adeo sibi invicem non adversari, ut consensio potius manifeste appareat.

Imitor vero hic Domini nostri exemplum, quod facit, ut pluribus modis et argumentis in concordiam illa redigantur, quæ secum invicem pugnare videntur. Ipse enim communis nostrum et conditor, et doctor, et Servator, ex iis, quæ ipse fecit, hanc regulam docuisse intelligitur. Dum in hoc sum, non injucundum tibi fortasse fuerit, etiam tertiæ D quæstionis examen suscipere. Cum enim improba et impudens Judæorum natio discipulos rationem reddere jubebat [51], cur in Sabbato sementem comedissent, non uno modo injurios eorum sermones compescebat. Primo quidem loca necessitatem illis obvertebat. Id scilicet ipso Davidis facto et exemplo firmabatur, qui, cum panes propositionis, quibus vesci non licebat, comedisset, a culpa immunis habebatur. Alterum argumentum petit a loco, sive potius a prærogativa quadam, loco propria. Argumentum hoc itidem ab exemplo ducitur, sed

[51] Matth. XII, 1 seqq.

NOTÆ.

(35) σὴν habes ex Colbert. Vocula hæc in altero obsequens συνεξαίτησιν omissa erat, ubi tamen atque adeo et hic rectius legetur σὴν ἐξαίτησιν.

Digitized by Google

priori illo est gravius. Sicut enim eadem actio, si quidem extra locum sanctum fiat, crimini facit obnoxium, quæ in sancto loco patrata, reum non reddit ; ita, si qui alii simpliciter in Sabbato frumento vescantur (largiar hoc vobis,) culpæ sunt obnoxii. At vero illi, qui hominum sunt servatores, et doctores, quique cum ipso sacerdotii Domino et legislatore versantur, vel propterea ab omni crimine immunes habentur. Quæ enim hic sunt, sancto illo loco sunt majora. Porro vero misericordiæ quoque nomine amentiam eorum castigat. Si enim sacrificium, inquit, præstat observatione Sabbati, lex vero vestra misericordiam sacrificio præfert : « Misericordiam enim, inquit, volo, non vero sacrificium [53] ; » illi utique, qui pro eo, quod ad misericordiam flecti debebant, prævaricationis pœnas poscunt, majoris peccati rei merito habentur, umbram legis vindicantes. Præterea quarto etiam argumento in eosdem animadvertit, dicens, hominem non propter Sabbatum factum, sed Sabbatum potius in hominis commodum conditum esse [54]. Denique et verborum flagello amentiæ eorum quintam infligit plagam, qua simul instar Domini cum majore quadam auctoritate et efficacia eosdem castigat. « Dominus enim, inquit, Sabbati est Filius hominis [55]. » Quod si vero Filius est Dominus ; discipuli autem vel maxime filii sunt et hæredes (illi enim primi non ex sanguine, nec ex voluntate carnis nec ex voluntate viri, sed ex Deo geniti sunt, et a Deo in filios adoptati [56]) ; iidem sane non servient, sed dominabuntur Sabbato. Hoc igitur Domini opere, aliisque illi similibus, muniti et edocti, illam, ut volebas, oraculorum venerabilium apparentem dissensionem, variis modis in consensionem manifestam traduximus. Atque illa quidem nostra ita habes. Si vero ingenii tui felicitas, et judicii acumen, sacræque doctrinæ copia et dicendi ubertas jucundiora et sublimiora invenerit (inveniet vero omnino, modo voluerit, siquidem ego te, amicum meum, recte novi) ; mutuam hanc benevolentiam instar amplissimi præmii accepero.

A γινομένη πρὸς δίκην ὑπάγει, ἐν αὐτῷ δὲ τῷ ἱερῷ ἀνεύθυνον ἀπολύει · οὕτω καὶ σιτολογεῖν μέν τινας ἁπλῶς ἐν Σαββάτῳ (δεδόσθω γὰρ ὑμῖν,) ποιεῖ ἐν εὐθύναις · τοὺς δὲ τῶν ἀνθρώπων σωτῆρας καὶ διδασκάλους, καὶ αὐτῷ τῷ τῆς ἱερωσύνης συνόντας Δεσπότῃ καὶ νομοθέτῃ παντὸς αἰτιάματος ἀπαλλάττει. Πολλῷ γὰρ μείζω τοῦ ἱεροῦ τὰ ἐνταῦθα. Ἔτι δὲ καὶ ἀπὸ τοῦ ἐλέου τὴν αὐτῶν ἀπόνοιαν στηλιτεύει. Εἰ γὰρ μείζων μὲν ἡ θυσία τῆς παρατηρήσεως τῆς ἐν Σαββάτῳ, ἐπίπροσθέ τε τῆς θυσίας καὶ ὁ νόμος ὑμῶν τὸν ἔλεον ἄγει· « Ἔλεον γάρ, φησίν, θέλω, καὶ οὐ θυσίαν · » οἱ τοὺς μαθητὰς ὁρῶντες λιμῷ καὶ ἀσιτίᾳ πιεζομένους, εἶτα ἀντὶ τοῦ ἐπ' ἔλεον (36) τραπῆναι δίκην εἰσπραττόμενοι παρανομίας, οὗτοι πολλῷ χαλεπωτέρᾳ παραβάσει τὴν σκιὰν τοῦ νόμου B διεκδικεῖν εἰσιν ἐαλωκότες. Οὐ μὴν ἀλλὰ καὶ τετάρτῳ τούτους ἀπορραπίζει λόγῳ, οὐ διὰ τὸ Σάββατον τὸν ἄνθρωπον γεγονέναι λέγων, ἀλλ' ἀνάπαλιν ἀνθρώπου χρείᾳ τὸ Σάββατον ὑφεστάναι. Ναὶ δὴ καὶ μέχρι πέμπτης πληγῆς τῆς ἀνοίας αὐτῶν τῇ μάστιγι τῶν λόγων καθικνεῖται, δεσποτικώτερον λοιπὸν καὶ μετ' ἐξουσίας αὐτοὺς ἐπιπλήττων. « Κύριος γάρ ἐστι, φησὶν, ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου. » Εἰ δὲ Κύριος ὁ Υἱὸς, υἱοὶ δὲ καὶ κληρονόμοι μάλιστα οἱ μαθηταὶ (οὗτοι γὰρ καὶ πρῶτοι οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν, καὶ τῆς ἄνωθεν υἱοθεσίας ἠξιώθησαν) · οὐκ ἔτι δουλεύσουσιν, ἀλλὰ κυριεύσουσι τοῦ Σαββάτου. Ἐξ οὖν τῆς Δεσποτικῆς C ἐργασίας ταύτης, καὶ ὅση παραπλησία, δυναμωθέντες τε καὶ στοιχειωθέντες, ὥσπερ ᾔτησας, λόγοις διαφόροις τὴν τῶν σεπτῶν Λογίων δοκοῦσαν διαφωνίαν εἰς ἀστασίαστον συνηγάγομεν συμφωνίαν (37). Ἀλλὰ γὰρ τὰ παρ' ἡμῶν σοι ἐπὶ τοσοῦτον. Εἰ δὲ τὸ σὸν τῆς διανοίας τάχος, καὶ τὸ ἐν φρονήματι συνετὸν, καὶ τῶν ἱερῶν θεωρημάτων ὁ πλοῦτος, καὶ ῥήτωρ τέχνη γλυκύτερά τε καὶ ὑψηλότερα προσεπιθεωροίη, προσεπιθεωρήσειε δ' ἂν μόνον βουληθείη, εἴπερ ἐγὼ τὸν ἐμὸν οὐκ ἀγνοῶ φίλον, εἰς τὸ πληρέστατον ἂν εἴην (38) τὴν ἀμοιβαίαν ἀπειληφὼς χάριν.

QUÆSTIO CXXXVI [*Coisl.* CLVIII. *Taur.* CLVIII].

Quare Paulus apostolus in epistolis suis nomen suum præmittit ?

ΕΡΩΤΗΣΙΣ ΡΛϚ'.

Διὰ τί ἐν ταῖς Ἐπιστολαῖς αὐτοῦ Παῦλος ὁ ἀπόστολος προτάττει τὸ ἴδιον ὄνομα (39 ; D

Editarum a Wolfio (l. c. p. 750-770 Galland. l. c. p. 732, 736, n. 33). —De Paulo suis epistolis proprium nomen præponente.

Divinus Paulus Epistolis suis nomen suum præfigit, ideo, quod os suum sine commemorata Domini beneficentia aperire noluit. Gratia enim illi nomen quoque novum imposuit, quæ Saulum in Paulum non solum quoad mores, sed etiam quod ad appellationem converterat. Propterea vocat se Paulum, tanquam qui ipsum nomen Domini in se

Προτάττει τῶν Ἐπιστολῶν αὐτοῦ Παῦλος ὁ θεῖος τὸ ὄνομα, μηδὲ διᾶραι στόμα χωρὶς τοῦ μεμνῆσθαι τῆς Δεσποτικῆς εὐεργεσίας βουλόμενος. Καὶ γὰρ αὐτῷ καὶ τὴν κλῆσιν ἡ χάρις ἐκαίνισεν, εἰς Παῦλον τὸν Σαῦλον, ὥσπερ τοὺς τρόπους, οὕτω διαμειψαμένη καὶ τὰ ῥήματα. Διό φησι Παῦλος, ὁ καὶ αὐτὴν οἱονεὶ τὴν κλῆσιν ἐκ Δεσποτικῆς φιλοτιμίας φέρων,

[53] Osee VI, 6 ; Matth. XII, 7. [54] Marc. II, 27. [55] ibid. 28. [56] Joan. I, 13.

NOTÆ.

(36) Ita Colb. pro altero ἔλαττον.

(37) εἰς ἀσασ. συνηγάγομέν συμφωνίαν, ex Colb.

(38) Idem pro εἴης.

(39) Initium hujus responsi exstat apud Œcumenium sub Photii nomine, p. 202 Commentar.

Digitized by Google

ὁ πάντα πλουτήσας ἀπὸ τοῦ Χριστοῦ, τὸ ὄνομα, τὴν πίστιν, τὸν πόθον, τὸν δρόμον, τὴν ἀποστολήν, τὰ πολιτεύματα, εἰκότως τοιγαροῦν καὶ « δοῦλος Χριστοῦ. » Ὁ γὰρ προῖκα τοσαῦτα λαβών, καὶ μηδὲν προκαταθέμενος, πῶς οὐχὶ δοῦλος (40), καὶ εἴ τι ἄλλο, τοῦ διὰ τοσούτων τιμήσαντος; Δοῦλοι μὲν γὰρ καὶ ἄκοντες ἅπαντες, ὅσους ὁ δημιουργικὸς Λόγος ἐκ μὴ ὄντων εἰς ὕπαρξιν θέμενος, πρὸς τὸν Δεσπότην ὁρᾷν ἀναγκάζει, καὶ τοῦ Πλάστου τὸ κράτος ἐπίστασθαι. Καὶ γὰρ ἀνάγκη τὸ δημιούργημα δοῦλον εἶναι καὶ ὑπεξούσιον τῆς τοῦ δεδημιουργηκότος κυριότητος. Δοῦλον δὲ καὶ ὅσον τῆς τοῦ κρείττονος ἀπολαύει προνοίας, καὶ τῆς ζωῆς ὥσπερ ἐκεῖθεν ἔχει τὴν ὕπαρξιν, οὕτω καὶ τῆς διαμονῆς τὴν συνέχειαν. Εἰεν δ' ἂν εὐγνωμονοῦντες δοῦλοι, καὶ οἵτινες τυραννίδος πικρᾶς καὶ χαλεπῆς αἰχμαλωσίας μεγάλοις ἐλευθερωθέντες λύτροις, τὸν λυτρωτὴν ἐπιγράφεσθαι Δεσπότην ἐγνώκασιν. Ἀλλ' ὅ γε θεῖος Παῦλος οὐ τούτοις ἑαυτὸν τοῖς τρόποις ὑποτάξαι Χριστῷ μέγα ἐποιεῖτο. Κοινά τε γὰρ ταῦτα, καὶ οὐδὲν ἐξαίρετον οὐδὲ θαυμαστὸν ἐνδεικνύμενα. Ἑτέροις δὲ μᾶλλον ἑαυτὸν διακοσμεῖ, καὶ διαπλάττει δοῦλον πλείοσί τε καὶ μείζοσι, καὶ τὸ τῆς δουλείας καθαρὸν, καὶ ὄντως ἐλεύθερον λαμπρῶς ἐπιδείκνυται. Καὶ πρῶτον μέν, οἷς ἔσχεν ἰδίως φιλοτιμεῖσθαι τοῖς δεδομένοις αὐτῷ παρὰ τοῦ Πλάστου χαρίσμασι. Δεύτερον, τῷ ἐξῃρημένῳ τῶν ἄλλων ἀνθρώπων καὶ διαπύρῳ τῆς εἰς αὐτὸν ἀγαπήσεως. Καὶ τρίτον τῇ ἀπροφασίστῳ τῆς ἀποστολῆς ὑπηρεσίᾳ, καὶ τῷ ἀπαραβλήτῳ δρόμῳ τῆς δουλείας, ἐλευθέρῳ φρονήματι τὴν ὡς ἀληθῶς ἐμφανίζει εὐγένειαν. Καὶ πρός γε τοῖς εἰρημένοις τῇ ἀκριβείᾳ καὶ καθαρότητι τοῦ πολιτεύματος, δι' ὧν ἑαυτὸν δοῦλον καὶ σῶμα καὶ ψυχὴν καὶ λογισμοὺς, καὶ πάντα τὰ τῷ Χριστῷ παρεστήσατο· οὐδαμοῦ τὴν ἐκλογὴν αἰσχύνας, οὐδὲ τὴν ἄνωθεν ψῆφον φαυλίσας, πανταχοῦ δὲ μᾶλλον θείαν ὡς ἀληθῶς ἀποφήνας, καὶ τοῖς ἔργοις τὴν κρίσιν βεβαιωσάμενος, καὶ μηδὲν λιπὼν, τί δεῖ λέγειν τῶν ἐντολῶν ἀκατόρθωτον, ὅπου λαβεῖν ἔστιν, ἃς καὶ ὑπερεβάλλετο; Δείκνυται τοιγαροῦν ὁ θαυμάσιος Παῦλος, καθ' ἕνα μὲν τρόπον δοῦλος, ὡς τῆς δημιουργικῆς παλάμης φιλοτέχνημα. Καθ' ἕτερον δὲ, ὡς τῇ ἐκεῖθεν προνοίᾳ τὴν ὕπαρξιν συνεχόμενος, εἶτα ὡς ἠγορασμένος τῷ Δεσποτικῷ αἵματι, λοιπὸν ἐντεῦθεν τὰ ἰδιάζοντα· οὐδὲ γὰρ, οὐδὲ μέχρι τούτων ἵσταται, οὐδὲ (41) τοῖς κοινοῖς τὴν αὐτοῦ δουλείαν περιγράφει, ἀλλὰ καὶ χαρισμάτων πλοῦτον περιβαλλόμενος, ἄλλης δουλείας ζυγῷ καὶ τρόπῳ ἑαυτὸν ὑποζεύγνυσιν, ἀντιδεξιοῦσθαι φιλονεικῶν οὐκ εἰωθόσι θεραπείαις, τὸν καινοτέραις αὐτὸν φιλοτιμησάμενον χάρισι. Ναὶ δὴ καὶ ἀντὶ πάντων φιλεῖ τὸν Δεσπότην, φίλτρου ὑπερβολὴν οὐ λείπων (42), καὶ μεῖζον εἰ κατὰ λόγον τοῦ θαυμάζεσθαι. Καὶ πάντα σκύβαλα ἡγεῖται, ἵνα Χριστὸν τὸν ποθούμενον κερδήσῃ. Ἀλλὰ καὶ ἀπο-

πολλοῖς τῶν περὶ οὐσίας εἰπεῖν τι προελομένων παρεώραται. Καὶ γὰρ ἕτερον μὲν τρόπον παντάπασιν λέγοιτ' ἂν οὐσία ἡ ὑπερούσιος καὶ προακτικὴ τῶν ὄντων οὐσία, περὶ ἧς θεωρεῖν οὐ τῆς νῦν, τῆς δὲ πρώτης ἐστὶ φιλοσοφίας· ἕτερον δὲ τρόπον ἡ ὕλη λέγεται οὐσία, καὶ ἄλλον πάλιν τὸ μορφωτικὸν καὶ εἰδοποιὸν τῆς ὕλης εἶδος· ἀλλ' ἑκάτερον μὲν τῶν δύο λέγεται οὐσία, οὐδέτερον δὲ αὐτῶν ἐστι κυρίως πρᾶγμα αὐθύπαρκτον· ἡ μὲν γὰρ ὕλη δεῖται πρὸς ὕπαρξιν καὶ φανέρωσιν τῆς εἰδοποιοῦ οὐσίας· καὶ τὸ εἶδος δὲ, εἰ καὶ μὴ ὡσαύτως, ἀλλ' οὖν δεῖται καὶ αὐτὸ τῆς ὑλικῆς οὐσίας, ἐφ' ᾧ ἵδρυμα λαβεῖν καὶ βάσιν· ἑκατέραν δὲ τούτων τοῦ φυσικοῦ ἐστι διασκέψασθαι. Ἔτι δὲ οὐσία λέγεται καὶ ἡ ὁπωσοῦν ἑκάστου τῶν ὄντων ὕπαρξίς τε καὶ οὐσίωσις, ἥτις ἔχει ἀντικείμενον τὸ μὴ ὄν· οὐ μὴν, ἀλλὰ λέγεται πάλιν οὐσία τοῖς πολιτικοῖς ἡ ἑκάστου τῶν κτημάτων τε καὶ χρημάτων περιουσία καὶ ὕπαρξις. Τοσαυταχῶς οὖν τέως τῆς οὐσίας λεγομένης, οὐδεμία τῶν εἰρημένων οὐμενοῦν οὐ δύναται κατηγορία εἶναι ἡ ὀνομάζεσθαι· ἀλλ' ἡ μὲν τῶν ὄντων συνεκτικὴ καὶ ὑπερούσιος οὐσία ὡς πολλῷ κρείττων τῶν τοιούτων φωνῶν καὶ ἐννοημάτων καθισταμένη, μᾶλλον δὲ ὡς ὑπερβολῇ ἀῤῥήτῳ ἐξῃρημένη τε καὶ ὑπεριδρυμένη· ἡ δὲ ὕλη καὶ τὸ εἶδος ὡς νῷ μόνῳ ληπτὰ καὶ ἐν τοῖς συνθέτοις θεωρητὰ, ἐνεργείᾳ δὲ καὶ ὑπάρξει κατ' ἰδίαν οὐχ ὑφεστῶτα· τῶν δὲ ἄλλων φωνῶν ἡ μὲν ἴσως ὡς πολιτικοῖς, ἀλλ' οὐ φιλοσόφοις οἰκεία, ἡ δὲ ὡς οὐδὲν τεταγμένον καὶ ὡρισμένον, ἀλλ' ὁμωνύμως πάντα δηλοῦσα· διέστηκε δὲ πολλῷ κατηγορία καὶ ὁμωνυμία.

A quæ multipliciter dicuntur; etsi multi illorum, qui aliquid de ea dicere instituerunt, id neglexerunt. Etenim alio omnino modo substantia vocatur supersubstantialis atque exsistentium rerum productrix substantia; cujus consideratio non ad præsentem, verum ad primam pertinet philosophiam (sc. metaphysicam seu theologiam naturalem). Alio vero modo materia dicitur substantia, et alio rursum pacto informans et specificans materiam forma; verum utrumque quidem substantia dicitur, neutrum vero proprie est res per se subsistens. Nam materia ad exsistentiam et manifestationem indiget substantia specificante et species, etsi non eodem modo, tamen et ipsa indiget materiali substantia, in qua collocetur et sustineatur; B in utramque vero harum inquirere, ad physicum spectat. Præterea substantia dicitur etiam uniuscujusque exsistentium quomodolibet exsistentia et essentia, quæ oppositum habet id quod non est. Adhuc autem politicis rursum substantia dicitur, quidquid prædiorum vel nummorum quilibet possidet. Cum igitur tot modis substantia dicatur, nulla ex prædictis ullo modo categoria esse vel appellari potest; sed substantia rerum conservatrix et supersubstantialis multo his vocibus et notionibus sublimior exsistit, imo infinito excessu eas superat superque eas elevatur; materia vero et species ut sola mente percepta et in compositis intellecta, operatione et propria subsistentia non subsistentia categoriæ non sunt; reliquarum autem C vocum altera politicis fortasse, non vero philosophis consueta et propria est; altera autem nihil determinatum et definitum, sed æquivoce omnia significat; multum vero differunt prædicatio et æquivocatio.

β'. Παρὰ μέντοι τὰ εἰρημένα λέγεται οὐσία καὶ πᾶν ὅπερ ἐστὶν αὐτοσύστατον (24), οὗ καὶ τὸν λόγον εἰκότως ἂν τις ἀποδοίη πρᾶγμα εἶναι λέγων αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς (25) ὕπαρξιν, οἷον ἄνθρωπος, βοῦς, πῦρ, γῆ, καὶ τὰ ὅμοια. Ἡ τοιαύτη δὲ οὐσία καὶ τὴν τῆς κατηγορίας δύναιτ' ἂν δέξασθαι ὀνομασίαν, τῶν δὲ προειρημένων δῆλον ὡς οὐ μία. Ταύτης δὲ τῆς νῦν ἀποδεδομένης οὐσίας ἡ μὲν ἐξ ὕλης καὶ εἴδους συνέστηκεν, ἡ δὲ ὕλης μὲν καὶ εἴδους ἠλλοτρίωται, ἐξ ἀναλόγου δὲ τούτοις τὴν φύσιν ἔχει (26) συνηρμοσμένην· καὶ ταύτης ἡ μὲν κατ' ἐπιβολὴν καὶ ἀθρόον ἐνεργεῖ, ὡς ἀγγέλων φύσις, εἶτα καὶ νοῦς· ἡ δὲ μετά τινος κινήσεως τὰς ἐνεργείας ἔχει προαγομένας, ὡς ψυχή· ἂν εἰ καὶ διάφορος ἡ ἐνέργεια καὶ ἡ ὕπαρξις ἀλλ' οὖν κοινὸν αὐτοῖς τὸ D εἶναί τε καὶ καλεῖσθαι ἀσώματα· ὅσα γὰρ τῆς ὕλης καὶ τοῦ ἐνύλου εἴδους ἀνακεχώρηκεν, εἰς τὸν τοῦ ἀσωμάτου λόγον μεταβέβηκε· κἂν γὰρ πρὸς τὸ κυρίως καὶ πρώτως ὂν ἀσώματόν τε καὶ ὑπερούσιον ἀγαπῶσι ταῦτα σῶμά γε καὶ εἶναι καὶ ὀνομάζεσθαι, ἀλλ' οὖν τὴν ἔνυλον καὶ σωματικὴν διαφυγόντα πα-

2. Præter tamen dicta substantia dicitur etiam omne quod est per se subsistens. Hujus rationem recte quis assignaverit dicens, rem esse per se subsistentem, non indigentem alio ad subsistentiam; v. gr. homo, bos, ignis, terra et similia. Ejusmodi substantia etiam categoriæ denominationem suscipere poterit, prædictarum vero nulla, ut patet. Substantiæ vero, de quibus nunc agitur, aliæ ex materia et forma consistunt, aliæ vero a materia et forma longe absunt, ex natura tamen his respondente concinnatæ sunt. Atque ex his alia quidem in instanti et uno impetu operatur, ut angelorum natura, deinde mens; alia vero cum quodam motu habet operationes suas progredientes, ut anima. Quarum licet diversa sit operatio et exsistentia, attamen commune ipsis est et esse et dici incorporea. Quæcunque enim carent materia et materiali forma, ea ad incorporeorum rationem transeunt; licet enim cum eo quod proprie et primario est incorporeum et supersubstantiale comparata hæc quoque corpus censeri ac dici debeant, attamen

NOTÆ.

(24) Sic Vat. Apogr. Ven. αὐθυπόστατον.
(25) Πρός deest in Venet. apographo, sed est in cod. Vat.
(26) Sic recte Vat. Catif. Ap. ἔχειν.

Digitized by Google

cum materialem ac corpoream crassitiem effugiant, naturæ rerum immaterialium et incorporearum accensentur; verum hoc alterius ac profundioris disputationis est. Quod vero spectat ad substantiam ex materia et forma compositam, alia est uniformis, quam et simplicem appellare solemus, alia vero multiformis, quam et compositam proprie nuncupamus. Rursum simplices substantiæ aliæ sunt quæ recte progrediuntur, aliæ quæ in orbem rediguntur; ex his vero postremis aliæ motum ab oriente in occidentem perficiunt, ut sphæra quæ dicitur non stellata et ipsamet fixarum stellarum sphæra; aliæ e converso ab occidente in orientem motionem faciunt, ut quæ dicuntur septem planetarum sphæræ: substantiarum vero, quæ recte progrediuntur, aliæ a medio vel ab imo feruntur ad superna, aliæ e converso a supernis ad inferiora; ab infra ad superna fertur aer et ignis, quorum unum, ignis, ab aere siccitate differt; ab alto vero ad infra fertur aqua et terra, quarum natura humiditate differt. Et hæc, exempli gratia, de substantia, quæ simplex dicitur, dicta sunto. Compositarum vero substantiarum alia est sensitiva, alia insensitiva; sensitiva quidem est ea quæ sensibus uti apta est; insensitiva vero, quæ sine ulla sensatione recta est; hujus quidem alia neque nutritivam facultatem intus habet, ut saxa, ligna et quæcunque hujusmodi; alia vero per hanc regitur et sustentatur, velut plantæ, virgulta, gramina et similia. Quæ vero naturam talem habent, ut sensibus uti queant, ipsæ quoque differentias suscipiunt; vel enim vim progressivam habent et animalium naturam constituunt, vel ea privantur atque zoophytorum substantiam efficiunt, talia vero sunt ostrea, spongiæ et alia multa. Substantia autem, quæ una cum facultate sensibus utendi etiam vim progressivam sortita et hanc ob causam in animalium specie constituta est, in rationale et rationis expers dividitur et duas species diversas efficit, animal videlicet rationale, quod est homo, et animal ratione carens, quod plures rursum differentias suscipit. Horum enim aliud est terrestre, aliud natatile; et horum quodlibet iterum dividitur atque ultra hæc divisio procedit, ut breviter dicam neve in explicandis categoriis historiam naturalem de animalibus tractaturus esse videar. Et hæc ex meæ quidem mentis notione est distinctio variarum *substantiæ* significationum ejusdemque, quæ ut genus in species dividitur, partitio. Quo vero pacto ejusmodi doctrina defectus illos effugerit, quibus obnoxii sunt qui aliter substantiam dispesci conabantur, et quantum ea utilitatis afferat et impertiat, vel nunc statim vel ulterius progressi per vos ipsos cognoscetis. Verum de substantiæ divisione et de congruenti ipsi definitione atque de significatuum distinctione hucusque.

A χύτητα τῇ τοῦ ἀΰλου φύσει συνοικειοῦται καὶ τῶν ἀσωμάτων· ἀλλὰ τοῦτο μὲν ἑτέρου καὶ βαθυτέρου λόγου. Τῆς δέ γε ἐξ ὕλης καὶ εἴδους συγκειμένης οὐσίας ἡ μέν ἐστι μονοειδὴς, ἣν καὶ ἁπλῆν εἰώθαμεν καλεῖν· ἡ δὲ πολυειδὴς, ἣν καὶ σύνθετον ἰδίως καλοῦμεν. Ἀλλὰ τῆς ἁπλῆς πάλιν οὐσίας ἡ μέν ἐστιν ἰθυφορικὴ, ἡ δὲ κυκλοφορική, καὶ τῆς κυκλοφορικῆς ἡ μὲν τὴν ἀπ' ἀνατολῆς ἐπὶ δύσιν κίνησιν ποιεῖται, ὡς ἡ λεγομένη ἀναστρος σφαῖρα, καὶ αὐτὴ ἡ τῶν ἀπλάνων· ἡ δὲ τὸ ἀνάπαλιν ἀπὸ δύσεως ἐπ' ἀνατολὴν, ὡς αἱ λεγόμεναι τῶν ἑπτὰ πλανωμένων σφαῖραι· τῆς δὲ ἰθυφορικῆς ἡ μὲν ἀπὸ τοῦ μέσου ἤτοι τοῦ κάτω φέρεται πρὸς τὰ ἄνω, ἡ δὲ ἀνάπαλιν ἀπὸ τῶν ἄνω πρὸς τὰ κάτω· κάτωθεν μὲν πρὸς τὰ ἄνω ἀὴρ, πῦρ, ὧν τὸ πῦρ πρὸς τὸν ἀέρα ξηρότητι διαB στέλλεται· ἄνωθεν δὲ κάτω ὕδωρ καὶ γῆ, ὧν ἡ φύσις ὑγρότητι διενήνοχε. Καὶ ταῦτα μὲν ὡς ἐν τύπῳ περὶ τῆς ἁπλῆς λεγομένης οὐσίας. Τῆς δέ γε συνθέτου ἡ μὲν αἰσθητικὴ, ἡ δὲ ἀναίσθητος· αἰσθητικὴ μὲν, ἡ αἰσθήσεσι πεφυκυῖα χρῆσθαι, ἀναίσθητος δὲ ἡ χωρίς τινος αἰσθήσεως διοικουμένη· ἧς ἡ μὲν οὐδὲ τὴν θρεπτικὴν δύναμιν ἔνδοθεν ἔχει, ὡς λίθοι, ξύλα καὶ ὅσα τοιαῦτα, ἡ δὲ κατὰ ταύτην διοικεῖταί τε καὶ διακρατεῖται, οἷον φυτὰ, θάμνοι, πόαι καὶ τὰ ὅμοια. Ἡ μέντοι ταῖς αἰσθήσεσι φύσιν ἔχουσα κεχρῆσθαι διαφορὰς καὶ αὐτὴ ἐπιδέχεται· ἡ γὰρ μεταβατικὴν προβάλλεται δύναμιν καὶ τῶν ζώων συνίστησι φύσιν, ἢ ἐστέρηται ταύτης καὶ τὴν τῶν ζωοφύτων ἀποτελεῖ οὐσίαν· τοιαῦτα δέ ἐστιν ὄστρεά τε καὶ σπόγγοι καὶ πολλὰ ἄλλα· ἡ δὲ μετὰ τοῦ κεχρῆσθαι ταῖς αἰσθήσεσι C καὶ τὴν μεταβατικὴν δύναμιν προσειληφυῖα καὶ διὰ τοῦτο εἰς ζῶον εἰδοποιηθεῖσα τῷ λογικῷ καὶ τῷ ἀλόγῳ διαιρεῖται καὶ δύο εἴδη παρηλλαγμένα ἀπογεννᾷ, τὸ λογικὸν ζῶόν φημι, ὅπερ ἐστὶν ὁ ἄνθρωπος, καὶ τὸ ἄλογον, ὃ καὶ πλείους ἐπιδέχεται τὰς διαφορὰς· τούτων (27) γὰρ τὸ μέν ἐστι πεζὸν, τὸ δὲ νηκτόν· καὶ τούτων ἕκαστον ἐπιδιαιρεῖται πάλιν, καὶ ἐπὶ πλέον πρόεισιν ἡ τομὴ, ἵνα συντόμως εἰπω καὶ μὴ ἐν κατηγορίαις τὴν περὶ ζώων ἱστορίαν αἰτίαν ἔχω ἀγραφεῖν. Καὶ αὕτη μὲν κατά γε ἐμὴν ἐπιβολὴν ἥ τε τῶν τῆς οὐσίας σημαινομένων διαστολὴ καὶ τῆς ὡς γένος εἰς εἴδη τεμνομένης διαίρεσις· ὅπως δὲ τὰς λαβὰς ἡ τοιαύτη θεωρία διαπέφευγεν, αἷς οἱ ἐπικεχειρηκότες ἑτέρως διαιρεῖν τὴν D οὐσίαν ἁλίσκονται, καὶ ἐφόσον τὸ χρειῶδες αὐτῇ συνεισφέρεται, ἢ καὶ νῦν αὐτίκα ἴσως ἢ καὶ προϊόντες ἐξ ἑαυτῶν ἐπιγνώσεσθε. Ἀλλ' ἡ μὲν τῆς οὐσίας διαίρεσις καὶ ὁ προσήκων αὐτῇ λόγος καὶ ἡ τῶν σημαινομένων διαστολὴ ἐν τούτοις.

5. Sed Aristoteles quidem, quoniam particularem

Ὁ μέντοι γε Ἀριστοτέλης (28), ἐπεὶ τὴν μερικὴν

NOTÆ.

(27) Apogr. Τοῦτο.

(28) Ab hoc paragrapho rursum habemus Photii textum in cod. Monac. Legitur f. 39 a.: Φωτίου περὶ οὐσίας· Οὐσία ἐπὶ πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν. (Vide supra § 2, init.) Ἀλλ' οὗτος μὲν ὁ ὁρισμὸς καὶ τῇ καθόλου οὐσίᾳ καὶ τῇ μερικῇ ἐφαρμόσει. Ὁ δὲ Ἀριστοτέλης, ἐπειδὴ τὴν μερικὴν οὐσίαν ὁρίζεται μόνην ἐν ταῖς κατηγορίαις φησίν.

Digitized by Google

οὐσίαν προτίθησιν ἐν κατηγορίαις, οὕτως φησίν· *Οὐσία ἐστὶν ἡ πρωτότατα καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἡ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ τινί ἐστιν* (29), οἷον Σωκράτης, Πλάτων καὶ τὰ ὅμοια· τὴν δὲ καθόλου οὐσίαν, ἣν καὶ δευτέραν οὐσίαν καλεῖ, οὕτως ἀποδίδωσι (30)· *Δεύτεραι οὐσίαι εἰσὶν, ἐν οἷς εἴδεσιν αἱ πρώτως λεγόμεναι οὐσίαι* (31), *τουτέστιν αἱ ἄτομοι οὐσίαι, ὑπάρχουσιν*· οἷον ὁ καθόλου ἄνθρωπος καὶ τὸ καθόλου ζῷον· ἐν γὰρ τούτοις ἐστὶ περιειλημμένα τὰ καθέκαστα (32), οἷον Πλάτων καὶ Ἀλκιβιάδης, ἃ καλεῖ αὐτὸς (33) πρώτας οὐσίας, διά τε τὸ (34) ἡμῖν γνωριμότερα εἶναι καὶ σαφέστερα (35), καὶ διὰ τὸ πάντα τὰ ἄλλα κατὰ τούτων κατηγορεῖσθαι καὶ (36) οἱονεί πως ἐδράζεσθαι· αἱ μὲν γὰρ αὐτῶν συνωνύμως (37) κατηγοροῦνται, ὡς αἱ καθόλου οὐσίαι, τὰ δὲ ὁμωνύμως, ὡς τὰ συμβεβηκότα· ὥστε εἰ μὴ ἦν ἡ μερικὴ οὐσία, τρόπον γέ τινα, οὔτε ἡ καθόλου οὐσία οὔτε τὰ συμβεβηκότα ὑφίστατο ἄν· δι' ἃ (38) πρέποι ἄν, φησὶ, πρώτας οὐσίας καλεῖσθαι τὰ μερικά. Μὴ λανθανέτω δὲ ὑμᾶς ὅπερ σχεδόν τι τοὺς πλείστους διέλαθεν, ὡς τὰ ἄτομα πρῶται οὐσίαι λεγόμεναι καὶ τὰ καθόλου δεύτεραι οὐσίαι λεγόμεναι οὐχὶ συνωνύμως οὔτε πρὸς ἑαυτὰς οὔτε πρὸς τὴν οὐσίαν, ἧς ὅ τε λόγος καὶ ἡ διαίρεσις ἀποδέδοται, τὸ τῆς οὐσίας ὄνομα ἀπηνέγκαντο· τῷ μέντοι κοινῷ λόγῳ τῆς γενικῆς οὐσίας οὐσίαι καλούμεναι ἑαυταῖς τε κἀκείνῃ συνωνύμως ὀνομάζοντα. ὅτι δὲ δεύτεραι οὐσίαι καὶ πρῶται οὐσίαι ταῦτα λεγόμενα οὐχὶ συνωνύμως οὔτε ἑαυταῖς οὔτε τῇ γενικῇ οὐσίᾳ λέγονται, πολλὰ λέγειν ἔχων, ἐκεῖνο τέως διὰ τὸ φιλοσύντομον ἐρῶ· ὡς αὐτὸ δὴ τοῦτο τὸ μὴ ἁπλῶς αὐτὰς καλεῖσθαι οὐσίας, ἀλλὰ μετὰ προσθήκης τὴν μὲν πρώτην, τὴν δὲ δευτέραν, σαφὴς ἀπόδειξίς ἐστιν, ὅτι μὴ κατὰ τὴν αὐτὴν ἔννοιαν ἑκατέρα τούτων κέκληται οὐσία, καὶ πολλῷ πλέον τί καθ' ἑτέραν πάλιν ἡγεμονικήν.

A substantiam præponit in categoriis (solam definit in categoriis), ita dicit : *Substantia quæ princ palissime et primario ac maxime sic vocatur, ea est, quæ neque de subjecto quopiam dicitur neque in quopiam subjecto est*, veluti Socrates, Plato et similia ; universalem autem substantiam, quam et secundam substantiam appellat, sic definit : *Secundæ substantiæ sunt, in quibus speciebus quæ primario dicuntur substantiæ, hoc est individuæ substantiæ, subsistunt*, veluti homo universalis et animal universale. In his enim comprehensa sunt singularia, ex. gratia, Socrates et Alcibiades, quæ vocat ipse primas substantias, tum quia nobis notiora et clariora sunt, tum quia omnia alia de his prædicantur et quasi recto quodammodo in iis fundantur. Alia B enim ex ipsis univoce prædicantur, velut substantiæ universales, alia æquivoce, ut accidentia ; ita ut si non esset substantia particularis, quodammodo neque universalis substantia neque accidentia subsisterent ; propterea congruere videtur, ait (Aristoteles) ut particularia primæ substantiæ appellentur. Non vero vos prætereat, quod ferme plurimos effugit, videlicet individua primas substantias vocatas et universalia, quæ secundæ substantiæ dicuntur, non univoce neque ad seipsa neque ad substantiam, cujus modo definitio et divisio allata fuit, substantiæ nomen sortita esse, communi vero ratione genericæ substantiæ appellatas substantias tum sibimet ipsis tum illi univoce appellari ; quod vero hæc *secundæ et primæ substantiæ dicta* C non univoce neque cum seipsis neque cum generica substantia dicuntur, licet multa habeam, quæ dicam, illud tamen brevitatis causa duntaxat proponam : hoc ipsum, quod non simpliciter dicuntur substantiæ, sed cum additione, hæc quidem prima, illa secunda, perspicuam esse demonstrationem, harum utramque non secundum eamdem notionem nominatam esse substantiam, et multo magis secundum aliam rursum notionem principalem.

δ'. Εἰ δὲ καλῶς ὁ Ἀριστοτέλης ἢ μὴ τὴν μὲν πρώτην οὐσίαν, τὴν δὲ δευτέραν ἐκάλεσεν, ἐν ἄλλοις ἡμῖν οὐ παρέργως εἴρηται. Ἐκεῖνο δὲ εἰδέναι χρὴ, ὃ μικροῦ παρέδραμεν ἡμᾶς, ὡς ἔστιν ἕτερόν τι παρὰ τὰ κατηριθμημένα σημαινόμενα οὐσίας πρόχειρον ἐν τῇ χρήσει· τοῦτο δέ ἐστι τὸ προσεχέστατον τοῖς D ἀτόμοις εἶδος· καθὸ καὶ τόνδε τὸν ἄνθρωπον καὶ τόνδε τὸν ἵππον ὁμοουσίους ὄντας τῷ κοινῷ τῆς οὐσίας λόγῳ ὅμως εἰς ἐκεῖνο ἀναφέροντες τὸ σημαινόμενον ἑτερουσίους ἴσμεν τε καὶ ὀνομάζομεν· τοῦτο δὲ αὐτὸ καὶ φύσιν εἰθίσμεθα λέγειν, καθ' ἣν ἔννοιαν

4. Utrum vero recte Aristoteles hanc primam, illam secundam substantiam nominaverit nec ne, alibi jam haud obiter diximus. Illud vero scire oportet, quod fere prætermisissem, aliam esse præter enumeratas substantiæ significationes usu receptam ; videlicet ea, quæ significat speciem individuis proximam, secundum quam et hunc hominem et hunc equum, qui ejusdem sunt substantiæ juxta communem substantiæ rationem, tamen, dum eos in hunc significatum referimus, diversæ substantiæ esse novimus et ita appellamus. Hanc ipsam spe-

NOTÆ.

(29) Aristot. *Categ.* c. 5, § 1.
(30) Mon. Ὁρίζεται.
(31) Mon. Αἱ πρῶται οὐσίαι. Arist. ut supra.
(32) Mon. Εἰσὶ τὰ καθέκαστα· τά deest in Vat.
(33) Αὐτός deest in Mon.
(34) Mon. διὰ τό.
(35) Ταῦτα add. Mon.
(36) Καὶ — ἐδράζ. deest in Mon.
(37) Αὐτῶν add. Mon.
(38) Mon. post συμβεβηκότα omissis pluribus : Καὶ διὰ τοῦτο πρέποι τὰ μερικὰ πρώτας οὐσίας καλεῖσθαι. Immediate post hæc legitur : Ἔχει δὲ ἡ οὐσία εἴδη τρία· ἀσώματον καὶ σῶμα καὶ μικτόν· ἀνάγκη γὰρ ἢ σῶμα εἶναι ἢ ἀσώματον ἢ μικτόν. Quæ habet Vat. Amphil. codex desunt usque ad locum, ubi de substantiæ proprietatibus agitur (§ 5). Cf. Aristot. c. 5 (c. 3, § 5, p. 3, ed. Paris.)

Digitized by Google

ciem et naturam dicere solemus, secundum quam notionem et Socratem cum Platone ejusdem naturæ, tale vero hominem cum equo diversæ naturæ esse dicimus. Unde novem numero fuerint variæ quæ emergunt substantiæ significationes. Sed de cæteris accuratius alibi.

5. Substantia autem, cujus definitio et divisio allata fuit, quæque etiam categoriæ notionem atque denominationem suscipere poterit, has habet proprietates; primo quidem, quod ipsa non est in subjecto. Hæc vero proprietas omni quidem substantiæ speciei convenit, non vero soli. Convenit enim essentialibus quoque differentiis. Istæ enim, puta v. gr. rationale et similia, evidenter non sunt in subjecto; neque enim accidens esse possunt. Altera substantiæ proprietas est, quod nihil est ipsi contrarium. Hæc etiam proprietas omni substantiæ speciei congruit, sed non soli. Nulla enim substantia, quatenus est substantia, habet quid contrarium sibi oppositum; non vero id duntaxat, verum et quantitas nihil habet contrarium; patet enim, numero decem vel septem nihil esse contrarium. Tertia substantiæ proprietas in eo est, quod non suscipit ipsa plus et minus. Nulla enim substantia præ alia quapiam secundum ipsam substantiæ simpliciter rationem dici omnino potest magis vel minus substantia; neque si singularia singularibus compares, neque si universalibus universalia, neque si singularia cum universalibus. Quomodo enim fieri possit, ut vel Socrates magis substantia cogitetur vel dicatur quam Plato, vel homo magis quam equus, vel, si libet, animal magis quam planta? Neque enim alterum magis quam alterum est substantia, sed neque Socrates magis quam homo vel animal substantia, imo neque hæc magis quam Socrates. Et de cæteris omnibus similiter. Unde communis erit substantiæ proprietas, quod ipsa nullo pacto plus et minus admittit. Quarta proprietas substantiæ est, quod ipsa unum idemque exsistens numero secundum suimetipsius immutationem contrariorum capax et susceptibilis

A καὶ Σωκράτην μὲν Πλάτωνι ὁμοφυῆ φαμεν εἶναι, τὸν δεῖνα δὲ ἄνθρωπον τοῦ ἵππου ἑτεροφυῆ (39)· ὥστε ἐννέα τὸν ἀριθμὸν (40) εἴη ἂν τὰ ἀνακύψαντα τέως τῆς οὐσίας σημαινόμενα. Ἀλλὰ περὶ μὲν τῶν ἄλλων ἀκριβέστερον ἐν ἄλλοις.

ε'. Ἡ δέ γε οὐσία, ἧς ὅ τε λόγος καὶ ἡ διαίρεσις ἀποδέδοται, ἥτις καὶ δύναιτ' ἂν τήν τε τῆς κατηγορίας ἔννοιαν καὶ τὴν κλῆσιν ἐπιδέξασθαι, ἔχει ἴδια (41). Πρῶτον μὲν τὸ μὴ εἶναι αὐτὴν ἐν ὑποκειμένῳ· τοῦτο δὲ τὸ ἴδιον παντὶ μὲν τῷ εἴδει τῆς οὐσίας ὑπάρχει, οὐ μόνῳ δέ (42). Πρόσεστι γὰρ καὶ ταῖς οὐσιώδεσι διαφοραῖς· αὗται γάρ, οἷον τὸ λογικὸν καὶ τὰ τοιαῦτα, δῆλον ὡς οὐκ εἰσὶν ἐν ὑποκειμένῳ· οὐδὲ γὰρ συμβεβηκὸς δύνανται εἶναι. Δεύτερον ἴδιον τῆς B οὐσίας τὸ μηδὲν αὐτῇ ἐναντίον εἶναι (43). Καὶ τοῦτο δὲ τὸ ἴδιον παντὶ τῷ εἴδει τῆς οὐσίας ἁρμόζει καὶ οὐ μόνῳ· οὐδεμία μὲν γὰρ οὐσία καθό ἐστιν οὐσία, ἔχει τι ἀντικείμενον αὐτῇ ἐναντίον· οὐ μὴν δὲ, ἀλλά γε καὶ τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον· τοῖς γὰρ δέκα ἢ τοῖς ἑπτὰ ἢ τοῖς ὁμοίοις φανερὸν ὅτι οὐδέν ἐστιν ἐναντίον. Τρίτον ἴδιον τῆς οὐσίας τὸ μὴ ἐπιδέχεσθαι αὐτὴν τὸ μᾶλλον καὶ τὸ ἧττον (44)· οὐδεμία γὰρ οὐσία τινὸς οὐσίας ὅλως κατά γε αὐτὸν τὸν τῆς ἁπλῶς οὐσίας λόγον οὐκ ἂν ῥηθείη οὔτε μᾶλλον οὐσία οὔτε ἧττον· οὔτε ἂν μερικὰ λαβὼν μερικοῖς συγκρίνοις, οὔτε ἂν καθολικοῖς καθολικά, ἀλλ' οὔτε ἂν μερικὰ πρὸς τὰ καθόλου· πῶς γὰρ ἐνδέχοιτ' ἂν ἢ τὸν Σωκράτην τοῦ Πλάτωνος μᾶλλον οὐσίαν εἰπεῖν ἢ ἐννοῆσαι, ἢ τὸν ἄνθρωπον τοῦ ἵππου, ἢ εἰ βούλει, τοῦ φυτοῦ τὸ ζῷον; οὐδὲν γὰρ θάτερον θατέρου μᾶλλον C οὐσία, ἀλλ' οὐδὲ ὁ Σωκράτης τοῦ ἀνθρώπου ἢ τοῦ ζώου μᾶλλον οὐσία, οὐ μήν, ἀλλ' οὐδὲ ταῦτα τοῦ Σωκράτους· καὶ ἐπὶ τῶν ἄλλων δὲ πάντων ὡσαύτως· ὥστε καινὸν ἂν εἴη ἴδιον τῆς οὐσίας τὸ μηδαμῶς αὐτὴν ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον. Τέταρτον ἴδιον τῆς οὐσίας τὸ ταυτὸν καὶ ἓν ἀριθμῷ οὖσαν κατὰ τὴν ἑαυτῆς μεταβολὴν δεκτικὴν τῶν ἐναντίων εἶναι (45)· τοῦτο δὲ καὶ κυρίως ἴδιόν ἐστιν, ὅτι ἀντιστρέφει· μένη γὰρ ἡ οὐσία καὶ πᾶσα μένουσά τε οὐσία καὶ μεταβαλλομένη κατὰ τὰς ποιότητας γί-

NOTÆ.

(39) Catif. apogr. ἑτεροφυᾶ.

(40) Ibid. θ' τῷ ἀριθμῷ. Vat. ut supra.

(41) Mon. Ἔχει δὲ ἡ οὐσία ἴδια ἑξ. Sequuntur eadem ut supra.

(42) Mon.: Ἀλλ' ἢ (f. ἧ) καὶ ἄλλῳ τινὶ, οἷον τῶν διαφορῶν· καὶ γὰρ καὶ οὐσιώδεις διαφοραὶ οἷον τὸ λογικὸν καὶ τὰ ὅμοια οὐκ εἰσὶν ἐν ὑποκειμένῳ· τὸ γὰρ ἐν ὑποκειμένῳ ὑπάρχον συμβεβηκὸς ἦν, τὸ δὲ λογικὸν δῆλον ὅτι οὐκ ἔστι συμβεβηκός. Cf. Arist. I, c. § 12 13, p. 4, ed. Paris. 1848.

(43) In cod. Mon. hæc est proprietas quarta ita descripta: Τέταρτον ἴδιον τῆς οὐσίας τὸ μηδὲν αὐταῖς (sic) εἶναι ἐναντίον· τοῦτο δὲ τὸ ἴδιον καὶ πάσῃ τῇ οὐσίᾳ ἁρμόζει καὶ οὐ μόνῃ· ἁρμόζει μὲν πάσῃ, ἐπειδὴ οὔτε τῇ καθόλου οὐσίᾳ οὔτε τῇ μερικῇ ἐστί τι ἐναντίον· οὐ μόνῃ δὲ ἁρμόζει, ἐπειδὴ καὶ τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον· τοῖς γὰρ δέκα ἢ τοῖς ἑπτὰ φανερὸν οὐκ ἔστι τι ἐναντίον. Cf. Arist. l. c. p. 5, §§ 18, 19.

(44) In Mon. proprietas quinta: Πέμπτον ἴδιον τῆς οὐσίας τὸ μὴ εἶναι οὐσίαν μᾶλλον καὶ ἧττον, τουτέστι τὸ μὴ εἶναι τὸν Σωκράτην παρὰ τὸν Πλάτωνα

D μᾶλλον ἄνθρωπον· οἱ δύο γὰρ ἐπίσης εἰσὶν ἄνθρωποι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν καθόλου πρὸς καθόλου συγκρινομένων (cod. ου)· οἷον ὁ καθόλου ἄνθρωπος τοῦ καθόλου βοὸς οὐκ ἔστι μᾶλλον οὐσία· ἐπίσης γάρ εἰσιν οὐσίαι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ἂν δὲ συγκρίνωμεν τὰ καθολικώτερα πρὸς τὰ μερικώτερα, τῶν καθολικωτέρων μᾶλλόν εἰσιν οὐσίαι· οἷον ἐὰν συγκρίνῃς τὸ ζῷον πρὸς τὸν ἄνθρωπον, ὁ ἄνθρωπος μᾶλλόν ἐστιν οὐσία, κ. τ. λ. Vide infra not. 1, add. § 7. — Arist. l. c. § 20, pag. 5.

(45) In Mon. proprietas sexta.: Ἕκτον ἴδιον τῆς οὐσίας τὸ ταυτὸν καὶ ἓν ἀριθμῷ ὂν (οὖσαν) κατὰ τὴν ἑαυτοῦ μεταβολὴν τῶν ἐναντίων εἶναι δεκτικόν· ὃ καὶ κυρίως ἴδιόν ἐστι· οὐδενὶ γὰρ τῶν ἄλλων ἐφαρμόζει τοῦτο, ἀλλὰ μόνῃ τῇ οὐσίᾳ· μόνη γὰρ ἡ οὐσία μένουσα καὶ μεταβαλλομένη· ἡ γὰρ λευκὴ καὶ μέλαινα, καὶ ψυχρὰ καὶ θερμὴ, δικαία τε καὶ ἄδικος, οἷον ἄνθρωπος γίνεται δίκαιος καὶ ἄδικος, καὶ τὸ ὕδωρ γίνεται ψυχρὸν καὶ θερμόν· τῶν δὲ ἄλλων οὐδὲν μεταβαλλομένων τῶν ἐναντίων ἐστὶ δεκτικόν. Καὶ ταῦτα μὲν περὶ τῆς οὐσίας (Arist. § 21).

Digitized by Google

νεται ψυχρὰ καὶ θερμὴ, ἢ δικαία καὶ ἄδικος, ἢ σώφρων καὶ ἀκόλαστος, ἢ φρενήρης καὶ ἀφραίνουσα (46) ἤ τι (47) τῶν παραπλησίων· εἰ δέ τι καὶ τῇ ὡς ὕλῃ οὐσίᾳ τοιοῦτον συμβέβηκεν, οὐκ ἔστι διαιτᾷν καιροῦ τοῦ παρόντος. Οἱ δὲ λέγοντες, ὡς καὶ τῷ λόγῳ καὶ τῇ δόξῃ τοῦτο ἕπεται τὸ ἴδιον (48), εὐφώρατον ἔχουσι τὸ ψεῦδος· φασὶ μὲν γὰρ, ὡς ὁ λέγων τὸν Σωκράτην καθῆσθαι λόγος, ὁ αὐτὸς μένων, καθό γε τὸ εἶναι λόγος ἔσχε, τοῦ μὲν Σωκράτους καθημένου ἀληθείας ἦν σημαντικὸς, ἀναστάντος δὲ τοῦ Σωκράτους ψεῦδος εὑρίσκεται δεδεγμένος· ὥστε καὶ ὁ λόγος τῶν ἐναντίων ἐστὶν δεκτικός· ὡσαύτως δὲ καὶ ἡ δόξα· καθημένου μὲν γὰρ αὐτοῦ ἀληθὴς ἦν ἡ τοῦ καθῆσθαι δόξα, ἀναστάντος δὲ ἡ αὐτὴ δόξα ψεύδους ἐγένετο δεκτική. Ἀλλ' οἱ μὲν διαποροῦντες οὕτως φασίν· ἴστωσαν δὲ, ὅτι οὐ κατὰ τὴν ἰδίαν μεταβολὴν ὁ λόγος γέγονε ψεύδους καὶ ἀληθείας δεκτικὸς, οὐ μὴν οὐδὲ ἡ δόξα, ἀλλὰ μᾶλλον κατὰ τὴν τοῦ πράγματος ἐναλλαγὴν, ὅπερ ἡ μὲν ἐδόξασεν, ὁ δὲ ἀπήγγειλεν· εἰ γὰρ μὴ μετέβαλεν ὁ Σωκράτης ἐκ τοῦ καθέζεσθαι ἀναστὰς, οὐκ ἂν ποτε ὁ τὸν Σωκράτην καθῆσθαι λέγων ἐγένετο λόγος ψευδὴς, ἀλλ' οὐδ' ἡ δόξα (49)· ὥστε καὶ ἐκ τούτου δῆλον, ὡς μάλιστα ἴδιόν ἐστι τῆς οὐσίας τὸ ἀποδεδόμενον ἴδιον· οὐ μόνον γὰρ αὐτὴ πέφυκε δέχεσθαι τἀναντία κατὰ τὴν ἑαυτῆς μεταβολὴν, ἀλλὰ καὶ ἑτέροις μεταβαλλομένη (50) γίνεται αἰτία τοῦ δοκεῖν αὐτὰ γίνεσθαι τῶν ἐναντίων δεκτικά· ὁ γοῦν λόγος καὶ ἡ δόξα, εἰ καὶ συγχωρηθείη εἶναι τῶν ἐναντίων δεκτικὰ, ἀλλ' οὐκ ἂν λεχθείη ὅλως κατὰ τὴν ἑαυτῶν μεταβολὴν ὥσπερ ἡ οὐσία, ἀλλὰ μᾶλλον κατὰ τὴν τῆς οὐσίας μεταβολὴν καὶ διὰ τὸ ἐκείνην δέχεσθαι τἀναντία, δείκνυνται παραπολαύοντα καὶ ταῦτα τοῦ δοκεῖν εἶναι τῶν ἐναντίων δεκτικά.

est. Hoc vero et proprie ipsius proprietas est, quia convertitur. Substantia enim omnis et sola permanens substantia, mutata tamen quoad qualitates, fit frigida et calida, vel justa et injusta, vel continens et effrenata, vel prudens et insaniens, vel quid similium. An vero et substantia, quæ veluti materia est, ejusmodi quid acciderit, non est hujus temporis dijudicare. Qui vero dicunt etiam sermoni et opinioni hanc convenire proprietatem, facillime mendacii convincuntur. Etenim dicunt, sermonem eum, qui dicit Socratem dicere, eumdem manentem, in quantum habebat, quod sit sermo, veritatis fuisse significativum, dum Socrates sederet; cum vero Socrates surrexisset, mendacium continentem reperiri; unde effici putant etiam sermonem contraria posse suscipere. Similiter quoque de opinione statuunt. Sedente enim Socrate vera fuit opinio, quæ eum sedere censebat; surgente vero illo eadem opinio mendax evasit. Sic itaque dicunt qui de hac re dubitant. Verum sciant, non secundum sui ipsius mutationem sermonem illum falsitatem et veritatem suscepisse, neque etiam opinionem, sed potius secundum rei immutationem, quod opinio opinabatur et quod sermo nuntiavit. Nisi enim mutatus fuisset Socrates, qui, postquam sedit, surrexit, nunquam sermo Socratem sedere affirmans mendax evasisset, neque etiam opinio. Quamobrem et ex hoc patet dictam proprietatem maxime substantiæ esse propriam. Non solum enim ipsa apta exsistit ad recipienda contraria secundum suam ipsius mutationem, verum etiam aliis in sua mutatione causa fit, quod ipsa contraria capere et suscipere videantur. Sermo igitur et opinio, etsi concedatur eos posse contraria admittere, tamen omnino non secundum suam ipsorum mutationem, sicut substantiæ, sed potius secundum substantiæ mutationem hanc prædicationem sortientur, et quia substantia contraria admittit, ideo et ipsa monstrantur ea frui prædicatione, ut et ipsa contraria admittere videantur.

ς'. Ὁ μέντοι γε Ἀριστοτέλης προχειρότερον, ἵνα μὴ λέγω ῥᾳθυμότερον, περὶ οὐσίας διαλαβὼν καὶ ἕτερα δύο ἴδια τίθησιν οὐσίας· ἓν μὲν τὸ τόδε τι σημαίνειν, ὅπερ εἴη ἂν ἴδιον οὐ τῆς ἁπλῶς οὐσίας, τῆς δὲ παρ' αὐτοῦ κληθείσης πρώτης οὐσίας· καὶ ἕτερον πάλιν τὸ συνωνύμως κατηγορεῖσθαι (51)· εἴη δ' ἂν καὶ τοῦτο ἴδιον τῆς παρ' αὐτοῦ κληθείσης δευτέρας οὐσίας· ἀλλὰ τὸ μὲν τόδε τι σημαίνειν μόνης ἐστὶ τῆς πρώτης οὐσίας· μόνη γὰρ ἡ μερικὴ χειρὶ δεικνυμένη ἢ ἑτέρῳ τινὶ τοιούτῳ τόδε τι λέγεται εἶναι (52)· τὸ δὲ συνωνύμως κατηγορεῖσθαι οὐκ

6. Attamen Aristoteles minus diligenter, ne dicam negligenter de substantia disserens duas alias ponit substantiæ proprietates: unam quidem, quod hoc aliquid significet; hoc vero non substantiæ simpliciter proprium fuerit, sed ejus, quæ ab ipso vocatur prima; alteram vero quod univoce prædicetur; sed hoc quoque proprium fuerit substantiæ, quam ipse secundam appellat. At vero prius, quod substantia hoc aliquid significet, solius primæ substantiæ est; hæc enim, substantia particularis, sola digito ostensa vel alio ejusmodi hoc aliquid

NOTÆ.

(46) Perperam Catiforus legendum censebat σωφρονοῦσα et lectionem ἀφραίνουσα tollendam.

(47) Sic recte Vatic. apogr. Catif. mendose: ἤ τι

(48) Hanc objectionem ipse sibi facit Aristoteles, c. 5, § 22, p. 6.

(49) Aristot. l. c.: Ὁ δὲ λόγος καὶ ἡ δόξα, αὐτὰ μὲν ἀκίνητα πάντη πάντως διαμένει· τοῦ δὲ πράγματος κινηθέντος, ὁτὲ μὲν ἀληθὴς ὁτὲ δὲ ψευδὴς λέγεται . . . ὁ γὰρ λόγος καὶ ἡ δόξα οὐ τῷ αὐτὰ δεδέχθαι τῶν ἐναντίων εἶναι δεκτικὰ λέγεται, ἀλλὰ τῷ περὶ ἕτερόν τι τὸ πάθος γεγενῆσθαι.

(50) Catiforus legere voluit μεταβαλλομένοις. sed contextus suffragatur lectioni Vatic. quam et tenet apogr. C.

(51) Ex Vat. ordinem membrorum dedimus; Ven. apogr. in his paululum differt post voces τίθησιν οὐσίας.

(52) In cod. Mon. hæc est proprietas tertia, quæ ita describitur: Τρίτον ἴδιον τῆς οὐσίας τόδε τι σημαίνειν· τοῦτο δὲ τὸ ἴδιον τῇ μερικῇ οὐσίᾳ μόνῃ ἁρμόζει, οὐχὶ δὲ καὶ ταῖς καθόλου· τὸ γὰρ δεικνύειν διὰ τῆς χειρὸς ἢ ἄλλου τινὸς τοιούτου τὰς μὲν καθόλου οὐσίας οὐκ ἐνδέχεται, τὰς δὲ μερικὰς ἐνδέχεται (Cf. Arist. c. 1, § 16, p. 5).

Digitized by Google

dicitur esse; posterius vero quod univoce prædicetur, non solius est secundæ substantiæ, verum et aliarum multarum rerum essentiales enim differentiæ univoce prædicantur; rationale v. gr. univoce de Platone et Socrate prædicatur; dicitur enim Socrates et cæterorum quilibet rationale et revera tale est. Et in quantitate quoque et in qualitate sicut et in aliis categoriis perspicue procedendo videre licet, genera de speciebus ipsis subordinatis et species de individuis in ipsis contentis univoce prædicari.

A ἔστι μόνης τῆς δευτέρας οὐσίας, ἀλλὰ καὶ ἑτέρων πολλῶν· αἵ τε γὰρ οὐσιώδεις διαφοραὶ συνωνύμως κατηγοροῦνται· τὸ γὰρ λογικὸν Πλάτωνος καὶ Σωκράτους συνωνύμως κατηγορεῖται· λέγεται γὰρ ὁ Σωκράτης καὶ τῶν ἄλλων ἕκαστος λογικὸν καὶ ἔστιν ὡς ἀληθῶς λογικόν· καὶ ἐν ποσῷ δὲ καὶ ποιῷ καὶ ταῖς ἄλλαις κατηγορίαις ἔστιν ἰδεῖν προϊόντα σαφῶς, ὡς γένη τῶν ὑπ' αὐτὰ εἰδῶν καὶ εἴδη τῶν ὑπ' αὐτὰ ἀτόμων συνωνύμως κατηγοροῦνται (53).

7. Possunt vero ex iis quæ ipse Aristoteles edicit, aliæ quoque prædictarum substantiarum proprietates adduci; ac particularis quidem substantiæ proprietas est, quod magis dicatur substantia, quam universalis; substantiæ vero universalis, quod minus substantia dicatur quam particularis, et non solum minus quam hæc, sed etiam ipsa præ se ipsa; hoc est: non solum universalia præ individuis, verum etiam genera præ speciebus minus substantiæ sunt. Animal igitur minus est substantia, quam Socrates, imo etiam minus quam homo; unde secundæ substantiæ minus sunt substantiæ, quam particulares. Utraque vero proprietas utrique substantiæ principalissime ac maxime propria fuerit; nihil enim in omnibus rebus magis substantia quam universalis dicitur excepta particulari, et nihil rursus cogitari potest quod sit minus substantia quam particularis excepta universali. Considerari perspicue et inde res potest, quod universalia et individua, dum primæ et secundæ substantiæ dicuntur, neque sibimet ipsis univoce dicuntur substantiæ, neque substantiæ simpliciter. Quorum enim proprietates secundum id quod videtur esse maxime commune nomen, sunt prorsus exteræ atque alienæ, quomodo horum univoca appellatio fuerit atque una eademque substantiæ ratio? Censet autem Aristoteles eam ob causam particularem substantiam magis substantiam esse quam universalem, quia maxime, inquit, individua substantia manifestius reddit id quod quæritur, quam substantia universalis. Qui enim dicit Socratem notiorem facit Atheniensem illum philosophum, quam qui dicit eum hominem esse vel animal, et qui dicit Bucephalum, magis denotavit

ζ'. Ἔστι δὲ τῶν εἰρημένων τούτων οὐσιῶν καὶ ἕτερα ἴδια εἰπεῖν, ἐξ ὧν αὐτὸς Ἀριστοτέλης εἶπε, λαβόντα· τῆς μὲν μερικῆς τὸ μᾶλλον λέγεσθαι οὐσίαν ἢπερ τὴν καθόλου, τῆς δὲ καθόλου τὸ ἧττον αὐτὴν B λέγεσθαι οὐσίαν τῆς μερικῆς, καὶ οὐχὶ τῆς μερικῆς μόνον, ἀλλὰ καὶ αὐτὴν ἑαυτῆς· τουτέστιν οὐ τὰ καθόλου μόνον τῶν ἀτόμων, ἀλλὰ καὶ τὰ γένη τῶν εἰδῶν ἧττόν εἰσιν οὐσίαι· τὸ γοῦν ζῷον ἧττον μὲν οὐσία τοῦ Σωκράτους, καὶ οὐ τοῦ Σωκράτους μόνον, ἀλλὰ καὶ τοῦ ἀνθρώπου· ὥστε αἱ δεύτεραι οὐσίαι ἧττόν εἰσιν οὐσίαι τῶν μερικῶν· καὶ εἴη ἂν ἑκάτερον τῶν ἰδίων τούτων ἑκατέρας τῶν οὐσιῶν κυριώτατα καὶ μάλιστα ἴδιον· οὐδὲν γὰρ ὅλως τῶν ὄντων τῆς καθόλου οὐσίας λεχθείη μᾶλλον οὐσία, πλὴν ἡ μερική, καὶ οὐδὲν πάλιν οὐδ' ἐννοηθείη ἂν τῆς μερικῆς οὐσίας ἧττον οὐσία πλὴν ἡ καθόλου. Καὶ σκοπεῖν ἔστι σαφῶς κἀντεῦθεν· ὅτι τὰ καθόλου καὶ τὰ ἄτομα ἐν τῷ λέγεσθαι πρῶται καὶ δεύτεραι οὐσίαι οὔτε ἑαυταῖς συνωνύμως λέγονται οὐσίαι, οὔτε τῇ C ἁπλῶς οὐσίᾳ· ὧν γὰρ τὰ ἴδια κατὰ τὸ δοκοῦν εἶναι μάλιστα κοινὸν ὄνομα παντελῶς ἐστι ξένα καὶ ἠλλοτριωμένα, τούτων πῶς ἂν εἴη συνώνυμος ἡ ὀνομασία ἢ εἷς καὶ αὐτὸς ὁ τῆς οὐσίας λόγος; Ἀξιοῖ δὲ ὁ Ἀριστοτέλης διὰ τοῦτο τὴν μερικὴν οὐσίαν τῆς καθόλου μᾶλλον εἶναι οὐσίαν, διότι μάλιστα, φησίν, ἡ ἄτομος οὐσία φανερώτερον ποιεῖ τὸ ζητούμενον, ἢπερ ἡ καθόλου οὐσία (54)· ὁ γὰρ εἰπὼν Σωκράτην, ἐπίδηλον μᾶλλον ἐποίησε τὸν ἐν Ἀθήναις εἰ τύχοι φιλόσοφον παρὰ τὸν εἰπόντα, ὅτι ἄνθρωπος ἢ ζῷον· καὶ ὁ εἰπὼν τὸν Βουκέφαλον μᾶλλον ἐδήλωσε τὸν Ἀλεξάνδρου ἵππον ἢ ὁ εἰπὼν ὅτι ἵππος ἢ ζῷον· ὡσαύτως δὲ καὶ τῆς καθόλου οὐσίας μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους, ἓν μὲν διότι ἐγγύτερόν ἐστι τῆς D μάλιστα οὐσίας ἤτοι τῆς ἀτόμου τὸ εἶδος παρὰ τὸ

NOTÆ.

(53) In Mon.: proprietas secunda. Δεύτερον δὲ ἴδιον τῆς οὐσίας τὸ συνωνύμως κατηγορεῖσθαι αὐτὴν τῶν μερικῶν οὐσιῶν· τοῦτο δὲ τὸ ἴδιον οὔτε πάσῃ τῇ οὐσίᾳ ἁρμόζει, οὔτε μόνῃ· καὶ πάσῃ μὲν τῇ οὐσίᾳ οὐχ ἁρμόζει, ἐπειδὴ αἱ μερικαὶ οὐσίαι οὐ κατηγοροῦνται κατ' ἄλλου τινός, πολλῷ μᾶλλον οὐδὲ συνωνύμως κατηγορηθήσονται· εἶτα οὐδὲ μόνῃ τῇ οὐσίᾳ, ἐπειδὴ ἁρμόζει ταῖς οὐσιώδεσι διαφοραῖς· αἱ γὰρ οὐσιώδεις διαφοραὶ συνωνύμως κατηγοροῦνται τῶν μερικῶν οὐσιῶν· οἷον τὸ λογικὸν συνωνύμως κατηγορεῖται τοῦ Πλάτωνος ἢ τοῦ Σωκράτους· λέγεται γὰρ καὶ ἔστιν ὅ τε Σωκράτης καὶ ὁ Πλάτων λογικός· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Arist. § 15, p. 4.

(54) In cod. Monac. f. 59 b. post verba supra (§ 5, not. 4) adducta: Ὁ ἄνθρωπος μᾶλλόν ἐστιν οὐσία διά τε τὸ ἐγγὺς (ἔγγιον) εἶναι τῆς πρώτης οὐσίας καὶ διὰ τὸ φανερώτερον ποιεῖν τὸ ζητούμενον· ἐὰν γὰρ ἐρωτᾷ τις ἀγνοῶν προκειμένου ἀνθρώπου, Τί ἐστι τοῦτο; εἴποι δέ τις ζῷον, ἄλλος δὲ, ὅτι ἄνθρωπος, ὁ εἰπὼν ὅτι ἄνθρωπος, φανερώτερον ἐποίησε τὸ ζητούμενον παρὰ τὸν εἰπόντα, ὅτι ζῷόν ἐστι. Καὶ πάλιν ἐὰν προκῆται καρέα (l. καρύα) ἢ ἄλλο τι καὶ ἐρωτᾷ τις, ὅτι Τί ἐστι τοῦτο; εἴποι δέ τις, ὅτι δένδρον, ἄλλος δὲ, ὅτι καρύα ἐστιν, φανερώτερον ἐποίησε τὸ ζητούμενον· ἔστι δὲ ἡ μὲν καρύα εἶδος τῶν κατὰ μέρος καρυῶν, τὸ δὲ δένδρον γένος ἐστί· φανερὸν [οὖν ὅτι ἡ οὐσία οὐκ] ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐὰν μὴ τὰ καθολικώτερα πρὸς τὰ μερικώτερα συγκρίνῃς, τουτέστιν ἂν μὴ τὸ γένος πρὸς τὸ εἶδος, ἢ τὸ εἶδος πρὸς τὰ ἄτομα. Arist. c. 5, § 6 seq. p. 3. — In Mon. sequuntur verba supra § 5, not. 5 adducta.

Digitized by Google

γένος, δεύτερον δὲ ὅτι καὶ ὁ εἰπὼν τὸ εἶδος μᾶλλον δηλοῖ τὸν Σωκράτην ἢ ὁ εἰπὼν τὸ γένος· ὁ γὰρ εἰπὼν ἄνθρωπον μᾶλλον ἐδήλωσεν ἤπερ ὁ εἰπὼν ὅτι ζῷον· ὥστε ἐξ ὧν Ἀριστοτέλης ἐπιχειρεῖ δίδωσιν ἡμῖν συμβαλεῖν, ὡς μᾶλλον οὐσίαν καλεῖ τὴν μᾶλλον οὖσαν ἐξαγγελτικὴν καὶ ἑρμηνευτικὴν τοῦ προκειμένου παρὰ τὴν ἐνδεῶς πράττουσαν τοῦτο· πῶς δὲ τὸ μᾶλλον ἑρμηνευτικὸν καὶ ἐξαγγελτικὸν τοῦ προκειμένου ἢ ὅλως οὐσία δύναται ἐννοηθῆναι ἢ μᾶλλον οὐσία, οὐ τοῦ παρόντος σκοποῦ διελέγχειν. Ἀλλὰ περὶ μὲν οὐσίας τέως νῦν ἐπὶ τοσοῦτον.

A Alexandri equum, quam qui dicit, eum equum esse vel animal. Similiter quoque, quod ad substantiam spectat universalem, magis substantia est species quam genus, tum quia propior est species substantiæ principalissimæ sive individuæ, quam genus, tum quia qui speciem dicit magis designat Socratem, quam qui dicit genus. Qui enim hominem dicit magis designat, quam qui dicit animal. Unde ex iis quæ argumentatur Aristoteles colligendum nobis præbet, quod magis substantiam dicit eam, quæ magis enuntiat et explicat id de quo agitur quam alia, quæ id minus plene præstat. Quomodo vero quod magis explicat et enuntiat id de quo quæritur, vel omnino substantia vel magis substantia cogitari queat, non in præsentia perscrutandum proposuimus. Verum de substantia hactenus.

ΕΡΩΤΗΣΙΣ ΡΛΘ'.

Περὶ ποσοῦ.

QUÆSTIO CXXXIX [CLXXV.]

De quantitate.

Nunc primum edita a D. Hergenroether.

α'. Ποσόν ἐστι, καθ' ὃ (55) τῶν ὄντων ἕκαστον πεπόσωται· εἴδη δὲ τούτου δύο, συνεχὲς καὶ διωρισμένον. Συνεχὲς μὲν οὖν ἐστι ποσὸν, οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει, διωρισμένον δὲ, οὗ τὰ μόρια πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει. Καὶ διαιρεῖται τὸ μὲν διωρισμένον εἰς δύο, εἰς ἀριθμὸν καὶ εἰς τὸν προφορικὸν λόγον (56)· οὔτε γὰρ ὁ ἀριθμός ἐστι συνεχής· πρὸς οὐδένα γὰρ κοινὸν ὅρον συνάπτει τὰ μόρια αὐτοῦ (57)· ὡς ὁ (58) δέκα· οὔτε γὰρ πρὸς ἄλληλα (59) τὰ πέντε καὶ τὰ πέντε ἢ τὰ τρία πρὸς (60) τὰ ἑπτὰ συνάπτει (61), ἀλλ' οὐδ' ἄλλου τινὸς ἀριθμοῦ· ὁμοίως δὲ καὶ (62) οὐδὲ ὁ λόγος ἐστὶ συνεχής· καταμετρούμενος γὰρ συλλαβῇ βραχείᾳ καὶ μακρᾷ πρὸς οὐδένα κοινὸν ὅρον τὰ μόρια αὐτοῦ (63) συνάπτει. Τὸ δὲ συνεχὲς εἰς πέντε διαιρεῖται εἴδη (64), γραμμὴν (65), ἐπιφάνειαν, χρόνον καὶ τόπον καὶ εἰς μαθηματικὸν σῶμα (66)· μαθηματικὸν δέ ἐστι σῶμα (67), ᾧ μῆκος μὲν καὶ βάθος καὶ πλάτος ἔστιν, οὐ μέντοι γε ἁφῇ καὶ θέᾳ ὑποπίπτει, ἀλλὰ νῷ μόνῳ πέφυκε ληπτόν· ἕκαστον γὰρ (68) τούτων κοινὸν ὅρον ἔχει, πρὸς ὃν τὰ μόρια αὐτοῦ συνάπτει· ἡ μὲν γὰρ γραμμὴ τὸ σημεῖον (69), ἡ δὲ ἐπιφάνεια τὴν γραμμὴν, τὸ δὲ σῶμα τὴν ἐπιφάνειαν, ὁ δὲ χρόνος τὸ νῦν· τὸ γὰρ νῦν συνάπτει πρός τε τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα· ὁ δὲ τόπος ὁμοίως συνεχὴς ὢν τὴν γραμμὴν ἔχει κοινὸν ὅρον· σχεδὸν γὰρ ταυτόν ἐστι ὅ τε τόπος καὶ ἡ ἐπιφάνεια· διαφέρει δὲ ὅτι τὴν μὲν ἐπιφάνειαν οὐκ ἀνάγκη σῶμα φυσικὸν περιέχειν, τὸν δὲ τόπον ἀνάγκη (70)· ἐξ ὧν

B 1. Quantum est, secundum quod unaquæque res quantitatem habet. Ejus vero species duæ : continuum et discretum; continuum igitur est quantum, cujus partes termino alicui communi connectuntur; discretum vero, cujus partes nullo communi termino cohærent. Ac discretum quidem in duo dividitur, in numerum et in vocalem sermonem. Neque enim numerus est continuus; ejus enim partes nulli communi termino connectuntur; v. gr. decem (neque enim ad invicem cohærent quinque et quinque vel tria ad septem); sic nec alterius ullius numeri partes. Similiter neque sermo est continuus; metimur enim eum syllaba brevi et longa et ejus partes nullo cohærent communi termino. Continuum vero in quinque species dividi-
C tur, lineam, superficiem, tempus et locum et in corpus mathematicum. Est autem corpus mathematicum, quod longitudinem, profunditatem et latitudinem habet, non vero tactui et visui subjicitur, verum sola mente percipi potest. Horum unum quodque communem habet terminum, quo partes ipsius cohærent; linea videlicet punctum, superficies lineam, corpus superficiem, tempus præsens momentum; præsens enim tempus cohæret cum præterito et futuro. Locus vero, qui similiter continuus est, lineam habet communem terminum; fere enim idem sunt tum locus tum superficies; differunt autem, quia superficiem quidem corpus
D physicum haud necesse est continere, locum vero

NOTÆ.

(55) Cod. Mon. f. 27 a. : Φωτίου περὶ ποσοῦ. Π. ἐ. Κατηγορία, καθ' ἣν. De his agit Aristot. c. 6. (C. 4, p. 6 ed. Paris. cit.)

(56) Arist. simpliciter habet λόγον, quem vero deinde explicat τὸν μετὰ φωνῆς γινόμενον.

(57) Mon. qui hæc verbotenus reddit : Τὰ μόρια αὐτοῦ συνάπτει.

(58) Mon. τοῦ.

(59) Mon. Οὔτε γὰρ τὰ μόρια αὐτῶν συνάπτει πρὸς ἄλληλα, οἷον τὰ π.

(60) Mon. Καί.

(61) Vat. Συνάπτεται, sequentia ἀλλ' οὐδ. ἅ. τ. ἀρ. desunt in Mon.

(62) καί deest in Mon.

(63) αὐτοῦ τὰ μόρια Mon.

(64) διαιρ. εἴδη omitt. Mon.; addit vero εἰς γρ.

(65) Mon. καὶ εἰς ἐπιφ.

(66) Mon. καὶ εἰς σῶμα μαθ. καὶ εἰς χρόνου καὶ εἰς τόπον.

(67) Mon. σῶμά ἐστιν τὸ μῆκος καὶ πλάτος καὶ βάθος ἔχον, μὴ μέντοι τῇ ἁ. κ. θ. ὑποπίπτον, ἀλλὰ νῷ μόνῳ περιληπτόν.

(68) Mon. οὖν.

(69) Arist. στιγμήν.

(70) Hucusque eadem ad verbum habet cod. Monac.; sequitur ibi deinde : καὶ ὁ τόπος... [f. φανερὸν] ὅτι συνεχής.

Digitized by Google

illud circumdare necesse est; ex eo autem, quod physicum corpus continet ac circumdat, apparet continuum eum esse. Si enim corpus est continuum, locus vero corpus circumdat et veluti ei totus adaptatur toti, locum quoque continuum esse evidenter consequitur.

A δὲ περιέχει φυσικὸν σῶμα, δῆλον ὅτι συνεχής ἐστι· εἰ γὰρ ἐστι τὸ σῶμα συνεχὲς, ὁ δὲ τόπος τὸ σῶμα περιέχει καὶ οἷον αὐτῷ καθόλου ὅλως ἐφαρμόζεται, καὶ τόπος ἄρα δηλονότι συνεχής ἐστι.

2. Horum vero, quæ prædicta sunt, alia positionem (situm) habent, alia non habent. Non habent tum numerus, tum sermo, tum tempus. Quod quidem spectat ad numerum, is utpote augmenti usque in infinitum capax, simul subsistere nequit; cum vero non subsistat simul, neque situm aliquem habere potest. Tempus autem, cum in eo quod nunc fiat exsistentiam habeat et non totaliter simul subsistat, similiter situm aliquem habere nequit. Eodem modo nec sermo situm aliquem potest habere; dictus enim est et non amplius exsistit. Sed linea et locus et superficies situm aliquem habent; horum enim unumquodque et subsistentiam habet et alicubi situm est; cum vero alicubi

β'. Τούτων δὲ τῶν εἰρημένων τὰ μὲν θέσιν ἔχει, τὰ δ' οὐκ ἔχει (71)· οὐκ ἔχει μὲν ὅ τε ἀριθμὸς καὶ ὁ λόγος καὶ ὁ χρόνος (72)· ἀλλ' ὁ μὲν ἀριθμὸς, ὅτι ἐπ' ἄπειρον ἔχων τὴν αὔξησιν, ἅμα ὑποστῆναι οὐ δύναται· ἅμα δὲ μὴ ὑφεστὼς (73) οὐδὲ θέσιν τινὰ δύναται ἔχειν· ὁ χρόνος δὲ ἐν τῷ γενέσθαι [νῦν] (74) τὸ εἶναι ἔχων καὶ μὴ ὅλως (75) ἅμα ὑφεστὼς ὡσαύτως οὐ δύναται θέσιν τινὰ ἔχειν· ὡσαύτως (76) δὲ οὐδὲ ὁ λόγος δύναται θέσιν τινὰ ἔχειν· εἴρηται γὰρ καὶ οὐκ ἔστιν. Ἡ δὲ γραμμὴ καὶ ὁ τόπος καὶ ἡ ἐπιφάνεια θέσιν τινὰ ἔχουσιν· ἕκαστον γὰρ τούτων (77) καὶ ὑφέστηκε καὶ κεῖταί που (78)· κείμενον δὲ δηλονότι (79) θέσιν τινὰ ἔχει.

B

situm sit, evidenter quoque positionem aliquam

3. Verum hæc quæ dicta sunt, videlicet numerus, sermo, locus, linea, superficies, corpus, proprie sunt *quanta*. Si vero et alia quædam quanta dicantur, non proprie dicuntur, verum propter prædicta. Veluti multum dicimus album vel nigrum, quia superficies est ampla; et actionem longam, quia tempus longum est, in quo ipsa peragebatur. Et eodem modo de reliquis est dicendum.

γ'. Ἀλλὰ ταῦτα μὲν (80) τὰ εἰρημένα, οἷον ἀριθμὸς λόγος, χρόνος, τόπος, γραμμὴ, ἐπιφάνεια, σῶμα κυρίως εἰσὶ (81) ποσά· εἰ δὲ καὶ ἄλλα τινὰ ποσὰ λέγοιντο, οὐ κυρίως ἂν εἴη (82), ἀλλὰ διὰ ταῦτα λέγοιτ' ἄν· οἷον πολὺ τὸ λευκὸν ἢ τὸ μέλαν λέγομεν διὰ τὸ τὴν ἐπιφάνειαν εἶναι πολλὴν, καὶ τὴν πρᾶξιν μακρὰν διὰ τὸ τὸν χρόνον, ἐν ᾧ (83) γέγονεν ἡ πρᾶξις, εἶναι πολύν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

C

4. Habet autem quantum proprietates quatuor. Ac primo quidem quod mensuratur. Hæc proprietas omni et soli quanto convenit. Secundo, quod nihil habet contrarium. Hæc vero proprietas non solius est quanti; dictum enim est (q. præced. § 5. β), id et substantiæ convenire. Si quis existimet esse quid contrarium quanto, magnum et parvum velut contraria ponens, sciat, hæc non esse quanta, sed relata ad aliquid, ad aliud enim quidpiam relatum magnum dicitur et parvum; deinde quamvis concedamus, hæc esse quanta, neque sic forent contraria. Si enim magnum est parvo contrarium, idem vero ad aliud et aliud

δ'. Ἔχει δὲ ἴδια τέσσαρα· πρῶτον μὲν τὸ μετρεῖσθαι· τοῦτο δὲ τὸ ἴδιον καὶ παντὶ τῷ ποσῷ ἐστι καὶ μόνῳ· δεύτερον δὲ τὸ μηδὲν ἔχειν ἐναντίον· τοῦτο δὲ τὸ ἴδιον (84) οὐ μόνῳ ἐστὶ τῷ ποσῷ· εἴρηται γὰρ ὅτι καὶ τῇ οὐσίᾳ· εἰ γάρ τις νομίζοι τῷ ποσῷ εἶναί τι ἐναντίον (85), τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία τιθεὶς (86), ἴστω, ὡς οὐκ εἰσὶ ταῦτα τοῦ ποσοῦ, ἀλλὰ τῶν πρός τι· πρὸς γὰρ (87) ἕτερον λέγεται τὸ μέγα καὶ τὸ μικρόν· δεύτερον δὲ εἰ καὶ δῶμεν αὐτὰ τοῦ ποσοῦ εἶναι, οὐδ' οὕτως εἰσὶν ἐναντία (88)· εἰ γάρ ἐστι τὸ μέγα τοῦ μικροῦ (89) ἐναντίον, τὸ δ' αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο μικρὸν καὶ μέγα ὁρᾶται, αὐτὸ ἂν ἑαυτῷ συμβήσεται ἐναντίον εἶναι (90), ὅπερ ἀδύνατον· οὐκ

D

NOTÆ.

(71) Arist. c. 6, § 1, 8 : τὰ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκε, τὰ δὲ οὐκ ἐξ ἐχόντων θέσιν.

(72) Monac. : κ. ὁ χρόνος καὶ ὁ λόγος.

(73) ἃ μὴ ὑφεστὼς δὲ ἅμα δῆλον ὡς οὐδὲ, κ. τ. λ.

(74) Mon. : ὁ δὲ χρόνος ἐν τῷ γ. νῦν. In Vat. deest νῦν.

(75) Vat. ὅλος; Calif. et Mon. ut supra.

(76) Supplevimus hæc ex Mon.; desunt enim in Vat. (unde jam Catif. aliquid deesse suspicabatur.) verba ὡσαύτως — οὐκ ἔστιν. cf. Arist. l. c. εἴρηταί τε καὶ οὐκ ἔστιν ἔτι τοῦτο λαβεῖν.

(77) Mon. ἐπειδὴ γὰρ τούτων ἕκαστον.

(78) Mon. πως· Vat. et Arist. που.

(79) Mon. δῆλον ὡς.

(80) Mon. Ταῦτα μὲν οὖν. cf. Arist. l. c. § 9, p. 7. ed. Par.

(81) εἰσὶ deest in Mon., sicut seq. ἂν εἴη.

(82) Arist. c. 6, § 9 : Κυρίως δὲ ποσὰ ταῦτα μόνα λέγεται τὰ εἰρημένα· τὰ δὲ ἄλλα πάντα κατὰ συμβεβηκός.

(83) ἐν ᾧ — πολύν deest in Mon.

(84) Mon. τοῦτο δὲ τὸ ἴδιον παντὶ μὲν τῷ ποσῷ, οὐ μόνῳ δέ ἐστιν.

(85) Mon. ὅτι καὶ ἐν τῇ οὐσίᾳ οὐκ ἔνεστι ἐναντίον.

(86) Mon. εἰ δέ τις... [fort. σοφιζόμενος προφέρει] λέγων, ὅτι τῷ ποσῷ ἐναντίον ἐστὶ τὸ οἷον μέγα τῷ μικρῷ, πρῶτον μὲν εἴρηται ὅτι.

(87) Mon. πρός τι γὰρ ἔτ.

(88) Mon. ἀλλ' ὅμως οὐκ ἔστιν ἐναντία ταῦτα.

(89) τῷ μικρῷ Mon.

(90) Mon. οὐδὲν κωλύει εἶναι αὐτὸ ἑαυτῷ ἐναντίον. Arist. εἰ ἔσται τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία, συμ-

Digitized by Google

ἄρα το μικρὸν καὶ τὸ μέγα ἐστὶν ἐναντίον (91)· ὥστε εἰ καὶ μὴ τῶν πρός τι, ἀλλὰ τοῦ ποσοῦ εἶναί τις αὐτὰ θείη, οὐδὲν ἄπορον εὑρήσει (92)· φανερὸν ἄρα (93) ὅτι τὸ μὴ ἐπιδέχεσθαι ἐναντίον παντὶ τῷ ποσῷ ἁρμόζει. Τρίτον τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· οὔτε γὰρ τὰ τρία τῶν (94) πέντε μᾶλλον τρία λέγεται, οὔτε ὁ χρόνος τοῦ χρόνου μᾶλλον χρόνος (95)· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· τοῦτο δὲ τὸ ἴδιον παντὶ μὲν τῷ ποσῷ ἐστιν (96), οὐ μόνῳ δέ· πρόσεστι (97) γὰρ καὶ τῇ οὐσίᾳ. Τέταρτον ἴδιον τοῦ ποσοῦ (98) τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι· τοῦτο δὲ καὶ (99) κυρίως ἴδιον τοῦ ποσοῦ· ἀκολουθεῖ δὲ τοῦτο τῷ πρώτῳ ἰδίῳ, οἷον τῷ μετρεῖσθαι· τὰ γὰρ μετρούμενα (1) ὑπό τινος ἤτοι ἴσα εἰσὶ πρὸς ἄλληλα συγκρινόμενα, ἢ ἄνισα, τουτέστι ἢ μείζονα ἢ ἐλάττονα· τοῦτο δὲ τὸ ἴδιον καὶ παντὶ τῷ ποσῷ ἁρμόζει καὶ μόνῳ. Εἰ δέ τις φαίη, καὶ τὴν διάθεσιν ποιότητα οὖσαν ἴσην καὶ ἄνισον λέγεσθαι, οὐ καλῶς λέγοι· μᾶλλον γὰρ ὁμοίαν καὶ ἀνομοίαν δεῖ ταύτην λέγεσθαι, οὐχὶ δὲ ἴσην καὶ ἄνισον, ὥστε παντὶ καὶ μόνῳ ἁρμόζει τῷ ποσῷ τοῦτο τὸ ἴδιον (2).

A magnum et parvum conspicitur, idem sibimetipsi contrarium esse accidet, quod impossibile, quare etiamsi quis non relatorum ad aliquid hæc esse ponat, sed quantorum, nullam reperiet difficultatem. Apparet ergo, omni quanto convenire, non recipere contrarium. Tertia proprietas quanti est, quod non recipit magis et minus. Neque enim tria magis dicuntur esse tria quam quinque (dicuntur quinque), neque tempus tempore magis tempus, atque de cæteris similiter. Hæc vero proprietas omni quidem quanto adest, non autem soli; inest enim etiam substantiæ. Quarta proprietas quanti est, æquale et inæquale dici; id vero proprie est quanti proprietas; sequitur autem ex prima proprietate, quod scilicet mensuratur. B Quæ enim mensurantur ab aliquo, dum adinvicem comparantur, aut æqualia sunt aut inæqualia, hoc est aut majora aut minora. Hæc vero proprietas et omni et soli quanto aptatur. Si quis vero dicat dispositionem quoque, quæ qualitas est, æqualem dici et inæqualem, haud recte dicere videtur; hæc enim potius similis et dissimilis dicenda est, non vero æqualis et inæqualis. Quare et omni et soli quanto convenit ista proprietas.

ΕΡΩΤΗΣΙΣ ΡΜ'.

Περὶ ποιότητος.

QUÆSTIO CXL. [*Coisl.* CLXXI.]

De qualitate.

Nunc primum edita a D. Hergenroether.

α'. Ποιότης ἐστὶ (3), καθ' ἣν ποιοί τινες ἢ καὶ ἁλλως πως διακεῖσθαι λέγονται. Ἔχει δὲ εἴδη κατὰ συζυγίαν (4) προφερόμενα τέσσαρα· πρῶτον μὲν ἕξιν καὶ διάθεσιν, δεύτερον δὲ δύναμιν καὶ ἀδυναμίαν, τρίτον παθητικὴν ποιότητα καὶ πάθος, τέταρτον σχῆμα καὶ μορφήν. Καὶ ἔστιν ἕξις μὲν ποιότης δυσαπόβλητος (5), κακοποιητικὴ ἢ τελειωτικὴ τοῦ ἐν ᾧ ὑπάρχει. Διάθεσις δέ (6) ἐστι ποιότης εὐαπόβλητος, τουτέστι πρὸς (7) καιρὸν γενομένη καὶ ἀπογινομένη· διαφέρει δὲ τῆς ἕξεως, ὅτι ἡ μὲν ἕξις πολυχρονιωτέρα ἐστὶ καὶ μονιμωτέρα, αὕτη (8) δὲ εὐκίνητος καὶ ταχὺ ἀπογινομένη· τοιαῦται δὲ αἵ τε ἐπιστῆμαι καὶ αἱ ἀρεταὶ καὶ αἱ κακίαι· ἕξιν μὲν γὰρ αὐτῶν ἔχειν λέγομεν (9) τὸν κατέχοντά τι τούτων ἐν πλείονι χρόνῳ ἢ καὶ δι' ὅλου τοῦ βίου· οἷον τὸν δεξάμενον τὴν γραμματικὴν καὶ κατέχοντα ταύτην ἕξιν (10) ἔχειν λέγομεν· ὁμοίως καὶ δικαιοσύνην καὶ τὰς ἄλλας· διάθεσιν δὲ λέγομεν ἔχειν τὸν δεξάμενον μέν τι τῶν εἰρημένων, ταχὺ δὲ ταῦτα (11) ἀποβαλλόμενον, οἷον ὡς τὸν διὰ θυμὸν ἐρυθριάσαντα ἢ διὰ φόβον ὠχριάσαντα· οἱ

1. Qualitas est, qua quales quidem vel alio quopiam affecti modo dicuntur. Habet autem species secundum earum conjugationes enuntiatas quatuor; primo quidem habitum et dispositionem, secundo potentiam et impotentiam, tertio passivam (patibilem) qualitatem et passionem, quarto figuram et formam. Habitus quidem est qualitas ægre amissibilis deterius faciens vel melius reddens id in quo exsistit. Dispositio autem est qualitas facile amissibilis, id est, quæ ad tempus acquiritur et amittitur; differt autem ab habitu, quia hic firmior est et diuturnior, dispositio vero facile mutari et deponi potest. Ejusmodi sunt scientiæ et virtutes ac vitia; nam habitum eorumdem habere dicimus eum qui aliquid ejusmodi longiori tempore possidet vel etiam per totam vitam; veluti eum qui grammaticam in se suscepit ac mente tenet, eam habitum habere dicimus. Eodem modo res se habet cum justitia ac reliquis. Dispositionem vero habere dicimus eum, qui prædictorum quid in se recepit,

NOTÆ.

δήσεται τὸ αὐτὸ ἅμα τὰ ἐναντία ἐπιδέχεσθαι καὶ αὐτὰ ἑαυτοῖς εἶναι ἐναντία. § 14, p. 8.

(91) Mon. ἐναντία ἐστίν.

(92) Mon. οὐκ ἔσται ἀλλήλων ἐναντία.

(93) Mon. φανερὸν ὅτι τὸ μὴ ἐπιδ. τὰ ἐναντία.

(94) Sic Mon. et Arist. Catif. τοῦ π.

(95) Mon. addit εἶναι λέγεται.

(96) Mon. ὑπάρχει μὲν π. τῷ ποσῷ.

(97) ἐστι Monac.

(98) ἰδ. τοῦ π. deest in Mon.

(99) Mon. τ. δέ ἐστι τὸ κυρίως ἴδ.

(1) Mon. μετρ. γάρ.

(2) Sic et Monac. cf. Arist. fin. cap. 6.

(3) Mon. f. 32 b. » Φωτίου περὶ ποιότητος. Π. ἐστὶ κατηγορία, καθ' ἣν ποιοί τινες εἶναι λέγονται. Sic et Aristot. cap. 8 init. (p. 13 ed. Paris. c. 6.

(4) Mon. εἴδη συνώνυμα.

(5) Mon. ἢ κακ.

(6) δέ deest in Mon.

(7) Mon. εἰς.

(8) αὕτη — ἀπογινομ. omitt. in Mon.

(9) Mon. ἕξιν γὰρ ἔχειν λέγ.: deest deinde τούτων.

(10) Mon. αὐτὴν ὡς ἕξιν.

(11) Sic Catif. recte; Vat. et Mon. ταύτην.

Digitized by Google

mox vero illud abjecit et deposuit; verbi gratia eum, qui propter iracundiam erubuit vel præ metu palluit; tales enim dispositionem habere dicuntur; dispositus namque fuit eorum quilibet ad modicum tempus secundum rubrorem vel pallorem; non vero ullius harum qualitatum habitum susceptit. Patet autem eum qui habitum habet, prius dispositionem habuisse; prius enim talis secundum illam qualitatem dispositus erat, deinde sic ejus habitum susceptit. Atque hæc quidem de prima specie qualitatis.

γὰρ τοιοῦτοι (12) διαθέσεις ἔχειν λέγονται· διετέθη μὲν γὰρ ἕκαστος τούτων πρὸς ὀλίγον κατὰ τὴν ὠχρότητα ἢ ἐρυθρότητα· οὐκ ἐγένετο δὲ οὐδεὶς οὐδεμιᾶς ἐκτικὸς τούτων (13). Δῆλον δ' ὅτι ὁ ἔχων τὴν ἕξιν πρότερον ἔσχε τὴν διάθεσιν (14)· διετέθη γὰρ πρῶτον ὁ τοιοῦτος κατὰ τὴν ποιότητα, εἶθ' οὕτως ταύτης (15) ἐκτικὸς ἐγένετο. Καὶ οὕτω μὲν περὶ τοῦ πρώτου εἴδους τῆς ποιότητος.

2. Altera vero qualitatis species est potentia et impotentia. Hæc vero non suntactu, sed per solam habilitatem producuntur. Est vero potentia habilitatis progressus, impotentia autem difficultas vel excisio habilitatis. Exempli gratia præstantis ingenii puerum potentiam habere dicimus, ut geometricus fiat, hebetioris vero ingenii puerum impotentiam. Eodem modo apti ad cursum et ad pugilatum dicuntur non quidem currentes et pugilantes (hi enim vocantur cursores et pugiles), sed qui aptitudinem habilitatemque habent ad cursum vel ad pugilatum; et salubres dicuntur non qui bona fruuntur valetudine (hi enim vocantur sani), sed qui potentiam habent nihil facile ab accidentibus patiendi (morbidi vero vel ægroti dicuntur, qui naturalem habent impotentiam nihil facile patiendi ab accidentibus). Hæc de potentia et impotentia dicta sunto.

β'. Δεύτερον δὲ εἶδος ποιότητος δύναμις καὶ ἀδυναμία· ταῦτα δὲ οὐκ εἰσὶ κατὰ τὴν ἐνέργειαν (16), ἀλλὰ κατ' ἐπιτηδειότητα μόνην προάγονται. Καὶ ἔστι (17) δύναμις μὲν ἐπιτηδειότητος προκοπή, ἀδυναμία δὲ δυσκολία ἢ ἐκκοπὴ ἐπιτηδειότητος· οἷον τὸν εὐφυῆ παῖδα δύναμιν ἔχειν φαμὲν τοῦ γενέσθαι γεωμετρικὸν, τὸν δὲ ἀφυῆ ἀδυναμίαν· τὸν αὐτὸν δὲ τρόπον καὶ δρομικοὶ λέγονται καὶ πυκτικοὶ, οὐχ οἱ τρέχοντες ἢ πυκτεύοντες (οὗτοι γὰρ δρομεῖς καὶ πύκται καλοῦνται), ἀλλ' οἱ ἔχοντες ἐπιτηδείως πρὸς τὸν δρόμον καὶ (18) τὴν πυγμήν· καὶ ὑγιεινοὶ οὐχ οἱ (19) ὑγιαίνοντες (οὗτοι γὰρ ὑγιεῖς λέγονται), ἀλλ' οἱ ἔχοντες δύναμιν τοῦ μηδὲν πάσχειν ὑπὸ τῶν τυχόντων εὐκόλως (20). Ταῦτα δὴ περὶ τῆς δυνάμεως καὶ ἀδυναμίας.

3. Tertia qualitatis species passiva (patibilis) qualitas et passio. Est autem passiva qualitas passioni cuidam diu conjuncta, passio vero via ad qualitatem passivam. Tripliciter dicitur passiva qualitas: vel enim a passione ortum habuit, veluti ab irregulari ac naturæ non consentaneo circa cor fervore febris, et passionem quamdam circa tactum efficit; calefacit enim eum qui illud tangit; vel a passione quidem orta non est, passionem vero infert, ut ignis calor; calor enim a principio igni inest et ad constitutionem substantiæ ipsius confert; manifeste igitur a passione ortum non habet, passionem tamen efficit; similiter et mellis dulcedo a passione orta non est, passionem autem circa linguam facit; vel rursum a passione quidem orta est, non vero passionem facit, veluti qualitates, quæ circa animam exsistunt, verbi gratia amentia, ira et alia id genus; ipsa enim a passione orta est, non vero in conspiciente vel tangente ef-

γ'. Τρίτον δὲ εἶδος ποιότητος παθητικὴ ποιότης καὶ πάθος. Ἔστι δ' ἡ (21) μὲν παθητικὴ ποιότης ἡ πάθει τινὶ χρόνῳ (22) συνεζευγμένη (23), πάθος δὲ ἡ εἰς (24) τὴν παθητικὴν ποιότητα ὁδός. Τριχῶς δὲ λέγεται ἡ παθητικὴ ποιότης· ἢ γὰρ ἀπὸ πάθους ἐγένετο (25), οἷον ὡς ἀπὸ τῆς ἀνωμάλου καὶ παρὰ φύσιν περὶ τὴν καρδίαν ζέσεως ὁ πυρετὸς, καὶ πάθος τι κατὰ τὴν ἁφὴν ποιεῖ (26)· θερμαίνει γὰρ τὸν ἁπτόμενον· ἢ ἀπὸ πάθους μὲν οὐκ ἐγένετο, πάθος δὲ ἐμποιεῖ, ὡς ἡ τοῦ πυρὸς θερμότης· αὕτη γὰρ ἀρχῆθεν (27) ὑπάρχουσα τῷ πυρὶ καὶ συντελοῦσα πρὸς σύστασιν αὐτοῦ τῆς οὐσίας· ἀπὸ πάθους μὲν δῆλον ὅτι οὐκ ἐγένετο, πάθος δὲ ἐμποιεῖ (28)· ὁμοίως δὲ καὶ ἡ γλυκύτης τοῦ μέλιτος ἀπὸ πάθους μὲν (29) οὐκ ἐγένετο, πάθος δὲ περὶ τὴν γλῶτταν ποιεῖ· ἢ πάλιν ἀπὸ πάθους μὲν ἐγένετο, πάθος δὲ οὐ ποιεῖ, ὡς αἱ περὶ τὴν ψυχὴν ὑφιστάμεναι ποιότητες· οἷον ἥ τε μανικὴ ἔκστασις καὶ ἡ ὀργὴ καὶ τὰ τοιαῦτα (30)· αὕτη μὲν γὰρ ἀπὸ πάθους (31) ἐγένετο, πάθος δὲ οὐκ ἐμποιεῖ εἰς τὸν

NOTÆ.

(12) Mon. πάντες οὗτοι διάθεσιν.
(13) Mon. οὐκ ἐγένετο δὲ οὐδεμίαν ἕξιν ἔχων, ἐκτικὸς τούτων.
(14) Mon. τὴν διάθ. ἔσχε.
(15) Mon. εἶθ' οὕτως ταύτην ἕξιν ἔχων ἐκτ. ἐγ.
(16) Mon. κατ' ἐνέργειαν.
(17) Mon. ἔστι δὲ δ.
(18) Mon. ἢ πρὸς τ. πυγήν.
(19) Mon. οὐχ οἷς [οἳ] εἰσιν ὑγ.
(20) Suppl. ex Monac. νοσώδεις δὲ οἱ ἀδυναμίαν φυσικὴν ἔχοντες τοῦ πάσχειν ὑπὸ τῶν τυχόντων εὐκόλως.
(21) Mon. ἔστι δὲ παθ. μὲν π.
(22) Mon. χρονίως.
(23) Mon. συνεζευγμ. ὠχρότης ἢ νόσος.
(24) Mon. πρὸς τ. π. π.
(25) In Mon. sequitur καὶ πάθος ἐποίει, ὡς ἡ περὶ τὸν ἄνθρωπον γινομένη παρὰ φύσιν θερμασία· αὕτη γὰρ καὶ ἀπὸ πάθους ἐγένετο τῆς ἀνωμάλου deinde et supra.
(26) Mon. ποιεῖ κατὰ τὴν ἁφήν.
(27) Mon. ἀρχ. μὲν προσεγένετο τῷ πυρὶ, συντελ. δὲ πρ. σύστ. τῆς τούτου οὐσίας.
(28) Mon. ποιεῖ.
(29) μέν deest in Mon., sicut sequens πάλιν.
(30) Mon. τὰ ὅμοια.
(31) Mon. αὕτη γὰρ ἀπὸ π. μὲν ἐγ.

Digitized by Google

ὁρῶντα ἢ ἀπτόμενον. Διαφέρει δὲ ἡ παθητικὴ ποιότης τοῦ πάθους, καθ' ὃν τρόπον (32) ἡ ἕξις τῆς διαθέσεως· εἰ μὲν γὰρ ἐν χρόνῳ πλείονι παραμένει (33) τὸ πάθος, ὥστε παρωνύμως ἐξ αὐτοῦ ὀνομασθῆναι τὸν δεξάμενον αὐτὸ (34), παθητικὴ ποιότης λέγεται· εἰ δὲ παραυτίκα ἀπογένηται, πάθος μόνον ὀνομάζεται (35)

δ'. Τέταρτον δὲ (36) εἶδος ποιότητος σχῆμα καὶ μορφή. Διαφέρει δὲ ταῦτα, ὅτι τὸ μὲν σχῆμα κυρίως ἐπ' ἀψύχων (37), ἡ δὲ μορφὴ ἐπὶ ἐμψύχων τάττεται. Πρὸς τούτοις εἰσὶ (38) καὶ ἄλλα εἴδη, οἷον εὐθύτης καὶ καμπυλότης καὶ τὰ τούτοις ὅμοια (39), ἅτινα καὶ ἀντιδιαιρεῖται τῷ σχήματι καὶ τῇ μορφῇ· οὐδὲ γὰρ ταῦτα ὑπὸ τὸ σχῆμα ἀνάγονται (40), ὡς τισιν ἀλόγως (41) ἔδοξεν, εἴπερ σχῆμά ἐστιν ἡ τοῦ τυχόντος ὄγκου ἀποπεράτωσις, ἢ ὡς ἔνιοι (42), τὸ ὑπό τινος ἢ τινων ὅρων περιεχόμενον· ὁμοίως δὲ οὐδ' ὑπὸ τὴν μορφὴν (43), εἴπερ μορφή ἐστιν ἡ ὅλου τοῦ εἴδους ἀποπεράτωσις· ἀλλ' εἰσί γε καθ' αὐτὰ ταῦτα (44) ὡς εἴδη τινὰ ὑπὸ τὴν ποιότητα ἀναγόμενα (45)· ὥσπερ καὶ ἡ τραχύτης τε καὶ ἡ λειότης, μανότης τε καὶ πυκνότης, καὶ εἴ τι παραπλήσιον.

ε'. Κατηγορεῖται δὲ ἡ ποιότης τετραχῶς· παρωνύμως, ὁμωνύμως, ἑτερωνύμως, ἀκατονομάστως (46)· παρωνύμως μὲν ὡς ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικός· ὁμωνύμως δὲ ὡς ἀπὸ τῆς γραμματικῆς ἐπιστήμης ἡ γραμματικὴ γυνή· ἑτερωνύμως δὲ ὡς ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος· ὁ γὰρ σπουδαῖος ἀπὸ τῆς ἀρετῆς λέγεται, ἀλλ' οὐ παρωνύμως, [ὡς] ἀπὸ τῆς σπουδῆς (47), ἀκατονομάστως δὲ ὥσπερ καὶ ὁ δρομικὸς καὶ ὁ πυκτικός (48)· οὐ γὰρ κεῖνται ταῖς ποιότησιν ὀνόματα (49), ἐξ ὧν (50) οὗτοι ἐποιώθησαν· ἡ γὰρ δρομικὴ φωνὴ οὐκ ἔστι τῆς δυνάμεως ὄνομα, ἧς μετέχων ὁ δρομικὸς καλεῖται δρομικός, ἀλλὰ τῆς τέχνης, ἐξ ἧς οὐχ ὁ δρομικός, ἀλλ' ὁ δρομεὺς καὶ παρονομάζεται καὶ προάγεται· ὁμοίως δὲ καὶ ἡ πυκτικὴ οὐκ ἔστιν ὄνομα τῆς δυνάμεως, ἧς ὁ πυκτικὸς μετέχων καλεῖται πυκτικός, ἀλλὰ τῆς τέχνης, ἐξ ἧς οὐχ ὁ πυκτικός, ἀλλ' ὁ πύκτης ἤγουν ὁ τῆς πυκτικῆς ἐπιστήμων παρονομάζεται καὶ προάγεται· ἐπ' ἐλαττόνων δὲ τὸ τοιοῦτον εὑρίσκεται, ἐπὶ δὲ τῶν πλείστων παρωνύμως κατηγορεῖται ἡ ποιότης τῶν μετεχόντων αὐτῆς (51)· ὥσπερ δὲ ἡ ποιότης τῶν μετασχόντων αὐτῆς οὐχ ὁμοίως κατηγορεῖται,

ficit passionem. Differt autem patibilis qualitas a passione eodem modo, quo differt habitus a dispositione. Si enim passio diuturniori tempore perseverat, ita ut paronymice ex ipsa denominetur qui eam suscepit, passiva qualitas dicitur; si vero statim abjiciatur et desinat, passio solum appellatur.

4. Quarta species qualitatis est figura et forma. Differunt hæc, quia figura proprie de inanimatis, forma vero de animatis ponitur. Præterea sunt et aliæ species, veluti rectitudo et obliquitas, et quæ his similia sunt, quæque ex adverso respondent figuræ et formæ. Neque enim ista sub figuram reducuntur, ut quibusdam absque recta ratione visum est, cum figura sit molis cujusque terminatio, vel, ut quidam aiunt, id quod a termino aliquo vel ab aliquibus continetur et circumdatur; similiter vero neque ad formam reducuntur, cum forma sit totius speciei terminatio. Verum sunt hæc per se ipsa ut species quædam ad qualitatem pertinentia, quemadmodum et asperitas et lævitas, tum raritas et densitas, et si quid his est simile.

5. Prædicatur qualitas quadruplici modo: denominative, æquivoce, diversivoce, et innominabiliter; denominative quidem veluti a grammatica grammaticus; æquivoce veluti a grammatica scientiæ grammatica mulier; diversivoce, veluti a virtute honestus; honestus enim a virtute dicitur, sed non denominative, sicut denominative ab honestate); innominabiliter vero veluti aptus ad cursum et ad pugilatum; non enim posita sunt qualitatibus nomina, ex quibus isti *quales* effecti sunt. Nam vox, quæ aptitudinem ad cursum designat, non est potentiæ nomen, cujus particeps qui ad cursum aptus est talis dicitur, verum artis, ex qua non aptus ad currendum, sed cursor et denominatur et producitur; similiter etiam aptitudo ad pugilatum non est nomen potentiæ, cujus particeps ad pugilatum aptus vocatur talis, verum artis, ex qua non ad pugilatum aptus, sed pugil sive pugilatus gnarus et denominatur et fit talis. In paucioribus autem id invenitur; in plurimis denominative prædicatur qualitas de iis, qui ejus participes sunt. Quemadmodum vero qualitas non eodem modo de iis prædicatur,

NOTÆ.

(32) διαφέρει addit Mon.
(33) Mon. διαμένῃ.
(34) Mon. τὸ πάθος.
(35) ὀνομάζεται deest in Mon.
(36) δέ omitt. Mon., qui cum Arist. c. 8, § 14: σχῆμά τε καὶ ἡ περὶ ἕκαστον ὑπάρχουσα μορφή (c. 6, p. 15 ed. Paris.)
(37) Vat. f. 121 b. ἐπὶ ἀψ.
(38) Mon. Τούτοις δὲ εἰσί.
(39) Mon. καὶ τὰ ὅμοια. Sequentia verba destructa plane sunt usque ad τῷ σχήματι.
(40) Mon. ἀνάγεται.
(41) Mon. καὶ γὰρ τισὶ μὲν ἔδοξε εἰπεῖν σχ.
(42) Mon. ἔνιοι δὲ, σχῆμά ἐστι τὸ ὑ.
(43) Mon. οὐδὲ ὑπὸ τ. μ. ἀνάγεται.
(44) Mon. καθ' αὐτὰ δέ εἰσι... ταῦτα ἀναγ. ὑπὸ τ. π.
(45) Loco sequentium hæc habentur in Mon.: Αὗται μὲν οὖν εἰσι ποιότητες· τὰ δὲ ὑπ' αὐτῶν λεγόμενα ποιά εἰσιν. οὐ ποιότητες· καὶ γὰρ τὸ μὲν εὐθὺ ἀπὸ τῆς εὐθύτητος, τὸ δὲ καμπύλον ἀπὸ τῆς καμπυλότητος [λεγόμενα], ὡς εἴρηται, οὐκ εἰσὶ ποιότητες, ἀλλὰ μᾶλλον ποιά ὄντα, τουτέστι πεποιωμένα ὑπὸ τὸ κεῖσθαι ἀναχθήσονται, ὥσπερ καὶ τὸ μανὸν καὶ τὸ πυκνὸν καὶ τὸ τραχὺ καὶ τὸ λεῖον.
(46) Mon. ἀκατωνομάστως.
(47) Mon. οὐ παρωνύμως ἀπὸ τῆς ἀρετῆς, ἑτερωνύμως δέ.
(48) Mon. ὡς ὁ π., ὁ δρομ. λέγεται.
(49) Mon. οὐ γὰρ κεῖται τῇ ποιότητι ὄνομα ἐξῆς (l. ἐξ ἧς) οὕτως ἐποιώθησαν. Reliqua desunt in Mon. usque ad illa hic immediate sequentia: ἐπ' ἐλαττόνων (not. 6).
(50) Vat. et Apogr. ἐξ ἧς.
(51) Ista verba ἐπ' ἐλαττόνων δὲ — μετεχόντων αὐτῆς in Mon. leguntur. Cætera usque ad fin. hujus § desunt.

Digitized by Google

qui ejus sunt participes, sed de aliis quidem denominative, de aliis vero æquivoce, de aliis rursum diversivoce, de aliis ineffabiliter absque proprio nomine : eumdem in modum et ea quæ illa participant haud eadem ratione qualia tum sunt tum dicuntur ; verum quæcunque qualitatis effecta participia nullam circa partium positionem innovationem subierunt, hæc proprie qualia erunt dicenturque ; quæcunque autem positionem partium aliam et aliam susceperunt, positionem habentia potius quam qualia dicenda esse videntur. Grammaticus igitur et justus et rubicundus et alia id genus proprie qualia fuerint ; unumquodque enim eorum propriæ qualitatis factum particeps secundum aliud quidpiam immutatum est, circa partium autem positionem nullam immutationem habuit. Rarum autem et densum, et asperum et læve, obliquum et rectum et si quid ejusmodi, protinus una cum participatione denominativæ qualitatis etiam positionem partium transtulit et qualitatis participatio minime aliud quid primo mutavit, verum partium positionem commutavit ; quamobrem non proprie *quale*, sed potius positionem habens reddidit id quod illam suscepit. Etenim densum et est et dicitur illud cujus partes proxime inter se junctæ sunt ; rarum vero cujus partes distant quodammodo et ab invicem dividuntur ; rursum læve est, cujus partes invicem positæ sunt (secundum rectam) una post aliam, neque eo quod una supra aliam emineat neque eo quod una inferior sit ac subsideat, ad invicem differentes ; asperum vero est cujus pars quidem emineat, pars autem subsideat. De his hactenus.

A ἀλλὰ τῶν μὲν παρωνύμως (52), τῶν δὲ ὁμωνύμως, τῶν δὲ ἑτερωνύμως, τῶν δὲ ἀκατονομάστως· οὕτω δή, οὕτω καὶ τὰ μετασχόντα αὐτῆς οὐχ ὁμοίως ἔστι τε καὶ λέγεται ποιά, ἀλλ' ὅσα μὲν μετεσχηκότα ποιότητος οὐδέν τι περὶ τὴν τῶν μορίων θέσιν ὑπέμεινε καινόν, ταῦτα κυρίως ἔστι τε καὶ λέγοιτ' ἂν ποιά· ὅσα δὲ τὴν θέσιν τῶν μορίων ἠμείφθη, θέσιν ἔχοντα μᾶλλον ἂν ῥηθείη, ἀλλ' οὐ ποιά. Ὁ γοῦν γραμματικὸς καὶ ὁ δίκαιος καὶ ὁ ἐρυθρίας καὶ τὰ ὅμοια εἴη ἂν κυρίως ποιά· μετειληφότα γὰρ τῆς οἰκείας ἕκαστον ποιότητος κατ' ἄλλο μέν τι ἠλλοιώθη, τῆς δὲ μορίων αὐτοῦ θέσεως οὐδεμίαν ἔσχε μεταβολήν· τὸ μέντοι μανὸν καὶ τὸ πυκνὸν καὶ τὸ τραχὺ καὶ τὸ λεῖον, καμπύλον τε καὶ τὸ εὐθὺ καὶ εἴ τι ὅμοιον, αὐτίκα τοῦ μετασχεῖν τῆς παρωνύμου ποιότητος καὶ τὴν θέσιν μεταβέβληκε τῶν μορίων καὶ ἡ τῆς ποιότητος μετοχὴ οὐχ ἕτερόν τι πρώτως ἠλλοίωσεν· ἀλλὰ τὴν τῶν μορίων θέσιν ἠμείψεν, ὥστε οὐ ποιὸν κυρίως ἀλλὰ θέσιν ἔχον τὸ δεδεγμένον αὐτὴν ἀπειργάσατο· καὶ γὰρ δὴ πυκνὸν μέν ἐστι τε καὶ λέγεται (53), οὗ τὰ μόρια ἐγγὺς ἀλλήλων κεῖται· μανὸν δὲ οὗ τὰ μόρια (54) διεστήκασί πως καὶ διῄρηνται ἀλλήλων· πάλιν λεῖον μὲν οὗ τὰ μόρια ἐφεξῆς ἀλλήλων κεῖται (55), μήτε ἐν ὑπεροχῇ τινι πρὸς ἑαυτὰ μήτ' ἐν ταπεινώσει παραλλάττοντα· τραχὺ δὲ, οὗ τὰ μόρια (56) ὑπερέχει ἀλλήλων ἢ ἐλλείπει· καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον (57).

B

6. Qualitati sunt proprietates quatuor. Quarum prima in eo est quod habet contrarium. Justitia enim injustitiæ contraria est. Hæc vero proprietas neque soli qualitati convenit, neque omni ; non soli quidem, quoniam convenit quoque actioni et passioni, ut infra dicetur ; non omni vero, quoniam pallori, qui et ipse qualitas est, nihil est contrarium. Altera proprietas est, quod non suscipit magis et minus. Neque enim est grammatica magis grammatica quam grammatica, neque justitia magis quam justitia. Attamen justus justo et grammaticus grammatico magis vel minus (talis) dicitur. Hæc vero proprietas neque omni qualitate affecto convenit neque soli ; non soli quidem, quia eadem potiuntur et agere et pati ; non omni vero, quia quadrangulum et triangulum, quæ qualia sunt, i. e.

C ς'. Ἔχει δὲ ἴδια τρία· ἓν μὲν (58), τὸ ἔχειν ἐναντίον· ἡ γὰρ δικαιοσύνη τῇ ἀδικίᾳ ἐστὶν ἐναντία (59)· τοῦτο δὲ τὸ ἴδιον (60) καὶ οὐ μόνῃ τῇ ποιότητί ἐστι καὶ οὐ πάσῃ· οὐ μόνῃ μέν, ἐπειδή ἐστι καὶ τῷ (61) ποιεῖν καὶ τῷ πάσχειν, ὡς ὕστερον λεχθήσεται· οὐ πάσῃ δὲ, ἐπειδὴ τῇ ὠχρότητι πάλιν (62) ποιότητι οὔσῃ οὐδέν ἐστιν ἐναντίον· δεύτερον, τὸ μὴ ἐπιδέχεσθαι (63) τὸ μᾶλλον καὶ [τὸ] ἧττον· οὐ γὰρ ἐστιν ἡ γραμματικὴ τῆς γραμματικῆς μᾶλλον καὶ ἧττον γραμματική, οὐδ' ἡ δικαιοσύνη τῆς δικαιοσύνης· δίκαιος μέντοι δικαίου καὶ γραμματικὸς γραμματικοῦ μᾶλλόν καὶ ἧττον λέγεται· τοῦτο δὲ τὸ ἴδιον οὐ παντὶ τῷ πεποιωμένῳ ἐστὶ καὶ θύ μόνῳ· οὐ μόνῳ μέν, ἐπειδή ἐστι καὶ τῷ ποιεῖν καὶ τῷ πάσχειν, οὐ παντὶ δὲ, ἐπειδὴ τὸ τετράγωνον καὶ τὸ τρίγωνον (64) ποιὰ ὄντα (65), τουτέστι πεποιωμένα, οὐκ ἔστι (66) μᾶλ-

D

NOTÆ.

(52) Cod. συνωνύμως.

(53) Mon. immediate post verba adducta § 5, not. 10 ante præs. § tractationem similiter : πυκνὸν μὲν γάρ ἐστιν, οὗ... ut supra.

(54) Mon. οὗ τὰ μ. διάστασίν τινα ἢ ἀραίωσιν ἔχει· λεῖον δὲ οὗ..., ut supra.

(55) Mon. add. οἷονεὶ ἐπ' εὐθείᾳ μήτε ἐν ὑπεροχῇ μήτε ἐν ἐλλείψει φαινόμενα· τρ. δέ.

(56) τοὐναντίον add. Mon.

(57) Mon. τ. μ. οὕτως.

(58) Mon. πρῶτον τὸ ἔχ.

(59) Sic Mon. et Catif. Ego in Vat. legi ἐναντίον. Sic et Arist. 1. § 18, p. 15.

(60) τὸ ἴδ. deest in Mon.

(61) Mon. bis τό

(62) πάλιν deest in Mon.

(63) Mon. τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· τοῦτο δὲ τὸ ἴδιον οὐ ταῖς ποιότησι, ἀλλὰ τοῖς πεποιωμένοις ὑπάρχει· δικαιοσύνη μὲν γὰρ τῆς δικαιοσύνης οὐκ ἔστι μᾶλλον καὶ ἧττον δικαιοσύνη, οὐδὲ γραμματικὴ γραμματικῆς μᾶλλον γραμματική· δίκαιου μέντοι δίκαιος καὶ γραμματικοῦ γραμματικὸς μᾶλλον καὶ ἧττον· τοῦτο δὲ τὸ ἴδιον... ut supra, Nulla ergo in re utriusque textus oppositio.

(64) Mon. τὸ τρίγωνον κ. τὸ τετράγ.

(65) ὄντα deest in Mon.

(66) Mon. οὐκ εἰσὶν ἀλλήλων μ. κ. ἧττον. Cætera quæ de hac altera proprietate in Vat. sequuntur, in Mon. desunt.

Digitized by Google

λον καὶ ἧττον· εἰ μὲν γὰρ συγκρίνεις τὸ τρίγωνον πρὸς τὸ τετράγωνον, οὐ λέγεται μᾶλλον καὶ ἧττον· οὐδ' ὅλως γὰρ ταῦτα καθὸ τρίγωνον καὶ τετράγωνόν ἐστι, συγκρίνεται· τοῦ γὰρ αὐτοῦ δεῖ τὰ συγκρινόμενα μετέχειν ὀνόματος· εἰ δὲ συγκρίνεις τρίγωνον πρὸς τρίγωνον, ἢ τετράγωνον πρὸς τετράγωνον, οὐδ' οὕτως θάτερον θατέρου μᾶλλον ἢ ἧττον λεχθήσεται· συγκρίνεται μὲν γὰρ ταῦτα, ἀλλ' ἐπεὶ ὁμοτίμως τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ αὐτῶν τά τε τετράγωνα μεταλαμβάνουσι καὶ πάλιν τὰ τρίγωνα, διὰ τοῦτο οὐ δύναται λέγεσθαι τετράγωνον τετραγώνου μᾶλλον τετράγωνον ἢ ἧττον, ἀλλ' οὐδὲ τριγώνου τρίγωνον. Τρίτον ἴδιον τῆς ποιότητος, τὸ ὅμοιον καὶ ἀνόμοιον λέγεσθαι· τοῦτο δὲ καὶ (67) κυρίως ἴδιον· κατ' ἄλλο γὰρ οὐδέν τι τῶν εἰρημένων (68) ὅμοιον λέγεται, ἀλλ' ἢ κατὰ τὴν ποιότητα.

A qualitate affecta, non sunt magis et minus. Si enim triangulum cum quadrangulo comparas, non dicitur magis et minus; hæc enim nullo prorsus pacto, quatenus sunt triangulum et quadrangulum, ad invicem comparari possunt; ejusdem enim ea quæ comparantur nominis participia sint oportet. Si vero comparas triangulum cum triangulo, vel quadrangulum cum quadrangulo, neque sic alterum altero magis vel minus dicetur. Comparantur quidem ista, sed quia pari modo tum in nomine tum in definitione eorum consortium habent tum quadrangula, tum rursus triangula, idcirco quadrangulum quadrangulo magis vel minus quadrangulum dici nequit, sed neque triangulum triangulo. Tertia proprietas qualitatis est, simile et dissimile dici. B Hæc vero proprie est proprietas; secundum enim aliud, quam qualitatem nihil prædictorum simile dicitur.

ζ'. Δεῖ δὲ εἰδέναι, ὅτι αἱ εἰδικώταται ποιότητες πᾶσαι ὑπὸ τὴν ποιότητα ἀνάγονται, ἥ τε γραμματικὴ, φημὶ (69), καὶ ἡ δικαιοσύνη καὶ αἱ λοιπαὶ ὡσαύτως· αἱ δὲ γενικώτεραι (70) καὶ ὑπὸ τὰ πρός τι· ἥ τε γὰρ ἐπιστήμη τῶν πρός τί ἐστι (πρὸς γὰρ ἐπιστητὸν (71) λέγεται ἐπιστήμη), καὶ ἡ ἕξις (πρὸς γὰρ ἕκτὸν λέγεται ἕξις [72]). Ταῦτα μὲν οὖν περὶ ποιότητος (73).

7. Scire autem oportet specialissimas qualitates omnes reduci ad qualitatem, grammaticam, justitiam, aliasque similiter; generaliores (universaliores) vero etiam ad relata; scientia enim est ex relatis ad aliquid (ad scibile enim dicitur scientia) sic et habitus (ad id quod habetur dicitur habitus). Atque hæc de qualitate dicta sint

ΕΡΩΤΗΣΙΣ ΡΜΑ'.

Περὶ τῶν πρός τι.

QUÆSTIO CXLI. [*Coisl.* CLXXVII.]

De relatis ad aliquid.

Nunc primum edita a D. Hergenroether.

α'. Πρός τί ἐστιν (74), οἷς τὸ εἶναι ταυτόν ἐστι τῷ (75) πρός τί πως ἔχειν· τουτέστιν ὧν ἡ ὕπαρξις ἐν τῇ πρὸς ἕτερον σχέσει ἐστίν· οἷον ὡς τὸ διπλάσιον καὶ (76) τὸ ἥμισυ· τὸ γὰρ διπλάσιον ἐν τῇ πρὸς τὸ ἥμισυ σχέσει τὸ εἶναι ἔχει (77), καὶ τὸ ἥμισυ ἐν τῇ πρὸς τὸ διπλάσιον (78)· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ὑποδέδηκε δὲ τοῖς πρός τί τινα (79), ὧν τὰ (80) μὲν κατὰ ταυτότητα λέγεται, τὰ δὲ κατ' ἀνισότητα, τὰ δὲ κατὰ γέννησιν (81), τὰ δὲ κατὰ μέθεξιν, τὰ δὲ κατὰ ὕφεσιν, τὰ δὲ κατά πάθος, τὰ δὲ κατὰ κρίσιν, τὰ δὲ κατὰ θέσιν, τὰ δὲ κατὰ τὴν πρός τὸ γένος ἀναφοράν· παραδείγματα (82) τοῦ μὲν κατὰ ταυτότητα, οἷον (83) φίλος φίλου φίλος, καὶ ἐχθρὸς ἐχθροῦ ἐχθρὸς, καὶ τὸ ὅμοιον ὁμοίῳ ὅμοιον· τοῦ δὲ κατ' ἀνισότητα ὡς τὸ μεῖζον ἐλάττονος μεῖζον καὶ τὸ διπλάσιον ἡμίσεως διπλάσιον· [ἢ κατ' ἰσότητα ὡς τὸ ἴσον τινί, ἴσον·] τοῦ δὲ κατὰ γέννησιν (84) ὡς πατὴρ υἱοῦ πατήρ· τοῦ δὲ κατὰ μέθεξιν,

1. Relatum ad aliquid est, cujus esse idem est ac certo quodam modo ad aliquid se habere, hoc est, cujus exsistentia in habitudine ad aliud consistit; veluti duplum et dimidium; nam duplum in habitudine ad dimidium exsistentiam habet et dimidium in habitudine ad duplum; sicque pariter et in cæteris. Reducuntur autem ad relata quædam, quorum alia secundum identitatem dicuntur, alia secundum inæqualitatem, alia secundum generationem, alia secundum participationem, alia secundum subjectionem, alia secundum passionem, alia secundum judicationem, alia secundum positionem, alia secundum generis relationem. Exempla eorum, quæ secundum identitatem dicuntur, amicus amici amicus et inimicus inimici inimicus, et simile simili simile; ejus quod est secundum inæqualitatem: majus minori majus et duplum dimidii duplum [ejus quod secundum æqualitatem, ut æquale ali-

NOTÆ.

(67) καί deest in Mon. qui a verbis illis. Τρίτον ἴδιον eadem habet.
(68) Mon. κατ' ἄλλο γάρ τι τῶν εἰρημένων οὐδέν.
(69) φημί omitt. Mon. γραμ. καὶ δικαιοσ.
(70) Mon. γενικαί· sequ. καί omitt.
(71) Mon. καὶ γὰρ ἐπιστητοῦ λ. ἡ ἐπ.
(72) Mon. ἡ ἕξις.
(73) Mon. T. μ. οὖν ἐν τούτοις.
(74) Mon. f. 29 a. ἐστι κατηγορία, οἷς Cf. Arist. c. 6.
(75) Mon. τό.
(76) Mon. ἢ τὸ ἥμ.
(77) Mon. σχ. ἔχει τὸ εἶναι, ὁμοίως κ.
(78) σχέσει add. Mon.
(79) τινά deest in Mon.; Vat. ὧν μὲν τὰ μὲν κ.
(80) Mon. hic et in sequ. τό.
(81) Mon. generalius vocabulum habet γένεσιν.
(82) Mon. παράδειγμα.
(83) Mon. ὡς.
(84) Hæc uncis inclusa solus habet Mon.

Digitized by Google

cui æquale]; ejus quod secundum generationem, ut pater filii pater; ejus quod secundum participationem : participans ejus quod participatur, est particeps; ejus quod secundum subjectionem, velut dominus servi dominus; ejus quod secundum passionem, veluti percutiens eum qui percutitur percutit, et percussus a percutiente percussus est; ejus quod secundum judicationem scientia scibilis dicitur scientia; ejus quod secundum positionem : dexterum sinistri dexterum; ejus vero quod secundum relationem ad genus, ut grammatica, musica aliæque id genus disciplinæ; quælibet enim earum secundum seipsam non revocatur ad ea, quæ sunt relata ad aliquid; secundum habitudinem vero ad genus fortasse ad ista revocanda sunt; genus enim

A ὡς τὸ μετέχον μετεχομένου μετέχει· τοῦ δὲ κατὰ ὕφεσιν, ὡς δεσπότης δούλου δεσπότης· τοῦ δὲ κατὰ πῆσιν (85) ἦγουν κατὰ πάθησιν, ὡς ὁ τύπτων τυπτόμενον τύπτει καὶ ὁ τυπτόμενος ὑπὸ τύπτοντος τύπτεται· τοῦ δὲ κατὰ κρίσιν ὡς ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη· τοῦ δὲ κατὰ θέσιν, ὡς τὸ δεξιὸν ἀριστεροῦ δεξιόν· τοῦ δὲ κατὰ τὴν πρὸς τὸ γένος ἀναφορὰν, ὡς ἡ γραμματικὴ καὶ ἡ μουσικὴ καὶ (86) αἱ ὅμοιαι· τούτων γὰρ ἑκάστη καθ' ἑαυτὴν μὲν οὐκ ἀνάγεται ὑπὸ τὰ πρός τι· κατὰ δὲ τὴν πρὸς τὸ γένος ἀναφορὰν ἀναχθείη ἴσως ἄν· γένος μὲν γὰρ τούτων ἡ ἐπιστήμη· αὕτη τε ὑπὸ τὰ πρός τι· ὥστε καὶ ταῦτα διὰ τὸ γένος ὑπὸ τὰ πρός τι. Ἀλλὰ περὶ μὲν τούτου τοῦ θεωρήματος ἐν ἄλλοις πλατύτερον.

his est scientia; hæc vero est sub relatis ad aliquid; quare propter genus et illæ ad relata revocantur. Verum de hoc theoremate fusius alibi.

2. Definitio a principio allata eorum quæ sunt relata ad aliquid, proprie naturæ relatorum convenit; quam vero nunc afferemus, ea quasi corollarium quoddam potius apparet. Est vero ejusmodi: Relata sunt, quæ ipsa quidquid sunt, aliorum esse dicuntur sive alio quocunque modo ad aliud referuntur. Dicebam vero, non esse ejusmodi definitionem declarativam naturæ eorum, quæ sunt relata, quia non quæcunque aliorum esse dicuntur, eadem quoque relata sunt; manus enim cujusdam dicitur manus et caput cujusdam caput, ac reliqua membra similiter. Scire vero oportet relatorum ad aliquid alia per genitivum efferri; veluti: dominus servi dominus; alia per dativum; veluti scibile scientiæ scibile, alia per accusativum, veluti percutiens eum qui percutitur percutit. Corollarium igitur, id, quod dictum est, idcirco ad verba illa *aliorum esse dicuntur* addidit *sive alio quocunque modo*, ut per verba *aliorum esse dicuntur* ea quæ per genitivum proferuntur declaret, per verba autem *sive alio quocunque modo* ea quæ efferuntur per accusativum et dativum.

B β'. Ἔστι δὲ ὁ ἐν ἀρχῇ (87) εἰρημένος τῶν πρός τι λόγος κυρίως (88) τῆς φύσεως τῶν πρός τι· ὃν δὲ νῦν ἐροῦμεν (89) ὡς παρακολούθημά τι μᾶλλον φαίνεται· ἔστι δὲ οὗτος· πρός τί ἐστιν, ὅσα αὐτὰ, ἅπερ ἐστὶν, ἑτέρων εἶναι λέγεται ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον (90)· ἔφην δὲ μὴ εἶναι δηλωτικὸν τῆς φύσεως τῶν πρός τι τὸν τοιοῦτον λόγον· ἐπειδὴ οὐχ ὅσα ἑτέρων εἶναι λέγεται (91), ταῦτα καὶ πρός τί ἐστιν· ἡ γὰρ χεὶρ, τινὸς μὲν λέγεται χεὶρ, καὶ ἡ κεφαλὴ, τινὸς λέγεται (92) κεφαλὴ, καὶ τὰ ἄλλα τῶν μερῶν ὁμοίως· ἀλλ' οὐκ εἰσὶ ταῦτα τῶν πρός τι· οὐσίαι γὰρ, οὐδεμία δὲ οὐσία τῶν πρός τι (93). Εἰδέναι μέντοι (94) χρὴ, ὅτι τῶν πρός τι τὰ μὲν κατὰ γενικὴν (95) ἐκφέρεται (96), οἷον ὡς ὁ δεσπότης δούλου δεσπότης, τὰ δὲ κατὰ δοτικὴν, ὡς τὸ ἐπιστητὸν τῇ ἐπιστήμῃ ἐπιστητὸν, τὰ δὲ κατὰ αἰτιατικὴν, ὡς ὁ τύπτων τυπτόμενον τύπτει· τὸ οὖν παρακολούθημα, ὅπερ εἴρηται, διὰ τοῦτο (97) μετὰ τοῦ *ἑτέρων εἶναι λέγεται* προσέθηκε (98) τὸ *ἢ ὁπωσοῦν ἄλλως* (99), ἵνα διὰ μὲν τοῦ *ἑτέρων εἶναι λέγεται* τὰ πρὸς γενικὴν δηλώσειε λεγόμενα, διὰ δὲ τοῦ *ἢ ὁπωσοῦν ἄλλως* τά τε πρὸς αἰτιατικὴν καὶ δοτικήν.

C Corollarium igitur, id, quod dictum est, idcirco ad verba illa *aliorum esse dicuntur* addidit *sive alio quocunque modo*, ut per verba *aliorum esse dicuntur* ea quæ per genitivum proferuntur declaret, per verba autem *sive alio quocunque modo* ea quæ efferuntur per accusativum et dativum.

3. Habent relata ad aliquid proprietates quatuor. Quarum prima est, esse in ipsis contrarietatem; scientiæ enim contrarium est, scil. ignorantia. Hæc vero proprietas nec omnibus nec solis convenit relatis; non omnibus quidem, quia duplo nihil est contrarium, non solis vero, quia etiam qualitati

γ'. Ἔχει δὲ τὰ πρός τι ἴδια τέσσαρα· πρῶτον (1) τὸ ὑπάρχειν ἐν αὐτοῖς ἐναντιότητα· καὶ γὰρ τῇ ἐπιστήμῃ ἐστὶν ἐναντίον (2) ἡ ἄγνοια· τοῦτο δὲ τὸ ἴδιον καὶ οὐ πᾶσι τοῖς πρός τι καὶ οὐ μόνοις ἁρμόζει· οὐ (3) πᾶσι μὲν, ἐπειδὴ τῷ διπλασίῳ οὐδέν ἐστιν D ἐναντίον, οὐ μόνοις δὲ, ἐπειδὴ καὶ (4) τῇ ποιότητί

NOTÆ.

(85) Sic Vat. et Catif.; Mon. τοῦ δὲ κατὰ πάθος.

(86) κ. αἱ ὅμ. et cætera usque ad fin. § desunt in Mon., ubi hæc duntaxat leguntur κ. ἡ μουσ. ἀνάγεται· καὶ γὰρ καὶ τούτων ἑκάστης ἐπιστήμη γένος· ταῦτα μὲν οὖν τὰ ὑπὸ τὰ πρός τι ὡς εἴδη τελοῦντα.

(87) Mon. ἐν ἀρχῇ. Ὁ μὲν οὖν εἰρημένος.

(88) Mon. add. ἐστί.

(89) ὃν δὲ λέξομεν Mon.

90) ἄλλ. πρὸς ἕτ. deest in Mon. Hæc definitio est ex Arist. c. 7 init.

(91) Mon. ἀλλ', ὡς εἴπομεν, ὅτι οὐκ ἔστι δηλωτικὸς ὁ λόγος οὗτος τῆς φύσεως τῶν πρός τι· ἡ γὰρ χεὶρ, τινὸς χεὶρ λέγεται.

(92) λέγεται deest in Mon..

(93) Cf. Arist. c. 7, § penult. (c. 5, p. 12, 13 ed. Paris.)

(94) Mon. δὲ χρή.

(95) Scil. πτώσιν Mon. τὸ γενικόν· sic et in seq. τὸ δοτ., τὸ αἰτ.

(96) Mon. προφέρεται· sequ. ὡς deest.

(97) In Mon. διὰ τοῦτο deest et sequitur. μετὰ τοῦ *αὐτὰ ἅπερ ἐστὶν, ἑτέρων*, κ. τ. λ.

(98) καί add. Mon.

(99) Mon. ἢ ὁπωσοῦν· ἀλλ' ὡς (ἄλλως) τά τε πρὸς αἰτιατικὸν καὶ πρὸς δοτικόν. Sequitur immediate § 3.

(1) πρῶτον omit. Mon.

(2) οἷον add. Mon.

(3) καὶ οὐ π. Mon.

(4) καί deest in Mon.

Digitized by Google

ἐστιν ἐναντίον· δεύτερον (5) δὲ ἴδιον τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· καθ' ὃν δὲ (6) τρόπον τὸ πρὸ αὐτοῦ ἴδιον, κατὰ τὸν τρόπον τοῦτον καὶ τοῦτο τοῖς πρός τι ἁρμόζει· τρίτον ἴδιον τῶν πρός τι (7) τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι· οἷον ὁ δοῦλος δεσπότου δοῦλος λέγεται καὶ ὁ δεσπότης δούλου δεσπότης λέγεται· καὶ τὸ διπλάσιον ἡμίσεος διπλάσιον καὶ τὸ ἡμισυ διπλασίου ἥμισυ, καὶ τὸ μεῖζον ἐλάττονος μεῖζον, καὶ τὸ ἔλαττον μείζονος ἔλαττον, καὶ (8) ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν, καὶ ἡ αἴσθησις αἰσθητοῦ αἴσθησις, καὶ τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· τοῦτο δὲ τὸ ἴδιον καὶ πᾶσι τοῖς πρός τι καὶ μόνοις ὑπάρχει (9). Τέταρτον δὲ (10) τὸ ἅμα τῇ φύσει εἶναι· ἅμα γὰρ διπλάσιόν τέ ἐστι καὶ ἡμισυ, καὶ ἡμίσεος ὄντος διπλάσιόν ἐστι καὶ δούλου ὄντος δεσπότης ἐστὶ, καὶ δεσπότου ὄντος δοῦλός ἐστι (11)· ὁμοίως δὲ τούτοις καὶ τὰ ἄλλα· καὶ συναναιρεῖ δὲ ταῦτα ἄλληλα (12)· μὴ γὰρ ὄντος διπλασίου οὐκ ἔστιν ἥμισυ καὶ ἡμίσεος μὴ ὄντος οὐκ ἔστι διπλάσιον· ὁμοίως δὲ (13) καὶ ἐπὶ τῶν ἄλλων· τοῦτο δὲ τὸ ἴδιον καὶ πᾶσι τοῖς πρός τι (14) καὶ μόνοις ὑπάρχει· οὐ γὰρ μάχεται (15) πρὸς τοῦτο τὸ αἰσθητὸν καὶ ἡ αἴσθησις· εἰ γὰρ καὶ πῦρ καὶ ὕδωρ καὶ τὰ ἄλλα στοιχεῖα προϋφέστηκε τῶν ζώων, ἐν οἷς ἐστιν ὅλως ἡ αἴσθησις (καὶ γὰρ ἐκ τῶν στοιχείων σύγκειται τῶν ζώων ἕκαστον), ἀλλ' οὖν οὐχ ὡς αἰσθητὰ προϋπῆρχε ταῦτα, ἀλλ' ὡς σώματα ἢ οὐσίαι· ἐπεὶ αἰσθήσεως μὴ οὔσης διὰ τὸ μηδὲ ζῶων ὑφεστάναι πω, οὐδὲ τὰ στοιχεῖα ὑπὸ αἴσθησιν ἔπιπτέ τινος· μὴ ὑποπίπτοντα δὲ τῇ αἰσθήσει οὐδ' αἰσθητά πω ἐτύγχανεν ἄν· γέγονε δὲ αἰσθητά, ὅταν αὐτῶν ἡ αἴσθησις ἀντελάβετο· καὶ τὰ ἄστρα δὲ εἴ τις προϋφίστησι τῆς ἀνθρώπων γενέσεως καὶ λέγοι αὐτὰ εἶναι ἐπιστητά, μήπω οὔσης ἐπιστήμης, διὰ τῆς εἰρημένης ἐπιλύσεως τῆς ἀπορίας ἐκστήσεται· ὑφίστατο μὲν γὰρ καὶ τὰ ἄστρα, ἀλλ' οὐχ ὡς ἐπιστητά· ἐπιστήμης γὰρ μήπω περὶ ταῦτα ἐνθεωρουμένης, πῶς ἂν εἴη ἐπιστητά; ἀλλὰ δῆλον, ὡς τότε γέγονεν ἐπιστητὰ, ὅτε καὶ τῇ ἐπιστήμῃ ὑπεβλήθησαν· καὶ μέντοι γε [οἱ] ἐξ ἀϊδίου συνυφεστῶτά πω[ς] οὐρανίῳ σώματι καὶ τὸν ἄνθρωπον [διοριζόμενοι], δῆλον ὡς οὐδὲ

A est contrarium. Altera proprietas est, recipere relata magis et minus. Quemadmodum vero proprietas prima, eumdem in modum et hæc relatis convenit (sc. nec omnibus nec solis relatis). Tertia proprietas est, convertibiliter affirmari (conversim dici), ut servus domini servus dicitur, et dominus servi dominus, et duplum dimidii duplum, et dimidium dupli dimidium, et majus minore majus, et scientia scibilis scientia, et scibile scientia (scientiæ) scibile, et sensatio sensibilis sensatio, et sensibile sensatione sensibile; similiter etiam in cæteris. Hæc vero proprietas et omnibus et solis convenit relatis. Quarta proprietas est, simul natura esse. Simul enim duplum est et dimidium, et dimidium dum est, duplum est, et dum servus est, B etiam dominus est, et dominus dum est, etiam servus est. Similiter vero his etiam cætera se habent. Et tollunt hæc quoque se mutuo, si enim non est duplum, neque est dimidium, et si non est dimidium, neque est duplum; similiter vero etiam in cæteris. Hæc proprietas et omnibus relatis ad aliquid convenit et solis. Neque enim cum his pugnant sensibile et sensatio; etiam si enim ignis et aqua atque cætera elementa ante animalia exstiterunt, in quibus sensus est (ex elementis enim unumquodque animal est compositum), attamen non ut sensibilia ista præexstitere, verum ut corpora vel substantiæ, quia quando non erat sensatio, propterea quia nondum exsistebat ullum animal, neque elementa sensui alicujus subjiciebantur; C non subjecta vero sensui profecto nullo modo sensibilia fuerint. Facta autem sunt sensibilia, quando eorum sensatio suscepta atque exorsa est. Si vero quis astra ante hominum ortum exstitisse astruat eaque scibilia dicat nondum exsistente scientia, per prædictam solutionem difficultatem enodabit. Exstiterunt enim et astra, sed nondum ut scibilia: cum enim nondum scientia circa ipsa conspiciatur, quomodo scibilia fuerint? Verum manifeste tunc evaserunt scibilia, quando et scientiæ subjecta fuerunt. Qui tamen statuunt ab æterno cœ- D lesti corpori etiam hominem coexstitisse, hos evi-

NOTÆ.

(5) Ante ista in Mon.: Οὐ πᾶσι γὰρ οὐδὲ μόνοις τῶν πρός τι ὑπάρχει τὸ μᾶλλον.

(6) Deest in Mon. δέ, sicut et verba τοῖς π. τ. ἁρμόζει.

(7) τῶν πρός τι omitt. Mon. Cf. Arist. c. 7, § 8.

(8) καὶ ἡ ἐπιστ. — αἰσθητόν. Desunt in Mon.

(9) Mon. ἴδ. πᾶσιν ὑπάρχει τοῖς πρός τι καὶ μόνοις.

(10) Mon. τέτ. ἴδιον τῶν πρός τι.

(11) καὶ δεσπότου — δ. ἐ. omittit. Mon.

(12) Verbotenus hæc sunt ex Aristotele (s. 16, p. 11, ed. Paris.) eadem sunt in Monac. et Vat.

(13) δέ deest in Mon.

(14) Mon. ὑπάρχει κ. μόνοις.

(15) Similem objectionem etiam Aristot. habet aliis verbis. In Mon. ita legitur: Εἰ γάρ τις ἀμφιβάλλοι, λέγων ὅτι οὐ πᾶσι τοῖς πρός τι ὑπάρχει, παρατιθεὶς ἡμῖν τὴν αἴσθησιν καὶ τὸ αἰσθητὸν, καὶ λέγων, ὅτι τοῦ αἰσθητοῦ ὄντος οὐκ ἀνάγκη αἴσθησιν εἶναι· πρὸ τοῦ γὰρ γενέσθαι τὰ ζῶα τὰ ἔχοντα αἴσθησιν, ἦν καὶ πῦρ καὶ ὕδωρ καὶ τὰ ἄλλα στοιχεῖα, ἐξ ὧν καὶ τὰ ζῶα σύγκειται· ἀκουέτω δὴ ὁ τοιοῦτος, ὅτι τὸ πῦρ καὶ τὰ ἄλλα πρὸ αἰσθήσεως ἦσαν, εἴπερ καὶ πρὸ τῶν ἐχόντων τὴν αἴσθησιν, ἀλλ' οὐχὶ ὡς αἰσθητά, ἀλλ' ὡς σώματα· ἅμα δὲ τῷ γενέσθαι αὐτὰ αἰσθητά, συνυφέστηκε καὶ ἡ αἴσθησις· ὁμοίως καὶ ἐπὶ τῆς ἐπιστήμης· λέγουσι γάρ, ὅτι πρὸ τοῦ γενέσθαι τινὰ ἀστρονόμον ἔχοντα τὴν ἐπιστήμην, ἦσαν καὶ τὰ ἄστρα ἐπιστητά· ἀλλὰ πρὸς τούτους φαμὲν, ὅτι ἦσαν μὲν τὰ ἄστρα, ἀλλ' οὐχὶ ἐπιστητά· ἡνίκα δὲ τούτων ἐπιστήμη γέγονε, τότε καὶ ταῦτα ἐπιστητὰ γέγονεν· ὥστε ἴδιον πᾶσι τοῖς πρός τι τὸ ἅμα τῇ φύσει λέγεσθαι. Καὶ ταῦτα μὲν περὶ τῶν πρός τι.

Digitized by Google

dens est minime concessuros, tempore omnino vel elementa animalibus vel astra scientiæ præexstitisse, sed solum ratione atque intellectu simplicia compositis præponi arbitraturos. Quamobrem omnibus relatis ad aliquid convenit, simul cum natura exsistere. Sed jam satis dictum est de relatis.

A χρόνῳ ὅλως προῦφεστάναι ἢ τὰ στοιχεῖα τῶν ζώων ἢ τὰ ἄστρα τῆς ἐπιστήμης συγχωρήσουσι· λόγῳ δὲ μόνῳ καὶ θεωρίᾳ τὰ ἁπλᾶ τῶν συνθέτων προτιθέναι δικαιώσουσιν· ὥστε πᾶσι τοῖς πρός τι ὑπάρχει τὸ ἅμα τῇ φύσει ὑπάρχειν. Ἀλλ' ἀρκούντως εἴρηται καὶ περὶ τῶν πρός τι.

QUÆSTIO CXLII.

De sex reliquis categoriis.

ΕΡΩΤΗΣΙΣ ΡΜΒ'.

Περὶ τῶν· ὑπολοίπων ἓξ κατηγοριῶν.

Nunc primum edita a D. Hergenroether.

Aristoteles, utpote non docens fortasse, sed doctrinam indicans vel ostentans (siquidem verum est, quod de libris suis dixerit : *Editi sunt et non editi*), tum de aliis, tum de sex (reliquis) categoriis multo adhuc arctius disseruit. Nos vero, qui quatuor prædicamenta fusius et uti rei consentaneum erat pertractavimus et discipulis exposuimus, eumdem explicationis modum etiam quoad sex reliqua servandum vobis esse censuimus. Idcirco dicimus, ante omnia illud scitu necessarium esse, quamlibet categoriarum, de quibus nunc sermo, simplicem quodammodo esse. Quamvis enim ex duobus quibuspiam combinatis efficiatur quælibet harum sex categoriarum, attamen patet non ipsa combinata ista nos dicere categoriam, ita ut illas inde et compositio consequatur; neque enim ut partes illius hæc combinata accipiuntur, neque ut materia quædam subjecta, neque ut quædam compositi elementa; verum quemadmodum amicitia duorum hominum certorum conjunctio est, neutrum vero amicorum est, neque ex his quomodolibet conflata et composita, omnino vero simplex est; et quemadmodum dominatio ex combinatis quibusdam efficitur et manifestatur, omnino vero est simplex: eumdem quoque in modum quælibet sex categoriarum duobus quidem convenientibus prodit, neutrum vero convenientium est, neque ullo prorsus modo ex iisdem componitur. Sic ego et reliquæ hæ præter quatuor illas categorias simplices sunt, quemadmodum et illæ. Atque simplicitas ista omnibus categoriis communis est; quod vero ex duobus quibusdam coeuntibus efficiuntur et prodeunt, id maxime sex istis proprium. Cum igitur dixerimus de iis quæ communiter insunt istis sex, etiam de singulis earum seorsim disquisitionem instituere volumus; ac primo quidem de actione, cujus descriptionem, species ac proprietates delineabimus; similiter vero etiam de cæteris.

Ὁ μὲν Ἀριστοτέλης (16), ἅτε μὴ διδάσκων ἴσως, τὴν δὲ διδασκαλίαν ἐνδεικνύμενος, εἴπερ μὴ κατέψευσται αὐτοῦ (17) τὸ *ἐκδέδοται καὶ οὐκ ἐκδέδοται*, B περί τε τῶν ἄλλων καὶ περὶ τῶν ἓξ κατηγοριῶν ἔτι μᾶλλον συντομώτερον περιείληφεν· ἡμεῖς δὲ τάς τε τῶν κατηγοριῶν τέσσαρας ἐν πλάτει τε συμμέτρῳ καὶ τῇ διδασκάλῳ διεξελθόντες σαφηνείᾳ καὶ περὶ τῶν ὑπολοίπων ἓξ τὸν αὐτὸν ὑμῖν διασῶσαι τῆς διδασκαλίας ἐδικαιώσαμεν τύπον. Διό φαμεν, ὡς πρό γε πάντων ἐκεῖνο εἰδέναι χρὴ, ὅτι ἑκάστη τῶν κατηγοριῶν, περὶ ὧν ὁ λόγος, ἁπλῆ τίς ἐστιν· εἰ γὰρ καὶ δύο τινῶν συνδυαζομένων ἀποτελεῖται ἑκάστη τῶν ἓξ κατηγοριῶν, ἀλλ' οὖν δῆλον, ὅτι οὐκ αὐτὰ τὰ συνδυαζόμενά φαμεν εἶναι κατηγορίαν, ἵνα καὶ τὸ σύνθετον αὐταῖς ἐπακολουθήσῃ· οὔτε γὰρ ὡς μέρη αὐτῆς ἐκεῖνα παραλαμβάνεται, οὔτε ὡς ὕλη τις ὑποκειμένη, ἀλλ' οὐδ' ὥς τινα συνθέτου στοιχεῖα, ἀλλ' ὥσπερ ἡ φιλία δύο μέν τινών ἐστιν ἕνωσις, οὐδέτερον (18) δὲ τῶν φιλούντων ἐστὶν, οὐδ' ἐκ τούτων C ὁπωσοῦν συγκειμένη, πάντη δέ ἐστιν ἁπλῆ, καὶ ὥσπερ ἡ δεσποτεία συνδυαζομένων μέν τινων ἀποτελεῖται καὶ ἀναφαίνεται, πάντη δέ ἐστιν ἁπλῆ, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἑκάστη τῶν ἓξ κατηγοριῶν δύο μέν τινων συνιόντων ἀναφαίνεται, οὐδέτερον δὲ τῶν συνιόντων ἐστὶν, οὐδ' ὁπωσοῦν ἐξ αὐτῶν σύγκειται· ταύτῃ (19) ἄρα καὶ ἕτεραι ἔνεισι παρὰ τὰς τέσσαρας αὗται, ἁπλαῖ δὲ ὥσπερ κἀκεῖναι· καὶ τὸ μὲν ἁπλᾶς εἶναι κοινὸν ἁπάσαις, τὸ δὲ δύο τινῶν συνεληλυθότων ἀπογεννᾶσθαι καὶ ἀναφαίνεσθαι μάλιστα ἴδιον τῶν ἓξ. Εἰπόντες οὖν τὰ κοινῶς ἐνυπάρχοντα ταῖς ἓξ, καὶ περὶ μιᾶς ἑκάστης αὐτῶν ἰδίᾳ θεωρήσαιμεν· καὶ πρότερόν γε περὶ τοῦ (20) ποιεῖν, τήν τε ὑπογραφὴν αὐτοῦ ὑποτυποῦντες καὶ τὰ εἴδη καὶ τὰ ἴδια· παρα- D πλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

QUÆSTIO CXLIII [CLXXVIII.]

De actione.

ΕΡΩΤΗΣΙΣ ΡΜΓ'.

Περὶ τοῦ ποιεῖν.

Nunc primum edita a D. Hergenroether

1. Agere est quomodo libet operari. Habet autem primas species duas: in aliud operari, et non in aliud operari; exemplum operationis in aliud:

α'. Ποιεῖν τοίνυν ἐστιν τὸ ὁπωσοῦν ἐνεργεῖν (21). Ἔχει δὲ πρῶτα εἴδη δύο· τό τε εἰς ἄλλο ἐνεργεῖν, καὶ τὸ μὴ εἰς ἄλλο· παράδειγμα τοῦ μὲν εἰς ἄλλο ἐνεργεῖν

NOTÆ.

(16) Pauca admodum de sex reliquis prædicamentis habet Aristoteles c. 9. In Mon. cod., quæ hic occurrunt, haud leguntur.

(17) Sic Catif.; Vat. αὐτοῦ.

(18) Vat. οὐδετέρου Catif. οὐδ' ἕτερον Vide sequ.

(19) Ista ταύτῃ — κἀκεῖναι desunt ap. lat. Cf.

(20) Col. τούτου.

(21) In Coislin. videtur addi. τὸ τύπτειν, καίειν et alia quædam, ut ex Montefalconio patet.

Digitized by Google

τὸ τύπτειν, καίειν, διδάσκειν καὶ τὰ παραπλήσια· τοῦ δὲ ἐνεργεῖν μὲν μὴ εἰς ἄλλο δέ τι ὡς τὸ θεωρεῖν, κιθαρίζειν καὶ τὰ ὅμοια· ἑκάτερον δὲ τούτων ἔχει διαφορὰς τέσσαρας· ἢ γὰρ φύσει ποιεῖ, ὡς τὸ πῦρ θερμαίνειν λέγεται καὶ τὸ ζῶον φωνεῖν· ἢ προαιρέσει, ὡς τὸ πλουτίζειν, ἐπαινεῖν καὶ δοξάζειν· ἢ τέχνῃ, ὡς τὸ οἰκοδομεῖν οἰκίαν καὶ τὰ ὅμοια· ἢ τύχῃ, ὡς τὸ λίθον πεσόντα πλῆξαί τινα ἢ πατάξαι ἢ ἀφεῖναι ἠχώ. Ἔτι τοῦ ποιεῖν τοῦ μὲν ὑπολείπεται ποίημα μετὰ τὴν ποίησιν, οἷον, ὡς μετὰ τὸ οἰκοδομεῖν ἡ οἰκία, τοῦ δὲ οὐδέν· μετὰ γὰρ τὸ κιθαρίζειν οὐδὲν ποίημα ἀπὸ τοῦ κιθαρίζειν ὑπολείπεται. Ἔτι τὸ ποιεῖν, ἢ ἐν σώματι ἢ ἐν ψυχῇ, ἢ ἐν τῷ συναμφοτέρῳ ἢ περὶ τὰ ἐκτός· ἐν ψυχῇ μέν, ὡς τὸ διδάσκειν ἢ ἐθίζειν ἀρετήν τινα ἢ κακίαν· ἐν σώματι δέ, ὡς τὸ καίειν, τέμνειν· ἐν τῷ συναμφοτέρῳ δέ, ὡς τὸ ὑγιάζειν· τοῦ συνάμφω γὰρ τοῦτο καὶ οὔτε τῆς ψυχῆς οὔτε ἰδίᾳ τοῦ σώματος· περὶ δὲ τὰ ἐκτός, ὡς τὸ πλουτίζειν καὶ τὰ ὅμοια. Ἔτι τὸ ποιεῖν ἢ τελειωτικόν ἐστιν ἢ φθαρτικόν· τελειωτικὸν μέν, ὡς τὸ ὑγιάζειν· φθαρτικὸν δέ, ὡς τὸ νοσερὸν παρασκευάζειν τὸ σῶμα. Ἔτι τὸ ποιεῖν ἢ τοιοῦτον ἀποτελεῖ, οἱόνπερ ἐστὶν ἐκεῖνο, ὡς τὸ θερμαῖνον θερμὸν ἢ οὐ τοιοῦτον, ὥσπερ τὸ τέμνον τομήν· εἰ δὲ τοῦτο, σύστοιχον δέ ἐστι τῷ ποιοῦντι τὸ ποιεῖν, καὶ τὸ ποιεῖν ἄρα τοιαύτην ἕξει διαφοράν.

percutere, adurere, docere, et similia; operationis vero, quæ non fit in aliud, contemplari, cithara canere, et alia hujusmodi. Utrumque vero horum habet differentias quatuor; vel enim natura agit, ut ignis calefacere dicitur et animal sonum emittere, vel arbitrio, ut divitem facere, laudare et celebrare; vel arte, ut domum ædificare, et similia; vel casu seu fortuito, ut lapidem cadentem verberare quemdam vel plaudere manibus vel echo emittere. Præterea aliud est agere, quod relinquit post actionem effectum, veluti post ædificationem domus superest, aliud quod nullum effectum post se relinquit; postquam enim cithara cecinimus, nullus effectus hujus operationis relinquitur. Adhuc agere vel est in corpore vel in anima vel in utriusque consortio vel circa ea quæ sunt ad extra: in anima, velut docere vel instituere aliquem virtute vel vitio; in corpore, ut comburere, secare; in utriusque consortio, ut sanare (hoc enim ad utrumque spectat, neque seorsim animæ est, neque corporis); circa ea quæ ad extra, ut divitem facere et similia. Rursum agere vel perfectivum est vel corruptivum, perfectivum, veluti sanare; corruptivum, veluti ægrotum reddere corpus. Denique agere vel talem effectum efficit, quale illud ipsum est, ut calefaciens facit calidum, vel non talem, sicut secans sectionem; si vero ita est, respondens vero est actio agenti, ergo agere quoque eamdem differentiam habebit.

β'. Ἐπιδέχεται δὲ τὸ ποιεῖν τὸ μᾶλλον καὶ τὸ ἧττον· θερμαίνειν γὰρ ἔστι μᾶλλον καὶ ἧττον· καὶ ψύχειν ὡσαύτως· οὐκ ἐπὶ πᾶσι δὲ τοῦτο συμβαίνει· οὐκ ἔστι γὰρ οἰκοδομεῖν μᾶλλον καὶ ἧττον, βέλτιον μέντοι ἢ χεῖρον ἔστιν οἰκοδομεῖν. Δεύτερον δὲ ἴδιον τοῦ ποιεῖν τὸ ἔχειν ἐναντιότητα· καὶ γὰρ τὸ θερμαίνειν ἐναντίον ἐστὶ τῷ ψύχειν, καὶ τὸ λυπεῖν τῷ ἡδύνειν· οὐκ ἐπὶ πολλῶν δὲ τοῦτο συμβαῖνον ἴδοι τις ἄν· τῷ γὰρ τέμνειν ἢ καίειν ἢ τοῖς τοιούτοις οὐδέν ἐστιν ἐναντίον. Τρίτον ἴδιον τὸ ὁμοίως λέγεσθαι καὶ ἀνομοίως· ὁμοίως γὰρ θερμαίνειν λέγομεν καὶ ἀνομοίως, καὶ ὑγιάζειν ὁμοίως καὶ ἀνομοίως, καὶ οἰκοδομεῖν ὁμοίως καὶ ἀνομοίως· καὶ σχεδὸν παντὶ τῷ ποιεῖν ἐφαρμόζει τοῦτο τὸ ἴδιον· εἰ καὶ μὴ μόνῳ· ἁρμόζει γὰρ καὶ τῷ πάσχειν. Τέταρτον ἴδιον τὸ μὴ καθ' ἕνα τρόπον ἀνάγεσθαι τὰ ὑπ' αὐτὴν ἀναγόμενα· τὸ μὲν γὰρ θερμαίνειν πρώτως ἀνάγεται ὑπὸ τὸ ποιεῖν καὶ ἔστι δὴ κυρίως ποιεῖν· τὸ δὲ θερμαῖνον ἀνάγεσθαι λέγεται ὑπὸ τὸ ποιεῖν, ὅτι πρώτως ὑπὸ τὸ ποιοῦν ἀνάγεται, ὅπερ ἐστὶ σύστοιχον τοῦ ποιεῖν· ὡσαύτως δὲ καὶ τὸ θερμῆναν (22) ἀνάγεσθαι λέγεται ὑπὸ τὸ ποιεῖν, ὅτι ὑπὸ τὸ ποιῆσαν πρώτως ἀνάγεται, ὃ καὶ αὐτὸ σύστοιχόν ἐστι τοῦ ποιεῖν· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· καὶ ἔχεις ἐντεῦθεν ἐν ποριῖσματος μοίρᾳ, ὅτι οὐ κατηγοροῦνται πάντως αἱ κατηγορίαι ὡς τὰ γένη καὶ τὰ εἴδη· ἐπεὶ πῶς ἂν οἷόν τε ἦ λέγειν τὸ θερμαῖνον καὶ τὸ θερμῆναν ὑπὸ τὸ ποιεῖν ἀνάγεσθαι; ὅτι δὲ ὑπὸ ταύτην ἀνάγονται τὴν κατηγορίαν τὰ εἰρημένα, δῆλον προχειριζομένῳ τὰς ἄλλας κατηγορίας· τὸ γὰρ θερμαῖνον οὔτε

2. Admittit autem agere magis et minus; calefacere enim aliquid potest magis vel minus, et similiter refrigerare. Non vero in omnibus hoc evenit; nam haud potest quis ædificare domum magis et minus, melius tamen et pejus ædificare potest. Altera proprietas actionis est, quod habet contrarietatem; nam calefacere et frigefacere contraria sunt, ac pariter contristari et exhilarare. Non in multis vero id evenire quis cernet; nam secare vel urere vel similia nihil habent contrarium. Tertia proprietas actionis est, quod simili et dissimili modo dicitur; similiter enim calefacere dicimus et dissimiliter, et sanum reddere similiter et dissimiliter, et domum ædificare similiter et dissimiliter; et fere omni actioni hæc proprietas convenit, etsi non soli; nam convenit quoque passioni. Quarta proprietas est, quod non secundum unum modum ad actionem referuntur ea quæ ad illam reducuntur. Calefacere enim primario sub actionem reducitur et est proprie agere; calefaciens vero ad actionem reduci dicitur, quia primo ad agens refertur, quod actioni est respondens (quod pariter in eodem est genere atque actio): sic pariter id quod calefecit referri dicitur ad agere, quia primario ad id *quod egit* refertur, quod et ipsum respondens est ad agere; et sic pariter in cæteris. Exinde habes instar corollarii, quod haud prædicantur omnino categoriæ ut genera et species; quandoquidem quomodo tunc dici posset, id quod calefacit vel calefecit ad agere referri? quod vero ad hanc categoriam referuntur præ-

NOTÆ.

(22) Vat. θερμᾶναν. Ap. θερμῆναν.

Digitized by Google

dicta, ei qui reliquas categorias perscrutatus est, manifestum ; nam id quod calefacit neque substantia est, ut per se patet, neque quantum, neque relatum ad aliquid (neque enim in habitudine ad aliud exsistentiam habet), sed neque quale (calidum namque quale quoddam est, calefaciens vero non eo quod quale quid est, verum eo quod facit aliquid, dicitur calefaciens) ; quod vero neque ad situm neque ad ullam reliquarum categoriarum id quod calefacit vel calefecit eaque quæ his respondent, reducantur, supervacaneum fuerit prosequi et perpendere. Neque vero quis dicet, ista neutiquam ad categoriam reduci; neque etiam, id quod agit et egit proprie esse categoriam ; qui enim ita statueret, in infinitum augeret categorias, nec ullum scientiæ terminum agnoseeret. Merito igitur hæc proprietas assignata fuit et corollarium inde emergens, quod multi vetustiorum, ne dicam omnes, nescierunt, philosophice et vere ac recte consideratum est ; vobis autem hæc doctrina per commercium in nostris colloquiis et usum rationalis disciplinæ evidentius et accuratius est tradita. Non vero unum agere hanc habet proprietatem, sed eamdem habet et pati et situm esse. Quinta proprietas est, quod agere non subsistit absque motione ; neque enim sine motu est calefacere, urere, refrigerare vel docere vel similia. Sexta proprietas est, quæ per se proprietas est ac principalis, quæque convertitur (nulli enim alteri congruit præter agere); videlicet quod agere perficitur ex actione et ab eo unde est actio. Hæc dicta sunto de actione.

A οὐσία ἐστὶν, ὡς αὐτόθεν δῆλον, οὔτε ποσὸν, οὔτε πρός τι (οὐ γὰρ ἐν τῇ πρὸς ἕτερον σχέσει ἔχει τὸ εἶναι), ἀλλ' οὐδὲ ποιὸν (τὸ μὲν γὰρ θερμὸν ποιόν τί ἐστι, τὸ δὲ θερμαῖνον οὐ τῷ ποιόν τι εἶναι λέγεται θερμαῖνον, ἀλλὰ τῷ ποιεῖν τι) · ὅτι δὲ οὐδὲ ὑπὸ τὸ κεῖσθαι οὐδὲ ὑπὸ τῶν ὑπολοίπων τινὰ δυνατὸν τὸ θερμαῖνον ἢ τὸ θερμῆναν, ἢ τὰ τούτοις σύστοιχα ἀνάγεσθαι, μὴ μάταιον εἴη διεξιέναι · ἀλλὰ μὴν οὐδ' ὅτι οὐκ ἀνάγονται ταῦτα ὑπὸ κατηγορίαν, ἐρεῖ τις · ἔτι δὲ οὐδ' ὅτι τὸ ποιοῦν ἰδίως ἐστὶ κατηγορία καὶ τὸ ποιῆσαν · εἰς ἄπειρον γὰρ ἂν ὁ τοιοῦτος εἴη τὰς κατηγορίας αὔξων καὶ πέρας οὐκ εἰδὼς ἐπιστήμης. Εὐλόγως ἄρα τὸ ἴδιον ἀποδίδοται, καὶ τὸ ἀνακύψαν πόρισμα πολλοῖς ἠγνοημένον τῶν ἔμπροσθεν, ἵνα μὴ λέγω πᾶσι, φιλοσόφως τε καὶ εἰς ἀλήθειαν τεθεώρηται · ὑμῖν δὲ τὸ θεώρημα καὶ διὰ τῆς ἐκλόγων συνουσίας τρανότερόν τε καὶ ἀκριβέστερον παραδέδοται. Οὐ μόνῳ δὲ ὑπάρχει τῷ ποιεῖν τοῦτο τὸ ἴδιον, ἀλλὰ καὶ τῷ πάσχειν καὶ τῷ κεῖσθαι. Πέμπτον ἴδιον τοῦ ποιεῖν τὸ ἄνευ κινήσεως μὴ ὑφίστασθαι · οὐκ ἔστι γὰρ ἄνευ κινήσεως τὸ θερμαίνειν ἢ καίειν ἢ ψύχειν ἢ διδάσκειν ἢ τὰ ὅμοια. Ἕκτον ἴδιον, ὃ καὶ κυρίως ἴδιόν ἐστι, ὃ καὶ ἀντιστρέφει (οὐδενὶ γὰρ τῶν ἄλλων ἐφαρμόζει, ἀλλ' ἢ τῷ ποιεῖν) · λέγω δὴ τὸ ἀποτελεῖσθαι αὐτὸ ἔκ τε τῆς ποιήσεως (23) καὶ ἀφ' οὗ ἡ ποίησις. Καὶ περὶ μὲν τοῦ ποιεῖν τοσαῦτα.

B

QUÆSTIO CXLIV [*Coisl.* CLXLX].

De passione.

C

ΕΡΩΤΗΣΙΣ ΡΜΔ'.

Περὶ τοῦ πάσχειν.

Nunc primum edita a D. Hergenroether.

Pati vero, quoniam non est aliud præter agere quoad subjectum, licet esse ipsis diversum sit, omnes fere prædictas species et proprietates sibi vindicabit. Quod vero quoad subjectum idem sunt agere et pati, licet esse ipsis sit diversum, manifestum est. Cum enim una sit motio, quoad agentem dicitur actio, quoad patientem vero passio. Est vero proprium ipsius, quod a passione et ab eo in quo est passio perficitur. Hoc maxime proprium est ipsius; quare etiam convertitur.

Τὸ δὲ πάσχειν, ἐπεὶ οὐκ ἔστιν ἕτερον παρὰ τὸ ποιεῖν τῷ ὑποκειμένῳ, κἂν τὸ εἶναι αὐτοῖς διάφορον, σχεδόν τι τὰ προειρημένα εἴδη τε καὶ ἴδια οἰκειώσεται · ὅτι δὲ ταυτό ἐστι τῷ ὑποκειμένῳ τὸ ποιεῖν καὶ τὸ πάσχειν, κἂν τὸ εἶναι διάφορον (24), δῆλον · μία γὰρ οὖσα ἡ κίνησις μετὰ μὲν τοῦ ποιοῦντος λέγεται ποιεῖν, μετὰ δὲ τοῦ πάσχοντος λέγεται πάσχειν. Ἔστι δὲ ἴδιον αὐτοῦ τὸ ἀποτελεῖσθαι ἀπό τε τῆς παθήσεως καὶ ἐν ᾧ ἡ πάθησις · μάλιστα δέ ἐστι τοῦτο ἴδιον αὐτοῦ · διὸ καὶ ἀντιστρέφει (25).

QUÆSTIO CXLV [*Coisl.* CXLXX].

De loco (ubi).

ΕΡΩΤΗΣΙΣ ΡΜΕ'.

Περὶ τοῦ ποῦ.

Nunc primum edita a D. Hergenroether.

1. *Ubi* est in loco esse. Dividitur vero primario

D α'. *Ποῦ* τοίνυν ἐστὶ τὸ ἐν τόπῳ εἶναι. Διαιρεῖται

NOTÆ.

(23) Vat. sic ; Cat. κινήσεως.

(24) διάφορα. Cat.

(25) In Mon. agi et pati ita in una quæstione comprehenduntur. fol. 43 b : Φωτίου περὶ τοῦ ποιεῖν καὶ πάσχειν. Διττόν ἐστι τὸ ποιεῖν καὶ τὸ πάσχειν · ἢ γὰρ ἐν σώματι, ἢ ἐν ψυχῇ · οἷον ἐν μὲν σώματι τὸ τέμνειν, τὸ καίειν · ἐν ψυχῇ τὸ λυπεῖν, τὸ χαροποιεῖν · ὁμοίως δὲ καὶ τὸ πάσχειν, τὸ μὲν ἐν ψυχῇ, τὸ δὲ ἐν σώματι, ὡς τὸ λυπεῖσθαι καὶ τέμνεσθαι · ἔστι δὲ τὸ ποιεῖν ἢ τελειωτικὸν ἢ φθαρτικόν · τελειωτικὸν μὲν ὡς τὸ διδάσκειν, τὸ θεοσεβεῖν · φθαρτικὸν, ὡς τὸ δυσσεβεῖν · ὁμοίως καὶ τὸ πάσχειν ἢ τελειωτικόν ἐστιν ἢ φθαρτικόν · τελειωτικὸν ὡς τὸ μανθάνειν τι, φθαρτικὸν δὲ ὡς τὸ τέμνεσθαι ἢ καίεσθαι. Ἔχει δὲ ἴδια δύο · ἓν μὲν τὸ ἐπιδέχεσθαι ἐναντιότητα · εἴπομεν δὲ ἐπιδέχεσθαι τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐναντίωσιν, οὐχ ὅτι τὸ ποιεῖν τῷ πάσχειν ἐστὶν ἐναντίον, ἢ τὸ πάσχειν τῷ ποιεῖν, ἀλλ' ὅτι τῷ πάσχειν ἐστί τι ἐναντίον, οὐ τὸ ποιεῖν δὲ, καὶ τῷ ποιεῖν ἐστιν ἐναντίον, οὐ τὸ πάσχειν (δέ) · οἷον ἐπειδὴ τὸ ψύχειν ἐστὶ ποιεῖν, οὐκ ἔστιν ἐναντίον τῷ ψύχεσθαι, πάσχειν ὑπάρχον (l. ὑπάρχοντι) ἀλλὰ τῷ, θερμαίνειν · καὶ τὸ ψύχεσθαι πάσχειν (ὂν) οὐκ ἔστιν αὐτῷ ἐναντίον τὸ ψύχειν, ἀλλὰ τὸ θερμαίνεσθαι · δεύτερον δὲ ἴδιον τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον · θερμαίνειν γὰρ μᾶλλον καὶ ἧττον λέγεται, καὶ θερμαίνεσθαι μᾶλλον καὶ ἧττον λέγεται.

Digitized by Google

δὲ πρώτως εἰς εἴδη ἕξ, εἵς τε τὸ ἄνω εἶναι καὶ κάτω, δεξιᾷ τε καὶ ἀριστερᾷ, ἔμπροσθεν καὶ ὄπισθεν· ἕκαστον δὲ τούτων ἢ πόρρω ἐστὶν ἢ ἐγγύς· ἔτι δὲ ἢ ἐν πρώτῳ ἢ ἐν δευτέρῳ· λέγω δὲ ἐν πρώτῳ μὲν εἶναι τὸ σῶμα, ὅταν ἐν ἴσῳ τόπῳ αὐτοῦ ᾖ, καὶ μὴ ἐν μείζονι περιεχόμενον· ἐν δευτέρῳ δὲ, ὅταν ἐν μείζονι· καθό φαμεν εἰ τύχοι τὸν Σωκράτην ἐν τῇ οἰκίᾳ εἶναι ἢ ἐν τῇ πόλει. Ἔτι τοῦ ποῦ ἰδικῶς λαμβανομένου τὸ μὲν αὐτοῦ φύσει λέγεται, ὅπερ τὸ αὐτὸ ἀεὶ νοεῖται, οἷον τὸ τὸν οὐρανὸν ἄνω εἶναι (ὁ γὰρ τόπος αὐτοῦ πρὸς ἕν γέ τι τεταγμένος (26) κάτω λέγεται μόνον, λέγω δὴ πρὸς τὸν τῆς γῆς μόνον τόπον)· ἢ οὐ φύσει, ἀλλὰ κατὰ συμβεβηκὸς, ὡς τὸ ζῶον ἄνω λέγεσθαι κατὰ τὴν τοῦ οἴκου ὀροφήν· δύναται γὰρ ταῦτα (27) καὶ ἄνω λέγεσθαι καὶ κάτω, πρὸς ἄλλο μέντοι καὶ ἄλλο λαμβανόμενα.

A in species sex, videlicet in supra esse et infra esse, ad dexteram et ad lævam, ante et retro (ante aliquid et a tergo alicujus); unumquodque vero eorum aut procul (eminus) aut prope (cominus) est. Præterea est vel in primo vel in secundo; dico autem in primo esse corpus, quando in loco est ipsi æquali, nec in majori et ampliori contentum; in secundo vero, quando in ampliori, secundum quod dicimus, exempli gratia, Socratem in domo esse vel in urbe. Adhuc *ubi* proprie et seorsim per se sumptum vel secundum naturam dicitur, quod eodem semper modo intelligitur, velut si dicas, cœlum esse supra; locus enim ejus ad unum quidem aliquid ordinatus infra duntaxat dicitur esse; dico autem ad terræ solum locum; vel non secundum B naturam, verum secundum accidens; v. g. animal supra esse dicitur quia est in tecto domus. Possunt enim hæc et supra et infra esse dici, ad aliud tamen et aliud sumpta.

περιήστραψεν ἡ ἐν τῷ βρέφει καθορωμένη ἀπόῤῥητος καὶ ὑπὲρ λόγου αἴγλη, ὡς τὰ πρεῖόντος τοῦ χρόνου καὶ κατὰ μικρὸν ἀνακαλυφθέντα, ἐκείνῳ (48) καὶ τηνικαῦτα καὶ εἰς γνῶσιν ἀθρόον ἐλθεῖν. Καὶ ἵνα μηδὲ χώραν τινὶ παράσχοι πάντας λαοὺς καλεῖν, τοὺς ἐν τῷ Ἰουδαίων ἔθνει, ἐπάγει τὰ εἰρημένα. « Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, » ἀντὶ τοῦ · μηδείς με νῦν οἰηθείη πάντα καλεῖν τὸν Ἰουδαϊκὸν λαὸν, ἀλλὰ σύμπαν τὸ γένος διὰ ταύτης μηνύω τῆς φωνῆς. Καὶ γὰρ σωτηρία καὶ ἀπολύτρωσις ἔσται πάντων οὗτος, ὃν ἐγὼ τεθέαμαι καὶ ἐν ἀγκάλαις φέρω. Καὶ οὐδὲ μέχρι τούτου ἠρκέσθη. Ἀλλ' ἀντιδιαστέλλων τὸν Ἰσραὴλ, « πάντα τὰ ἔθνη » ἐπισυνάπτει, « φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ. » Οἷον κοινὴ μέν ἐστι σωτηρία τὸ ἀγκαλοφορούμενον βρέφος τοῖς ἔθνεσι πᾶσι, καὶ τῷ Ἰσραήλ. Ἀλλὰ τοῖς μὲν φῶς, ὅτι τοῦ σκότους ἐξάγει τῆς εἰδωλολατρείας. Τῷ δὲ δόξα, ὅτι τὰ τούτοις πάλαι νόμιμα δοθέντα (49), διὰ τῆς εἰδωλικῆς ἀπεκαθαίροντο ἀχλύος, εἰς δόξαν [καὶ τελειότητα μεταβαλεῖ (50). Καὶ ἄλλως δὲ δόξα τοῦ Ἰσραηλιτικοῦ λαοῦ ὁ τεχθείς, ἅτε δὴ ἐκ σπέρματος τοῦ Ἀβραὰμ ἄνθρωπος γεγονώς. Μικροῦ δὲ καὶ Ἡσαΐας ὁ προφήτης τὰ αὐτὰ προανακράζει, λέγων · « Ἰδοὺ, τέθεικά σε εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, » τουτέστι παρασχεῖν ὁρᾷν καὶ διαστέλλειν τὸ φῶς ἐκ τοῦ σκότους (51) καὶ τὴν ἀλήθειαν ἐκ τοῦ ψεύδους, καὶ τὴν εὐσέβειαν ἀπὸ τῆς πλάνης. Διὸ καὶ ὁ Δαβὶδ ταύτην κροτῶν, οἱονεὶ χορεύων καὶ ἀνακηρύττων τὴν σωτηρίαν, « Πάντα ἔθνη, φησὶ, κροτήσατε χεῖρας, ὅτι Κύριος ὕψιστος, φοβερὸς, Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. » Εἰ δὲ λαὸς τοῦ Χριστοῦ καὶ λέγεται, καὶ ἔστιν ὁ Ἰσραὴλ, πρὸς τὰ ἔθνη διαστελλόμενος, διαστέλλεται δὲ πάντως τοῖς τε Μωσαϊκοῖς νόμοις καὶ τοῖς ἔθνεσι, δῆλον, ὅτι, κἂν μήπω τῆς χάριτος ἀπήλαυσεν, καὶ ἐντὸς ταύτης ἐχρημάτισεν, λαὸς καὶ οὗτός ἐστι τοῦ Χριστοῦ. Εἰ δὲ ὁ ἐν τῇ παλαιᾷ Διαθήκῃ λαὸς τοῦ Χριστοῦ ἐστιν λαὸς (52) πῶς οὐκ ἐμφράττεται τὰ ἀπύλωτα στόματα, τὰ ἀπὸ Μάνεντος εἰς ἑτέραν τούτους παραπέμποντα ἀρχήν (53).

dor ineffabilis et ratione omni superior, ex infante micans, oculos ejus perstringebat, ut, quæ inposterum eventura et brevi aperienda erant, etiam tunc, idque plenissime, perspiceret. Ne vero occasionem cuiquam faceret suspicandi, se per populos illos omnes Judæorum tantum gentem indicare, sequentia subjungit : « Lucem in revelationem gentium. » Quasi diceret : Nemo putet, me de Judaica gente omni tantum loqui ; imo vero totum hominum genus hac voce indico. Ille enim, quem vidi, quemque ulnis fero, omnium salus erit et vindex. Imo nec in his acquievit, sed, Israelem distincturus, « gentes omnes » illi voci jungit, « lucem, inquiens, ad revelationem gentium, et gloriam populi tui Israelis [77]. » Sensus est : Infans, quem ulnis fero, salutem quidem gentibus omnibus et Israeli quoque communem affert ; at illis quidem est instar lucis, ex idololatriæ tenebris eas educens ; huic vero gloriam parit, quia leges ipsis (*Judæis*) olim datas, quæ caligine idololatriæ obscuriores reddebantur, splendidiores et perfectiores reddet. Alia vero etiam ratione natus ille in gloriam populi Israelitici vergebat, quippe qui ex Abrahami semine hominem induisset. Atque eadem fere Isaias propheta antea pronuntiavit, dicens : « Ecce posui te in lumen gentium, ut aperias oculos cæcorum [78]. » hoc est, facias ut videant et distinguant lucem ex tenebris, veritatem ex mendacio, et pietatem ex variis vitæ erroribus. Propterea et David, eamdem salutem, instar tripudiantis, decantans, et prænuntians, « Omnes, inquit, gentes, plaudite manibus, quia Dominus excelsus et tremendus, Rex magnus est super terram [79]. » Quoniam vero Israel et vocatur et est populus Christi, quando gentibus opponitur, opponitur vero omnino et Mosaicis legibus et gentibus, patet utique, quod, etiamsi nunquam gratiæ particeps factus esset, ejusque fructum cepisset, vel sic Christi populus exstitisset. Quod si vero populus, in veteri fœdere appellatus, Christi est populus, nonne hoc ipso effrenata Manichæorum ora obturantur, qui illos alteri cuidam principio acceptos ferunt ?

Τοῦ μέντοιγε πρεσβύτου Συμεῶνος, θεολογοῦντος τὰ εἰρημένα, ἦν, φησὶν (54), « Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ, » θαυμάζοντες, οὐχ ὅτι νῦν τῶν ὑπὲρ λόγον τὴν νῦν γνῶσιν ἐδέχοντο, ἀλλ' ὅτιπερ ἐπὶ τοῖς ὑπερφυῶς προεγνωσμένοις καὶ ταῦτα προσελάμβανον (55). Ὑπερφυῶν γὰρ πραγμάτων γνῶσις, ὁσάκις ἂν εἰς μνήμην ἄγει τὸν ἐγνωκότα, τοσαυτάκις ἐν ταῖς διανοίαις ἀναχαινίζει τὸ θαῦμα. Εἶτα συντελέσας ὁ

Cæterum, Symeone sene mysteria hæc ita edisserente, « Josephus, quod Lucas ait, et mater ejus mirabantur ea quæ de illo dicta erant [80]. » Mirabantur, inquit, non quidem, quod tunc demum eorum, quæ rationem omnem superabant, notitia instruerentur, sed quod præter illa, quæ ex supernaturalibus ante cognita habebant, etiam hæc recipiebant. Quoties enim insolentium rerum memoria illis, qui eas norunt, refricatur, toties admiratio

[77] Isa. XLIX, 6. [78] Isa. XLVI, 7. [79] Psal. LXVI, 2. [80] Luc. II, 33.

NOTÆ.

(48) Ita Colb. pro ἐκεῖνον.

(49) Ante vocem διὰ puto excidisse ἃ per antecedentem syllabam τα. Id vero frequenter usu venit.

(50) Sic Colb. pro μεταχαλεῖ.

(51) Codex ita : τὸ σκότος ἐκ τοῦ φωτὸς, vocibus prave et inconvenienter positis, quod sequentia evincunt.

(52) λαὸς est ex Colb.

(53) Manichæi enim et Judæos, et legem Mosaicam malo principio in acceptis ferebant. Vide Photii librum 1 *Contra Manichæos*, tom. CII.

(54) Colb. pro φασὶν.

(55) Colb. loco προελάμβανον.

Digitized by Google

animi denuo renovatur. Perfunctus ita senex noster divini Numinis laudibus, denique se ad benedictionem illorum, qui infantem attulerant, convertit. Hinc vero ad matrem solam verba facit. « Benedixit enim illis Symeon, et ad Mariam, matrem ejus, dixit [61]. » Ad Mariam, inquit, matrem, non ad Josephum, patrem ejus. Nihilominus tamen utrisque benedictionem impertitur, quamvis allocutionem, de rebus inprimis sublimioribus, ad matrem solam instituat : ut scilicet communi benedictione facta Josephum parentis habitu non prorsus privet ; simul tamen verbis suis, ad matrem speciatim perlatis, virginem ab eo distinguens, eam vere matrem ejus profiteatur. Quid vero ad matrem loquitur ? « Hic jacet in lapsum et resurrectionem multorum in Israel, et in signum, cui condradicitur [62]. » Vides, eum totam mysterii hujus conditionem summatim Virgini aperire, illam vero ejus enarrationem postea instituere. Quod si insecuta sanctorum virorum oracula conferre tibi libeat, historiæ series quæsitorum tuorum solutionem abunde suppeditaverit.

A πρεσβύτης τὴν εἰς τὸ θεῖον δοξολογίαν, τρέπεται λοιπὸν ἐπὶ τὴν εὐλογίαν τῶν ἀναγαγόντων τὸ βρέφος. Εἶτα ἐκεῖθεν πρὸς μόνην τὴν μητέρα ἀποστρέφει (56) τὸν λόγον. « Καὶ εὐλόγησεν γὰρ αὐτοὺς Συμεὼν, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ. » Πρὸς Μαριάμ, φησὶ, τὴν μητέρα, οὐχὶ πρὸς Ἰωσὴφ τὸν πατέρα αὐτοῦ. Ἀλλὰ τῆς μὲν εὐλογίας ἀμφοῖν μεταδίδωσι. Τὴν δὲ πρόσρησιν τῶν ἀπορρητοτέρων τῇ μητρὶ προσάγει μόνῃ, ἵνα διὰ μὲν τῆς κοινῆς εὐλογίας τοῦ σχήματος τῶν γεννητόρων μὴ ἀπογυμνώσῃ τὸν Ἰωσὴφ, διὰ δὲ τῶν πρὸς τὴν μητέρα λόγων τὴν Παρθένον ἐκείνου διαστείλας, τὴν ὡς ἀληθῶς ἀνακηρύξῃ μητέρα. Εἶτα καὶ τί διαλέγεται πρὸς τὴν μητέρα ; « Οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. » Ὁρᾷς, ὅπως ὅλην τοῦ μυστηρίου τὴν οἰκονομίαν συνοπτικῶς πρὸς τὴν Παρθένον ἀναφέρει, κἀκείνη ποιεῖται τὴν τούτου διήγησιν. Εἰ δέ σοι φίλον καὶ πρὸς τὰ ἀκόλουθα μετελθεῖν ἀνδρῶν ἱερῶν σεμνολογήματα (57), τελείαν σοι τῶν ζητουμένων ἡ ἱστορία τὴν λύσιν ἐπιδαψιλεύσοιτο.

B

QUÆSTIO CLVII [*Coisl.* CLXXXVII, *Taur.* CLXXVI et CLXXVII (55*)].

Quid significat illud : « Hic jacet in ruinam et resurrectionem multorum in Israel, et in signum cui contradicitur ? »

ΕΡΩΤΗΣΙΣ ΡΝΖ'.

Τί ἐστιν· « Οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον, κ. ἑξ.

Editarum a Wolfio vigesima (l. c., p. 778-784. Galland., p. 739, 777, n. 56).

Quoniam et sequentium solutionem statim a nobis requisivisti, eam tibi, divina ope nixi, itidem suppeditabimus. Lapsum hic illis tribuit, qui ex fide in illum et pietate exciderant, resurrectionem vero illis, qui Servatorem, in carne apparentem, agnoscebant. Hoc ipsum Isaias quoque prænuntiavit, dicens : « Ecce pono in Sion lapidem offendiculi, et petram scandali : et omnis, qui credit in illum, non pudefiet [63]. » Itaque cadere necesse est illos, qui non credunt in ipsum. Ab altera parte ad resurrectionem, animo instituendam, manuducuntur, qui ab idolorum cultu et aliis, quos antea præfracte tenebant, erroribus discedebant.

C Ἐπειδὴ καὶ τῶν ὑπολοίπων τὴν λύσιν τάχος ἐπεζήτησας, ἡμεῖς σοι καὶ ταύτην, Θεῷ πεποιθότες, παρέξομεν. Πτῶσιν μὲν ἐνταῦθα τῶν ἐκπεπτωκότων τῆς εἰς αὐτὸν πίστεως καὶ εὐσεβείας λέγει, ἀνάστασιν δὲ τῶν ἐπεγνωκότων παραγεγονότα τὸν Σωτῆρα. Τοῦτο καὶ ὁ Ἡσαΐας προανεφώνει, λέγων· « Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν οὐ καταισχυνθήσεται. » Πίπτοιεν δ' ἂν οἱ μὴ πεπιστευκότες εἰς αὐτόν. Καὶ πρὸς τὴν ἐν ψυχῇ ἀνάστασιν χειραγωγοῦνται οἱ τῆς εἰδωλικῆς, καὶ τῆς ἄλλης, ἐν ᾗ ἑστηρίζοντο πρότερον, πλάνης (58) ἐκπεπτωκότες.

Causam vero, cur et lapsus et resurrectio eventura sit, simul aperit. Quoniam enim œconomiæ gratiosæ contradicitur, mysterium hoc omne illis, qui assentiuntur, resurrectionis ; illis vero, qui se opponunt, lapsus et interitus causa exsistit. Quænam vero sunt illa, quibus contradicitur ? Resurgentes illi crediderunt, quod virgo peperit, et virgo mansit : illi vero, qui in crassiora cogitata prolapsi sunt, nihilque, quod naturam transcendat, nosse cupiunt, adduci non possunt ut profiteantur quod, qui virginem condidit, cum nondum esset, eamdem, jam exsistentem, virginem servare possit,

D Τὴν αἰτίαν, δι' ἣν ἡ πτῶσις, καὶ ἡ ἀνάστασις ἔπεται, παραδηλοῖ. Ἐπεὶ γὰρ τὰ ἐπὶ τῆς οἰκονομίας ἀντιλέγεται τοῖς μὲν κατατιθεμένοις, ἀνάστασις τὸ μυστήριον γίνεται, τοῖς δὲ ἀντιφθεγγομένοις πτῶσις καὶ ἀπώλεια. Τίνα δέ ἐστι τὰ ἀντιλεγόμενα ; Οἱ μὲν ἀναστάντες πεπιστεύκασιν, ὅτι Παρθένος ἔτεκεν καὶ Παρθένος ἔμεινεν· οἱ δὲ καταπεσόντες εἰς τοὺς ὑλικοὺς λογισμοὺς, καὶ οὐδὲν τῶν ὑπὲρ φύσιν εἰδέναι θέλοντες, οὐ πείθονται συνομολογεῖν, ὡς ὁ πλάσας μηδ' ὅλως οὖσαν Παρθένον, δύναται καὶ ὑποστᾶσαν Παρθένον φυλάττειν, μάλιστά γε τὴν γέννησιν εἰ αὐτὸς ὁ πλάσας ἀναδέχοιτο· ἀντιλέγοιτο δ' ἂν τῶν

[61] Luc. II, 33. [62] ibid. 34. [63] Isa. VIII, 14.

NOTÆ.

(55*) Nimirum in Taur. hæc quæstio in duas divisa est.

(56) Hoc Colbertini malim pro illo alterius ἀναστρέφει.

(57) Σεμνολογήματα scribo pro σεμνολόγημα.

(58) Codex habet μὴ ἐκ inconvenienter.

Digitized by Google

περὶ οἰκονομίαν καὶ ἄλλα σημεῖα· οἷον τῶν μὲν ἀνα- A
στάντων Θεὸν ἀληθῶς καὶ ἄνθρωπον τὸν γεγεννημέ-
νον ὑπερφυὲς ποιουμένων μάθημα. Τῶν δὲ πρὸς τὴν
ἀνθρωπίνην ἀσθένειαν ἀναφορώντων (59) καὶ μηδ'
ὅλως ταύτης (60) ὑψηλότερον ἐπαρθῆναι βουλομένων,
τὸ μὴ συνομολογεῖν τὸν αὐτὸν Θεόν τε εἶναι, καὶ ἄν-
θρωπον.

inprimis ubi Conditor ipse nascitur. Sunt tamen et alia circa œconomiam salutarem miracula, quibus contradici possit. Tale est, quod resurgentes pro doctrina supernaturali habent, natum illum vere Deum et hominem esse; contra vero illi, qui humanam tantum infirmitatem respiciunt, et supra eam evehi prorsus nolunt, eumdem et Deum et hominem esse inficiantur.

Πολλὰ δὲ καὶ ἄλλα σημεῖα τῆς ἀφράστου τοῦ Σω-
τῆρος ἐπιδημίας εἰς ἀντιλογίαν κατέστη· διεξελθὼν
δὲ πρὸς τὴν Παρθένον ὁ ἱερὸς Συμεὼν τὰ εἰρημένα,
ἀκροτελευτὶ αὐτοῖς ἐπιτίθησιν καὶ τὸ αὐτῆς τῆς Παρ-
θένου ἐξ ἀχθηδόνος πάθος, καί φησιν· « Καὶ σοῦ δὲ
αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀπο-
καλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. » Σοῦ
αὐτῆς, οἷον τῆς πάντα ἀκριβῶς τὰ τοῦ μυστηρίου B
ἐξακριβωσαμένης, οὐδέ σου φείσεται (61) τὸ ἀπὸ λύ-
πης πάθος· καὶ γὰρ ὡς ἀσπόρως συνέλαβεν, καὶ ὁ
τόκος ἄσπορος γέγονεν, καὶ ἡ κύησις ἀνώδινος, καὶ
τὰ τοῦ Γαβριὴλ εὐαγγέλια, τῶν ποιμένων τὰ διηγή-
ματα, καὶ τὰ μυρία ἄλλα τῶν θαυμάτων καὶ ἐξαί-
ρετα, οὐδεὶς ἂν σου μᾶλλον ἐπιστάμενος εἴη· ἀλλ'
οὐ μόνον ταῦτα λέγουσιν (62), οἱ τῆς πλάνης ἐρα-
σταὶ καὶ τῆς ἀληθείας κατήγοροι, ἀλλὰ καὶ σεαυτὴν
ἐπί τε τῇ συλλήψει καὶ τόκῳ συκοφαντήσουσιν· ἡ
συκοφαντία ῥομφαίας οὐκ ἔλαττον τὴν σὴν ψυχὴν
δάκνουσά τε καὶ κατατιτρώσκουσα διελεύσεται· ἀλλ'
ἐπειδάν σε τούτοις ἐνυβρίσωσι (63), τότε μᾶλλον ἐκ
πολλῶν καρδιῶν ἀποκαλυφθήσονται καὶ διαλυθήσον-
ται διαλογισμοί. Πῶς δή, καὶ τίνα τρόπον; τῶν μὲν
συκοφαντῶν οὐκ ἐνδιδόντων ταῖς συκοφαντίαις, τῶν C
δὲ συκοφαντουμένων ἐπὶ τὴν παλαιὰν τοῦ νόμου κα-
ταφευγόντων διάκρισίν τε καὶ κρίσιν. Τίς δὲ αὕτη
ἐστὶν ἢ ἡ διὰ τοῦ ὕδατος τῆς ἐλέγξεως γινομένη; καὶ
γὰρ λόγος διεφοίτησεν παλαιὸς, ὡς συκοφαντουμένης
τῆς ἀειπαρθένου Μαρίας ἠνέσχετο παρασχεῖν ἑαυτὴν
τῇ κρίσει τοῦ ὕδατος, καὶ τὸ καθαρὸν αὐτῆς καὶ
ἄσπιλον λαμπρῶς ἐπιδειξαμένου, καὶ ἀποφήναντος,
αἰσχύνῃ μὲν δοθῆναι τοὺς συκοφάντας· τοὺς δὲ πρὶν
διστάζοντας τὴν παρθενείαν καὶ τὸν ἄφθορον τόκον
ἀναντιῤῥήτοις μαρτυρίαις βεβαιωθῆναι, καὶ τὴν Παρ-
θένον ἀπαλλαγῆναι τῆς ἐπὶ τῇ συκοφαντίᾳ καὶ ταῖς
διαβολαῖς δυσθυμίας (64) τε καὶ λύπης· τὸ μέντοιγε
τῆς ἐλέγξεως ὕδωρ ἱστορίᾳ παρειλήφαμεν περὶ τὸ
Γαβὴ, Παλαιστιναίων δὲ τὸ ὄρος, τὰς πηγὰς ἀναδι- D
δόναι, ὃ κριτήριον καὶ ὁ παλαιὸς ἐπίσταται νόμος (65),
τῶν τε τὴν σωφροσύνην οὐ διαφθειρομένων γυναικῶν,
καὶ τῶν ἀλλοτρίαις ὁμιλίαις τὴν νηδὺν ἐνυβριζόντων.
Ἀλλὰ τοῦτο μὲν ἴσως ἀφαιρεῖται τὴν πίστιν, ὅτι τε
προελθεῖν ἐπὶ τῇ παρθένῳ τὸ τῆς ἐλέγξεως ὕδωρ ἀνα-
γέγραπται, οὔπω τοῦ βρέφους φανέντος, ἡνίκα καὶ
ὁ καιρὸς τὴν ἀμφιβολίαν εὔλογον (66) παρεῖχε, καὶ ἡ

Præter hæc vero et alia plura ineffabilis Servatoris adventus signa contradictioni obnoxia erant. Sanctus vero Symeon, dicta hæc Virgini exponens, ultimo loco ipsius Virginis dolorem et tristitiam adjungit, dicens: « Et tuam quoque ipsius animam gladius transibit, ut ex multorum cordibus cogitationes detegantur[64]. » Tuam ipsius, inquit, quæ omnia mysterii hujus capita accurate perspecta habes, hoc est, tibi ipsi non parcet tristitiæ affectus. Quod enim sine semine conceperis, fetusque sine semine formatus sit, quodque sine dolore uterum gestaris; quæ porro Gabriel læta nuntiarit; quæ pastores retulerint, quæque alia mira et insignia contigerint, nemo te rectius noverit. Sed illa omnia erroris amantes et veritatis adversarii non solum non profitebuntur, sed et te ipsam ex conceptione et partu calumniabuntur: atque hæc calumnia, non minus quam gladius, animum tuum mordens et vulnerans transibit. Quando vero his te injuriis afficient, tunc quidem cogitationes ex multorum cordibus detegentur et aperientur. Quomodo vero, et qua ratione? Calumniatores scilicet non desistent ab injuriis; illi vero, qui calumnia onerabuntur, ad constitutum olim per legem judicium et explorationem confugient. Quæ vero illa alia esse possit, quam quæ per aquam exploratricem instituitur? Vetus enim percrebuit traditio, Mariam semper virginem, calumnia illa oneratam, se ipsam explorationi per aquam subjecisse, quæ puram suam et immaculatam graviditatem clarissime demonstrarit et manifestam fecerit: quo facto calumniantes quidem pudore sint suffusi, illi vero, qui de virginitate ejus et partu immaculato antea dubitarint, argumentis exceptione majoribus, convicti sint, Virgine interim ab ægritudine sua et tristitia, ex calumnia illa et conviciis oborta, penitus liberata. Ex historia enim accepimus, aquam illam exploratricem juxta Gabe, qui Palæstinæ mons est, manasse, quod explorandi genus in feminis, quæ vel castitatem illibatam servarint, vel furtivis amoribus corpus macularint, adhibitum fuisse, nec vetus lex ignorat. Fortasse tamen narrationi huic fides haberi non possit, quod aqua illa exploratoria virgini admota esse legitur, fetu nondum edito, quando et

NOTÆ.

(59) Colb. pro ἀναφερόντων.
(60) Idem pro ταύτην.
(61) Codex: φήσεται.
(62) Ante λέγουσιν excidisse οὐ suspicor.
(63) Colb. pro ἐμβρίσωσι.
(64) Colb. pro δυσφημίας.
(65) Numer. v, 17, seqq.
(66) Ita Colb. pro ἄλογον. Cæterum non satis hæc omnia capio.

Digitized by Google

tempus ipsum idoneam dubitandi causam exhibebat, et judicium non inepte instituebatur; fetu vero jam edito, et partu agnito, aqua exploratoria locum nor habebat. Nihilominus tamen in historia hæc traduntur.

Constat mihi alias, multos sanctorum Patrum statuere, gladium illum Mariæ semper virginis animum ipso salutaris perpessionis tempore verberasse, quando illa dolorem suum de Filio acerbissimum et vehementem insitamque sibi matri in filium commiserationem tum tristitia summa, tum violento viscerum motu testatam fecerit. Hoc enim matris dolore factum esse, ut cogitationes ex multorum cordibus detegerentur, et tum illi, qui ipsum Dominum nostrum carnem tantum specie tenus circumtulisse inepte fingebant, tum illi, quos non ex Virgine, sed ex cœlo, carnem illam repetere non pudebat, confunderentur. Quod si vero gladium illum Virginis animum etiam tunc confodisse dicamus, quando parentes Filium post se relictum, confecta jam longa via, non invenerunt, imo etiam reversi, tanquam thesaurum deperditum, quæsiverunt, nihil statuerimus quod rectæ rationi adversetur. Nam etiam tunc ex multorum cordibus cogitationes detegebantur; Virgine scilicet ad Filium dicente: « Ego et pater tuus cum dolore te quæsivimus[84]; » Verbo autem hypostatico et carne induto respondente: « Quid est, quod me quæsiveritis? nonne sciebatis me esse debere in iis quæ Patris mei sunt[85]? » hoc ipso vero illustrem illum populum indicante, qui et templum et domus Patris appellabatur. Dum enim Filius Patrem suum clarissime profitebatur, clare etiam cogitationes eorum detegebantur, qui eum dicebant non fabri filium, nec hominis alterius sobolem, sed illius esse, qui ante sæcula genuerit. Quod vero nonnulli dicunt, gladium illum animum ejus pervasisse, oborta dubitatione, an crucifixus ille fortasse non sit Deus, id nunquam ego dixerim, quamvis a nonnullis sit dictum.

« Et erat, inquit, Anna prophetissa, Phanuelis filia, ex tribu Aser, » etc. « Et illa vidua erat annorum circiter quatuor et octoginta[86]. » Anna prophetissa, Phanuelis filia, his differentiæ capitibus distinguitur a matre Virginis; eadem vero egregio virtutum omnium studio præ cæteris eminebat. Ex eo enim, quod a templo non recedebat, jejuniis vero et precibus noctu et interdiu vacabat, apparet, eamdem reliquarum etiam virtutum corona ornatam fuisse. His vero illa virtutibus quod ad animum mundata, et sanctissimi Spiritus officina facta, ejusdemque alloquiis ditata, eadem hora astans confitebatur, et loquebatur de eo ad illos omnes, qui liberationem Hierosolymis exspectabant. « Eadem, inquit, hora astans. » Qua vero illa? Illa om-

κρίσις οὐκ εἰ; τὸ παράλογον ὑπεσύρετο, τοῦ δὲ τόκου προελθόντος, καὶ τοῦ βρέφους ἐγνωσμένου, ποῦ καιρὸν εἶχεν τὸ ὕδωρ τῆς ἐλέγξεως; ἀλλὰ τοῦτο μὲν κατὰ τὴν ἱστορίαν ὅμως εἴρηται.

Οἶδα δὲ, πολλοὺς τῶν ἱερῶν ἡμῶν Πατέρων ῥομφαίαν ἐξειληφότας διελθεῖν τὴν ψυχὴν τῆς ἀειπαρθένου Μαρίας, κατὰ τὸν καιρὸν τοῦ σωτηρίου πάθους αὐτὴν τὴν κατασχοῦσαν πικρὰν καὶ ὀδυνηρὰν ἐπὶ τῷ τέκνῳ ἀλγηδόνα, καὶ τῷ ἀνυπερβλήτῳ τῆς λύπης, καὶ τῷ ἐξῃρημένῳ σπαραγμῷ τῶν σπλάγχνων τὴν ἔμφυτον πρὸς τὸν Υἱὸν μητρικὴν συμπάθειαν ἐπιδεῖξαι. Καὶ διὰ τῆς μητρικῆς ταύτης συμπαθείας, ἐκ πολλῶν καρδιῶν λογισμοὺς ἀποκαλυφθῆναι, καὶ διελεγχθῆναι τούς τε κατὰ φαντασίαν τὴν σάρκα φορέσαι, καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τερατολογοῦντας, καὶ τοὺς οὐκ ἐκ τῆς Παρθένου, ἐξ οὐρανοῦ δὲ ταύτην καταγαγεῖν ἀπαναισχυντοῦντας. Εἰ δὲ καὶ τηνικαῦτα διελήλυθεν τῆς Παρθένου τὴν ψυχὴν ῥομφαία, ἡνίκα λελοιπότες τὸν παῖδα, μετὰ τὸ πολλὴν ὁδὸν διανύσαι, μὴ εὗρον τοῦτον, ἀλλὰ καὶ ὑποστρέψαντες ἐπεζήτουν, ὡς ἤδη τὸν θησαυρὸν ἀπολωλεκότες, οὐδὲν ἂν εἴη παρὰ τὸν ὀρθὸν διανενοημένον λόγον. Καὶ γὰρ καὶ τηνικαῦτα ἐκ πολλῶν καρδιῶν ἀπεκαλύφθησαν διαλογισμοὶ, τῆς μὲν Παρθένου πρὸς τὸν Παῖδά λεγούσης· « Ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε. » Τοῦ δὲ ἐνυποστάτου Λόγου καὶ σάρκα φορέσαντος ἀνταποκρινομένου, « Τί, ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; » καὶ δηλοῦντος τὸν περιώνυμον λαὸν, ὃς τοῦ Πατρὸς νεώς τε καὶ οἶκος ἐπωνομάζετο. Καὶ γὰρ τὸν ἴδιον Πατέρα σαφῶς ἀνακηρύξαντος τοῦ Υἱοῦ σαφῶς ἀπεκαλύφθησαν οἱ διαλογισμοὶ τῶν λεγόντων αὐτὸν οὐκ (67) εἶναι τοῦ τέκτονος υἱὸν, οὐδ' ἄλλης τινὸς ἐπιγείου σπορᾶς, ἀλλὰ τοῦ πρὸ αἰῶνος γεγεννηκότος αὐτόν. Τὸν μέντοι λόγον, τὸν λέγοντα, ῥομφαίαν αὐτῆς τὴν ψυχὴν ἐξ ἀμφιβολίας διελθεῖν, ὡς μήποτ' οὐκ εἴη Θεὸς ὁ σταυρούμενος, εἰ καί τισιν ἐῤῥήθη, ἀλλ' οὐκ ἂν ἐμοὶ ῥηθείη.

« Καὶ ἦν, φησὶν, Ἄννα προφῆτις θυγάτηρ, Φανουὴλ, ἐκ φυλῆς Ἀσήρ, ἕως οὗ, « Καὶ αὕτη χεῖρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων. » Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ταύταις διαστέλλεται ταῖς διαφοραῖς αὕτη πρὸς τὴν τῆς Παρθένου μητέρα· διέλαμπε δὲ ταῖς ἀρεταῖς ἁπάσαις. Ἐκ γὰρ τοῦ μὴ ἀφίστασθαι τοῦ ἱεροῦ, καὶ νηστείαις, καὶ δεήσεσιν λατρεύειν νύκτα καὶ ἡμέραν, δῆλον, ὡς καὶ ὁ λοιπὸς αὐτῇ τῶν ἄλλων ἀρετῶν συμπαρῆν χορός. Ὑφ' ὧν κεκαθαρμένη τὸν νοῦν, καὶ τοῦ παναγίου Πνεύματος γεγενημένη δοχεῖον, καὶ τὰς παρ' αὐτοῦ δεχομένη ἐμφάσεις, αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο (68) καὶ ἐλάλει τὰ περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ. « Αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, » φησίν. Αὐτῇ, ποίᾳ; Ἡ καθ' ἣν τὸ Παιδίον ἡ Μήτηρ καὶ ὁ Ἰωσὴφ

[84] Luc. II, 35. [85] ibid. 48 seq. [86] Matth. XIII, 55.

NOTÆ.

(67) οὐκ addidi, quod sensus omnino postulat.

(68) Colb. pro ἀνθολογεῖτο.

Digitized by Google

προσέφερον τῷ ἱερῷ. Καὶ ὅρα τὴν παρσπλησίαν τῷ Συμεῶνι ταῖς ἀρεταῖς, ὅπως καὶ τὰς προφητείας παραπλησίους κιχρᾷ. Ἅμα μὲν γὰρ παρῆσαν τῷ ναῷ, ἅμα δὲ τῆς προφητικῆς ἠξιοῦντο χάριτος. Ἀλλ' ὁ μὲν Συμεὼν προελάμβανεν χρησμολογῶν· ἡ δὲ τὴν δευτέραν ἔχουσα τάξιν ὅμως οὐκ ἐδευτέρευσε τοῖς χρησμοῖς· ἀλλ' ἐκάλει μὲν τὸ βρέφος Κύριον, ᾧ καὶ ἀνθωμολόγει· ἐλάλει δὲ περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν τῷ Ἰσραὴλ, λύτρωσιν τοῦ γένους καὶ σωτηρίαν ἀνακηρύττουσα. Τάχα δ' ἂν διὰ τοῦτο προλαβεῖν (68*) ἱερολογήσειέ τις τὸν Συμεῶνα, διότι ὁ μὲν τύπον ἔφερεν τοῦ νόμου. Καὶ γὰρ καὶ ἡ κλῆσις τὸ ὑπήκοον (69) δηλοῖ· ἡ δὲ τῆς χάριτος ἡ Ἄννα (69*)· τοῦτο γὰρ ἡ κλῆσις ἀναπτυσσομένη δηλοῖ. Ὧν ἀμφοῖν ὁ Χριστὸς ἔκειτο μέσος· τὸν μὲν ἀπολύων συντελευτῶντα (70) τῷ νόμῳ, τὴν δὲ τέως κατέχει τῇ χάριτι συζῶσαν. Ἡ μέντοιγε Παρθένος καὶ Ἰωσὴφ κοινὴν τὴν εἰς Θεὸν ἀποδεδωκότες ὑμνολογίαν ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρὲτ, καὶ μετὰ τεσσαράκοντα ἡμέρας τὰ κατὰ τοὺς μάγους καὶ τὸν ἀστέρα διεπέπρακτο· καὶ δὴ καὶ ἡ εἰς Αἴγυπτον γέγονε φυγὴ, καὶ ἡ ἀπὸ ταύτης ἐπάνοδος.

nino, qua mater et Josephus infantem in templo sistebant. Adverte hic, quam similia, quæ virtutibus Simeoni similis erat, vaticinia edat. Simul enim aderant in templo, simul vero dono vaticinandi digni habebantur. Simeon quidem vaticinandi faciebat initium; hæc vero, quamvis secundum occupans locum, vaticiniis tamen suis non erat inferior. Nam infantem illum Dominum vocabat, cique vicissim confitebatur: loquebatur etiam de eo ad omnes, qui liberationem in Israele exspectabant, liberationem gentis et salutem promulgans. Fortasse aliquis Simeonem ideo primas hic partes habuisse dixerit, quod typus Legis fuerit. Nam et nomen ipsum *obedientem* infert, quemadmodum Annæ illud *gratiam* significat: id enim nomen, ad origines suas revocatum, denotat. Inter utrumque Christus positus erat medius, illum quidem, tanquam cum lege moriturum, dimittens, hanc vero una cum gratia servans superstitem. Cæterum Virgo et Joseph, postquam Deum communi hymno celebraverant, in Galilæam revertebantur, urbemque suam Nazareth, ubi deinde post quadraginta dies illa, quæ ad magos et stellam pertinent, agebantur; sicut et fuga in Ægyptum, et ex ea reditus eveniebat.

ΕΡΩΤΗΣΙΣ ΡΝΗ'.

QUÆSTIO CLVIII [*Coisl.* CLXXXVIII, *Taur.* CLXXVIII].

Διὰ τί τὴν Μαρίαν τὴν Μαγδαληνὴν, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια, ἐκλέγεται ὁ Χριστός;

Quare Mariam Magdalenam, ex qua septem dæmonia ejecerat Christus elegit [87] ***?***

Editarum a Wolfio vigesima prima. (l. c. p. 785-786. Galland. p. 741-742 n. 37).

Τὸν ἕβδομον ἀριθμὸν καὶ ἐπὶ τῆς ἀρετῆς καὶ ἐπὶ τῆς κακίας εὑρίσκομεν τὴν Γραφὴν παραλαμβάνουσαν. Εἰκότως ἂν τὴν Μαρίαν ἐκλέγεται τὴν Μαγδαληνὴν ὁ Σωτὴρ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια, ἵνα τὸν ἄρχοντα τῆς κακίας δι' αὐτῆς ἀπελάσῃ τῆς ἀνθρωπίνης φύσεως. Ὅτι, φησὶν (70*), αἱ ἱστορίαι τὴν Μαγδαληνὴν ταύτην διὰ βίου παρθένον διδάσκουσιν. Καὶ μαρτύριον δὲ αὐτῆς φέρεται, ἐν ᾧ λέγεται διὰ τὴν ἄκραν αὐτῆς παρθενίαν καὶ καθαρότητα, ὡς ὕαλον αὐτὴν καθαρὸν τοῖς βασανισταῖς φαίνεσθαι. Ὅτι, φησὶν, μετὰ τὴν κοίμησιν τῆς Δεσποίνης ἡμῶν Θεοτόκου πορευθεῖσα εἰς Ἔφεσον πρὸς τὸν ἠγαπημένον μαθητὴν, ἐκεῖσε τὸν δρόμον τὸν ἀποστολικὸν διὰ τοῦ μαρτυρίου ἡ μυροφόρος Μαρία ἐτελείωσεν, μὴ θελήσασα μέχρι τῆς τελευτῆς χωρισθῆναι (71) τοῦ

Numerum septenarium a Scriptura sacra in virtutis æque ac pravitatis negotiis adhiberi invenimus. Verisimile igitur fit, Servatorem nostrum Magdalenam, e qua septem dæmonia ejecerat, ideo elegisse, ut omnis malitiæ auctorem per eam ab hominum natura depelleret. Ait enim historiam tradere Magdalenam illam, quoad vixerit, virginem mansisse. In hujus rei argumentum affertur, quod per summam suam virginitatem et puritatem instar crystalli purissimi apparuerit exploratoribus. Ait quoque, Mariam, quæ unguentum attulerat [88], post obitum Dominæ nostræ Deiparæ, Ephesum ad discipulum amatissimum profectam, ibidem cursum suum apostolicum martyrio absolvisse, quæ a Joanne, virgine et evangelista, usque ad

[87] Luc. VIII, 2. [88] Matth. XXVI, 7; Joan. XI, 2.

NOTÆ.

(68*) Hoc malo ex Colb. pro προσλαβεῖν.

(69) Ex Hebr. שָׁמַע, quod *audire* et *obedire* significat. Hinc Πέτρος, respectu habito ad nomen ejus alterum, Simon, explicatur per ὑπακούων in Lexico Origeniano apud Montefalconium p. 231. Confer Drusium de Vocibus Hebr. N. T.

(69*) Ex Hebr. חַנָּה, *gratia*.

(70) Coisl. pro ἐντελευτῶντα.

(70*) Nescio, quem hic innuat Photius, cuique hanc observationem debeat.

(71) Παρθένος Græcis vir quoque dicitur, qui feminam non agnovit. Vide Æmilium Portum ad Suidam, tom. I, p. 5. edit. Kusteriana.

Digitized by Google

vitæ finem divelli noluerit. Sicut porro, inquit, Petrus, apostolorum primus, nomen suum ex fide immota, quam in Christum petram probabat, accepit; ita illa quoque, tanquam discipularum prima, propter puritatem suam et desiderium, quo in illum ferebatur, a Servatore eodem, quo Mater, nomine est insignita. Quemadmodum itaque discipulorum chorus Dominum sequebatur, ita mulierum, Domini disciplinam recipientium, corona nostri Domini Matrem consectabatur. Mirabantur enim, inquit, aliquando discipuli, quod cum muliere loquebatur[89]. Ex quo manifestum est Dominum id quidem usu receptum non habuisse. Cum itaque Mater Domini Evangelii cursum una cum Filio et rerum Conditore proveheret, mulieres, quæ eam comitabantur, communi Domino ejusque discipulis ex facultatibus suis ministrabant.

A παρθένου καὶ εὐαγγελιστοῦ Ἰωάννου (71*). Ὥσπερ, φησίν, ἡ ἀπαρχὴ τῶν ἀποστόλων Πέτρος ὠνομάσθη διὰ τὴν ἀσάλευτον πίστιν, ἣν εἶχεν ἐπὶ Χριστὸν τὴν πέτραν· οὕτω καὶ αὐτὴ, ἀρχηγὸς τῶν μαθητριῶν γενομένη, διὰ τὴν καθαρότητα αὐτῆς καὶ τὸν πόθον, ὃν εἶχεν εἰς αὐτὸν, Μαρία ὁμωνύμως τῇ Μητρὶ παρὰ τοῦ Σωτῆρος προσηγόρευται· ὥσπερ τῷ Δεσπότῃ τῶν μαθητῶν ἠκολούθει ὁ χορὸς, οὕτω τῇ Δεσποίνῃ καὶ Μητρὶ τοῦ Κυρίου τῶν μαθητευομένων γυναικῶν ὁ χορός. Ἐθαύμαζον γὰρ, φησὶν, ποτὲ οἱ μαθηταὶ, ὅτι μετὰ γυναικὸς ἐλάλει. Δῆλον, ὡς οὐκ οὔσης τοιαύτης συνηθείας τῷ Κυρίῳ, ἀλλὰ τὸν εὐαγγελικὸν δρόμον τῆς Μητρὸς τοῦ Δεσπότου συνεξανυούσης τῷ Υἱῷ καὶ Δημιουργῷ, καὶ αὐταὶ συνακολουθοῦσαι αὐτῇ τῷ κοινῷ Δεσπότῃ ἐκ τῶν ὑπαρχόντων αὐταῖς ἀναγκαίοις, καὶ τοῖς μαθηταῖς διηκόνουν.

B

QUÆSTIO CLIX [*Coisl.* CLXXXIX, *Taur.*CLXXIX].

Quid significat illud : « Ex me ipso non loquor[90] ? »

ΕΡΩΤΗΣΙΣ ΡΝΘ'.

Τί ἐστι τό· « Ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ ; »

Editarum a Wolfio vigesima secunda (l. c., p. 786-789. Galland. l. c, p. 742-745 n. 38).

Pseudomessiæ ex se ipsis loquebantur, non vero ex lege, nec ex prophetis, sed ex sua sententia et arbitrio. Contra Servator a lege non recedebat, non omittebat prophetas, sed dicebat, nunc quidem : « Recte dixit Isaias[91] ; » nunc vero : « Nonne in lege vestra scriptum est[92], » et plurima ejusmodi alia. Quoniam igitur, qui ante Christum veniebant, ejusque nomen male sibi tribuebant, C non ex sacris Litteris, sed ex sua amentia errores serebant; ideo Servator noster ait : « Ego ex me ipso non loquor, sicut illi. » Ex se ipso enim loqui idem est, atque præter Scripturam sacram loqui. Quod vero pseudomessiarum et pseudoprophetarum sit, « ex se ipsis loqui, » id Deus ipse per prophetam Ezechielem testatus est, dicens : « Non misi eos ; ex se ipsis sunt locuti; ex corde suo loquuntur. » Quoniam itaque pseudoprophetæ ex se ipsis loquebantur, hanc amentiam a se amolitur. Improba enim Judæorum gens erronem illum esse, et mundum pervertere calumniabatur. Propterea aiebat : « Ego ex me ipso non loquor, » sed ex lege, ex prophetis : quæ ex Patre in lege, et in prophetis audivi. Habito vero ad humanam D suam naturam respectu, et ad amoliendam maliguam illam de se suspicionem, ita loquitur. « Vos vero, » addit, « ea, (loquimini) quæ ex patre vestro diabolo, audivistis. » Sicut enim, quæ patris sunt, hæreditatis loco filiis obtingunt, ita et quæ illius

Οἱ ψευδόχριστοι ἀφ' ἑαυτῶν ἐλάλουν, οὐκ ἐκ νόμου, οὐκ ἐκ προφητῶν, ἀλλ' ἀπὸ τῆς ἰδίας γνώμης καὶ ὁρμῆς· ὁ δὲ Σωτὴρ οὐκ ἀπέστη νόμου, οὐκ ἐγκαταλέλοιπεν προφήτας, ἀλλ' ἔλεγε νῦν μὲν, « Καλῶς εἶπεν Ἡσαΐα;· νῦν δὲ, « Οὐ γέγραπται ἐν τῷ νόμῳ ὑμῶν, » καὶ μυρία τοιαῦτα. Ἐπεὶ οὖν οἱ ἐλθόντες πρὸ Χριστοῦ, καὶ τὸ ἐκείνου περιθέντες ἑαυτοῖς κακούργως ὄνομα, οὐκ ἀπὸ τῶν ἱερῶν Γραφῶν, ἀλλ' ἐκ τῆς ἰδίας ἀπονοίας τὰ τῆς πλάνης προυβάλλοντο, λέγει ὁ Σωτήρ· « Ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὥσπερ ἐκεῖνοι. » Τὸ γὰρ ἀφ' ἑαυτοῦ λαλεῖν, τὸ ἔξω τῶν ἱερῶν Γραφῶν ἐστι λαλεῖν. Ὅτι δὲ τὸ ἀφ' ἑαυτοῦ λαλεῖν ψευδοχρίστων ἐστὶ καὶ ψευδοπροφητῶν, λέγει διὰ τοῦ προφήτου τοῦ Ἐζεκιὴλ (72) ὁ Θεός· « Οὐκ ἀπέστειλα αὐτοὺς, ἀφ' ἑαυτῶν ἐλάλησαν· ἐκ τῆς καρδίας αὐτῶν φθέγγονται. » Ἐπεὶ οὖν οἱ ψευδοπροφῆται ἀφ' ἑαυτῶν ἐκήρυττον, ταύτην ἀποδυόμενος τὴν ἀπόνοιαν (καὶ γὰρ ἐδυσφήμει (72*) τὸ ἀχάριστον τῶν Ἰουδαίων ἔθνος πλάνον αὐτὸν (73) καὶ πλανᾷν τὸν κόσμον) διὰ τοῦτο ἔλεγεν· « Ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, » ἀλλ' ἀπὸ νόμου, ἀπὸ τῶν προφητῶν, ὅσα ἤκουσα παρὰ τοῦ Πατρὸς ἐν νόμῳ, ἐν προφήταις· ἐκ προσώπου δὲ τῆς σαρκὸς ταῦτα λέγει, καὶ εἰς διάλυσιν τῆς δυσσεβούσης ὑπονοίας· « Ὑμεῖς δὲ, ὅσα ἠκούσατε παρὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου. » Τὰ γὰρ τοῦ πατρὸς κλῆρος γίνεται τοῖς παισὶ, καὶ διὰ τοῦτο τὰ ἐκείνου γίνεται τῶν κληρονόμων· ὡς ἴσον ἐνταῦθα καθορᾶσθαι, καὶ εἰς ταυτὸν συνιέναι τὸ ἐξ ἑαυτῶν λαλεῖν,

[89] Joan. IV, 27. [90] Joan. XIV, 10. [91] Matth. XV, 7. [92] Joan. X, 34.

NOTÆ.

(71*) Ἰωάννου habeo ex Colbert.

(72) Alludere videtur ad Ezech. XIII, 6.

(72*) Verbum ἐδυσφήμει debeo Colbertino, quod in altero deerat.

(73) Sic scribo pro πλάνον αὐτῷ, quando Colbert. idem male : πλάνων αὐτόν.

Digitized by Google

καὶ τὸ ἐκ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου λαλεῖν· ὥσπερ ὁ Χριστὸς ἐλθὼν ἐγένετο πλήρωμα νόμου, καὶ προφητῶν, οὕτω καὶ τὸ Πνεῦμα πλήρωμα τοῦ Εὐαγγελίου. Χριστὸς ἐλθὼν ἐβεβαίωσεν τὰ παρὰ τοῦ Πατρὸς ἐν τῷ νόμῳ (74) εἰρημένα καὶ προφήταις, διὸ καὶ λέγει Παῦλος· « Πλήρωμα νόμου Χριστός (74')· » τὸ Πνεῦμα τὸ ἅγιον ἐπλήρωσε τὰ τοῦ Εὐαγγελίου· ὅσα ἐστὶν ἐν τῇ Χριστοῦ διδασκαλίᾳ, τὸ Πνεῦμα πληροῖ· ὅσα ἐν τῇ τοῦ νόμου, ὁ Χριστός· οὐχὶ ὡς ἀτελοῦς ὄντος τοῦ Πατρὸς, ἀλλ' ὡς ἑρμηνευτὴς τῶν τοῦ Πατρὸς καὶ τελειωτής. Οὕτω δὲ καὶ τὸ Πνεῦμα διασαφοῖ καὶ διατρανοῖ τὰ τοῦ Υἱοῦ. Καὶ γάρ φησιν· « Πολλὰ ἔχω ὑμῖν λαλεῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ τὸ Πνεῦμα τὸ ἅγιον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, » καὶ ἑξῆς. Ὅτι ἀφ' ἑαυτοῦ οὐ λαλεῖ· οὐ γὰρ ἀντιφθέγγεται τῷ Υἱῷ, ἀλλ' ἀναπληροῖ τὰ τοῦ Υἱοῦ, καθ' ὃν τρόπον ὁ Υἱὸς τὰ τοῦ Πατρός. Ὅτι ἐν τούτῳ τῷ λόγῳ εὑρήσεις πρὸς τῷ τέλει δεικνύοντος τοῦ Χρυσοστόμου (75), ὅτι ἡ ἀποστολὴ οὔτε τὸν Υἱὸν, οὔτε τὸ Πνεῦμα ἐλάττω ποιεῖ τοῦ Πατρὸς, ὅτι καὶ αὐτὸς ὁ Πατὴρ ἀποστέλλεται παρὰ τοῦ Πνεύματος, καὶ παρὰ τοῦ Υἱοῦ· λέγει αὐταῖς λέξεσιν· Ἐάν σοι δείξω τὸν Ποιητὴν οὐρανοῦ καὶ γῆς ἀποστελλόμενον παρὰ τοῦ Πνεύματος, καὶ παρὰ τοῦ Υἱοῦ, τί ποιεῖς; ἢ ἄρνησαι τὸν Χριστὸν, καὶ ἀπόῤῥιψον (75') τὰς Γραφάς· ἢ, δοῦλος ὢν τῶν Γραφῶν, ὑποτάττου ταῖς Γραφαῖς. Καὶ ποῦ, φησὶν, εἴρηται τοῦτο; Ἄκουε τοῦ Θεοῦ διὰ τοῦ προφήτου λέγοντος Ἡσαΐου (76)· « Ἄκουέ μου, Ἰσραὴλ, ὃν ἐγὼ καλῶ· » καὶ ὅλην τὴν περικοπὴν ἐκτιθεὶς τοῦ χωρίου μέχρι τοῦ, « Καὶ νῦν Κύριος ἀπέστειλέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ, » διισχυρίζεται, τὸν Πατέρα ταῦτα εἰπεῖν, ἐκ τῶν προτεταγμένων βεβαιῶν τὸν λόγον, καὶ καθιστῶν δῆλον, ὡς ὁ Πατὴρ εἴη νῦν ὁ λέγων καὶ ἀποστελλόμενος παρά τε τοῦ Πνεύματος καὶ τοῦ Υἱοῦ.

A sunt, ad hæredes perferuntur. Itaque similia hæc sibi invicem esse, et idem inferre apparet, ex se ipsis loqui, et ex patre diabolo loqui. Sicut porro Christus, in carnem veniens, complementum legis fuit, ita et Spiritus complementum Evangelii exstitit. Christus adveniens confirmavit quæ a Patre in lege et prophetis dicta erant. Propterea et Paulus ait : « Christus est implementum legis [93]. » Vicissim Spiritus sanctus, postea veniens, implevit ea quæ sunt Evangelii. Quæcunque Christi doctrina continentur, ea Spiritus sanctus; quæ in lege tradita sunt, ea Christus implevit : non quidem, quasi Pater nihil hic fecerit, sed quod Christus interpres et consummator dictorum a Patre exstiterit. Similiter Spiritus illustrat et explanat Filii B dicta. « Multa, inquit, habeo vobis dicenda, sed ea nunc quidem ferre non potestis : ubi vero venerit Spiritus sanctus, in veritatem omnem vos ducet [94], » etc. Neque enim ex se ipso loquitur ; nam non contradicit Filio, sed dicta Filii, sicut Filius Patris illa, implet. In hoc sermone videbis Chrysostomum sub finem ostendere, missionem neque Filium neque Spiritum sanctum Patre facere inferiorem, quoniam ipse quoque Pater a Spiritu sancto et a Filio mittitur. Verba ejus hæc sunt : Si tibi Conditorem cœli et terræ ostendero missum a Spiritu et Filio, quid facies? Aut nega Christum et abjice Scripturas; aut, cum Scripturæ sis obnoxius, Scripturæ te subjice. Ubi vero, inquit, hoc dictum C est? Audi Deum, per Isaiam prophetam, dicentem: « Audi me, Israel, quem ego voco [95]. » Hinc idem, tota illius oraculi serie exposita, usque ad illa verba : « Et nunc Dominus me misit, et Spiritus ejus [96], » asseverat, Patrem illa loqui, ex antecedentibus fidem expositioni, manifestumque faciens, Patrem esse, qui hæc loquatur, quique adeo a Spiritu et Filio mittatur.

ΕΡΩΤΗΣΙΣ ΡΞ'.

Πῶς « βραχίονα Κυρίου » ὁ Θεολόγος Ἰωάννης τὴν οἰκονομίαν (76') διαλαμβάνει;

QUÆSTIO CLX [*Coisl.* CXC, *Taur.* CLXXX].

Quomodo Joannes Theologus œconomiam salutarem per « brachium Domini [97.99] » indicat?

Editarum a Wolfio vigesima tertia (l. c. 789-790. Galland. l. c., p. 743, n. 39).

Ὅτι ὁ Θεολόγος Ἰωάννης, τὸν βραχίονα εἰς τὴν D οἰκονομίαν (77) ἐκλαμβάνων τοῦ Σωτῆρος, καὶ τὴν

Joannes Theologus brachium de œconomia Servatoris nostri ejusque deitate interpretans,

[93] Rom. x, 4. [94] Joan. xvi, 12, 13. [95] Isa. xlviii, 12. [96] ibid. 16. [97.99] Joan. xii, 38.

NOTÆ.

(74) Hæc totidem verbis non exstant in sacris Litteris, et παραφράσεως loco a Photio addita videntur.

(74') Procul dubio Rom. x, 4, innuit : τέλος νόμου Χριστός.

(75) Quem hic Chrysostomi sermonem afferat Photius, frustra quæro.

(75') Colb. ἀπάλειψον.

(76) Cæterum illam oraculi Isaiæ expositionem temere nemo admiserit. Prophetici enim sermonis nexus ostendit, non Patrem, sed Filium de Patre et Spiritu ejus loqui.

(76') In apographo legebam οἰκουμένην, pro qua voce alteram illam recte exhibet eruditissimus Montefalconius in indice Amphilochiorum Photii p. 339 Bibliothecæ mss. Coislinian. Fieri igitur potest, ut in apographo erratum sit, quamvis mox in responsione ad hoc quæsitum iterum legatur οἰκουμένην.

(77) Ita scribo cum Colbert. pro οἰκουμένην.

Digitized by Google

« Quamvis multa, inquit, miracula ederet Jesus, Judæi tamen non credebant, ut impleretur dictum Isaiæ : Domine, quis credidit dictis nostris, et cui brachium Domini est revelatum[1] ? » Ipse nempe, et justitia ejus. « Prope enim est, ut justitia mea adveniat. » Ipse itaque et Servator est, et brachium. Propterea et Paulus omnia complexus, in unum confert, dicens : « Qui factus nobis est a Deo sapientia, et sanctificatio, et liberatio[2]. » Hic oriri nobis fecit ortum justissimum. « Ecce enim, inquit, oriri faciam domo Davidis ortum sanctum, et regnabit Rex justus[3]. » Ortus itaque unus est, multi vero ejusdem radii. Radii scilicet humanitatis, sanationis, pacis : radii justitiæ, pluriumque similium. Propterea etiam David vaticinatus cecinit : « In diebus ejus orietur justitia, et pacis copia, donec luna aboleatur[4]. » Hic igitur ortus ex alto æque atque ex terra contigit : ex alto quidem secundum divinam, ex terra autem secundum humanam naturam.

A αὐτοῦ θεότητα, Πολλὰ, φησὶ, σημεῖα ποιήσαντος τοῦ Ἰησοῦ (78) οὐκ ἐπίστευσαν οἱ Ἰουδαῖοι, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Ἡσαΐου· « Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη ;» αὐτὸς τοίνυν καὶ δικαιοσύνη. « Ἐγγίζει γὰρ ἡ δικαιοσύνη μου παραγενέσθαι. » Αὐτὸς καὶ Σωτὴρ, αὐτὸς καὶ βραχίων. Διὰ τοῦτο καὶ ὁ Παῦλος περιλαβὼν ἅπαντα εἰς ἓν ἀναφέρει, λέγων· « Ὃς ἐγεννήθη ἡμῖν ἀπὸ Θεοῦ σοφία καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. » Οὗτος ἡμῖν ἀνέτειλεν ἀνατολὴν δικαίαν. « Ἰδοὺ γὰρ, φησὶν, ἀνατελῶ τῷ οἴκῳ Δαβὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεὺς δίκαιος. » Μία μὲν οὖν ἡ ἀνατολὴ, πολλαὶ δὲ αὐτῆς αἱ ἀκτῖνες· ἀκτῖνες φιλανθρωπίας, ἰάσεως, εἰρήνης· δικαιοσύνης ἀκτῖνες, καὶ μυρίων ἄλλων. Διὸ καὶ ὁ Δαβὶδ προθεσπίζων ᾖδεν· « Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. » Αὕτη γοῦν ἡ ἀνατολὴ ἐξ ὕψους ἀνέτειλεν, καὶ ἀπὸ τῆς γῆς· ἐξ ὕψους μὲν κατὰ τὴν θεότητα, ἀπὸ γῆς δὲ κατὰ τὴν οἰκονομίαν.

B

QUÆSTIO CLXI [*Coisl.* CXCI, *Taur.* CLXXXI].

Quid significat : « Quod et ipsa creatura liberabitur a servitute[5] ? » etc.

ΕΡΩΤΗΣΙΣ ΡΞΑ'.

Τί δηλοῖ, « Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας, » καὶ ἑξ.;

Editarum a Wolfio vigesima quarta (l. c., p. 790-800. Galland. p. 743-747, n. 40).— In Rom. VIII, 21.

Serviebat creatura homini, non ut digno, sol scilicet, et luna, et astra, et terra, quæque in illis sunt : non, inquam, ut digno. Nam et prævaricatus erat, et pœnæ obnoxius. Serviebat itaque, Deo ita jubente, ne imago sua penitus deturparetur, quamvis deliquisset. Cum itaque omnis creatura rebellem se sisteret, Deus tamen creaturam imperium non detrectare jussit, sed solem radios suos, terram fruges, mare pisces, mercesque alias, et condita quoque cætera ea, quæ usui et commodo forent hominibus, exhibere voluit. Hanc sententiam explicaturus Apostolus ait : « Sollicita enim exspectatio creaturæ revelationem filiorum Dei exspectat. Vanitati enim creatura non sponte sua est subjecta, sed propter eum, qui sub spe subjecit : quoniam et ipsa illa creatura liberabitur a servitute corruptionis in libertatem gloriæ filiorum Dei[6]. » Hoc itaque dico : Postquam vidit Deus hominem lapsum, creaturam vero servitium lapso denegantem, compescuit illam etiam invitam, servireque eam jussit, sicut olim, quando homo, præceptis audiens, regiam imperatoriamque dignitatem sartam tectamque servabat. Creaturam enim pudebat eum, qui lapsu captivum se fecerat, Dominum agnoscere, eique servire, quem peccati servum factum esse videbat. Conditor autem non

Ἐδούλευσεν ἡ κτίσις τῷ ἀνθρώπῳ, οὐχ ὡς ἀξίῳ ἥλιος καὶ σελήνη, καὶ ἄστρα καὶ γῆ, καὶ τὰ ἐν αὐτοῖς· οὐχ ὡς ἀξίῳ δὲ (καὶ γὰρ παραβάτης ἦν καὶ ὑπόδικος), ἀλλὰ τοῦ Θεοῦ δουλεύειν προστάξαντος, ὡς ἂν μὴ (79) ἐξυβρισθῇ διὰ πάντων ἡ εἰκὼν, εἰ καὶ παρέβη. Πάσης τοίνυν τῆς κτίσεως στασιαζούσης, ὁ Θεὸς κελεύει τῇ κτίσει μὴ ἀφηνιᾷν, ἀλλὰ παρέχειν μὲν τὸν ἥλιον τὴν ἑαυτοῦ ἀκτῖνα, τὴν γῆν τοὺς καρποὺς, τὴν θάλασσαν ἰχθῦς καὶ τὰς ἐμπορίας· καὶ ἕκαστον τῶν κτισμάτων, τὴν ἐξ ἑαυτῶν χρείαν καὶ ὠφέλειαν τοῖς ἀνθρώποις. Ταύτην ἐπιγυμνῶν ὁ Ἀπόστολος τὴν ἔννοιαν φάσκει· « Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι. ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ· » οἷόν τι λέγω· Ὡς εἶδεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐκπεσόντα, καὶ τὴν κτίσιν ἀνανεύουσαν πρὸς ὑπηρεσίαν τοῦ ἡμαρτηκότος, ἐχαλίνωσεν αὐτὴν καὶ μὴ θέλουσαν, καὶ ἐκέλευσεν ὑπηρετεῖν πρότερον, ἡνίκα τὸ βασιλικὸν ἑαυτῷ καὶ ἀρχικὸν τὴν ἐντολὴν φυλάττων συνδιέσωζεν· ἠσχύνετο γὰρ ἡ κτίσις τὸν αἰχμάλωτον τῇ παραβάσει Κύριον ἐπιγράφεσθαι, καὶ ἐξυπηρετεῖν αὐτῷ, τῆς ἁμαρτίας αὐτὸν ὁρῶσα δοῦλον γενόμενον· ἀλλ' ἐκέλευσεν ὁ Κτίστης μὴ ἐξαρ-

[1] Joan. XII, 37, 38; Isa. LIII, 1. [2] I Cor. I, 30. [3] Jerem. XXIII, 5. [4] Psal. LXXII, 7. [5] Rom. VIII, 21. [6] Rom. VIII, 19, 20.

NOTÆ.

(78) Colb. pro υἱοῦ.

(79) μὴ addidi ex Colb.

Digitized by Google

νεῖσθαι τὸν παραβάτην, ἀλλ' ἐπιδεικνύναι τοῦ κοινοῦ Δεσπότου τὴν ἄφθονον χάριν, καὶ τὸ τῆς εὐεργεσίας ἀμετάθετον· ἐπαγγειλάμενος καὶ τῇ κτίσει, ὅτιπερ ἀνακαινιζομένου καὶ ἐλευθερουμένου τοῦ φθαρέντος καὶ αἰχμαλωτισθέντος ἀνθρώπου ἀνακαινισθήσεται καὶ αὐτή· ὡσανεὶ ἔλεγεν· Ἔπεσεν ἡ εἰκών, καὶ ὠλίσθησεν διὰ τὴν παράβασιν, καὶ φθείρεται διὰ τὴν παρακοήν· ἀνάσχου δουλεῦσαι τῇ τοῦ φθαρέντος φθορᾷ, ἵνα ὅταν αὐτὸν ἀνακαινίζω τὴν ἐμὴν εἰκόνα, τὸν φθαρέντα ἄνθρωπον, σὺν αὐτῷ καὶ σὲ τὴν κτίσιν ἀνακαινίσω, καὶ σύνθρονον αὐτοῦ τῆς δόξης ποιήσω· συγκατεσπάσθης αὐτοῦ τῇ ταλαιπωρίᾳ, συναναστήσῃ τῇ δόξῃ. Τί δέ ἐστι τὸ τὴν κτίσιν φεύγειν τὴν τοῦ ἀνθρώπου δεσποτείαν; Λέγει γάρ, « Τῇ ματαιότητι ἡ κτίσις οὐχ ὑπετάγη. » Ποίᾳ ματαιότητι; Ἀφ' οὗ ἂν ἐκτραπῇ ὁ ἄνθρωπος τοῦ Θεοῦ, ματαιότης καλεῖται. Ἄκουσον ψάλλοντος Δαβίδ· « Πλὴν τὰ σύμπαντα ματαιότης πᾶς ἄνθρωπος ζῶν. » Πᾶς ἄνθρωπος μάταιός ἐστιν, ὁ τὸν Θεὸν καταλιμπάνων καὶ τὰ μάταια μεταδιώκων· ἔστησεν ὁ Θεὸς ἀγγέλους κατὰ τὰ κλίματα (80) τῆς οἰκουμένης ἕνα ἕκαστον ἐπιτροπεύειν, ὡς καὶ Μωσῆς λέγει (81), ἑνὸς ἑκάστου ἔθνους· ἔστησε δὲ, ἵνα τὴν ἄψυχον κτίσιν χαλινώσωσιν, ἥλιον, καὶ σελήνην, καὶ θάλασσαν, καὶ γῆν, καὶ τὰ ἐν αὐτοῖς ὑπηρετεῖν τῇ τοῦ ἀνθρώπου ἀπολαύσει. Πάλιν οἱ ἄγγελοι ἐτρύχοντο ὑπηρετούμενοι ἀναξίοις καὶ δίκης ἐνόχοις ἀνθρώποις· καὶ μάλιστα ὁρῶντες αὐτοὺς τὴν Δεσποτικὴν ἀξίαν τοῖς εἰδώλοις ἀνάπτοντας καὶ ἀνιεροῦντας· ἔφερεν ἡ γῆ τὸν οἶκον, καὶ οἱ βωμοὶ τὰς σπονδὰς ἐδέχοντο· τοὺς ἄλλους καρποὺς καὶ τοῖς εἰδώλοις ἀνετίθεντο· διὰ τοῦτο ἐδυσφόρουν οἱ ἄγγελοι τὰ μὴ ὄντα ὁρῶντες ἀντὶ τοῦ ὄντος τιμώμενα· ἐντεῦθεν λέγεται καὶ τὸ ἕτερον ζήτημα τὸ εἰς τὸν προφήτην ἀναφερόμενον. « Ἦλθεν πρὸς αὐτὸν, φησὶν, ὁ ἄγγελος Γαβριὴλ, καὶ λέγει αὐτῷ· Δανιὴλ, ὁ δοῦλος τοῦ Θεοῦ, ἀφ' ἧς ἡμέρας προέθου κακῶσαι τὴν ψυχήν σου ἐναντι Κυρίου, εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἀπεστάλην ἀπαγγεῖλαί σοι τὰ ῥήματα ταῦτα· ἀλλ' ὁ ἄρχων τῆς βασιλείας Περσῶν ἀντέστη μοι, εἰ μὴ Μιχαὴλ, ὁ ἄρχων τοῦ ἔθνους ὑμῶν, ἦλθεν εἰς βοήθειαν. » Ἀπορήσειεν γὰρ ἄν τις, εἰ ὁ τῆς Περσίδος ἐπιτροπεύων ἄγγελος παρὰ Θεοῦ ἐπιτροπεύειν τέτακται, ὡσαύτως δὲ καὶ ὁ Γαβριὴλ, ἀνακομίσων (82) τὸν Ἰσραὴλ τῆς αἰχμαλωσίας παρὰ Θεοῦ ἀπέσταλται, πῶς αὐτῷ τῶν Περσῶν ὁ ἄρχων ἀνθίστατο; Λυθείη δ' ἂν τὸ διαπορούμενον ὧδε· Ὁ κόσμος εἰδωλολατρείας ἐπεπλήρωτο. Οἱ δὲ ἄγγελοι, οἱ ἐφεστῶτες τῶν ἐθνῶν, ἠγανάκτησαν καὶ ἐθλίβοντο· αἰχμάλωτος δὲ Δανιὴλ εἰς Βαβυλῶνα μετὰ τῶν ὁμοφύλων ἀπαχθεὶς τὴν θεογνωσίαν ἐκήρυττεν· ὡσαύτως καὶ οἱ τρεῖς παῖδες, οὓς τὸ πῦρ εἰς ἱλαρὰς αὔρας τὴν καυστικὴν δύναμιν ἀμεῖψαν ἀνέψυχεν· διὸ καὶ πολλοὺς τῆς εἰδωλικῆς μεταστήσαντες πλά-

A abnegare legis violatorem, sed potius locupletissimam communis Domini gratiam, beneficentiamque immutabilem demonstrare illam jubebat; eidem creaturæ pollicitus, fore ut, ubi homo perditus et captivus renovatus, et in integrum restitutus fuerit, ipsa quoque renovetur; quasi diceret: cecidit imago, et peccato suo defecit, perque inobedientiam suam perditur. Sustine itaque servire perditi illius corruptioni, ut, quando imaginem meam, hominem illum perditum, renovavero, et te, creaturam, una cum ipso renovem, gloriæque ejus consortem efficiam. Tu quidem, quæ per calamitatem ejus simul depressa es, gloriæ quoque ejus particeps resurges. Quid vero illud sibi vult, quod creatura hominis dominium refugiat? Ait scilicet: B « Creatura vanitati non est subjecta. » Cui vanitati? Quamprimum homo a Deo se avertit, vanitas vocatur. Audi Davidem canentem: « Sed omnia vanitas, omnis homo vivens [7]. » Omnis homo vanus est, qui Deum deserit, et vana consectans. Deus angelos per varias orbis partes disposuit, ut singuli eorum, quod et Moses ait, singulis gentibus præsint. Constituit vero ideo, ut creaturam inanimatam coerceant, solem, et lunam, et mare, et terram, ut quæ in illis sunt, hominum usibus inserviant. Ab altera parte dolebant angeli, hominibus indignis pœnæque obnoxiis servientes, in primis cum viderent, eos Domini dignitatem cultumque in idola transferre et convertere. Terra ferebat vinum, altaria vero deastrorum libamina excipiebant; sicut et alios fructus idolis sacros esse jubebant. Ægre itaque ferebant angeli, ea quæ non sunt, pro eo, qui est, coli videntes. Hinc intelligitur et alterum illud quæsitum, quod ad prophetam spectat: « Venit ad illum, inquit, angelus Gabriel, dicitque illi: Daniel, serve Dei, ex quo die animam tuam coram Domino affligere statuisti, exaudita est precatio tua, egoque missus sum, ut tibi verba hæc renuntiem. Sed regno Persarum præfectus restitisset mihi, nisi Michael, qui genti vestræ præest, auxilio venisset [8]. » Hic dubitaverit aliquis, qui fieri potuerit, si angelus, Persiæ præfectus, a Deo, ut illi præesset, constitutus, similiterque Gabriel ad Israelem ex captivitate reducendum missus fuerit, ut illi Persarum præfectus resisteret? Enimvero omnis hæc dubitatio facile sic expedietur. Totus orbis idololatria scatebat: angeli vero, gentibus præfecti, indignabantur et ægre rem ferebant. Interea Daniel, cum civibus suis Babylonem captivus ductus divini Numinis cognitionem instillabat. Idem faciebant tres pueri, quos ignis, urendi facultatem cum jucunda aura permutans, recreabat [9]. Hoc facto iidem effecerunt, ut multi, ab ido-

C

D

[7] Psal. xxxviii, 5. [8] Dan. x, 12 seqq. [9] Dan. iii, 25 seqq.

NOTÆ.

(80) Ita scribo pro κλήματα.

(81) Mosen id quidem dicere non memini.

(82) Sic scribo pro ἀνακομίσω.

Digitized by Google

lolatriæ errore revocati, Deum verum colerent. Persis itaque præfectus angelus gaudebat, cum videret Deum in partibus suis loco idolorum coli. Videbat ille Nabuchodonosorem pro eo, quod olim diis sacra facere cogebat, et immorigeros extremis suppliciis subjiciebat, nunc tandem verum Deum maxime celebrare et dicere : « Sedrach, Misach, Abdenago, servi Dei excelsi [10] ; » et similia plura. Quoniam itaque divus Daniel Deum precabatur, ut hebdomadibus illis septuaginta, quæ captivitati statutæ erant, jam consummatis, Israelitas ex carcere educeret; et Gabriel præterea ad afferendum illi nuntium, missus erat, Persico imperio præfectus Gabrieli restitit, contristatus ex eo, quod terra, cui præerat, in pristinam impietatem et errores veteres, reductis inde veri cultus doctoribus, ruitura videretur. Restitit vero, non pugnans, sed ita causæ justitiam edisserens : Cur reditus tanto studio urgetur? Quoad populus Israeliticus terram patriam habitabat, et prospere agebat, sæpe in idololatriam divertit : jam vero peregrinam incolens, pure Deum colit, nec colit solum, sed et pro cultu hoc fortiter pugnat, multosque errantium ad verum Deum adducit. Quandoquidem ergo et illis, qui gratiam receperunt, nihil, quod animæ salutarius sit, evenit, et illos, qui per eos verum Deum colere inceperunt, impietas, extremum malorum omnium, sibi iterum obnoxios reddat; nonne præstaret, si Israel nunc quidem ex captivitate non educeretur, illi vero, qui salutaris Dei cognitionis lucem jam spectant, in eadem pietate conservarentur? Tu quidem missum te ais, ut populum patriæ suæ restituas. Quæ vero est illa patria? Ea utique quam habitantes et dæmonibus sacra facientes, nidoribus et idololatria polluerunt. Nonne horum accusat eos Jeremias dicens : « Secundum numerum urbium tuarum erant tibi dii, o Juda, et secundum bivia Jerusalem sacrificabas Baali [11] ? » Tunc quidem a Deo innumeris beneficiis inundabantur, sed vel sic a malitia et impietate sua non desistebant. Jam vero innumera mala perpetiuntur, neque tamen a Deo recedunt. Quis igitur reditus fructus erit? Itaque resistentia hic erat non mali adversus bonum. Non enim dicit, pugnabat, sed resistebat. Sæpe enim datur resistentia justi adversus bonum, sicut sæpe humanitas obstat legi, et lex humanitati. Lex enim delinquentem punit; at clementia regis eumdem sæpe miseratur, et a pœna liberat. Pugna itaque hic est non inimici adversus inimicum, sed cognati adversus cognatum. Neque enim justitia sine bonitate, neque bonitas datur sine justitia.

νης θεοσεβεῖν παρεσκεύασαν. Ὁ οὖν τῆς ἀρχῆς τῶν Περσῶν ἐφεστηκὼς ἄγγελος ἔχαιρεν, ὁρῶν ἐν τοῖς αὐτοῦ μέρεσι τὸν Θεὸν ἀντὶ τῶν εἰδώλων λατρευόμενον. Τὸν Ναβουχοδονόσορ ἐώρα ἀντὶ τοῦ καταναγκάζειν θύειν εἰδώλοις, καὶ ἐσχάταις τοὺς μὴ πειθομένους ὑποβάλλειν τιμωρίαις, λαμπρῶς θεολογοῦντα καὶ λέγοντα, « Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου · » καὶ πολλὰ τοιαῦτα. Ἐπεὶ οὖν ὁ μακάριος Δανιὴλ ἐδεῖτο τοῦ Θεοῦ, πληρωθέντων τῶν ἑβδομήκοντα ἐτῶν, τῶν ἐπὶ τῇ αἰχμαλωσίᾳ διορισθέντων, ἀναγαγεῖν τῆς αἰχμαλωσίας τὸν Ἰσραὴλ, ἀπεστάλη δὲ Γαβριὴλ μηνῦσαι αὐτῷ τὴν ἀνάῤῥησιν, ἀνθίσταται τῷ Γαβριὴλ ὁ τῆς Περσικῆς ἀρχῆς ἐπιστάτης λυπούμενος, ὅτι πάλιν ἡ γῆ (83), ἧς ἐπεστάτει, τῶν διδασκάλων τῆς εὐσεβείας ἐκεῖθεν ἀνακομισθέντων, εἰς τὴν προτέραν ἀναστρέφει ἀσέβειαν καὶ πλάνην · ἀνθίστατο δὲ οὐ μαχόμενος, ἀλλὰ δικαιολογούμενος· Τίς ἡ σπουδὴ, λέγων, τῆς ἀνόδου; τὴν οἰκείαν οἰκῶν πατρίδα ὁ Ἰσραὴλ καὶ εὐπαθῶν εἰς εἰδωλολατρίαν πολλάκις ἐξώλισθεν· νῦν δὲ οὐ καθαρῶς εὐσεβεῖ μόνον, ἀλλὰ καὶ ὑπεραθλεῖ τῆς εὐσεβείας, καὶ πολλῶν τῶν πεπλανημένων πρὸς τὸν ἀληθινὸν ἐπιστρέφουσι τὸν Θεόν. Ὅτε οὖν καὶ τοῖς τὴν χάριν δεχομένοις οὐδὲν κατὰ ψυχὴν λυσιτελέστερον ἐπακολουθεῖ, καὶ τοὺς εὐσεβεῖν δι' αὐτοὺς ἀρξαμένους (84) τὸ ἔσχατον κακὸν, ἡ δυσσέβεια, πάλιν ὑποχειρίους ποιεῖ, πόσον ἦν ἄμεινον καὶ τὸν Ἰσραὴλ τέως τῆς αἰχμαλωσίας μὴ ἀναγαγεῖν, καὶ τοὺς ἄρτι πρὸς τὸ φῶς ἀναβλέψαντας τῆς θεογνωσίας ἐν τῇ αὐτῇ συντηρεῖν εὐσεβείᾳ ! Ἀπεστάλην, φὴς, τὸν λαὸν ἀποκαταστῆσαι τῇ πατρίδι. Ποίᾳ πατρίδι (85) ; Ἣν οἰκοῦντες ἐμίαναν κνίσαις, δαίμοσι θύοντες, καὶ εἰδωλομανίαις · οὐ ταῦτα κατηγορεῖ λέγων Ἱερεμίας · « Κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν οἱ θεοί σου, Ἰούδα · καὶ κατὰ τὰ ἀμφόδια Ἱερουσαλὴμ ἔθυες τῇ Βαάλ (86)· » μυρίοις τότε παρὰ Θεοῦ περιεκλύζοντο ἀγαθοῖς, καὶ τῆς κακίας καὶ ἀσεβείας οὐκ ἀνεχώρουν · μυρία νῦν ὑπομένουσι κακὰ, καὶ τοῦ Θεοῦ οὐκ ἀφίστανται. Τί ποτ' οὖν ἔσται τὸ τῆς ἐπανόδου κέρδος ; Ἦν τοίνυν ἡ ἀντίστασις οὐ κακοῦ πρὸς ἀγαθόν · οὐ γὰρ εἶπεν, ἐμάχετο, ἀλλ', ἀνθίστατο · καὶ γὰρ ἔστι πολλάκις ἀντίστασις δικαίου πρὸς ἀγαθὸν, ὡς ἀνθίσταται πολλάκις νόμῳ φιλανθρωπία, καὶ φιλανθρωπίᾳ νόμος. Ὁ νόμος τὸν ἁμαρτήσαντα κολάζει. Φιλανθρωπία πολλάκις βασιλέως τὸν ἁμαρτήσαντα ἐλεεῖ, καὶ ἐξαρπάζει τῆς τιμωρίας. Ὧδ' οὖν ἡ μάχη οὐκ ἐναντίου πρὸς ἐναντίον, ἀλλὰ συγγενοῦς πρὸς συγγενές. Οὔτε γὰρ τὸ δίκαιον ἔξω ἀγαθότητος, οὔτε τὸ ἀγαθὸν ἔξω δικαιοσύνης εὑρίσκεται.

[10] Dan. III, 28. [11] Jerem. II, 28.

NOTÆ.

(83) Codex ἡγῇ, male, et mox, ἐπεστάτῃ.
(84) Colb. pro ἀρχομένους.
(85) Ποίᾳ πατρίδι, debeo Colbertino.
(86) Ubi tamen hodie legitur : καὶ μετ' ἀριθμὸν διόδων

Digitized by Google

Ὅτι τῆς κτίσεως, φησὶν, ὡς προείρηται, διακει- A
μένης καὶ ἀγαναχτούσης, ἐφ' ᾧ καὶ ἄκουσα τῷ παραβάτῃ παρεῖχε τὴν χρείαν, καὶ ἐξυπηρέτει, καὶ ἀγγέλων ἀχθομένων ἐπὶ τῇ τοῦ εὐεργετουμένου ἀγνωμοσύνῃ, καὶ ὅλου κακωθέντος τοῦ κόσμου διὰ τὰς παρανομίας. « Καὶ γὰρ εἶδεν, φησὶν, ὁ Θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρεν πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς. » Οὐκ ἦν ἡ κτίσις, οἵαν ὑπέστησεν αὐτοῖς ὁ Θεὸς ἀπ' ἀρχῆς· οὐκ ἦν τοῖς ἄστροις ὁ οὐρανὸς, ὡς τὸ πρὶν, ἄνευ τινὸς μιάσματος καταλαμπόμενος· οὐκ ἦν ἡ γῆ τοὺς καρποὺς ἀμολύντους, ὡς τὸ πρὶν, ἀναδιδοῦσα· οὐ θάλασσα, οὐκ ἄλλο τι τῶν ἐν τῇ κτίσει. Ὁ γὰρ παραβάτης εἰσελθὼν ἐν αὐτῇ, κατεμίανεν, καὶ ἀνεθόλωσεν ἅπαντα ταῖς βλασφημίαις, ταῖς θεομάχοις καὶ αἰσχραῖς φωναῖς, ταῖς μιαιφονίαις τὴν γῆν (87) τοῖς πειραταῖς καὶ λῃσταῖς τὴν B
θάλασσαν· τὰς πηγὰς καὶ ποταμοὺς ταῖς εἰδωλολατρίαις, νύμφαις, καὶ δαίμοσιν· ἀνάπτοντες αὐτά· πᾶσα τοῖς ἀνθρώποις ἡ κτίσις εἰς θεοὺς ἀνεπλάττετο· οὐδὲν δὲ κτίσιν οὕτω μιαίνει καὶ κιδδηλεύει, ὡς τὸ θεοποιεῖσθαι αὐτήν. Εἰσῆλθεν ὁ Σωτὴρ τοῦ κόσμου διὰ σαρκὸς ἐν αὐτῇ, καὶ ταύτην τῶν μυρίων τούτων ἀπαλλάξας μιασμάτων ἀνεκαίνισεν, πολὺ χαλεπωτέρων ἢ σωματικῆς διαφθορᾶς ἐλευθερώσας αὐτὴν κακώσεων καὶ παθῶν, ἀνακαινίζει διὰ τῆς πρώτης παρουσίας τὴν κτίσιν· ἵνα μάθῃς, ὅτι αὐτός ἐστιν ὁ καὶ ἀπ' ἀρχῆς αὐτὴν δημιουργήσας· οὐ γὰρ ἄλλου μὲν κτίζειν, ἄλλου δὲ διαφθαρεῖσαν ἀνακαινίζειν· ἀλλὰ τῆς αὐτῆς ἑκάτερον σοφίας καὶ τέχνης, ἀνακαινίζειν τὴν κτίσιν κατὰ τὴν πρώτην ἐπιδημίαν, C
ἵνα μηδεμία σοι χώρα καταλειφθῇ ἀπιστίας, ὡς κατὰ τὴν δευτέραν παρουσίαν οὐ καινισθήσεται, καὶ σὺ πρὸ αὐτῆς εἰς ἀφθαρσίαν, εἰς ἀπάθειαν, εἰς ἄφατον καλλονήν. Εἰ γὰρ ὅτε ἦν ἐκὼν ἐν ἀσθενείᾳ σαρκὸς, ἐν ἰδρῶσιν, ἐν πάθεσιν (88) ὁ Χριστὸς, ὅ τε πλάνος καὶ Σαμαρείτης ἐσυκοφαντεῖτο, τὴν κτίσιν ἐκάθαρεν τῶν τοσούτων καὶ τηλικούτων καὶ πολυχρονιωτάτων παθῶν καὶ μιασμάτων· ὅτ' ἂν ὡς κριτὴς ζώντων παραγένηται καὶ νεκρῶν, ὅταν μυριάσιν ἀγγέλων δορυφορούμενος τάγμασιν, ὅταν πάντων δεσπόζων καὶ Κύριος, ὅταν πάντα φρίσσῃ καὶ τρέμῃ (89), πῶς ἡ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταβολὴ οὐ τὸ ῥᾷστον ἔχουσα καθορᾶται; Καὶ τὸ ἀκόλουθον, καὶ θεοπρεπὲς, ὅτι παραγίνεται ὁ Σωτὴρ, προκηρυττόντων τῶν D
προφητῶν, ἵνα μήτις νομίσῃ, ὅτι καθ' ὃν τρόπον ἄνθρωπος τῆς προτέρας διαμαρτὼν ἐπιβολῆς καὶ βοηθείας ἐπὶ δευτέραν ἔρχεται, οὕτω καὶ ὁ Θεός. Ἵνα οὖν μή τις ὑπονοήσῃ τοῦτο, ἄνωθεν προέλεγον οἱ προφῆται τὴν παρουσίαν αὐτοῦ· ἵνα δείξωσιν, ὅτι Θεὸς οὐ σκεπτόμενος εὑρίσκει τὸ συμφέρον, ἀλλ' ἀπ' ἀρχῆς προῖδεν ἅπαντα. Ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι σκεπτόμεθα, καὶ, ἐὰν ἀποτύχωμεν τῆς πρώτης πείρας, ἐφ' ἑτέραν μεταβαίνομεν· ὁ δὲ Θεὸς οὐχ

Creaturam ait, quod ante dictum est, male affectam et indignatam esse, ideoque etiam invitam delinquenti necessaria suppeditasse, et inserviisse, angelis quoque ingratum adversus beneficia animum moleste ferentibus, totoque mundo per flagitia corrupto. « Deus enim, inquit, vidit terram corruptam, quod caro omnis viam suam corruperat [12]. » Non erat creatura qualem illam ab initio condiderat Deus. Cœlum non, ut olim, sine labe aliqua astris micabat : terra non, ut olim, fructus intemeratos inferebat : non mare, non aliud quidquam, quod inter creaturas numerabatur. Peccator enim ingressus eam polluebat, et omnia blasphemiis, turpibusque et Deo adversis vocibus, cædibus item terram, piratis et prædonibus mare, fontes et fluvios idololatriis, ad nymphas et dæmonas omnia referendo, turbabat. Tota creatura, ab hominibus in deastros convertebatur. Nihil vero est, quod creaturam adeo polluat et adulteret, quam si Dei loco habeatur. Servator orbis per carnem ingressus eam (creaturam) est, eamque, infinita labe sua, quæ omni corruptione corporea gravior est, liberatam renovavit, multisque calamitatibus et malis ereptam per primum suum adventum restituit; ut inde intelligas, ipsum illum esse, qui eam ab initio condidit. Neque enim alterius est condere, alterius vero corruptam renovare : sed utrumque ejusdem est sapientiæ et artis, ut sic creatura per priorem adventum renovetur, nec ullus incredulitati locus relinquatur, quasi eadem in secundo adventu non sit renovanda, et tu ipse ante illam in incorruptibilitatem, indolentiam et pulchritudinem non transferri debeas. Quod si enim Christus, dum in carnis infirmitate, sudoribus, et varii generis malis sponte versabatur, dum seductor et Samarita per calumniam vocabatur, creaturam a tot tantisque tamque diuturnis malis et impuritatibus liberavit; nonne, ubi idem ut judex vivorum et mortuorum, ubi innumeris angelorum ordinibus stipatus, ubi ut imperator et Dominus omnium advenerit, ubi omnia sibi timebunt et trement, translatio ex corruptione in incorruptibilitatem, ut res omnium facillima, apparebit? Accedit, quod hinc consequitur, Deoque inprimis dignum est, quod prophetæ illum Servatoris adventum prænuntiarunt, ne quis scilicet existimet, quod, quemadmodum homines, alias, primis ausis et conatibus frustrati, alia via rem aggrediuntur; ita quoque Deus egerit. Ne quis, inquam, ita suspicetur, prophetæ jam olim adventum ejus prænuntiarunt, ut sic ostenderent, Deum non per meditationem quamdam et circumspectionem id, quod prodesse possit, tandem detexisse, sed ab initio potius omnia perspexisse.

[12] Gen. vi, 12.

NOTÆ.

(87) τὴν γῆν addidi, sensu ita postulante.
(88) Sic Colb. pro ἐμπαθέσιν.
(89) καὶ τρέμῃ, debeo Colbertino.

Digitized by Google

Deus autem non ita agit. Dedit ille prius legem, Nos enim homines circumspicimus omnia, et ubi primo exciderimus, novum facimus periculum : prophetas et postea Evangelium, non cum tempore meliora postliminio edoctus, sed ab initio intelligens, creaturam, et speciatim hominem, non alia ratione vel condi, vel duci, aut incorruptibilitatis donum recipere posse, nisi illa, quam ineffabilis ejus providentia et benevolentia disposuit. Aiunt quidem nonnulli : Si Deus Adamum peccaturum esse prævidit, quare eum condidit? At multæ sunt et præclaræ viæ, quibus objectum hoc diluatur. Ita Joannes Chrysostomus, divinioris doctrinæ gnarissimus, ait : « Non hoc solum dico, quod præviderit (lapsum), sed quod etiam præviderit, se lapsum per œconomiam salutarem iterum excitaturum. » Itaque non prius vidit lapsum, quam de excitatione cogitavit. Noverat eum lapsurum, at excitationis remedium jam ante instruxerat : homipem experiundo discere mortem passus est, ut intelligeret, hinc, quid suo sibi jumento, hinc, quid per Conditoris gratiam sibi sit accersiturus. Noverat Adamum peccaturum, at prævidebat quoque, ex eodem prodituros esse Abelem, Enosum, Enochum, Noam, Eliam, prophetas, apostolos admirandos, nobile illud genus, nec minus martyrum nubes, a Deo excitatas, et pietatem stillantes. Hæc prævidebat Numen. Pulchrumne itaque, justumne, Deove dignum fuisset, ideo, quod unus homo peccaturus erat, eum ex nihilo non condere, et eadem opera tantorum virorum, quorum nec uno dignus est orbis, proventum prohibere, tam lætam pulchramque humani generis sementem radicitus evellere, illique excidium et iram immittere, idque eo tempore, quo homo, qui postea peccato indulgebat, nec peccaverat, neque de patrando peccato, cum nondum exsisteret, cogitaverat? Si enim sapientum est, ab eo, qui peccare quidem conatus est, neque tamen vere peccavit, peccati pœnas non repetere ; quomodo Deum decuerit, eum, qui nec peccare tunc instituerat, peccantium pœnis subjicere? Inprimis cum, quamvis peccatum adeo grave esset, (nonne enim grave erat præceptum Domini violare?) idem tamen medicinam ex ineffabili Conditoris, hominem ad pristinam suam dignitatem reducturi, benevolentia admitteret. Quod si itaque conditus non fuisset ideo, quod primus ille homo peccaturus erat, Deus utique talis visus esset, qui et hominem, peccati nondum reum, puniisset, et secutura revocatione ac salute privaret, creaturam denique tot et tam præclaris bonisque hominibus spoliasset.

A οὕτως · ἀλλ' ἔδωκε νόμον, προφήτας, καὶ μετὰ ταῦτα τὸ Εὐαγγέλιον, οὐ χρόνῳ τὸ συμφέρον μεταμαθών, ἀπ' ἀρχῆς δὲ εἰδώς, ὡς οὐχ οἷόν τε ἄλλως ἦν τὴν κτίσιν, καὶ τὸν ἐν αὐτῇ ἄνθρωπον οὔτε γενέσθαι, οὔτε παιδαγωγηθῆναι, οὔτε τὸ τῆς ἀφθαρσίας ἀξίωμα ἀναλαβεῖν · εἰ μὴ καθ' ὃν τρόπον ἡ ἄφατος πρόνοια καὶ φιλανθρωπία ᾠκονόμησεν. Ὅτι, φασὶν, εἰ προεῖδεν ἁμαρτήσειν τὸν Ἀδὰμ ὁ Θεὸς, τί καὶ προήγαγεν αὐτόν; Καὶ πολλαὶ μέν εἰσι καὶ πάγκαλοι τοῦδε τοῦ ἀπορήματος ἐπιλύσεις. Λέγει δ' οὖν καὶ ὁ θεόσοφος Ἰωάννης ὁ Χρυσόστομος, ὅτι « Οὐ τοῦτο μόνον φημὶ, ὅτι προῆδει, ἀλλ' ὅτι καὶ πεσόντα ἀναστήσει αὐτὸν διὰ τῆς οἰκονομίας · » καὶ οὐ πρῶτον εἶδεν τὴν πτῶσιν, εἰ μὴ προεπενόησεν τὴν ἀνάστασιν · ᾔδει, ὅτι πεσεῖται, ἀλλὰ προαπέθετο τῆς ἀνα- B στάσεως φάρμακον, καὶ συνεχώρησεν εἰς πεῖραν ἐλθεῖν θανάτου τὸν ἄνθρωπον. Ἵνα μάθῃ, τίνος μὲν ἀπολαύσει δι' ἑαυτόν · τίνος δὲ τῇ τοῦ πλάσαντος χάριτι · ᾔδει πεσούμενον τὸν Ἀδὰμ, ἀλλ' ἔβλεπεν ἐξ αὐτοῦ προελευσόμενον τὸν Ἄβελ, τὸν Ἐνὼς, τὸν Ἐνὼχ, τὸν Νῶε, τὸν Ἠλίαν, τοὺς προφήτας, τοὺς θαυμαστοὺς ἀποστόλους, τὴν εὐγένειαν τῆς φύσεως, τὰ θεοκίνητα τῶν μαρτύρων καὶ στάζοντα τὴν εὐσέβειαν νέφη · ἔβλεπε ταῦτα, καὶ ποῦ ἦν καλὸν, ποῦ δὲ δίκαιον, ποῦ δὲ θεοπρεπὲς, ἵνα, διότι ἔμελλεν εἷς ἄνθρωπος ἁμαρτάνειν, τοῦτον μὴ ἀναγαγεῖν ἐκ μὴ ὄντων, καὶ τοσούτων ἀνδρῶν, ὧν οὐδὲ καθ' ἕνα ἄξιος ὁ κόσμος, φορὰν ἀνακόψαι, καὶ θερίσαι πρόῤῥιζον τὴν τοσαύτην τοῦ γένους βλάστησιν καὶ καλλονὴν, καὶ κατ' αὐτῆς ἐπαφιέναι τὴν ἐκτομὴν C καὶ ὀργὴν, καὶ τότε τοῦ τὴν ἁμαρτίαν ὕστερον ἐλομένου οὔτε ἁμαρτόντος, οὔτε ἁμαρτεῖν μεμελετηκότος, ἄτε μήπω μηδ' ὑφεστῶτος ; Εἰ γὰρ σωφρόνων ἐστὶν ἀνδρῶν, τὸ μελετήσαντα μὲν ἁμαρτῆσαι, μὴ ἁμαρτήσαντα δὲ, μὴ εἰσπράττειν εὐθύνας ἁμαρτημάτων · εἴ που γε ἂν εἴη Θεοῦ, τὸν, μηδὲ μελετήσαντα ἐξαμαρτῆσαι, τὰς τῶν ἡμαρτηκότων ἀπαιτεῖν δίκας, καὶ τότε χαλεποῦ μὲν ὄντος τοῦ ἁμαρτήματος (πῶς γὰρ οὐ χαλεπὸν ἀθέτησις Δεσποτικῆς ἐντολῆς ;), οὐκ ἀνιάτου δὲ ἐσομένου τῇ ἀφάτῳ φιλανθρωπίᾳ τοῦ Πλάσαντος, καὶ τοῦ πρωτοπλάστου, εἰς τὴν ἀρχαίαν ἐπανάγεσθαι μέλλοντος εὐγένειαν · ὥστε εἰ μὴ προῆκτο, διότι ἔμελλεν ἁμαρτεῖν ὁ ἀρχέγονος, ἐδείκνυτο ἂν τὸ Θεῖον, τὸν μὴ ἁμαρτάνον- D τα κολάζων, καὶ τῆς ὕστερον ἀνακλήσεως καὶ σωτηρίας ἀποστερῶν, καὶ τοσούτων ἀνδρῶν καλῶν τε καὶ ἀγαθῶν ἔρημον τὴν κτίσιν ἀποφαίνων.

QUÆSTIO CLXII [*Coisl.* CXCII, *Taur.* CLXXXII].

Quid significat, « Primogenitus omnis creaturæ »[12] ? »

ΕΡΩΤΗΣΙΣ ΡΞΒ'.

Τί ἐστι · « Πρωτότοκος πάσης κτίσεως ; »

Editarum a Wolfio vigesima quinta (l. c., p. 800—802. Galland. p. 747, 948, n. 42). — In Coloss. I, 15.

Quando Paulus « primogenitum omnis creaturæ » appellat (Dominum), hæretici non recogitantes de

Ὅτι τοῦ θείου Παύλου εἰπόντος, « Πρωτότοκος πάσης κτίσεως, » οἱ αἱρετικοὶ, φησὶ, (90) μὴ νοήσαντες περὶ

[12] Coloss. I, 15.

NOTÆ.

(90) In ms. φασι, quod tamen ob sequens καταδιάζουσι, locum habere non potest. Itaque scripsi φησί. Fortasse Chrysostomi hæc sunt.

Digitized by Google

πολις κτίσεως λέγει, εἰς κτίσμα τὸν Υἱὸν οἱ ἀνόητοι καταδιδάζουσι· διττὴ δὲ ἡ κτίσις· ἡ μὲν γάρ ἐστιν ἡ γεγενημένη, ἡ δὲ ἡ ἀνακαινιζομένη. Αὐτὸς γὰρ Παῦλος βοᾷ· « Εἴτις ἐν Χριστῷ, καινὴ κτίσις· » ἵνα δὲ λαμπρῶς ἀποδείξῃ, ὅτι τῆς ἀνακαινισθείσης κτίσεως λέγει πρωτότοκον τὸν Χριστὸν, ἐπάγει· « Πρωτότοκος ἐκ νεκρῶν, ἵνα γένηται ἐν πᾶσι πρωτεύων· » πρωτεύων τῶν ἀνακαινιζομένων, τῶν εἰς ἀφθαρσίαν καλουμένων, τῶν ἐκ νεκρῶν ἐγειρομένων· πρωτεύων, οὐ κατὰ τὴν θεότητα· ἄπαγε· ὕβρις γὰρ Θεῷ, τὸ καλεῖσθαι πρῶτον τῶν κτισμάτων, ὃς ἀρρήτῳ λόγῳ καὶ ἀνεπινοήτῳ ὑπεροχῇ πάσης ὑπερήρτηται καὶ (91) ὑπερίδρυται φύσεως· ἀλλὰ πρωτεύει κατά γε τὴν ἀνθρωπότητα, ἀρχηγὸς ἡμῶν γεγονὼς τῆς ἀναστάσεως, καὶ τῆς ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταστοιχειώσεως. Εἰ γαρ ὁ (92) Ἠλίας τὸν υἱὸν τῆς χήρας ἤγειρε, καὶ Ἐλισσαῖος τὸν τῆς Σωμανίτιδος, καὶ αὐτὸς ὁ Σωτὴρ τεταρταῖον τότε Λάζαρον συνεξανέστησεν, ἀλλ' οὐδεὶς αὐτῶν (93) εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἐξανέστη. Πάλιν γὰρ αὐτῶν (94) ὁ θάνατος ἐκυρίευσεν. Χριστὸς δὲ ἀναστὰς ἐκ νεκρῶν οὐκ ἔτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει. Ἀλλ' οὐδὲ ἐκείνων, οὓς κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν ἀναστήσει. Ὦ κακῆς καὶ ἄφρονος ἡμῶν γνώμης! ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ αὐτοῦ Πνεῦμα (95), καὶ ἀνέλαβεν τὸ ἡμέτερον σῶμα, καὶ τὸ συνάλλαγμα προῆλθεν· καὶ λαβὼν ἡμῶν τὸ φύραμα ἀνύψωσεν αὐτὸ, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρός· καὶ ἡ ἀγνωμοσύνη τὴν εὐεργεσίαν ὑβρίζει· ἐλάβομεν ἐξ αὐτοῦ τὸ Πνεῦμα, καὶ ὑβρίζομεν ἐν κτίσμασι καὶ δούλοις αὐτὸ καταλέγοντες.

quali creatura loquatur, Filium insipientes in creaturarum numerum detrudunt. Jam vero duplex est creaturæ genus : alia est condita, alia renovata. Ipse enim Paulus clamat : « Si quis in Christo est, nova est creatura [13]. » Ut vero clare ostenderet se Christum primogenitum dicere, habito ad creaturam renovatam respectu, subjungit : « Primogenitus ex mortuis, ut primatum inter omnes obtineat [14] : » primatum scilicet inter eos, qui renovati sunt, qui ad incorruptibilitatem vocati, qui ex mortuis excitati; primatum tenet, non secundum deitatem ; absit hoc ! injurium enim fuerit, Deum primum creaturarum vocari, qui ratione quadam ineffabili et prærogativa, intellectu non assequenda, supra omnem naturam positus et eveetus est. Sed primatum tenet secundum humanitatem, dux nobis factus ad resurrectionem, et ad incorruptibilitatem ex corruptione consequendam. Quamvis enim Elias viduæ filium excitavit, Elissæus vero illum Sunamitidis, Servator denique noster Lazarum, per quatriduum mortuum, in vitam revocavit; nemo tamen eorum ad incorruptibilitatem et immortalitatem resurrexit. Mors enim in illos iterum dominata est. Christus vero, postquam ex mortuis resurrexit, non iterum moritur, mors in illum non amplius dominatur [15], sicut nec in eos, quos in secundo adventu suo excitabit. O sinistrum et insipiens nostrum judicium! Christus venit ad nos : dedit nobis Spiritum suum : assumpsit vero corpus nostrum : facta est permutatio : massam enim nostram assumptam evexit, et ad dextram Patris collocavit. Jam vero ingratus animus in beneficentiam hanc injurius est. Naturam ex nobis assumpsit, et a dextris Patris collocavit : nos ab illo accepimus Spiritum ; et vel sic injuria afficimus inter creaturas et servos illum numerantes.

ΕΡΩΤΗΣΙΣ ΡΞΓ'.

Τί ἐστι δέησις καὶ προσευχή;

QUÆSTIO CLXIII [*Coisl.* CXCIII, *Taur.* CLXXXIII].

Quid est δέησις et προσευχή [16]?

Editarum a Wolfio vigesima sexta (l. c., p. 802, 803. Galland. p. 747, 748, n. 42).

Ὅτι, φησὶ, (96) δέησις μὲν λέγεται, ὅταν τις τὸν Θεὸν ἀξιοῖ εἰς πρᾶγμα· προσευχὴ δὲ, ὅταν ὑμνῇ τὸν Θεόν· εὐχαριστία δὲ, ὅταν τις ὑπὲρ ὧν ἔπαθεν, χάριν ἀνθομολογῇ τῷ Θεῷ· ἐντυξία δὲ, ὅταν τις κατὰ τῶν ἀδικούντων ἐντυγχάνῃ τῷ Θεῷ προσκαλούμενος (97) αὐτὸν εἰς ἐκδίκησιν. Ὅτι δὲ τὸ ἐντυγχάνειν οὐκ ἔστι, φησὶν, ἱκετεύειν, ἀλλ' *ἐρωτᾶν*, καὶ *ἀπόκρισιν δέχεσθαι*, λέγει ὁ Θεὸς πρὸς τὸν Ἠλίαν· « Τί σὺ ἐνταῦ-

Δέησις, inquit, dicitur, quando quis Deum ad res suas perficiendas advocat : προσευχὴ, quando Deum laudat : εὐχαριστία, quando pro acceptis beneficiis gratias Deo agit : ἐντυξία vero, quando quis adversus injurios Deum interpellat, eumque ad ultionem sumendam excitat. Quod vero, inquit, ἐντυγχάνειν non idem sit quod ἱκετεύειν, sed idem potius quod *interrogare*, et *responsum accipere*, ap-

[13] II Cor. v, 17 [14] Coloss. i, 18. [15] Rom. vi, 9. [16] I Tim. ii, 1.

NOTÆ.

(91) ὑπερήρτηται καί, ex Colbert.
(92) καὶ Ἠλίας, Colb.
(93) Colb. pro αὐτόν.
(94) Ita scribo pro αὐτόν.
(95) Fortasse legendum est αὐτόν, ut ad Christum referatur, quando nunc ad Πνεῦμα, proxime antecedens, spectat.
(96) Chrysostomi hæc sunt, quem Noster mox appellat. Apud eum tamen illa ad h. l. non invenio.
(97) Colb. pro προκαλούμενος. Idem mox ἔτι pro ἐστί, male.

Digitized by Google

paret ex eo, quod Deus ad Eliam ait : « Quid tu hic agis, Elia? » Hic interrogatus propheta respondet : « Zelo zelatus sum propter Dominum omnipotentem, quia te deseruerunt filii Israel [17], » etc. Hoc loco non est δέησις (precatio), sed interrogatio et responsio. Ex utroque autem nascitur ἔντευξις. Unde vero hoc manifestum est? Audi Paulum ita loquentem : « Nonne legistis apud Eliam prophetam, quod dicit Scriptura, quod interpellarit Deum contra Israelem [18]? » Itaque ἐντυχία non idem est quod δέησις. Atque hæc quidem habet Chrysostomus. Juvat vero accuratius in harum vocum differentiam inquirere, ac simul ostendere, quod non solum copia sua dicendæ sint sufficere, sed etiam illis, qui eas solertius excutere voluerint, intemeratæ et salvæ appareant.

Α Θα, Ἠλία; » ἀποκρίνεται ἐρωτηθεὶς ὁ προφήτης· « Ζηλῶν ἐζήλωκα Κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε υἱοὶ Ἰσραήλ, » καὶ ἐξῆς. Καὶ οὐκ ἔστιν ἐνταῦθα δέησις, ἀλλ' ἐρώτησις καὶ ἀπόκρισις. Καὶ γέγονεν τὸ ἐξ ἀμφοῖν ἔντευξις. Καὶ πόθεν δῆλον; Παύλου λέγοντος ἄκουσον· « Οὐκ ἀνέγνωτε ἐν Ἠλίᾳ τῷ προφήτῃ, τί λέγει ἡ Γραφή, ὡς ἐντυγχάνει τῷ Θεῷ, κατὰ τοῦ Ἰσραήλ; » Οὐκοῦν ἐντυχία οὐκ ἔστι δέησις. Ἀλλὰ ταῦτα μὲν ὁ Χρυσόστομος. Δεῖ δ' οὖν ἔτι λεπτομερέστερον τὰς διαφορὰς τῶν εἰρημένων ὀνομάτων ἐπισκέψασθαι, καὶ ἐπιθεωρῆσαι, ὅτι μὴ τῷ πλήθει μόνον ἱκανὰ εἶναι λέγεσθαι, ἀλλὰ καὶ τοῖς δεινότερον διακωδωνίζειν ταῦτα βουλομένοις ἀνάλωτα καὶ ἀνεπηρέαστα διαμένειν.

B

QUÆSTIO CLXIV [*Coisl.* CXCIV, *Taur.* CLXXXIV].

ΕΡΩΤΗΣΙΣ ΡΞΔ'.

« *Neque enim pudet me Evangelii : justitia enim Dei* [18*], » etc.

« *Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον· δικαιοσύνη γὰρ Θεοῦ,* » *καὶ ἑξῆς.*

Editarum a Wolfio vigesima septima (l. c., p. 805-809. Galland p. 748-750, n. 45). — In Rom. I, 16, 17.

Paulus ait : « Non pudet me Evangelii : justitia enim Dei in illo revelatur. » Quomodo vero justitia Dei in illo revelatur? quomodo? inquam. In eo, quod lex prima Judæis solis data est, non autem cæteris hominibus, eumdem alioquin Conditorem eamdemque naturam habentibus : contra Evangelium omnibus eodem genere ortis æqualiter competit. In illo vero justitia Dei revelatur, idemque justitiæ Evangelium vocatur. In Veteri itaque Testamento vocatio non erat justa; neque enim omnes pariter vocabat aut illuminabat; sed Judæos solos. Itaque non erat justa, sed œconomica, quæque viam justitiæ muniret. Absit, ut hanc justam, illam vero injustam, appellem! Imo vero hanc viam et præparationem ad istam esse suspicantes Judæi, putabant, et Evangelium sibi etiam solis, sicut olim legem, datum iri. Præter spem vero exspectatio hæc aliter cecidit. Propterea et David ait : « Exspectavimus, o Deus, misericordiam tuam in medio populi tui [19]. » Et mox : « Prout nomen tuum est, Deus, ita etiam gloria tua [20] : » non solum in medio populi tui, sed et super omnes fines terræ. Ostensurus autem justitiæ esse omnium terræ finium misereri, addit : « Dextra tua plena est justitiæ; Dominus regnavit [21]. » Quomodo vero dicitur : « regnavit Deus? » Nonne ideo, quod regiam illam dignitatem recens accepit? Si enim dixisset : Dominus regnat, æternum ejus

Ὅτι φησὶν ὁ Παῦλος, « Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον· δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται. » Πῶς οὖν δικαιοσύνη Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται; Πῶς (98); Ἐπειδὴ ὁ πρῶτος νόμος Ἰουδαίοις μόνοις ἐδέδοτο καὶ (99) οὐ τῶν ἄλλων ἀνθρώπων, τῆς αὐτῆς ὑπαρχόντων δημιουργίας καὶ φύσεως, τὸ δὲ Εὐαγγέλιον πᾶσιν ὁμοτίμως τοῖς ὁμοφυέσιν εἰκότως· ἐν αὐτῷ δικαιοσύνη Θεοῦ ἀποκαλύπτεται (1), καὶ καλεῖται δικαιοσύνης Εὐαγγέλιον. Ἐν τοίνυν τῇ Παλαιᾷ Διαθήκῃ οὐκ ἦν ἡ κλῆσις δικαία· οὐ γὰρ ὁμοίως πάντας ἐκάλει καὶ ἐφώτιζεν· τοῖς Ἰουδαίοις δὲ μόνοις (2). Οὐκ ἦν οὖν δικαία, ἀλλ' οἰκονομική, προπαρασκευάζουσα ὁδὸν τῇ δικαιοσύνῃ· οὐ λέγω ταύτην δικαίαν, κἀκείνην ἄδικον. Ἀλλ' ἐκείνην ὁδὸν ταύτης καὶ προκατασκευὴν ταύτης ὑπελάμβανον οἱ Ἰουδαῖοι, ὅτι καὶ τὸ Εὐαγγέλιον αὐτοῖς δοθήσεται καὶ μόνοις, ὥσπερ καὶ ὁ νόμος· ἐξέβη δὲ παρ' ἐλπίδας ἡ προσδοκία· διὸ καὶ Δαβὶδ λέγει· « Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου· » εἶτα, « Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου· οὐχὶ ἐν μέσῳ τοῦ λαοῦ σου μόνου, ἀλλὰ ἐπὶ τὰ πέρατα τῆς γῆς· καὶ ἵνα δείξῃ, ὅτι τὸ ἐλεῆσαι τὰ πέρατα τῆς γῆς δικαιοσύνης ἐστὶν, ἐπάγει· « Δικαιοσύνης πλήρης ἡ δεξιά σου. Ὁ Κύριος ἐβασίλευσεν· » πῶς, « ὁ Κύριος ἐβασίλευσεν; » ἆρ' ὡς πρόσφατον λαβὼν τὸ τῆς βασιλείας ἀξίωμα; εἰ μὲν γὰρ εἶπεν· Ὁ Κύριος βασιλεύει, τὴν ἀΐδιον

[17] I Reg. XIX, 9 seqq. [18] Rom. II, 2. [18*] Rom. I, 16. [19] Psal. XLVII, 9. [20] Psal. XCII, 1. [21] Psal. XCV, 9; XCVI, 1; XCVIII, 1.

NOTÆ.

(98) πῶς οὖν — πῶς; sunt ex Colbert.

(99) οὐ Colb. male omittit. Memineris quoque hic subintelligendum esse τοῖς, hoc sensu : καὶ οὐ τοῖς τῶν ἄλλων ἀνθρώπων.

(1) ἀποκαλύπτεται debeo Colbertino.

(2) Legendum fuerit, τοὺς Ἰουδαίους δὲ μόνους, sc. ἐκάλει, nisi ex superioribus repetere velis ἐδέδοτο.

Digitized by Google

αὐτοῦ ἐρμήνευεν ἐξουσιαν. Εἰπὼν δὲ, ἐβασίλευσεν, A dominium indicasset. Quando vero ait, regnavit, τὴν διὰ σαρκὸς αὐτοῦ οἰκονομίαν λέγει, δι' ἧς ἡ φύσις ἡμῶν τὴν ἐπικράτειαν τοῦ διαβόλου τῆς ἁμαρτίας τοῦ θανάτου ἀποσεισαμένη ἐπέγνω Πλάστην τὸν ὡς ἀληθῶς βασιλέα, τὸν χορηγὸν τῆς ἀφθαρσίας (3) τῆς ἀναστάσεως. Εὐαγγελίζεται τοίνυν ὁ Δαβὶδ τοῖς ὑπὸ τῆς ἁμαρτίας, ὑπὸ (4) τοῦ θανάτου, ὑπὸ τοῦ διαβόλου πάλαι βασιλευομένοις, ὅτι ὁ ζυγὸς ἐκεῖνος συντέτριπται, τὸ κράτος λέλυται, καὶ βασιλεύει πάντων ὁ Κύριος, ὡς καὶ αὐτὸς μετὰ τὴν ἀνάστασιν ἔφη· « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. » Πρὶν δὲ ἐβασίλευσεν ἡμῶν ὁ θάνατος καὶ ἡ ἁμαρτία· « Ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, » καὶ ἑξῆς· καὶ ὁ Σωτὴρ περὶ τοῦ διαβόλου· καὶ, « Εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐμερίσθη ἡ βασιλεία αὐτοῦ· » ὥστε ἐβασίλευσεν B πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ τοῦ γένους ἡμῶν ὁ Σατανᾶς, ἀλλὰ καὶ ἡ ἁμαρτία. Λέγει γὰρ πάλιν ὁ Παῦλος· « Ὥσπερ γὰρ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, οὕτω καὶ ἡ χάρις βασιλεύει διὰ Χριστοῦ. » — « Ὁ Κύριος ἐβασίλευσεν· » πέπαυται τῆς ἁμαρτίας τὸ κράτος, τοῦ θανάτου, τοῦ διαβόλου· οὐκοῦν ἀγαλλιάσθω ἡ γῆ, ἡ φύσις γηγενὴς, ἡ ποτὲ πλανωμένη, νῦν δὲ δοξαζομένη, ἡ ποτὲ ἐν τάφοις, νῦν ἐν θρόνοις. Ὅτι, φησὶν, οἰκονομίας ἦν τὰ πλεῖστα τῶν ἐν τῇ Παλαιᾷ, ἀλλ' οὐκ ἀρεσκείας Θεοῦ καὶ προηγουμένης εὐδοκίας· καὶ τύποι τῶν μελλόντων καὶ σκιαί· ἀλλ' οὐκ αὐτὰ (5) τὰ πράγματα. Καὶ ἔστιν ἰδεῖν ἐπ' αὐτῶν ἄλλα μὲν τὰ σχήματα, ἄλλα δὲ τὰ νοήματα· οἷον πάντως Θεὸς C οὐκ (6) ἀναπαύεται ὑακίνθῳ καὶ πορφύρᾳ, καὶ κόκκῳ, καὶ βύσσῳ. Θεὸς γὰρ ψυχῶν ἀπαιτεῖ καθαρότητα, οὐ σωμάτων ἄνθη, καὶ λαμπρότητα, ἀλλ' ἐν ταῖς σωματικαῖς φαιδρότησι τὴν εἰκόνα τῶν ἀρετῶν διαγράφει. Εἰ γὰρ ταῖς στολαῖς ἐκείναις ὡς ἀληθῶς ἀνεπαύετο, πῶς τὸν Μωϋσῆν πρὸ τοῦ Ἀαρὼν οὐκ ἐνέδυσεν· ἀλλ' ἦν ἐκεῖνος οὐκ ἐνεδύσατο, ταύτην τοὺς ἱερέας ἡμφίασεν; καὶ Μωσῆς μὲν οὐκ ἐλούσθη ὕδατι καὶ ἔλουεν· διὰ τί; ἵνα μάθῃς (7), ὅτι οὐκ ἦν ταῦτα προηγούμενα τῷ Θεῷ, ὅτι τῷ τελείῳ πρὸς κόσμον ἀρκεῖ ἡ ἀρετὴ (8), καὶ ὅτι ταῦτα τύπος ἦν ἀρετῆς, ἀλλ' οὐκ ἀρετή.

illa, quæ ab eo in carne gesta sunt, indicat, quibus factum est, ut natura nostra, diaboli, peccati mortisque imperium amolita, Conditorem suum, verum illum regem, ut ducem resurrectionis et incorruptibilitatis agnosceret. David igitur illis, in quos mors et diabolus olim dominatus erat, lætum hunc nuntium affert, quod jugum illud fractum sit, potestas abolita, et Dominus omnibus imperet, quemadmodum et ipse post resurrectionem dicit : « Data est mihi omnis potestas in cœlo et in terra[22]. » Antea vero mors et peccatum nobis dominabatur. « Mors enim dominata est ab Adamo ad Mosen[23], » etc. Servator vero de diabolo ait : « Et si Satanas Satanam expellit, regnum ejus divisum est[24]. » Itaque ante adventum Christi genti nostræ dominatus est Satanas, imo et peccatum. Paulus enim iterum ait : « Sicut enim peccatum regnavit in mortali nostro corpore, ita etiam gratia regnat per Christum[25]. » — « Dominus regnavit; » desiit peccati, mortis, diaboli robur. Itaque exsultet terra, natura terrana, olim erroribus jactata, jam vero glorificata, olim sepulta, nunc in throno collocata. Pleraque, ait, Veteris Testamenti per œconomiam quamdam agebantur, Deo vero non per se placebant, aut voluntati ejus præcipuæ satisfaciebant. Typi et umbræ erant futurorum, non res ipsæ. Itaque in illis alias figuras, alia vero sensa conspicere licet. Ita Deus non penitus acquiescit in hyacintho aut purpura, aut cocco, aut bysso. Deus enim animarum puritatem requirit, non corporum florem aut splendorem; illis vero, quæ in corpore splendent, virtutum imaginem exprimit. Quod si enim stolis illis vere delectaretur, quare Mosen non præ Aarone induit, sed, quam ille vestem non adhibuit, ea sacerdotes ornavit? Et Moses quidem nec lotus aqua est nec lavit alios. Cur ita? Ut exinde disceres, talia non esse apud Deum præcipua, perfectoque homini ad ornatum sufficere virtutem, ista denique omnia virtutes adumbrasse quidem, sed non ipsam fuisse virtutem.

QUÆSTIO CLXV.

Ὅτι ἐπὶ τῆς κεφαλῆς ἔφερε, φησὶν, ὁ ἀρχιερεὺς τιάραν (9);

ΕΡΩΤΗΣΙΣ ΡΞΕ'.

Quare summum pontificem in capite iaram habuisse dicatur?

Editarum a Wolfio vigesimæ septimæ pars posterior (l. c., p. 807).

Διότι τὸν προχειριζόμενον ἁπάντων κεφαλὴν κατὰ D Quia qui omnibus instar capitis esset præ-

[22] Matth. xxviii, 18. [23] Rom. v, 14. [24] Matth. xii, 26. [25] Rom. v, 21.

NOTÆ.

(3) Suspicor excidisse καί.
(4) ὑπό addidi ex Colbert.
(5) Sic Colb. pro οὐ — κατά.
(6) οὐκ addidi, quod sensus postulat.
(7) Idem pro μὴ θαῖς.
(8) Ita scribo pro, ἡ ἀρετή.
(9) Non est hæc quæstio in cod. Coislin. et Taurin. Ex hac quæstione in nonnullis codicibus, v. gr., Vaticano 430, f. 155 *a*, pars quædam seorsim descripta est sub titulo : Τίνος χάριν τίθεται τὸ Εὐαγγέλιον τῇ κεφαλῇ τοῦ χειροτονουμένου; *Cur Evangelium in capite ordinandi imponatur?* Falluntur historiæ literariæ scriptores, dum peculiarem Photii librum, ab Amphilochianis quæstionibus diversum, hac de re commemorant. Ang. Mai. — Hæc quæstio quam ut ineditam edidit Ang. Mai (*Vet. Script. nov. coll.*, t. IX, 102, 103), pars est posterior vigesimæ septimæ a Wolfio editarum. Edit.

Digitized by Google

fectus, super capite potestatem habere oportebat, atque inde colligere, quod, quamvis capite cæteris emineat, ipse tamen sub capite, communi scilicet omnium Domino et imperatore, sit constitutus. Imperium enim penitus liberum et legibus solutum grave est, et ferri vix potest. Propterea et in Novo Testamento illi, qui sacerdotio summo inaugurantur, Evangelii librum capiti impositum habent, ut officio huic initiatus intelligat, se veram Evangelii tiaram accepisse, seque, etiamsi aliorum caput sacro ritu sit constitutus, vel sic tamen legibus iisdem subjectum esse, aliisque imperantem legis imperio teneri. Itaque tiara illa potestatem significabat, tum, quam in populum habebat, tum, cui ipse adversus Deum erat subjectus. Porro bractea aurea, cui Dei nomen erat insculptum, pectori incumbebat, eademque opera significabat, cordis affectus probe observandos, eosdemque ad summi Numinis nutum esse accommodandos. In humeris præterea smaragdi duo, sex tribuum nomina hinc, illinc vero totidem expressa habentes. Illi vero symbolum erant pulchritudinis seu formæ sacerdotem decentis. Smaragdus enim, lapis viriditate decora et pellucida puritate instructus, speculi facultatem subindicat. Sacerdotem enim virtutum exercitio vigilare, vitamque suam illis, qui sibi sunt subjecti, instar speculi repræsentare oportet. In humero vero hærebat smaragdus, quoniam actionis erat indicium. Agendi enim potentia ab humeris pendet. Propterea etiam Deus ad Jerusalem inquit: « Cor tuum humeris tuis impone, honoratissima filia, quia Dominus te in salutem creavit [26]. » Nam et manus et humeros de actionibus accipit Scriptura, quando, v. g., de Davide ait: « Et in prudentia manuum suarum duxit eos [27]. » Oraculo porro illi, quod pectori erat aptatum, duodecim lapides infixi erant, qui duodecim tribus significabant. Hic velim observes, supra quidem et in humeris unum omnino lapidem, smaragdum scilicet, infra autem et in pectore duodecim fuisse. Hoc vero subinnuit, nos omnes olim quidem eodem genere ortos esse, procedente vero tempore in diversa studia scissos. Itaque aliud studio nostro, aliud naturæ fertur acceptum. Sub fimbria sacerdotis conspiciebatur margo, λῶμα dictus, ex quo flores mali punici, mala punica aurea et tintinnabula pendebant. Quomodo vero hæc Deo per se et ratione præcipui consilii sui placere poterant? Imo vero ipso hoc sacerdotis habitu virtutes depingi faciebat. Quī infra erant flores et fructus, præclaras quasque virtutes, quales sunt eleemosyna, justitia, humanitas, et reliquarum illis similium coronam repræsentabant.

κεφαλῆς ἔχειν τὴν ἐξουσίαν (10) ἔδει, καὶ εἰδέναι, ὅτι κεφαλῇ τῶν ἄλλων προβαλλόμενος καὶ αὐτὸς ὑπὸ κεφαλὴν ἐστι τὸν κοινὸν ἁπάντων Δεσπότην καὶ ἐξουσιαστήν. Ἀπολελυμένη γὰρ αὐθεντεία καὶ αὐτόνομος ἀφόρητός (11) ἐστιν καὶ χαλεπή. Διὰ τοῦτο καὶ ἐν τῇ χάριτι οἱ ἀρχιερατεύειν τελούμενοι, τὸ Εὐαγγέλιον ἐπὶ κεφαλῆς δέχονται, ἵνα μάθῃ ὁ χειροτονούμενος, ὅτι τὴν ἀληθινὴν τοῦ Εὐαγγελίου τιάραν λαμβάνει καὶ ὅτι, εἰ καὶ τῶν ἄλλων ἱερουργεῖται κεφαλῇ (12), ἀλλ' οὖν καὶ αὐτὸς ὑπὸ τούτους (13) τελεῖται τοὺς νόμους, καὶ τῶν ἄλλων κρατῶν κρατεῖται τῷ νόμῳ. Ἀλλ' ἡ μὲν τιάρα τὴν ἐξουσίαν ἐτύπου, ἣν τε αὐτὸς εἶχεν τοῦ λαοῦ, καὶ ὑφ' ἣν αὐτὸς ἀνεφέρετο τοῦ Θεοῦ· τὸ δὲ πέταλον τὸ χρυσοῦν, ἐν ᾧ τὸ ὄνομα ἐκεκόλαπτο τοῦ Θεοῦ, ἐπέκειτο μὲν τῷ στήθει, φυλακῆς δ' ἐπεῖχε τύπον τῶν ἐν καρδίᾳ κινημάτων· καὶ ὡς δεῖ ταῦτα καταῤῥυθμίζειν (14) τῇ πρὸς τὸ Θεῖον νεύσει καὶ ἀναφορᾷ· ἐπὶ δὲ τῶν ὤμων σμαράγδου λίθοι δύο, ἔχοντες τὰς ἓξ φυλὰς ἐντεῦθεν, καὶ τὰς ἓξ ἐντεῦθεν. Οὗτοι δὲ σύμβολον ἦσαν τῆς ὄψεως τῆς ἀρχιερατικῆς· ἔχει γὰρ ἡ τοῦ σμαράγδου ψῆφος καὶ χλωρότητα εὐπρεπῆ, καὶ καθαρότητα διαυγῆ, κατόπτρου δύναμιν ὑποφαίνουσα. Καὶ γὰρ δεῖ τὸν ἱερέα καὶ ἀσκήσει νήφειν, καὶ τὸν βίον τοῖς ὑπ' αὐτὸν ὥσπερ κάτοπτρον παρέχειν· ἐπὶ τὸν ὦμον δὲ ἡ σμάραγδος, ἐπειδὴ πράξεώς ἐστιν σημεῖον· ἡ γὰρ πρακτικὴ δύναμις τῶν ὤμων ἤρτηται· διὸ καὶ ὁ Θεὸς πρὸς τὴν Ἱερουσαλὴμ λέγει (15)· « Θὲς τὴν καρδίαν σου ἐπὶ τῶν ὤμων σου, θύγατερ ἡ τιμωμένη, ὅτι Κύριος κτίζει σε εἰς σωτηρίαν· » καὶ γὰρ τὰς χεῖρας καὶ τοὺς ὤμους εἰς πράξεις ἡ Γραφὴ λαμβάνει, ὡς ὅταν λέγει περὶ τοῦ Δαβίδ· « Καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτῶν ὡδήγησεν αὐτούς. » Ἐνῆσαν δὲ τῷ λογίῳ, τῷ ἐπὶ τοῦ στήθους καὶ οἱ δώδεκα λίθοι ἐνηρμοσμένοι, τὰς δώδεκα φυλὰς ὑποδηλοῦντες. Καὶ ὅρα· ἄνω μὲν, καὶ ἐπὶ τῶν ὤμων μία ἦν φύσις τῶν λίθων ὁ σμάραγδος, κάτω δὲ καὶ ἐπὶ τοῦ στήθους οἱ δώδεκα· αἰνιττομένου τοῦ λόγου, ὅτι ἄνωθεν μὲν ἅπαντες ἐκ μιᾶς προήλθομεν φύσεως· προϊόντος δὲ τοῦ χρόνου διαφόροις γνώμαις ἐμερίσθημεν (16)· καὶ τὸ μὲν δίδωσι τῇ γνώμῃ, τὸ δὲ τῇ φύσει· ὑπὸ δὲ κράσπεδον τοῦ ἱερέως, τὸ λεγόμενον λῶμα, ἄνθη ῥόας, καὶ ῥοΐσκοι χρυσοῖ, καὶ κώδωνες ἀπῃώρηντο· καὶ πῶς ἂν εἴη Θεῷ ταῦτα κατὰ πρῶτον λόγον ἀρέσκοντα; ἀλλ' ἐν τῷ σχήματι τοῦ ἱερέως ἐφῆκεν ἐξεικονίζεσθαι τὰς ἀρετάς· κάτω ἄνθη καὶ καρποὶ τὰ τῶν ἀρετῶν κατορθώματα, ἅτινά ἐστιν ἐλεημοσύνη καὶ δικαιοσύνη καὶ φιλανθρωπία, καὶ τῶν ἄλλων ὁ σύστοιχος χορός.

[26] Jerem. xxxi, 22. [27] Psal. lxxvii, 78.

NOTÆ.

(10) Phrasi utitur Paulina I Cor. xi, 10.
(11) Sic scribo pro ἀφόριστος.
(12) Malim κεφαλή.
(13) Colb. pro ὑπὸ αὐτούς.
(14) Sic scribo pro καθαριθμήζειν, nisi scribi malis καταῤῥυθμῆσαι.
(15) Ubi tamen hodie apud τοὺς LXX legitur ὃς pro θές.
(16) Ita scripsi pro ἐμερίσθησαν, pendet enim ab antecedente προήλθομεν.

Digitized by Google

Ὅτι (17), φησὶν, μὴ μεταβαλλε ῥήματα Θεοῦ ζῶντος· εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθης, τί ἀναιρεῖς (18) τὰ ὀνόματα τὰ ζῶντα καὶ εἰσάγεις ὀνόματα λογισμῶν, γέννημα λέγων, καὶ ἀγέννητον, καὶ γεννητὸν, ὃν ἀεὶ, καὶ μὴ ὂν ἀεί, Τούτων ἀνέχεται Θεὸς τῶν ματαίων ῥημάτων; ἓν ῥῆμα ἵνα μεταβάλῃ, προφήτας ποτὲ ἐκινδύνευσεν ἀπολέσαι. Καὶ βλέπε ῥήματος μικροῦ ἀκριβολογίαν· Τὰ ῥήματα τῶν προφητῶν τινες ἐκάλουν ὑπὸ ἀπειρίας (19) λῆμμα Κυρίου· λέγει ὁ Θεὸς διὰ Ἱερεμίου (20)· « Ἐὰν ἐρωτήσῃ σε ὁ λαὸς, ἢ ὁ ἱερεὺς, ἢ ὁ προφήτης, καὶ εἴποι σοι, Τί τὸ λῆμμα; εἰπὲ αὐτοῖς, ὅτι Τὸ λῆμμα Κυρίου ὑμεῖς ἐστε. Λήψομαι γὰρ ὑμᾶς λῆμμα, καὶ ῥάξω ὑμᾶς, ἵνα μὴ λέγητε λῆμμα. » Ἓν ῥῆμα ἵνα μὴ μεταποιηθῇ, ἀπειλεῖ ὁ Θεός· καὶ σὺ ὁλόκληρον δογμάτων ἀκρίβειαν; διαστρέφων νομίζεις διαφυγεῖν τὰς τοῦ Θεοῦ χεῖρας;

A Ne immutes, inquit, verba Dei viventis. In Patrem, Filium, et Spiritum sanctum baptizatus es. Quare nomina viva tollis, et nomina cogitationum tuarum invehis, progeniem, et ingenitum et genitum, semper exsistens, et non semper exsistens appellando? Num vana ejusmodi verba tolerabit Deus? Periculum olim erat, ne unum verbum ad pervertendos prophetas periret. Vide vero, quantopere voculæ parvæ ratio habeatur. Prophetarum verba nonnulli ex imprudentia λῆμμα Domini vocabant: « Si te interrogaverit populus, aut sacerdos, aut propheta, et dixerit, Quid sibi B vult λῆμμα? dic illis, Vos estis λῆμμα Domini: vos enim instar λήμματος arripiam, et confringam vos, ne dicatis amplius λῆμμα[18]. » Ibi Deus minas fecit, ne una vox mutetur: tu vero, qui universam rectamque doctrinarum seriem pervertis, manus Dei effugere te posse opinaris?

ΕΡΩΤΗΣΙΣ ΡΞϚ'.

Πῶς πρεσβευτὴς ἦλθεν ὁ Χριστὸς παρὰ τοῦ Πατρός;

QUÆSTIO CLXVI [*Coisl.* CXCV, *Taur.* CLXXXV].

Quomodo Christus legatus a Patre venerit?

Edita a Maio (l. c. p. 104.) — De Christo tanquam Patris legato.

Ὅτι ἦλθε, φησὶ, παρὰ τοῦ Πατρὸς ὁ Χριστὸς πρὸς τοὺς ἀνθρώπους πρεσβευτὴς, ἐσφάγη ὁ πρεσβευτὴς, καὶ τότε γέγονεν ἡ εἰρήνη. Ἀλλ' οἱ πρέσβεις ἐρχόμενοι καὶ δῶρα φέρουσι καὶ δῶρα λαμβάνουσι. Ποῖον οὖν ἦκε φέρων δῶρον, καὶ ποῖον ἀντέλαβε; Παράδοξον τὸ δῶρον, ὡς καὶ ὁ πρεσβευτὴς παράδοξος τὸ αἷμα αὐτοῦ φέρων ἦλθε δῶρον· τὸ σῶμα αὐτοῦ ἦλθε φέρων δῶρον· καὶ τί παρ' ἐμοῦ ἔλαβε δῶρον; Πίστιν· καὶ τί ἀντὶ αὐτῆς μοι παρέσχε; Χάριν. Ἐπίστευσα ἐγώ· ἐχαρίσατο ἐκεῖνος· ἐλύθη ἡ ἔχθρα· ὁ πρεσβευτὴς ὅταν ἔλθῃ πρὸς ἔθνος, οὐκ ἀξιοῖ τινι τῶν ἀγοραίων ἢ πενήτων διαλεχθῆναι, ἀλλ' εὐθὺς τῷ βασιλεῖ πρόσεισιν. Οὗτος δὲ ὁ πρεσβευτὴς ἦλθε, καὶ εὐθὺς πόρνῃ, καὶ λῃστῇ, καὶ τελώνῃ, καὶ μάγοις διηλέχθη. Εἶδες πρεσβευτοῦ φιλανθρωπίαν; οὐ γὰρ πρὸς ἕνα καὶ δεύτερον ἦλθεν, ἀλλὰ πρὸς τὴν κοινὴν φύσιν. Καὶ ἦλθε τὸ ἐμὸν περιβεβλημένος ἱμάτιον, ἵνα μὴ γυμνῇ τῇ θεότητι παραγενόμενος φοβήσῃ τὴν θήραν.

C Quod venerit Christus a Patre legatus ad homines, ostendit hoc: interfectus est legatus, et tunc facta est pax. Sed legati venientes dona ferunt et simul dona accipiunt. Quale ergo donum ferens venit, et quale recepit? Mirificum donum, siquidem mirabilis iste nuntius suum sanguinem in donum ferens venit. Corpus suum ferens donum venit. Quodnam autem a nobis donum accepit? Fidem; et quid pro illa mihi donavit? Gratiam. Ego credidi, ille gratificabat, soluta est inimicitia. Legatus cum venit ad gentem, non dignatur cum aliquo plebeio vel paupere conversari, sed cito regi sese offert. Legatus autem ille veniens statim cum meretrice et latrone et usurario et magis conversatur. Videsne legati philanthropiam? Non enim ad unum D vel alterum venit, sed ad omnes homines, et veniens nostro induitur vestitu, ne, si venisset, divinitate non velata, illius occursum timeamus.

ΕΡΩΤΗΣΙΣ ΡΞΖ'.

Εἰς τὸ ῥητόν (21)· « *Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθε, ἰδοὺ γέγονε καινὰ τὰ πάντα.* »

QUÆSTIO CLXVII [*Coisl.* CXCVI, *Taur.* CLXXXVI].

In oraculum illud: « Si quis est in Christo, nova est creatura; vetera transierunt, ecce nova facta sunt omnia[19]. »

Editarum a Wolfio vigesima octava (l. c., p. 810-812. Galland. XIII, 750, 751, n. 44.)

Ὅτι φασὶν οἱ Ἑλληνισταὶ, καὶ τὸ Ἰουδαΐζον· Τί κομπάζει Παῦλος; λέγων· « Τὰ ἀρχαῖα παρῆλθε, ἰδοὺ

Gentiles et Judaizantes dicunt: Quid gloriatur Paulus dicens: « Vetera transierunt: ecce omnia

[18] Jerem. xxiii, 33. [19] II Cor. v, 17.

NOTÆ.

(17) Quæ sequuntur, ea quomodo huc quadrent, non admodum video.
(18) Colb. pro ἀν ἐρεῖς.
(19) Sic scribo pro ἀπηρίας. Nisi malis ἐπηρσαῖς.
(20) In Codice, male: Ἡσαΐου.
(21) εἰς τὸ ῥητόν, accepi ex Colb.

Digitized by Google

facta sunt nova : si quis in Christo est, nova est creatura. » Ego enim, inquit, nihil novi video. Nonne vero habes oculos, ut ea perspicere possis? Adesdum, et faciam tibi oculos, ut videas. Tune vero oculos das? Imo vero. Tune Conditor es? Utique. Nonne mente captus es? Neutiquam. Oculosne itaque corporis facis? Non sane, sed, quod plus valet, mentis. Itaque et mihi oculos paras? Vel maxime. Nonne vero eos habeo? Minime. Sed tu habes? Utique. Dic, quæso, quomodo? Quod si tu templum ingressus nudum ibi simulacrum, et mutum lapidem videas, dicasque, Hic est Deus, num oculos tunc habes? Neque enim externi oculi quidquam prosunt, quando internis captus es. Vides itaque necesse esse, ut oculos tibi parem, quo lapidem videas esse lapidem, et lignum esse lignum. Oculos habes, ut videns lignum illud adores? Ego vero illud comburam. Num igitur oculos habes, qui illud, quod comburitur, Deum appelles? Homo aliquis ebrius est, et circumfertur, et deridetur, et ex homine ratione destitutus evadit. Tu vero ais : Ebriositas deus est, Bacchus; furtum deus est, Mercurius. Videsne, oculis tibi opus esse? Lex prava punit; tu vero, ea patrans, nihil sentis. Jam, quæso te, attende quomodo omnia facta sint nova. Creatura in Scriptura vocatur non solum, quando aliquid ex nihilo esse incipit, sed et quando aliquid, quod est, in melius mutatur. Deus cœlum condidit, hoc est, fecit aliquid ex nihilo : idem vero etiam creat, quando hominem impium bonum efficit. Atque hic creare idem est, quod aliquid in melius mutare. Audi porro Davidem loquentem. Quoniam enim ille et cor ejus creatum erat, adulterio vero et cæde inquinabatur, et ad cædem ferebatur, Deum precatur, et ait : « Cor novum crea in me, Deus [20]; » non quidem, quod ante non habebat cor, sicut nec de cordis essentia, sed de optima, quæ illud ornat, conditione loquitur. Vides itaque quod creatura vocetur non solum, si ex nihilo aliquid existere incipit, sed etiam, si quid quoad essentiam corruptum in melius mutetur. Ita meretrix conditur, si fiat casta; ita rapax, si evadat misericors. Ita in ovem mutatur lupus, et in columbam accipiter. Duo itaque sunt creationis genera. Propterea etiam lavacrum dicitur creatio, lavacrum, inquam, regenerationis. « Exuentes enim, inquit, hominem veterem, induentes autem novum, qui regeneratus est ad imaginem ejus, qui eum condidit. » Vides itaque, quod nova aliqua sit creatura. Quid enim mihi prodest, si cœlum fiat novum, et terra nova, ergo vero peccatis inveteravi? Cœlum domus est, ego vero in eo diversor et ægroto. Quando medi-

A γέγονε τὰ πάντα καινά· εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις; » ἐγὼ γάρ, φησὶ, καινὸν οὐδὲν βλέπω. Οὐ γὰρ ἔχεις ὀφθαλμοὺς, ἵνα ἴδῃς ταῦτα; Δεῦρο, καὶ ποιήσω σοι ὀφθαλμοὺς, καὶ ὁράσεις (22)· Καὶ σὺ ποιεῖς ὀφθαλμούς; Ναί. Καὶ δημιουργὸς εἶ; Καὶ πάνυ. Σὺ ἀπονενόησαι; Οὐχί. Οὐκοῦν ποιεῖς (23) ὀφθαλμοὺς τοῦ σώματος; Οὔ· ἀλλὰ τὸ μεῖζον, τῆς διανοίας. Καὶ ποιεῖς μοι ὀφθαλμούς; Μάλιστα. Οὐ γὰρ ἔχω; Οὐχί. Σὺ δὲ ἔχεις; Ναί. Πῶς; εἰπέ μοι. Ὅταν ἀπέλθῃς εἰς ναὸν, καὶ ἴδῃς ἐκεῖ ξόανον γυμνὸν, λίθον ἄφωνον, καὶ εἴπῃς· Οὗτος ὁ Θεός ἐστιν· ἆρα ὀφθαλμοὺς ἔχεις; μὴ γὰρ ὄφελός τι τῶν ἔξωθεν ὀφθαλμῶν τῶν ἔνδον πεπηρωμένων; Ὁρᾷς ὅτι χρείαν ἔχεις ἵνα ποιήσω σοι ὀφθαλμοὺς, ὥστε τὸν λίθον σε ἰδεῖν λίθον, καὶ τὸ ξύλον, ξύλον· ὀφθαλμοὺς ἔχεις, ὅταν B ἴδῃς ξύλον, καὶ προσκυνήσῃς· καὶ λαβὼν ἐγὼ, αὐτὸ καύσω. Ἆρα ἔχεις ὀφθαλμοὺς τὸ καιόμενον Θεὸν ὀνομάζων; ὅταν τὰ πάθη θεοποιεῖς, ὀφθαλμοὺς ἔχεις; μεθύει ὁ ἄνθρωπος, καὶ περιφέρεται, καὶ καταγελᾶται· καὶ γίνεται ἀντὶ τοῦ ἀνθρώπου ἄλογος. Σὺ δὲ λέγεις· Ἡ μέθη θεὸς, ὁ Διόνυσος· ἡ κλοπὴ θεὸς, ὁ Ἑρμῆς· ὁρᾷς, ὅτι χρεία σοι ὀφθαλμῶν; ὁ νόμος τὰ πάθη κολάζει· καὶ σὺ ταῦτα ποιῶν οὐκ αἰσθάνῃ; εἰ βούλει δὲ, πρόσχες, ὅπως γέγονε πάντα καινά. Κτίσις ἐν τῇ Γραφῇ λέγεται, ἡ οὐ μόνον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴ, ἀλλὰ καὶ ἡ ἐκ τοῦ ὄντος ἐπὶ τὸ βέλτιον μεταβολή. Ἔκτισεν ὁ Θεὸς τὸν οὐρανόν· τοῦτό ἐστιν ἐκ τοῦ μὴ ὄντος ἐργάσασθαι· κτίζει, καὶ ὅταν τὸν πονηρὸν ἄνθρωπον καλὸν C ἀπεργάσηται· ἐνταῦθα τὸ κτίζειν ἐστὶν ἐπὶ τὸ βέλτιον μεταβολή. Καὶ ἄκουσον τοῦ Δαβὶδ λέγοντος· ἐπειδὴ γὰρ ἦν αὐτὸς καὶ ἡ καρδία αὐτοῦ ἐκτισμένη, ἐρρυπώθη δὲ τῇ μοιχείᾳ, καὶ τῷ φόνῳ, καὶ πρὸς φθορὰν κατεφέρετο, παρακαλεῖ τὸν Θεὸν, καὶ λέγει· « Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. » Οὐχ ὅτι πρότερον οὐκ εἶχε καρδίαν· οὐδὲ περὶ τῆς οὐσίας τῆς καρδίας λέγει, ἀλλὰ περὶ τῆς κοσμούσης αὐτὴν ἀρίστης πολιτείας. Ἰδοὺ τοίνυν κτίσις λέγεται, οὐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴ, ἀλλὰ καὶ ἡ τῆς οὐσίας διαφθαρείσης εἰς τὸ βέλτιον μεταβολή· οὕτω κτίζεται σώφρων ἡ πόρνη, οὕτως ἐλεήμων ὁ ἅρπαξ· οὕτω μεταβάλλεται εἰς πρόβατον ὁ λύκος, καὶ ὁ ἱέραξ εἰς περιστεράν· δύο κτίσεις. Διὰ τοῦτο καὶ τὸ λουτρὸν κτίσμα λέγεται· τὸ λουτρὸν D λέγω τῆς παλιγγενεσίας. « Ἀποδυσάμενοι γὰρ, φησὶ, τὸν παλαιὸν ἄνθρωπον, ἐνδυσάμενοι δὲ τὸν νέον, τὸν ἀναγεννώμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν (24). » Ὁρᾷς οὖν ὅτι ἐστὶ καινὴ κτίσις. Τί γάρ μοι ὄφελος, ἐὰν γένηται ὁ οὐρανὸς καινὸς, καὶ γῆ καινὴ, ἐγὼ δὲ ταῖς ἁμαρτίαις πεπαλαίωμαι; ὁ οὐρανὸς οἶκός ἐστιν, ἐγὼ δὲ ὁ διαιτώμενος ἐν αὐτῷ, καὶ νοσῶν. Ἐὰν ἰατρὸς εἰς τὴν οἰκίαν τοῦ ἀῤῥωστοῦντος εἰσέλθοι, καὶ τοῦ μὲν οὐδεμίαν πρόνοιαν λάβοι, λευκαίνει δὲ

[20] Psal. L, 11.

NOTÆ.

(22) Colb. καὶ ὁρᾷς.
(23) Idem, ποίησον.
(24) Coloss. III, 10, ubi tamen hodie codices nonnihil aliter habent.

Digitized by Google

τοὺς τοίχους, καὶ χρυσογραφεῖ τὸν δροφον, οὐκ ἂν εἶπες αὐτῷ, Ἄνθρωπε, ἀνάστησον τὸν νοσοῦντα · τί τὴν οἰκίαν καλλωπίζεις ; βοήθησον τῷ κειμένῳ. Καὶ ὁ Χριστὸς εἰσῆλθεν εἰς τὸν κόσμον τοῦτον, ἐν ᾧ κατακειμένην εὗρεν τὴν φύσιν μου νοσοῦσαν, καὶ πρὸς τὴν θεραπείαν αὐτῆς ἅπαντα δέχεται τὸν ἀγῶνα, καὶ ἀνακαινίζει, καὶ ἀνορθοῖ τὴν φύσιν. Τί οὖν τὸν ἰατρὸν μέμφῃ, ὅτι μὴ ταῦτα ἐποίει · τὸν Χριστὸν δὲ πάλιν ὑπὸ μῶμον ποιεῖς, ὅτι ταῦτα ποιεῖ ; οὕτω παρῆλθεν τὰ ἀρχαῖα · οὕτω γέγονε τὰ πάντα καινά · οὕτω καινὴ κτίσις · καὶ μυρία ἄν τις τοιαῦτα ἐπισυνάπτῃ.

A cus ægroti domum intraverit, nullaque habita ægroti cura, muros dealbaverit, tectumque aureis ornaverit figuris, nonne ad eum dixeris, Mi homo, excita ægrotum ; quid domum ornas ? juva decumbentem. Ita Christus quoque mundum hunc ingressus est, in quo naturam meam ægrotantem et decumbentem invenit ; inque ea sananda omnem operam collocat, renovatque naturam et restituit. Quid igitur medicum culpas, quod illud non fecerit ? Christo vero vitio vertis, quod fecerit illud ? Ita transierunt vetera ; ita omnia facta sunt nova ; ita nova facta est creatura : cujusmodi sane infinita aliquis attulerit.

ΕΡΩΤΗΣΙΣ ΡΞΗ'.

QUÆSTIO CLXVIII [*Coisl.* CXCVII, *Taur.* CLXXXVII].

B

Διὰ τί ὁ Ἀπόστολος, ὅταν περὶ Χριστοῦ διαλέγηται, « θάνατον » καλεῖ τὸν ἐκείνου θάνατον· ὅταν δὲ περὶ [τῆς] ἡμῶν, « κοίμησιν ; »

Quare Apostolus, de Christo loquens, mortem ejus « mortem, » nostram vero « somnum, appellat[31] *? »*

Editarum a Wolfio vigesima nona (l. c., p. 815. Galland. l. c., p. 731, n. 45). — De morte Christi proprio mortis nomine designata apud Apostolum, qui mortem fidelium *somnium* appellavit.

Τί δήποτε, ὅταν μὲν περὶ τοῦ Χριστοῦ διαλέγηται Παῦλος, *θάνατον* καλεῖ τὸν ἐκείνου θάνατον, ὅταν δὲ περὶ τῆς ἡμετέρας τελευτῆς, *κοίμησιν* αὐτὴν, καὶ οὐ θάνατον ὀνομάζει ; Καὶ γὰρ ἐν τῷ αὐτῷ λόγῳ τρίτον μνησθεὶς (25) τῆς τελευτῆς τῶν ἀνθρώπων, οὐδαμοῦ θάνατον λέγει, ἀλλὰ κοίμησιν τὴν ἀναχώρησιν λέγει (26). Οὐ γὰρ παρέργως ταύτῃ κέχρηται τῶν λέξεων τῇ παρατηρήσει, ἀλλὰ σοφόν τι καὶ μέγα κατασκευάζει. Ἐπὶ μὲν οὖν τοῦ Χριστοῦ *θάνατον* καλεῖ, ἵνα τὸ πάθος πιστώσηται· ἐπὶ δὲ ἡμῶν, *κοίμησιν*, ἵνα τὴν ὀδύνην παραμυθήσηται. Ἔνθα μὲν γὰρ παρεχώρησεν ἡ ἀνάστασις, θαῤῥῶν καλεῖ *θάνατον*· ἔνθα δὲ ἐν ἐλπίσιν ἔτι μένει, *κοίμησιν* καλεῖ· καὶ διὰ ταύτης παραμυθούμενος ἡμᾶς τῆς προσηγορίας, καὶ χρηστὰς ἐλπίδας ὑποτείνων ἡμῖν· ὁ γὰρ κοιμώμενος ἀναστήσεται πάντως· ἐπεὶ καὶ θάνατος οὐδὲν ἕτερόν ἐστιν, ἢ μακροχρόνιος ὕπνος.

Quæ causa est cur Paulus, de Christo disserens, mortem ejus *mortem* vocat, de nostro vero obitu loquens, eum *somnum*, non autem mortem, appellat ? In eodem enim loco mortem hominum ter commemorans, discessum illum nunquam mortis, sed semper somni nomine appellat. Neque enim sine causa hac voce perpetuo usus est ; sed sapienter egit, et præclarum aliquid significavit. Scilicet de Christo *mortis* nomen adhibet, ut perpessionem simul confirmet ; de nobis vero *somni* C illud, ut dolori afferat solatium. Ubi enim resurrectio jam consecuta est, confidenter *mortem* nominat ; ubi vero spe adhuc præcipitur, *somnum* vocat, ipsa hac appellatione et nos consolaturus, et ad pulchram spem excitaturus. Mortuus enim omnino resurget, quoniam mors ipsa nihil aliud est, quam somnus aliquis diuturnus.

ΕΡΩΤΗΣΙΣ ΡΞΘ'.

QUÆSTIO CLXIX [*Coisl.* CXCVIII, *Taur.* CLXXXVIII].

Διατί, ἀφεὶς τὴν ὅρασιν, Ἡσαΐας περὶ οὐρανοῦ καὶ γῆς διαλαμβάνει ;

Quare, relicta visione, Isaias de cœlo et terra disserat ?

Edita a Maio (*Nov. Coll.*, t. IX, p. 104, 105). — In Isaiæ verba, I, 1, 2.

Εἰπὲ τὴν ὅρασιν ἣν εἶδεν· ὁ δέ· « Ἄκουε, οὐρανὲ, καὶ D ἐνωτίζου, ἡ γῆ· ὅτι Κύριος ἐλάλησεν. » Ἄλλα ἐπηγγείλω, καὶ ἄλλα λέγεις ; ἀρχόμενος εἶπες· Ὅρασις κατὰ Ἰουδαίας καὶ κατὰ Ἰερουσαλὴμ, καὶ ἀφεὶς τὴν διήγησιν, οὐρανῷ καὶ γῇ διαλέγῃ· ἀφῆκας τοὺς ἀνθρώ-

Dic visionem quam vidit : ille autem : « Audite, cœli, et auribus percipe, terra, quoniam Dominus locutus est. » Alia annuntias et alia dicis ? Incipiendo dicis : « Visio super Judam et Jerusalem, » et, relicta narratione tua, cœlum et terram alloqueris.

[31] Rom. v, 10.

NOTÆ.

(25) Codex, male, μνησθῆς.
(26) Vide I Cor. xv, 18, 20, 21, et II Thess. iv, 13, 14, 15. Utroque in loco verbum κοιμᾶσθαι.

Digitized by Google

Relictis hominibus, cum creaturis irrationabilibus conversaris? quia irrationalibus facti sunt irrationaliores qui ratione gaudent, et non propter illud solummodo, sed et quia Moyses, cum in eo esset ut illos ad terram promissam deduceret, futura prævidens, dicit : «Audite, cœli, et loquar, attende, terra, verbis oris mei [25]. — Adjuro vos, dicit Moyses, per cœlum et terram, quod si ingressi fueritis in terram promissam et dereliqueritis Dominum Deum, in omnes nationes dispergemini [26]. » Venit ergo Isaias; jamjam minæ actu complendæ erant. Moysem mortuum, nec illos qui tunc audierant eum vocare non potest; reliquum est ut creaturas quas et in testimonium vocavit Moyses vocet. Attamen ille Aaron, multosque alios in testimonium vocare poterat, sed propterea dicam ego non vocari illos quod morituri erant, nec testes superfuturi, et quia ad injustitiam inclinabat Israel. Itaque superstites creaturas in testimonium voco. Sic et Isaias facit, non tantum propter exposita, sed et quia Judæos allocutus, et illos non audientes inveniens, ad creaturas sese convertit et illas in testimonium secum assumit. Audite, cœli, vos enim manna attulistis. Auribus percipe, terra, tu enim coturnicem dedisti; audite, cœli, quæ enim sunt supra naturam illis ministrastis. Sursum eodem modo ac stabiliti fuistis, permansistis, et formam circuli non aversati estis. Auribus percipe, terra, tu enim deorsum et cibum illis, nulla illorum sollicitudine ministrasti. Propterea alius propheta [26a], regem furentem videns, idola colentem, Deum injuriis persequentem, aliosque in peccato lapsos, ad nullum illorum sermonem facit, sed conversus : Audi, inquit, altare, audi me. Quare ergo lapidem alloquatur? Ita sane, inquit, quia rex insensibilior est lapide. Audi, altare, hæc dicit Dominus : et statim ruptum est altare et effractum est et effluxit victima; homo autem non audivit; sed tendit rex manus ut prophetam raperet. Deus autem quid facit? Manum illius aridam fecit. Non in principio manum illius facit aridam, ut lapidis sensibilitate sapientior evaderet. Volebat enim illum, nulla punitione adhibita, sapientiorem fieri. Sed quia lapis effractus est et tu ad meliorem sensum non rediisti, contra te justa ira me convertam.

A ὁμολογοῦμεν τὸ δῶρον ὑποδέξασθαι καὶ τὴν φιλοτιμίαν θαυμάζειν· δι' ὧν τὸ σέβας τῷ δεδωκότι προσάγομεν ἀπροφάσιστον· πῶς δὲ καὶ ἄλλως οὐ σωτήριον ἐκουσιότητι γνώμης τὴν ἐν πολιτείᾳ τάξιν διαφυλάττειν καὶ τὸ κατ' ἀξίαν νέμειν τοῖς ὑπερέχουσ· ; καὶ γὰρ ὡς ἀληθῶς οἱ τοιοῦτοι ἐλευθέρας τε φέρουσιν ἐκ πάσης ἀταξίας καὶ στάσεως τὰς ψυχὰς, καὶ τῆς θεόθεν δεδομένης ἡμῖν ἐλευθερίας ἄξιοι πᾶσιν ἐπιδείκνυνται· οἱ δὲ γνώμῃ μὲν μοχθηρᾷ, τόλμῃ δὲ πονηρᾷ καὶ ταραχαῖς χαιρούσῃ τὴν ἐλευ-
εὐνομίαν λύοντες, οὗτοι προκάλυμμα πονηρίας καὶ εἰσιν ἀλογίστων παθῶν, δοῦλοι δὲ ταραχῆς καὶ θο-

Vult autem Apostolus, per istam exhortationem, B nos in omnibus vitæ pactionibus, et in aliis quæ ad rem politicam pertinent, quandiu divinus amor vel fides non offenduntur, docibiles esse legibus præparare, et illis quibus commissa est legum auctoritas et gubernatio, indulgentes esse, nec illos qui præsunt despicere, quamvis in oppositum veritatis reverentia illis mutata fuerit! quare? Propter unum quidem, ut illi qui ad impietatem discordant videntes nostram indulgentiam, et nostram in agendo honestatem et docilitatem, simul quidem visis nostris moribus et nostra vita erubescant, et nos non illis obedire in rebus religiosis, non superbiæ causa, nec mentis indocilis ostentatione putent, sed propter divini sermonis amorem, nec non potentiæ virtutisque divinæ: simul etiam ut possint, C per nostrum dulcem et convenientem agendi modum, si forte voluerint, aspicere ad ineffabilem religionis nostræ pulchritudinem et illius amore excitati, diabolicum quidem et idololatrum furorem detestentur, societatem autem et amorem illius loco sponsæ Christi Ecclesiæ suscipiant. Ea est quidem prima causa apostolicæ sententiæ; si secundam autem volueris, ut qui fideles persequuntur et expellunt et flagitiis efficiunt, cultum paganorum profitentes, non ad alias quasdam causas persecutiones referre habeant, nec ut dissidentes et agitatores in judicium nos adducant, sed propter ipsammet religionem, et quia non potuimus adduci ad cultum divinum creaturis et materiæ reddendum. D Quod et ipse explicavit dicens: Ut in quibus nos accusant quasi male sperantes, ex bonis operibus aspicientes glorificent Deum in die judicii. Et iterum: Sic est voluntas Dei ut bene agentes refrenemus insipientium hominum stultitiam. Ad rebellionem te aliquis paganus vel Judæus vocat? pacem indica. Verba ad rebellionem et indocilitatem excitantia profert? per obedientiam illi silentium impone. Superba et arrogantia profert? Dulcedine et humilitate mentis vanum loquendi studium refrena. Ordinem politicum destruentia? Nihil in istis cognoscere dicendo, hypocrisim in fama. Ita insipiens homo infrenari potest, sic Dei servus glorificatur; sic mundum vincit, etiamsi flagelletur, etiamsi torqueatur, etiamsi crucifigatur, qui contra peccatum honorabile sibi trophæum conservat. Qui-

Βούλεται δὲ ἡμᾶς διὰ ταύτης τῆς παραινέσεως ὁ Ἀπόστολος ἐν πᾶσι τοῖς κατὰ τὸν βίον συναλλάγμασι καὶ τοῖς ἄλλοις πολιτεύμασιν, ὅσα μὴ τὴν θείαν ἀγάπην καὶ πίστιν ἐπιλυμαίνεται, πειθηνίους εἶναι τοῖς νόμοις παρασκευάζειν· καὶ οἷς ἡ τῶν νόμων κατεπιστεύθη κυριότης καὶ πρόνοια, εὐγνώμονάς τε εἶναι καὶ μὴ ὑπερορᾷν τοὺς ὑπερέχοντας, κἂν εἰς τοὐναντίον αὐτοῖς τῆς ἀληθείας τὸ σέβας ἀποδιακέκριται. Διὰ τί; Ἕν μὲν ἵνα καὶ αὐτοὶ πρὸς τὴν ἀσέβειαν οἱ διαφωνοῦντες ὁρῶντες ἡμῶν τὴν εὐγνωμοσύνην καὶ τὸ τῶν τρόπων εὐγενὲς καὶ πειθήνιον, ἅμα μὲν ἡμῶν ὑπερυθριῶσι τῇ πολιτείᾳ καὶ τοῖς ἤθεσιν· ἅμα δὲ τὸ μὴ πείθεσθαι αὐτοῖς κατὰ τὸ σέβας, μὴ αὐθαδείας ἔργον νομίζωσι, μηδὲ γνώμης ἀτεράμονος ἐπιτήδευμα, ἀλλ' ἔρωτος ὑπὲρ λόγον θείου καὶ θείας δυνάμεως καὶ ἐνεργείας· ἅμα δὲ ὡς ἂν δυνηθεῖεν διὰ τῆς ἡμέρου καὶ ἐπιεικοῦς ἡμῶν πολιτείας, εἴπερ ἄρα βουληθεῖεν ἀναβλέψαι πρὸς τὸ τοῦ σεβασμάτος ἡμῶν ἄφραστον κάλλος, καὶ τῷ ἐκεῖθεν ἔρωτι πτερωθέντες, βδελύξωνται μὲν τὸν δαιμονιώδη καὶ εἰδωλικὸν οἶστρον, τὴν συνάφειαν δὲ καὶ τὸν πόθον ἀνταλλάξωνται τῆς νύμφης τοῦ Χριστοῦ Ἐκκλησίας· ἀλλ' αἰτία μὲν αὕτη πρώτη τῆς ἀποστολικῆς νουθεσίας. Εἰ βούλει δὲ καὶ δευτέραν, ἵνα διώκοντες καὶ ἐλαύνοντες καὶ τιμωρούμενοι τοὺς πιστοὺς οἱ τὰ Ἑλλήνων τιμῶντες, μὴ εἰς ἄλλας τινὰς αἰτίας τὸν διωγμὸν ἔχωσιν ἀναφέρειν· μηδ' ὡς στασιώδεις καὶ ταραχοποιοὺς ὑπάγωσι δίκαις, ἀλλὰ δι' αὐτὴν τὴν εὐσέβειαν· καὶ τὸ μὴ ἀνασχέσθαι τὸ θεῖον σέβας εἰς τὴν ὕλην καὶ τὰ κτίσματα κατάγειν. Τοῦτο δὲ καὶ αὐτὸς ἐδήλωσεν εἰπών· Ἵνα ἐν ᾧ καταλαλῶσιν ἡμῶν ὡς κακοποιῶν ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς· καὶ πάλιν Οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν. Στάσιν τις τῶν Ἑλληνιστῶν ἢ καὶ Ἰουδαῖος ἐπικαλεῖ σοι; Τὸ εἰρηνικὸν ἐπίδειξον. Ἀνήκοον διαβάλλει καὶ ἀπειθῆ; Διὰ τῆς ὑποταγῆς ἐπιστόμισον· ἀλαζόνα καὶ αὐθάδη; Τῷ ταπεινῷ καὶ ἡμέρῳ τοῦ φρονήματος τὴν γλωσσαλγίαν διέλεγξον· τάξιν πολιτικὴν διαλύοντα; Διὰ τοῦ μηδὲν ἐν τούτοις ἀγνωμονεῖν, τὴν συκοφαντίαν στηλίτευσον· οὕτως ἄφρων ἀνὴρ δύναται φιμοῦσθαι· οὕτως Θεοῦ δοξάζεται δοῦλος. Οὕτως νικᾷ τὸν κόσμον, κἂν μαστίζηται, κἂν στρεβλῶται, κἂν ἀνασκολοπίζηται, ὁ τὸ κατὰ τῆς ἁμαρτίας τρόπαιον ἀνύβριστον συνδιασώζων

Digitized by Google

ἑαυτῷ. Ὁ κατὰ ταῦτα πολιτευόμενος τὰ προστάγματα, ἐλεύθερα φέρει καθαρῶς καὶ τὰ ἔργα καὶ τοὺς λόγους καὶ πρό γε τούτων αὐτὴν τὴν ψυχήν.

cunque secundum ista mandata sese habuerit, liberum feret in puritate, et actiones et sermones, et ante ista ipsam animam.

ΕΡΩΤΗΣΙΣ ΡΠ'.

Περὶ θεολογίας ζητήματα· τῷ αὐτῷ.

QUÆSTIO CLXXX. [*Coisl.* CCIX. *Taur.* CC.] (1)

De Theologia quæstiones. Eidem (Amphilochio).

Edita a Basnagio (Canis. *Antiq. lect.* t. II, p. II, pag. 423-425). — Dogmatica de cognitione Dei.

Ἄρρητον μὲν τὸ Θεῖον ὥσπερ καὶ ἄληπτον, διότι μηδ' ἔστιν μηδ' ἐπινοίαις ψιλαῖς προϋφεστηκότα τινὰ λαβεῖν. Δι' ὧν ὁ λόγος προϊὼν τὴν γνῶσιν καὶ κατάληψιν τοῦ μακαρίου ἐκείνου καὶ ἀφθέγκτου παράσχοι θεάματος. Ἄρρητον δὲ καὶ ἄληπτον ὄν, ἀπὸ τῶν ὑστέρων ὅμως ἀπό τινος τῆς ἐκεῖθεν εἰ καὶ ἀμυδρᾶς ἀπαυγῆς ἐν αὐτοῖς κατιούσης, καὶ δι' αὐτῶν ἡμῖν τὴν διάνοιαν ἐνατενίζειν πρὸς τὸ ἀμήχανον ἐκεῖνο κάλλος παρασκευαζούσης, δυνατόν ἐστι τινὰς θεοπρεπεῖς φαντασίας εἰσδέξασθαι. Καθ' ὃν γὰρ τρόπον οἱ ζόφῳ παχεῖ περικεχυμένῳ ἐγκαθήμενοι βραχεῖάν τινα τῶν ἡλιακῶν ἀκτίνων καὶ ἀμυδρὰν λαμπηδόνα παραδέχονται, οὕτως οἱ τῷ σαρκίῳ περιβεβλημένοι ἐκ τῆς ἀπαυγῆς ἐκείνης τοῦ νοητοῦ ἡλίου εἰς ἔννοιάν τινα καὶ φαντασίαν θεοπρεπῆ ὥσπερ ἀπό τινος κατοπτρικοῦ μηχανήματος τοῦ τε πόθου καὶ τῆς συζητήσεως σκιοφανεῖς ἀκτῖνας ἕλκοντες ἀνάγεσθαι δύνανται.

Non (30) potest expromi, sicut neque cognosci Deus, quia neque notionibus tantum, quæpiam quæ prius exstiterint, percipere possumus, ex quibus ratio progressa illius beati spectaculi, quod verbis expromi non potest, cognitionem præbeat. Ex iis tamen, quæ posteriora sunt, tanquam ex quodam splendore tenui, a Deo in ipsis obscure ostenso, qui facit, ut possit mens in illam immensam pulchritudinem intueri, fieri potest, ut quasdam cogitationes Deum decentes recipiamus. Sicut enim, qui sunt tenebris densis circumfusi, fulgorem quemdam parvum et tenuem radiorum solis admittunt, sic qui sunt conclusi in carne, ex illo splendore solis intellectilis, tanquam a quodam speculo (31), desiderii et inquisitionis radio umbratiles elicientes, ad notitiam quamdam et cogitationem elevari possunt.

Ὃν μὲν οὖν διατώζει λόγον ὁ ἥλιος ἐν τοῖς αἰσθητοῖς, τοιαύτην ἂν περὶ τοῦ Θείου δύναται τις ἔννοιαν ὡς ἐξ εἰκόνος ἐν τοῖς νοητοῖς δοῦναι καὶ λαβεῖν.

Quam igitur rationem sol in iis, quæ sub sensum cadunt, habet, similem cognitionem Dei potest quis præbere, et accipere, tanquam ex imagine in iis, quæ sub intelligentiam cadunt.

Ἀλλὰ γὰρ καὶ ἐξ ἀποφάσεως τῶν ὄντων ἁπάντων εἰς θεωρίαν ἀναγόμεθα τῆς ἐξῃρημένης τῶν ὄντων οὐσίας τε καὶ θεότητος. Ὃ γὰρ μηδέν ἐστι τῶν πάντων, κρεῖττον δὲ τοῦ παντός, τοῦτ' ἂν εἴη Θεὸς, ὃς προήγαγέν τε ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὸ πᾶν, καὶ τῆς τῶν προηγμένων διαμονῆς καὶ ἐναρμονίου κινήσεως τὴν πρόνοιαν ἔχει.

Sed enim ex negatione etiam omnium, quæ sunt, adducimur ad contemplationem substantiæ, extra omnia positæ, et divinitatis; quod enim nihil est eorum omnium quæ sunt, et (32) omni melius est, hoc utique erit Deus, qui ex nihilo fecit omne, et providentia sua, quæ facta sunt, conservat, et ut apte et concinne moveantur, facit.

Καὶ πρό γε τούτων, ὅτι ἔστι Θεὸς, κοινῇ πᾶσιν ἐγκατέσπαρται ταῖς ἀνθρωπίναις διανοίαις, τῆς ἐκεῖθεν αὐγῆς ὡς δι' ἐμφάσεων διανιστώσης ἡμῶν τὸν νοῦν, καὶ φωταγωγούσης εἰ καὶ μὴ πρὸς τὸ εἰδέναι τί ποτ' ἐστὶ Θεὸς, ἀλλ' οὖν γε μὴ ἀγνοεῖν ὅπερ ὅλως ἐστίν.

Et quod potissimum est, omnium hominum mentibus communiter insitum est, Deum esse, et illinc fulgor, tanquam per ostensiones quasdam mentem excitat, et illuminat, tametsi non ut sciamus, quid tandem Deus est, tamen ut non ignoremus, esse quidem omnino.

Εἰ γὰρ πλῆθος, ἅπαν εἴτε τὴν τοῦ συνεχοῦς ὁμοσίαν δεχόμενον, εἴτε τῷ διωρισμένῳ περιγραφόμενον, ὥσπερ εἰς ἄπειρον δύναται τέμνεσθαι καὶ σκεδάζεσθαι, οὕτω καὶ πρὸς τὴν φθορὰν ἀποφέρεσθαι. Μετοχῇ πάντως ἑνός τινος ἐξήρθη τοῦ μὴ ταῦτα παθεῖν αὐτίκα τοῦ προελθεῖν, ἀλλὰ μονῆς ἀπολαύειν

Si enim (33) omnis similitudo sive nomen continui habeat, sive discreti, sicut in infinitum potest secari et dissipari, sic etiam ad fluxionem et interitum deferri, omnino tamen participatione unius cujusdam liberatur, ne ista patiatur (34), statim ut participatio unius prodivit: quin potius

NOTÆ.

(30) *Non potest expromi, sicut neque cognoscit Deus.* Ἄρρητον μὲν τὸ Θεῖον ὥσπερ καὶ ἄληπτον. Id est: « Non potest quidem verbis exprimi, sicut neque cognosci Deus. »

(31) *Desiderii et inquisitionis radio umbratiles elicientes.* Τοῦ τε πόθου καὶ συζητήσεως σκιαφανεῖς ἀκτῖνας ἕλκοντες. Id est: « Desiderii et inquisitionis radios umbratiles elicientes. »

(32) *Et omni melius est . . . ex nihilo fecit omne.* Κρεῖττον δὲ τοῦ παντὸς . . . προήγαμεν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὸ πᾶν. Id est: « Et hoc universo melius est . . . ex nihilo fecit universum, seu hanc rerum universitatem. »

(1) Est dissertatio secunda apud Basnagium.

(33) *Omnis similitudo.* Πλῆθος ἅπαν. Id est: « omnis multitudo. »

(34) *Statim ut participatio unius prodivit.* Αὐτίκα τοῦ προελθεῖν. Id est: « Statim ut in rerum naturam prodiit. »

Digitized by Google

duratione, et conservatione fruatur: participationem dico unius, non unius proprie, quod est supra substantiam, quoniam participatione hujus neque secari neque dissipari possent, nec naturæ essent omnino fluxæ et mortalis; sed participationem unius dico, quod quidem, qui dixerit esse umbram tenuem unius proprie et supra substantiam, ad conjecturam iste prope accesserit, quæ nihil audax repræsentet, hujusmodi vero est unum apud nos, cujus, sicut dictum est, facta particeps multitudo secabilis quidem est et dissipabilis, et fluxa, nondum tamen eo processit, ut fluxerit aut disjecta sit.

A καὶ συνοχῆς. Μετοχῇ δ' ἑνὸς τοῦ κυρίως καὶ ὑπερουσίαν ἑνός. Ἐπεὶ οὐδὲ τμητὰ καὶ σκεδαστά. Οὐδὲ ῥεούσης ἂν ὅλως εἴησαν καὶ φθειρομένης φύσεως, ἀλλ' ἑνὸς μετοχῇ, ὃ δὴ σκιάν τις ἀμυδρὰν εἰπὼν τοῦ κυρίως καὶ ὑπερουσίου ἑνὸς, ἐγγὺς ἂν εἰκασίας γένοιτο τῆς μηδὲν ἀνατυπουμένης τολμηρόν. Τοιοῦτον δ' ἐστὶ τὸ παρ' ἡμῖν ἕν. Οὗ καὶ τὸ πλῆθος, ὥσπερ εἴρηται, μέτοχον τμητὸν μέν ἐστι καὶ σκεδαστὸν καὶ ῥευστὸν, οὔπω δὲ τῇ περιόδῳ συνδιερρύημεν ὥσπερ οὐδὲ διατέτμηται.

Idcirco ipsa multitudo, quæ natura sua terminatione et specie caret, propter illud unum definitur et specie afficitur. Quaternarius enim, et septenarius, et denarius, et tricenarius, veluti simulacra sunt, et fetus unius, quod apud nos est, quæ speciem inducunt multitudini, et eam uniunt et terminant, ac circumscribunt.

Ταύτῃ τοι καὶ αὐτὸ τὸ πλῆθος ἄριστον ὄν, καὶ ἀνείδεον τῇ γε φύσει τῇ οἰκείᾳ δι' ἐκείνου τε περιορίζεται καὶ εἰδοποιεῖται. Τετρὰς γὰρ καὶ ἑπτὰς καὶ δεκὰς, καὶ τριακὰς τοῦ παρ' ἡμῖν ἑνός εἰσιν. B Ὥσπερ ἐνδάλματα, προβολαὶ τὸ πλῆθος ἐνοποιοῦσαι καὶ εἰδοποιοῦσαι, καὶ περιορίζουσαι.

Similiter autem (35) si omne unitum non sibi ipsi unit, sed unitate unitum est, et ipsum igitur participatione unius salvum, et incolume servatur, unius scilicet non illius proprie, et supra substantiam, sed sicut ante dictum est, unius, quod illius umbra fruitur.

Ὡσαύτως δὲ, καὶ εἰς τὸ ἡνωμένον[b] ἅπαν οὐχ ἑαυτὸ ἑνοῖ, ἀλλᾷ τῇ ἑνότητι ἥνωται. Καὶ αὐτὸ ἄρα τῇ τοῦ ἑνὸς μετοχῇ τὸ ἡνωμένον ἔχει σωζόμενον. Ἑνὸς δὲ κάνταῦθα οὐ τοῦ κυρίως καὶ ὑπερουσίου ἑνός· ἀλλ' ὥσπερ εἴρηται τοῦ ἀπολαύοντος τῆς ἐκεῖθεν σκιᾶς.

Præterea, si in iis, quæ sunt, licet reperire enim, qui dominatur, et eum qui est subjectus dominanti; et ipse qui dominatur; si subit ordinem ejus, qui subjectus est dominanti, scilicet non dominans; non proprie dominat, quia privatus dominatu subjectus est dominanti; quod si ita est, est etiam aliquis (36) dominatus superior supra C collocatus, qui non cœpit ex quo qui dominatur, obscura similitudinis adumbratione susceptia, habitudinem et nominationem dominatus traxit,

Ἔτι δὲ ἔστι μὲν ἐν τοῖς οὖσι λαβεῖν τὸ ἄρχον καὶ τὸ ἀρχόμενον. Καὶ αὐτὸ δὲ τὸ ἄρχον τὴν τοῦ ἀρχομένου τάξιν ὑποδυόμενον, δῆλον ὅτι τὸ ἄρχον, οὐκ ἂν εἴη κυρίως ἄρχον διὰ τοῦ ἄρχεσθαι καθαιρούμενον τῆς ἀρχῆς. Οὐδὲ τοῦτο ἔστι τις ὑπερανῳκισμένη[i] καὶ ἀναρχος ἀρχὴ, ἐξ ἧς τὸ ἄρχον τὴν ἀμυδρὰν τοῦ εἰκάσματος δεξάμενον σκιὰν, τὴν αἰτίαν εἴληχε καὶ τὴν ὀνομασίαν τῆς ἀρχῆς,

Rursus aliter; sicut licet videre subjectum tantum alterius dominationi, et non dominantem, sic licet contemplari esse aliquem (37) principatum eximium, et cæteris omnibus antecellentem, qui non ceperit, qui eum decet, qui divinitate sua major est, quam ut mente et intelligentia comprehendi possit.

Καὶ ἄλλως δὲ, ὥσπερ ἔστι τελευταῖόν τι λαβεῖν ἀρχόμενον μόνον, οὐκ ἄρχον δὲ, οὕτως ἔστιν ἀναθεωρεῖν ὡς ἔστι τις ὑπερτάτη καὶ ἐξῃρημένη τῶν ἄλλων ἁπάντων ἀναρχος ἀρχὴ, ἥτις ἂν ἐφαρμόζουσα εἴη τῇ ὑπὲρ νοῦν, καὶ ὑπὲρ ἔννοιαν πᾶσαν θεότητι καὶ θεαρχίᾳ.

Si possumus in natura rerum reperire bonum, quin potius multa et varia bona (quod enim non fruitur aliquo bono, sed ad summum malitiæ evasit, nec omnino potest consistere; continuo enim dissiparetur et interiret, siquidem est interitus et dissipatio mali) liquet alia quidem magis, alia vero mi- D

Εἰ δὲ ἔστιν ἐν τῇ τῶν ὄντων φύσει καὶ ἀγαθὸν εὑρεῖν, μᾶλλον δὲ πολλὰ καὶ ποικίλα τὰ ἀγαθὰ (ὃ γὰρ μὴ ἀπολαύει τινὸς ἀγαθότητος, ἀλλ' εἰς ἄκρατον ἦκει κακίας, οὐδ' ὑφεστόναι ὅλως δύναται· σκεδασθείη γὰρ ἂν αὐτίκα καὶ διαφθαρείη, εἴπερ ἡ φθορὰ καὶ ὁ σκεδασμὸς τοῦ κακοῦ), δῆλον ὡς ἔστι τὰ μὲν

VARIÆ LECTIONES.

[b] Leg. ut Turrianus legebat εἰ τὸ ἡνωμένον. [i] Ἂν ὑπεράνω κειμένη, ut pag. seq. Heyschius tamen τὸ, ἀνῳκισμένος exponit per τὸ, ἄνω οἰκῶν.

NOTÆ.

(35) *Si omne unitum non sibi unit.* Εἰς [lego εἰ] τὸ ἡνωμένον ἅπαν οὐχ ἑαυτὸ ἑνοῖ. Id est: « Si omne unitum non se ipsum unit. » Turrianus forte legit ἑαυτῷ, at nostra lectio ἑαυτό videtur melior ob verbum activum ἑνοῖ.

(36) *Dominatus superior qui non cæpit.* Ὑπεράνω κειμένη καὶ ἀναρχος ἀρχή. Id est: « Superior dominatus et nulli dominatui subjectus. »

(37) *Principatum cæteris antecellentem qui non cæperit.* Ἐξῃρημένη τῶν ἄλλων ἀναρχος ἀρχή. Id est: « Principatum cæteris antecellentem et nulli dominatui subjectum. »

Veritas nostræ interpretationis potest probari ex eo, quod hic loci statuit tria genera rerum existentium:

Digitized by Google

μᾶλλον τὰ δὲ ἧττον μετέχοντα τοῦ ἀγαθοῦ. Εἰ δέ ἐστι τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον μετέχοντα τοῦ ἀγαθοῦ, οὐκ ἀμφίβολον οὐδ' ὅτι ἀπὸ τῶν μετασχόντων κατὰ πρώτην, ἢ κατὰ δευτέραν, ἢ κατ' ἄλλην τινὰ τάξιν ἀγαθύνεται τὰ μεταλαμβάνοντα. Πάντα δ' ὅμως ὑπεράνω κειμένης τινὸς ἀγαθότητος χορηγία καὶ ἀπολαύσει τὴν τοῦ ἀγαθοῦ ἐν ἑαυτοῖς χάριν φέρει. Εἰ δὲ τοῦτο, ἔστι τις ἄρα ὑπεράγαθος ἀγαθότης ἐξ ἧς τοῖς ἀγαθυνομένοις ἡ τοῦ ἀγαθύνεσθαι κατὰ ἀναλογίαν τῶν δεχομένων παραδέχεται δωρεά. Ἐκ τοίνυν τῶν εἰρημένων φανερὸν ἐστι δυνατὸν εἶναι θεωρίαν θηρᾶσαί τινα, ὅτι τε ἔστι Θεὸς, καὶ οὗτος ὑπερούσιον ἓν, καὶ ὑπεράρχιος ἀρχὴ, καὶ ὑπεράγαθος ἀγαθότης, ὡς πηγὴ ἀγαθότητος. Καὶ ἄλλων ὥσπερ ἰνδαλμάτων καθάπερ ἐξ ἀρχῆς εἴρηται δυναμένων ἀπὸ τῶν ὑστέρων παραληφθῆναι. Δι' ὧν ἔστιν εἰς τὸ ἀμήχανον ἐκεῖνο καὶ ἀνέκφραστον κάλλος τῆς ὑπερουσίου καὶ ὑπερφυοῦς θεότητος ἐνατενίζειν, μάλιστά γε, καὶ ὅτι μηδὲ χαλεπὸν διὰ τῆς προειρημένης ῥεθόδου τοιαῦτα συλλέγειν. Πρός γε τὴν παροῦσαν χρείαν, καὶ τὴν συνέχουσαν ἡμᾶς τῶν ὑπογραφέων ἐρημίαν καὶ τῶν βιβλίων τὴν αἰχμαλωσίαν, ἱκανά σοι καὶ ταῦτα.

A nus bonum participare, quod si sunt, quæ magis et minus bonum participant, non dubium est, quod qui participant, in primo ordine, vel in secundo, vel in alio aliquo, boni fiunt; omnes autem similiter largitate cujusdam sublimis bonitatis fruentes gratiam boni in seipsis fuerunt; quod si hoc sic est, est igitur bonitas supra bonum, unde iis, qui boni fiant, donum præbetur, quo fiant boni proportione ipsorum, qui donum acceperunt. Ex iis igitur quæ dicta sunt, patet possibile esse venari quamdam cognitionem quod Deus est, et hic est unum, quod supra substantiam est, et Dominus ac princeps sine initio, et bonitas supra bonum, tanquam (38) bonitas bonitatis, et ex aliis tanquam ex simulacris quibusdam, et assimilationibus, sicut B principio diximus, quæ possunt sumi a posteriori, quibus elevati intueri possumus in illam immensam pulchritudinem, et omni ratione majorem divinitatis, quæ supra substantiam, et supra naturam est, præsertim cum non sit difficile ea, quæ hujusmodi sunt, ea ratione et via, quam diximus, colligere, quantum vero pro necessitate, quæ in præsentia est, et (39) pro inopia librariorum, quibus carebamus, et librorum, qui captivi ducti sunt, satis tibi sint hæc.

ΕΡΩΤΗΣΙΣ ΡΠΑ'.

Διὰ τί μέχρι Τριάδος τὸ Θεῖον προαγεται καὶ οὔτε ἐντὸς περιγράφεται, οὔτε πορρωτέρω παρατείνεται; C

QUÆSTIO CLXXXI. [*Coisl.* CCX, *Taur.* p. CCI]. (40)

Quare usque ad Trinitatem proredat Deus, et nec intra Trinitatem circumscribatur; nec ulterius extendatur?

Edita a Basnagio (l. c. p. 426, 430). — Dogmatica de sancta Trinitate.

Ὁ μὲν οὖν ἐν ἀπορρήτοις λόγος καὶ νικῶν τὴν ἐν ἐποπτροις καὶ αἰνίγμασι γνῶσιν, ὁρίοις ἂν ἄλλοις εἴη θεοπτικωτέρας τε καὶ οὐρανίας μυσταγωγίας θαλαμευόμενος ἃ δὲ βλέπειν διὰ τοῦ παρασκηνίου καὶ πηλίνων ἀκοῶν δυνατὸν ἐνωτίζεσθαι. Ταῦτα δὲ ἆρα προτιθέντες, κἂν ὕστερα ᾖ διὰ τῶν πρώτων θηρᾶν οὐκ ἔχοντες τὸ ζητούμενον, οὐκ ἂν ἐν εὐθύναις τῶν σεσιγηκότων ἐσόμεθα. Ἓν μὲν οὖν αὐτῶν ἐστιν καὶ ἱερώτερον φάναι ὡς ὁ μυστικὸς ἀσίγητος ὕμνος τῶν Χερουβὶμ διὰ τῆς τριαδικῆς ἁγιότητος εἰς μίαν συναγόμενος κυριότητα, τὴν τριαδικὴν τῆς θεαρχίας ὑπογράφει τελειότητα. Καὶ τῶν ὀνομάτων ἡ ἁπλότης κατὰ συνέχειαν προσαγομένη καὶ μηδὲν μέσον συνεπεισάγουσα, ἀλλὰ καὶ τὸ τοῦ ῥήματος ἀπαράλλακτον, οὐκ ἔλαττον μὲν εἰκονίζει τὴν τῆς ὑπερουσίου οὐσίας ἁπλότητα. Παραπλησίως δὲ ἐκδέδεκται καὶ

Sermo quidem de arcanis Dei, et qui cognitionem, quæ in speculo et ænigmate versatur, superat, in divinæ et cœlestis mystagogiæ secretis, quibus abditus latet, abditus permaneat. Quæ vero per locum scenæ spectare possumus, et auribus terrenis audire, hæc si in secundis et posterioribus proponamus, qui, quod quæritur, per prima venari non valemus, non debebimus pœnas eorum, qui siluerunt. Unum autem eorum et divinius dicendum est, quod mysticus et sine intermissione decantatus hymnus Cherubinicus per trium sanctitatem in unam dominationem copulatus, divinæ Trinitatis perfectionem describit, et nominum simplicitas per D continuationem adhibita, nihilque medium introducens, imo etiam (41) illa verbi sine ulla variatione repetitio, non minus simplicitatem substantiæ,

NOTÆ.

1. Ἀρχόμενον μόνον οὐκ ἄρχον δέ. *Quod subjicitur dominatui, nec dominatur.*

2. Τὸ ἄρχον τὴν τοῦ ἀρχομένου τάξιν ὑποδυόμενον. *Quod ita dominatur ut subditi ordinem ingrediatur.*

3. Ἄναρχος ἀρχή. *Dominatus nulli dominatui subjectus.*

(38) *Dominus ac Princeps sine initio.* Ὑπεράρχιος ἀρχή. Id est: « Dominus ac princeps supra omnem principatum.

(39) *Scripsit ergo hæc Photius dejectus de throno Constantinop. et ejectus in exsilium.* Vide Baron. tom. X, CAN.

(40) Est dissertatio tertia apud Basnagium.

(41) *Illa verbi sine ulla variatione repetitio... et sine ulla variatione substantiam.* Τὸ τοῦ ῥήματος ἀπαράλλακτον... καὶ τὸ κατ' οὐσίαν ἀπαράλλακτον. Id est: « Illa verbi sine ulla differentia repetitio... substantiæ identitatem.

Supra jam probavi illud ἀπαράλλακτον Theologorum Græcorum non esse reddendum per *variationis expers.*

Digitized by Google

quæ supra substantiam est, depingit et exprimit : proxime vero docet personarum inter se unam sine ulla distantia naturam, et sine ulla variatione substantiam.

Præterea in iis, quæ perfecta sunt, conveniunt principium, medium, et finis : primus autem inter omnes alios numeros, numerus trium hæc sortitus est ; consentanee enim divinitas arcana, et quæ cogitari non potest, cum vellet per ea, quæ nobis nota sunt, ut symbola quædam et vestigia cognitionis suæ inderent, voluit per sermonem divinum de tribus nobis notescere. Deinde quæcunque Deum decentia in Deo contemplamur, reperimus a principio naturam accepisse, ut ad tria revocarentur, et nec ad pauciora, nec ad plura. Et quæ ista sunt? nempe substantia, virtus sive potentia, et operatio ; nec enim fas est auferre potentiam divinitati ; imo nec operationem, et multo minus substantiam, quin etiam neque licet ista idem facere, et in unam personam contrahere, ac rationem unam et eamdem reddere potentiæ et substantiæ, vel potentiæ et operationis, (42) vel operationis et substantiæ. Cum ergo tria sint, ad quæ alia nomina, quæ Deum decent, et proprietates referuntur et reducuntur, consentanee Deus nec intra Trinitatem includitur, nec extra Trinitatem dilatatur.

(43) Quomodo autem ducantur aliqua etiam in singulas ex istis tribus notionibus, neque laboriosum est reperire, neque repertis alios facere utilitatis participes ; ac primum hoc nomen supra substantiam, bonum, carere figura, unum, carere magnitudine et similia substantiam declarant, tametsi alia quidem primum et sine intermedio, alia vero medio quopiam simul cogitato ; esse liberum, esse suæ potestatis, Dominum, Creatorem, omnipotentem, et similia in contemplatione potentiæ comprehensa sunt. Creatio vero, et providentia, et salvatio, et gratiarum distributio, et donum, et quæ his sunt vicina, operationem diversis et mysticis verbis significant. Si quæ vero nomina divina et notiones (44), non ad unum ex istis tribus pertinent, sed in tota Trinitate versantur, non solum non pugnat cum ratione veritatis, neque cum Theologia de Trinitate, sed plus etiam confirmat eorum stabilitatem, et ab omni reprehensione vacationem, imo etiam occasionem præbet secundarum rationum, quibus demonstramus consentanee Deum in ambitum trium personarum explicari.

Similiter si quis alia consideratione ostendet nomina divina et notiones in tres personas Trinitatis

A τὸ τῶν ὑποστάσεων πρὸς ἀλλήλας ἀδιάστατον, καὶ τὸ συμφυὲς αὐτῶν καὶ κατ' οὐσίαν ἀπαράλλακτον.

Ἔτι δὲ ἐπὶ τοῖς τελείοις ἥ τε ἀρχὴ καὶ ἡ μεσότης, καὶ ἡ τελειότης πρόσφορον. Πρῶτος δὲ τῶν ἄλλων ἀριθμῶν ὁ τρεῖς ἀπεκληρώσατο ταῦτα, εἰκότως ἀπὸ τῶν γνωρίμων ἡμῖν σύμβολά τινα καὶ ἴχνη ἡ ἄῤῥητος καὶ ἀνεπινόητος θεότης, τῆς ἐπιγνώσεως αὐτῆς ἐλλάμψαι προνοουμένη διὰ τῆς τριαδικῆς οὐκ ἀπηξίωσεν ἐμφανίζεσθαι θεολογίας. Ἔτι δὲ καὶ ὁ ὁτιπερ ὅσα θεοπρεπῆ καθορῶμεν ἐν τῷ Θεῷ, εἰς τρία συγκεφαλαιοῦσθαι, φασὶν, ἀπαρχῆς εὑρίσκομεν εἰληφότα, καὶ οὔτε εἰς ἐλάττονα, οὐδὲ εἰς πλείονα συναγόμενα. Εἰς ποῖα δὲ ταῦτα; εἰς οὐσίαν, εἰς δύναB μιν, καὶ ἐνέργειαν. Οὔτε γὰρ ὅσιον θεότητος τὴν δυναμιν ἀφελεῖν, οὔτε μὴν οὐδὲ τὴν ἐνέργειαν, καὶ πολλῷ μᾶλλον οὐδὲ τὴν οὐσίαν. Οὐ μὴν οὐδ' εἰς ταυτὸν ἔστι καὶ μίαν ὑπόστασιν συναγαγεῖν ταῦτα, καὶ λόγον ἕνα καὶ τὸν αὐτὸν ἀποδοῦναι. Δυνάμεώς τε καὶ οὐσίας, ἢ δυνάμεως καὶ ἐνεργείας, ἢ ἐνεργείας καὶ οὐσίας. Ἀλλ' οὐδὲ πολλοῦ δεῖ τοῦ συναθροίσματος αὐτῶν. Τριῶν οὖν ὄντων εἰς ἃ τὰ ἄλλα τῶν θεοπρεπῶν ὀνομάτων τε καὶ ἰδιωμάτων συγκεφαλαιοῦται καὶ ἀνάγεται. Εἰκότως τὸ Θεῖον οὔτε ἐντὸς τῆς Τριάδος περικλείεται, οὔτε μὴν ταύτης ὑπερεκτείνεται.

Πῶς δ' ἀναχθείη *i* καὶ τίνα εἰς ἕκαστον τῶν θεολογουμένων τριῶν ἐννοιῶν, οὔτε ἔργον εὑρεῖν, οὔτε μὴν εὑρόντα μὴ καὶ ἄλλους ποιῆσαι τῆς ὠφελείας C κοινωνούς. Αὐτίκα τὸ ὑπερούσιον, τὸ ἀγαθὸν, τὸ ἀσχημάτιστον, τὸ ἕν, τὸ ἄπειρον, καὶ τὰ ὅμοια, τὴν οὐσίαν εἴη ἂν παραδηλοῦντα. Εἰ καὶ τὰ μὲν ἀμέσως, τὰ δὲ τινὸς συνεπιθεωρουμένης μεσότητος. Τὸ δὲ αὐτεξούσιον, τὸ αὐτοδέσποτον, τὸ Κύριον, τὸ Δημιουργικὸν, τὸ παντοδύναμον, καὶ τὰ παραπλήσια, ἐν τῇ τῆς δυνάμεως περιλαμβάνεται θεωρίᾳ· ἡ δημιουργικὴ δὲ καὶ ἡ πρόνοια καὶ ἡ σωτηρία, καὶ ἡ τῶν χαρισμάτων διανομὴ, καὶ ἡ δωρεὰ καὶ τὰ σύστοιχα, τὴν ἐνέργειαν διαφόροις καὶ μυστικοῖς ῥήμασιν ἱερολογοῦσιν. Εἰ δ' ἔτι τινὰ τῶν θεοπρεπῶν ὀνομάτων τε καὶ νοημάτων, καὶ εἰς ἓν τῶν τριῶν μόνον, ἀλλὰ δι' ὅλης ἥκοντα τῆς Τριάδος οὐ μόνον οὐδὲν τούτων μάχεται τῷ τῆς ἀληθείας λόγῳ, οὐδὲ τῇ θεωρίᾳ τῆς τριαδικῆς θεολογίας, ἀλλ' ἐπὶ πλέον τε D μᾶλλον αὐτῶν τὸ ἀσφαλές τε καὶ ἀνεπίληπτον βεβαιοῖ. Ἀλλὰ καὶ δευτέρων λογισμῶν δίδωσιν ἀφορμὴν, δι' ὧν τὸ Θεῖον ἐπιδείκνυται εἰς τριαδικὴν εὐλόγως ἀναπλούμενον περιοχήν.

Ὡσαύτως δὲ καὶ εἴ τις δι' ἑτέρας ἐπιβολῆς εἰς τριαδικὴν δείξῃ συναρίθμησιν τὰ θεοπρεπῆ τῶν ὀνο-

VARIÆ LECTIONES.

i l. διαχθείη. Per hypodiastolen. CAPER.

NOTÆ.

(42) *Vel operationis et substantiæ. Cum ergo tria sint.* Ἢ ἐνεργείας καὶ οὐσίας. Ἀλλ' οὐδὲ (πολλοῦ δεῖ) τοῦ συναθροίσματος αὐτῶν. Τριῶν οὖν ὄντων. Id est : « Vel operationis et substantiæ : sed neque (multum certe abest) collectionis earum. Cum ergo tria sint. »

(43) *Quomodo autem ducantur aliqua etiam in singula.* Πῶς δ' ἂν ἀχθείη καὶ τίνα εἰς ἕκαστον. Id est : « Quomodo autem ducantur et quænam in singulas. »

(44) *Non ad unum ex istis tribus pertinent.* Οὐκ εἰς ἓν τῶν τριῶν μόνον . . . ἥκοντα. Id est : « Non ad unum solummodo ex istis tribus pertinent.

Digitized by Google

μάτων τε καὶ νοημάτων περατούμενα οὐχ ἑξάδα διὰ τοῦτο, οὐ μὲν οὖν οὐδὲ πολλοῦ δεῖ, ἀλλ' οὐδὲ πλῆθος ἑνάδος ἢ τινος ἄλλης πληθύος παρασχεῖν αἰτίαν λάβοι συνεπιφέρεσθαι. Τοὐναντίον δὲ τὸ τῆς Τριάδος ἀπαράγραπτον διαφόροις ἐπιδείξει λόγοις βεβαιούμενον καὶ τὸ ἀμετάθετον ἔτι μᾶλλον παραστήσει τῆς θεολογίας καὶ ἀναλλοίωτον. Τὸ γὰρ μὴ μιᾷ θεωρίᾳ τὸ πρὸς συστολὴν ἀῤῥεπὲς καὶ ἐξάπλωσιν τῆς ὑπερφυοῦς Τριάδος καταλαμβάνεσθαι, πολλαχόθεν δὲ τὸ ἀμετακίνητον αὐτῆς καὶ ἐστηριγμένον ἀνακαλύπτεσθαι, πῶς οὐκ ἂν εἴη τῆς ἐξαρχῆς ἀποδοθείσης αἰτίας βεβαίωσις ἀνεξέλεγκτος; Εἰ μὲν γὰρ ἐπ' ἄλλου καὶ ἄλλου ὑποκειμένου, ἀλλὰ μὴ ἐπὶ τῆς αὐτῆς καὶ ἑνιαίας θεότητος ἡ τριαδικὴ συγκεφαλαίωσις διαφόροις θεωρίαις ἐπεδείκνυτο, οὐδὲν ἐκώλυεν τῷ πλήθει τῶν ἐνθυμημάτων μὴ συμπληθύνεσθαι καὶ τὸ ἁπλήθυντον τῆς θεότητος. Οὐδὲν ὁσάκις ἐπισκοπῆσαι χαριτωθείημεν ἐπὶ τῆς αὐτῆς ὑπεραγάθου Τριάδος, τὸν ἱερὸν τοῦτον καὶ ἀριθμοῦ κρείττονα καταλαμβανόμενον ἀριθμὸν, οὔτε συστελλόμενον, οὔτε μὴν ὑπεραπλούμενον, πῶς οὐχὶ μᾶλλον τὸ πλῆθος τῶν ἐπιχειρημάτων ἀπαράγραπτόν τε καὶ παναληθέστατον τὸ ἁπλήθυντον ἡμᾶς καὶ ἀναφέρετον[k] τῆς τριαδικῆς θεολογίας οὐκ ἐδιδάσκει;

Ἔστι μὲν οὖν καὶ ἕτερα δι' ὧν ἡ Τριὰς κατὰ τὴν ὁμοιότητα τοῦ τεθεωρημένου λόγου παραδείκνυται. Ὥσπερ καὶ τὰ τοιαῦτα, νοῦς, νοητὸν, νόησις, εἶτα λόγος, καὶ Πνεῦμα, καὶ τὸ ἐξ οὗ ταῦτα πρόεισιν. Ἀλλὰ γὰρ καὶ ὑπεράρχιος, καὶ πρώτη, καὶ ἔμφυτος ἀρχὴ, καὶ ὧν κατὰ τὸν λόγον τῆς συμφυΐας καθέστηκεν ἀρχή. Ἐξ οὗ καὶ ἡ ἐν τοῖς οὖσιν ἅπασιν κατὰ δεσποτείαν καὶ κυριότητα πρόεισιν ἀρχή. Ἔπειτα γεννήτωρ, γέννημα, Πνεῦμα· οὐ γὰρ ἄγονον ἡ πηγὴ, καὶ αἰτία πάντων τῶν γεννωμένων, οὐδ' ἄπνους ἡ χορηγία πάντων τῆς πνοῆς. Οὐδὲ τῶν αὐτῆς δημιουργημάτων ἐνδεέστερον, ἔτι ζωογονοῦν πρώτως καὶ πρῶτα, ὑπερφυῶς μὲν, κατὰ δὲ τὴν ἔμφυτον αὐτῆς καὶ ὑπὲρ λόγον ἰδιότητα. Δεῖ γὰρ προηγεῖσθαι τῶν δημιουργίας λόγῳ, καὶ δεσποτείας προαχθέντων τε καὶ ζωογονουμένων τὴν προάναρχον τῶν ὑπερφυῶν τε καὶ ὑπερουσίων φύσιν καὶ ζωὴν, καὶ εἰς[l] ἀπαύγασμα καὶ μιμήματα καὶ ἄλλη πᾶσα καθέστηκεν φύσις καὶ ζωὴ, ἐπεὶ κἀν τοῖς περιγείοις ἡ φύσις τῆς τέχνης προῖδρυταί τε καὶ προκάθηται. Ἦν ἀνάγκην πάλιν οὐκ αὐτοδέσποτον οὐδ' ἄναρχον

terminari, multum abest, ut propterea causam habeat inferendi numerum sex personarum, neque unius vel aliam multitudinem, sed potius immutabilitatem inviolabilem Trinitatis diversis rationibus confirmatam demonstrabit, magisque fixam et constantem doctrinam Theologiæ ostendet; intelligi enim non una contemplatione non posse contrahi Trinitatem nec dilatari; ex multis vero locis ac rationibus patefieri fixam et immutabilem esse, quomodo non erit confirmatio, quæ refelli non potest, causæ a principio redditæ? Si (45) enim in alio et alio subjecto, et non in eadem ipsa et una divinitate summa Trinitatis demonstraretur, nihil prohiberet, quin multis notionibus divinitas alioqui non multiplicabilis, multiplicaretur. Sin vero quoties gratia et munere Dei nobis conceditur, ut Trinitatem contemplemur, in eadem Trinitate supra quam bona hunc sacrum numerum, qui numerum vincit, neque contrahi neque ampliari intelligentia comprehendimus, quomodo non magis multitudo argumentorum docet nos illud non multiplicabile Trinitatis, inviolabile, et immutabile ac verissimum esse, et tolli non posse.

Sunt et alia quibus Trinitas ad similitudinem superioris contemplationis subostenditur, cujusmodi sunt hæc, intellectus, intellectile et intellectio, deinde (46) Verbum et Spiritus, et ex quo hæc exeunt. Sed enim et principatus primus, et insitus, et supra principatum, et quorum est principatus secundum rationem τοῦ συμφυΐας, ex quo exit principatus, qui est in omnibus, quæ sunt secundum dominationem. Sunt postea, genitor, germen, non enim sterilis est, et non fecundus, qui est fons et effector omnium, qui gignuntur; neque sine Spiritu, qui præbet Spiritum omnibus, neque creaturis suis egentior; est præterea vivificus primum et primorum, supra naturam quidem, tamen secundum proprietatem sibi insitam est, et supra, quam ut ratio eam assequi possit, oportet enim iis, quæ ratione creationis et dominationis producta sunt, et vivificata anteire (47) naturam et vitam sine initio principem eorum, quæ sunt ejusdem naturæ et substantiæ, et cujus splendor est, et ad cujus imitationem et exemplum omnis alia natura et vita

VARIÆ LECTIONES.

[k] ἀναφαίρετον. Cap. [l] l. ἧς. Cap.

NOTÆ.

(45) *Si . . . summa Trinitatis demonstraretur, nihil prohiberet quin multis notionibus divinitas alioqui non multiplicabilis multiplicaretur.* Εἰ μὲν . . . , ἡ τριαδικὴ συγκεφαλαίωσις διαφόροις θεωρίαις ἐπεδείκνυτο, οὐδὲν ἐκώλυεν τῷ πλήθει τῶν ἐνθυμημάτων μὴ συμπληθύνεσθαι καὶ τὸ ἁπλήθυντον τῆς θεότητος. Id est: « Si summa Trinitatis diversis considerationibus demonstraretur, nihil prohiberet quin simul cum argumentorum multitudine non multiplicaretur etiam divinitas multiplicabilitatis expers.

(46) *Verbum et Spiritus et ex eo quo hæc exeunt.* Λόγος καὶ Πνεῦμα καὶ τὸ ἐξ οὗ ταῦτα πρόεισιν. Id est: « Verbum et Spiritus et illud ex quo hæc procedunt. » Agitur enim hic de divinis processionibus ex patre.

(47) *Naturam et vitam . . . eorum quæ sunt ejusdem naturæ et substantiæ.* Τὴν τῶν ὑπερφυῶν τε καὶ ὑπερουσίων φύσιν καὶ ζωὴν. Id est: « Naturam et vitam eorum quæ sunt supra naturam et supra substantiam. »

Digitized by Google

exstitit, (48) licet terrenis natura artis præposita et antelata esset, quam necesse esset rursus, utpote non liberam, neque sine initio ad similitudinem alterius, quæ esset omnium naturarum effectrix, et supra quam dici posset, eximia, (49) veluti imaginem formari et constitui. Multa alia essent, quæ possent ad eamdem contemplationem adhiberi..... (50)

A οὖσαν πρὸς ἑτέραν ἁπασῶν τῶν φύσεων δημιουργὸν καὶ ἐξῃρημένην αὐτῶν ἀφθέγκτοις ὑπεροχαῖς τῆς γεννήσεως ἄγαλμα τὸ ποιεῖσθαί τε καὶ συνίστασθαι. Πολλὰ δ' ἂν καὶ ἕτερα εἴη πρὸς τὴν αὐτὴν θεωρίαν διοικονομεῖσθαι δυνάμενα.

Novi autem nonnullos qui aliam quamdam hujus mysterii explicationem symbolicam protulerint. Deus, inquiunt, virtutibus et justitiæ trutina omnium providentiam librat; quoniam igitur quod ab hominibus excogitatum est ad ferendum de æqualibus et inæqualibus judicium, hoc proprie trutina dicitur, cujus extremitas utraque media ex parte, quam examen vocant, dependet; et (51) trina quidem proprietate sua, divinarum personarum differentiam subindicat: harum autem trutinæ proprietatum unicum est judicium, et unica operatio; sicque trutina et trium personarum et singularis naturæ [Dei] considerationem quadam velut imagine in se ipsa exprimit, non contumeliosum sibi esse existimavit universorum judex et quasi librator Deus incomprehensibilem sui notitiam per consuetas nobis voces detegere et explicare.

B Οἶδα δέ τινας εἰπόντας καὶ ἑτέραν τινὰ συμβουλικὴν θεωρίαν. Ἀρεταῖς, φασὶ, τὸ θεῖον καὶ ζυγῷ δικαιοσύνης τὴν πρόνοιαν πάντων ταλαντεύων [m]. Ἐπεὶ οὖν καὶ ὁ τοῖς ἀνθρώποις ἐπινενόηται κριτήριον τῶν ἴσων τε καὶ ἀνίσων, ζυγὸν δ' αὐτὸ κυριολογοῦσιν. Ἀλλὰ γὰρ τοῦτο [n] τὰ παρ' ἑκάτερα δύο πέρατα τῆς κατὰ τὸ μέσον κεραίας ἐξήρτηται. Καὶ τριαδικῷ μὲν ἰδιώματι τὸ κατὰ τὰς ὑποστάσεις διάφορον ὑποδείκνυται. Μία δὲ τούτων ἐστὶ καὶ ἡ κρίσις καὶ ἡ ἐνέργεια, καὶ ταύτῃ τριαδικὴν ἐν ἑαυτῷ καὶ μοναδικὴν θεωρίαν εἰκονίζει, οὐκ ἔσχεν ὕβριν ὁ τῶν ὅλων κριτὴς, καὶ ζυγοστάτης Θεὸς, διὰ τῶν ἡμῖν συντρόφων φωνῶν τὴν ἀκατάληπτον αὐτοῦ θεογνωσίαν παραπτύσσεσθαι.

Possis etiam ipse advertere, in alio nullo [præter ternarium] numero duas extremitates medietati conjungi per singularem et differentiæ omnis expertem æqualitatem, indiversitatem et indistantiam seu inseparabilem [in re tamen inconfusa] nobis C delineat et sacram quamdam nostræ Theologiæ ideam velut in speculo exhibet, per hunc potius quam per alium quempiam numerum explicatam Trinæ unicæque Deitatis Theologiam edocere merito studuit Ecclesiæ quæ sacris nos mysteriis initiat, judicium.

Οὐδ' ἂν ἐπιθεωρήσαις ὡς ἐπ' οὐδενὸς ἔστι λαβεῖν τῶν ἄλλων ἀριθμῶν πλὴν τῆς Τριάδος ἀπαραλλάκτως καὶ ἑνιαίᾳ ἰσότητι τὰ ἄκρα τῷ μέσῳ συναπτόμενα. Ὃ τοίνυν ἐν ἀριθμοῖς τὸ ἴσον καὶ ἀπαράλλακτον καὶ ἀδιάστατον ἐν τῷ ἀσυγχύτῳ ὑπογράφει, καὶ θεράν τινα φαντασίαν τῆς ἡμῶν θεολογίας ἐνοπτρίζει [o], εἰκότως ἐφιλοσόφησεν ἡ μυσταγωγὸς τῆς Ἐκκλησίας χρίσις [p], δι' ἐκείνου μᾶλλον ἢ δι' ἑτέρου τινὸς ἀριθμοῦ τὴν [q] ἀναπλουμένην τῆς τριαδικῆς μοναρχίας ἐκδιδάσκειν.

At enim illud quoque manuductionis instar oportet ut assumat is, qui voluerit intelligere cur sancta Trinitas neque multiplicari amplius neque innovationis quidpiam possit in se recipere. Hoc porro cujusmodi est? Quandoquidem eorum quæ ex non exstantibus ad exsistentiam producta sunt, unumquodque materia constat et forma, vel saltem elementari aliqua dualitate, quæ, quamdam cum materia et forma proportionem habeat, necesse est ut D binarium illum qui creaturis convenit, numerum tanquam terrestrem ac materialem superet natura materiæ omnis expers, omnem supra substantiam posita et hujus universi creatrix. Quod si res ita se habeat, par est ut duali numero comprehendi se

Ἀλλὰ γὰρ δεῖ κἀκεῖνο λαβεῖν χειραγωγίαν ἐσομένου εἰς τὸ κατανοεῖν τὸ τῆς Τριάδος ἁπλήθυντόν τε καὶ ἀκενοτόμητον [r]· ποῖον δὴ τοῦτο, ἢ εἴ [s] ἕκαστον τῶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθέντων ἐξ ὕλης ἐστὶ καὶ εἴδους, ἢ ἐξ ἀναλογούσης γε πάντως ὕλῃ καὶ εἴδει στοιχειώδους δυάδος ἀναγκαῖον τῆς δυαδικῆς συναριθμήσεως τῶν κτισμάτων [t] ἅτε δὴ χαμαιπετοῦς καὶ προσύλου τὴν ἄϋλον καὶ ὑπερούσιον καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς φύσιν ὑπεραναβεβηκέναι. Εἰ δὲ τοῦτο, εἰκότως ἄρα μετὰ τὴν ἐν δυάδι ἀρίθμησιν οὐδαμῶς ἀνέχεται τὸ θεῖον συναπαρτίζεσθαι. Τῇ δὲ τριαδικῇ θεολογίᾳ κάτω λειπῶν [v] τὴν ὕλην, καὶ τὰ τῆς ὕλης, ἐνυδριόμενον τὴν μετ' αὐτὴν ἀρίθμησιν οὐ προσίεται. Ἵνα μὴ πρὸς τὸ χυ-

VARIÆ LECTIONES.

[m] l. ταλαντεῦον. [n] legerem lubente τούτου. [o] l. ἐνοπτρίζει. [p] l. κρίσις. [q] adde vel subintellige θεολογίαν, idque per figuram quæ vocatur a Græcis ἀπὸ τοῦ κοινοῦ. [r] ἀκαινοτόμητον. [s] l. ἐπεί. [t] κτισμάτων. [v] λεῖπον vel λιπόν.

NOTÆ.

(48) *Licet terrenis natura artis præposita et antelata esset, quam necesse esset rursus.* Ἐπεὶ κἂν τοῖς περιγείοις ἡ φύσις τῆς τέχνης προῖδρυταί τε καὶ προκάθηται, ἣν ἀνάγκη πάλιν. Id est: *a* Quoniam in terrenis quoque rebus arti natura præponitur et præsidet, quam rursus necesse est., etc.

(49) *Veluti imaginem constitui.* Τῆς γενέσεως ἄγαλμα τὸ (lego ἄγαλμά τι) . . . συνίστασθαι. Id est: *a* veluti quamdam generationis imaginem . . . constitui.

(50) *Hic deerant plurima apud* Canisium, *quæ mihi Græca communicavit* D. Caperronnier, *et ipse Latina fecit, summa cum humanitate.* (Bass.)

(51) Intelligit, opinor, ambas trutinæ extremitates et τὸ *examen* dictum.

Digitized by Google

δαῖόν τε καὶ ἀνίδρυτον κατενεχθείη τῆς πρώτης περιοχῆς ἐπορρυὲν, καὶ πρὸς ἑκάστην ἐπίνοιαν ἀνθρωπίνην διασκεδαζόμενον.

A nequaquam patiatur Divinitas : sed materiam et quæ ad hanc pertinent, infra se relinquens, in trina theologia sedem figat, neque illum post Trinitatem numerum admittat ; ne ad effusam ineffabilemque numeri rationem deferatur, si a prima illa [Trinitatis] comprehensione defluxerit et ad unamquamque hominum excogitationem dispergatur.

Τριὰς δὲ καὶ οὐχὶ δυὰς ὁ Θεὸς, ἵνα μὴ τὴν αἰτίαν καὶ ἀρχὴν τῆς τομῆς καὶ τοῦ σκεδασμοῦ ἐν ἑαυτῷ φέρων τὴν ἐνιαίαν καὶ ἄτμητον καὶ πηγὴν πάσης ἑνότητος ἑνυβρίσῃ φύσιν. Οὐδὲ τέσσαρα δὲ πολλῷ μᾶλλον. Διπλῆ γὰρ ταῦτα τομὴ, ἡ μὲν τὴν γένεσιν προκαταλαβοῦσα, ἡ δὲ τὴν ἐξ ἐκείνης συντεθεῖσαν τέμνουσά τε καὶ διαλύουσα. Οὐδὲ τὰ πέντε δ' ἂν ἔχοι χώραν καθορᾶσθαι, οὐδὲ τὰ ἑξῆς. Τὰ μὲν ὅτι δεύτερα τῆς Τριάδος, καὶ τῆς κατ' αὐτὴν ἀμεροῦς ἐννοίας ὑποβέβηκεν. Τὰ δὲ ὅτι τοῦ σκεδασμοῦ καὶ τῆς τομῆς, καὶ τῆς ὕλης ὅσον εἰς σύνθεσιν πρόεισιν πλέον μετέχει. Οὐκοῦν εἰκότως ἡ θεολογία, τὴν μὲν Τριάδα πρὸς ἐκφαντορίαν τῆς ἐν τῇ φύσει παραλαμβάνει κρυφιότητος. Τὸ δὲ ἓν διότι οὐδενὶ οὕτως ἄλλῳ τὸ ὑπὲρ νοῦν κρύφιον τῆς θεότητος ὡς τῷ ἑνὶ θεολογεῖται καὶ παραδείκνυται· καὶ διότι πηγὴ συμφυΐας ἁπάσης ὑμνολογεῖται τὸ Θεῖον ἑνότητος.

Jam vero Trinitatem habet Deus, non dualitatem ; ne si sectionis dispersionisque causam et principium in se ipso ferret, singularem insectilem, et omnis unitatis fontem naturam contumelia quadam afficeret. Multo magis excluditur a Deo quaternitas. Hæc enim duplex est sectio ; quarum una (52) creationem præoccupavit, altera compositam ex illa secat et dissolvit. Neque etiam in divinis locum B habet quinarius numerus neque cæteri qui sequuntur ; tum quia secundas tenent post trinitatem partes, et ipsius ideæ indivisibili longe sunt impares, tum quia dispersionis, et sectionis, et materiæ [quantum ad compositionem pertinet] sunt amplius participes. Itaque jure merito theologia Trinitatem quidem assumit ad illius quod in natura [divina] absconditur, mysterii declarationem : unitatem vero, eo quod nihil perinde ac unitas absconditam Deitatis naturam omni creata mente superiorem indicet, et eo qui Deum decet, modo eloquatur ; præter quam quod divina unitatis ratio tanquam fons cujusque naturalis cognationis celebratur.

Ἔτι δὲ ἡ δυὰς, τά τε ἴχνη τοῦ μὴ ὄντος ἐν ἑαυτῇ πρώτῃ μάλιστα φέρει. Λύσεώς τε γὰρ πρὸ τῶν ἄλλων αὕτη πηγὴ, καὶ τομῆς καὶ σκεδασμοῦ, καὶ πᾶσιν αἰτία φέρειν ἐν ἑαυτοῖς τῆς φθορᾶς τὰ προοίμια. Ἡ Τριὰς δὲ τὸ ἄτμητον εἰκονίζει πρώτη καὶ ἀσκέδαστον. Καὶ εἴ τι ἄλλο μετέχει τῆς ἀδιαιρέτου τε καὶ ἀσκεδάστου φύσεως ἐξ αὐτῆς μετειληφὸς ἐπιγινώσκεται. Διὸ τὸ Θεῖον εἰκότως τῆς ῥοῆς καὶ λύσεως καὶ φθορᾶς αἰτίαν ἀπεσίσατο [x]. Διὰ δὲ τῆς εἰκονιζούσης Τριάδος τὸ ἄῤῥευστόν τε καὶ ἀσκέδαστον καὶ ἀδιάλυτον ἐπιγινώσκεσθαι κατηξίωσεν. Καὶ γὰρ τὸ μὲν τὴν αἰτίαν τῆς τομῆς καὶ ῥύσεως τῶν ἄλλων ὁμοταγῶν παθῶν ὑπεριδεῖν, οἰκεῖον θεότητος. Τὸ δὲ τὴν Τριάδα μὴ ὑπεριδόντας πρώτως εἰκονίζουσαν τἀναντία πάντα τῶν εἰρημένων παθῶν εἰς ἀπορίαν τὸν ἀνθρώπινον νοῦν πλανᾶσθαι μὴ παραχωρεῖν, φιλανθρωπίας τέ ἐστι τῆς πρεπούσης Θεῷ, καὶ τῆς περὶ ἡμᾶς Προνοίας περιφανεστάτη παράστασις.

Ad hæc dualitas prima omnium maxime in se fert nihili, seu ejus quod non exsistat, vestigia. Hæc enim præ cæteris fons dissolutionis est, scissuræ et dispersionis ; causamque omnibus præbet cur in seipsis quædam veluti primordia ferant corruptelæ : Trinitas autem, quod secari dispergive nequit, illud prima repræsentat ; et si quid aliud indivisibilis nec dispersionem patientis naturæ fit particeps, ex ipsa particeps illius esse cognoscitur. Quam ob rem divinitas causam effluxus, dissolutionis, et corruptelæ a se ipsa expulit : et per Trinitatem quæ immunitatem ab effluxu, dissolutione et dispersione repræsentet, agnosci dignata est. Etenim sectionis, effluxus, et aliarum ejusdem ordinis affectionum causam despicere, hoc sane divinitatis est proprium : quod vero Trinitatem quæ omnia prædictis affectionibus contraria velut imagine quadam exhibeat, non despexerimus, neque permiserit Deus ut humana mens in dubitationum angustia adducta erraret ; hoc profecto benignitatis est qua Deum erga homines affici decet et manifestissimum erga nos Providentiæ argumentum.

ΕΡΩΤΗΣΙΣ ΡΠΒ'.

Πῶς λέγομεν ἓν καὶ τρία τὸ Θεῖον ;

D QUÆSTIO CLXXXII [*Coisl.* CCXI, *Taur.* CCII].

(53) *Quomodo dicamus Deum unum et tria ?*

Edita a Basnagio (l. c. p. 431-433).

Ἓν καὶ τρία τὸ Θεῖον θεολογοῦμεν, τὸ ἓν δὲ καὶ τὰ τρία ἑνὶ τῇ ὑπερφυοῦς ταύτης θεαρχίας καθ' ἡμᾶς ἱερολογεῖ θεολογία. Οὐ τὸ ἓν ἐν ἀριθμοῖς ἢ τὰ τρία κυρίως ὥσπερ ἐπὶ τῶν κατὰ φύσιν καὶ κυρίως

Unum et tria Deum theologice dicimus, et unum et tria in divinitate, quæ supra naturam est, nostra Theologia dicit, non unum in numeris, vel tria proprie sic accipiens, sicut in iis, quæ secundum natu-

VARIÆ LECTIONES.

[x] ἀπεσείσατο.

NOTÆ.

(52) Nam, ut supra docuit Photius, omnis Creatura constat ex materia et forma ; vel ex aliqua dualitate quæ materiæ et formæ respondeat.

(53) Hanc quæstionem nec non et duas sequentes efformat quarta ex Dissertationibus Basnagii.

Digitized by Google

ram, et proprie numerari possunt, (54) omnem enim numerum et unitatem, quæ sunt partes numeri, et omnem aliam quantitatem divinitas, mensura arcana, quæ expromi non potest, superat, sed symbolice nomine unius intelligere possumus occultam illam et abditam divinæ naturæ rationem, et ab omni voce et extra se egressione remotionem, et ut sic loquar, inclinationem et ingressionem ad semetipsam; reconditumque illud naturæ supra omnem cogitationem et intelligentiam evectæ. Nomen vero trium mystice docet bonitatem, quæ eam facit manifestam, et qua procedit, seque expandit, et explicat, non totum fulgorem emittens, sed quantum natura humana potest recipere, in quibus Creator et potentia ejus, ac providentia quæ per se exsistit, actu vivifico et omnia conservante simul splendescit et innotescit, (55) illa enim παντελὴς ἀκινησία, id est, perfecta quies et immobilitas in mansione arcana et abdita, quæ expromi non potest, sicut in thalamis silentii occultatur, sic ab omni mente secessit, quoniam nec est mens, quæ ad ea intelligenda ascendat, quæ supra mentem sunt.

A ἀριθμητῶν παραλαμβάνουσα. Ἀριθμοῦ γὰρ παντὸς καὶ ἑνάδων, αἱ τὰ τοῦ ἀριθμοῦ μέρη καὶ πάσης ἄλλης ἀναπληροῦσι ποσότητος, παντελῶς ἡ ὑπεράρχιος ἀγαθαρχία, ἀῤῥήτῳ μέτρῳ ὑπερίδρυται. Ἀλλὰ μὴν διὰ τοῦ ἑνὸς τὴν κρυφιότητα αὐτῆς καὶ τὸ ἄφθεγκτον, καὶ ἀνεκφοίητον [γ], καὶ πῶς ἂν τις εἴποι τὸ συνεῦον εἰς ἑαυτὴν καὶ σεσιγημένον τῆς φύσεως, καὶ παντὸς ἐπέκεινα καὶ νοῦ καὶ νοήσεως, συμβολικῶς ἐνδίδωσιν ἀναπτύσσεσθαι. Τὸ δὲ τρία τὴν ἐκφαντορικὴν αὐτῆς ἀγαθότητα καὶ πρόοδον καὶ ἐξάπλωσιν ἱερολογικῶς μυσταγωγεῖ καὶ ἀνακαλύπτει. Οὐχ ὅλην τὴν αἴγλην ἐναυγάζουσα, ἀλλ' ὅσην ἡ ἀνθρωπίνη φύσις δυνατὴ παραδέχεσθαι. δι' ὧν ὅ τε Δημιουργὸς, καὶ ἡ αὐθυπόστατος δύναμίς τε καὶ πρόνοια τῇ ζωογόνῳ καὶ συνεκτικῇ τοῦ παντὸς B συνεκλάμπει καὶ συναναφαίνεται ἐνεργείᾳ. Ἡ γὰρ ἐν τῇ [α] ἀφράστῳ τῆς κρυφιότητος μονὴ, καὶ παντελὴς ἀκινησία, ὥσπερ δὴ τοῖς τῆς σιγῆς θαλάμοις ἐναποκρύπτεται, οὕτω δὴ καὶ διανοίας πάσης, ὅτι μηδ' ἠντινοῦν [α] εἰς τὰ ὑπὲρ νοῦν ἀνιὼν ἀνακεχώρηκεν.

In primis cogitatio nostra, ut Deum decet, mansionem et stationem, et quietem immotam, et identitatem, et quantum potest humana natura superne illuminari splendore illinc misso, (56) conjuncte et copulate contemplatur. Hic vero unitam, et deificam diversitatem, et inseparabilem (57) in personis immotis, ut Deum decet, manentem, tanquam ex fonte C arcano et abdito, decenter Deo aspicit. Unum igitur et tria est Deus, non secundum artem numerandi, hoc sane ante nos ille arcanorum magister magnus Dionysius ab illo institutus, qui quæ expromi non possunt, eum docuit, sigpificans, aiebat, qui est omnium, quæ sub intelligentiam cadunt eximie, et excellenter effector, nec est unum, nec unitas, collocans eum super omnia, quæ apud nos sunt in honore et pretio, declaransque, ut est ante alia, sic etiam esse ante numerationem. Et rursus, inquit, videmus divinitatem sacre laudatam tanquam monadem, et unitatem (Deum, inquam, tanquam solum et unum) propter simplicitatem et unitatem impartibilitatis supra naturam, ex qua,

Ἐν μὲν οὖν [b] τοῖς πρώτοις ἡ θεοπρεπὴς φαντασία τὴν μονὴν καὶ στάσιν, καὶ τὸ ἀκίνητον καὶ τὴν ταυτότητα, καὶ ὅσον ἐστὶ δυνατὸν ἀνθρωπίνῃ φύσει δέξασθαι τὰς ὑπερανωσκειμένας [c] αὐγὰς τῆς ἐκεῖθεν ἐλλάμψεως, τῆς μονῆς καὶ στάσεως καὶ ἀκινησίας τὸ συνῃρημένον ἐποπτεύει· ἐνταῦθα δὲ τὴν ἑνοειδῆ καὶ θεουργὸν ἑτερότητα, καὶ τὴν ἀδιάστατον ἐν ἀκινήτοις ὑποστάσεσι κίνησιν, ἀῤῥήτως τε καὶ ῥοῆς χωρὶς ἁπάσης θεοπρεπῶς ἐπιβλέπει. Ἓν οὖν τὸ θεῖον καὶ τρία, οὐ κατὰ τὴν ἀριθμητικὴν τεχνολογίαν. Τοῦτο δὲ ἄρα καὶ πρὸ ἡμῶν ὁ τῶν ἀπορῥήτων μύστης ὑπὸ τοῦ τὰ ἀνέκφραστα μυσταγωγοῦντος ὁ μέγας μυηθεὶς Διονύσιος αἰνιττόμενος ἔλεγεν, ὡς ὁ παντὸς νοητοῦ καθ' ὑπεροχὴν αἴτιος οὔτε ἓν ἐστιν, οὔτε ἑνότης, ὑπερτιθεὶς αὐτὸν τῶν ἐν ἡμῖν ἁπάντων τιμίων. Καὶ δὴ καὶ δῆλον ὡς πρὸ τῶν ἄλλων, καὶ τῆς συναριθμήσεως, καὶ πάλιν ὁρῶμεν τὴν θεαρχίαν ἱερῶς ὑμνουμένην, ὡς μονάδα μὲν καὶ ἑνάδα, διὰ τὴν ἁπλότητα καὶ ἑνότητα τῆς ὑπερφυοῦς ἀμερείας, ἐξ ἧς ὡς ἑνοποιοῦ δυνάμεως ἐνιζόμεθα, καὶ τῶν μεριστῶν ἡμῶν ἑτεροτήτων ὑπερκοσμίως συμπυσσομένων [d-e],

VARIÆ LECTIONES.

[γ] l. ἀνεκφοίτητον. [α] τῷ. [α] l. μηδ' ἦν τις νοῦς, vel μηδ' ἦν τινος νοῦς. [b] dele οὖν. [c] l. ὑπεράνω κειμένας vel ὑπερανῳκισμένας. [d-e] l. συμπτυσσομένων.

NOTÆ.

(54) *Omnem enim numerum* etc. *superat.* Ἀριθμοῦ γὰρ παντὸς καὶ ἑνάδων, αἱ τὰ τοῦ ἀριθμοῦ μέρη καὶ πάσης ἄλλης ἀναπληροῦσι ποσότητος, παντελῶς ἡ ὑπεράρχιος, ἀγαθαρχία ἀῤῥήτῳ μέτρῳ ὑπερίδρυται. Id est: « Omnem enim numerum et unitates, quæ numeri et omnis alterius quantitatis partes adimplent, omnino superat ineffabili mensura optimus ille [Divinitatis] principatus omnem supra principatum positus. »

(55) *Illa enim perfecta quies et immobilitas in mansione arcana et abdita quæ expromi non potest.* Ἡ γὰρ ἐν τῇ [lego τῷ] ἀφράστῳ τῆς κρυφιότητος μονὴ καὶ παντελὴς ἀκινησία. Id est: « Nam mansio in secreto ineffabili, et perfecta illa immobilitas. »

(56) *Conjuncte et copulate contemplatur. Hic vero unitam et deificam*, etc. τῆς μονῆς καὶ στάσεως καὶ ἀκινησίας τὸ συνῃρημένον ἐποπτεύει· ἐνταῦθα δὲ τὴν ἑνοειδῆ καὶ θεουργόν. Id est: « Mansionis quietis, et immobilitatis contractionem contemplatur: Hic vero uniformem et deificam. etc. »

(57) *Inseparabilem, etc. Deo aspicit.* Τὴν ἀδιάστατον ἐν ἀκινήτοις ὑποστάσεσι κίνησιν ἀῤῥήτως τε καὶ ῥοῆς χωρὶς ἁπάσης θεοπρεπῶς ἐπιβλέπει. Id est: « Inseparabilem in personis immotis motionem, ineffabiliter et absque omni fluxu, prout Deum decet, aspicit. »

Digitized by Google

εἰς θεοειδῆ μονάδα συναπτόμεθα, καὶ θεομίμητον ἕνωσιν.

Τριάδα δὲ, πρόσχες· οὐ γὰρ ὡς ἀριθμητὴν φησιν, ἀλλὰ διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίου γονιμότητος ἔκφασιν, ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἔστι τε καὶ ὀνομάζεται· καὶ πολλὰ τοιαῦτά ἐστιν παρὰ τῷ θεσπεσίῳ τῶν ἀθεάτων θεωρῷ, καὶ τῆς Παύλου μυσταγωγίας ἐπαξίῳ. Ὅτι δὲ οὐ τῶν κυρίως ἀριθμητῶν ἡ Τριὰς ἔκ τε τῶν εἰρημένων ἔστι θεωρεῖν, καὶ ἄλλοι διάφοροι δηλοῦσι λόγοι. Καὶ γὰρ ἐπὶ τῶν κυρίως ἀριθμητῶν, οἷον ἀνθρώπων, φέρε εἰπεῖν, ἢ ἀγγέλων, ἢ μυρίων ἄλλων δυνάμεθα λέγειν, καὶ τριὰς ἀγγέλων καὶ τριὰς ἀνθρώπων, ἀλλὰ καὶ τρεῖς ἄγγελοι, καὶ τρεῖς ἄνθρωποι. Ἐπὶ δὲ τῆς ὑπὲρ πάντα νοῦν καὶ ἀριθμὸν ὑπεραγίας Τριάδος, οὔτε Τριὰς θεῶν εἶποιεν [f] ἄν τις εὐσεβῶν, ἀλλ' οὐδὲ τρεῖς θεοί. Πάλιν τὰ ἐν τῇ ὑπεραγίᾳ καὶ ὁμοουσίῳ Τριάδι λαμβανόμενα πρόσωπα, φανερὸν ὡς δι' ἀλλήλων τὰς ἰδιότητας ἀχράντους καὶ ἀκηράτους διασώζοντα χωρεῖ. Πληροῖ τὰ πάντα ὁ Πατὴρ, πληροῖ τὰ πάντα ὁ Υἱὸς, ὡσαύτως καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ τὸ ἀνάπαλιν, ἔνθα πάρεστι τὸ Πνεῦμα, ἐκεῖ καὶ ὁ Πατὴρ, καὶ ὁ Υἱός· ἀλλὰ καὶ ἐν οἷς πάρεστιν ὁ Υἱὸς, συμπάρεισι καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα. Ἐπὶ δὲ τῶν κυρίως ἀριθμητῶν οὐδὲν ἔστι τοιοῦτον οὐδὲ ἐννοεῖν.

Ἔτι δὲ ἐπὶ τῶν κυρίως ἀριθμητῶν, καὶ προσθήκη γίνεται καὶ ἀφαίρεσις τῶν ἀριθμουμένων· ἐπὶ δὲ τῆς ὑπερουσίου καὶ ἀκαταλήπτου Τριάδος, πῶς ἂν ὅλως ἐννοειθείη τοῦτο; καὶ πολλὰ ἄν τις ἐπιθεωρήσειε τοιαῦτα.

A tanquam unifica potentia, efficimur unum, (58) et nostris diversitatibus divine complicatis et in unum convolutis, in unitatem Dei similem, et unitionem, quæ Deum imitatur, copulamur.

Trinitatem vero attende, (59) non enim tanquam numerabile, dicit, sed propter manifestationem trium personarum in illa supra naturam fecunditate, ex qua omnis paternitas in cœlo et in terra est et nominatur. Et multa alia hujusmodi licet reperire apud divinum inaspectabilium spectatorem, et in mysteriis Pauli institutione dignum. Quod autem Trinitas non sit proprie numerabilium, tum ex iis quæ dicta sunt licet cognoscere : tum aliæ rationes varie declarant, siquidem in iis, quæ proprie numerari possunt, ut, verbi gratia, in hominibus et B angelis, et similiter in infinitis aliis dicere possumus, trinitatem angelorum et trinitatem hominum, imo et tres angelos, et tres homines; in Trinitate vero supra quam sancta, neque Trinitas deorum pie dici potest, neque tres Dii. Rursus in Trinitate supra quam sancta et unius ejusdemque substantiæ personæ in seipsis mutuo incedunt, integris et salvis proprietatibus implet omnia Pater; implet omnia Filius, similiter etiam Spiritus sanctus. Et rursus; Ubi adest Spiritus, illic et Filius, et Pater, quin etiam in quibus est Filius, sunt simul et Pater et Spiritus sanctus. In iis vero, quæ proprie numerari possunt, nihil ejusmodi ne intelligi quidem potest.

Ad hæc in iis quæ sunt proprie numerabilia, C accessio fit, et subductio eorum, quæ numerantur; in Trinitate vero supra naturam, et incomprehensa, quomodo hoc penitus intelligatur? Multa alia ejusmodi contemplari quis potest.

ΕΡΩΤΗΣΙΣ ΡΠΓ.

Περὶ τῶν αὐτῶν τῷ αὐτῷ.

QUÆSTIO CLXXXIII [*Coisl.* CCXII, *Taur.* CCIII.]

De iisdem eidem.

Edita a Basnagio (l. c. p. 433). — Præcedentis continuatio.

Τὸ ἓν καὶ τὰ τρία ἐνὶ τῆς θεαρχικῆς θεολογούμενα φύσεως, οὐκ ἀριθμός ἐστι κυρίως, οὐδ' ἀρχὴ ἀριθμοῦ· ἀλλὰ τὸ μὲν ἓν σύμβολόν τέ ἐστι τῆς ἀπερινοήτου κρυφιότητος, καὶ αἰνιγματίζει τὸ ἄῤῥητον τῆς ὑπάρξεως. Τὴν ἐκφαντορίαν δὲ τὰ τρία διαπλοῖ, καὶ παραγυμνοῖ τοῖς μεριστοῖς τὴν γνῶσιν τῆς ἀμερίστου καὶ ἀκαταλήπτου θεότητος. Ἐκφαίνεται γὰρ ἡ ὑπὲρ νοῦν καὶ πᾶσαν κατάληψιν οὐσία τῇ τοῦ Πατρὸς ἀναπλουμένη καὶ Υἱοῦ προσηγορίᾳ καὶ Πνεύματος. Ὥσπερ ἐπὶ τὸ κρύφιον καὶ ἀκατανόητον συστέλλεται D τῷ ἑνὶ τῆς ὑπερφυοῦς μηδ' ἐπινοίᾳ στερουμένη κρυφιότητος. Καὶ τῶν ὀνομάτων ἀλλήλων διισταμένων ἡ ἄῤῥητος δι' αὐτῶν καὶ ἀσυναίρετος θεολογεῖται τῶν

Unum itaque et tria non sunt proprie numerus, neque principium numeri in naturæ divinæ Theologia, sed potius unum symbolum est arcanæ, et in abdito reconditæ naturæ, quæ intelligentia comprehendi non potest, significatque in ænigmate non posse efferri et expromi divinam substantiam. Tria vero manifestationem explicant; et divinitatis impartibilis, atque incomprehensæ cognitionem aliquantum explanant hominibus qui sunt partibiles; patefit enim substantia, quæ supra mentem, et supra omnem comprehensionem est, appellatione Patris, et Filii, et Spiritus sancti, (60) sicut uno arcani, quod supra naturam est, et neque cogita-

VARIÆ LECTIONES.

[f] l. εἶποι.

NOTÆ.

(58) *Et nostris diversitatibus in unum convolutis.* Καὶ τῶν μεριστῶν ἡμῶν ἑτεροτήτων συμπτυσσομένων. Id est : « Et nostris diversitatibus seu differentiis quæ sunt divisibiles, in unum convolutis. »

(59) *Non enim tanquam numerabile dicit.* Οὐ γὰρ ὡς ἀριθμητὴν φησι. Id est : « Non enim tanquam numerabilem dicit. »

(60) *Sicut uno arcani, etc. nominibus significantur.* Ὥσπερ ἐπὶ τὸ κρύφιον καὶ ἀκατανόητον συστέλλεται τῷ ἑνὶ τῆς ὑπερφυοῦς μηδ' ἐπινοίᾳ στερουμένη κρυφιότητος· καὶ τῶν ὀνομάτων ἀλλήλων διισταμένων ἡ ἄῤῥητος δι' αὐτῶν καὶ ἀσυναίρετος

Digitized by Google

tione firmatur, contrahitur in arcanum; et quod comprehendi non potest; et nominibus inter se distinctis traditur conjunctio sine synæresi (id est, contractione personarum) eorum, qui nominibus significantur, et intelliguntur, et quod multiplicari non potest, non recedens ab unitate, exit sine multiplicatione, trinitate multiplicatum. Et hoc quidem unum tria profert; hæc vero tria ab illa simplicitate unius et conjunctione non exeunt.

A νοουμένων συνάφεια, καὶ τὸ ἁπλήθυντον οὐκ ἐξιστάμενον τῆς ἑνότητος, πρόεισιν ἀπληθύντως τῇ τριάδι πληθυνόμενον· καὶ τὸ μὲν τὰ τρία βλαστάνει, τὰ δὲ τῆς τοῦ ἑνὸς ἁπλότητος καὶ συναφείας οὐ διίσταται.

Quamobrem vere est incommunicabilis Deus, nihil enim ejusmodi est in creaturis; si vero unum tantum esset, vel tria, Deus infinitos haberet consortes et participes, demonstraretque creatura Creatorem in suis proprietatibus collocatum.

Διὸ καὶ ἀκινώνητον [g] ὡς ἀληθῶς ὁ Θεός· οὐδὲν γὰρ τοιοῦτον ἐν τοῖς κτίσμασιν· εἰ δὲ ἓν μόνον ἦν ἢ τρία, τὸ Θεῖον μυρίους ἂν συνεπείγετο κοινωνοὺς καὶ ἡ κτίσις τὸν Κτίστην ἐδείκνυ τοῖς ἑαυτῆς συναπτόμενον ἰδιώμασιν.

QUÆSTIO CLXXXIV [*Coisl.* CCXIII, *Taur.* CCIV].

Eidem.

ΕΡΩΤΗΣΙΣ ΡΠΔ'.

Τῷ αὐτῷ.

Edita a Basnagio (l. c. p. 433, 434). — Prioris continuatio.

Quod si Deus et divinitas in omnibus est, et per omnia meat, quid mirum est, si et in hominibus est tanquam homo. Esse igitur in omnibus, tum ex aliis, tum ex ratione creationis intelligitur, esse vero in hominibus, cognoscitur ex assumpta humanitate, quam propter charitatem erga nos assumpsit, (61) et exortus, quem cœpit, participatione, et communione nostra, quæ secundum honorem post primum tulit. Quorum alterum manus Creatoris largita est; alterum ipse ad nos veniens. Sicut igitur (62) omnia, cum non essent, creatio ejus fecit ut essent, sic etiam, quia homines singulari supra aliarum creaturarum omnium procurationem providentiæ beneficio affecit, etsi partus Virginis, et ille ortus, qui expromi non potest verbis, supra ortum humanum est, genitum esse dicimus eum, qui ex æternitate est, et hominem vocatum, qui naturam humanam fluxit ac formavit. Non facimus hominem Deum, apage, hoc enim fere fieri non potest, et judicium rationis hoc non patitur, sed Deum confitemur venisse ut hominem quod facile est Deo, qui naturæ auctor fuit, id quod illius in nos charitatis vim magnam prædicat.

B Εἰ ὁ Θεὸς καὶ ἡ θεότης ἐν πᾶσι τοῖς οὖσι καὶ διὰ πάντων, τί θαυμαστὸν εἰ καὶ ἐν ἀνθρώποις ὡς ἄνθρωπος; Τὸ μὲν οὖν ἐν πᾶσιν εἶναι τά τε ἄλλα καὶ τῆς δημιουργίας ὁ λόγος ἐπίσταται, τὸ δὲ ἐν ἀνθρώποις ἡ διὰ φιλανθρωπίαν τοῦ κτίσματος πρόσληψις, καὶ τῆς γεννήσεως ἣν αὐτὸς ὑπέστησε μετοχῇ καὶ κοινωνίᾳ δευτέρας [h] τιμῆς ἀπολαυούσης μετὰ τὴν πρώτην. Ὧν τὴν μὲν ἡ δημιουργὸς χεὶρ, τὴν δὲ προσελθὼν αὐτὸς ἐχαρίσατο. Ὥσπερ οὖν διότι τὰ ὄντα ἐκ μὴ ὄντων ὑπέστησε Δημιουργὸν αὐτὸν λέγομεν, εἰ καὶ κρείττων πολλῷ δημιουργίας ἡ πρόοδος· οὕτω καὶ διὰ τὸ τοὺς ἀνθρώπους ἐξῃρημένῃ τῶν ἄλλων εὐεργετῆσαι προνοίᾳ, εἰ καὶ κρειττόν ἐστιν ἀνθρωπίνῃ [i] γεννήσεως ὁ ἐκ Παρθένου τόκος, καὶ ἡ ἄφραστος γέννησις, γεννηθῆναι λέγομεν τὸν πρόναρχον, καὶ C ἄνθρωπον χρηματίσαι τὸν Πλάστην τῆς φύσεως. Οὐκ ἄνθρωπον θεοποιοῦμεν (ἄπαγε· ἀδύνατόν τε γὰρ ὡς ἀληθῶς τοῦτο, καὶ λόγου κρίσιν οὐχ ὑφιστάμενον), ἀλλὰ Θεὸν ὁμολογοῦμεν προελθεῖν ὡς ἄνθρωπον, ὅπερ ῥᾴδιόν τέ ἐστι Θεῷ τῷ τὴν φύσιν πλαστουργήσαντι, καὶ πολλὴν φιλανθρωπίας ἀνακηρύττει διάθεσιν.

QUÆSTIO CLXXXV [*Coisl.* CCXIV, *Taur.* CCVI].

(63) *Quomodo omnino cogitari possit Deum esse incarnatum?*

ΕΡΩΤΗΣΙΣ ΡΠΕ'.

Πῶς ἐστι δυνατὸν ὅλως ἐννοεῖν τὸ Θεῖον σαρκωθῆναι;

Edita a Basnagio (l. c. p. 434, 435).

Neminem existimo ita a divina illuminatione vacasse, ut non sit ei insitum, et communi notione

Θεοῦ μὲν οὐδὲ θείας ἐλλάμψεως οὐδένα τοσοῦτον κεχενωμένον εἶναι νομίζω, ὃς μὴ πανταχοῦ παρεῖναι

VARIÆ LECTIONES.

[g] l. ἀκοινώνητον. [h] l. δευτέρα in nominativo. [i] l. ἀνθρωπίνης.

NOTÆ.

θεολογειται τῶν νοουμένων συνάφεια. Id est: « Sicut per unitatem in occultum et incomprehensibile contrahitur [Dei substantia] ne per subtilem quidem mentis cogitationem privata supernaturali secreto, et distinctis inter se nominibus, per ea theologice prædicatur ineffabilis et contractionis exspers conjunctio eorum qui significantur et intelliguntur. »

(61) *Et exortus, etc. tulit.* Καὶ τῆς γεννήσεως ἣν αὐτὸς ὑπέστησε, μετοχῇ καὶ κοινωνίᾳ, δευτέρας τιμῆς ἀπολαυούσης μετὰ τὴν πρώτην. Id est: « Et ex participatione ac communione generationis ab ipso factæ quæ secundum honorem post primam illam [creationem videlicet] tulit. »

D Turrianus legit in ablativo μετοχῇ et κοινωνίᾳ, sed sequentia docent legendum esse, μετοχὴ et κοινωνία, in nominativo.

(62) *Sicut igitur omnia cum non essent, creatio ejus fecit ut essent.* Ὥσπερ οὖν διότι τὰ ὄντα ἐκ μὴ ὄντων ὑπέστησε, Δημιουργὸν αὐτὸν λέγομεν εἰ καὶ κρείττων πολλῷ δημιουργίας ἡ πρόοδος. Id est: « Sicut igitur, quia creaturas ex nihilo produxit, Opificem ipsum dicimus, quamvis opificio quohlet longe præstantior sit hujusmodi productio.

Turrianus hic quæpiam omisit.

(63) Est quinta dissertatio apud Basnagium.

Digitized by Google

τὸ Θεῖον ἀδιαστάτως, μηδὲ τὰ πάντα πληροῦν, ἐμφύτῳ καὶ κοινῇ κατέλαβεν ἀντιλήψει. Εἰ δὲ πᾶσι πάρεστιν ὁ Θεὸς τοῖς οὖσιν, οὐδὲν τῆς ὑπερφυοῦς αὐτοῦ φύσεως ἐκ τῆς περὶ τὰ δημιουργήματα αὐτοῦ παρουσίας συναλλοιουμένης, ἐκείνων ἀλλοιουμένων, οὔτε τοῖς καθ' ὑπόβασιν ἑτέρου πρὸς ἕτερον ἐλαττώμασιν συνελαττουμένης, οὐδὲ ταῖς ἐν τοῖς κτίσμασιν ἀναφυομέναις κηλίσιν ἐνυβριζομένης, ἀλλ' ἐν τῇ ἀφράστῳ καὶ ἀπερινοήτῳ τῆς μακαριότητος ὑπεροχῇ καὶ ἀπαθείας ὑπεριδρυμένος πάρεστί τε τοῖς οὖσι, καὶ συνέχει ταῦτα καὶ διεξάγει· πῶς ἂν ἀδύνατον εἴη, ἢ τινα φέρον ὕβριν, τῷ ἀνθρωπίνῳ παρεῖναι φυράματι, καὶ τὴν ἀπόῤῥητον αὐτοῦ φιλανθρωπίαν καὶ πρόνοιαν διὰ τῆς σαρκώσεως ἐπιδείξασθαι; μᾶλλον δὲ πῶς οὐ καλόν; Πῶς δ' οὐχ ἁρμόδιον; Ἀλλ' ὁ λόγος οὗτος.

Ἴσως ἄν τις ὑποκρούσειεν, οὐ μόνον ἐνανθρωπῆσαι τὸ Θεῖον φρονεῖν ὑποτίθεται, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων κτισμάτων τὴν φύσιν ὑπελθεῖν, καὶ πρὸς οὐσίωσιν ἀναδέξασθαι. Ἀλλά γε τῆς σῆς διανοίας τὸ εὔστροφον, ὁ γενναῖος ἰ, ἀποδεχόμενος, οὐκ ἀποδέχομαι τῆς ἄλλης ἐπιβολῆς, ὅτι μὴ θᾶττον ἐπέγνως μηδὲ προσέσχες βιαίως τὴν ἐξαρχῆς θέσιν ἐξαρνούμενος. Ὁ γὰρ ἀδύνατον διατεινόμενος Θεὸν σαρκοῦσθαι, καὶ ἀνθρωπίνην μορφὴν ἀναδέχεσθαι, τοσοῦτον διὰ τῆς δευτέρας ἀπορίας φαίνεται τοῦτο συνομολογῶν, ὡς οὐδὲ τῶν ἄλλων κτισμάτων οὐδενὸς τὴν φύσιν ἀναλαβεῖν αὐτὸν ἀποφαίνεται, καὶ ὁ καθ' ἑνὸς ὁρῶν τὸ ἀδύνατον κατὰ πάντων ὁμοῦ τὸ δυνατὸν ἐψηφίσατο· ὥστε τὸ δυνατὸν εἶναι Θεὸν σαρκωθῆναι, οὐδὲ παρὰ σοὶ τῶν ἀδυνάτων φιλολογοῦντι εὑρεθήσεται.

anticipatum, Deum esse ubique sine ulla intercapedine, replereque omnia. Quod si in omnibus rebus adest Deus, (64) nulla mutatione facta propter præsentiam ejusdem in rebus, nec ulla variatione status in eum inducta, ex eo, quod alii infra alios sint, nec ulla contumelia aspersa propter maculas, quæ in creaturis insunt, quin potius in illa beatitudinis excellentia, neque dici, nec intelligi potest, supra quam quæ eloqui licet, collocatus omnibus præsens interest, et omnia continet et gubernat; quomodo fuerit impossibile, aut quomodo contumeliosum, adesse in humana massa, et suam charitatem majorem, quam ut exprimi queat, et providentiam per incarnationem demonstrasse? quin imo quomodo non optimum est, et aptissimum. Sed hæc hactenus (65).

Fortassis aliquis eorum, qui incarnationem Dei impossibilem, et Deo indignam reputant, refellet eam, sentiens non solum Deum factum esse hominem, sed etiam omnium aliarum creaturarum naturam subiisse, et πρὸς οὐσίωσιν ἀναδέξεσθαι, id est, eas ad (66) substantialem unionem recepisse. Sed age tu, vir valentissime, (67) qui mentis tuæ facilem mobilitatem amplecteris, non approbo aliam cogitationem, quia non agnovisti cito, (68) nec advertisti firme, quod a principio positum fuit, quod negas. Qui enim contendit impossibile esse Deum carnem assumpsisse, et humanam formam induisse, usque adeo videtur hoc per secundam dubitationem confiteri, et comprobare, (69) ut pronuntiet, nec naturam ullius creaturæ ex omnibus aliis sumpsisse, et qui in uno vides hoc impossibile, rursus possibile esse Deum assumpsisse carnem in omnibus simul, quæ nec apud te sunt impossibilia, vides.

ΕΡΩΤΗΣΙΣ ΡΗϚ'.

Διατὶ Θεὸς ἐσαρκώθη;

QUÆSTIO CLXXXVI [*Coisl.* CCXV. *Taur.* CCVI]. (70)

Quare Deus carnem assumpserit?

Edita a Basnagio (l. c. p. 435, 436). — De causis Incarnationis.

Ἐπειδὴ λίαν ὀλίγων ἐστὶ διὰ νοῦ καὶ θεωρίας εἰς

Quia perpaucorum est contemplatione mentis

VARIÆ LECTIONES

1 l. ὦ γενναῖος.

NOTÆ.

(64) *Nulla mutatione facta, etc. infra alios sint.* Οὐδὲν τῆς ὑπερφυοῦς αὐτοῦ φύσεως ἐκ τῆς περὶ τὰ δημιουργήματα αὐτοῦ παρουσίας, συναλλοιουμένη, ἐκείνων ἀλλοιουμένων, οὔτε τοῖς κατ' ὑπόβασιν ἑτέρου, πρὸς ἕτερον ἐλαττώμασι, συνελαττουμένης. Id est: « Nec tamen supernaturalis ejus natura ob præsentiam ipsius in rebus creatis alteratur, dum alterantur illæ; neque fit minor aut inferior, dum creaturæ secundum subjectionis ordinem aliæ fiunt aliis inferiores. »

Plura omissa hic observari possunt in versione Turriani.

(65) *Sed hæc hactenus. Fortassis, etc. Factum esse hominem.* Ἀλλ' ὁ λόγος οὗτος, ἴσως ἄν τις ὑποκρούσειεν, οὐ μόνον ἐνανθρωπῆσαι τὸ Θεῖον φρονεῖν ὑποτίθεται. Id est: « Sed hæc ratiocinatio, objiciet fortasse quispiam, non solum Deum factum esse hominem suggerit ut sentiamus. »

(66) *Ad substantialem unionem.* Πρὸς οὐσίωσιν. Id est: « Ad substantiationem seu substantiæ productionem. »

(67) *Qui mentis tuæ facilem mobilitatem amplecteris, non approbo aliam cogitationem.* Τῆς σῆς διανοίας τὸ εὔστροφον ἀποδεχόμενος, οὐκ ἀποδέχομαι τῆς ἄλλης ἐκβολῆς. Id est: « Qui mentis tuæ facilem mobilitatem amplector, non approbo aliam cogitationem. »

(68) *Nec advertisti quod a principio positum fuit, quod negas.* Μηδὲ προσέσχες . . . τὴν ἐξ ἀρχῆς θέσιν ἐξαρνούμενος. Id est: « Neque animadvertisti te propositam ab initio thesin, seu quod propositum initio fuerat, prorsus negasse. »

(69) *Ut pronuntiet, etc. Impossibilia vides.* Ὡς οὐδὲ τῶν ἄλλων κτισμάτων οὐδενὸς τὴν φύσιν ἀναλαβεῖν αὐτὸν ἀποφαίνεται, καὶ ὁ καθ' ἑνὸς ὁρῶν τὸ ἀδύνατον, κατὰ πάντων ὁμοῦ τὸ δυνατὸν ἐψηφίσατο, ὥστε τὸ δυνατὸν εἶναι Θεὸν σαρκωθῆναι οὐδὲ παρὰ σοὶ τῶν ἀδυνάτων φιλολογοῦντι εὑρεθήσεται. Id est: « Ut pronuntiet eumdem cæterarum creaturarum nullam non assumpsisse naturam, et qui in una rem impossibilem esse videbat, is in omnibus simul possibilem esse censuit adeo ut apud te ratiocinandi studiosum non impossibilis inveniatur divinæ incarnationis possibilitas. »

(70) Est dissertatio sexta apud Basnagium.

Digitized by Google

cogitationem, quæ Deum deceat, de Deo informare, A
idque vel ex eo liquet, quod ii, qui videntur inter homines ad summum fastigium sapientiæ pervenisse, inter se ipsos et ab aliis plurimum dissenserunt; idcirco Deus factus est homo, ut non solum, qui plus cognitionis, quam alii assecuti videntur, sed etiam vulgus hominum, qui magis sensu quam ratione ducuntur, per ea, quæ vident et audiunt, ad piam et salutarem Dei cognitionem recurrere possint, per ea, quæ sub sensum cadunt, ad eum, qui sub intelligentiam, ascendentes, et ab iis quæ per carnem a Deo facta sunt, ad contemplationem divinitatis incorporeæ et supra naturam, atque hoc quidem ex iis quæ acciderunt, patefit; ex quo enim Deus factus est homo, et illa admirabilia, et quæ supra naturam erant opera, formam naturæ nostræ B
ferens perfecit, absurdas et multiplicibus erroribus implicitas cogitationes abjecerunt, et illis nugis et idolorum fictionibus procul relegatis Deum in carne visum, hunc verum Deum esse confitentur, et venerantur, qui digni habiti sunt, ut per præsentiam corporis ejus (71) et operum ejus aspectu et auditione eum cognoscerent, et hujusmodi cognitione ad cognitionem ac contemplationem ejus naturæ inaspectabilis adducerentur.

Sed hæc quidem una causa; altero vero quod nequaquam fortis ligatus esset, (72) nisi fortiter certamen hoc subiisset. Tertia, quod doctrina oculis, et auribus præposita valentior est, et multo facilior ad exsequendum, quam quæ e longinquo et per alia intermedia annuntiatur. (73) Tum etiam C
actio per imitationem virtutum facilior est et commodior, quam ea quæ citra imitationem exigitur. Imitationem autem non possunt habere homines, quæ humanam vitam in altum tollat, si nullus sit, qui hanc actionem virtutis suspiciat humanæ. Hujusmodi actio humana quomodo esse posset, si incarnatio Verbi Dei facta non esset? Amore igitur erga homines, et providentia immensa Verbum Dei factum est homo, et nobiscum deifice conversatum est, et inter homines vixit.

φαντασίαν ἀνελθεῖν τοῦ Θείου θεοπρεπῆ, καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ οἱ δοκοῦντες εἰς ἄκρον ἐλάσαι τῆς ἐν ἀνθρώποις σοφίας πρὸς σφᾶς ἑαυτοὺς καὶ πρὸς ἀλλήλους ἐπὶ μέγιστον διενέχθησαν· διὰ τοῦτο ἐνηνθρώπησεν ὁ Θεὸς, ἵνα μὴ μόνον οἱ πλέον τι κατὰ γνῶσιν τῶν ἄλλων ἔχειν δοκοῦντες, ἀλλὰ καὶ ὁ πολὺς ἄνθρωπος ὁ τῇ αἰσθήσει μᾶλλον ἢ τῷ λογισμῷ χειραγωγούμενος, δι' ὧν ὁρᾷ τε καὶ ἀκούει πρὸς τὴν εὐσεβῆ τοῦ Θείου καὶ σωτήριον ἔννοιαν, ἀνατρέχειν ἔχει [k] διὰ τῶν αἰσθητῶν ἐπὶ τῶν [l] νοητῶν ἀναβαίνων, καὶ ἀπὸ τῶν διὰ μέσης τῆς σαρκὸς θεουργουμένων ἐπὶ τὴν τῆς ὑπερφυοῦς καὶ ἀσωμάτου θεότητος θεωρίαν. Καὶ τοῦτο δῆλον ἐκ τῶν ἐκδεδηκότων· ἐξ οὗ γὰρ Θεὸς ἐνανθρώπησαι [m], καὶ τὰ παράδοξα καὶ ὑπερφυῆ τῶν ἔργων τὴν ἡμετέραν φέρων μορφὴν ἐπετέλεσεν, τὰς ἀλλοκότους καὶ πολυπλανεῖς φαντασίας ὁ ἄνθρωπος ἀπορρήψας [n], καὶ μακρὰ χαίρειν εἰπὼν τοῖς μακρῷ λήρους, καὶ τοῖς εἰδωλικοῖς ἀναπλάσμασιν, τὸν ἐν σαρκὶ φανέντα Θεὸν, τοῦτον ἀληθινὸν Θεὸν ἀνομολογεῖ τε. καὶ προσκυνεῖ, διὰ τῆς ἐν σώματι μὲν παρουσίας αὐτοῦ, καὶ τῶν ὑπὲρ λόγον ἔργων ὄψει καὶ ἀκοῇ καταμαθεῖν αὐτὴν [o] ἀξιωθείς, διὰ δὲ τῆς τοιαύτης γνώσεως εἰς τὴν τῆς ἀθανάτου [p] φύσεως ἐπίγνωσίν τε καὶ θεωρίαν ἀναχθείς.

Ἀλλ' ἓν μὲν τοῦτο· δεύτερον δὲ, ὅτι οὐδαμῶς ὁ ἰσχυρὸς ἐδεσμεῖτο μὴ δυνατωτέρου τὸν ἀγῶνα τοῦτον καὶ τὸν ἆθλον ὑποδυσαμένου. Τρίτον ὅτιπερ ἡ ὄψει καὶ ἀκοῇ προκειμένη διδασκαλία τῆς πόρρωθεν καὶ δι' ἑτέρων μέσων ἀπαγγελλομένης ἐπικρατεστέρα τε πολλῶν καὶ ἀκριβεστέρα. Εἰ βούλει δὲ, ὅτι καὶ πολλοῖς εὐχερεστέρα καὶ ῥᾳδίως ἐξανύεσθαι δυναμένη ἡ διὰ μιμήσεως τῶν ἀρετῶν πρᾶξις τῆς ἄνευ ἀπαιτουμένης. Μίμησις δ' ἀνθρώποις οὐκ ἂν εἴη τὸν ἀνθρώπινον ἀνυψοῦσα βίον, μηδενὸς ταύτην πράττοντος ἀνθρωπίνως. Πρᾶξις δ' ἀνθρωπίνη πῶς ἂν εἴη τῆς ἐνανθρωπήσεως τοῦ Λόγου μὴ γεγενημένης; Φιλανθρώπως ἄρα καὶ ἀνυπερβλήτου προνοίας, καὶ τοῦ Λόγου γέγονεν ἐνανθρώπησις, καὶ ἡ μεθ' ἡμῶν θεοποιὸς ἀναστροφὴ καὶ πολιτεία.

QUÆSTIO CLXXXVII [*Coisl.* CCXVI. *Taur.* CCVII].

De Filii incarnatione.—inedita.

Cur Filius, et non alia sanctæ Trinitatis persona, nostra natura assumpta, incarnatus est? D

Τί δήποτε ὁ Υἱὸς, καὶ οὐχ ἑτέρα τῆς ἁγίας Τριάδος ὑπόστασις, τὴν ἡμετέραν ἀναλαβὼν ἐσαρκώθη φύσιν;

VARIÆ LECTIONES.

[k] l. ἔχῃ in subjunctivo. [l] l. ἐπὶ τὰ τῶν, etc. [m] ἐνηνθρώπησε. [n] l. ἀπορρίψας. [o] l. αὐτόν. [p] Turrianus legebat ἀθεάτου, non male.

NOTÆ.

(71) *Operam ejus aspectu.* Τῆς ὑπὲρ λόγον ἔργον ὄψει. Id est: « Ejus operum quæ omnem orationem superant aspectu. »

(72) *Nisi fortiter certamen hoc subiisset.* Μὴ δυνατωτέρου τὸν ἀγῶνα τοῦτον καὶ τὸν ἆθλον ὑποδυσαμένου. Id est: « Nisi fortior quispiam certamen hoc subiisset. »

(73) *Tum etiam actio per imitationem virtutum facilior est.* Εἰ βούλει δὲ ὅτι καὶ πολλοῖς εὐχερεστέρα... ἡ διὰ μιμήσεως τῶν ἀρετῶν πρᾶξις. Id est: « Tum etiam si velis, quia multis hominibus actio per imitationem virtutum facilior est. »

Digitized by Google

ΕΡΩΤΗΣΙΣ ΡΠΗ'.

Διὰ τί ὁμοφυοῦς καὶ ἰσοτίμου τῆς Τριάδος κηρυττομένης, ὁ μὲν Πατὴρ λέγεται διὰ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Πνεύματος δημιουργεῖν, οὐκ ἔμπαλιν δέ;

A QUÆSTIO CLXXXVIII. [*Coisl.* CCXVII. *Taur.* CCVIII.] (74).

Quare cum Trinitatem homogeneam esse parique honore frui in confesso sit, Pater tamen per Filium et per Spiritum sanctum creare dicatur, non autem versa vice?

Edita a Maio (*Nov. Coll.* t. IX, p. 151).

α'. Εἰς ἀπορίαν τινὲς φασιν ἐνίους ὑπάγεσθαι, τίνος χάριν τῆς ὑπεραγίας Τριάδος ὁμοφυοῦς τε καὶ τὸ ἰσότιμον κεκληρωμένης, καὶ μάλιστά γε τῆς θείας τοῦτο διατρανούσης Γραφῆς, Δημιουργὸς μᾶλλον ὁ Υἱὸς ὑπ' αὐτῆς δοξολογεῖται ταύτης καὶ ἀνακηρύσσεται ἢπερ ὁ Πατήρ; εἰ γὰρ καὶ ὁ Πατὴρ εὑρίσκεται, ἀλλ' ἐπὶ μᾶλλον ὁ Υἱός· πῶς δὲ πάλιν δι' Υἱοῦ μὲν λέγεται δημιουργεῖν ὁ Πατήρ, οὐκ ἔμπαλιν δὲ, οὔτε διὰ τοῦ Πατρὸς ὁ Υἱός; οὐ μὴν ἀλλ' οὐδὲ τὸ Πνεῦμα οὔτε διὰ τοῦ Πατρὸς οὔτε διὰ τοῦ Υἱοῦ; ἢ διὰ τοῦ Πατρὸς μὲν ἔστι καταλαβεῖν, παράδοξον μὲν ἀκοῦσαι, νοῆσαι δὲ οὐ παράδοξον; ὅτιπερ ὅ τε ὁ Υἱὸς καὶ τὸ Πνεῦμα εἰ καὶ μὴ δημιουργεῖ, ἀλλ' οὖν ἐφ' ἑτέροις ἔργοις ἀποστέλλων αὐτὸν ὅμως ἐνεργεῖ· πῶς οὖν οὐκ ἄδοξον τὸ παράδοξον; καὶ τίς ὁ δόξαις ὑπάγων αὐτό; οὐκ ἄλλος, ἀλλ' αὐτὸς ὁ ἀποστελλόμενος Πατήρ· λέγει γὰρ τῇ προφητικῇ τοῦ Ἡσαΐου χρώμενος φωνῇ, « Ἄκουέ μου, Ἰακὼβ καὶ Ἰσραὴλ, ὃν ἐγὼ καλῶ, ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστι. » Ἐγὼ τῇ χειρί μου ἐθεμελίωσα τὴν γῆν, καὶ τὸ Πνεῦμά μου ἐστερέωσε τὸν οὐρανόν. Ὅρα πῶς δημιουργῶν διὰ τοῦ Υἱοῦ καὶ Πνεύματος δημιουργεῖ. Ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην. Ταῦτα διὰ τοῦ Προφήτου εἰπὼν ὁ τῶν ὅλων Θεὸς, καὶ διὰ τῶν εἰρημένων ἐμφανῆ καταστήσας ἑαυτὸν, ὅτιπερ ὁ ταῦτα λέγων αὐτός ἐστιν ὁ Πατήρ· καὶ γὰρ δεξιὰ μὲν αὐτοῦ ὁ Υἱὸς, Πνεῦμα δὲ αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον.

β'. Ὦ ῥημάτων κεκρυμμένων! μᾶλλον δὲ διανοίας οὐκ ἐμφανοῦς μὲν, ἐμφανιζομένης δὲ ῥᾳδίας εἰς κατάληψιν ἐπάγει· « Καὶ νῦν Κύριος ἀπέστειλέ με καὶ τὸ Πνεῦμα αὐτοῦ. » Οὐκοῦν τὸ Πνεῦμα ὥσπερ ὁ Υἱὸς ἐκεῖνο, οὕτω καὶ αὐτὸ ἐξαποστελλόμενος παρὰ τοῦ Πατρὸς, νῦν ἀποστέλλει τὸν Πατέρα· εἶπε γάρ, « Καὶ νῦν Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα αὐτοῦ. » Δῆλον οὖν ἐκ τούτων καὶ τοῖς μὴ λίαν ὀξυδορκοῦσιν, ὅτιπερ ἡ ἀποστολὴ οὔτε τὸν Υἱὸν εἰς ἐλάττω κατάγει φύσιν καὶ τιμήν, ἀλλ' οὐδὲ τὸ Πνεῦμα· ὅπου γε καὶ αὐτὸς ὁ Πατὴρ ἀποστέλλεσθαι λέγεται παρ' ἑκατέρου· ἀποστέλλει ὁ Πατὴρ τὸ Πνεῦμα, ἀποστέλλει καὶ ὁ Υἱὸς, ἀποστέλλει τὸν Υἱὸν καὶ τὸ Πνεῦμα. « Πνεῦμα γὰρ Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκ' ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. » Ἀποστέλλει καὶ τὸν Πατέρα. Οὔκουν ἐλαττοῦται διὰ τῆς ἀποστολῆς τὸ Πνεῦμα· οὐκ ἀποστέλλει δὲ μόνον, ἀλλὰ καὶ χρίει τὸν Υἱόν. Πῶς οὖν ἡ ἀποστολὴ καταβιβάσει τὸ Πνεῦμα; οὐ μόνον

1. Audio nonnullos in perplexitate versari, curnam, cum sanctissima Trinitas eamdem substantiam eumdemque honoris gradum sortita sit, idque in primis perspicua divina Scriptura doceat, nihilominus creandi laus ab eadem Scriptura de Filio potius quam de Patre prædicetur? nam etsi Patrem quoque Creatorem dici deprehendimus, multo tamen magis Filium. Rursus curnam per Filium dicatur creare Pater, non autem e contrario per Patrem Filius; neque item Spiritus per Patrem sive per Filium? An per Patrem quidem intelligere licet, auditu mirum, intellectu non impervium? quia et Filius etiamsi Spiritum minime creat, dum tamen ad alia opera hunc mittit, simul operatur. Cur ergo non est incredibile miraculum hoc? et quis fidem huic rei facit? nemo quisquam, præter Patrem, qui scilicet ipse quoque mittitur. Ait enim prophetica utens Isaiæ voce: «Audi me, Jacob et Israel, quem ego appello: Ego Deus primus et ego novissimus, et præter me nemo Deus est [34]. » Ego manu mea telluris fundamenta jeci, Spiritusque meus cœlum firmavit. Viden' ut creans, per Filium Spiritumque creet? Ego cunctis astris præcepi. Hæc ore Prophetæ [35] ait omnium Deus, seque his dictis manifeste revelat, nempe quod verba hæc a Patre dicuntur: nam dextera ejus Filius est; Spiritus vero ejus, Spiritus sanctus.

2. O verba recondita! imo potius sensus minime patens! qui si tamen explanetur, facilis intellectu est. « Et nunc Dominus misit me et Spiritus ejus [36]. » Ergo Spiritus, sicuti hunc Filius, ita et ipse Patrem mittit. Nam reapse Dominus nunc Filius dicitur, qui similiter a Patre missus, nunc mittit Patrem. Ait enim: « Et nunc Dominus misit me et Spiritus ejus. » Ex his igitur constat paulo etiam obtusioribus, neque missione Filium deprimi ad minorem vel naturæ vel honoris gradum; neque item Spiritum; quoniam et ipse Pater mitti dicitur ab utroque. Mittit Pater Spiritum; mittit et Filius. Mittit Filium etiam Spiritus; « Spiritus enim Domini super me; quamobrem unxit me; evangelizare pauperibus misit me [37]. » Mittit etiam Patrem. Non ergo imminuitur missione Spiritus. Neque tantummodo mittit, sed etiam ungit Filium. Quomodo ergo missio Spiritum deprimit? Non solum enim hanc ipsam retribuit Spiritus Filio, ve-

[34] Isa. XLVIII, 2. [35] Isa. LXV, 12. [36] Isa. XLVIII, 16. [37] Isa. LXI, 1. Luc. IV, 18.

NOTÆ.

(74) Pleraque Photius desumpsisse ex Jobi monachi deperdito opere *De incarnatione* lib. III c. 10, quod ipse recenset in bibliotheca, Cod. 222.

Digitized by Google

rum etiam addit unctionem. Profundus sermo ; sed quo profundior, eo magis hæreticorum obstruit ora. Huc etiam mentem intende : manet in Filio; hunc a mortuis suscitat. Hæc, inquam, nobilioris ne an deterioris ordinis sunt quam mittere ? Sed neque hæc Spiritum supra Filium exaltant ; neque missio ab æqualitate cum Filio Spiritum missum deprimit [38].

3. At enim ungere, dicea, et mittere et exsuscitare, post sacram œconomiam incarnationemque fiunt : quæ si prædicta quoque fuerunt, oraculis videlicet res futura prædicabatur [39]. — Præclare ais. Considera porro, missionem quoque Spiritus a Filio cum Servator docuit, illumque a Patre fuisse missum et nihil a se ipso loqui, tunc missionem item Spiritus sibi vindicavisse : cumque ipse missus est, tunc mittendi quoque facultatem accepisse. Viden' ut hæc omnia sacræ œconomiæ verba sint, non auctoritas? Specta igitur quod œconomiæ est, atque ab eo quidquid est auctoritatis, discerne. Missio non destruit consubstantialitatem : substanti homogenea non trahit ad differentiam. Cum exivit a Patre venitque Filius, tunc mittit et Spiritum. Neque in exitu fit distractio, neque in missione separatio. Exivit manens, misitque retinens apud se. Suscitat Christum Spiritus ; non quod infirmior in illo divinitas esset, sed ne vim activam Spiritus a divinitate Filii alienam putares. Deinde Spiritus quidem Patrem mittit ; non tamen sæpenumero. Ita propter hanc missionem non excidit Spiritus, secus ac hæretici blaterant, ab æqualitate et divinitate. Quos autem non sæpe mittit, id scilicet accidit, ne in Trinitate vim causalem tribus communem existimemus. Idcirco Pater quidem dicitur sæpenumero per Spiritum agere ; similiter etiam per Filium. Illud autem sæpe fieri dicitur, ut Patri causalis vis confirmetur : rarius autem agere per Patrem Spiritus dicitur vel Filius, ne si sæpe per Patrem agere Spiritus atque Filius dicerentur, malitiosa atque versuta hæreticorum rabies minore ordine personam gloriamque Patris collocaret ; aut quod magis obvium esset, causalitatem illi eriperet. Mittit Pater Spiritum atque Filium. Mittit Patrem etiam Spiritus itemque Filius : en naturæ æqualitas. At enim sæpius mittit Pater : en causalitatis prærogativa. Ita sine ulla diversitate substantiæ patria proprietas elucet ; eademque simul elucere sinit illorum, qui a se procedunt, homogeneitatem honorisque paritatem.

4. Dicitur ergo Pater per Filium res creatas ex nihilo produxisse ; præterea Veteris quoque Testamenti legislatorem eumdem prædicat : divina nimirum Providentia multo antea refutante funditusque evertente illorum insaniam, qui Vetus Novumque Testamentum ad duo contraria principia referre audent. Nam si Ecclesia diserte licet fatente, Christum oraculorum veterum veritatem demonstravisse,

A αὐτοῦ ταύτην ἀνταποδιδόντος τῷ Υἱῷ, ἀλλὰ καὶ προστιθέντος τῷ χρίσματι· βαθὺς ὁ λόγος, ἀλλ' εἰς ὅσον ἥκει βάθους τὰ τῶν αἱρετικῶν ἀποφράττει στόματα. Ἐπισκόπει δὲ καὶ τοῦτο. Ἐπὶ τὸν Υἱὸν μένει· ἐγείρει αὐτὸν ἀπὸ τῶν νεκρῶν. Ἆρα ταῦτα δευτέραν ἀλλ' οὐχὶ τὴν πρώτην ἢ τὸ ἀποστέλλειν τάξιν κατεῖληφεν; Ἀλλ' οὔτε ταῦτα τὸ Πνεῦμα ποιεῖ τοῦ Υἱοῦ ὑπερκείμενον, οὐδ' ἡ ἀποστολὴ καταβιβάζει τῆς ἰσοτιμίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἀποστελλόμενον.

B γ'. Ἀλλὰ τὸ χρίειν ἐρεῖς ἀποστέλλειν καὶ ἐγείρειν μετὰ τὴν οἰκονομίαν μετὰ τὴν σάρκωσιν· εἰ γὰρ καὶ προείρηται, ἀλλὰ χρησμοὶ τὸ μέλλον ἐκήρυττον· μενοῦν γε. Ἐννόει δὲ ὡς καὶ τὸ ἀποστέλλεσθαι τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ ἡνίκα ἐδίδασκεν ὁ Σωτὴρ, ἐκ τοῦ Πατρὸς αὐτὸν ἀπεστάλθαι καὶ μηδὲν ἀφ' ἑαυτοῦ λέγειν, τηνικαῦτα καὶ τὴν ἀποστολὴν οἰκειοῦται τοῦ Πνεύματος· ὅτε αὐτὸς ἀπεστέλλετο, καὶ τὸ ἀποστέλλειν ἀνεδέχετο. Ὁρᾷς ὡς ταῦτα πάντα οἰκονομίας ἐστὶν, ἀλλ' οὐκ αὐθεντίας τὰ ῥήματα ; νόει τὸ τῆς οἰκονομίας, καὶ διάκρινε τὸ τῆς αὐθεντίας· ἡ ἀποστολὴ οὐ λύει τὸ ὁμοούσιον· τὸ ὁμοφυὲς οὐ τρέπει πρὸς ἑτερότητα· ὅτε ἐξῆλθεν ἐκ τοῦ Πατρὸς καὶ ἦκεν ὁ Υἱὸς, τότε ἀποστέλλει καὶ τὸ Πνεῦμα· οὔτε ἐν τῇ ἐξελεύσει διάστασις, οὔτε ἐν τῇ ἀποστολῇ χωρισμός· ἐξῆλθε μένων, καὶ ἀπέστειλε παρ' ἑαυτῷ ἔχων· ἀνιστᾷ τὸν Χριστὸν τὸ Πνεῦμα, οὐχ ὡς ἀτονούσης τῆς ἐν αὐτῷ θεότητος, ἀλλ' ἵνα τὴν ἐνέργειαν τοῦ Πνεύματος, τῆς ἐν τῷ Υἱῷ νοήσῃς οὐκ ἀλλοτριουμένην θεότητος· εἶτα τὸ Πνεῦμα μὲν ἀποστέλλει τὸν Πατέρα· οὐ πολλάκις δέ· ἵνα διὰ μὲν τοῦ ἀποστέλλειν, ὅλως τῆς αὐτῆς μὴ διαπέσῃ κατὰ τὴν αἱρετικὴν γλωσσαλγίαν ἰσοτιμίας καὶ θεότητος· διὰ δὲ τοῦ μὴ πολλάκις, τὸ ἐν τῇ Τριάδι αἴτιον μὴ νομισθῇ κοινὸν τῶν τριῶν· διὰ τοῦτο λέγεται μὲν πολλάκις ὁ Πατὴρ διὰ τοῦ Πνεύματος ἐνεργεῖν· ὡσαύτως δὲ καὶ διὰ τοῦ Υἱοῦ· πολλάκις μὲν ἵνα τὸ αἴτιον τῷ Πατρὶ βεβαιωθῇ· οὐ πολλάκις δὲ τὸ Πνεῦμα διὰ τοῦ Πατρὸς, οὔτε ὁ Υἱὸς, ἵνα μὴ διὰ τοῦ πολλάκις ἐνεργεῖν διὰ τοῦ Πατρὸς τὸ Πνεῦμα καὶ τὸν Υἱὸν, ἡ κακομήχανος καὶ πολύτροπος λύσσα τῶν αἱρετικῶν εἰς ἐλάττω τάξιν τὴν ὑπόστασιν ἢ τὴν δόξαν καταβιβάσῃ τοῦ Πατρός· ἢ τό γε προχειρότερον, τὴν τοῦ αἰτίου περιέλοι τιμήν. Ἀποστέλλει ὁ Πατὴρ καὶ τὸ Πνεῦμα καὶ τὸν Υἱόν· ἀποστέλλει τὸν Πατέρα καὶ τὸ Πνεῦμα καὶ ὁ Υἱός. Ἰδοὺ τῆς φύσεως τὸ ἰσότιμον. Ἀλλὰ πολλάκις ὁ Πατὴρ ἀποστέλλει· ἰδοὺ τοῦ αἰτίου τὸ ἐξαίρετον. Οὕτως ἐν τῷ ἀπαραλλάκτῳ τῆς οὐσίας τὸ πατρικὸν ἴδιον ἐκλάμπει, καὶ συνεκλάμπεσθαι δίδωσι τῶν ἐξ αὐτοῦ προελήλυθότων τὸ ὁμοφυὲς καὶ ἰσότιμον.

C

D

δ'. Λέγεται τοίνυν δι' Υἱοῦ τὴν κτίσιν ἐκ μὴ ὄντων ὑποστῆναι, ἀλλὰ καὶ τῆς Παλαιᾶς ἀνακηρύττεσθαι νομοθέτην· τῆς θείας πόῤῥωθεν Προνοίας ἐπιστομιζούσης τε καὶ πρόῤῥιζον τὴν ἀπόνοιαν ἀνασπώσης τῶν εἰς ἀντικειμένας ἀρχὰς δύο τολμώντων τὴν Παλαιὰν ἀναφέρειν καὶ τὴν Νέαν. Εἰ γὰρ τὸν Υἱὸν τῆς Ἐκκλησίας λαμπρῶς ἀνομολογούσης τοὺς τε παλαιοὺς χρησμοὺς ἀποφῆναι, καὶ τῆς νέας τὸν αὐτὸν

[38] Marc. I, 10. Rom. VIII, 11. [39] Joan. XV, 26 ; XVI, 13.

Digitized by Google

εἰσηγητὴν γεγονέναι, καὶ πρό γε τούτων τὴν τῶν κτισμάτων φύσιν ἐκ μὴ ὄντων οὐσιῶσαι, ὅμως οὖν τὸ Μανιχαίων μισόχριστον καὶ θεομάχον ἔθνος (75) καὶ οἱ Μαρκίωνες οὐ φρίττουσιν εἰς ἑτέραν μὲν ἀρχὴν τὸ εὐαγγελικὸν κήρυγμα ἀνάγειν, τὴν μαχομένην δὲ τὰ Μωσαϊκά, τίνα ἂν παρίδραμον βλασφημίας ὄγκον, εἰ τῶν Παλαιῶν μὲν Γραμμάτων ἀφωρισμένως νομοθέτης ὁ Πατὴρ ἀνεκηρύττετο, ἀφωρισμένως δὲ τῆς χάριτος ὁ Υἱός; Ἀλλὰ ταῦτα ἑτέρου καιροῦ μᾶλλον καὶ ὑποθέσεως ἄλλης. Δεῖ δὲ πάλιν εἰς τὴν ἀπ' ἀρχῆς ἀπορίαν ἐπανελθεῖν, πῶς ὁ μὲν Πατὴρ διὰ τοῦ Υἱοῦ δημιουργεῖ, ὁ δὲ Υἱὸς οὐκέτι διὰ τοῦ Πατρός. Ἡ γὰρ εἰρημένη λύσις ἔλυσε μὲν λαμπρῶς τὸ μέρος τῆς ἀπορίας, ἐπέτεινε δὲ μᾶλλον τὸ λοιπόν. Πλὴν ἐπεὶπερ ἄμεινον μὴ μόνον ταῖς εὐλόγοις ἐπερείδεσθαι θεωρίαις, ἀλλὰ καὶ τῇ τῶν Λογίων χρήσει καὶ διδασκαλίᾳ κατασφαλίζεσθαι ταύτας. Χρησμοῖς γὰρ τοῦ παναγίου Πνεύματος τὰ ἡμέτερα περιεχόμενα, ὅσον προσλαμβάνουσι τὸ κράτος, τοσοῦτον νικᾷν ἀνάγονται τὸν μῶμον.

A novique fœderis eumdem fuisse auctorem, quodque caput est creandæ ex nihilo naturæ vim suam impendisse, nihilominus Christo Deoque infensi Manichæi itemque Marcion non venerentur quominus alteri principio Evangelium tribuant, alteri autem contrario Mosaicas institutiones; in quantum denique blasphemiæ excessum veniissent, si veterum quidem Scripturarum seorsum auctor prædicaretur Pater, gratiæ rursus seorsum Filius; Sed enim hæc alius temporis diversique potius argumenti sunt. Revertendum igitur ad propositam initio dubitationem, quomodo Pater per Filium creet; Filius autem nequaquam per Patrem. Jam hactenus prolata solutio sicuti dubii partem splendide illustrat, ita magis obscurat alteram. Sed enim B præstat, non probabilibus tantummodo niti sermonis argumentis, verum etiam Scripturarum usu ac magisterio rem confirmare. Nostri enim sancti Spiritus oraculis freta argumenta, quanto fortiora evadunt, tanto calumniæ superiora fiunt.

ΕΡΩΤΗΣΙΣ ΡΠΘ'.

Διὰ τί Πνεῦμα μὲν Πατρὸς καὶ Πνεῦμα Υἱοῦ λεξολογοῦμεν, οὐκέτι δὲ Πατέρα Πνεύματος οὐδὲ Υἱὸν ἀποδίδοσθαι συνομολογοῦμεν;

QUÆSTIO CLXXXIX. [*Coisl.* CCXVIII, *Taur.* CCX.]

Cur Spiritum Patris et Spiritum Filii theologico sermone dicamus; neque tamen Patrem Spiritus neque Filium, conversa vice, fateamur?

Edita a Maio (l. c. 183, 184).

Ἡ ὑπεράρχιος καὶ ὑπέρθεος τῶν θεαρχικῶν ὑποστάσεων θεότης τὰ πλεῖστα μὲν ὥσπερ τῷ ἀκαταλήπτῳ, οὕτω δὴ καὶ τῷ ἀφθέγκτῳ περιστέλλεται, οὐ τῇ κατὰ τὴν φύσιν μόνον θεωρίᾳ, ἀλλά γε δὴ καὶ τῇ ἀνεπινοήτῳ τῶν ἰδιωμάτων ὑπεριδρυμένῃ κρυφιότητι· καὶ πολλῷ δὴ μᾶλλον αἰτιολογεῖσθαι γηγενῶν διανοίας C ἀνακεχώρηκε· πλὴν ἔστιν φιλανθρώπως τῆς ἐκεῖθεν αἴγλης ἡμῖν τὰς ἀκτῖνας ἀναστραπτούσης, ὡς διά τινος ἐσόπτρου, τῆς εἰλικρινοῦς ἡμῶν ἐφέσεως καὶ τῆς ἐν τῇ πίστει διαυγείας τὴν ἐπίγνωσιν φωτιζόμεθα. Τὸ γὰρ παντελῶς ἀθεώρητον, καὶ ἀνέραστον, καὶ οὐδὲ σπινθῆρα καταβαλεῖν πόθου, καὶ εἰς φλόγα τὸν πόθον ἀνάψαι, καὶ πρὸς ἑαυτὸ ἐφελκύσασθαι οὐδεμίαν παρέχον ἐπιτηδειότητα. Σπάνιον δὲ τῆς ἄνωθεν κατιούσης ἐπιπνοίας, καὶ τὴν ὑψηλοτέραν μάθησιν παρεχομένης τὸ χρῆμα, καὶ δεόμενον κεκαθαρμένης διανοίας, καὶ τῆς τῶν πολλῶν ἀνακεχωρηκὸς ὑπολήψεως. Ὅσα δὲ καθορᾷν ἡμῖν τῶν ἄνωθεν προϊόντων τὸ ἀσθενὲς τῆς φύσεως οὐκ ἐνδίδωσιν, ἐκ τῶν καθ' ἡμᾶς καὶ συνήθων ἀνάγεσθαι πρὸς τὴν ὑπὲρ ἔννοιαν αὐτῆς θεωρίαν, χάριν ἡμῖν παρασχεῖν ἡ φιλάνθρωπος D ἀγαθότης κατηξίωσε, δι' αὐτῶν ἡμᾶς χειραγωγοῦσα καὶ ἀνάγουσα εἰς τὴν περὶ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος θεοπρεπῆ φαντασίαν· καὶ τὸν ἡμῶν θεῖον ἔρωτα δι' ἀναλογίας ψυχαγωγοῦσα καὶ ἀναπληροῦσα πρὸς γνῶσιν ὑπὸ τῆς παντελοῦς ἀγνωσίας στενοχωρούμενον· διὰ ταῦτα τοιγαροῦν καὶ Πνεῦμα μὲν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ πανάγιον Πνεῦμα λέγειν οὐκ ἐπιδιστάζομεν· ἐπειδὴ κἀν τοῖς καθ' ἡμᾶς τόν τε Πατέρα καὶ τὸν Υἱὸν, Πνεῦμά τε ἔχειν ὁρῶμεν καὶ

Eximia et eminens supremarum personarum divinitas plurima habet, quæ neque intellectu neque sermone comprehendi queunt; non solum quod attinet ad naturæ ejus contemplationem, verum etiam propter incomprehensibilem reconditamque proprietatum obscuritatem: multo vero impossibilius est, ut earumdem causas mens terrestris explicare queat. Verumtamen splendoris illius radiis ad nos clementer inde manantibus, tanquam speculo, pura nostra cupiditate fideique illustratione, notitiam nanciscimur. Nam quod est quaquaversus incomprehensibile, id ne amabile quidem est, neque erga id amoris scintillam ullam concipere possumus: quippe quod neque igniculos cupiditatis emittit, neque sibi cujusvis animum conciliandi vim habet. Est tamen hæc res valde indiga superne flantis inspirationis, quæ sublimiorem doctrinam tradat: postulatque puram mentem, atque a vulgi intelligentia abhorret. Jam vero quæ cœlestia nobis contueri naturæ infirmitas non concedit, ea ut per familiares nobis res ad abstrusiorem contemplationem rapti intelligamus quodammodo, clemens Dei bonitas largitur; atque ad Patris et Filii et Spiritus sancti non incongruam phantasiam subvehit; nostrum denique erga Deum amorem analogia quadam fovet ac satiat, qui cæteroqui inscitiæ angustiis undique coarctatur. Idcirco igitur ne Patris quidem et Filii sanctum Spiritum dicere dubitamus. Namque in humanis quoque rebus tum Patri tum Filio Spiritum inesse et cer-

NOTÆ.

(75) Photii amplum opus contra Manichæos editum a Montfauconio Wolfioque legimus. *Vid.* hujus *Patrol.* t. CII, col. 9 seq. *De Marcione* Hieronymus ep 123. 23: *Hæc dicimus non separantes legem et Evangelium, ut Marcion calumniatur, sed unum atque eumdem suscipientes Deum, etc.*

Digitized by Google

nimus et confiteri solemus: quod autem Spiritui Filius sit vel Pater, id neque dicere patimur neque mente percipimus. Sed tamen rerum, quæ certæ apud nos sunt, analogia ad theologice loquendum de ineffabilibus atque eminentibus divinis personis ducti, non immerito Spiritum Patris Fliique dicere discimus; Patrem vero vel Filium Spiritus, haud jam agnoscere sustinemus.

A συνομολογεῖν ἐπιστάμεθα· τὸ μέντοι Πνεῦμα, Υἱὸν ἢ Πατέρα ἔχειν, οὔτε λέγειν ἀνεχόμεθα, οὔτε λογισμοῖς παραδεχόμεθα· ἐκ δὴ τῆς τῶν καθ' ἡμᾶς ὁμολογουμένων ἀναλογίας, εἰς τὴν ὑπὲρ ἡμᾶς ἱερολογίαν τῶν ὑπερουσίων τε καὶ ὑπερθέων θεαρχικῶν ὑποστάσεων ἀναγόμενοι, εἰκότως Πνεῦμα μὲν Πατρὸς καὶ Υἱοῦ λέγειν διδασκόμεθα· Πατέρα δὲ Πνεύματος ἢ τὸν Υἱὸν, οὐκέτι μαθεῖν ὑφιστάμεθα.

QUÆSTIO CXC [*Coisl.* CCXIX, *Taur.* CCX].

Curnam cum Pater et Filius et sanctus Spiritus consubstantiales paresque vi, voluntate et potentia sint, tamen in numerando primum locum Pater obtineat?

ΕΡΩΤΗΣΙΣ Ρϟ'.

Τί δήποτε Πατρὸς καὶ Υἱου καὶ ἁγίου Πνεύματος ὁμοουσίων τε καὶ ὁμοταγῶν κατά γε δύναμιν καὶ βουλὴν καὶ κυριότητα πεφυκότων, ἐν τῇ συναριθμήσει πρώτην τάξιν ὁ Πατὴρ ἐπέχει,

Edita a Maio (l. c. 185, 193).

1. Alius fortasse nescio quis abstrusioris theologiæ cogitatibus nixus, quique virtutum perfectarum meritis ad excipiendos cœlestis luminis radios aptiorem se reddiderit, is, inquam, mentis suæ perceptionem sublimiore theoria subvectam explicabit, rerumque ineffabilium causas evolvet; quod quidem ii nequaquam aggredi possunt, qui se negotiorum colluvie nondum expediverunt. Ego vero qui nihil excelsum in me scio, neque adhuc ab hac communi conversatione mentem abstraxi, si quid tamen e Scripturarum meditatione et studio, cœlesti favente ope, condidici, non gravabor apud eos qui mihi communi religione zeloque ejusdem conjuncti sunt, æquam symbolam in communem utilitatem conferre. Sunt igitur homogenei Pater, Filius et Spiritus, neque voluntatis aut virtutis aut potestatis differentiam ullam in ipsis videre est; neque denique reliquorum sublimium et eximiorum nominum, quibus excelsa et omnium domina divina dignitas titulatur. Sed tamen Pater vis causalis est ex se dimanantium, unius quidem per generationem, alterius per processionem; qui sane ad eum tanquam ad initium congenitum potentiæque socium referuntur. Atqui hæc ipsa relatio perbelle ostendit præponendum esse procedentibus ab ipso Patrem: non tamen eadem demonstrat præponendum Spiritui Filium. Ergo ratio notior videbitur sermonis ejus qui sanctissimæ Trinitatis numerationem eo ordine fecerit, quem singularum personarum notitia designat. Primo enim hominum notioni occurrit Pater, deinde Filius, et per Filium Spiritus sanctus. Et quidem a divinis mutuo personis revelata fuit hominibus singularum notitia; Patre cœlitus Filium ostendente; Spiritu autem eumdem per adventum suum contestante; Filio rursus Patrem honorificante, atque illustriorem sacris suis sermonibus efficiente, Spiritumque ad discipulos mittente; Spiritu denique ipso Filii auctoritatem proprietatemque firmante: nemo enim potest dicere Dominum Jesum, nisi in Spiritu sancto.

α'. Ἄλλος μὲν οὖν ἄν τις ἴσως θεολογικωτέραις B ἐποχούμενος ἐννοίαις, καὶ τῆς ἄνωθεν αἴγλης τὰς ἀκτῖνας ὑποδέχεσθαι διὰ τῆς τῶν ἀρετῶν τελειότητος ἐπιτηδειότερον ἑαυτὸν παρασκευάσας, εἰς ὑψηλοτέραν ἀνηνεγμένην θεωρίαν τὴν αὐτοῦ κατάληψιν ἐπιδείξῃ· καὶ λόγον τῶν ἠπορημένων ἀποδώσει, ἐφ' ὃν οὐ ῥᾴδιον ἀναβαίνειν ὅσοις τῆς τῶν γηΐνων ἀναστροφῆς ἀπαλλαγῆναι μὴ γέγονεν. Ἐμοὶ δὲ μηδὲν τῶν ὑψηλοτέρων ἐμαυτῷ συνειδότι, καὶ τῆς κατὰ τὴν παροικίαν ἀγωγῆς οὔπω τοῖς λογισμοῖς μεταναστάντι, ἃ δὴ πάρεστιν ἐκ τε τῆς τῶν Λογίων μελέτης καὶ τῆς ἐν αὐτοῖς γυμνασίας, τῆς ἄνωθεν ἡμῖν συνεφαπτομένης περιγεγονότα προνοίας, τοῖς ὅσοι κοινὴν τὴν εὐσέβειαν, καὶ τὸν ἐπ' αὐτῇ ζῆλον κεκτημένοις, ἰσοστάσιον εἰς κοινὴν ὠφέλειαν προθεῖναι τὸ πρόθυμον οὐ C περιοφθήσεται. Ὁμοφυῆ μὲν οὖν ἐστι Πατὴρ καὶ Υἱὸς καὶ Πνεῦμα, καὶ τὸ τῆς βουλῆς καὶ δυνάμεως καὶ βασιλείας ἐνορᾷν ἔστιν αὐτοῖς ἀπαράλλακτον· καὶ δὴ καὶ τῶν ἄλλων θεοπρεπῶν τε καὶ ὑπερφυῶν ὀνομάτων, δι' ὧν ἡ ὑπεράρχιος καὶ ὑπέρθεος θεαρχία κατονομάζεται· ἀλλ' οὖν ὁ Πατὴρ αἴτιος τῶν ἐξ αὐτοῦ πεφυκότων, τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν, εἰς αὐτὸν ὡς εἰς ἀρχὴν συμφυοῦς τε καὶ συνάρχου προαγωγῆς ἀναφερομένων. Ἀλλ' αὕτη μὲν ἡ ἀπόδοσις τὸν Πατέρα δείκνυσιν εὐλόγως τῶν ἐξ αὐτοῦ προτετάχθαι, οὐκέτι δὲ καὶ διότι τοῦ Πνεύματος ὁ Υἱός. Κοινοτέρᾳ δὲ μεθόδῳ προεληλυθὼς ὁ Λόγος ἀναφανείη ὁ τὴν συναρίθμησιν τῆς ὑπεραγίου Τριάδος εἰς τὴν τῆς ἐπιγνώσεως D ἑκάστου καταρρυθμίζων τάξιν. Πατὴρ μὲν γὰρ ἀνθρώποις κατ' ἀρχὰς εἰς γνῶσιν ἦκεν· ἔπειτα Υἱός· καὶ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Εἰ γὰρ καὶ ὑπ' ἀλλήλων τῶν θεαρχικῶν ὑποστάσεων τοῖς ἀνθρώποις ἡ γνῶσις ἑκάστου ἀπεκαλύφθη, Πατρὸς μὲν οὐρανόθεν τὸν Υἱὸν ἐπιδεικνύντος· τοῦ Πνεύματος· δὲ τῇ ἐπιφοιτήσει συμμαρτυροῦντος· Υἱοῦ δὲ πάλιν τὸν Πατέρα δοξάζοντός τε καὶ περιφανέστερον θεολογοῦντος, καὶ μὴν καὶ τὸ Πνεῦμα τοῖς μαθηταῖς ἀποστέλλοντος· ἀλλὰ γὰρ καὶ τοῦ Πνεύματος τὸν Υἱὸν κυριολογοῦντος. Οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ ϙ μὴ ἐν ἁγίῳ Πνεύματι.

VARIÆ LECTIONES.

(ϙ) Particula εἰ desideratur in codice.

Digitized by Google

β'. Εἰ οὖν καὶ δι' ἀλλήλων ἡ ἑνὸς αὐτῶν ἑκάστου πρόεισιν ἐκφαντορία καὶ κατάληψις, ὡς ἂν καὶ διὰ τούτων εἰς τὸ τῆς συμφυΐας ἀπαράλλακτον τὸν νοῦν ἀνάγειν εὐοδούμενον ἔχωμεν· καὶ ὅτιπερ οἷς καθαρῶς τε καὶ εἰλικρινῶς μίαν τῶν μακαρίων καὶ δημιουργῶν ὑποστάσεων εἰδέναι κεχάρισται, τούτοις καὶ τῶν λοιπῶν ἡ γνῶσις συνδιασώζεται. Ὁ γὰρ εἰδὼς τὸν Πατέρα οἶδε καὶ τὸν Υἱόν· καὶ ὁ τὸν Υἱὸν ἐπιγνοὺς κατὰ τὴν ὡς ἐν ἀνθρώποις τῆς γνώσεως τελειότητα, οὐδὲ τῆς ὁμοίας ἐπιγνώσεως τοῦ Πατρὸς ἀπεστέρηται. Ὡσαύτως δὲ καὶ τοῦ Πνεύματος, ὃ τὰ βάθη τοῦ Θεοῦ διερευνᾷ καὶ ἀποκαλύπτει τοῖς ἀνθρώποις τὰ κρύφιά τε τῶν μαθημάτων καὶ τελειότερα, ὁ τούτου τὴν μάθησιν εἰλικρινῆ λαβὼν, οὐδὲ τῆς θεολογούσης τὸν Πατέρα θεοσοφίας, οὐ μὴν οὐδὲ τῆς τὸν Υἱὸν συμμυσταγωγούσης ἠλλοτρίωται. Ἀλλ' οὖν εἰ καὶ οὕτω ταῦτα ἐναρμονίῳ συναφείᾳ διαπλέκεται καὶ ἀναπλοῦται, οὐκ ἄδηλον ὡς ἡ μὲν τοῦ Πατρὸς φωνὴ χρόνῳ πρότερον ἀνθρώποις ἐπεγνώσθη, καὶ μᾶλλον ἢπερ ἡ τὸν Υἱὸν δηλοῦσα συνήθης ἀκοαῖς ἐγεγόνει (76)· τὸ δέ γε ῥῆμα τοῦ Πνεύματος, εἰ καὶ μᾶλλον ἡ τὴν τοῦ Υἱοῦ κλῆσιν ἡ Μωσέως ἐδίδασκεν ἱστορία, πλὴν οὐκ ἦν οὕτω δυνατὸν ὥσπερ ἡ τοῦ Υἱοῦ προσηγορία τοῦ αὐθυπόστατον συνεισαγαγεῖν ἐπ' ἄμφω τὴν ῥοπήν· τῆς φωνῆς ἀδιάφορον ἐχούσης ἐπί τε τῶν αὐθυποστάτων φέρεσθαι, καὶ ἐπὶ τῶν μέρους τινὰ λόγον τῆς ὑποστάσεως ἀναπληρούντων (77)· καὶ τοσοῦτον ἐνέδει τὴν θεοπρεπῆ μάθησιν τοῦ Πνεύματος ἡ κλῆσις παρέχειν, ὡς καὶ τῶν ἀνθρώπων μερὶς οὐ βραχεῖα τοῖς Μωσαϊκοῖς ἐγκαταγηράσασα νόμοις, οὐδαμῶς ἔσχεν ἀνασχέσθαι τὴν τοῦ παναγίου Πνεύματος ὑπόστασιν ὁμολογεῖν· ὥσπερ οὐδὲ τὴν τῶν ἀγγέλων φύσιν. Οὕτω τῶν Μωσαϊκῶν γραμμάτων τὸ περὶ τὴν ὀνομασίαν τοῦ Πνεύματος πρόχειρον, ἄχρηστον καὶ αὐτοῖς γε τοῖς Ἰουδαίοις κατέστη· ὡς κατ' αὐτό γε τοῦτο μὴ μόνον αὐτοῦ προτάττεσθαι τὸν Υἱὸν, ἀλλὰ καὶ ὅσα εἰς τὴν τοῦ Υἱοῦ κλῆσιν συνάγεσθαί τε καὶ ἀνάγεσθαι δύναται, ἀφορμὴν ὑπερεχούσης τάξεως, εἰ καὶ μὴ φύσεως, εὑρίσκειν. Διότι τῶν Ἰουδαίων οὐδενὶ πρὸς ἀμφισβήτησιν περιέστη, ὁ λόγος, λέγω, καὶ ἡ δεξιὰ, καὶ ἡ δύναμις, καὶ τὰ ὅμοια· οὐδεὶς γὰρ τούτων ἔξαρνος ὤφθη, οὐδ' ἐφαρμόζειν ἀπηναισχύντησε λέγεσθαι ταῦτα τοῦ Πατρός· εἰ καὶ ὅπερ τούτοις ἐστὶ πρόβλημα καὶ συγκεφαλαίωσις τὸ πρόσωπον τοῦ Υἱοῦ οὐχ ὁμοίωσις συνομολογεῖται πᾶσι· ταύτῃ ἄρα εἰκότως τὴν δευτέραν κατὰ τὴν ἀρίθμησιν ὁ Υἱὸς, ἀλλ' οὐχὶ τὸ Πνεῦμα, ἐπέχει τάξιν.

2. Ergo tum vicissim tum etiam ex una personarum harum manat cujuslibet earumdem manifestatio atque comprehensio; ita ut per has ad congenitam indifferentemque naturam mente pertingere feliciter possimus. Jam quibus pure atque perspicue unam ex his beatis creatricibusque personis cognoscere datum est, iisdem reliquarum quoque cognitio peracta est. Nam qui novit Patrem, idem novit et Filium: et qui Filium pro possibili mortalibus cognitionis gradu novit, is ne pari quidem Patris notitia caret. Similiter etiam Spiritus, qui profunda Dei scrutatur[40] atque hominibus sublimiora doctrinarum arcana revelat: hujus, inquam, si quis perspicua notitia imbutus fuerit, idem ne Patris quidem theologicam cognitionem desiderat, neque illius quæ Filii pariter notionem impertit. Sed enim quanquam hac doctrinæ harmonica copula inter se cohærent atque invicem illuminant, non tamen ignoramus, Patris vocabulum priore tempore hominibus innotuisse, frequentiusque aures circumsonuisse, quam Filii nomen. Jam et Spiritus vocabulum etsi evidentius quam Filii Mosaica historia docuit, id tamen non tantis viribus pollebat, quantis Filii appellatio, ad suadendam utriusque individuam subsistentiam. Vocabuli enim Spiritus ambiguitas tum ad ea quæ per se subsistunt trahitur, tum ad ea quæ vice quodammodo substantiæ funguntur. Atque adeo impar erat appellatio hæc exhibendæ dignæ Spiritus notitiæ, ut pars hominum non exigua eorum qui Mosaicæ legi adhærebant, nequaquam vellet Spiritus sancti personam confiteri; sicuti ne angelorum quidem naturam. Ita quidquid in Mosaicis litteris ad nomen spiritus pertinebat, Judæis ipsis in cassum erat. Quare ob id non solum Filio non est præponendus Spiritus, verum etiam quæcunque in Filii appellationem congeri possunt, quæque eodem deducunt, prioris ordinis jus, si minus naturæ, nanciscuntur. Quamobrem Judæo nemini controversa fuerunt hæc, verbum nempe, dextera, virtus, et similia. Nemo quippe qui hæc negaverit compertus est, aut qui Patri impudenter accommodaverit; quamvis Filii persona, quæ horum nominum scopus et summarium est, non æque apud omnes in confesso fuerit. Idcirco itaque secundum in numerando ordinem Filius obtinet, non Spiritus.

γ'. Οὐ μὴν ἀλλὰ καὶ διότι μετὰ τὴν χάριν ἣτις τὸν Υἱὸν ἐθεολόγησε διαῤῥήδην ἡ τοῦ Πνεύματος εἰλικρινὴς μάθησις προῆλθε· καὶ γὰρ ἡνίκα πυρίνων

3. Est etiam alia rei causa, quia videlicet post eam gratiam quæ Filii sacram notitiam nobis impertivit, tum demum Spiritus perspicua doctrina

[40] I Cor. II, 10.

NOTÆ.

(76) Confer sancti Hippolyti dictum in schollis ad Danielem p. 41. Item recole Photium quæst. 43. Sed tamen divinum Verbum prophetis certe fuisse cognitum, copiose adfirmat Eusebius *Hist. eccl.* 1. 2. 3. 4.

(77) Hinc magnus Lactantii error, teste Hieronymo epist. 7: *Lactantius in libris suis, et maxime in epistolis ad Demetrianum, Spiritus sancti omnino negat substantiam; et errore Judaico dicit eum vel ad Patrem referri vel Filium, et sanctificationem utriusque personæ sub ejus nomine demonstrari.* Eumdem errorem Lactantio objicit Hieronymus etiam in commentario epist. ad Gal. lib. II. cap. 4, 6.

Digitized by Google

pelam innotuit. Etenim cum igneis linguis cœlitus missis multiplicis apostolos sermonis munere donavit Spiritus, atque apud omnes gentes extemporales oratores fecit qui nuper illitterati erant, tunc potissime accidit humano generi, ut divinitatis ejusdem Spiritus accuratiorem notitiam adipisceretur. Ergo quia vocabulum Patris hominibus primum innotuit; et quia gratia deinde sacram Filii notitiam detulit; et quia postremo sancti Spiritus divina dignitas per admirabilem erga apostolos operam semet revelavit; jure meritoque nomina hæc eumdem ordinem in numerando servant. Sic autem notitiam hanc patefieri consultum fuit, ne homo idolico errori deditus, audita subito et manifeste personarum Trinitate, ægrius ac difficilius ab idolorum superstitione abstraheretur. Nam si, Trinitate licet pedetemptim et per ænigmata atque transennas initio insinuata, vix tamen homines a polytheismo discedebant; si aperte, inquam, et subito Trinitas nuntiata fuisset, nonne illorum superstitio magisterium omne atque ad unius Dei cultum adhortationem respuisset floccique fecisset, et sua exitiosa sacra prædicatæ saluti antetulisset? Recte igitur Patris primum notitia vulgata fuit, deinde gradatim Filii ac Spiritus. Atque hinc pro eo notitiæ ordine, quo sacram atque pretiosam religionis suscepimus institutionem, in recensendo quoque eamdem servamus congruenter prærogativam.

A γλωσσῶν οὐρανόθεν ἐπιδημίᾳ πολυγλώσσους φωνὰς ἐδημιούργει τοῖς ἀποστόλοις τὸ Πνεῦμα, καὶ παντὸς ἔθνους ῥήτορας αὐτοσχεδίους κατεσκεύαζε τοὺς ἀγραμμάτους, τότε δὴ, τότε μᾶλλον γέγονεν ἀνθρώπων γένει τῆς αὐτοῦ θεότητος εἰς ἀκριβεστέραν ἀνείδησιν ἀνενεχθῆναι. Οὐκοῦν ὡς μὲν τῆς τοῦ Πατρὸς φωνῆς ἀνθρώποις προεγνωσμένης, τὸν δὲ Υἱὸν τῆς χάριτος θεολογησάσης, τῆς δὲ τοῦ παναγίου Πνεύματος θεότητος τὸ ἀξίωμα μετὰ ταῦτα διὰ τῆς ἐν τοῖς ἀποστόλοις θεοπρεποῦς ἐνεργείας ἀνακαλυφθείσης, εἰκότως κἀν τῇ συναριθμήσει τὴν αὐτὴν συνδιασώζουσι τάξιν. Ἡ δὲ γνῶσις οὕτω προελθεῖν διῳκονομήθη ὡς ἂν μὴ ἀθρόον ὁ τῇ τῶν εἰδώλων πλάνῃ προσανακείμενος ἄνθρωπος, Τριάδα σαφῶς προσώπων ἀκούσας, δυσανέλκυστος καὶ δυσανάγωγος τοῦ κατὰ τὴν B εἰδωλολατρίαν ὀλισθήματος γένηται. Εἰ γὰρ καὶ τῆς Τριάδος κατὰ πρόοδον οὕτω καὶ δι' αἰνιγμάτων τε καὶ παραπετασμάτων κατ' ἀρχὰς μυσταγωγουμένης, μόλις μετέστη τῆς πολυθεΐας τὸ ἀνθρώπινον, πῶς ἂν ἐμφανῶς τε καὶ ἀθρόον καταγγελλομένης, ἡ ἐκείνων δεισιδαιμονία πᾶσαν διδασκαλίαν καὶ παραίνεσιν εἰς μοναρχίαν χειραγωγοῦσα οὐχ ὑπερεῖδέ τε καὶ ἀπώσατο, καὶ τὴν συνέχουσαν ἀπώλειαν τῆς κηρυττομένης σωτηρίας οὐ προέθετο; Οὐκοῦν εἰκότως ἡ τοῦ Πατρὸς ἀπεκαλύφθη πρῶτον γνῶσις, καὶ κατὰ προκοπὴν ἡ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος· ἐκεῖθέν τε τῆς ἐν τῇ γνώσει τάξεως τὸ ἱερὸν ἡμῶν καὶ θεοπρεπὲς τῆς μυσταγωγίας, κἀπὶ τῆς συναριθμήσεως ἀκολούθως τὸ αὐτὸ συνεφείλκυσατο προνόμιον.

4. Cæteroqui Patrem nostrum appellare Deum, neque indecorum est neque auditu molestum; imo id vulgo fidenterque facimus. Filium vero nostrum dicere vel ipsum Filium vel sanctum Spiritum, ne mens quidem pati potest: imo absurditas impietate comite hanc appellationem subsequeretur. Patris ergo nomen sive quotidiana consuetudine sive naturali instinctu mens humana haud moleste admittit. Jam hujus nominis prævia notio effecit ut sacrarum quoque Scripturarum doctrina nexu quodam ex hujus vocabuli consueto usu proveniens, haud ægre nobis inspiraret provisam jam supernaturalium rerum disciplinam. Rursus si mavis, quoniam neque naturalis ratio, neque loquendi consuetudo prorsus vult Patrem a Filio Spirituve D procedere, sed contrarium semper novit, atque ita fideles erudire non dubitat; hinc fit, ut cum Patrem Filio et Spiritui in recensendo præponere solet, sacram doctrinam nequaquam violet. Propterea Filius dextera quoque dicitur et verbum et virtus et sapientia Patris et similia: Pater autem etiamsi naturam nullo modo ab eo differentem habet, tamen neque cogitatione neque sermone ad Filii rationem trahi potest. Jam quia ad Filium Pater non trahitur, veluti ad principium aut causam vel ad quamlibet hujus relativam proprietatem, hinc nos videlicet theologice dicimus Patrem per Filium operari vel etiam per Spiritum quidquid beata natura agit: neque contrarium dicere patimur: neque Filium

C

δ'. Ἄλλως τε δὲ Πατέρα ἡμῶν ὀνομάζειν τὸν Θεὸν, οὔτε δύσφημον οὔτε λυπηρὸν ἀκοῇ, ἀλλ' ἀνὰ χεῖρά τε καὶ τὴν παῤῥησίαν οὐκ αἰσχυνόμενον· Υἱὸν δὲ ἡμῶν ἀποφαίνειν τὸν Υἱὸν ἢ τὸ πανάγιον Πνεῦμα, οὔτε διανοίᾳ ἀνεκτὸν, ἀλλά γε μετὰ τῆς ἀσεβείας καὶ τὸ ἀλλόκοτον ἡ φωνὴ συνεφέλκεται. Οὐκοῦν τὸ ὄνομα τοῦ Πατρὸς τῇ τε συνήθει χρήσει καὶ τῷ ἐμφύτῳ τῆς ἐπιβολῆς, ὁ ἀνθρώπινος νοῦς οὐκ ἐργῶδες ἔχει παραδέχεσθαι. Ἡ δὲ γνῶσις αὐτοῦ προκαταλαβοῦσα, καὶ τῶν ἱερῶν Λογίων τὴν διδασκαλίαν εἰρμῷ παρέστησε προϊοῦσαν ἐκ τῆς πρὸς τὴν φωνὴν συνηθείας, οὐ δυσχερῶς ἡμῖν ἐνιέναι τὴν τῶν ὑπερφυῶν προνοησαμένην μάθησιν. Εἰ βούλει δὲ καὶ δίοτι πάλιν οὔτε λόγος ὁ ἔμφυτος, οὔτε μὴν ἡ διὰ τοῦ ἔθους χρῆσις, οὐ μὲν οὖν οὐκ ἐθέλει τὸν Πατέρα προελθεῖν τοῦ Υἱοῦ ἀλλ' οὐδὲ τοῦ Πνεύματος. Ἀεὶ δὲ τὸ ἔμπαλιν οἶδε, καὶ τοὺς πειθομένους διδάσκειν οὐχ ὑποστέλλεται· ἐξ οὗ δὴ καὶ ἡ συναρίθμησις τὸν Πατέρα, τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος προτάττειν παραλαβοῦσα, τὴν μάθησιν οὐκ ἐνύβρισε. Διὰ τοῦτο δὲ ἄρα καὶ δεξιὰ μὲν λέγεται καὶ λόγος καὶ δύναμις καὶ σοφία τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ τὰ παραπλήσια· ὁ δὲ Πατὴρ καίτοι μηδὲν πρὸς αὐτὸν τὴν φύσιν φέρων παραλλάττουσαν, οὔτ' ἂν θεωρεῖσθαι οὔτε λέγεσθαι εἰς λόγον ἔλθοι τοῦ Υἱοῦ· εἰς γὰρ τὸν Υἱὸν οὐκ ἀναγόμενος ὡς εἰς ἀρχὴν καὶ αἰτίαν, οὐδ' ὅσα εἰς αὐτὸν ἐκεῖνος ἀναφερόμενος ἐξοικειοῦται, ἔνθεν ἄρα καὶ τὸν Πατέρα θεολογοῦντες διὰ τοῦ Υἱοῦ πράττειν ἢ καὶ διὰ τοῦ Πνεύματος ὅσα πέφυκεν ἡ μακαρία φύσις καὶ ὑπὲρ-

Digitized by Google

θεος ἐνεργεῖν· οὐχὶ δὲ τὸ ἀνάπαλιν ἀναδεχόμεθα λέγειν· οὔτε γὰρ τὸν Υἱὸν οὔτε τὸ Πνεῦμα διὰ τοῦ Πατρὸς ἐνεργεῖν μυσταγωγούμεθα δογματίζειν. A aut Spiritum per Patrem operari in sacris nostris institutionibus docemus.

ε'. Χωρὶς δὲ τῶν εἰρημένων οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ ὅσοις ἡ τῶν εἰδώλων πλάνη λατρεία, ἡδύ τε καὶ ἐπίχαρι καλεῖν τὸν Θεὸν ἑαυτῶν Πατέρα· καὶ ἵνα τὸ τῶν ποιητῶν αὐτόνομον παραδράμω, ἀλλ' οὖν ἀκούειν ἔστι τὸν Ἀρίστωνος (78) τῆς ἐν Ἕλλησι φιλοσοφίας μετὰ πολλῶν καὶ ἄλλων τὴν αὐτὴν σπουδὴν ἀναδεδεγμένων, Πατέρα καὶ Ποιητὴν τοῦδε τοῦ παντὸς τὸν Θεὸν ὑμνολογοῦντα, ὃν καὶ εὑρεῖν ἔργον τε εἶναι, καὶ εὑρόντα εἰς πάντας ἐξειπεῖν ἀδύνατον ἐφιλοσόφει· καὶ τοῖς Ἰουδαίοις δὲ πρόχειρός τε ἦν καὶ γλυκεῖα ἡ φωνὴ καὶ σεμνότητος ἀφορμή. Διὸ καὶ τὰς ὀφρῦς ἀνασπῶντες, ἀνθ' ὧν ἐρυθριᾷν καὶ συνεστάλθαι τοῦ θράσους ἔδει, Ἡμεῖς, ὥσπερ ἐπιγαυριῶντες τῷ ῥήματι ἔλεγον, ἕνα Πατέρα ἔχομεν τὸν Θεόν. Ὁρᾷς ὅπως ἡδύ τε καὶ ἐπαφρόδιτον τῇ ἀνθρωπίνῃ φύσει Πατέρα καλεῖν ἑαυτῶν τὸν Θεόν; Περὶ δὲ τοῦ Υἱοῦ ἢ τοῦ Πνεύματος, τί ἂν τις τοιοῦτον λαβεῖν εὑρήσει, ἢ εἰπεῖν οὐκ ἐρυθριάσῃ; Καὶ διὰ τοῦτο ἄρα κατ' ἀρχὰς οὐκ ἦν ὁμοίως τὸν Υἱὸν ὥσπερ τὸν Πατέρα καταγγέλλεσθαι ῥᾴδιον· ἀλλ' ἑτέραις ἰσοδυναμούσαις φωναῖς τοῖς οὐκ ἀναξίοις ἡ περὶ αὐτοῦ μυσταγωγία παρεδίδοτο, βραχίονι, λέγω, καὶ δεξιᾷ καὶ σοφίᾳ, καὶ τοῖς παραπλησίαν ὑποβαλλομένοις τὴν δύναμιν. Ἡ δὲ τοῦ Υἱοῦ προσηγορία σιγῆς ὁρίοις ἐθαλαμεύετο. Διὰ τί; Διότι τὸ μὲν Υἱὸς αὐτόθεν τε καὶ αὐτίκα διαφορὰν προσώπου συνεπιφέρεται, ὃ τοὺς ἀσθενεστέρους ἢ φιλοτιμουμένους τὸ φιλόνεικον πρὸς τὸ πολύθεον ὑποσκελίζει. Ἡ δεξιὰ δὲ καὶ ὅσα ἐφάμιλλα, μικροῦ τὴν ῥοπὴν ἐξισάζοντα, διαφοράν τε παραδηλοῦν ὑποστάσεων, καὶ πρὸς τὴν αὐτὴν καὶ μίαν συνάγεσθαι, οὐκέτι τοῖς πρὸς εἰδωλολατρείαν κεχηνόσιν ἀφορμὴ τῆς ἴσης βλάβης ἐγίνετο. B C

5. Verum his etiam prætermissis, non Judæis tantummodo sed idolici quoque erroris asseclis dulce ac jucundum fuit Patrem sibi vindicare Deum. Atque ut poetarum licentiam omittam, audire licet Aristonis filium cum aliis multis ethnicæ philosophiæ æque studiosis, qui Deum Patrem Factoremque hujus universi concelebrat: quem quidem et ægre intelligi, et intellectum haud vulgari universis posse censebat. Interim Judæis hæc appellatio familiaris erat et jucunda ac sumendæ dignitatis occasio. Quare et adducto supercilio (cum potius pudere eos deceret mentisque tumorem ponere) nos, glorianti dictione aiebant, unum Patrem habemus Deum. Viden' ut dulce suaveque sit humanæ naturæ Patrem sibi vocare Deum! Jam de Filio et Spiritu quis quidquam hujusmodi molietur impudenter dicere? Idcirco initio haud Filium æque facile fuit nuntiare, ut Patrem: sed aliis æquivalentibus vocibus sacra ejusdem notitia ad aures non indignorum efferebatur: vocabulis, inquam, brachii, dexteræ, sapientiæ, atque aliis consimilem vim habentibus; interim dum ipsum Filii nomen intra silentii fines continebatur. Cur porro? quia Filius et per se et actutum differentiæ personam invehit: quæ res infirmiores animos atque morosos in polytheismum præcipites pertraxisset. Vocabulum autem dextera et similia quævis, cum in utramque partem ferme valeant, nempe et ad demonstrandam personarum distinctionem, et ad suadendam divinitatis unitatem, idololatriæ studiosis nequaquam paris detrimenti causa fuissent.

ς'. Καὶ μέντοι καὶ τοῦ Πνεύματος ἡ φωνὴ ἐπιμερίζεσθαι δυναμένη πρός τε τὸ αὐθυπόστατον καὶ πρός γε τὸ ἐνυπόστατον, οὐχ ὥσπερ ἡ ὀνομασία τοῦ Υἱοῦ τοὺς μὴ βουλομένους αὐτὸν καθ' ὑπόστασιν αὐτοτελῆ παραδέχεσθαι συνανσγκάζει καὶ μετάγει πρὸς συγκατάθεσιν, ἀλλ' ἔτι δεῖται τῆς διὰ τῶν λογικῶν κατασκευῆς καὶ συνεπικρίσεως. Διὰ τοῦτο ἄρα εἰ καὶ τὸ Πνεῦμα ἧττον μὲν ἦπερ ὁ Πατὴρ, μᾶλλον δὲ ἦπερ ὁ Υἱός, κατ' ἀρχὰς ἐκηρύττετο, οὐ δίδωσιν αὐτῷ τοῦ κηρύγματος ἡ τάξις τὴν αὐτὴν ἐν τῇ συναριθμήσει κατάστασιν. Ὁ μὲν γὰρ Πατὴρ καὶ Υἱὸς κηρυττόμενοι, τὸ αὐθυπόστατον ἀνεπιμερίστως εἰσάγουσιν· ἡ δὲ τοῦ Πνεύματος φωνὴ δυναμένη μὲν ὁμοίως δηλοῦν τὸ αὐθυπόστατον, οὐχ ὁμοίως δὲ πρὸς μόνην ὑπόστασιν ἀποδίδοσθαι, οὐ συνδιασώζει τοῦ προτάττεσθαι τὸ ἀξίωμα. Ἔτι δὲ εἰ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τοῖς μαθηταῖς ἀπεστέλλετο, τῆς ἀποστολῆς τὴν φύσιν οὐδὲν ἐλαττούσης, ἀλλὰ τὸ ἀπαράλλακτον συντηρούσης, ἡ κατὰ συναοίθμησιν D

6. Insuper Spiritus quoque vocabulum cum pronuntiari possit et de re per se subsistente et de re existente in substantia aliena, haud æque ac Filii appellatio nolentes impellit et cogit ad fatendam definitam per se personam, sed eget adhuc ratiocinii argumentis et consultationibus. Idcirco etsi Spiritus rarius quam Pater, frequentius vero quam Filius, olim prædicatus fuit, non tamen hic ordo prædicationis eumdem in numeratione quoque gradum conservat. Nam Pater et Filius statim ac prædicantur, individuam subsistentiam præ se ferunt: Spiritus autem vocabulum quanquam individuam pariter subsistentiam denotare potest, non tamen ad personam tantummodo refertur; ideoque præcedendi dignitatem non servat. Præterea si per Filium Spiritus ad discipulos missus fuit, natura ejus mittendo non imminuta sed statum suum retinente, ordo quoque proprietates personales recensendi designare pariter ac prædicare poterit immu-

NOTÆ.

(78) Plato epist. VI. et alibi. Nam Platonem Aristonis filium hic designari a Photio nemo non intelligit.

Digitized by Google

tabilitatem ac distinctionem. Addesis, quod theologicam Spiritus notitiam a Filio didicimus; nempe illum a Patre procedere, et in pari ordine collocatum esse cum Patre Filioque, et denique perfectionum esse magistrum. Nam quæ, propter humanam infirmitatem nondum perfectiora capientem, discipulos Servator non docuit, ea ipsis a Paracleto demonstratum iri promisit. Ergo hujus perspicuæ circa Spiritum theologiæ, ad quam humanæ vires non pertingebant, præsentem in orbe Filium constat fuisse antesignanum.

A τάξις τῶν κατὰ τὰς ὑποστάσεις ἰδιωμάτων συνδιευκρινεῖν τε καὶ συνανακηρύττειν δύναιτ' ἂν τὸ ἀναλλοίωτον καὶ ἀσύγχυτον. Καὶ μὴν καὶ διότι μάλιστα τὴν θεολογίαν τοῦ Πνεύματος παρὰ τοῦ Υἱοῦ μεμαθήκαμεν· ἐκπορεύεσθαι γὰρ αὐτὸ τοῦ Πατρὸς, καὶ πρὸς ὁμοταγῆ τάξιν ἀνηνέχθαι τῷ τε Πατρὶ καὶ τῷ Υἱῷ· καὶ ὅτι τῶν τελειοτήτων αὐτὸ χρηματίζειν διδάσκαλον· ἃ γὰρ τοὺς μαθητὰς τῆς ἀνθρωπίνης ἀσθενείας οὔπω τὰ τελεώτερα παραδεχομένης οὐκ ἐμυσταγώγησεν ὁ Σωτὴρ, τὸν Παράκλητον αὐτοῖς ἐκείνων γενέσθαι διδάσκαλον ἐπηγγείλατο· ταύτης οὖν τῆς

εἰλικρινοῦς περὶ τοῦ Πνεύματος θεολογίας, καὶ πρὸς ἣν τὸ ἀνθρώπινον οὐκ ἀνήγετο, ὁ Υἱὸς ἐπιδημήσας ὁρᾶται καθηγησάμενος.

7. Igitur et quia prior est Patris notitia; et quia ex ipso Filius Spiritusque procedunt; et quia hi quidem ab illo manare dici queunt, iste ab his non item; et quia Dei Patris nomen in hominum usu versatur, idque adeo usurpare gestimus; cætera duo ne mente quidem sibi quispiam vindicare potest; et quia Dei Patris nomen dulce gratumque est creaturæ sibi id inscribenti, illa vero aditum nullum patiuntur; et denique propter alia jam dicta, hunc Ecclesia ordinem in recensendis consubstantialibus homogeneisque personis constanter admisit. Sed hæc de numerando Patre et Filio sanctoque Spiritu elementaria theoria hactenus: namque absolutior accuratiorque tractatus peculiare sibi opus postulat atque exigit.

ζ'. Διά τε οὖν τὸ προκαταλαβεῖν τὴν γνῶσιν τοῦ Πατρὸς, καὶ ὅτι ἐξ αὐτοῦ τὴν πρόοδον ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα ἔχει· καὶ τὰ μὲν, ἐξ αὐτοῦ προελθεῖν δύναται λέγεσθαι, ὁ δὲ οὐκέτι· καὶ τὸν μὲν, ἐν ἔθει χρηματίζειν τοῖς ἀνθρώποις ἐξοικειοῦσθαι καὶ ἑαυτὸν ἐπιγράφεσθαι, τὰ δὲ οὐδεὶς ἐπινοεῖσθαι δύναται· καὶ ὁ μὲν, γλυκύ τε καὶ ἐπίχαρι τῷ πλάσματι ἐπιγράφεσθαι· τὰ δὲ, πάροδον οὐδεμίαν ἐπιδέχεται· καὶ διά γε τὰ ἄλλα τῶν εἰρημένων, τοιαύτην αὐτῶν τὴν συναρίθμησιν ὁμοουσίων ὄντων καὶ ὁμοφυῶν ἡ Ἐκκλησία διασώζειν ὡς ἐπίπαν ἐδέξατο· ἀλλὰ γὰρ αὕτη μὲν τέως κατὰ τὸν στοιχειώδη λόγον Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ἡ θεωρία τῆς συναριθμήσεως· ἡ δὲ τελειοτέρα καὶ ἀκριβεστέρα διάσκεψις, ἰδιαζούσης πραγματείας λόγον ἀπαιτεῖ καὶ ἀπεκδέχεται.

QUÆSTIO CXCI [*Coisl.* CCXX, *Taur.* CCXI]. (79)

Cur humani generis redemptio neque per aliquem ex incorporeis virtutibus genium, neque per simplicem hominem, sed per Verbi exinanitionem peracta fuerit.

ΕΡΩΤΗΣΙΣ ΡΛΑ'.

Διὰ τί τοῦ γένους ἡ ἀνόρθωσις οὐ διά τινος τῶν ἀσωμάτων δυνάμεων ἢ δι' ἀνθρώπου ψιλοῦ, ἀλλὰ διὰ τῆς τοῦ Λόγου κενώσεως γέγονεν (80)·

Edita a Maio (l. c. 194-199).

1. Ab eruditis nonnullis quæri scio curnam communis culpæ emendatio ab aliquo homine curata non fuerit; quandoquidem homogenea natura placando persuadendoque aptior est. Atqui hi facile, si minus antea, certe nunc cognoscent totam hanc rationem incarnatione Verbi contineri: tum vero mirum illud, quod exinanitionem abunde explet, nusquam potuisse inveniri, si hominum quispiam ab humano genere universalem tyrannidem depellere voluisset. Jam primum is qui rem tantam peragendam, communemque salutem sapientiæ suæ divitiis eximiaque bonitate procurandam susciperet, haud ex eorum numero deligendus erat, qui aliunde servari ipsimet atque emendari deberent. Porro hominum universa natura peccato erat obnoxia, multamque curam desiderabat atque expiationem. Quomodo igitur fieri poterat, ut qui in eadem medicinæ

α. Ζητοῦντας οἶδά τινας τῶν φιλολόγων, διὰ τί μὴ τοῦ κοινοῦ πτώματος ἡ διόρθωσις δι' ἑνὸς τῶν ἀνθρώπων ἐγένετο· τὸ γὰρ ὁμοφυὲς ἀγωγὸν μᾶλλον καὶ πρὸς πειθὼ πλησιαίτερον. Ἀλλὰ γὰρ οὐκ ἐργῶδες αὐτοῖς, εἰ καὶ μὴ πρότερον, νῦν γοῦν καθορᾷν ὡς καὶ ταῦτα μὲν τῇ τοῦ Λόγου σαρκώσει περιείληπται· ἃ δὲ τὸ θαυμαστὸν ἐκεῖνο τῆς κενώσεως πλουτεῖ, οὐδὲν ἔστιν εὑρεῖν εἰ τῶν ἀνθρώπων τὸ γένος εἰς αὐτῶν ἐλευθερῶσαι τῆς κατὰ πάντων τυραννίδος ἐπεχείρησεν· ἀλλὰ πρῶτον μὲν ὁ τὴν τηλικαύτα πρᾶξιν ὑπελθὼν ἀναδεχόμενος, καὶ τὴν πάντων σωτηρίαν σοφίας πλούτῳ καὶ ἀνυπερβλήτῳ φιλανθρωπίᾳ κατεργάσασθαι, οὐ τῶν δεομένων αὐτὸς τῆς ἀλλαχόθεν σωτηρίας καὶ ἀνορθώσεως χρηματίζειν ὀφείλει. Ἀνθρωπίνη δὲ πᾶσα φύσις ὑπόχρεως μὲν τοῦ ἁμαρτήματος, πολλῆς δὲ δεομένη τῆς ὁμοίας προνοίας τε καὶ καθάρσεως· καὶ πῶς ἂν ὁ ἐν τῇ αὐτῇ

NOTÆ.

(79) Et hic Jobo monacho lib. II *De Incarnatione* (Phot. Biblioth. Cod 222) plura decerpta videntur.

(80) Copiose versat hoc argumentum etiam Eusebius in tricenn. Constantin. cap. XIII. sqq.

Digitized by Google

τῆς θεραπείας χρείᾳ καθεστὼς, ἑτέροις ἠδύνατο διοικονομεῖν τὴν κάθαρσιν, καὶ χορηγὸς εἶναι τῆς ἰάσεως;

A egestate versabatur, is aliis purgationem suppeditaret medelæque auctorem se gereret?

β'. Δεύτερον δὲ Θεοῦ καὶ θεῖον ἔργον καὶ καινὸν ὑπὸ τὸν ἥλιον, πῶς ἂν ἦν ἀνθρώπῳ διαπράξασθαι; Εἰ δέ τινα θέσθαι φιλοτιμίαν λάβοι καὶ ὅπερ οὐχ οἷόν τε προελθεῖν, θᾶττον ἂν τὸ πτῶμα καὶ ῥᾳδίως ἢ πρὸς ἑαυτὸ ἐπανέστρεφεν, ἢ πρὸς τὸ χεῖρον ηὐξάνετο· τὸ μὲν, οὐ μέγα κακὸν ἡγουμένων τῶν τῆς εὐεργεσίας ἀπολελαυκότων ὁμοιοπαθῆ δι' ἀχαριστίας ἄνθρωπον ἄγειν· τὸ δὲ, τὴν τῷ Θεῷ πρέπουσαν τιμὴν ἀνάπτειν ὡρμημένων τῷ σεσωκότι. Εἰ γὰρ Μωσέα καθ' οὗ πολλάκις ἐγόγγιζον, καὶ τὴν ἄνωθεν δι' αὐτοῦ κατισοῦσαν σωτηρίαν τῶν ἐν Αἰγύπτῳ κακῶν ἐποιοῦντο χείρονα, ὅμως Θεὸν ἀνειπεῖν μετὰ θάνατον ἐμελέτησαν, ὡς μυστικοὶ καὶ ἱεροὶ λόγοι διδάσκουσι (δι' ἣν B αἰτίαν καὶ ὁ τάφος ὀφθαλμοῖς Ἰουδαίων μέχρι νῦν ἀθέατός τε καὶ ἀνεπίγνωστος ἔμεινεν. Ἀγχίστροφος γὰρ ὁ ἐχθρὸς κακουργῆσαι, καὶ διὰ τῶν ὅπλων τῶν τε δεξιῶν καὶ τῶν ἀριστερῶν ἐξαπατῆσαι τὸ ἀνθρώπινον), πῶς οὐκ ἂν τὸν μείζονος ἀπαλλάξαντα τυραννίδος, εἰ καὶ τῆς αὐτῆς φύσεως ᾔδεισαν, οὐ Θεὸν ἀνηγόρευσαν; ἵνα νῦν παραδράμω Παῦλον τοῖς Ἕλλησταῖς θεοποιούμενον. Τοῦτο δὲ δῆλον ὡς οὐκ ἦν τοῦ πτώματος ἔγερσις, ἀλλὰ χαλεπωτέρα καὶ ἀδιόρθωτος ἔκπτωσις· καὶ γὰρ χρεωστεῖν οὐδ' ἄλογον ἂν ἴσως ἐδόκει, ὃν τρόπον τὰ δημιουργήματα τὸν Δημιουργὸν διὰ σεβασμιότητός τε καὶ θειότητος ποιεῖται, οὕτω δὴ, οὕτω καὶ τὸν σεσωκότα τοὺς σεσωσμένους, καὶ τοὺς συντριβέντας τὸν ἀναπλάσαντα· ταύτῃ τοι οὐδ' ἀγγέλων φύσις τὴν τοῦ γένους ἡμῶν σωτηρίαν ὑποδέχεται, ἀλλ' ὁ πλάσας αὐτὸς ὁρᾶται Δημιουργὸς καὶ τῆς ἀναπλάσεως.

2. Deinde divinum Dei opus atque sub sole novum num humanarum virium erat aggredi? Quod siquis æmulari quodammodo remque impossibilem tentare voluisset, is potius malum illud vel in caput proprium convertisset, vel certe deterius fecisset. Etenim illi qui beneficio ejus uterentur, partim haud magnopere se peccare putarent, si adversus paris naturæ hominem ingrati existerent; partim vero eo proruerent, ut quod Deo obsequium debent, id Servatori suo exhiberent. Nam si Israelitæ Mosem, contra quem sæpe tumultuati fuerant, ita ut cœlestem quoque curatam his ab eo salutem pejore conditione quam Ægyptiacas calamitates haberent; si Mosem, inquam, post obitum, Dei instar venerari moliebantur, ut a mysticis sacrisque Litteris discimus; (quam ob causam sepulcrum ejus Judæorum oculis ad hanc usque diem invisibile incognitumque fuit. Mire enim versutus est ad nocendum diabolus, armisque utitur tum dextris tum etiam sinistris ut humanum genus decipiat) nonne hominem qui majorem tyrannidem avertisset, etiamsi ejusdem naturæ esse scirent, Dei loco coluissent? Mitto nunc Pauli exemplum [41], cui Ethnici apotheosim decernebant. Illud certe exploratum est, haud futurum a lapsu resurrectionem, sed graviorem desperatioremque ruinam. Profecto debitorem se profiteri haud fortasse absurdum videretur, ita ut quod erga Creatorem propter eximiam dignitatem divinitatemque ejus faciunt creaturæ, idem prorsus erga Servatorem servati, erga instauratorem confracti, facerent. Atque hæc causa est quamobrem ne angelorum quidem natura salutem generis nostri reparandam susceperit; sed qui Creator fuit, idem auctor quoque instaurationis conspicitur.

C

γ'. Ἄλλως τε οὐδὲ δούλων ἐστὶν οὐδὲ κτισμάτων, ὥσπερ οὐδὲ λύειν βασιλικὰς καὶ δεσποτικὰς ἐντολὰς, οὕτως οὐδ' ἄγειν ἐπὶ τὸ ἄμεινον. Καὶ μὴν ἄνθρωπος ὁ Χριστὸς γεγονὼς μετὰ τῶν ἄλλων καλῶν, μᾶλλον δὲ καὶ πρὸ πολλῶν ἄλλων εὐεργεσιῶν, τοὺς πατρικοὺς νόμους καὶ οἱ τηνικαῦτα τοῖς Ἰσραηλίταις μᾶλλον ἥρμοζον, ἐπὶ τὸ τελεώτερον μεταῤῥυθμίζει. Ἐῤῥήθη γὰρ, φησὶ, τοῖς ἀρχαίοις, « Οὐ φονεύσεις, » ἐγὼ δὲ λέγω ὑμῖν τάδε· « Οὐ μοιχεύσεις, » ἐγὼ δὲ τάδε· « Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, » ἐγὼ δὲ τάδε· καὶ τὰ μυρία ἐκεῖνα ἃ πρὸς τὴν ἀτέλειαν τῶν ἀκροατῶν ἐνενομοθέτητο πάλαι, ἐπὶ τὸ κρεῖττον ἔστι τῇ Δεσποτικῇ ἐπικρίσει ὁρᾶν ἀνηγμένα· καὶ τοῦτο διά τε ἄλλα μυρία, καὶ διότι τῶν παλαιῶν νόμων ἀμετακινήτων παντελῶς μενόντων, καὶ ἡ πολιτεία ἡ αὐτὴ λόγον εἶχεν ἀναγκαῖον τοῖς νόμοις συνδιασώζεσθαι· ἡ δὲ οὐδὲν τῶν ὑπερφυῶν καὶ ἅπερ ὕστερον ὑπερέλαμψεν οὔτε δύναμιν ἐπλούτει παραδέξασθαι· ὥσπερ οὐδὲ πρότερον μυρίων αὐτὴν παιδαγωγησάντων νομοθετῶν καὶ προφητῶν καὶ πολλῶν ἄλλων ἱερῶν διδαγμάτων, οὔτ' ἂν εἰς τέλος προέβαινε τὸ ἐγχεί-

D

3. Alioqui neque servorum est neque creaturarum regia et dominica mandata vel abrogare vel etiam majore perfectione donare. Atqui homo Christus effectus, hoc inter cætera beneficia, imo præ aliis multis, insigne fecit, patrias nempe leges, quæ temporum illorum Israelitis accommodatiores erant, meliorem ad conditionem promovit. Dictum quippe fuerat antiquis, « Non occides [42]; » ego vero dico vobis sic. « Non mœchaberis [43]; » ego vero sic: « Oculum pro oculo [44]; » ego vero sic. Et alia plurima, quæ cum olim pro audientium imperfectione perlata fuissent, meliora dein a Dominicis decretis facta esse videmus. Id autem cum ob alias permultas causas factitatum est, tum præcipue quia si priscæ leges intactæ prorsus mansissent, sacra quoque respublica necessario cum legibus conservanda fuisset; quæ cæteroqui nulla vi pollebat ad recipienda supernaturalia quæ postea effulserunt bona. Sicuti ne antea quidem, permultis licet erudientibus eam legumlatoribus, oratoribus, atque prophetis, aliisque pluribus sacris

[41] Act. xiv, 10. [42] Matth. v, 21. [43] ibid. 27. [44] ibid. 38. [45] I Petr. i, 12.

Digitized by Google

doctrinis, institutio tamen ad suum nunquam apicem venit. Quamobrem si humana vita in iisdem ritibus permansisset, Servatoris studium et sollicitudines in cassum fuisse coarguerentur; quia humanus conatus nihil grande conficere potest. Et quidem servili creaturæ neque possibile est neque impune, Creatoris ac Domini leges in aliam formam pervertere: sed ei demum quia sua clementia commotus creaturæ salutem procurandam suscepit, Dominicarum quoque legum reformatio convenit, Dominicam scilicet potestatem a suamet natura habenti: eidemque perfacilis est et congrua latio.

A ρημα· ἀλλὰ μάτην, εἴπερ ἐν τοῖς αὐτοῖς ὁ ἀνθρώπινος διέμενε βίος, ἡ τῆς σωτηρίας προϊοῦσα σπουδὴ καὶ ἐπιχείρησις διηλέγχετο, τῆς μὲν ἀνθρωπίνης φιλοτιμίας οὐδὲν ἐξανυούσης μέγα, ἅτε μήτε δυνατὸν τὴν δούλην κτίσιν μηδὲ τόλμης ἀνεύθυνον, τοῦ Δημιουργοῦ καὶ Δεσπότου νόμους μεταχοσμεῖν ἐπιχειρεῖν· τῷ μέντοι τὴν σωτηρίαν διὰ σπλάγχνα ἐλέους κατεργαζομένῳ τοῦ πλάσματος, ἥ τε τῶν Δεσποτικῶν νόμων μετακόσμησις πρέπουσα τὴν Δεσποτικὴν ἐξουσίαν κατὰ φύσιν ἔχοντι, καὶ τῆς πολιτείας ῥᾳδία τε καὶ ἁρμόδιος ἡ πρὸς τὸ βέλτιον ἀνανέωσις. publicorum sacrorum ad meliorem statum trans-

4. Talis insuper tantique amoris demonstratio, cujusmodi in exinanitione ejus quem exinaniri non possè vidimus, qui fieri poterat ut in notitiam nostram veniret, vel ut providentiæ erga nos magnitudinem cognosceremus, si Deus operam dedisset, ut ab alio, præter se, quolibet communem generis salutem impetraremus? Neque sane vel angelicæ ipsi naturæ concessum fuit, ut tam grande et universale mysterium sibi vindicaret. Nam etsi angeli fines gentium singuli singulos custodiendos sortiti sunt, minime tamen universi generis gubernatio vel instauratio concredita iisdem est. Multo vero minus simplici homini id facere licuit, quamvis virtutibus inter cæteros præfulgenti. Videmus enim vel ex his celeberrimos uni sæpe genti, et quidem non maximi numeri, regendæ instituendæque fuisse præpositos; atque hoc ipso munere non sine defectu aliquo fuisse defunctos. Mosem licet cogites, vel hujus successorem Josuam, vel alium quemlibet ex iis qui gentis ducatum capessiverunt. Præter quam quod res quoque maximæ, quotquot ex omni ævo miræ fuerunt, vereque plus quam mirabilis, satis vilis evasisset, nihilque habuisset quod merito suspiceremus. Nam si creatura cum creaturis versetur, et si quisquam conservo suo faveat, nihil inde ineffabile sequitur, nec quod sua incomprehensibili ditique clementia admirationem pariat. Cur enim mirum, vel cur incomprehensibile sit, ab angelo naturam hominis assumi? Uterque enim conservus est, uterque mutationis capax: quanquam alter majore, alter minore afficitur honore. Utrum vero uterque convertibilis sit, lateret sane usque ad conjunctionem patratam; nisi adversus prævalentem pars inferior eidem obnoxia lancem inclinaret; vel nisi nobiliori parti prævaleret deterior.

δ'. Ἔτι γε μὴν τῆς τοσαύτης καὶ τηλικαύτης B ἀγάπης ἡ ἔνδειξις, ἣν διὰ τὸ κενωθῆναι δι' ἡμᾶς τὸν ἀκένωτον ἔγνωμεν, πόθεν ἂν εἰς γνῶσιν ἡμᾶς ἀφῖκτο, ἢ τῆς περὶ ἡμᾶς αὐτοῦ προνοίας τὸ μέγεθος ἐγνωρίζομεν, εἰ δι' ἑτέρου τινὸς ἐδικαίου τὴν κοινὴν τοῦ γένους σωτηρίαν ἡμᾶς δέξασθαι; Οὐ μέντοι γε οὐδ' ἀγγελικῆς φύσεως ἐνεργεῖν τὸ μέγα τοῦτο καὶ παγκόσμιον μυστήριον· οἱ κατὰ τὰ ὅρια τῶν ἐθνῶν ἀνὰ ἕκαστος αὐτῶν τὴν ἐπιστασίαν ἐκληρώσαντο, ἀλλ' οὐχὶ τοῦ παντὸς γένους τὴν κυβέρνησιν (81) μή τί γε τὴν ἀνάπλασιν ἐπιστεύθησαν. Οὐ μὴν ἀλλ' οὐδὲ πολλῷ μᾶλλον ἀνθρώπου ψιλοῦ, εἰ καὶ ταῖς ἀρεταῖς πρὸς τοὺς ἄλλους φέρει τὸ διάφορον. Ὁρᾷν γὰρ ἔστιν αὐτῶν τοὺς ἐπιφανεστάτους πολλάκις ἑνὸς ἔθνους οὐδὲ μεγίστου καταπιστευθέντας παιδαγωγίαν C καὶ κυβέρνησιν, καὶ οὐδὲ ταύτην ἀμέμπτως μέχρι τέλους ἐξανύσαντας. Μωσέα τοῖς λογισμοῖς, εἰ βούλει, λάβε καὶ τὸν μετ' ἐκεῖνον Ἰησοῦν, καὶ ὅσοι ἄλλοι τὴν ἐπιστασίαν τοῦ ἔθνους ἐνεχειρίσθησαν. Ναὶ δὴ πρὸς τούτοις καὶ τὸ μέγιστον τῶν ἀνὰ πάντα τὸν αἰῶνα θαυμαστῶν καὶ ὡς ἀληθῶς ὑπερθαύμαστον, εἰς εὐτέλειαν ἂν καὶ οὐδὲν θαῦμα παρεχομένην πρᾶξιν ἐξέπιπτε. Κτίσεως γὰρ κτίσει συνιούσης καὶ προσλαμβανούσης τὸ ὁμόδουλον, οὐδὲν οὔτε τῶν ἀπορρήτων παρέπεται, οὔτε θαῦμα τῷ ἀκαταλήπτῳ καὶ τῷ πλούτῳ τῆς φιλανθρωπίας τὴν ἔκπληξιν παρεχόμενον. Τί γὰρ ἄγγελον θαυμαστὸν, τί δὲ τῶν ἀλήπτων, ἀνθρώπου φύσιν προσοικειώσασθαι; Κτίσματα γὰρ ἄμφω καὶ ὁμόδουλοι καὶ τροπῆς μετέχοντες· εἰ καὶ ὁ μὲν μᾶλλον, ὁ δὲ τετίμηται τὸ ἐπέλαττον· εἰ D δὲ τρεπτὸν ἑκάτερος, δῆλόν γ' ἐως τῆς ἑνώσεως γεγενημένης· εἰ μὴ πρὸς τὴν ἐπικρατοῦσαν τροπὴν τὸ ἐπέλαττον αὐτῆς μετασχὸν λάβοι τὴν ῥοπὴν, ἢ εἴπερ ἐπικρατήσοι τοῦ πλείονος τὸ ἐπέλαττον.

4. Talis insuper tantique amoris demonstratio, cujusmodi in exinanitione ejus quem exinaniri non possè vidimus, qui fieri poterat ut in notitiam nostram veniret, vel ut providentiæ erga nos magnitudinem cognosceremus, si Deus operam dedisset, ut ab alio, præter se, quolibet communem generis salutem impetraremus? Neque sane vel angelicæ ipsi naturæ concessum fuit, ut tam grande et universale mysterium sibi vindicaret. Nam etsi angeli fines gentium singuli singulos custodiendos sortiti sunt, minime tamen universi generis gubernatio vel instauratio concredita iisdem est. Multo vero minus simplici homini id facere licuit, quamvis virtutibus inter cæteros præfulgenti. Videmus enim vel ex his celeberrimos uni sæpe genti, et quidem non maximi numeri, regendæ instituendæque fuisse præpositos; atque hoc ipso munere non sine defectu aliquo fuisse defunctos. Mosem licet cogites, vel hujus successorem Josuam, vel alium quemlibet ex iis qui gentis ducatum capessiverunt. Præter quam quod res quoque maximæ, quotquot ex omni ævo miræ fuerunt, vereque plus quam mirabilis, satis vilis evasisset, nihilque habuisset quod merito suspiceremus. Nam si creatura cum creaturis versetur, et si quisquam conservo suo faveat, nihil inde ineffabile sequitur, nec quod sua incomprehensibili ditique clementia admirationem pariat. Cur enim mirum, vel cur incomprehensibile sit, ab angelo naturam hominis assumi? Uterque enim conservus est, uterque mutationis capax: quanquam alter majore, alter minore afficitur honore. Utrum vero uterque convertibilis sit, lateret sane usque ad conjunctionem patratam; nisi adversus prævalentem pars inferior eidem obnoxia lancem inclinaret; vel nisi nobiliori parti prævaleret deterior.

5. Sed enim parum abfuit quin obliviscerer causæ potissimæ, cur si angelus aut simplex homo recuperare nos a lapsu molitus esset, nequaquam salute frui possemus: quippe quia pulcherrima et pretiosissima et ineffabili gloria humanum genus excideret. Quomodo id vel quam ob causam? quia scilicet ne accedere quidem nedum pertingere ad

ε'. Ἀλλὰ γὰρ μικροῦ με παρῆλθεν ἡ αἰτία δι' ἣν μάλιστα εἴπερ ἄγγελος ἢ ψιλὸς ἄνθρωπος ἀνασώσασθαι ἡμᾶς τοῦ πτώματος προεβέβλητο, οὐχὶ σωτηρίας μᾶλλον ἀπηλαύομεν, ἀλλὰ τοῦ καλλίστου καὶ τιμιωτάτου καὶ τῆς ἀνεκφράστου δόξης τὸ γένος κατέπιπτε. Πῶς δὲ καὶ διὰ ποίαν αἰτίαν; ὅτιπερ οὐκ ἦν ἡμῖν δυνατὸν οὐδὲ ἐγγὺς τυχεῖν οἷς νῦν τοῦ Λόγου

NOTÆ.

(81) Notanda est hæc Photii de custodibus angelis doctrina.

Digitized by Google

σαρκωθέντος ἐντρυφῶμεν καὶ ἀπολαύομεν τῶν ὑπὲρ ἔννοιαν. Ποῦ γὰρ ἦ πῶς ἂν τῷ ἡμετέρῳ γένει ἐκεχάριστο, ἀνθρωπίνης φύσεως ἢ ἀγγελικῆς τὴν περὶ ἡμᾶς οἰκονομίαν ὑπερχομένης, ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρὸς ἱδρυνθῆναι καὶ πάσης ἀγγελικῆς καὶ ἀρχαγγέλων χοροστασίας ὑπεράνω γενέσθαι, καὶ τιμῆς καὶ δόξης ἀπολαῦσαι τοσαύτης καὶ τηλικαύτης, ὡς καὶ αὐτῶν τῶν ἄνω δυνάμεων καὶ ἐγγυτάτω Θεοῦ ἑστηκότων, ἐπιθυμούντων μὲν εἰς τὴν ἡμετέραν δόξαν ἧς διὰ τοῦ φυράματος ἀπολαύομεν παρακύψαι, μείζονα δὲ τὴν ἐπιτυχίαν τῆς ἐπιθυμίας εὑρισκόντων; Ταύτης δέ γε τῆς μακαρίας καὶ ἀνεκφράστου καὶ ὑπὲρ ἔννοιαν λήξεως τοῦ ἀνθρωπίνου γένους τὴν στέρησιν ὑπομένοντος, ὅτε δὴ μηδὲ τοῦ φυράματος ἡμῶν δι' ἀνθρωπίνης ἢ ἀγγελικῆς ἑνώσεως τῆς δόξης ἐν ᾗ νῦν ἐκλάμπει τὴν ἀπόλαυσιν προσειληφότος, μηδὲ πρὸς τὴν τοιαύτην ἡμῶν ἀναδραμόντων ἰσχὺν καὶ ῥώμην καὶ τῆς τιμῆς τὸ ἐξαίρετον, τίνα ἂν παρῆκεν ὁ ἐχθρὸς καθ' ἡμῶν τόλμαν; τίνας δ' οὐκ ἀνεκίνει μηχανάς, δι' ὧν πάλιν ἐλπίδας ἔτρεφεν ὑποχείριον λαβεῖν τὸ γένος, καὶ ὑπὸ τὴν ἀρχαίαν αὐτοῦ καθελκῦσαι τυραννίδα; κατὰ τίνων καὶ τὸ κράτος ἀναλαβεῖν οὐκ ἐπήρθη; καὶ τὸ φρύαγμα τοῦ προτέρου μεῖζον οὐκ ἐναπεδείκνυ; καὶ τὸν οὐρανὸν αὐτὸν πολυπραγμονεῖν οὐκ ἠγεῖτο τόλμαν; διὰ γοῦν ταῦτα καὶ πολλὰ τοιαῦτα, θεοσόφως ἄρα καὶ θεοπρεπῶς ὁ τοῦ Θεοῦ Λόγος καὶ Υἱὸς καὶ Θεὸς ἀληθινὸς, καὶ οὐχ ἕτερός τις παρ' αὐτὸν, τὴν ἡμετέραν προσειληφὼς σάρκα τὴν κοινὴν τοῦ γένους σωτηρίαν εἰργάσατο.

A illa bona liceret, quibus nunc, Verbo incarnato, abundamus atque perfruimur supra quam cogitari potest. Quando enim aut quomodo nostro generi concessum fuisset, si humana natura aut angelica redemptionem nostram procurandam sumpsisset, in Dei Patrisque dextera collocari, superque omnes angelorum atque archangelorum choros exaltari [a], talique et tanta gloria frui, ut ipsæ supernæ virtutes quæ Deum proxime circumsistunt, desiderarent quidem in nostram gloriam, qua in carne frueremur, prospicere; sed rem tamen voto suo superiorem esse sentirent? Age vero hac beata et ineffabili supra quam cogitari potest sorte humanum genus si fuisset exclusum; nempe si caro nostra, propter humanæ angelicæque naturæ B conjunctionem, gloriam illam qua nunc fulget non fuisset adepta, neque ad has vires atque robur honorisque culmen nos essemus evecti; curnam diabolus audaciam suam in nos non expromeret? quas machinas non moveret? quas adhuc spes non nutriret, fore ut iterum genus nostrum sibi subjiceret, veterique tyrannidi vindicaret? quem non potentiæ suæ viribus attemperaret? non superbiam priore majorem sumeret? sane nec ipsi cœlo insidiari temerarium sibi crederet. Ob hæc et alia hujuscemodi plurima, sapientissime enimvero et convenientissime Dei Verbum et Filius et Deus verus, non alius quispiam, carne sibi circumposita communem generis salutem operatus est.

ΕΡΩΤΗΣΙΣ ΡΛΒ'.

Τί δήποτε κατὰ τὸν μέλλοντα αἰῶνα κριτὴς μόνος καθέζεται ὁ Υἱός;

C

QUÆSTIO CXCII [*Coisl.* CCXXI. *Taur.* CCXII].

Cur in futuro sæculo solus judex Filius sedeat [b]?

Edita a Maio (l. c. 200 seq.).

α'. Πᾶσα μὲν δημιουργία καὶ πᾶσα πρᾶξις, ἣν ἐνεργεῖν λέγεται μία τῶν ὑποστάσεων τῶν θεαρχικῶν, κοινὸν ἔργον ἐστὶ καὶ τῶν ἄλλων, ὅσα γε εἰς τὴν ὁμοίαν πρόνοιαν ἦκε, καὶ τὸ τῆς ἐξουσίας καὶ ἀγαθότητος ἀπαράλλακτον καὶ ἑνιαῖον τῆς βουλῆς· τῷ δέ γε Υἱῷ τῆς μελλούσης κρίσεως ἀφορίζεται τὸ ἀξίωμα διὰ πολλὰς καὶ θεοπρεπεῖς ἐνοίας, οὐχ ὡς ἀφεστώτων τοῦ Πατρὸς ἢ τοῦ Πνεύματος τῆς συνεργίας, τὸν δὲ Υἱὸν κρίσιν ἀναδεξάμενον ταύτης ἔχειν τὴν ἡγεμονίαν· πρῶτον μὲν διότι Δημιουργὸς καὶ οἰκονόμος αὐτὸς λέγεται τῶν τε δημιουργημάτων ἃ κατ' ἀρχὰς ἐκ μὴ ὄντων ὑπέστη, καὶ τῆς μετὰ D τὴν συντριβὴν τοῦ ἀνθρωπίνου γένους ἀνανεώσεώς τε καὶ ἀναπλάσεως. Ἔδει δὲ ἄρα ὃς τὴν δημιουργίαν καὶ πρόνοιαν τῆς ἀνθρώπων φύσεως καθ' ἑκατέραν προαγωγὴν ἀνεδέξατο, τοῦτον αὐτοῖς καὶ κριτὴν καθεστάναι· συνέχεται γὰρ καὶ συνδιαπλέκεται τῇ δημιουργίᾳ μὲν ἡ πρόνοια, τῇ προνοίᾳ δὲ ἡ τῶν προνοουμένων κρίσις καὶ ἐξέτασις. Διόπερ εὐλόγως τε καὶ δικαίως ᾧ τὸ κτίζειν καὶ ἀνακαινίζειν πρᾶξις γέγονε, πρὸς τοῦτον καὶ τὴν κρίσιν τοῦ πλάσματος ἀναφέρεσθαι· δεύτερον δὲ, εἰ νομοθέτου μάλιστα τὸ κρίνειν τοὺς οἷς κατὰ χάριν ἐνομοθετήθη πολιτεύεσθαι

1. Creatio omnis atque actio, quam exserere dicitur divinarum personarum una, commune opus cæterarum est, quia videlicet ad eamdem providentiam spectat, atque ex eodem potestatis, bonitatis atque consilii certo et unico fonte procedit. Cæterum Filio futuri judicii dignitas multas ob causas congruasque tribuitur, non tamen quia Pater et Spiritus a societate operis absint. Filius autem principatum hujus operis tenet, primum quia Creator administratorque dicitur creatarum rerum, quas initio e nihilo eduxit; item quia generis humani post lapsum renovandi instaurandique auctor exstitit. Ergo oportebat, qui Creatorem se providentemque humanæ naturæ utroque opere exhibuerat, hunc ei judicem quoque dari. Etenim creationi comes atque implicita est providentia: providentiam consequitur judicatio exploratioque earum rerum quibus providetur. Quare apte justeque cui creatio renovatioque accepta fertur, ad eum judicium quoque rei factæ refertur. Deinde, si legislatoris officium est judicare eos quibus secundum gratiam vivere mandatum fuit (genus intellige humanum); legislator autem novi fœderis

[a] I Petr. I, 12. [b] Act. X, 42.

Digitized by Google

præcipuus Filius est, etiamsi Patris voluntas cum eo operatur, neque sancti Spiritus societas deest, recte Filius demandatarum rerum judex constituitur. Insuper quia humana carne sibi circumdata, experimentum humanæ naturæ cepit, duplicique gestarum rerum notitia se imbuit. Sic fere divus Paulus[46] clamat, misericordiam ejus erga nos propitiationemque pro nobis commendans : quoniam in iis, quæ ipse passus est, tentatus, opem ferre tentatis potest. Ne hæc quidem, inquam, ratio a pia consideratione abhorret. Sed neque ea, quam addam, fortasse absurda cogitatu videbitur : nempe quia se Filius ad tam ineffabilem inexplicabilemque humilitatem depressit, dum similem nostræ carnem sanguinemque adoptavit, idcirco universi orbis judicium eidem traditur, quo ex illa humilitate tanta exaltetur, ac divinitatis ejus dignitas deprædicetur. Prædictis denique causis haud sequiorem audi hanc : quandoquidem in universali resurrectione haud nudæ animæ sed corporibus suis copulatæ resurgent, atque ita tribunali judicaturo sistentur, atque hoc personæ habitu sententiam judicii referent ; prorsus oportuit illarum quoque judicem in hac figura jus dicere ; ita ut judicati homines judicantem cernere possint ; ut per cognita illis verba judicium exerceatur, sententiæque notitia ad præsentium aures mentesque clarissima deferatur. Porro figuram nostram nulli divinarum personarum, præter quam Filio, communem esse scimus.

A (τοῦτο δέ ἐστι τὸ γένος τὸ ἀνθρώπινον), νομοθέτης δὲ μάλιστα τῆς Καινῆς Διαθήκης ὁ Υἱός, εἰ καὶ τῆς πατρικῆς βουλῆς καὶ συνεργίας καὶ τοῦ παναγίου Πνεύματος ἡ κοινωνία μὴ διασχίζοιτο, εἰκότως ὁ Υἱὸς κριτὴς τῶν νομοθετουμένων καθίσταται. Εἰ δὲ καὶ διότι τὸ ἀνθρώπινον φύραμα προσελάβετο, διὰ πείρας τε τῆς ἀνθρωπίνης φύσεως κατέστη, καὶ διπλῆν τὴν περὶ τῶν κρινομένων ἐκτήσατο γνῶσιν· ὡς που καὶ ὁ θεῖος Παῦλος βοᾷ, τὸν περὶ ἡμᾶς ἔλεον αὐτοῦ καὶ τὸν ὑπὲρ ἡμῶν ἱλασμὸν ὑμνολογῶν (ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι)· οὐδὲ τοῦτ' ἂν εἴη πόρρω θεωρίας θεοσεβοῦς· ἴσως δ' οὐκ ἀπεικὸς καὶ τοῦτο λογίσασθαι, ὡς ἐπειδήπερ ἐταπείνωσεν ἑαυτὸν ὁ Υἱὸς εἰς ἄφραστόν τε καὶ ἀνεκδιήγητον ταπείνωσιν, σαρκὸς παραπλησίως B ἡμῖν μετασχεῖν καὶ αἵματος, ἡ τοῦ παντὸς κρίσις αὐτῷ παρατίθεται, τῆς πολλῆς ἐκείνης ἀνυψοῦσα ταπεινώσεως, καὶ τὸ κατὰ τὴν θεότητα λαμπρῶς ἄξιωμα διαγγέλλουσα· καὶ τό γε τῶν εἰρημένων οὐδενὸς ἔλαττον, ἐπειδήπερ κατὰ τὴν παγκόσμιον ἀνάστασιν οὐ ψυχαὶ γυμναὶ, συνηνωμέναι δὲ τοῖς οἰκείοις σώμασι κοινωνοῦσι τῆς ἀναστάσεως, καὶ οὕτω τῷ τῆς κρίσεως παρίστανται βήματι, καὶ ἐν τοιαύτῃ καταστάσει τοῦ συγκρίματος τὴν δίκην ὑπέχουσιν, ἔδει πάντως αὐτῶν καὶ τὸν κριτὴν ἐν τοιαύτῃ μορφῇ προκαθέζεσθαι· ὡς ἂν καὶ τοῖς κρινομένοις εἴη δύνασθαι τὸν κρίνοντα ὁρᾶν, καὶ τὴν κρίσιν διὰ τῶν ἐγνωσμένων αὐτοῖς ῥημάτων καὶ προάγεσθαι, καὶ τὴν τῶν κριμάτων γνῶσιν εἰς τὸ σαφέστατον ἀκοαῖς τε καὶ ταῖς διανοίαις· τὴν δέ γε μορφὴν τὴν ἡμετέραν C οὐδεμιᾷ τῶν ὑπερφυῶν ὑποστάσεων ἑτέρᾳ, ἀλλ' ἢ τῇ τοῦ Υἱοῦ, πάντες ἴσμεν ἐφαρμόττουσαν.

QUÆSTIO CXCIII [*Coisl.* CCXXII, *Taur.* CCXIII].

ΕΡΩΤΗΣΙΣ ΡΙΓ'.

Edita a Montacutio (ep. 34 ad Joan. Chrys. p. 95). — De Trinitate et Incarnatione.

Quemadmodum in Theologia, tres confiteri substantias, multos deos inducit, et propterea atheismum, ita unam ponere hypostasin, aut subsistentiam, Judaismum resipit et Sabellianismum. Eodem modo et in incarnationis dispensatione, unicam naturam et hypostasin imaginari, Manichaicum resipit : duas naturas et hypostases duas Paulianistas resipit, osores Christi. Quid igitur faciendum ? Hoc nempe : ut mediam viam insistentes omnibus vestigiis dogma premamus ecclesiasticum quod blasphemiam ex utraque parte declinat, et D devitat, illud autem docet, unam in Christo hypostasin, naturam duplicem secundum divinum sensum profiteri.

Ὥσπερ ἐπὶ τῆς θεολογίας, καὶ τὸ, τρεῖς ὁμολογεῖν οὐσίας, πολύθεον, καὶ διὰ τοῦτο ἄθεον· καὶ τὸ μίαν λέγειν ὑπόστασιν, Ἰουδαϊκὸν καὶ Σαβέλλιον· οὕτω καὶ ἐπὶ τῆς οἰκονομίας, τό τε μίαν φύσιν φρονεῖν, καὶ μίαν ὑπόστασιν, Μανιχαϊκὸν καὶ ἀπόβλητον· καὶ τὸ, δύο φύσεις, καὶ δύο ὑποστάσεις, Παυλιανιστῶν καὶ μισόχριστον. Τί οὖν χρὴ ποιεῖν ; Τὴν μέσην καὶ ἐκκλησιαστικὴν δόξαν ἰχνηλατεῖν, ἥτις τὴν ἑκατέρωθεν ἀποκλίνουσα καὶ ἐκτρεπομένη βλασφημίαν, μίαν ὑπόστασιν ἐπὶ Χριστοῦ, δύο δὲ φύσεις θεοφρόνως ὁμολογεῖ δογματίζουσα.

QUÆSTIO CXCIV [*Coisl.* CCXXIII, *Taur.* CCXIV].

ΕΡΩΤΗΣΙΣ ΡΙΔ'.

Edita a Montacutio (ep. 35 ad Joan. Chrysoch. p. 95, 96). — De Incarnatione.

Quemadmodum Nestorius de contaminatis calicibus Pauli Samosatensis bibens, ebrius evasit impietate, ita et propriæ religionis semina Eutyches, de acerbis Manetis paraphyasi colligens, doloris

Ὥσπερ Νεστόριος τῶν θολερῶν ναμάτων σπάσας τοῦ Σαμωσατέως Παύλου, εἰς μέθην ἀσεβείας ἐξέπεσεν· οὕτως Εὐτυχὴς τῆς οἰκείας θρησκείας τὰ σπέρματα ἐκ τῆς Μανοῦ πικρᾶς παραφυάδος δρεψάμενος,

[46] Rom. III, 25.

Digitized by Google

ὀδύνης ἄρτον καὶ ἀπωλείας ἑαυτῷ καὶ τοῖς πειθομένοις, κατειργάσατο· ὁ δὲ τῶν ὀρθοδόξων χορὸς, τὸν κορυφαῖον Πέτρον, μᾶλλον δὲ τὸν αὐτοῦ καὶ ἡμῶν κοινὸν Δεσπότην καὶ Ποιητὴν, διδάσκαλον προστησάμενοι (« Ὑμεῖς γὰρ, φησὶ, μὴ καλέσητε ἐπὶ τῆς γῆς Ῥαββί· εἷς γάρ ἐστιν ὁ διδάσκαλος ὑμῶν ὁ Χριστὸς »), τῶν δύο φύσεων ἐν τῇ μιᾷ ὑποστάσει τοῦ Λόγου, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος, λαμπρῶς ἀνομολογοῦσι τὸ ἀσύγχυτον. Τοῦτο γὰρ αὐτὸς ἐδίδαξεν ἡ Ἀλήθεια· Υἱὸν γὰρ ἀνθρώπου ἑαυτὸν ἀνειπὼν, καὶ παρὰ τοῦ κορυφαίου Πέτρου, Υἱὸς τοῦ ζῶντος Θεοῦ ἀναῤῥηθείς· τὸ μὲν, οἷς αὐτὸς εἶπε· τὸ δὲ, οἷς ἀπεδέξατο, ἐβεβαίωσε· διὸ καὶ μισθὸν τῷ Πέτρῳ τῆς ὀρθῆς ὁμολογίας, τάς τε κλεῖς τῆς βασιλείας ἐνεχείρισε, καὶ ἐπὶ τῇ αὐτοῦ ὁμολογίᾳ ἐστηρίχθαι τὴν Ἐκκλησίαν· καὶ κατὰ πυλῶν ᾅδου καὶ πάσης αἱρετικῆς ἀθυροστομίας, λαμπρὰ φέρειν τὰ νικητήρια ἐκραταίωσεν.

A sibi panem et perditionis, necnon sequacibus suis apparavit : orthodoxorum vero chorus, ascito sibi doctore, non tam Petro apostolorum coryphæo quam ipso Domino communi, et creatore, « Vos enim, inquit, ne in terris vocabitis Rabbi, unus enim doctor vester Christus est[46], » duarum naturarum in una hypostasi Verbi, et deitatis nimirum et humanitatis, clarissime profitentur ; idque inconfusim, ita enim ipsamet nos edocuit veritas : Filium enim hominis se appellans, et, per Petrum coryphæum apostolorum Filius viventis Dei salutatus, utrumque confirmavit : alterum in eo quod ipse dixit, alterum quod dictum de se agnovit. Quocirca rectæ confessionis præmium Petro, regni cœlorum claves in manus dedit ; et in ejus con-
B fessione Ecclesiam fuisse stabilitam, et contra portas inferni communitam, adeo ut obturatis hæreticorum quibuscunque labiis, lemniscata inde tropæa tulerit, multa asseveratione confirmavit.

ΕΡΩΤΗΣΙΣ ΡΛΕ'.

QUÆSTIO CXCV. [*Coisl.* CCXXIV, *Taur.* CCXV.]

Edita a Montacutio (ep. 36 eidem, p. 96). — De Incarnatione.

Εἰ μία φύσις ἐπὶ Χριστοῦ ἐγνωρίζετο, ἓν ἂν καὶ τὸ ἐξ αὐτῆς ἐπήγαζε θέλημα· ἐπεὶ δὲ δύο αἱ φύσεις, καὶ δύο ἄρα συναναβλύουσι τὰ θελήματα. Εἰ δὲ οὐκ ἔστι φύσις ἀνενέργητος, καὶ ἑκατέρᾳ πάντως ἡ οἰκεία συνανακύψει ἐνέργεια. Ὥσπερ δὲ ἡ ἀνθρωπίνη φύσις τῇ θεϊκῇ τοῦ Λόγου φύσει συνείπετο, καὶ ὑπέκειτο· οὕτω δηλονότι, καὶ τὸ ἀνθρώπινον θέλημα τῷ θεϊκῷ, καὶ τῇ ἐνεργείᾳ ἡ ἐνέργεια.

Si in Christo natura unica agnosceretur, et unica exinde voluntas effluueret : sed cum duæ sint naturæ, et duplex quoque voluntas hinc ebullit. Quod si non sit natura operatione vacua, utique proculdubio propria operatio una proditura est. Quemadmodum vero humana natura divinam Verbi naturam consequebatur, eidemque subjacebat, ad eumdem plane modum et humana voluntas
C voluntati divinæ, et operationi divinæ humana operatio subjacebat.

ΕΡΩΤΗΣΙΣ ΡΛϚ'.

Περὶ εἰκόνων.

QUÆSTIO CXCVI [*Coisl.* CCXXV, *Taur.* CCXVI].

De imaginibus.

Edita a Montacutio (ep. 37, p. 96).

Ἕλληνες τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν εἰκονίζειν, ὅτι μηδὲ θειάζουσιν, οὐκ ἀνέχονται. Ἰουδαῖοι, πλέον ἐκείνων, τὴν κατ' αὐτοῦ μανίαν νοσήσαντες, οὐδὲ μέχρι ψιλῆς ἀκοῆς τὴν πρᾶξιν ὑφίστανται· ἕτεροι δὲ, μοῖρα πονηρὰ καὶ ἐξάγιστος, οἱ μὲν αὐτοῦ τὸ σῶμα ἐναποτεθεῖσθαι τῷ ἡλίῳ τερατεύονται· οἱ δὲ εἰς τὰ, ἐξ ὧν αὐτὸ συνιστῶσι, διαλύουσιν· οἱ δ' ἀπὸ Μανοῦ, οὐδ' ἀναλαβεῖν αὐτὸν ὅλως σῶμα τὸ ἡμέτερον διατείνονται· οἷς ἐξ ἀναγκαίου ἀκόλουθον μηδὲ Χριστὸν εἰκονίζεσθαι. Σκοπεῖτωσαν τοίνυν οἱ τῆς πολυπλανοῦς καὶ μοιχιδίου σπορᾶς ἀπόγονοι, τὰ νέα τῶν Εἰκονομάχων λέγω γεννήματα, τίνας ἑαυτῶν πατέρας ἐπιγράφουσι, καὶ τίνος μερίδος αἱροῦνται παρὰ τοῖς Χριστιανοῖς θιασῶται καὶ μαθηταὶ ὀνομάζεσθαι.

Pagani Christum Dominum et Deum nostrum per imaginem effingere nolunt, scilicet eo quod haud profiteantur Deum. Judæi, qui majori contra eum insaniæ morbo laborant, ne de nudo quidem nomine rem admittunt. Sunt alii, pars impia et diris devovenda, qui vel insigniter mentiendo, corpus ipsius includunt soli ; vel in illa dissolutum eunt, e quibus ipsi conflaverunt. Contendunt qui Manetem sequuntur ducem nullo modo eum corpus
D nostrum assumpsisse, cui sequitur omnino necessario, Christum non esse per imaginem exprimendum. Videant ergo prognati a multipliciter erratico et adulterino semine, et sibi caveant (genimina novitia Iconomachorum dico) quos et quales sibi ascribant progenitores, et de qua factione mystæ et discipuli voluerint inter Christianos censeri.

ΕΡΩΤΗΣΙΣ ΡΛΖ'.

Περὶ εἰκόνων.

QUÆSTIO CXCVII [*Coisl.* CCXXVI, *Taur.* CCXVII].

De imaginibus.

Edita a Montacutio (ep. 38, p. 97).

Σίμων ὁ Μάγος καὶ Καρποκρᾶς ἐβαπτίσαντο· διὰ

Simon Magus et Carpocras baptismo initiabantur :

[46] Matth. XXIII, 8-10.

Digitized by Google

ob eam causam et Christi imaginem circumgestabant, sed a magicis illusionibus et lascivia non recedebant : quocirca et aliorum quorumdam imagines una circumferebant. Pudore quocirca suffundantur Iconomachorum primipili, eo quod insensati magis esse convincantur, quam erant illi superstitiosissimi, et tam dogmatibus quam vita et conversatione decepti et errones.

Interrogas cur hæreticis turpitudinem exprobrem. Si non te turbarem responso, docerem ab insipientibus interrogari sic debere : eoque magis quod si tu patieris, ab omni eos sensu non minus quam a pietate emotos demonstrabo. In eo ipso, quo scandalo fidem orthodoxam afficere voluerunt, vetustatem deprædicant imaginum fabricandarum. Certe non intelligunt rem esse Christianismo contemporaneam, et baptismati instituto. Hoc contra voluntatem nobis concedunt : cumque per Simonem Magum baptizatos in contumeliam imaginum subintroducunt, ignorant semetipsos repræsentare ultra vel eos ipsos impudentiæ morbo laborantes.

A τοῦτο καὶ Χριστοῦ εἰκόνα περιέφερον, ἀλλὰ τῆς μαγικῆς τερθρείας καὶ τῶν παθῶν οὐκ ἀφίσταντο· διὰ τοῦτο καὶ ἑτέρων τινῶν εἰκόνας συμπεριέφερον. Αἰσχυνέσθωσαν τοιγαροῦν τῶν Εἰκονομάχων οἱ πρόμαχοι, ὅτι καὶ τῶν δεισιδαιμονεστάτων ἐκείνων καὶ δόξῃ καὶ βίῳ πεπλανημένων ἀγνωμονέστεροι ἀπελέγχονται.

QUÆSTIO CXCVIII [*Coisl.* CCXXVII, *Taur.* CCXVIII].

De pugnantibus verbis.

Edita a Montacutio (ep. 43 ad Leon. p. 99). — In Matth. XIX, 21.

Grave reris et intolerandum mandatum illud, « Vende quæ habes et da pauperibus. » Ego autem ob hoc ipsum jugum Domini ut placidum et onus leve existimare te cuperem. Jubet enim onus deponere Dominus, et curarum segetem atque tentationum excutere, non autem humeris onus impositum gestare. Jubet illa indigentibus distribuere, et ob illa relicta thesauro cœlesti ditescere donat. Quæ si non distribuantur, otiosa et inutilia huic præsenti vitæ redduntur incumbentia ; et cum hinc recesserimus, destituent nos. Quocirca mihi nota Domini misericordiam et inexplicabilis providentiæ varietatem multiplicem ; quod ea quæ nos necessario et reluctantes consequentur, illa (voluntate tantum accedente) tanquam proprios cum labores tum fructus amplectamur, et tanquam omnia rectissime administrantes, qui solummodo propositum adhibuerimus, in regnum cœlorum susceptos introduxerit. « Venite (enim inquiet) benedicti Patris mei, possidete regnum vobis apparatum[46] ». »

ΕΡΩΤΗΣΙΣ ΡΙΗ'.

Περὶ μαχομένων ῥητῶν.

« Πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, » βαρὺ νομίζεις καὶ δυσβάστακτον τὸ ἐπίταγμα. Ἐγὼ δέ σε διὰ τούτου μᾶλλον ὁρῶ, ἀξιῶ τὸν ζυγὸν Κυρίου, ὡς ἀληθῶς χρηστόν, καὶ τὸ φορτίον ἐλαφρόν. Φόρτον γὰρ ἀποθέσθαι, καὶ τῶν φροντίδων καὶ πειρασμῶν ὕλην ἀποτινάξασθαι, ἀλλ' οὐκ ἀναλαβεῖν, ἐγκελεύεται· κἀκεῖνα τοῖς χρῄζουσι νέμειν, καὶ ἀντὶ τούτων θησαυρὸν πλουτεῖν τὸν οὐράνιον ἐχαρίσατο· ἃ καὶ μὴ διανεμόντων ἀργὰ καὶ ἄχρηστα τῷ παρόντι βίῳ ἐναπόκειται, κἀκεῖσε μεθισταμένων ἐνταῦθα καταλιμπάνεται· δι' ὃ μοι σκόπει μᾶλλον τὴν Δεσποτικὴν φιλανθρωπίαν, καὶ τῆς ἀφάτου Προνοίας τὸ ποικίλον καὶ πολύτροπον, ὅτι ἅπερ ἐξ ἀνάγκης καὶ ἡμῶν ἀκόντων ἐπακολουθεῖν εἴωθε, ταῦτα, γνώμης προστεθείσης μόνης, ὡς οἰκείους πόνους καὶ καρποὺς ἀποδέχεσθαι· καὶ ὡς τὸ πᾶν κατωρθωκότας, τοὺς μόνην συνεισενεγκόντας προαίρεσιν εἰς κλῆρον τῆς αὐτοῦ βασιλείας ὑποδέχεται « Δεῦτε γάρ, φησίν, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. »

QUÆSTIO CXCIX [*Coisl.* CCXXVIII, *Taur.* CXXIX].

ΕΡΩΤΗΣΙΣ ΡΙΘ'.

Edita a Montacutio (ep. 50 ad Sergium, p. 103). — De solutione legis ac de verbis Matth. V, 13-17.

Non est sideribus ex opposito sol, non contrariatur diei nox, nec solares radii splendori ignis ; sed nec adolescenti hominum naturæ perfectior et virilis ætas. Adjiciam si placet ; sed nec astringens qualitas, quæ ad tincturam coccineam subjectum apparat, contrariatur flori purpuræ : sed nec mixtio colorum, nec assimilatio imaginum, ante

Οὐκ ἔστιν ἐναντίον ἀστράσιν ἥλιος, οὐδὲ τῇ νυκτὶ ἡμέρα, οὐδὲ πυρὸς αἴγλῃ αἱ ἡλιακαὶ ἀκτῖνες· οὐ μὴν οὐδὲ νεαζούσῃ φύσει, ἡ κατ' ἄνδρα τελειότης· εἰ βούλει δέ, οὐδὲ ἡ στύφουσα ποιότης, πρὸς ἅλουργὸν βαφὴν εὐτρεπίζουσα τὴν ὕλην, πρὸς τὸ τῆς πορφύρας ἄνθος q·r· οὐδ' ἡ τῶν χρωμάτων κρᾶσις, καὶ μόρφωσις τῶν εἰκονισμάτων, ταῖς προτυπωθείσαις γραμ-

[46] " Matth. XXV, 34.

VARIÆ LECTIONES.

q·r εἶδος H.

Digitized by Google

μαῖς καὶ χαράγμασι τῶν σκιασμάτων. Τί δὲ βούλεται ἡ τῶν δοκούντων ἀντικεῖσθαι παράθεσις, τὴν δόκησιν τῆς ἐναντιώσεως ἐξ αὐτῆς ἀνατρέπουσα [a] παραθέσεως; οὐδ', ὅπερ αὐτὸς ἀπορεῖς, οὐδ' ἡ χάρις τῷ νόμῳ ἀντίκειται· χειραγωγία δὲ καὶ προάγγελος, συμφωνία τε καὶ προκατασκευή, καὶ ὁδὸς ὑπάρχει καὶ παρασκευή, καὶ τὰ ἄλλα πάντα, ὁ νόμος τῆς χάριτος. Τελείωσις μὲν γάρ ἐστιν ἡ χάρις· πάντα δὲ, ὅσα τῆς τελειώσεως, προϋφέστηκεν· ὑπηρετούμενος ὁ νόμος ἐδείχθη τῇ χάριτι· ἐχειραγώγησε, προεκήρυξε, προητοίμασεν· ὁδὸς καὶ τύπος ἐγένετο, ἐν ἑαυτῷ σχηματίζων καὶ ὑποδεικνὺς τὴν ἀλήθειαν· οὐδὲν τῶν προπαρασκευαζόντων ὑστέρησεν. Ἀλλ' ἦλθεν ἡ χάρις· ἐσχόλασεν εἰκότως ὁ νόμος· φύσις γὰρ τοῦτο προτελείων, ὑπεξίστασθαι καὶ παραχωρεῖν τῇ τελειότητι. Καὶ ἵνα ὁ τῷ νόμῳ προσανέχων λαὸς, τὸν ἐν τῇ χάριτι Θεὸν ἐπιγνῷ, καὶ τῆς νομοθεσίας ὄντα Κύριον (« Σχολάσατε γὰρ, φησὶ, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, καὶ ὑψωθήσομαι ἐν τοῖς ἔθνεσι, ὑψωθήσομαι ἐν τῇ γῇ »), ἦλθεν ἡ χάρις, ὑπεχώρησεν ὁ νόμος· ὡς ἀστέρες, ἡλίου φαίνοντος· ὡς νὺξ, τῆς ἡμέρας διαυγ[αζ]ούσης· ὡς αἱ τοῦ πυρὸς φλόγες, ἐξ αἰθρίας, καὶ ἐν σταθερᾷ μεσημβρίᾳ, τῷ ἡλιακῷ φωτὶ ἀμαυρούμεναι· ὡς καταργεῖται τὸ νήπιον, εἰς ἄνδρα τῆς ἡλικίας ἀναδραμούσης· ὡς ἡ ποιότης τοῦ στύφοντος, τῆς πορφυρίδος βαφῆς ἐπικρατησάσης· ὡς αἱ γραμμαὶ καὶ τὰ προχαράγματα, εἰς διαμόρφωσιν τῆς εἰκόνος συναπαρτισθείσης· ἕκαστον γὰρ τῶν ἐν ἑκατέρᾳ συστοιχίᾳ εἰρημένων, τὸ μὲν ὡς ἀτελὲς προηγήσατο, τὸ δὲ ὡς τέλειον ἐπεγένετο [t]· καὶ οὔτε τῷ προϋπάρξαντι τὸ ἐπιγεγονὸς ὑπάρχει πολέμιον· μᾶλλον [u] μὲν οὖν πολλὴ πρὸς ἄλληλα τούτων συμφωνία καὶ συγγένεια· οὔτε μένει τὰ πρότερα, τῶν τελείων ἐπιγινομένων. Τοιοῦτός ἐστιν ὁ νόμος τῆς φύσεως, τῆς τελειότητος ἐνεργουμένης ἀργεῖν ὅσα εἰς τὴν αὐτῆς κατασκευὴν καὶ συντέλειαν παρελαμβάνετο. Ὥστε καὶ κατήργηται ὁ νόμος, τῆς χάριτος ἐπιστάσης, καὶ οὐ καταλέλυται· καὶ πέπαυται, καὶ οὐ διαβέβληται· καὶ πεπλήρωκεν αὐτὸν ὁ Χριστὸς μηδεμίαν κεραίαν λύσας ἐξ αὐτοῦ· καὶ ὅλον ἠφάνισε, τελειώσας αὐτόν· οὐκ ἔστι [v] γὰρ τοῦ παιδαγωγοῦντος χρεία, αὐτοῦ παρόντος τοῦ διδασκάλου· καταλῦσαι μὲν γάρ ἐστι καὶ διαβολῆς ἔνοχον ἐλέγξαι, τὸ ἐκ βάθρων αὐτὸν ἀνατρέψαι, μηδενὶ τῶν αὐτοῦ δικαιωμάτων προσχρησάμενον· παῦσαι δὲ καὶ ἀργῆσαι μόνον, μετὰ τῆς πρεπούσης εὐφημίας· τὸ διακονῆσαι μὲν, οἷς ἐκεῖνος ἐνομοθέτει, ἐπαγαγεῖν δὲ τὴν χάριν, καὶ διὰ τοῦ τελείου τὸ ἀτελὲς ἀποκρύψασθαι· καὶ καταλύει δὲ, οὐχ ὁ μὴ παραβαίνων τοὺς τοῦ νόμου νόμους, ἀλλ' ὁ παραβαίνων. Παραβαίνει δὲ, οὐχ ὁ σχολάζειν αὐτοὺς καὶ ἀργεῖν ὀφείλοντας εἰδώς· ἀλλ' ὁ μηδὲ τοῦτο εἰδὼς (καίτοι πολλαχοῦ τὴν οἰκείαν ἀργίαν αὐτῶν ἐκείνων διακεκραγότων), καὶ οὐχ ὁ μετὰ τὴν σχολὴν

A ductis lineis et adumbrationum descriptionibus adversantur. Quid vero sibi vult rerum quæ videntur ad oppositum collatio, quæ contrarietatis apparentiam per ipsam comparationem subvertit? Nempe non (quemadmodum tibi dubitare visum est) gratia legi contrariatur. Certe lex manuductio quædam est, præannuntiatio, consonantia, præparatio, via et apparatus, et si quæ alia sunt, ad gratiam. Est enim gratia consummatio : quæ pertinent ad consummationem, omnia necesse est præexstitisse. Demonstratur legem subservire gratiæ : manuduxit, præannuntiavit, viam ipsi stravit; via, forma, et expressa imago fuit, seipsa figurans et subindicans veritatem. Nihil plane abfuit eorum

B quæ ad præparationem spectabant. Venit gratia, inanis fuit (nec injuria) lex. Est enim congenitum antecedaneis omnibus, ut loco cedant, submoveanturque perfectioni. Et ut ille populus qui ad legem attendebat, Deum agnosceret sub gratia apparentem, et Dominum quoque legis exstitisse : « Attendite enim, inquit, et intelligite quod ego Deus sim, et exaltabor inter gentes, exaltabor in terra [47]. » Advenit gratia, secessit lex. Ita stellæ recedunt surgente sole, et nox ubi dies illucescit; ut ignitæ flammæ, per sudum cœlum, et meridiem mediam, a solaribus radiis obscurantur; non aliter quam infantilis ætas per virilem aboletur, cum succreverit : ut qualitas astringentis, ubi tinctura purpuræ prævaluit : ut lineæ et prædelineationes per imaginis formationem absorbentur. Singula autem

C eorum quæ in utraque comparatione sunt allata, vel ut imperfecta præcesserunt, vel subinducta sunt ut perfecta : ubi neque quod subintroducitur præexsistenti adversatur (potius multis modis inter se conspirant et copulantur) neque tamen priora subsistunt perfectioribus subintroductis. Hujuscemodi est natura legis operante perfectione; inania sunt et frustra, quæcunque ad ipsius apparatum et consummationem assumebantur. Ad hunc modum lex, adventante gratia, evacuatur, nec aboletur tamen; cessat, sed non improbatur, adimplevit eam Christus, qui nec apicem illius violavit, sed totam semovit, ubi impleverat eam. Neque enim opus est pædagogo, ubi ipsemet advenit informator. Solvere

D quidem eam, et tanquam justæ obnoxiam criminationi funditus eam subruere, est illius, qui nulla ex parte ejus usus fuerit justificationibus. Facere autem ut interquiescat, et inanis reddatur, non nisi cum congruenti laudatione fieri potest. Inservire iis quæ lege sanciuntur, gratiam subinferre tamen, et imperfectum quod est sub perfecto abscondere. Solvit quidem, non qui nequaquam legis scita transgreditur, sed qui transgreditur. Transgreditur porro, non qui novit oportere illas cessare et de-

[47] Psal. XLV, 11.

VARIÆ LECTIONES.

[a] παρατρέπουσα II. [t] ἀπεγένετο II. [u] μεῖω II. [v] οὐκέτι II.

Digitized by Google

suescere, sed qui non novit istud (certe multis in locis propriam ipsarummet cessationem ipsæ leges proclamant) : non qui post gratiam et cessationem inutiles agnoscit, sed qui ante gratiæ adventum, dum adhuc obtinerent operationem suam, tanquam profanas aversaretur. Sancta igitur lex est, justa, bona, a bono nimirum profecta, summe sancto, et omnimodam justitiam perfectissime operante. Exstitit prænuntia, at nunc ut inutilis, quiescit et cessavit. In adventu enim Domini procuratoris officium cessare debet. Nec post confirmatam valetudinem ad pharmaca quispiam se conferet : non qui cibo uti potest fortiori, de nutrice habebit sollicitudinem ; non qui rhetorice declamat, syllabarum grammatistas indagando quæret ; nemo qui ducis locum obtinuerit in acie, militaribus inscribi ordinibus cupiet ; nemo cœlestium compos factus, bona terrena iis præferet : sed nec regio ornatu instructus, privatam tunicam, subjectorum locum, pro statu superioritatis ac dominationis immutabit. Habes, ni fallor, ut per epistolarem formam, dubiæ quæstionis susque deque jactatæ, et multis multoties inextricabiles quæstiones exhibentis solutiones sufficientes. Hinc Judæi, Pagani, Marcionis assertiones confundentur, quique per ejusmodi oppositionem multifariam contra Ecclesiam divisi insurrexerunt. Consummavit Christus, non dissolvit legem : otiari fecit, non condemnavit : conspirant usque adeo gratia et lex, non pugnant. Si quis asserat Dominum dissolvisse legis litteram, implevisse autem spiritualem legem, non abludit a vero quod sic affirmatur. At affirmare quod legis deuterosin dissolvit, primo autem sancitam legem implevit, delirantis est sententia.

καὶ τὴν χάριν ἀχρήστους εἰδὼς, ἀλλ' ὁ πρὸ τῆς χάριτος, καὶ ἐν αὐτῷ τῆς ἐνεργείας τῷ καιρῷ, ὡς βεβήλους ἀποστρεφόμενος. Ἅγιος οὖν ὁ νόμος, καὶ δίκαιος, καὶ ἀγαθός· ἀγαθοῦ γὰρ, ὡς ἀληθῶς, καὶ ὑπεραγίου, καὶ πᾶσαν δικαιοσύνην ὑπερφυῶς τελεσαμένου ὑπῆρχε προάγγελος· ἄχρηστος δὲ καὶ σχολάζει καὶ πέπαυται. Ἐφεστῶτος γὰρ τοῦ Κυρίου, ἡσυχάζειν δεῖ τὰ τοῦ ἐπιτρόπου· καὶ οὐδεὶς μετὰ τὴν καθαρὰν ὑγίειαν ἐπὶ τὰ φάρμακα τρέχει· οὐδὲ στερεᾶς τροφῆς ἀπολαύων, τὴν θηλάζουσαν περιεργάζεται· οὐδὲ ῥητορεύων, τοὺς τῶν συλλαβῶν γραμματιστὰς ζητῶν περιέρχεται· οὐ μὴν οὐδ' εἰς στρατηγοὺς ἀναχθεὶς, τὴν τῶν στρατιωτῶν λῆξιν ἐπιποθήσειεν. Οὐδὲ τοὺς οὐρανοὺς λαβὼν, τὰ ἀγαθὰ τῆς γῆς προτιμήσειεν· ὥσπερ οὐδ' ὁ βασιλείαν ἐνδὺς, τὸν ἰδιώτην χιτῶνα, καὶ τὴν ὑπήκοον τάξιν, ἀντὶ τῆς ἐπιστατούσης καὶ κυρίας, ἀλλάξαιτο. Ἔχεις ἱκανῶς, οἶμαι, καὶ μάλιστα, ὡς ἐν ἐπιστολῆς τόπῳ, ἀπορήματος ἄνω καὶ κάτω φερομένου, καὶ πολλὴν πολλάκις ἀμηχανίαν παρεσχημένου, τὰς λύσεις ἀφθόνους· δι' ὧν καὶ Ἰουδαῖοι, καὶ Ἕλληνες, καὶ οἱ Μαρκίωνος λόγοι συγχυθήσονται· αὐτοὶ δόξαντες πολλάκις, διὰ τῆς τοιαύτης παρατάξεως, τῆς Ἐκκλησίας κατεξανίστασθαι. Ἐτελείωσε γὰρ τὸν νόμον ὁ Χριστὸς, ἀλλ' οὐ κατέλυσε· καὶ ἔπαυσεν, ἀλλ' οὐκ ἀνέτρεψε· καὶ τέλος ἐστὶν αὐτοῦ, ἀλλ' οὐκ ἀναίρεσις· καὶ ἤργησεν, ἀλλ' οὐ διέβαλλε· καὶ συμφωνοῦσιν ἡ χάρις καὶ ὁ νόμος ἀλλ' οὐ μάχονται. Εἰ δέ τις καὶ τοῦτο λέγοι, τὸν μὲν ἐν τῷ γράμματι νόμον λελυκέναι τὸν Κύριον, πεπληρωκέναι δὲ τὸν ἐν πνεύματι, οὐδὲν τῶν ἀπεικότων ἐρεῖ. Τὸ δὲ λέγειν, ὅτι τὸν μὲν τῆς δευτερώσεως νόμον ἔλυσε, τὸν δὲ τῆς πρώτης νομοθεσίας ἐπλήρωσε, ληρούντων ἐστίν.

QUÆSTIO CC [*Coisl.* CCXXIX, *Taur.* CCXX].

Cum Dominus dicat : « Nolite margaritas projicere porcis, » quomodo docendi sunt infideles?

ΕΡΩΤΗΣΙΣ Σ'.

Τοῦ Κυρίου λέγοντος, « Μὴ βάλλετε μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, » κ. ἑξῆς, πῶς δεῖ διδάσκειν τοὺς ἀπίστους;

Edita a Montacutio (ep. 54 ad Sergium, p. 107-110). — Matth. VII, 6.

Sancta et margaritæ, cum divini verbi prædicatio est, tum et corpus Dominicum et immaculatum. Margaritæ, eo quod pretiosa sint, et quod fulgentem salutis splendorem ab iis emittunt, qui cum sincero animo adeunt. Sancta autem, quod et veneranda, et quod excusso errore veritati nos appendunt. Canes sunt et hæretici et pagani, qui cum sæpe religionis rudimenta prima infusa audiverint, non tantum meliori statu non sunt, sed et rabiem suam produnt multo quidem furiosius contra sacram et sanctam nostram pietatem, ultra canes allatrantes. Porci vocantur, quotquot cœno et luto passionum convolutati, erga admonitiones insensate et sine resipiscentia semet gerunt. Hisce omnibus non esse divina impertienda mysteria

Ἅγια καὶ μαργαρῖται, ὅ τε τοῦ θείου κηρύγματος λόγος, καὶ τὸ Δεσποτικὸν καὶ ἄχραντον χρηματίζει σῶμα· μαργαρῖται μὲν ὅτι τίμια, καὶ ὅτι λαμπρὰν τῆς σωτηρίας τὴν αἴγλην τοῖς εἰλικρινῶς προσιοῦσιν ἐκπέμπουσιν· ἅγια δὲ, ὅτι τὰ [x] σεπτὰ καὶ ὅτι τῆς πλάνης ἀφορίζοντες τῇ ἀληθείᾳ ἀνατιθέασι· κύνες δὲ, καὶ τῶν αἱρετικῶν, καὶ τῶν ἀπίστων, ὅσοι πολλάκις τὸν τῆς εὐσεβείας κατηχηθέντες λόγον, οὐ μόνον οὐδὲν ἄμεινον διετέθησαν, ἀλλὰ καὶ τὴν λύσσαν αὐτῶν κατὰ τῆς ἱερᾶς ἡμῶν θρησκείας ἐμμανέστερον κυνῶν ὑλακτούντων ἐπεδείξαντο· χοῖροι δὲ, ὅσοι τῷ βορβόρῳ τῶν παθῶν ἐγκαλινδούμενοι, πρὸς τὰς παραινέσεις ἀναισθήτως τε καὶ ἀνεπιστρόφως ἔχουσιν. Οἷς ἅπασιν ὁ θεῖος ἀποθεσπίζει χρησμὸς, μὴ προτιθέναι τὰ θεῖα μυστήρια, ἀναξίους ἑαυτοὺς, δι'

VARIÆ LECTIONES.

[x] τε.

Digitized by Google

ὧν ἔπραξαν, παρεσκευακότας τῆς ὑπερφυοῦς σωτη- A
ρίας καὶ χάριτος· ἀλλ' εἰ μηδ' ἑτέροις γ τούτων
δοτέον, ἴσως ἄν τις διαπορήσειε, τίσιν ὅλως δοτέον;
Ἡμὶ τοιγαροῦν, τοῖς τε πιστοῖς καὶ ὀρθοδόξοις, καὶ
οἷς ὁ βίος τῇ πίστει συμφθέγγεται. Ἀλλὰ καὶ τῶν
ἀπίστων, καὶ δὴ καὶ τῶν αἱρετικῶν, καὶ μὴν καὶ
τῶν πρὸς καθαρότητα πολιτείας διαβεβλημένων καὶ
ταύτης ὀλισθαινόντων, ἐκείνους τῷ λόγῳ κατηχητέον,
καὶ χειραγωγεῖν προθυμητέον· οἵτινές εἰσιν ὥσπερ
πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ σφόδρα δέονται τῆς
ποιμαντικῆς ἐπιστασίας καὶ κατηχήσεως. Ἐπὶ τού-
τοις γὰρ καὶ ὁ Κύριος σπλαγχνίζεται, καὶ τρέφει
τροφὴν τό τε σῶμα συνέχουσαν, καὶ τὴν ψυχὴν
βελτιοῦσάν τε καὶ στηρίζουσαν· εἶεν· ἀλλὰ πῶς
ῥίπτουσιν ἐπιστραφέντες οἱ χοῖροι καὶ οἱ κύνες
τοὺς, εἴτις αὐτοῖς προθείη ἃ μὴ θέμις; ἢ δῆλον, ὡς B
οἱ μὲν κωμῳδοῦντες καὶ ἐπιγελῶντες καὶ χλευάζον-
τες τὰ πάσης εὐφημίας ὑπέρτερα, οἱ δὲ, τὸ καθαρὸν
αὐτῶν καὶ ὑπέρλαμπρον, διὰ τῆς οἰκείας ἀκαθαρσίας,
καὶ ἀνεπιστρόφου φαυλότητος, βεβηλοῦντές τε καὶ
καταῤῥυπαίνοντες. Ὧν ἑκάτερον ἀνατρέχον εἰς τοὺς
ἀπερισκέπτως καὶ χωρὶς προνοίας οἰκονομήσαντας
τὸ μυστήριον, πτῶσιν αὐτῶν χαλεπὴν καὶ μέγα
ὄνειδος ἀπεργάζεται. Εἶησαν δ' ἂν μαργαρῖται καὶ
ἅγια, οὐ τὰ εἰρημένα μόνον, ἀλλά γε καὶ τῶν θαυ-
μάτων τὰ χαρίσματα· καὶ πρὸς τούτοις, αὐτὰ τὰ
θαύματα· καὶ τρίτον, εἰ βούλει, τὸ ἀποστολικὸν καὶ
θεῖον ἀξίωμα, ὃ κατὰ διαδοχὴν τὸ ἀρχιερέων γένος
ὁρᾶται κληρούμενον. Οὐδὲν γὰρ τούτων, οὐ μὲν οὖν
οὔτε κυσὶ προτιθέναι, οὐδὲ τοῖς χοίροις θεμιτόν. C
Καὶ κοινὸς μὲν περὶ πάντων νόμος ἡ προειρημένη
τοῦ Δεσπότου ψῆφος καὶ ἀπόφασις. Εὕροι δ' ἂν τις
καὶ περὶ ἑνὸς ἑκάστου αὐτῶν τὰς μαρτυρίας οὐδὲν
ἐργωδέστερον. Αὐτίκα γοῦν τοῖς κυνῶν δίκην τὴν
ἀναίδειαν προβεβλημένοις, καὶ σημεῖον αἰτοῦσιν,
οὕτω σχεδὸν τῆς ὄψεως αὐτῶν τῶν προδεδειγμένων
ἀπαλλαγείσης, οὐ μόνον οὐδὲν ὁ τοῦ γένους Σωτὴρ
οὐδαμῶς ἐπεδείξατο, ἀλλὰ καὶ ἀπεῖπε μὴ δοθήσεσθαι,
καὶ τὴν αἰτίαν τοῦ μὴ παρασχεῖν ἀποκαλύπτων,
γενεὰν αὐτοὺς πονηρὰν καὶ μοιχαλίδα ὠνόμασε· δι'
ἑκατέρου πάθους παραστήσας, ὅτι κυνῶν καὶ χοίρων
οὐδὲν ἀμείνους ἐτύγχανον. Καὶ πάλιν ἐν τῇ πατρίδι
αὐτοῦ οὐκ ἐποίησε δυνάμεις πολλὰς, διὰ τὴν ἀπιστίαν
αὐτῶν. Καὶ πολλαχοῦ φαίνεται πίστιν προσαπαιτῶν,
εἶθ' οὕτως ἰάσεις ἐπιτελῶν. Ὥστε ὁ κυνογνώμων καὶ D
χοιρώδης ἄνθρωπος, ἀνάξιός ἐστι τῆς ἀπὸ τῶν ση-
μείων εὐεργεσίας. Εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον καὶ
αὐτοῦ τοῦ ἐν τοῖς σημείοις χαρίσματος. Ἀλλὰ τοῦτο
μὲν καὶ αὐτόθεν δῆλον· οὐδὲν δὲ ἧττον ὅμως καὶ
Πέτρος, ὁ τῶν μαθητῶν κορυφαῖος, δι' ὧν ἐπιτιμή-
σας ἀπεσείσατο τὸν δεισιδαίμονα καὶ πονηρὸν καὶ
φιλόχρυσον Σίμωνα, ἀκριβεστάτην παρέσχετο τὴν ἀπό-
δειξιν· ὅτι δὲ οὐδ' ἀποστολικῆς ἀξίας ἢ ἀρχιερατικῆς
τιμῆς οὐδείς ἐστι τῶν τοιούτων μετέχειν δίκαιος,
αὐτὸς πάλιν ὁ Δεσπότης, ἔργῳ καὶ λόγῳ παρίστησιν,
οἷς τὸν ἀκολουθεῖν αὐτῷ αἰτησάμενον, καὶ τῶν ἀπο-
στόλων ὑπελθεῖν τὸν κλῆρον, καὶ τὸ προνόμιον δια-
μηχανώμενον, οὐ μόνον οὐ προσεδέξατο, ἀλλὰ δι' ὧν

divina oracula prodidere; quippe qui jam olim se indignos gesserunt, per opera sua, excellenti illa gratia et salute. Quod si neutris istorum hæc communicanda sint, non absurde quispiam dubitaverit, an aliquibus omnino sint communicanda: etsi, tum quibus? Hic affirmo, fidelibus et orthodoxis, quorum vita professioni respondet. Sed et increduli, et hæretici, et qui vita parum pura et honesta commendantur, sed defectus patiuntur, verbo sunt instituendi, et manu sedula deducendi: sunt enim tanquam oves pastorem non habentes, quibus omni modo opus est pastoritia præsidentia et informatione. Erga istos misericordiæ visceribus movetur Dominus: cibum illis apparat, qui et corpus consolidet, et animam redditam meliorem confirmet. Sed esto tamen, quomodo porci conversi dejiciunt illa, et canes si quis iis apposuerit quæ non conveniunt? An patet quod comico sale fricent, et ludibrio habent, et lubentiæ exponunt, quæ omnia laudis cujuscunque præconia superant isti id quod defæcatum et pellucidum est, per ipsorum propriam immunditiem et improbitatem incorrigibilem, profanantes et sordidantes persistunt. Utrumque porro postquam invaserit eos, qui inconsideratius et sine omni cura et providentia mysterium dispensant, lapsum ipsum durum, deplorandum, et cum dedecore conjunctum procurat. Esto autem, sint margaritæ res sacræ, nec eæ solum quas commemoravimus, sed et miraculorum charisma: etiam ipsa miracula: et, si ita placet, tertio loco, apostolorum cœlitus instituta dignitas: cujus sortis hæreditatem, pontificale nostrum genus agnoscitur possidere. Nihil enim eo spectans, vel canibus projiciendum est, vel etiam porcis. Communis de istis omnibus lex, prædictus Domini calculus et determinatio sit: quarum rerum singularum testimonia facile cuivis fuerit invenire. Illis igitur qui non secus quam canes summam præ se ferebant impudentiam, ita ut signum sibi dari postularent, cum vix in conspectu ipsorum patratis miraculis moverentur, generis nostri salus et Servator, non modo nullum signum manifestavit, sed se minime concessurum respondet: et causam indicans cur nullum vellet concedere signum, improbam et adulteram generationem vocat: per utrumque affectum docens, quod nihilo melius quam canes et porci disponebantur. Hinc factum quod in sua ipsius patria multa signa haud ediderit, propter ipsorum incredulitatem. Sed et plerisque in locis licet animadvertere, fidem ipsum prius prærequirere, atque ita demum curationes edidisse. Est igitur ille homo qui eodem modo afficitur atque canes et porci, indignus plane, cujus gratia miracula procudantur. Et certe si his dignus non fuerit, multo minus gratia illa ut imbuatur, quæ relucet in et per miracula. Hoc per se satis clare patet. Nihilo tamen minus, et Petrus discipulorum coryphæus, ubi cum vehementi increpatione, Simonem illum superstí-

γ μηδετέροις.

Digitized by Google

tioni deditum, improbissimum, et auri amore captum, a se excussit, manifestissime idem docuit : nimirum apostolorum loco indignum esse et episcopali honore illum qui talis fuerit inventus. Quod idem Servator non verbo tantum, sed et opere docuit : ubi hominem, qui ipsum sequi se velle profiteretur, et sorti se atque privilegio apostolico ingerere, non admisit [48] : nec illud tantum, sed in quibus adhuc ulterius de secretis ipsius cordis palam enuntiandis velut triumphum egit, a discipulatu semovit. Qui enim omnia, priusquam exstabant, intuebatur, videbat illum esse volucrum et vulpium habitaculum, atque ideo ab illo hoc petierat, quod, fraude repletus et vanitate, necnon impudentia singulari, avaritiæ præterea morbo subjaceret, antequam istas e corde excusserat bestias, ausus fuerat semeptisum in discipulorum vocationem subinferre, seque receptaculum idoneum imaginari excellentium illorum et magisterialium charismatum. Quocirca semotum longe a sua illa spe, is, qui alioquin omnes ad se trahebat, et singulos salutem consequi volebat, dimisit. Sed et illud vas electionis, qui cœlestes polos non aliter quam terrestre stadium decurrebat, qui mundum universum cursu prædicationis transibat, et qui in iis quæ pro pietate passus fuit, Domino et doctori suo assimilabatur, in iis quibus Timotheum affatur scriptis consentit : « Manus (inquiens) subito nemini imposueris, nec cum aliorum peccatis communices [49]. » Sunt et alia generis hujusce sexcenta. Atque hactenus de hisce.

Ego te autem, cum videam istiusmodi narrationes in amore tibi, dellciis, atque sub oculis esse positas, ad alterius rei, non alienæ, considerationem non gravabor deducere; utcunque leges epistolicas videam me invitissime eo sequi. Is qui margaritas puras et defæcatas de virtute ratiocinationes, sancta autem, piarum et orthodoxarum rationum honorabilem et venerandum respectum et noverit et vocaverit, haudquaquam aberrabit a veritate; canes alioquin, impias et hæreticas cogitationes : porcos, voluptatibus deditos, male olentes et affectus pravos reputaverit. Quocirca istiusmodi porcis et canibus non oportet margaritas et sancta vel projicere vel proponere, ad contentiones fovendas et litigandum. Multi enim hæc ipsa illis dum proponunt, et dum in rationali suæ animæ parte contentionem excitant, ut in scena introductam, quibus cum propter inclinationem summam ad animi passiones, judicium sincerum nequaquam habeant, improviso semetipsos subruerunt, et lapsu formidoloso præcipitati sunt : devictis quæ meliorum erant partium, a pejoribus; ita ut spectaculum semet potius tragicum, quam spectatores tandem repræsentaverint. Quod si ab invicem pugnantibus cogitationibus, et animi opinionibus processeris ad actiones mutuo allidentes, et ipsorum circa actiones illas dispositiones, progressum eodem incedentem animadvertes. Vita honesta, et cum fide orthodoxa conjuncta, in quæ non secus quam solent margaritæ et res sanctæ radios emittit, non debet hæretica, fœtida, sordida conversatione versari, aut

ἐθριάμβευσεν αὐτοῦ τὰ τῆς καρδίας ἀπόρρητα, τῆς μαθητείας ἀπώσατο· πτηνῶν γὰρ αὐτὸν καὶ ἀλωπέκων, ὁ πάντα καὶ πρὸ γενέσεως εἰδὼς, οἰκητήριον ἐώρα καὶ κατασκήνωσιν, καὶ τοῦτο αὐτὸ αἰτησάμενος [z]· ὅτι δόλου γέμων καὶ κουφότητος καὶ ἀναιδείας, καὶ πάθει προσανέχων φιλοχρηματίας, πρὶν ἢ ταῦτα τὰ θηρία ἀπελάσει τῆς ψυχῆς, ἐτόλμησεν ἑαυτὸν εἰς τὴν τῶν μαθητῶν κλῆσιν εἰσωθεῖν, καὶ τῶν ὑπερφυῶν ἐκείνων καὶ δεσποτικῶν χαρισμάτων δοχεῖον φαντάζεσθαι, ὡς πορρωτάτω τῆς ἐλπίδος, ὁ πάντας ἕλκων πρὸς ἑαυτὸν, καὶ πάντας σωθῆναι θέλων, ἀπεπέμψατο. Καὶ τὸ σκεῦος δὲ τῆς ἐκλογῆς, ὁ τὸν οὐράνιον πόλον ὡς ἐπίγειον στάδιον διατρέχων, καὶ τὴν οἰκουμένην σταδιεύων τῷ τοῦ κηρύγματος δρόμῳ, καὶ τοῖς ὑπὲρ εὐσεβείας παθήμασι τὰ αὐτὰ τῷ διδασκάλῳ καὶ Δεσπότῃ, δι' ὧν Τιμοθέῳ γράφει, συμφθέγγεται· « Χεῖρας γὰρ ταχέως, φησὶ, μηδενὶ ἐπιτίθει· μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις· » καὶ μυρία ἄλλα. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν περὶ τούτων.

Ἐγὼ δέ σοι καὶ πρὸς ἑτέραν θεωρίαν, ἐκ γειτόνων τοῖς εἰρημένοις οὖσαν (ἐπεί σοι τὰ τοιαῦτα ἔρως ἐστὶ καὶ τρυφὴ καὶ θεάματα), οὐκ ὀκνήσαιμι καθηγήσασθαι· εἰ καὶ τῆς ἐπιστολῆς ἠρέμα πως τοὺς νόμους ὁρῶ διευλαβουμένους μοι ἕπεσθαι· ἀλλὰ γὰρ μαργαρίτας μὲν, καὶ τοὺς περὶ ἀρετῆς καθαροὺς λογισμούς· ἅγια δὲ, τῶν εὐσεβῶν καὶ ὀρθοδόξων λογισμῶν τὸ τίμιον καὶ σεπτὸν, οὐκ ἄν τις ἀποσφαλείη τῆς ἀληθείας καὶ εἰδὼς καὶ καλῶν· ὥσπερ κύνας τοὺς δυσσεβεῖς καὶ αἱρετίζοντας λογισμοὺς, καὶ χοίρους πάλιν τοὺς φιληδόνους καὶ δυσώδεις καὶ ἐμπαθεῖς. Οὐ δεῖ τοιγαροῦν τούτοις τοῖς χοίροις οὐδὲ τοῖς κυσὶ τοὺς μαργαρίτας καὶ τὰ ἅγια, εἰς ἔριν καὶ ζυγομαχίαν, ῥίπτειν καὶ προβάλλεσθαι. Πολλοὶ γὰρ ἐκείνοις ταῦτα προθέντες, καὶ τὴν τούτων ἐν τῷ λογιστικῷ τῆς ψυχῆς ἅμιλλαν, ὡς σκηνικὴν θέαν ποιούμενοι, καὶ δὴ καὶ ὑπὸ τῆς περὶ τὰ πάθη προσπαθείας τὴν κρίσιν ἀδέκαστον οὐκ ἔχοντες, ἔλαθον ἑαυτοὺς ἀναστρέψαντες καὶ πεσόντες πτῶμα ἐξαίσιον, ἐκνικηθέντων αὐτοῖς τῶν κρειττόνων τοῖς χείροσι, καὶ θέαν μᾶλλον τραγικὴν ἑαυτοὺς ἢ θεατὰς ἐπιδείξαντες. Εἰ δὲ καὶ ἀπὸ τῶν μαχομένων ἐννοιῶν καὶ ἐνθυμήσεων, ἐπ' αὐτὰς προσέλθοις τὰς ἀντικειμένας πράξεις, καὶ τοὺς κατὰ τὰς πράξεις αὐτὰς διακειμένους, οὐδὲν ἧττον εὑρήσεις τὴν θεωρίαν προβαίνουσαν. Ὁ γὰρ σπουδαῖος βίος καὶ ὀρθόδοξος, μαργαριτῶν καὶ ἁγίων δίκην ἀποστίλβων, οὐκ ὀφείλει ταῖς αἱρετικαῖς καὶ δυσώδεσι καὶ ῥυπώσαις πολιτείαις συνδιαιτᾶσθαι καὶ συναναφύρεσθαι. « Ἐξέλθετε γὰρ, φησὶν, ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, » λέγει Κύριος, « κἀγὼ εἰσδέξομαι ὑμᾶς. » Καὶ, « Τίς κοινωνία

[48] Luc. IX, 58. [49] I Tim. V, 22.

VARIÆ LECTIONES.

[z] αἰτησάμενον.

Digitized by Google

φωτὶ πρὸς σκότος; » καὶ, « Ἐξάρατε τὸν πονηρὸν ἐκ μέσου ὑμῶν· » καὶ, « Τῷ τοιούτῳ μηδὲ συνεσθίειν· » καὶ ἄλλο πλῆθος ἄπειρον. Ἀλλὰ ταῦτα μὲν σὴν πεφιλοτιμήσθω χάριν· οἶδε δὲ καὶ τὸ τῆς ἀναγωγικῆς θεωρίας χωρίον, τῷ πλάτει καὶ τῇ εὑρέσει τῶν θεωρημάτων ἐγκαλλωπίζεσθαι.

A commisceri. « Egredimini (enim) de medio ipsorum, et separemini[86] » (ait Dominus); et, ego suscipiam vos[87]; et, « Quæ communio tenebris cum luce[88]? » Et, Tollite impium de medio vestrum[89]. » Et, « Nolite cum istiusmodi panem comedere[90] : » et similium ingens multitudo. Sed hæc sufficiant quæ tuam gratiam demereantur. Certe familiare est ut anagogices contemplationis campus, dilatus ab istiusmodi inventionibus et speculationibus efflorescat.

ΕΡΩΤΗΣΙΣ ΣΑ'.

Πῶς δεῖ κρίνειν τὰ κατὰ τὸν βίον συμβαίνοντα;

QUÆSTIO CCI [*Coisl.* CCXXX, *Taur.* CCXXI].

Quomodo judicandum de iis quæ in hac vita accidunt?

Edita a Montacutio (ep. 58 ad Leon. p. 112, 113). — De retributione bonorum et malorum.

Ὑπέχουσί τινες τῶν ἀδικημάτων δίκας ἐν τῷ νῦν βίῳ· ἔχεις ἐναργεστάτην ἀπόδειξιν ὅτι ἔστι Πρόνοια ἐφεστῶσα καὶ λογόθετοῦσα καὶ περιέπουσα τὰ ἐνταῦθα. Οὐκ ἔδωκαν πολλοὶ δίκας τῶν ἀδικώτερον πολιτευσαμένων· τοῦτο μείζων ἀπόδειξις, ὅτι πρὸς ἑτέραν τινὰ πικροτέραν καὶ χαλεπωτέραν συνετηρήθησαν κρίσιν. Εὐδαιμόνως ἐβίωσαν πολλοὶ τῶν δικαίων· δέχου πάλιν προοίμια καὶ σύμβολα τῆς ἐκεῖσε μισθαποδοσίας. Ἀλλὰ καὶ πολλοὶ πολλαῖς ἐνήθλησαν ταλαιπωρίαις· τοῦτο καὶ τοὺς λίαν ἐπιστομίζει φιλονείκους, ὅτι πάντως ἄλλος ἡμᾶς ἀναμένει βίος καὶ κριτήριον ἄλλο, ἐν ᾧ τῶν κατ' ἀξίαν ἕκαστος βεβιωμένων ἀπολήψεται τὴν ἀντιμισθίαν.

B Injustitiæ pœnas quidam in hac vita dant. Habes efficacissimam demonstrationem hanc providentiam præsidentem rebus, rationes ineuntem, sedulo curantem quæ hic aguntur. Ast multi pœnas non dedere, qui magis injuriose conversati sunt. Etiam hoc major est demonstratio, nempe reponi illos reservandos judicio acerbiori cuidam et graviori. Prospere vixerunt proborum multi. Hinc arripe iterum præmia et tesseras retributionis illic futuræ. Multi cum multis miseriis colluctati sunt. Et hoc vel obluctantibus imprimis os obturat, et confirmat, aliam nos exspectare vitam, tribunal aliud, ad quod quisque recepturus est mercedem retributam juxta quæ in hac vita gessit.

ΕΡΩΤΗΣΙΣ ΣΒ'.

Πῶς οἱ ἀπόστολοι ἰδιῶται ὄντες ῥητόρων πάντων κατεκράτησαν;

QUÆSTIO CCII [*Coisl.* CCXXXI, *Taur.* CCXXII].

Quomodo apostoli, cum idiotæ essent, rhetores omnes superarunt?

Edita a Montacutio (ep. 61, ad Georg. diac., p. 114).

Εἰ νοῦς μὲν γραμμάτων, νοῦ δὲ ἡ θεία χάρις ἀσυγκρίτῳ μέτρῳ πλεονεκτεῖ, μηδὲν θαυμάζῃς, εἰ οἱ ἀπόστολοι, τὸ πλέον καὶ μέγιστον λαβόντες, τῶν ἐπὶ τῷ ἐλαχίστῳ μέγα φρονησάντων, ῥητόρων, λέγω, καὶ φιλοσόφων, κατὰ κράτος περιεγένοντο.

Si mens ultra litteras, ultra mentem vero divina gratia, cum mensura incomparabili abundet; noli mirari, si quidem apostoli, qui plenissimam et maximam mensuram acceperunt, illos longissime superaverint, qui de minimo magnos sumunt spiritus, rhetoras ego intelligo et philosophos.

ΕΡΩΤΗΣΙΣ ΣΓ'.

Διὰ τί Παῦλος Ἀθηναίοις διαλεγόμενος, ἀπὸ τῶν ἰδίων γραμμάτων αὐτοῖς διαλέγεται;

QUÆSTIO CCIII [*Coisl.* CCXXXII, *Taur.* CCXXIII].

Cur Paulus ad Athenienses verba faciens a propriis eorum inscriptionibus argumenta desumit?

Edita a Montacutio (ep. 62 ad Joan. Philos. p. 114).

Τοὺς μὲν ἄλλους εἰκός ἐστιν ἀπορεῖν, τί δήποτε ὁ θεσπέσιος Παῦλος, ὁ *πνευματικοῖς πνευματικὰ* συγκρίνειν διδάσκων· ὁ καὶ αὐτὴν τὴν Μωσαϊκὴν φιλοσοφίαν, πρὸς τὴν ὑπερέχουσαν τοῦ Χριστοῦ σοφίαν σκύβαλα ἡγούμενος, τί δήποτ' οὖν ὁ τοιαῦτα καὶ λέγων καὶ διδάσκων, ἀπὸ τῶν ἐπιγραμμάτων τοῖς Ἀθηναίοις, ἃ τῷ παρ' αὐτοῖς ἐπεγέγραπτο βωμῷ, διελέγετο· ἀνάξιον γὰρ τῆς ἐν Παύλῳ θείας ἐπιπνοίας, ἐκ μύθων συγκροτεῖν τὴν ἀλήθειαν. Ἀλλὰ τοὺς μὲν ἄλλους τοῦτο διαποροῦντας οὐ λίαν ἴσως ἂν μεμφοίμην· σὲ δὲ ἐκ μυρίων γραφῶν τε καὶ λογισμῶν ἔχων εὐθύνειν, τὸν διάπυρον τῆς διαλεκτικῆς ἐραστήν, μάλιστα ἂν ἐξ ἑνὸς τῶν σῶν δικαιότατα ἂν μεμψοίμην, ὡς κἀκεῖνο ἐπιλελησμένον δήπουθεν τὸ σοφώτατον αὐτῆς καὶ χρησιμώτατον νομοθέτημα· τὸ ποῖον; ἐφ' ὧν ἡ τῶν ἀκροατῶν αἴσθησις, ἐξ οἰκείων καὶ ἀληθῶν ἐπιδεικνυμένην οὐ προσδέχεται τὴν ἀλήθειαν, ἀλλ' ἀποτυφλώττει πρὸς τὴν αἴγλην αὐτῆς, καὶ τὸ

D Verisimile est alios addubitare, quam ob causam divinus Paulus qui *spiritualia spiritualibus* judicare præcepit, qui et Mosaicam illam philosophiam, respectu excellentis Christi sapientiæ, rejectamenta opinabatur, quorsum (inquam) is, qui ista et dixit et docuit, cum apud Athenienses dissereret, ab inscriptione, quæ altari apud ipsos affigebatur, argumentum sumpserit. Indignum enim videri divina illa in Paulo aspiratione, a fabulis veritati assensum quærere. Verumtamen alios, qui de hoc addubitant, non ego multum incusavero. Te autem ardentem dialectices amatorem, cum e plurimis scriptis et rationum momentis dirigere possim, imprimis tamen ab uno ex iis quæ tenes ipse, nec sane infimo reprehendam, qui oblitus ejus fueris, cum et sapientissimum scitum fuerit et utilissimum. Quodnam illud autem? Nimirum cum audientium sensus, veritatem non admittit demonstratam e suis

Digitized by Google

propriis, quæ sunt, et conjunctis cum re ipsa, sed ad ejus splendorem et puritatem intellectus occæcatur, etiam in iis ad quæ non sunt impossibiliter a natura constituti : ex iis quæ haberi possunt, convenit manu apprehensa ducere, et per ea constituere veritatem, et per ipsorum cogitationes, veritatis claritatem subillustrare.

καθαρὸν τοῦ νοήματος, ἐπὶ τούτων ἐξ ὧν πεφύκασιν οὐκ ἀδύνατοι · ἐκ τούτων ὅσα ἐνδέχεται, προσῆκε χειραγωγεῖν καὶ κατασκευάζειν αὐτοῖς τὴν ἀλήθειαν, καὶ ταῖς αὐτῶν διανοίαις ὑπαυγάζειν αὐτῆς τὴν λαμπρότητα.

QUÆSTIO CCIV [*Coisl.* CCXXXIII, *Taur.* CCXXIV].

Cur prophetia obscuris imaginibus obumbrata fuit ?

ΕΡΩΤΗΣΙΣ ΣΔ'.

Διὰ τί ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται ;

Edita a Montacutio (ep. 63 ad Joan. Philos. p. 115). — De obscuritate prophetiæ.

Ad interrogationem illam tuam, quorsum prophetia obscuritatis tropis obvelatur? paucis respondeo : eo quod historia non est prophetia. Historiam certe, si quæ alia virtus, commendat, perspicue omnia enuntiare, nec quidquam afforis cogitatum introducere. Docet enim quæ in medio populi versantur, quæque omnes ex æquo, ignavi et impigri, qui in rerum natura versantur, intelligunt, nec ab eorum intellectu nunc aliqui submoventur. Prophetia autem est, cujus opus quam convenientissime peragitur, indignis revelando quæ sunt obscura, profanis autem impervia præstare eadem, quocirca adumbratas res, et ænigmatice per involucra proponit. Hinc mihi videtur tuæ dubiæ quæstioni satisfactum, nimirum, Si intelligenda non erant, haud fuerant sermone enuntianda : sin addiscenda erant, non oportuit prophetiam obscuram esse, aut æque esse ac si edita non fuisset. Nam ex ante dictis statutum est, conveniens fuisse ut disceretur, et necessarium ut profano aut communi more non enuntiaretur : sed mystis clare ut edatur, occulta autem et minime pervia nondum initiatis conservetur.

Πυθομένῳ σοι, τί δήποτε ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται, διὰ βραχέων ἀμείβομαι · Διότι οὐκ ἔστιν ἱστορία ἡ προφητεία. Ἱστορίας μὲν γάρ, εἴπερ τι ἄλλο, ἀρετὴ, σαφῶς τε εἰπεῖν, καὶ μηδὲν περινενοημένον ἐξεργάσασθαι. Τὰ γὰρ ἐν τῷ μέσῳ γεγενημένα διδάσκει, καὶ ἅπαντες [a] ὁμοίως καὶ σπουδαῖοι καὶ φαῦλοι κατ' ἐκεῖνο καιροὺς [b] ἠπίσταντο, καὶ νῦν εἰδέναι οὐκ ἀπείργονται · προφητεία δὲ, ἧς ἔργον τοῖς ἀξίοις ἀποκαλύπτειν τὰ ἄδηλα, τοῖς δὲ βεβήλοις ἄβατα ποιεῖν, τὸ συνεσκιασμένον καὶ αἰνιγματῶδες, καὶ τὸ διὰ παραπετασμάτων πρεπωδέστατον · ἐξ ὧν, οἶμαι, λελῦσθαί σου καὶ τὸ ἄπορον, ὡς Εἰ μὴ ἔδει μαθεῖν, οὐδ' ὅλως ἐχρῆν εἰπεῖν · εἰ δ' ἐκρίθη μαθεῖν, οὐκ ἀσαφῶς ἔχειν τὴν προφητείαν, καὶ ἐνίσως [c] σχεδὸν, τοῦ μηδὲ εἰρῆσθαι, ἐχρῆν. Διῃτήθη γὰρ ἐκ τῶν εἰρημένων, ὅτι καὶ μαθεῖν προσῆκον ἦν, καὶ ἀναγκαῖον μὴ βεβήλως καὶ κοινῶς εἰπεῖν · ἀλλὰ τοῖς μὲν μύσταις εἰρῆσθαι σαφῆ, ἄδυτα δὲ τοῖς ἀμυήτοις διατηρηθῆναι, καὶ οὐκ ἐφικτά.

QUÆSTIO CCV [*Coisl.* CCXXXIV, *Taur.* CCXXV].

De effiguratione et charactere imaginum sanctarum.

ΕΡΩΤΗΣΙΣ ΣΕ'.

Περὶ διαμορφώσεως καὶ χαρακτῆρος τῶν ἁγίων εἰκόνων.

Edita a Montacutio (ep. 64 ad Theod. hegum. p. 115). — De forma et charactere sanctarum imaginum.

Sciscitantur (inquis) qui inter Iconomachos audaciores sunt et maleferiati, quique curiositatem sapientiam arbitrantur esse, quænam sit germana Christi effigies, utrum illa quam delineant Romani, an quam Indi, an quam Græci, an quam Ægyptii repræsentant, cum inter se similitudine non consentiant. Quamcunque istarum genuinam esse quis dixerit, omnino ille reprobat omnes reliquas. Sed hanc ipsorum objectionem, aut malitiosam potius machinationem (o tu præclara orthodoxiæ imago et repræsentatio), multis modis colapho inflicto repellere possumus, et multiplici refertam cum stultitia tum impietate convincere. Et imprimis ad eos hoc dicendum est : Ex illo ipso unde bellum indicere imaginum confectioni proposuistis, inviti licet, tamen fatemini per universum orbem, ubi Christianismus exsistit, imaginum exsistentiam et cultum

Προτείνουσιν, ἔφης, τῶν Εἰκονομάχων ὅσοι θρασύτεροι καὶ κακόσχολοι, καὶ σοφὸν ἡγοῦνται τὸ περίεργον, ποία τῶν εἰκόνων Χριστοῦ ἀληθὴς, πότερον ἡ παρὰ Ῥωμαίοις, ἢ ἥνπερ Ἰνδοὶ γράφουσιν, ἢ ἡ παρ' Ἕλλησιν, ἢ ἡ παρ' Αἰγυπτίοις, οὐχ ὁμοιαι ἀλλήλαις αὐταὶ, καὶ ὁποίαν ἂν τις αὐτῶν ἀληθῆ φήσειε, δηλονότι παραγράφεται τὰς λοιπάς · ἀλλὰ ταύτην αὐτῶν τὴν ἀπορίαν, μᾶλλον δὲ τὴν κακομηχανίαν (ὦ καλὸν ὀρθοδοξίας ἄγαλμα σὺ) πολλαχῶς ἔστιν ἐπιῤῥαπίσαι, καὶ πολλῆς γέμουσαν παρανοίας καὶ δυσσεβείας ἀπελέγξαι. Καὶ πρῶτον ἔστιν εἰπεῖν πρὸς αὐτοὺς, ὅτι Τέως, ἐξ ὧν ἔγνωτε τῇ εἰκονουργίᾳ μάχεσθαι, καὶ ἄκοντες αὐτῆς πανταχοῦ τῆς οἰκουμένης, ἔνθα τὸ Χριστιανῶν γένος τὴν ὕπαρξιν καὶ προσκύνησιν ἐμαρτυρήσατε · ὥστε ὃ καθαιρεῖν ἐπιχειροῦσι, μᾶλλον συνιστῶσι, καὶ τοῖς οἰκείοις λόγοις ἁλίσκονται. Δεύτερον ὅτι λελήθασιν ἑαυτοὺς, δι' ὧν

VARIÆ LECTIONES.

[a] ἃ πάντες Hœsch. [b] τοῦ καιροῦ Hœsch. [c] *Isc.* ἐν ἴσως Hœsch.

Digitized by Google

ταῦτα λέγουσιν, εἰς τὴν τῶν Ἑλλήνων τάξιν ἑαυτοὺς ἐντάττοντες· ἐπ' ἴσης γάρ ἐστι τὰ εἰρημένα περὶ τῶν σεπτῶν εἰκόνων εἰπεῖν καὶ περὶ τῶν ἄλλων μυστηρίων ἡμῶν. Ποίους γὰρ λόγους Εὐαγγελίου θεοπνεύστους, εἴποιεν ἄν, ἢ ὅλως Εὐαγγέλιον ποῖον ὀνομάζετε; ἄλλοις γὰρ σχήμασι καὶ τύποις γραμμάτων τὸ Ῥωμαϊκὸν, ἄλλοις δὲ τὸ Ἰνδῶν, καὶ ἑτέροις τὸ Ἑβραϊκὸν, καὶ ἄλλοις τὸ Αἰθιόπων ἀπαρτίζονται. Καὶ οὐ μόνον τύποις γραμμάτων, καὶ σχήμασιν ἀνομοίοις γράφονται, ἀλλὰ καὶ ἀπηχήσει καὶ σημασίᾳ φωνῆς ἑτεροειδεῖ τε καὶ ἀλλοτριωτάτῃ προφέρονται· οὐκ οὖν φαῖεν ἄν, Μᾶλλον δὲ διά τί μὴ λέγοιτε ὡς οὐδενὶ προσήκει πείθεσθαι ἢ προσέρχεσθαι Εὐαγγελίῳ, ὅτι ἀνομοίοις καὶ σχημάτων τύποις καὶ φωνῶν ἀπηχήσεσί τε καὶ σημασίαις ἀπαγγέλλονται; Τῶν ὑμετέρων γὰρ ἐνθυμημάτων καὶ τοῦτο τὸ τόλμημα· οὐδὲ γὰρ οὐδ' Ἕλλην τις ἡμῖν ῥᾴδιον τὰ τοιαῦτα προτείνειεν. Πολλὰ γὰρ καὶ παρ' αὐτοῖς τῶν σεβασμίων παραπλήσια. Καὶ ὥσπερ ἐστὶν αὐτοῖς φύσις κοινὴ πρὸς ἡμᾶς, καὶ νοῦς, καὶ λόγος, καὶ ψυχῆς πρὸς σῶμα σύγκρασις ὁμοίτροπος καὶ μυρία ἄλλα· οὕτω καὶ περὶ τὴν τοῦ Θείου ὑπόνοιαν, κἂν τοῖς πλείστοις καὶ κυριωτάτοις διίστανται· ἀλλ' οὖν ἔστιν ὅμως οἷς διὰ τὴν ἐνάργειαν τῶν κοινῶν ἐννοιῶν, οὐδ' αὐτοὶ τολμῶσι διαμάχεσθαι. Οὐκοῦν οὐδ' Ἕλλην ἀμφισβητήσειεν ἡμῖν περὶ τούτου, ἀλλά τις ἄλλος ὅλως ἄθεος καὶ ἀθρήσκευτος, μήτε θείου ἔννοιαν, μήτε λατρείαν ὅλως παραδεξάμενος. Τρίτον δὲ, καὶ τοῦ δευτέρου σύστοιχον, ποῖον σταυρὸν προσερήσεσθε πάντως τοῦ πρωτοτύπου νομιοῦμεν ὅμοιον, ὃς μετὰ τοῦ τίτλου σχηματίζεται, ἢ ὃς ἄνευ ἐκείνου διατυποῦται καὶ διαγράφεται; Ὧν γὰρ ἂν ἡ ὁμοιότης ἡμῖν ὁμολογηθείη, ἐκ τούτου (κατὰ τὸν ὑμέτερον σοφὸν συλλογισμὸν) ἡ τῶν λοιπῶν ποίησις καὶ προσκύνησις (ἀλλ' ὑμῖν γε τοῖς τοιαῦτα περὶ τηλικούτων τολμῶσιν) ἀπαρνηθήσεται· ἢ καὶ ἤδη ἐξήρνηται. Τέταρτον, τὴν διαφορὰν ἡμῖν καὶ ἀνομοιότητα τὴν ἐν ταῖς μυστικαῖς θυσίαις, καὶ ταῖς ἄλλαις ἱερουργίαις, εἰς διαβολὴν ἁπάσης καὶ ἀνατροπὴν τῆς ἡμῶν ἀχράντου τελετῆς καὶ λατρείας προκομιεῖσθε· ἐξ ὧν γὰρ κατὰ τῆς Χριστοῦ εἰκόνος πονηρὰν μελέτην ταῖς ὑμῶν διανοίαις ἐμελετήσατε, πᾶσαν τὴν τῶν Χριστιανῶν ἱερὰν τελετὴν, καὶ τὰ θεῖα μυστήρια ἐκ βάθρων αὐτῶν ἠλέγχθητε κατασείοντες. Πέμπτον ῥητέον ὃ καὶ λίαν αὐτῶν στηλιτεύει τὸ δυσσεβὲς καὶ μισόχριστον· Τί γὰρ ἐπὶ τῆς εἰκόνος ἵστασθε, καὶ τοὺς τοιούτους φληνάφους ἀνελίσσετε, δέον πρὸς αὐτὸν τὸν εἰκονιζόμενον, ὃ κρύπτουσι τέως, ἀποδύσασθαι; Ἵνα τί γὰρ ὃ ταῖς διανοίαις ὑμῶν ὠδίνετε, τὸν ἄσπονδον κατὰ Χριστοῦ πόλεμον, τοῦτον μὴ καὶ τοῖς χείλεσι καὶ γυμνῷ τῷ προσώπῳ, ἀλλ' ὑπὸ προσωπείῳ τῇ εἰκόνι, ἐπιδείκνυσθε; Λεγέτωσαν γὰρ, ὡς ἐπειδὴ Ἕλληνες μὲν αὐτοῖς ὅμοιον ἐπὶ γῆς φανῆναι τὸν Χριστὸν νομίζουσι· Ῥωμαῖοι δὲ μᾶλλον ἑαυτοῖς ἐοικότα· Ἰνδοὶ δὲ πάλιν μορφῇ τῇ αὐτῶν, καὶ Αἰθίοπες δῆλον ὡς ἑαυτοῖς· ἐπεὶ ταῦτα, τίς ἐστιν ὁ ἀληθὴς Χριστὸς, ὁ παρὰ τίσι νομιζόμενος, οὐκ ἄρα δεῖ ὁμολογεῖν οὐδὲ πιστεύειν σαρκὶ ἐπιδημῆσαι τὸν Χριστόν; ὄντως γὰρ αὐτοῖς τοῖς ἀθλίοις οὐδ' ἐπεδήμη-

A haberi. Ita in eo quod tollere voluerunt, magis confirmant imagines, et propriis irretiti tenentur ratiociniis. Secundo, dicendum quod dum ista proferunt, inviti se in ordinem paganorum inscribunt. Ex æquo enim licet ea quæ contra venerandas imagines afferuntur, et contra reliqua nostra mysteria urgere. Nam, quæso, quas illi partes Evangelii divinitus inspiratas dicturi sunt? aut potius quodnam Evangelium nomine suscipient? Certe diversis formis et figuris litterarum, Latinum Evangelium, aliis Indorum, discrepantibus Hebraicum, et adhuc aliis Æthiopicum exaratur. Neque tantum litterarum diversimodis figuris et delineationibus describuntur ista, sed insuper sonis et significationibus vocis valde discrepantibus, et a se dissentien

B tibus enuntiantur. Quocirca non absurde dixero: Cur non affirmatis, quod nullum admittere Evangelium, aut illi obtemperare oporteat, eo quod dissimillimis figurarum formis, sonorum vocibus et significationibus publicantur? Certe vestris ratiocinationibus congruit hoc facinus. Omnino nobis paganus quispiam facile talia objiceret. Sunt enim apud eos multæ hujusmodi venerationis species. Et quemadmodum illi naturam nobiscum communem habent, mentem, rationem eamdem, animæ ad corpus syncrasin æqualem, et sexcenta alia: ita quantum attinet ad rationes de Deo, in plurimis et præcipuis dissentiunt: est tamen ubi, propter communium principiorum manifestam operationem,

C non audent a nobis dissentire. Quocirca nec paganus nobiscum de istis contestaretur, sed ille tantum qui plane atheus, sine ullo religionis cultu: qui neque Numinis venerationem, ne quidem cogitationem ullam admittet. Tertia objectio secundæ similis est: Ecqualem crucem statuetis prototypo omnino similem, an illam quæ cum titulo effigiatur, aut potius quæ sine illo delineatur et efformatur? Cujus enim cunque similitudinem confitemini, per illam (qui vester est præclare contextus syllogismus) aliarum fabrefactio et veneratio, per vos, qui hæc talia audetis affirmare, omnino negabitur, aut potius jam negatur. Quarto loco differentiam illam et dissimilitudinem quas in mysticis videmus sacrificiis et aliis quibuslibet sanctis officiis, in repre-

D hensionem et subversionem totius immaculatæ oblationis nostræ et latriæ prætendetis: nam unde adversus Christi imaginem, impiam in animum vestrum cogitationem subintulistis, universam Christianorum et sacratam liturgiam, sed et divina quæcunque mysteria, fundamento tenus concutere convincemini. Quintam adjiciemus, quæ valde ipsorum impietatem, et in Christum odium propalat. Nam quorsum consistitis in imagine, et istiusmodi nugas deblateratis? oportet ut in aciem procedatis contra eum qui imagine repræsentatur, qui tamen adhuc latetis. Quorsum, quod tacitis cogitationibus bella contra Christum meditamini, illud non labiis, et nudata facie, sed tantum personati, per imaginem indicitis? Dicant enim, quandoquidem Græci

Digitized by Google

asseverant, Christum in terris sibi similem comparuisse, Romani autem sibi potius, Indi figura sua, Æthiopes sua : cum hæc ita dicantur, non constat quis pro vero Christo, a quibus habeatur ; idcirco non oportet confiteri, non credere, quod Christus in carne versatus sit ? Certe apud infaustos istos non est omnino versatus. In quo enim improbi contra imaginem exstiterunt, in hoc ipso prius contra imaginatum insolentius opinati deprehenduntur. Nam a discrepantia opinionum concludunt; tollendum prorsus eum qui opinionibus subjacet. Vides quis illorum scopus fuerit, et quorsum spectet ipsorum contra imaginem machinamentum. Sed ulterius ad ea quæ dicta sunt, adjiciendum illud quidem, non illis (sunt enim indigni), sed fidelibus et Christum amantibus. Dissimilitudo quæ cernitur inter imagines, non evacuat prorsus imaginis naturam aut veritatem. Non enim tantum per corporis figuram et habitum coloribus exprimitur imaginatum, sed quadam sui dispositione, congruenti aliqua actione, passionum emphasi, et in locis sanctis dedicatione, inscriptionum expositione, et aliis quibusdam insignioribus symbolis, quæ vel non omnino, aut saltem non e majori parte, a fidelium imaginibus adessent, in memoriam et honorem imaginati (qui finis est imagines fabrefaciendi) deducemur. Atque hæc succincte, et in epistolari forma. Exactior autem operatio, cum bono Deo, in proprium subjectum deducetur.

A σεν. Ὁ γὰρ κατὰ τῆς εἰκόνος ἐπονηρεύσαντο, τοῦτο πολὺ πρότερον κατὰ τοῦ εἰκονιζομένου πεφώραται φρυαξάμενοι, ἀπὸ τῆς τῶν νομισάντων διαφορᾶς, ἀναίρεσιν παντελῆ τοῦ νομισθέντος ψηφισάμενοι. Ὁρᾷς οἷος αὐτῶν ὁ σκοπὸς, καὶ εἰς οἷον αὐτοῖς τὸ κατὰ τῆς εἰκόνος ἀπέβλεπε τέχνασμα. Ἀλλ' ἐπὶ τοῖς εἰρημένοις, ἐκεῖνο ῥητέον, οὐκ ἐκείνοις (ἀνάξιοι γάρ), ἀλλά γε τοῖς πιστοῖς καὶ φιλοχρίστοις, ὅτιπερ οὐ πάντως λυμαίνεται τῶν εἰκονισμάτων τὸ ἀνόμοιον τὴν τῆς εἰκόνος φύσιν καὶ τὴν ἀλήθειαν. Οὐ γὰρ μόνῳ σχήματι σώματος καὶ μορφῇ εἰκονίζεται χρώματι τὸ εἰκονιζόμενον, ἀλλὰ καὶ ποιᾷ διαθέσει, καὶ παρεπομένῃ πράξει, καὶ παθῶν ἐμφάσει, καὶ τόπων ἱερῶν ἀναθέσει, καὶ ἐπιγραμμάτων ἑρμηνείᾳ, καὶ συμβόλοις ἐξαιρέτοις ἄλλοις, ὧν μηδὲν B παρεῖναι, ἢ μὴ τὰ πλείονα ταῖς παρὰ τῶν πιστῶν εἰκόσιν παντελῶς ἀδύνατον. Δι' ὧν, οὐδὲν ἔλαττον, ἢ καὶ πάντα προσῆν, εἰς ἔννοιαν καὶ τιμὴν τοῦ εἰκονισθέντος, ὅπερ ἐστὶ τῆς εἰκονουργίας σκοπὸς, ἀναγόμεθα. Ἀλλὰ ταῦτα μὲν κατ' ἐπιδρομὴν, καὶ ὡς ἐν ἐπιστολῆς τύπῳ. Ἡ δὲ τῆς ἐργασίας ἀκρίβεια, Θεοῦ διδοῦντος, εἰς τὴν οἰκείαν ὑπόθεσιν ἀναχθήσεται.

QUÆSTIO CCVI [*Coisl.* CCXXXV, *Taur.* CCXXVI].

Cur umbra et somnium et fumus et vanitas appellatur vita humana ?

ΕΡΩΤΗΣΙΣ ΣϚ'.

Διὰ τί σκιὰ, καὶ ὄναρ καὶ καπνὸς καὶ ματαιότης ὁ ἀνθρώπινος βίος ὀνομάζεται ;

Edita a Montacutio (ep. 72 ad Serg. p. 121, 122). — De vitæ humanæ variis in sacris Litteris nominibus.

Non rhetorum more contra contemptibilitatem nostram declamant sacræ Litteræ, quæ umbram, et somnum, et fumum, et vanitatem, et similibus titulis vitam humanam insigniverunt. Quo enim loco habiturus es puerilem ætatulam ? Ecquid ea magis vanum, inane, et insensatum ? imo et juventutem ipsam, quæ flos quidam naturæ videtur esse, sed multis abundat tempestatibus ; sed levitates multæ, vanitates et inconstantia in eadem sunt : sed ocius quovis insomnio præterfluit, nihil præterea aliud largita vel subministrans, quam quod tumultus fluctuum, et exæstuationes passionum contra animum concitando, primum incœptum ad virtutis cursum institutum fluctibus submerserit. De medio ætatis tenore quid aliud dicendum, quam quod a fumi volatu parum dissidet ? huc enim illuc exsiliendo cursitat, plane autem nusquam consistit. Particeps enim quodammodo est levissimæ et inordinatæ illius motionis, quæ juvenili ætati convenit, nec enim perfecte expedivit hominem ab filis tenebris et tumultibus. Cum vero senectuti vicina fuerit, cineribus exinde ejectis, occulte et sensim sine sensu subimpletur ; unde defloreseendi defluendique principium sortitur : videtur quidem remotior esse a malo et detrimento, quod ab extremis utrinque infertur : et

C Οὐ καταρητορεύουσα τῆς ἡμετέρας εὐτελείας ἡ θεία Γραφὴ, σκιὰν, καὶ ὄναρ, καὶ καπνὸν, καὶ ματαιότητα, καὶ τοιαῦτα ἄλλα τὸν ἀνθρώπινον βίον ὠνόμασε (τί γὰρ ἂν εἴποις τὴν ἐν παισὶν ἡλικίαν ; καὶ τί τούτου ματαιότερον ἢ ἀναισθητότερον ;), ἀλλὰ τὴν νεότητα· ὃ καὶ ἄνθος δόξειεν ἂν εἶναι τῆς φύσεως, ἀλλὰ γέμει ζάλης · ἀλλὰ πολὺ τὸ κοῦφον ἐν αὐτῇ καὶ ὑπόκενον καὶ εὐρίπιστον · ἀλλὰ παντὸς ὀνείρου θᾶττον παρέρχεται, οὐδὲν ἄλλο χαρισαμένη καὶ προξενήσασα, πλὴν ὅτι πολὺν σάλον καὶ κλύδωνα παθῶν τῇ ψυχῇ ἐπικυμήνασα, αὐτὴν τὴν πρώτην ὁρμὴν τῆς ἐπ' ἀρετὴν κινήσεως, ἔστιν οἷς ἐποίησεν ὑποβρύχιον. Τί δὲ τὸ τῆς ἡλικίας μεθόριον ; ἀλλὰ καὶ τοῦτο καπνοῦ φορᾷ οὐδὲν διενήνοχεν, ὧδε κακεῖσε διᾶττον, καὶ καθαρῶς σύδαμοῦ καθιστάμενον. Τῆς τε D γὰρ κατὰ τὴν νεότητα κούφης καὶ ἀτάκτου μετέχει πως ἔτι κινήσεως, οὔπω τελείως τῆς ἐκεῖθεν ἀχλύος καὶ ταραχῆς ἀπαλλάξαν τὸν ἄνθρωπον · καὶ τῷ πρὸς τὸ γῆρας γειτονήματι τῆς ἐξ αὐτοῦ αἰθάλης, ἠρέμα πως καὶ ἀνεπαισθήτως ὑποπιμπλάμενον, καταῤῥεῖν ἀρχὴν παρέχει καὶ ὑπομαραίνεσθαι · καὶ δοκεῖ μὲν τῆς ἀφ' ἑκατέρου τῶν ἄκρων βλάβης τε καὶ κακίας ἀφεστάναι · οὐδὲν δὲ ἧττον τῆς ἐν ἀμφοῖν θεωρουμένης μοχθηρίας μετέχον, εἰς καπνὸν, ὡς ἀληθῶς, καὶ εἰς ὄναρ [d] διαλύεται· αὐτὸ δὲ τὸ γῆρας

VARIÆ LECTIONES.

[d] τὸ γῆρας.

Digitized by Google

τί; κἂν οὐδὲν ἡμεῖς ἐροῦμεν, αὐτὸ πᾶσιν αὑτοῦ τὰ πάθη, καὶ τὸ βάρος, καὶ τὴν χαλεπότητα διακέκραγε· καὶ ὅτι καὶ κονιορτοῦ καὶ καπνοῦ καὶ σκιᾶς καὶ ὀνείρου, καὶ πάντων ἐστὶν εὐτελέστερόν τε καὶ ἀμυδρότερον. Πῶς οὖν ἔστι φυγεῖν τὰ κακά; Κατὰ παῖδα μὲν, ἀγωγῆς τυχόντα χρηστῆς καὶ σωφρόνων παιδαγωγῶν· ὅπερ οὐδ' ἐν ἡμῖν ἐστιν, ἀλλ' ἐν ταῖς τῶν τεκόντων ἢ τῶν ἐπιτρόπων φροντίσιν· ἐν νεότητι δὲ, καθ' ἣν ἄρχεται καὶ τὸ ἡμέτερον, διὰ σφοδροτάτου χαλινοῦ καὶ ἀκριβεστάτης παιδεύσεώς τε καὶ γυμνασίας καὶ συνασκήσεως· κατὰ δὲ τὴν μέσην ἡλικίαν, διά τε τοῦ προκαταρτισθέντος καὶ προεντυπωθέντος τῇ ψυχῇ ἔθους· ὃ καὶ μεγίστην ἔχει πρὸς τὰ ἐξῆς κατορθώματα τὴν ἰσχὺν, καὶ διὰ τῆς ὁμοίας σπουδῆς καὶ ἐπιμελείας τῆς κατ' ἀρετὴν τελειώσεως. Τῷ δ' οὕτω λοιπὸν οἰκονομήσαντι καὶ διακυβερνήσαντι τὸν βίον, λιμὴν ἀπαντήσει τὸ γῆρας, καὶ πόνων ἀνάπαυσις, τῆς κατὰ ψυχὴν ἡδονῆς, καὶ θείας εὐφροσύνης τὰς ἀπὸ τοῦ σώματος λύπας παρωθουμένης τε καὶ ἀποκρυπτούσης, καὶ μακάριον, ὡς ἀληθῶς, ἀποφαινούσης τὸν ἄνθρωπον. Σὺ δέ μοι, τέκνον, μὴ μόνον ἃ γράφω προθύμως ἀναγίνωσκε, ἀλλὰ καὶ διὰ τῶν ἔργων προθυμότερον ἐπιγίνωσκε.

A tamen miseriæ quam utrinque licet deprehendere, particeps fit, donec in senectutem, fumum et insomnium merum dissolvatur. Nam quid (quæso) ipsa senectus censenda? Utcunque nos hic tacuerimus, ipsa per se singulis suas passiones, grave onus, difficultates proclamabit; esse ipsam nimirum pulvere, fumo, umbra, somno, omnibus rebus magis despicabilem et obscuriorem. Quomodo possimus igitur mala devitare? Omnino, si per ætatem puerilem recta utamur institutione, prudentes nacti informatores. Non est hoc in nostra situm potestate, sed spectat ad parentes vel tutores id curare. Per adolescentiam vero, cum nostræ partes agi cœperint, per adductiora frena, exactissimam institutionem, exercitium et ascesin co-
B euntem: sub ætate matura, per compositos et comparatos prius, et menti præinsculptos mores: unde summa et præcipua potestas accrescit ad recte consequentia conformanda, ut nimirum per consimile studium et diligentiam adhibitam, virtus tandem consummetur. Ei porro, qui ad hunc modum vitam suam composuerit et direxerit, offeretur tandem pro portu senectus, laborum requies, gaudii (quod secundum Deum est) repositorium, quo a corpore dolores amandantur, occultantur, et plane beatus homo tandem renuntiatur. Tu autem, fili, fac, non tantum ut lubentius perlegas quæ a me scribuntur; sed multo studiosius eadem per operationes ipsas recognosce.

ΕΡΩΤΗΣΙΣ ΣΖ'.

Περὶ τοῦ· « Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου. »

QUÆSTIO CCVII [*Coisl.* CCXXXVI, *Taur.* CCXXVII].

De loco illo, « Pone manum tuam super femur meum. »

Edita a Montacutio (ep. 74 ad Eulamp. p. 122, 123). — Explanatio verborum Gen. XXIV, 2.

« Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, » φησὶν ὁ
C πατριάρχης Ἀβραάμ· δύο ταῦτα παραδηλῶν τῷ νυμφαγωγῷ προστάττει θεράποντι· ἓν μὲν καὶ πρόχειρον, τὸν ὅρκον εἰς τὸ τῆς περιτομῆς σεβάσμιον εἰσπραττόμενος· δεύτερον δὲ καὶ νοούμενον, εἰς τὸν ἐξ αὐτοῦ τεχθησόμενον Χριστὸν καὶ Θεὸν ἡμῶν· δεσμεύων αὐτὸν, καὶ εὐορκεῖν ἐπὶ πλέον ἀσφαλιζόμενος, ἅμα δὲ καὶ προθυμότερον αὐτὸν ἐργαζόμενος, ἅτε δὴ ἔφορον καὶ μάρτυρα τῶν ἐπὶ νυμφαγωγίᾳ ὅρκων, οὐκ ἄλλον αὐτῷ ἐφιστάμενος, ἀλλ' ἐκεῖνον, ὃς καὶ προϋπέσχετο, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, τὸ ἐν Ἰσαὰκ αὐτοῦ σπέρμα πληθυνθήσεσθαι· καὶ δυνατός ἐστι πέρας ἐπιθεῖναι ταῖς ὑποσχέσεσι, καὶ ἀμεταμελήτους οἷδε τὰς δωρεὰς καὶ τὰς χάριτας· μονονουχὶ καὶ ἐννοούμενος καὶ λέγων, Ὦ παῖ τοῦ ἐμοῦ γνησίου
D νυμφαγωγὲ παιδὸς, προθυμηθῆναι δέοι μόνον τῇ ὑπηρεσίᾳ, προαίρεσιν σπουδαίαν εἰσενεγκεῖν, τὰ δ' ἄλλα ῥᾷστον ἀνύσει ὁ καὶ τῆς ὁρκωμοσίας ἐπόπτης καὶ μάρτυς, καὶ τὰς τῆς πολυπαιδίας ὑποσχέσεις δωρησάμενος. Καὶ ὅρα ὡς φιλοθέως λίαν καὶ εἰκότως τὸν ἐπὶ παιδογονίᾳ τοῦ Υἱοῦ μεσίτην ἐσόμενον, τῆς σφραγῖδος ἁπτόμενον, ἣν τῆς ἐν πίστει πολυγονίας σημεῖον ἔλαβεν, ὀμνύειν προσέταττεν· ἵνα εἴπῃς, Ὁ δούς μοι τὴν περιτομὴν, αὐτὸς ἔδωκε τὸ μὲν Χαναναῖον γένος, μεθ' ὧν ἐγὼ παροικῶ, ἐπάρατον, ἐν εὐλογίαις δὲ τὸ ἡμέτερον. Ἰδοὺ τοίνυν τῆς θείας ἁψαμένου σφραγῖδος, τὸν νομοθέτην ταύτης ὀμνύναι κελεύω, μὴ ἂν ἄλλως ποιεῖν, ἢ ὡς ἐκείνῳ τῷ τῆς πολυ-

« Pone manum tuam sub femore meo, » inquit Abrahamus patriarcha: duo ista subindicans ministro nymphagogo, in mandatis dat: prius est, et in promptu, quod jusjurandum in honore circumcisionis inducit; secundum est et subintellectum, id quod ad eum refertur qui ex se nasciturus erat, Christum Deum nostrum; vinculis eum constringens, et recte jurando confirmans illum, ac ipsum reddens promptiorem ad exsequenda mandata, inspectorem et testem, conciliandæ uxoris in negotio, jurisjurandi eum, inquam, præponendo, et non alium, qui prius promiserat futurum, ut semen ipsius de Isaaco multiplicaretur quemadmodum cœli sidera: quibus promissis consummationem inducere poterat qui dona sua atque gratias sine pœnitentia elargitur, tantum non cogitatione complexus et effatus ista: O famule nymphagoge genuini mei filii, opus tantum tibi est ut prompto sis animo et propositum sedulum in exsequendo præstes ministerio, cætera levi brachio perficietis, qui jusjurandi curator et testis adhibetur, qui de multiplicanda prole stipulatus est. Videsis autem mihi quanto cum amore Dei, et quam juste mediatorem futurum multiplicandæ in filio prolis per contactum sigilli, quod indicium fidelitatis in fide polygoniæ acceperat, jurare jussit, quasi diceret: Qui dedit mihi circumcisionem, Chananæorum gentem inter quos inquilinus versor, exsecratam habet,

Digitized by Google

nostram vero benedictam. Vide igitur, ut te divini sigilli contactu legislatorem ejus adjurare jubeo, te non aliter facturum quam ut ipsi prolis multiplicatæ largitori gratum et acceptum fuerit, hoc est, ut de cognatione puellam meo filio nupturam concilies. In hoc autem ipso id præstare videtur mihi, quod is, qui eodem modo pietatem in Deum colit, sub gratia vivens, curaret diligenter, nempe in medium producens divini et salutaris baptismi insignia, et symbola, hoc est, stolam albam, et quæ cætera spectant ad illud donum, ac deinceps his contactis juberet eum qui profiteretur se facturum quod mandaverit conceptis verbis jurare. Habes ita, opinor, per epistolam præscriptam quam secundum rectam rationem, quam justam consequentiam et pietatem in Deum fidelis Abraham, hæc meditatus et operatus fuerat : ergo cogitatio omnis vilis, projecta, et adversa veritati excludatur.

A τεκνίας δοτῆρι, χαριούμεθα, ἐξ ὁμογενοῦς νυμφαγωγῆσαι κόρην τῷ παιδί. Τοιοῦτόν τί μοι πράττειν δοκῶν, ὁποῖόν τι τῶν ὁμοίων, εὐσεβὴς ἀνὴρ, καὶ τῶν ἐν τῇ χάριτι, διαπραχθῆναι ποιούμενος σπούδασμα, αὐτά που προθέμενος τὰ τοῦ θείου καὶ σωτηρίου βαπτίσματος σύμβολα, τήν τε λευκὴν φημι στολὴν, καὶ τὰ λοιπὰ τοῦ ὕδρου παράσημα, εἶτα τούτων ἁπτόμενον, εἰς αὐτὰ τὸν ὅρκον ὑπέχειν ἀπαιτοίη τὸν ὑπεσχημένον ὑπηρετήσασθαι τῷ βουλήματι. Ἔχεις τοιγαροῦν, κατ' ἐπιστολὴν, ἐκ τῶν εἰρημένων, οἶμαι, τό τε εὔλογον καὶ ἀκόλουθον καὶ θεοφιλὲς τῆς τοῦ πιστοῦ Ἀβραὰμ διανοίας καὶ πράξεως · δι' ὧν λογισμὸς ἅπας χυδαῖος καὶ πεπατημένος καὶ ἀντικείμενος ἀπελαύνεται.

QUÆSTIO CCVIII [*Coisl.* CCXXXVII, *Taur.* CCXXVIII].

ΕΡΩΤΗΣΙΣ ΣΙΗ'.

Edita a Montacutio (ep. 75 ad Euschem. p. 124). — In Marc. VIII, 15, 17, 18.

Quid est quod tantopere miraris discipulorum de panibus obdurationem, ut dicas, An non viderant? an non ipsorum oculi et manus ministrabant miraculo? quorsum illis non credunt? quomodo non intelligebant? quomodo obliti sunt? Certe potest, licet non tantopere, addubitari, sed potius rite huic dubitationi occurrendum. Quæ gerebantur videbant propriis oculis et manibus contrectabant, nec diffidebant, nec contra pugnabant; rem gestam intuebantur, et visam obstupebant, nam non quomodo insipientes, obluctantes, impudentes in omnibus Judæi et ipsi animati erant, verum non ad perfectionis gradum ascenderant, sed illum quomodo e sanctis olim prophetis quidam ubi et quando divina gratia afflaverit, non tanquam Deum arbitrabantur magistrum suum cum omni potestate et dominio divina signa patrare : quocirca, cum unicum tantum secum panem attulerant, ubi eum audissent dicentem : « Caverent a fermento Pharisæorum, » cum nequirent, quod diximus, capere, quod ex seipso semper pro summa potestate poterat omnia quæ voluit facere, in disquisitionem illam devenere unde alerentur. Hoc incusato Dominus non injuria duritiem illis imputat, quod nondum divinæ naturæ congruam et humanum modulum transgressam de ipso opinionem tuerentur.

B Τί θαυμάζεις λίαν τὴν ἐπὶ τοῖς ἄρτοις τῶν μαθητῶν πώρωσιν, καὶ λέγεις, Ἆρα γὰρ οὐχ ἑώρων; ἆρα γὰρ τοῖς οἰκείοις ὀφθαλμοῖς καὶ ταῖς χερσὶν ὑπηρετουμέναις ἠπίστουν τῷ θαύματι; πῶς οὐ συνῆσαν; πῶς ἐπελάθοντο; Ἔστι μὲν γὰρ, εἰ καὶ μὴ ἐπὶ τοσοῦτον, ἀπορεῖν · ἀλλ' ἔστι πλέον ὀρθῶς καὶ ἐννοῆσαι καὶ ἐπιλύσασθαι, ὅτι καὶ τὰ πραττόμενα ἔβλεπον, καὶ οὔτε τοῖς ὄμμασιν, οὔτε ταῖς οἰκείαις χερσὶ διημφισβήτουν καὶ ἀπεμάχοντο · ἀλλὰ ταῦτα μὲν καὶ ἑώρων, καὶ ᾔδεισαν, καὶ ἐθαύμαζον. Οὔτε γὰρ ἀνοήτοις, οὔτε τυφλοῖς, οὔτε τοῖς πρὸς ἅπαντα μαχομένοις καὶ ἀναισχυντοῦσιν Ἰουδαίοις παραπλησίως διέκειντο. Ἀλλ' οὔπω πρὸς τὸ τέλειον ἀναβεβηκότες, καθ' ἕνα τινὰ τῶν πάλαι ἁγίων καὶ προφητῶν, καὶ ὁπότ' ἂν ἡ ἄνωθεν χάρις ἐπινεύσῃ, ἀλλ' οὐχ ὡς Θεὸν, καὶ κατὰ πᾶσαν ἐξουσίαν καὶ κυριότητα, τὸν διδάσκαλον αὐτῶν ἐπιτελεῖν τὰς θεοσημείας, ἐνόμιζον · δι' ὃ καὶ πλὴν ἑνὸς μὴ συνεπιφέροντες ἑαυτοῖς ἄρτους, ἐπείπερ ἤκουσαν παρ' αὐτοῦ, προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, οὐκ ἔχοντες, ὅπερ ἔφημεν, ὡς ἐξ αὐτοῦ, καὶ ἀεὶ, καὶ αὐθεντίας κράτει δυνατόν; ἐστιν ἃ βούλεται πράττειν, εἰς διαλογισμοὺς τοῦ πῶς ἂν διατραφεῖεν ἀπηνέχθησαν · καὶ τοῦτο αἰτιασάμενος ὁ Δεσπότης, ὅτι μή πω θεοπρεπῆ καὶ τῶν ἀνθρωπίνων ὑπερανέχουσαν μέτρων, τὴν περὶ αὐτοῦ δόξαν ἐκτήσαντο, εἰκότως αὐτοῖς τὴν πώρωσιν ἐπεκάλεσεν.

QUÆSTIO CCIX [*Coisl.* CCXXXVIII, *Taur.* CCXXIX].

ΕΡΩΤΗΣΙΣ ΣΘ'.

Eidem dubitanti, « At ipsi non intellexerunt. »

Τῷ αὐτῷ ἀποροῦντι · « Καὶ αὐτοὶ οὐ συνίεσαν. »

Edita a Montacutio (ep. 76 ad Euschem. p. 125). — In Luc. XVIII, 34.

Iterum dubitas, et interrogas, Unde fiebat, quod cum Dominus plane et perspicue discipulis enarret contumelias quas ab hominibus passurus erat, plagas, crucem, mortem, ipsi tamen non intellexerunt? Ita enim inquit : « At ipsi non intelligebant, et erat hoc verbum ab ipsis occultatum, nec quæ dicebantur percipiebant. » Tu autem illud mihi cogitato, quod Servator ut redderet acutiores discipulos, πολλῷ

D Ἀπορεῖς πάλιν καὶ διερωτᾷς, πῶς τοῦ Δεσπότου τρανῶς καὶ σαφῶς τοῖς μαθηταῖς προαγγέλλοντος, τὰς ἐξ ἀνθρώπων ὕβρεις, καὶ τὰς πληγὰς, καὶ τὸν σταυρὸν, καὶ τὸν θάνατον, αὐτοὶ οὐ συνῆσαν · καὶ γάρ φησι, « Καὶ αὐτοὶ οὐ συνῆκαν · καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα. » Ἀλλ' ἐκεῖνό μοι ἐννόει, ὅτι καὶ τοὺς μαθητὰς ὁ Σωτὴρ ὀξυτέρους ποιῶν, πολλῷ

Digitized by Google

κις αὐτοῖς ἐν παραβολαῖς ἐλάλει. Καὶ ὅτι καὶ τὸ πρᾶγμα ἦν ἄλλως παράδοξον, νεκροὺς ἐγείρειν, καὶ βασιλείαν ἀΐδιον ἐπαγγέλλειν, καὶ θάνατον ἴδιον προαγγέλλειν. Οὐ μόνον δὲ, ἀλλ' ὅτι καὶ τὸ πρὸς τὸν διδάσκαλον τοῖς μαθηταῖς φίλτρον, τῷ χρόνῳ ἤδη ἐῤῥώννυτο καὶ ἐνήκμαζε καὶ δεινὸν παθεῖν οὐδὲν αὐτὸν ἤθελον. Ὃ δέ τις οὐ βούλεται, μόλις καὶ παρὸν ἐφεστηκέναι συντίθεται. Διὰ ταῦτα πάντα, παραβολήν τινα, καὶ οὐ τῶν δυσχερῶν ἐκείνων προαγόρευσιν, τὰ περὶ τοῦ πάθους ἐνόμιζον οἱ ἀπόστολοι, καὶ διὰ τοῦτο συνιέναι, κἂν ἄλλως σαφῆ καὶ φανερὰ ἦν, οὐκ ἠδύναντο, μᾶλλον δὲ οὐκ ἐβούλοντο, τὰ λεγόμενα. Εἰ δὲ καὶ τὸ τῆς ἐγέρσεως αὐτοῖς προσεπινοεῖν ἐθελήσεις, πρᾶγμα μεῖζον μὲν πίστεως, καὶ καθ' ἑαυτὸ διασκοπούμενον, ἔγερσις αὐτουργουμένη τῷ τελευτήσαντι· μάλιστα δὲ μετὰ τῶν ἄλλων σκυθρωπῶν καὶ ἐκ διαμέτρου μαχομένων συμπαρατιθέμενον καὶ προαγγελλόμενον, οὐκέτι διότι μὴ συνῆεσαν, ὅλως ἀπορήσεις.

pulos, frequentius ipsos in parabolis alloquebatur, tum quod paradoxum erat, mortuos resuscitare, et regnum cœlorum polliceri, et propriam ipsius mortem prædicare. Nec ista tantum, sed cum etiam apud discipulos amor erga magistrum suum progressu temporis roboraretur, et floreret, ut nihil illum grave perpeti vellent. Quod vero quis nolit, vix etiam cum incumbit instanter adfuturum apprehendere potest. Ideo parabolam quamdam, et non prædenuntiationem malorum quorumdam intolerandorum, quæ passionem ipsius tangebant, rebantur apostoli. Quocirca illa intelligere non poterant, licet aliis aperta essent et perspicua, aut potius illa intelligere nolebant. Quod si his adjungere volueris resuscitationis negotium, rem fide majorem, per seipsam consideratam, resurrectionem ab ipsomet defuncto procuratam, agnosces; magis autem si comparatum cum aliis quibusdam tristibus, et e diametro pugnantibus præannuntietur, nequaquam diffiteberis eos ignorasse.

ΕΡΩΤΗΣΙΣ ΣΙ'.

QUÆSTIO CCX [*Coisl.* CCXXXIX, *Taur* CCXXX].

Edita a Montacutio (ep. 77, ad Ignatium, p. 125, 126). — In verba Matth. III, 9; Luc. III, 8 (82*).

Τὸ, « Δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, » οἱ μὲν πρὸ ἡμῶν τοὺς ἐξ ἐθνῶν πεπιστευκότας ἐξειλήφασιν, οἳ καὶ, κατὰ λίθους καὶ πέτρας, πεπωρωμένην καὶ ἀναίσθητον τὴν καρδίαν ἔχοντες (τί γὰρ τοῦ, λίθοις καὶ ξύλοις προσκυνεῖν, εἰς πώρωσιν καὶ ἀναισθησίαν ἀτοπώτερον;), ὅμως, ἐκεῖθεν διαῤῥαγέντες, εἰς σπέρμα τῷ Ἀβραὰμ διὰ τῆς πίστεως ἐξανίστανται. Εἰ δὲ καὶ τῆς λέξεως εἰπεῖν καὶ τῆς ἱστορίας ἐγγύτερον οὐκ ἀδόκιμον, οὐδ' ἐκεῖνο παροπτέον, ὅτι τὸ ἄῤῥητον καὶ ὑπερφυὲς καὶ παντουργὸν καὶ παντοδύναμον τῆς θείας βουλήσεως, ὁ Βαπτιστὴς παραστῆσαι βουλόμενος, ταῦτα ἐφθέγξατο· ἐκεῖνο ὑποδηλῶν, ὅτι ὥσπερ καταρχὰς, βουληθεὶς ὁ Θεὸς, ἐκ πηλοῦ τὸν ἄνθρωπον διεπλάσατο, οὕτω καὶ νῦν ἐκ τῶν συγγενῶν λίθων καὶ ὁμοστοίχων τῷ πηλῷ, ῥᾷον, εἰ βούλοιτο μεταπλάσας, εἰς σπέρμα καὶ τέκνα τῷ Ἀβραὰμ, ἀναστήσειε. Σὺ δέ μοι καὶ τρίτον ἐννόει, τῶν εἰρημένων, ἵνα μὴ λέγω ἐγγύτερον, οὐδ' ἑτέρου τέως μακρότερον· ὡς ἐξ ἐκείνων τῶν λίθων, οὓς ὁ Πρόδρομος ὑποδεικνὺς ἔλεγε, « Δύναται ὁ Θεὸς ἐκ τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, » ἐπ' αὐτοῖς ἔργοις ἔστι θεάσασθαι, καὶ τέκνα τῷ Ἀβραὰμ ἀνιστάμενα, καὶ περατουμένην τὴν πρόῤῥησιν. Ὅτε γὰρ τὸ τοῦ κόσμου σωτήριον ἐτελεῖτο πάθος, τότε τῶν λίθων ἐκείνων καὶ πετρῶν, μετὰ τῶν ἄλλων, σχιζομένων, πολλοὶ καὶ τῶν ἐθνικῶν καὶ τῶν Ἰουδαίων, μέσας αὐτάς που τὰς πεπωρωμένας καρδίας διαῤῥαγέντες τῷ θαύματι, εἰς τὴν τοῦ Χριστοῦ πίστιν ἐθεμελιώθησαν, καὶ τῶν τέκνων τοῦ Ἀβραὰμ, τῷ τε γένει καὶ τοῖς κλήροις ἐναπεγράφησαν. Προῆκταί σοι τοίνυν, ὡς ὁρᾷς, κατά τε θεωρίαν καὶ ἱστορίαν, ἡ ἑρμηνεία· διπλῆν δὲ τὴν ἱστορίαν, τὴν μὲν προγεγενημένην τὴν

Illud, « Potest Deus vel e lapidibus istis liberos Abrahamo suscitare, » sunt ex antiquis aliqui qui retulerunt ad credentes e gentibus, qui saxorum et petrarum more corda habebant obdurata. Quid enim magis absurdum, quam obfirmate et sine pudore, lapides et ligna adorare? Et tamen ab hac consuetudine abstracti per fidem, in semen Abrahæ consurgunt homines: sin autem non est improbandum aliud, quod cum verbis et historica veritate propius est conjunctum, edicere, non est insuper habendum quod divinam, inenarrabilem, supernaturalem, omnia operantem, et omnia potentem voluntatem, Baptista cum vellet insinuare, ita prolocutus est. Illud nimirum subindicans, quod quemadmodum ab initio sola sua voluntate, e luto hominem efformavit, ita et nunc etiam e congeneribus saxis et his coæquandis facile, modo voluerit, in semen et liberos Abrahamo suscitabit. Tu autem considerabis et tertiam expositionem ne dicam propriorem iis quæ ante dictæ sunt, certe tamen nulla altera remotiorem; quod e lapidibus illis quos Præcursor digito monstrabat dicens, « Potis est Deus vel ex istis lapidibus suscitare liberos Abrahamo, » opere videre licet adimpletum, liberos Abrahamo suscitatos et prædictionem fine adimpletam. Cum enim passio illa mundo salutifera compleretur, tum saxis illis et petris, una cum aliis diruptis, multi et e gentibus et Judæis, habentes corda sua prius obdurata, per medium divulsa illo miraculo, in Christi fidem quasi in fundamentum locabantur, et filiis Abrahæ, cum genere tum sorte annumerabantur. Ita vides quousque tibi producta est interpretatio, et quoad contemplationem, et quoad historiam;

NOTÆ.

(82*) Ejusdem argumenti quæstionem supra n. XXXI dedit Photius.

Digitized by Google

historiam porro geminam, antecedentem unam, subsequentem alteram, et in utraque divinæ voluntatis conditoriam potestatem et potentiam illimitatam in oculos incurrentem.

δὲ ἐπιγεγονυῖαν, καὶ δι' ἑκατέρας, τὸ δημιουργὸν καὶ ἀπειροδύναμον τῆς θείας βουλήσεως, θεωρούμενον.

QUÆSTIO CCXI [*Coisl.* CCXL, *Taur.* CCXXXI].

Ad interrogantem, quomodo non mentitus deprehenditur divinus Apostolus, qui se cum Judæum, tum et Romanum dicebat; et aliquando dixerit se Tarsi natum, aliquando autem Romæ (83).

ΕΡΩΤΗΣΙΣ ΣΙΑ'.

Πρὸς τὸν ἐπερωτήσαντα, πῶς δυνατὸν μὴ ἁλῶναι ψεύδει τὸν θεῖον Ἀπόστολον Ἰουδαῖον ἑαυτὸν καὶ Ῥωμαῖον ἀποφηνάμενον· καὶ ποτὲ μὲν Ταρσεὺς ἔχειν πατρίδα, ποτὲ δὲ ἐν τῇ Ῥώμῃ γεγενῆσθαι;

Edita a Montacutio (ep. 102, p. 143-148).

Veritatis ille discipulus Paulus mentitus non est, nec cum se Judæum diceret, nec cum Romanum: impossibile enim fuit, ipsum cum esset veritatis præco, mendacio inniti, imprimis tum cum tribunali sisteretur, et per Judæos in judicium vocaretur, pœnas soluturus fraudis et nequitiæ, quas ille omnimodo deturbabat. Quomodo ille auderet mendacium adhibere, aut sycophantiam confirmare Judæorum quam in ipsum concinnaverant? Annon continuo convictionem reformidaret, aut secuturam deinceps? non prævideret, cum revelata esset persona, nullam sibi acquireret utilitatem, sed reus haberetur duplici supplicio dignus? nempe, ob ea quæ Judæi criminabantur, et ea quæ mentitus fuerat. Quomodo et Lysias qui cum in magistratu erat, et facile poterat veritatem expiscari, cessasset a verberibus, si non affirmanti credidisset? In credulitatem quomodo per captivum et pauperem induceretur, si non ipsa eum adigeret eo veritas? Quomodo et Felici scribens, Paulum Romanis accensendum pronuntiaret? « Intellecto enim, inquit, quod Romanus erat, adfui cum militibus, et liberavi eum [48]; » sed fraus erat facta decepto Lysiæ, qua, quæso arte? quomodo subinducta? Felix autem cur non imposturam detexerit, præsertim cum contra leges Judæis gratificabatur? An in quibus gratia fiebat contra leges, et a ratione aliena, sedulus incubuit; cum vero gratificari iisdem secundum rectam rationem poterat, ignavus et remissior videbatur, ita quod operam dederit, ut nec principium gratiæ justum et rectum voluerit auspicari? Ecquam hæc habent persuasionem aut consequentiam? Sed et qui tum aderant contra eum cædem spirantes, et Judæos omni modo concitantes, hoc est Judæi, si per mendacium conatus fuisset Paulus tormenta avertere, quomodo non vocem sustulissent, clamore theatrum replevissent: Intuemini vos quantopere mentiatur; impostor est, deceptor est, non est Romanus, rationem invenit qua vos deciperet, et plagas declinaret; at vos, propterea quod ausus fuerit ita prodigiose vobiscum agere, nostras probationes admittite eorum de quibus accusamus, communem hominum societatem, a communi peste ista liberate.

Οὔτε Ἰουδαῖον, οὔτε Ῥωμαῖον ἑαυτὸν εἰπών, ὁ τῆς ἀληθείας μαθητὴς Παῦλος ἐψεύσατο. Οὐδὲ γὰρ οἷόν τε ἦν, αὐτὸν ἀληθείας ὄντα κήρυκα, ἐπερείδεσθαι τῷ ψεύδει· μάλιστά γε κριτηρίῳ παριστάμενον, καὶ δίκας ἀπάτης καὶ κακουργίας, ὧν ἦν καθαιρέτης, ὑπὸ Ἰουδαίων εἰσπραττόμενον. Πῶς γὰρ ἂν καὶ ἐθάρρησε ψεύδει χρήσασθαι, καὶ τὴν κατ' αὐτοῦ συκοφαντίαν, οἷς ἐξηπάτα, πιστώσασθαι; ἆρα γὰρ οὐχὶ τὸν παραυτίκα ἐδεδοίκει ἔλεγχον; οὐ τὸν μετὰ ταῦτα; Οὐ συνεώρα δὲ, ὅτι ἐκκαλυπτομένου τοῦ δράματος, πρὸς τῷ μηδὲν ἀποκερδᾶναι, καὶ διπλῆς ἑαυτὸν τιμωρίας ἕνοχον παραστήσειεν, ὧν τε τὸ Ἰουδαῖον ἔθνος ἐπεκάλει, καὶ ὧν αὐτὸς ἑαυτοῦ κατεψεύδετο; Πῶς δὲ καὶ ὁ Λυσίας, ἀρχῆς ἐφεστὼς, καὶ τἀληθὲς ἐξευρεῖν ῥᾴδιον ἔχων, ἀπέστη τοῦ τύπτειν, εἰ μὴ ἐπέπειστο; πῶς δ' ἂν ἐπέπειστο ὑπὸ δεσμίου καὶ πένητος, εἰ μὴ τὰ τῆς ἀληθείας αὐτὸν ἐδιάζετο; πῶς δὲ καὶ Φήλικι γράφων εἰς Ῥωμαίους τελεῖν τὸν Παῦλον ἀπισχυρίζετο; « Μαθὼν γὰρ, φησὶν, ὅτι Ῥωμαῖός ἐστιν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην αὐτόν. » Ἀλλ' ἐκλάπη καὶ παρεσύρη Λυσίας· τίνι τέχνῃ; καὶ πῶς ὑπαχθείς; ὁ Φῆλιξ δὲ πῶς οὐκ ἐφώρασε τὸ κακούργημα, καίτοι καὶ χάριτας τοῖς Ἰουδαίοις ἐκθέσμους κατατιθείς; Ἀλλ' ἐν οἷς μὲν ἄνομος ἡ χάρις, καὶ λόγον οὐκ ἔχουσα, θερμὸς ὑπηρέτης· ἐν οἷς δὲ μετὰ τοῦ ὀρθοῦ λόγου χαρίσασθαι ἦν, τούτοις δὲ ἄρα ῥᾴθυμος καὶ ἀναπεπτωκὼς, καὶ οὐδ' εἰς ἀρχὴν τοῦ βουληθῆναι δικαίαν καταθέσθαι χάριν διανιστάμενος· καὶ τίνα ἂν ἔχοι ταῦτα πειθὼ καὶ ἀκολουθίαν; Εἶτα αὐτοὶ δὲ παρόντες οἱ φονῶντες κατ' αὐτοῦ καὶ πάντα λίθον κινοῦντες, τοὺς Ἰουδαίους λέγω, εἰ διὰ ψεύδους ὁ Παῦλος τὰς βασάνους ἐτεχνάζετο διακρούσασθαι, πῶς οὐκ ἐῤῥήξαν φωνὴν πληροῦσαν τὸ θέατρον, Ὁρᾶτε, ἄνδρες, ἡλίκον οἷον ἐψεύσατο· ἀπαιταιὼν ἐστι καὶ γόης [e], οὐκ ἔστι Ῥωμαῖος, εὗρεν ὅπως καὶ ὑμᾶς ἀποπλανήσας τὴν τῶν μαστίγων πεῖραν διαδράσειεν· ἀλλ' ὑμεῖς ἐξ ὧν ἐτόλμησε καὶ πρὸς ἡμᾶς [f] τερατεύσασθαι, καὶ ὧν ἡμεῖς κατηγοροῦμεν, λαβόντες τὰς πίστεις, κοινοῦ λυμεῶνος τὴν κοινὴν τῶν ἀνθρώπων πολιτείαν ἀπαλλάξατε; Ἀλλ' οὐδὲν τούτων, οὐ μὲν οὖν οὐκ εἰπεῖν εἶχον, οὔτε ἐτόλμησαν· οὐ τότε, οὐ μετὰ ταῦτα· καίτοι καὶ δικαστηρίου πάλιν αὐτοῖς κροτηθέντος,

[48] Act. XXIII, 27.

VARIÆ LECTIONES.

[e] γρ. ἀπατεὼν οὗτός ἐστι, γόης ἐστί. [f] ὑμᾶς.

NOTÆ.

(83) Cf. cum hac quæstione q. CXVI.

Digitized by Google

καὶ τοῦ φίλου Φήλικος εἰς κρίσιν προκαθεζομένου· ἀλλ' οὕτως ἦν ἐναργὴς καὶ ταῖς ἁπάντων δόξαις κρατοῦσα ἡ Παύλου ἀλήθεια, ὡς καὶ τῶν ἀναισχύντων Ἰουδαίων, καὶ πάντα λέγειν εἰς τὸ [e] πράττειν ἀποτολμώντων, ἐμφράξαι τὰ στόματα· οὕτω μὲν οὖν πολλαχόθεν ψευδολογίας πάσης ἀνώτερος, Ῥωμαῖον ἑαυτὸν εἰπὼν ὁ θεσπέσιος ἀποδείκνυται Παῦλος. Ἀλλ' εἰ Ῥωμαῖος ἦν, φησὶ, πῶς αὐτὸς ἐν ἄλλοις τε καὶ ἐν τῇ αὐτῇ δημηγορίᾳ, Ἰουδαῖός τε εἶναι, καὶ Τάρσους ἔχειν πατρίδα, διισχυρίσατο λέγων. Ἐγὼ μέν εἰμι Ἰουδαῖος, Ταρσεὺς [h] τῆς Κιλικίας, οὐκ ἀσήμου πόλεως, πολίτης; Πῶς οὖν ἔστιν ἀμφότερα συνδραμεῖν, καὶ Ῥωμαῖον καὶ Ἰουδαῖον τὸν αὐτὸν χρηματίσαι; Πρὸς ὃ φαμεν, ὅτι ἄτοπον οὐδέν· γένει μὲν γὰρ, καὶ τῇ κατ' αὐτὸν Μωσαϊκὸν νόμον ἀγωγῇ, Ἰουδαῖος ἐχρημάτιζε, πατρίδα Τάρσους ἔχων, ἐν ᾗ τὰς μητρικὰς αὐτὸς ἔλυσεν ὠδῖνας· τῷ δὲ [i] τὸν αὐτοῦ πατέρα Ῥωμαϊκῇ φιλοτιμίᾳ, ἢ καὶ χρήμασι, Ῥωμαῖον ἐγγραφῆναι, Ῥωμαῖος καὶ αὐτὸς ἐκαλεῖτό τε καὶ ἐτύγχανεν.

Δι' ὃ [j], καὶ τοῦ Λυσίου πρὸς αὐτὸν εἰπόντος, Ἐγὼ δὲ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην, αὐτὸς ἐπήγαγεν, Ἐγὼ δὲ καὶ γεγέννημαι· οὐκ ἐν τῇ Ῥώμῃ δηλονότι· οὐδὲ γὰρ οὐδ' ὁ Λυσίας ἐν ταύτῃ γεννηθῆναι ἐμεγαληγόρει καὶ διετείνετο, ἀλλ' ἐν ταύτῃ τῇ Ῥωμαϊκῇ κλήσει καὶ τῇ πολιτείᾳ, ἐν ᾗ κἀκεῖνος τελεῖν ἀπεσεμνύνετο. Πρὸς ὃν καὶ ὁ θεῖος Παῦλος ἀπωτεινόμενος ἔλεγε μονονουχὶ φάσκων, καὶ καθαιρῶν αὐτοῦ τὸ φρόνημα, ὅτι Σὺ μὲν πρόσφατον καὶ ἀπὸ σοῦ προϊέναι ἀπαγγέλλεις τὸ ἀξίωμα, ἐμοὶ δὲ ἄνωθεν ἐρριζωμένον καὶ ἐκ πατρὸς καταγόμενον τῆς δόξης ταύτης καὶ τῆς προσηγορίας ἐκληρώθη τὸ προνόμιον. Διά τοι τοῦτο κἀκεῖνος ἀκούσας καὶ βεβαιωθεὶς, ὅτι Ῥωμαῖον ὄντα τύπτειν ἐπεχείρει, εἰς δειλίαν καὶ φόβον τὸ θράσος καὶ τὴν ὀργὴν διαλύων, συνεστέλλετο. Τιμῆς γὰρ ἀπήλαυον κατ' ἐκεῖνο καιροῦ, οὐχ ὅσοι μόνον ἰθαγενεῖς τῆς Ῥώμης ἐτύγχανον, ἀλλὰ καὶ ὅσοις αὐτὴ ἡ κλῆσις νόμῳ χαρίτων ἢ χρημάτων, ἐπολιτεύετο· οὐδὲν οὖν ὀύσκολον καὶ τὸν θεῖον Παῦλον Ἰουδαῖον ὄντα, καὶ Ῥωμαῖον χρηματίσαι. Καὶ γὰρ καὶ κατ' ἄνδρα, ὥσπερ ὁ Λυσίας, καὶ πόλεις ὁλόκληροι, τὴν Ῥωμαίων κλῆσιν, ἀλλογενεῖς οὖσαι, εἰς ἑαυτὰς ἐφειλκύσαντο. Καὶ ἵνα νῦν τὰ ἄλλα παρῶ, ἄκουσον Φιλιππησίους ὅπως ἑαυτοὺς Ῥωμαίους ἀποσεμνύνουσιν. Ἡνίκα γὰρ Παῦλος τὸ Πυθῶνος πνεῦμα τῆς παιδίσκης ἀπήλασε, καὶ πρὸς ὀργὴν, αὐτῆς οἱ κύριοι, δέον εὐχαριστεῖν, ἀνεφλέχθησαν, καὶ τοὺς εὐεργέτας εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας εἵλκυον, οὕτω φασίν· Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες. Εἶτα καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν. Ὁρᾷς ὅπως οἱ Φιλιππήσιοι Ῥωμαῖοί τε ἐχρημάτιζον, καὶ Ῥω-

A At nihil ejusmodi vel dicere poterant, aut audebant accusare, non in præsenti, non deinceps, nec tum cum tribunalia paterent iis demum, et Felix amicus pro tribunali sederet, tam aperte manifestum erat Paulum protulisse veritatem, et apud omnes adeo illa obtinebat opinio, ut Judæorum ora obturarentur, licet essent impudentes, et ad quodvis audendum projecti: atque ita Paulus ille divinus, dum se profitetur Romanum, longissime a mendacio abfuisse monstratur. At si Romanus erat, dicetur, Quomodo cum alibi, tum in ipsa illamet concione Judæum se pronuntiat, et patriam sibi Tarsum profitetur? ait enim: Ego quidem sum Judæus, Tarsi, quæ urbs est nec ignobilis, Ciliciæ civis. Qua ratione concurrere hæc utraque possunt, ut cum Romanus tum B Judæus habeatur? Dicimus hic nil subesse absurdi; ortu quidem generis, et legis Mosaicæ secundum institutionem, Judæus fuit; Tarsum habebat patriam, ubi mater partus doloribus relevata eum peperit; patrem civibus Romanis ascriptum, vel Romanorum indulgentia vel nummi numerati edidere; hinc Romanus ipse dicebatur, et erat.

Quocirca cum ad eum Lysias diceret, Magna ego pecunia civilitatem hanc emi, respondit: Ego autem et natus sum; non autem Romæ se natum vult; non enim se Lysias ibidem natum gloriabatur, aut contendebat, sed in hac Romana appellatione, et civili ejus statu, in qua et ipse se consistere præ se ferebat. Cui divinus Paulus directo sermone ait, tantum non ejus spiritus deprimens: Tu C quidem mihi novitiam narras nobilitatem, et a temetipso exortam, at mihi cedit hæc prærogativa, a majoribus fundata, et per paternam gloriam nominata ad me derivata. Hoc ille audito, et persuasus quod Romanus erat, propterea quod verberibus cecidisset, in timorem et pusillanimitatem conversa iracundia, coarctabatur; nam per illa tempora deferebatur honor non solum Romanis indigenis, sed et iis quibus illa appellatio vel per gratiam, vel per pecuniam e lege cederet; nihil ergo obstat, divinum Paulum, cum Judæus esset, Romanum nominari: nam et viritim multi, ut Lysias, et integræ confertim civitates cum extraneæ essent, titulum Romanorum civium in se D derivarunt. Ut cætera prætermittam, audi Philippenses, ut se cives Romanos gloriantur: cum enim Paulus [86] spiritum Pythonicum e puella expulisset illiusque dominus qui gratias debebat, ob eam rem ira inflammatus benefactores in forum ad magistratum adductos, tribunali sisteret: Isti, inquit, homines, cum sint Judæi, civitatem nostram turbant; annuntiant enim nova nobis instituta quæ admittere non licet, cum Romani simus. Audis, ut Philippenses Romani dicebantur, et ipsi se Romanos nominant; Philippenses a patria dice-

[86] Act. XVIII, 27.

VARIÆ LECTIONES.

[e] καί. [h] Τάρσου. [i] τὸν δέ. [j] ὅθεν.

Digitized by Google

bantur, Romani per decretum. Quid impedit ergo, potius unde non clare constat, beatum Paulum qui Judæus erat, et Romanum fuisse? Liquet enim non fuisse imposturam aut mendacii prætextum, quod Paulus Romani titulum sibi vindicarit. Si nonnullis se Judæum profiteretur, aliis se vocaret Romanum, fictio illa de deceptione aliquam speciem præ se ferret : quod si apud eosdem utrumque se esse contendat, certe valde stultum foret existimare, quod mendacium meditatus, illud imprimis proponeret, et ante alia fateretur, unde quam expeditissime ficta proferre convinceretur. Magis pertinebat, ad hominem jure confidentem secundum rei naturam, et veritatem dicere, quæ omni calumnia, suspicione, falsitate efficacior est, et illustrior, apud ipsos præsertim in pleno consessu Judæos, se Judæum declarare, et quod Tarsensis patria, et ita demum quod Romanus erat : eoque potius quod non semel, nec occulte se Romanum profiteretur, sed bis terve tribunum terrefaciens, qui omnino in furorem conversus fuisset, si falsitatem post accuratam quæstionem, ad quam incitabatur per illam affirmationem, reperisset. Facile idcirco ediscere poterimus e multis præostensis, beatum Paulum Romanum exstitisse; imprimis ab insidente ipsi veritate, cujus præco agnoscebatur, tum quod cum sistitur tribunali, seipsum Romanum proclamat. Tertio quod cum de impostura et fallaciis postularetur, non nisi ridicule et impudenter mentiri poterat : et quod non, ut fit, fortuito illam vocem emittebat, aut joculari quadam simulatione usus, quod quis suspicari possit, sed ut se eximeret a tormentis, et præfectum terrefaceret. Porro quod Lysiam in suas partes pertraxit, ut a contumelia inferenda abstineret; et quod Lysias ad Felicem scripsit, se Paulum Romanum civem a Judæorum sanguineo furore eximisse. Et certe Felix licet voluerit Judæis gratificari, de tali suspicione ne cogitabat quidem : imprimis refelli non potest illud, quod gens Judæorum tum præsens, et contra eum cædem spirans, et nil non ausura, non audebant illi dicam istiusmodi mendacii inscribere. Accedit quod apud eosdem utrumque professus fuerit, nempe quod Judæus et quod Romanus erat; quod nemo libere profiteri vellet, nisi qui veritati summopere confideret; nec simpliciter tantum, sed quod cum asseveratione immanendo illum titulum præ se ferret. Si adhuc placet, et illud, quod viritim et urbatim, Romanum titulum, qui non eamdem patriam sortiebantur per psephismata consequebantur. Atque ita manifestum, et sine dubio constare arbitror, quod Paulus, si quis alius in re aliqua, in utroque verum dixit, qui se cum Judæum prodidit tum Romanum. At quid, inquient, nonne Christianus fuit? Omnino fuit. Quid igitur, non per hoc nomen se nominavit? Scilicet, in præ-

μαίους ἑαυτοὺς ἐξονομάζουσι· τὸ μὲν ἔχοντες ἐκ πατρίδος, τὸ δὲ, ἀπὸ ψηφισμάτων. Τί οὖν ἐμποδών; μᾶλλον δὲ, πῶς οὐ γεγένηται φανερὸν, καὶ τὸν μακάριον Παῦλον Ἰουδαῖον ὄντα, καὶ Ῥωμαῖον εἶναι; Δῆλον δὲ κἀντεῦθεν, ὡς οὐκ ἀπάτης ἦν ἡ ψεύδους πρόσχημα τῷ Παύλῳ, τῆς Ῥωμαϊκῆς κλήσεως ἡ οἰκείωσις. Εἰ γὰρ πρὸς ἄλλους μὲν Ἰουδαῖον ἑαυτὸν ἐκάλει, Ῥωμαῖον δὲ πρὸς ἑτέρους, εἶχεν ἂν ἡ τῆς ἀπάτης σκηνή τινα λόγον. Εἰ δὲ πρὸς τοὺς αὐτοὺς; ἀμφότερα διετείνετο, πῶς οὐ λίαν εὔηθες ὑπονοεῖν, ὅτι ψεῦδος εἰπεῖν μελετήσας, ἐκεῖνο προὔθηκε καὶ προδιωμολογήσατο, δι' οὗ μᾶλλον ἄν τις πεπλασμένα λέγων ἐξελέγχοιτο; Θαῤῥοῦντος γὰρ μᾶλλον ἦν ὡς ἀληθῶς τῇ τῶν πραγμάτων φύσει, καὶ τὴν ἀλήθειαν ἔχοντος, διαβολῆς ἀπάσης καὶ ὑπονοίας καὶ ψεύδους ἐναργεστέραν τε καὶ λαμπροτέραν, τὸ πρὸς τοὺς αὐτοὺς, καὶ ἐν ὁλοκλήρῳ δήμῳ, Ἰουδαῖον ἑαυτὸν ἀνειπόντα, καὶ τὴν πατρίδα ὅτι Ταρσεὺς, Ῥωμαῖον ἐφεξῆς ἀποφήνασθαι· καὶ μάλιστά γε, ὅτι οὐχ ἅπαξ οὐδὲ ὥσπερ λανθάνων, τὸ, *Ῥωμαῖος*, ἐπήνεγκεν· ἀλλὰ καὶ δὶς, καὶ εἰς τρίτον, καὶ τὸν χιλίαρχον δεδιττόμενος· ὃ μάλιστα καὶ εἰς ὀργὴν ἐκκαίει καὶ πρὸς ἀκριβεστέραν, καὶ τούς γε μὴ βουλομένους, ἀνακινεῖ καὶ διανίστησιν ἔρευναν. Ἔστι τοίνυν τὸν θεσπέσιον Παῦλον, διὰ πλειόνων ὡς ἐδείχθη, Ῥωμαῖον εἶναι καταμαθεῖν· πρῶτον μὲν ἀπὸ τῆς προσούσης αὐτῷ ἀληθείας· καὶ ὅτι κήρυξ αὐτῆς ἐγνωρίζετο. Δεύτερον, ὅτι καὶ κριτηρίῳ παρεστηκώς; ἑαυτὸν Ῥωμαῖον ἀνεκήρυττε. Καὶ τρίτον, ὅτι εἰς ἀπάτην καὶ κακουργίαν συκοφαντούμενος, ἐν ᾧ οὐδὲ τὸν λίαν εὐήθη καὶ ἀναιδῆ ἐνῆν διαψεύσασθαι. Καὶ ὅτι οὐχ ἁπλῶς ἀφῆκε ταύτην τὴν φωνὴν καὶ θρυπτόμενος, ὅπερ ἄν τις ἴσως καὶ ὑπερῴοιτο, ἀλλὰ βασάνων ἑαυτὸν ἐξαιρούμενος καὶ τὸν ἄρχοντα δεδιττόμενος. Ἔτι δὲ καὶ ἐξ αὐτοῦ τοῦ πεπεῖσθαι Λυσίαν καὶ ἀποσχέσθαι τῆς ὕβρεως, καὶ ἐκ τοῦ πρὸς Φήλικα δὲ διατείνασθαι, ὅτι Ῥωμαῖον ὄντα τὸν Παῦλον, τῆς Ἰουδαϊκῆς μιαιφονίας ἐξείλατο. Οὐ μὴν ἀλλὰ καὶ ἐξ ὧν Φήλικι μηδ' εἰς ἐξέτασιν ἐλθεῖν τοιαύτης ὑπονοίας ἐξεγένετο, καίτοι χαρίζεσθαι Ἰουδαίοις προαιρουμένῳ καὶ σπεύδοντι· καὶ τὸ σφόδρα ἀναντίῤῥητον, ὅτι οὐδὲ τῶν Ἰουδαίων ὁ δῆμος παρὼν καὶ φωνῶν [k], καὶ πάντα τολμῶν, οὐδ' ἐκεῖνος ἐτόλμησεν ἐπὶ τούτῳ ψευδολογίας αὐτὸν γράψασθαι. Πρὸς δέ γε τούτοις ὅτι καὶ πρὸς αὐτοὺς ἅμφω ἔφη, ὡς Ἰουδαῖός τε καὶ Ῥωμαῖος εἴη· ὅπερ οὐκ ἄν τις μὴ λίαν πεποιθὼς τῇ ἀληθείᾳ, παῤῥησιάσοιτο· καὶ ὅτι διατεινόμενος καὶ ἐπιμένων τὴν προσηγορίαν προὐβάλλετο· εἰ βούλει δὲ, ὅτι καὶ κατ' ἄνδρα καὶ κατὰ πόλεις τὴν Ῥωμαίων κλῆσιν, οὐ ταύτην λαχόντες πατρίδα, πολλοὶ ψηφίσμασιν ἐκληρώσαντο. Ἐξ ὧν οἶμαι φανερὸν καὶ ἀναμφισβήτητον καθεστάναι, ὡς ἐν ἀμφοῖν ὁ Παῦλος, εἴπερ τις ἄλλος, ἠλήθευε, Ῥωμαῖον ἑαυτὸν καὶ Ἰουδαῖον ἀποφαινόμενος. Τί οὖν, φησὶν, οὐκ ἦν Χριστιανός; Καὶ μάλιστά γε. Πῶς οὖν οὐκ ἐκάλει ἑαυτὸν καὶ τούτῳ τῷ ὀνόματι; Ἐνταῦθα περιττὸν ἦν· ὑπὲρ γὰρ ταύτης τῆς θρησκείας καὶ τῆς κλήσεως πάντα πά-

VARIÆ LECTIONES.

[k] leg. φονῶν.

Digitized by Google

σχων καὶ ἐναθλῶν, διεκαρτέρει καὶ ἔχαιρεν· αὐτός τε ἦν ὁ διδασκαλίαις, καὶ πόνοις, καὶ ἱδρῶσι, πρώτην ἁπασῶν πόλεων τὴν Ἀντιόχειαν, τῇ τῶν Χριστιανῶν κλήσει παρασκευάσας ἐγκαλλωπίζεσθαι. Εἰ δὲ δεῖ τι καὶ ἱστορίας ἐπακοῦσαι, λέγεταί τις εἰς πολλὴν ἀρχαιότητα ἀνηγμένος· ὡς ἡ τοῦ Βενιαμὶν φυλὴ ἐν Παλαιστίνῃ ῥιζωθεῖσα, μέχρι τῶν τῆς Ἰταλίας μερῶν τὰς βλάστας ὑπεξέτεινεν, αὐτῷ γένει Ῥωμαίων καὶ αὐτῇ Ῥώμῃ χαρισαμένη γένεσίν τε καὶ ὄνομα. Ἐξ ὧν ὁ θεῖος Παῦλος εἰς τὸ τοῦ Βενιαμὶν αἷμα ἀναγόμενος, Ῥωμαῖος ἂν εἰκότως χρηματίσειεν· ἐγένοντο γὰρ ἀπόγονοι τῷ Βενιαμὶν, ἄλλοι τε οὐκ ὀλίγοι, ἐξ ὧν Ἄραδός τε καὶ πόλεις ἄλλαι καὶ χῶραι τὰς ἐπωνυμίας ἐκληρώσαντο· καὶ δὴ καὶ ἀνήρ τις ὄνομα Ῥῶς, ὃς ἐπὶ τὰ τῆς Ἰταλίας μέρη χωρήσας, καὶ πολλοὺς ἐκεῖσε τοῦ σπέρματος φύσας, καὶ ἐπὶ μέγα δόξης καὶ ἰσχύος ἀνελθὼν Ῥώμην τε τὴν ἐπωνυμίαν ἔλκειν ἐξ ἑαυτοῦ, καὶ τὸ Ῥωμαῖον γένος, ἔδωκε· τὰς γὰρ Ἑλλήνων ἐπ' αὐτῇ αἰτίας, πολάς [1] τε καὶ οὐδὲ πρὸς ἀλλήλας συμφωνούσας, οἱ ταῦτα λέγοντες οὐδ' ἀκούουσιν. Ὁ τοίνυν Ῥῶς ἀπόγονος μὲν ὑπάρχων τοῦ Βενιαμὶν, πρόγονος δὲ Παύλου, εἰκότως τὸν ἄνδρα Ῥωμαῖον ἀπέφηνεν, ἐξ αὐτοῦ μὲν, τὴν τοῦ πορρωτέρου γένους αἰτίαν, ἐκ δὲ τοῦ Ῥωμαϊκοῦ συστήματος τὴν ἐγγυτέρω φέροντα. Ἀλλ' αὕτη μὲν ἡ ἱστορία, ἡδὺς μὲν ἀκοῦσαι καὶ ἐπαφρόδιτος, οὐ μήν γε μετὰ τοῦ χαρίεντος, καὶ τὴν πειθὼ ἐπιφέρουσα· πολλοῦ γὰρ ἂν ἔγωγε τῆς ἀπαρχῆς ἀπο δεομένης μοι αἰτίας ταύτην προὐταξα, εἰ μὴ λίαν ἀρχαία τε ἦν καὶ πολιωτέρα ἢ πιστεύεσθαι, οὐ τοῖς νῦν μόνον, ἀλλὰ καὶ τοῖς τότε ἀνθρώποις, καὶ οὐδὲν ἐχέγγυον ἔχουσα πρὸς τὸ ἐξελέσθαι Παῦλον τοῦ τύπτεσθαι. Τούτοις οὖν διαλύσας σου τὰς καλὰς ἀπορίας (καλαὶ γάρ, ὅτι ἀπὸ καλῆς καὶ φιλοπόνου γνώμης καὶ φιλοθέου βλαστάνουσι), καὶ εἴ τι ἄλλο σοι παραστῇ, θαῤῥῶν οὐχ ἡμῖν ἀλλὰ Παύλῳ καὶ τῷ κοινῷ διδασκάλῳ Παύλου καὶ ἡμῶν Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν ἐπερώτα, καὶ ἔῤῥωσο.

A senti non erat opus; nam propter istud nomen, et hanc professionem omnia pati, cum omnibus conflictari fortiter persistebat; gaudebat autem eo titulo, quem princeps Antiochensium civitas usurparat, et doctrina, laboribus, sudoribus procurabat. Quod si historias audire libet, narratur quædam valde antiqua; quod tribus Benjamini in Palæstina radicata, usque ad partes Italiæ germinando se diffuderit, dum et genti Romanorum originem et Romæ nomen et appellationem impertit. Unde divinus Paulus qui de illa tribu Benjamini derivabat sanguinem, Romanus nec injuria dicebatur: de Benjamini progenie disseminabatur, alia atque altera, a quibus Aradus, aliæque urbes et loca nomenclaturas sortiebantur; et inter alios, vir quidam Ros dictus, qui in partes Italiæ profectus, cum multos de semine suo procreasset, et magnam existimationem potentiamque consecutus esset, Romam ab eo denominatam dedit, et Romanum quoque genus procreatum: Græcorum enim sententias, quæ plurimæ sunt et diversissimæ, illi qui hanc historiam narrant, non admittunt. Quocirca Ros Benjamini progenies, inter majores Pauli, recte illum Romanum esse docet, et originem antiquam imprimis, deinceps civitatem datam largiri titulum. Verum jucunda narratu est hæc historia, sed non perinde persuadet, atque delectat; certe ego imprimis hanc causam annumerassem iis quæ præmisi, si non adeo antiqua, et canitie aspersa foret historia, ut fidem superet; nec apud nos tantum qui nunc vivimus, sed et apud illos antiquiores, neque sponsorem invenit, qui de veritate stipularetur, Paulum inde a plagis exemptum iri. Atque ita cum responderim præclaris tuis objectionibus (certe præclaræ, quod profectæ ab honesto, diligenti, et Deum amante animo), si tibi quid aliud occurrat, confidens non mihi, sed Paulo, et communi præceptori cum nostro, tum Pauli, Christo, vero Deo, interroga, et vale.

B

C

ΕΡΩΤΗΣΙΣ ΣΙΒ'.

Δια τί τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη;

QUÆSTIO CCXII [*Coisl.* CCXLI. *Taur.* CCXXXII].

Cur velum templi scissum est?

Edita a Montacutio (ep. 125, ad Ignat. p. 164). — Matth. XXVII, 51; Luc. XXIII, 45.

Ῥήγνυται τὸ καταπέτασμα τοῦ ναοῦ, ξύλῳ τοῦ Δεσπότου κρεμαμένου, διὰ πολλὰς, οἶμαι, τὰς αἰτίας. Τὸ μὲν γὰρ τὴν γῆν, κατ' ἐκεῖνο τὸ σωτήριον πάθος, κλόνῳ καὶ τρόμῳ, μικροῦ δεῖν συγκατενεχθῆναι, δυνατόν ἐστι τοῖς ἀγνωμονοῦσι καὶ εἰς τὰ κατὰ φύσιν ἄγειν τῶν στοιχείων πάθη· τὸ δὲ ῥαγῆναι καταπέτασμα, μηδενὸς μάλιστα διασπῶντος, ἀπὸ ἄνωθεν ἕως κάτω, μήτε πρὶν, μήτε μετὰ ταῦτα φύσιν ἔχον ἐπιτελεσθῆναι, οὐδεμίαν ἀναχώρησιν δίδωσιν, οὐδὲ τοῖς λίαν κακουργοῦσι, τὸ μὴ οὐχὶ θεομηνίαν εἶναι τὸ τέρας, καὶ τῆς Ἰουδαϊκῆς μιαιφονίας ἀπαράγραπτον ἔλεγχον τὸ γεγενημένον. Δευτέραν δ' ἄν τις αἰτίαν ἀποδοίη, σύμβολον αὐτὸ καὶ προμήνυμα γενέσθαι λέγων, τῆς μεθ' ὅσα ἔτη καταστροφῆς τε καὶ

Dirumpitur velum templi, Dominus in lignum cum attolleretur; idque plures reor propter causas. Terra, cum pateretur Salvator, succussione et tremore de loco moveri potuisse concedant etiam infideles, qui in naturam reducunt elementorum labes: at velum ut discinderetur, cum a nullo in diversum distraheretur, a summo usque ad imum, quod nec prius nec deinceps factum fuit, nec ad id per ullam naturalem propensionem inclinat, ne quidem improbissimis refugium concedit, ut cavillentur, non fuisse hoc prodigium a divino furore erga Judæos profectum, ut esset id contra ipsorum homicidium indelebilis convictio. Secundam assignare causam licet, et dicere symbolum et prædesignationem ex-

D

VARIÆ LECTIONES.

[1] *Isc.* πολλάς.

Digitized by Google

stitisse illius ruinæ, subversionis et desolationis, quæ non post multos annos celebratissimum illud templum, et quæ in templo erant sacra solemnia, orgia Judaica, sequebatur; quorum magna pars summo studio intra velum illud celebrata peragebantur, ut nemini e promiscua multitudine cernerentur; atque ideo extendebatur illud velum, ut veneranda illa mysteria a vulgi oculis remota custodirentur, et solis videnda paterent sacerdotibus: velo autem dirupto, patuisse ea omnium oculis, clarum est, et quod tunc communia facta fuerint, quæ usque eo sancta et sacra fuerunt, in omnium producta conspectum et profanationem; et hæc quasi proœmia ipsis contigerunt universalis illius sublationis, quæ leges ipsorum, et legalem cultum cessare fecit in æternum. Sed et tertiam quoque rationem advertere licet, quæ cum contraria videatur præcedenti, ab illa tamen suum ortum sortitur et originem. Quænam illa autem? Nimirum Judæorum de Deo cognitio, et cogniti numinis cultus, conclusus erat loco circumscripto, hoc est Judææ finibus et Hierosolymis, quæ tamen omnia typorum et prædesignationum gratiæ locum obtinebant. Quocirca, cum in angustum conclusa illa cognitio et Dei cultus, cessare oporterent, illa autem latria quæ per crucis passionem Servatoris erat patefacienda, et usque ad terminos orbis disseminanda, et in eorum vicem subintroducenda; ob eam causam dirumpitur hoc, velut fronti superinductum, velum, per quod Sancta illa sanctorum, in obscuro et intacto loco concludebantur: ita ut tantum non clara voce pronuntietur per ipsa opera, Venite omnes vos ad videnda invisibilia, ad divinum intuitum et cognitionem, nec adhuc ut olim parte quadam orbis terræ et una natione non ita numerosa, cultus divinus concludetur, sed gentes universæ, termini terræ illis fruentur libere, quæ adiri, nec accedi a Judæis ipsis poterant. At tu hinc ulterius progredere, et adverte ista: arca, et quæ continebantur in arca in typum cœli cedebant, et eorum quæ sub cœlo sunt: « Vide, enim inquit, ut facias omnia juxta figuram quæ tibi ostendebatur in monte [57]. » Hæc ipsa arca una cum aliis occultatis, in templo abscondebatur, velo interducto exclusa, neque accessus cuiquam præterquam sacerdotibus permittebatur. Declarabat istud, et delineabat ascensum in cœlos hominibus impervium custoditum fuisse, nec quemquam ex iis qui legalis cultus sectatores fuerant ad hanc dignitatem fuisse admissum. Quocirca rumpitur hoc obstaculum crucifixo Domino, et tuba clarius significatur et prædicatur, introitum in cœlos nobis singulis patere. Certe enim is qui ob hoc ipsum evacuatus fuit, et carnem nostram in se assumpsit, et omnia passus est pro nobis, Christus ille Deus noster, per mortem suam vivificantem universo mortalium generi ingressum in cœlos instauravit.

A ἐξερημώσεως τοῦ τε περιωνύμου ναοῦ, καὶ τῶν ἐν αὐτῷ Ἰουδαϊκῶν τελετῶν τε καὶ ὀργίων· ὧν μέγα τε καὶ διὰ σπουδῆς, τὸ μηδενὶ τῶν πολλῶν, τὰ ἔνδοθεν τοῦ καταπετάσματος, ὀφθῆναι· διὰ τοῦτο καὶ διεπετάννυτο τὸ ὕφασμα, ὥστε ἀθέατα μὲν φυλάττειν τὰ τίμια τῷ λαῷ, μόνοις δὲ τοῖς ἱερεῦσιν εἶναι ὁρατά· οὗ δὴ περιῤῥαγέντος, ἀνεπετάσθη μὲν δηλονότι [m] πᾶσιν ἡ ὄψις αὐτῶν, κοινὰ δὲ γέγονεν, εἰς κοινὴν ἀπενεχθέντα θέαν καὶ βεβήλωσιν, τὰ τέως ἅγια καὶ φρικτά· δι' ὧν προοιμιάσθη καὶ τῶν ἄλλων αὐτοῖς ἁπάντων θεσμῶν, καὶ τῆς νομικῆς λατρείας ἡ παντελὴς ἀναίρεσις καὶ σχολή. Ἔστι δὲ καὶ τρίτην αἰτίαν συνιδεῖν, ἐναντίως μὲν πρὸς τὴν εἰρημένην ἔχειν δοκοῦσαν, ἐξ αὐτῆς δὲ μᾶλλον τικτομένην. Τίς οὖν αὕτη; Ὅτι τῶν Ἰουδαίων ἡ περὶ τὸ Θεῖον γνῶσις καὶ λατρεία, εὐπεριγράπτῳ μὲν τόπῳ, τῇ τε Ἰουδαίᾳ καὶ τοῖς Ἱεροσολύμοις, ἐναπεκλείστο· τύπων δὲ ὁμοῦ καὶ προχαραγμάτων τάξιν ἀνεπλήρου τῆς χάριτος. Ἐπεὶ οὖν ἔδει τὴν εἰς στενὸν κομιδῇ περιεγεγραμμένην λατρείαν καὶ γνῶσιν, ἀργῆσαι, τὴν εἰς τὰ πέρατα δὲ τῆς οἰκουμένης διὰ τοῦ σωτηρίου πάθους ἐξαπλοῦσθαι, μέλλουσαν εἰς ἀρχὴν καταστῆναι, διὰ τοῦτο δὴ [τοῦτο] ῥήγνυται τὸ προμετωπίδιον ὕφασμα ἐκεῖνο, δι' οὗ τὰ τῶν ἁγίων Ἅγια, ὡς ἐν ἀπορῥήτῳ καὶ ἀψαύστῳ περιεστέλλετο χωρίῳ, μονονουχὶ τοῖς ἔργοις βοῶν καὶ προκαλούμενον ἅπαντας εἰς τὴν τῶν ἀθεάτων [καὶ] θείαν [n] ἐποψίαν τε καὶ ἐπίγνωσιν, καὶ ὡς οὐκέτι μέρει τινὶ τῆς οἰκουμένης καὶ εὐαριθμήτῳ ἔθνει ἡ εὐσέβεια συγκλεισθήσεται, ἀλλ' ἅπαντα τὰ ἔθνη καὶ τὰ πέρατα τῆς οἰκουμένης, τῶν τοῖς Ἰουδαίοις ἀπροσίτων καὶ ἀνεφίκτων ἐν ἀπολαύσει γενήσεται. Ἀλλὰ σύ μοι καὶ πρὸς τὴν ἐχομένην ταύτης μετάβαινε, καὶ σκόπει ὧδε· ἡ κιβωτὸς, καὶ τὰ ἐν τῇ κιβωτῷ, κατὰ τὸν τύπον γέγονε τοῦ οὐρανοῦ τε καὶ τῶν ὑπὸ τὸν οὐρανόν. « Ὅρα γὰρ, φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον δειχθέντα σοι ἐν τῷ ὄρει. » Αὗτη οὖν μετὰ τῶν ἄλλων ἀπορῥήτων, ἐν τῷ ναῷ ἀπεκρύπτετο, διειργομένη τῷ καταπετάσματι, καὶ πρόσοδον αὐτῆς πλὴν ὅσα τοῖς ἱερεῦσιν, οὐδενὶ ἀνθρώπων ἐμπαρέχουσα. Ἐδήλου δὲ ἄρα τοῦτο καὶ ὑπέγραφεν, τὴν εἰς οὐρανὸν εἴσοδον, ἀνθρώποις ἅβατον συντετηρῆσθαι τέως, καὶ μηδέ τινα μηδὲ τῶν τῆς νομικῆς λατρείας ἐραστῶν, ταύτης ἀξιωθῆναι τῆς λήξεως. Ῥήγνυται οὖν τοῦτο, τοῦ Δεσπότου σταυρουμένου, τὴν εἰς οὐρανοὺς εἴσοδον πᾶσιν ἡμῖν ὑποσαλπίζον καὶ εὐαγγελιζόμενον. Καὶ γὰρ δὴ διὰ τοῦ ζωοποιοῦ θανάτου αὐτοῦ, τὴν εἰς οὐρανοὺς εἴσοδον, παντὶ τῷ ἀνθρωπίνῳ γένει, ἐνεκαίνισεν ὁ διὰ τοῦτο κενωθεὶς, καὶ σάρκα τὴν ἡμετέραν προσλαβὼν, καὶ πάντα παθὼν ὑπὲρ ἡμῶν, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Εδήλου δὲ ἄρα τοῦτο καὶ ὑπέγραφεν, τὴν εἰς οὐρανὸν εἴσοδον, ἀνθρώποις ἅβατον συντετηρῆσθαι τέως, καὶ μηδέ τινα μηδὲ τῶν τῆς νομικῆς λατρείας ἐραστῶν, ταύτης ἀξιωθῆναι τῆς λήξεως. Ῥήγνυται οὖν τοῦτο, τοῦ Δεσπότου σταυρουμένου, τὴν εἰς οὐρανοὺς εἴσοδον πᾶσιν ἡμῖν ὑποσαλπίζον καὶ εὐαγγελιζόμενον. Καὶ γὰρ δὴ διὰ τοῦ ζωοποιοῦ θανάτου αὐτοῦ, τὴν εἰς οὐρανοὺς εἴσοδον, παντὶ τῷ ἀνθρωπίνῳ γένει, ἐνεκαίνισεν ὁ διὰ τοῦτο κενωθεὶς, καὶ σάρκα τὴν ἡμετέραν προσλαβὼν, καὶ πάντα παθὼν ὑπὲρ ἡμῶν, Χριστὸς ὁ Θεὸς ἡμῶν.

[57] Num. VIII, 4.

VARIÆ LECTIONES.

[m] γρ. δῆλον ὅτι. [n] ἴσ. θείων.

Digitized by Google

ΕΡΩΤΗΣΙΣ ΣΙΓ'.

QUÆSTIO CCXIII [*Coisl.* CCXLII, *Taur.* CCXXXIII].

Edita a Montacutio (ep. 127 ad Eulamp. p. 167-169). — De blasphemia in Spiritum sanctum. Matth. XII, 31; Luc XII, 10; Marc. III, 29 (84).

Ἐπειδὴ πρὸς ταῖς ἑρμηνείαις, ἃς οἱ θεῖοι Πατέρες ἡμῶν κατὰ πλείους ἢ τέσσαρας, οἶμαι, διανοίας ἐκδεδώκασιν, εἰς τὸ, « Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται· » καὶ, « Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι· » ἐπεὶ οὖν καὶ ἑτέραν πρὸς ταῖς εἰρημέναις ἐκείναις, καίτοι τοσαύταις οὔσαις, οὐκ οἶδα ἀνθ' ὅτου ἐπιζητεῖς (ἱκαναὶ γὰρ ἐκεῖναι ψυχὴν φιλομαθοῦς ἐμπλῆσαι τῆς ἐπιθυμίας)· οὐδὲν χεῖρον ἴσως κἀκεῖνο συνιδεῖν πλείστην ὅσην τὴν ἀπ' αὐτῶν τῶν πραγμάτων ἔχον συμφωνίαν· ποῖον δὴ τοῦτο; Ὅτι ὁ μὲν προσπταίων τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν, ἀπὸ τῶν ἀνθρωπίνων ἐνδείξεων· οἷον ὅτι ἤσθιε· καὶ μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν· ὅτι ἐκάθευδεν· ὅτι ἐκοπία· ὅτι, « Περίλυπός ἐστιν, » ἔλεγεν, « ἡ ψυχή μου· » καὶ εἴ τι τοιοῦτον· ὧν ἕκαστον εἰς βεβαίωσιν καὶ παράστασιν ἐναργῆ τῆς ἐνανθρωπήσεως, ὁ πάντα σοφῶς πρυτανεύων, διεπράττετο Λόγος. Οἱ γοῦν ἐκ τῶν τοιούτων προσεπταικότες Χριστῷ, ῥᾳδίαν, ὡς εἰκὸς, δύνανται τὴν διόρθωσιν ἔχειν. Τρόπον γάρ τινα αὐτοῖς ἐξ ἀγνοίας διεξέπιπτεν ἡ βλασφημία, οὐ δυναμένοις διακύψαι πρὸς τὸ βάθος τῆς οἰκονομίας, καὶ τὴν ἀῤῥητον συγκατάβασιν. Δι' ὃ ἐκ τῶν θειοτέρων αὐτοῦ ἔργων καὶ πράξεων, ταχίστην τὴν μεταβολὴν ἐπιδείξουσιν οὗτοι, καὶ παραπλησίαν ἕξουσι τὴν ἐφ' οἷς ἡμάρτανον ἄφεσιν. Οὕτω Παῦλος διώκτης, σταυρὸν ἀκούων καὶ θάνατον, καὶ ὅτι ἔφαγε καὶ ἔπιε, καὶ ὅσα ἄλλα τοῖς Ἰουδαίοις εἰς διαβολὴν τοῦ Δεσπότου προεφέρετο· ἐπεὶ δὲ θειοτέρας ἔτυχε πείρας καὶ τῆς ἄνωθεν ὀπτασίας, αὐτίκα πάντα τὰ βλάσφημα ῥίψας ἐκεῖνα, κήρυξ τοῦ διωκομένου γίνεται. Οὕτω πάλιν τρισχίλιοι ἅμα, καὶ τούτων ἑφεξῆς πλείους, εἶτα καὶ λαὸς μείζων ἀριθμεῖσθαι, ταῖς θεοσημείαις μετατεθέντες, σπουδῇ πρὶν τῷ ὑπ' αὐτῶν πολεμουμένῳ προσῆλθον κηρύγματι· δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅπως τοῖς εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου βλασφημοῦσιν ἡ ἄφεσις δίδοται, ὅτι τῷ ῥᾳδίῳ τῆς μεταβολῆς καὶ τὸ πρόχειρον τῆς συγγνώμης ἕπεται. Ὅσοι δὲ τῶν θαυμασιωτέρων, καὶ ἃ μόνης ἐστὶ τῆς θείας δυνάμεως ὑποφὶν[n] ἔχοντες τὴν ἐνέργειαν· δαίμονας διωκομένους, νόσους ἐλαυνομένας, τυφλοῖς τὰς ὄψεις ῥήματι δημιουργουμένας· τὰ ὑπερφυῆ καὶ παράδοξα ἐκεῖνα· πρὸς οὐδὲν τούτων ἐθέλουσιν ἐπιστρέφεσθαι, ὡς ἑκόντες πρὸς τὰ τοῦ Πνεύματος ἔργα καὶ τὸ φῶς ἀποτυφλώττοντες, οὗτοι χαλεπὴν ἢ καὶ ἀδύνατον παντελῶς τὴν μεταμέλειαν ἔχουσιν, ἐξ οὗπερ αὐτοῖς ἀφαιρεῖται καὶ ἡ ἄφεσις. Τίνι γὰρ ἂν καὶ μεταπεισθεῖεν οὗτοι πρὸς τὰ οὕτω καινὰ καὶ πολλῷ τῆς φύσεως κρείττονα πωρωθέντες, καὶ μηδ' ὑπό τινι αὐ-

A Quandoquidem præter expositiones illas quas divini Patres plures quam quaternas nobis proposuerunt illius dicti, « Omne peccatum et blasphemia remittetur hominibus, blasphemia autem in Spiritum sanctum non remittetur; » et, « Qui protulerit verbum in Spiritum sanctum, non remittetur ei, neque in hoc sæculo, neque in futuro; at remittetur qui verbum in Filium dixerit; » quandoquidem tu ab istis dictis aliam requiris, cum tot illæ sint, cur autem sic, nescio; (nam sufficiunt illæ allatæ ad implendum animi desiderium discendi vel cupidissimi), nihil forte obstabit, et illam aliam contemplare quæ cum rebus ipsis summam admittit consonantiam: at quænam illa? Nimirum quod is qui impegerit in Christum Deum nostrum, propter humanitatis demonstrationem; ut puta quod comedebat, idque cum publicanis et peccatoribus: quod dormiebat: quod lassitudine tenebatur: quod dixerit, « Tristis est anima mea usque ad mortem: » et quæ sunt ejus generis: quæ omnia Verbum, quod omnia sapienter administrabat, ad confirmationem et evidentem declarationem assumptæ carnis perpetrabat. Qui igitur propter ista impingebant in Christum, facillimam acquirent, ut videtur, emendationem: nam ab ignorantia quodammodo exciderat blasphemia, cum non possent in profundum, vel per rimulam, dispensationis penetrare, vel inenarrabilem perspicere condescensionem: quapropter per divina ipsius opera inducti, proclivem illi admittent immutationem, et consimilem de peccatis consequentur veniam. Ita exstitit Paulus persecutor, cum crucem et mortem audiret; et cum ederet, biberet, et reliqua faceret, quæ in calumniam Domini Judæi proferebant. Cum vero semel diviniorem experientiam per cœlestem visionem consequebatur, continuo rejectis quæ blaspheme locutus erat et fecerat, præco prodiit illius quem persequebatur. Ad eumdem modum ter mille imprimis, et deinceps hisce plures, et postea numerosior multitudo, per signa divina immutati, cum festinatione ad prædicationem ejus quem persequebantur accurrerunt. Patet ergo jam dictis, qualis venia conceditur illis qui in Filium hominis blasphemant; nimirum facilitatem mutationis consequitur facilitas indulgentiæ. At qui res magis admirabiles, et quæ soli divinæ potentiæ subjacent, sub aspectum habent manifestum: dæmonas nimirum expulsos, morbos abactos, cæcis visum restitutum solo verbo: et cætera naturam excedentia, planeque stupenda; nec ad horum aliqua converti volunt, sed voluntarie ad Spiritus opera et illuminationem obcæcantur: isti difficulter, si omnino tamen, resipiscunt, atque ita

VARIÆ LECTIONES.

[n] ὑπ' ὄψιν.

NOTÆ.

(84) Idem Thomæ supra q. XLIX.

Digitized by Google

indulgentiam haud impertitur iis Deus. Quo enim alio persuasu resipiscant, qui ad tam nova et naturam ita excedentia obdurantur, nec ab aliquo induci possunt ut conversionem suam meditentur? Non igitur immerito, sine venia hoc illorum peccatum, et blasphemia indulgentiam excedit. Exempla apponantur Annas, Caiaphas, et complures e Judæis; hi cum dæmonia ejicientem cernerent, cum deberent venerari benefactorem, ausi sunt rem impudentiam omnem excedentem proloqui, et per convitia dicere, eum dæmonia ejicere per principem dæmoniorum; cum cæcos intuerentur videre, lecto affixos per cursum et bajulationem sanitatem ratam facientes, dixerunt tamen, « Non est a Deo iste homo; » et per Lazarum mortuum quadriduanum vitæ restitutum, ad majorem invidiam inflammabantur. « Quærebant enim, ait, ut et Lazarum interimerent. » Et postquam resciverint resurrexisse, illam resurrectionem occultare, data pecunia, et per mendacium nitebantur. Et cum discipuli linguis igneis exacuerentur, et magnalia Dei verbis peregrinis deprædicarent, et magna hominum multitudo ad pietatem miraculo inducerentur, sine omni pudore, miraculi augustum et venerandum factum, ad mustum transferre et ebrietatem satagebant; nec verebantur nequissimi alastores, ne ab igne illo miraculoso absumerentur. Ita nihil prorsus quantumvis naturam exsuperaret, ad mutandum ipsorum nequam et absurdam opinionem sufficiebat, postquam semel contra præcipua Spiritus sancti et divina opera sine omni modestia et pudore se disposuerant, ad audendum. Quocirca, nec injuria, manifeste pronuntiatur: « Qui verbum protulerit contra Filium hominis, remittetur illi: at qui contra Spiritum sanctum protulerit non remittetur ei, nec in hoc sæculo, neque in futuro: » cum qui propter humanas et humilitatis passiones scandalizabantur in Domino Christo, proclivem habeant per et propter majora et sublimiora mutationem et remissionem: at qui in rebus spiritualibus, supernaturalibus et divinis sine ratione insaniunt, ad modum difficulter, aut non omnino, redeunt ad meliorem frugem. Ideoque haudquaquam peccatorum obtinget indulgentia.

A τῶν πρὸς ἐπιστροφὴν ἰδεῖν δυσωπηθέντες; Διὸ δικαίως αὐτῶν καὶ σύγγνωστον [a] τὸ πλημμέλημα, καὶ μεῖζων ἡ βλασφημία τῆς ἀφέσεως. Παραδείγματα τοῦ λόγου· Ἄννας καὶ Καϊάφας καὶ πολλοὶ τῶν Ἰουδαίων, οἱ δαίμονας ἀπελαύνοντα ἰδόντες, δέον προσκυνεῖν τὸν εὐεργέτην, ἐν τῷ ἄρχοντι τῶν δαιμονίων (πρᾶγμα πάσης ἀναισχυντίας τολμῶντες ἐπέκεινα) ἐκβάλλειν αὐτὸν ἐλοιδόρουν τὰ δαιμόνια· τυφλοὺς βλέποντας ὁρῶντες, καὶ κλινήρεις δρόμῳ καὶ φορτίῳ τὴν ἴασιν βεβαιοῦντας· « Οὐκ ἔστιν ὁ ἄνθρωπος οὗτος, ἔλεγον, ἐκ τοῦ Θεοῦ· » τὸν Λάζαρον ἀνιστάμενον τεταρταῖον εἰς πλείονα φόνον [b]· ἀνεφλέγοντο. « Ἐζήτουν γάρ, φησίν, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν. » Εἶτα ἀναστάντα μεμαθηκότες, χρήμασι καὶ ψεύδει κατακρύπτειν ἐπεχείρουν τὴν ἀνάστασιν. Καὶ δὴ καὶ τῶν μαθητῶν B πυρίναις γλώσσαις στομωθέντων, καὶ τὰ μεγαλεῖα τοῦ Θεοῦ ξένοις ῥήμασιν ἀνακηρυττόντων, καὶ πλῆθος ἄπειρον τῷ θαύματι πρὸς τὴν εὐσέβειαν ἐναγόντων, εἰς γλεῦκος οὗτοι καὶ μέθην τὸ φρικτὸν τοῦ θαύματος διασύρειν οὐκ ἠσχύνοντο, οὐδ' ἐφοβοῦντο μὴ τῷ ξένῳ πυρὶ καταδαπανηθῶσιν οἱ ἀλάστορες. Οὕτως οὐδὲν αὐτοῖς τῶν ὑπερφυῶν εἰς μεταβολὴν τῆς μοχθηρᾶς καὶ ἀτόπου γνώμης ἐξήρκεσεν, ἅπαξ πρὸς τὰ πρῶτα τῶν πνευματικῶν καὶ θείων ἔργων ἀναισχυντεῖν ἑαυτοὺς παρεσκευακόσι καὶ ἀποθρασύνεσθαι. Δικαίως ἄρα λίαν καὶ σοφῶς εἴρηται, ὅτι « Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. » Τοῖς μὲν γὰρ ἀπὸ τῶν ἀνθρωπικωτέρων καὶ ταπεινοτέρων σκανδαλισθεῖσιν ἐπὶ τῷ Δεσπότῃ Χριστῷ, ῥᾴδια ἡ διὰ τῶν μειζόνων καὶ ὑψηλοτέρων μεταβολὴ καὶ ἡ ἄφεσις. Τοῖς δὲ πρὸς τὰ πνευματικὰ καὶ ὑπερφυῆ καὶ θεῖα ἀπονοηθεῖσι, παγχάλεπος ἢ καὶ ἀδύνατος ἡ διόρθωσις. Διὰ τοῦτο καὶ οὐδεμία τῶν πλημμεληθέντων ἀπαντήσει ἄφεσις.

C

QUÆSTIO CCXIV [*Coisl.* CCXLII, *Taur.* CCXXXIV].

ΕΡΩΤΗΣΙΣ ΣΙΔ'.

Edita a Montacutio (ep. 129, ad Christoph. p. 170, 171).— De præcepto Christi, Matth. VI, 17.

Cum caput inungere et faciem lavare, de vetusta quadam consuetudine, ab iis qui gaudio et lætitia afficiebantur, usurpetur, quæ gaudii et oblectationis symbola quædam erant; Dominus de jejunio legem rogaturus, quam nos lubentes voluit et gaudentes adimplere, « Caput tuum, ait, inungito, et lavato faciem: » non quod volebat oleo caput mollefacere, aut faciem aqua abstergere; cum nec ipse, qui totos quadraginta dies jejunabat, istis uteretur: nec intueri licet emolumentum aliquod iis contingere, qui utuntur. Quocirca nec inungi, nec ablui istis mandavit, sed per symbola gaudii et lætitiæ voluit et mandavit, ut jejunium cum gaudio et voluptate agamus. Ad hunc modum si nos componamus et exornemus, cum alios latere poterint quæ facimus, et jejunii certamen haud gravatim subi-

D Ἐπειδὴ τὸ ἀλείφεσθαι τὴν κεφαλὴν, καὶ τὸ πρόσωπον νίπτεσθαι τοῖς εὐφραινομένοις καὶ χαίρουσι, κατά τι παλαιὸν ἐπετηδεύετο ἔθος, καὶ σύμβολα ταῦτα χαρᾶς ἐνομίζετο καὶ εὐφροσύνης· ὁ Δεσπότης τὸν περὶ νηστείας νόμον εἰσάγων, καὶ βουλόμενος ἡμᾶς μετὰ χαρᾶς καὶ εὐφροσύνης ταύτην ἐπιτελεῖν, « Ἄλειψαί σου, φησὶ, τὴν κεφαλὴν, καὶ νίψαι τὸ πρόσωπον· » οὐ τοῦτο λέγων, ἐλαίῳ λιπαίνειν τὴν κεφαλὴν, ἢ τὸ πρόσωπον ἐκπλύνειν ὕδατι· οὐδὲ γὰρ αὐτὸς νηστεύσας ἐφ' ὅλας ἡμέρας τεσσαράκοντα τούτοις ἐχρήσατο· οὐδέ τι κέρδος ἐκ τούτων, εἴ τις αὐτοῖς χρῷτο, ὁρᾷν ἔστι παρεπόμενον. Οὐκ οὖν ἀλείφεσθαι καὶ νίπτεσθαι ἡμᾶς διὰ τούτων ἐγκελεύεται, ἀλλ' ἀπ' αὐτῶν τῶν συμβόλων τῆς χαρᾶς καὶ τῆς εὐφροσύνης, χαίρειν ἡμᾶς καὶ εὐφραίνεσθαι ἐν τῷ νηστεύειν νομοθετῶν, ταῦτα ἔφησεν. Οὕτω γὰρ ἑαυ-

VARIÆ LECTIONES.

[a] Ἴσ. ἀσύγγνωστον. [b] φθόνον.

Digitized by Google

τοὺς δια[τε]θέντες καὶ διακοσμήσαντες, τούς τε ἄλλους, ἐν οἷς πράττομεν, λαθεῖν δυνησόμεθα, καὶ ἑαυτοῖς ἀνεπαχθῆ τὸν τῆς νηστείας ἀγῶνα ἀπεργασόμεθα. Ἔνθα γὰρ προθυμία καὶ χαρὰ, ἐκεῖ κοῦφον καὶ τὸ ἐπίπονον· ὥσπερ ἔνθα τὸ ῥᾴθυμον καὶ τὸ ἀηδὲς, ἐκεῖ καὶ τὸ ῥᾷστον δυσχερέστατον. Ἄλειψαι τοίνυν καὶ αὐτὸς τὴν κεφαλὴν, καὶ τὸ πρόσωπον νίψαι· ὅπερ μαθεῖν ἐπηρώτησας· φαιδρὸν σεαυτὸν καὶ ἱλαρὸν ἀπὸ τῆς ἐν τῇ καρδίᾳ εὐθυμίας καὶ ἀγαλλιάσεως, ἐν τῷ νηστεύειν, παρασκευάζων, καὶ παντὶ τρόπῳ λαθεῖν ἐπιτηδεύων τοῖς ἀνθρώποις τὸ κατόρθωμα, ἵνα μισθαποδότην ἔχῃς τὸν ἔφορον τῶν κρυφίων Θεόν. Εἰ δὲ καὶ νηστεύων, ἐλαίῳ εὐποιίας τὸ ἐν τῇ κεφαλῇ δαψιλῶς πιάνας ἡγεμονικὸν, ἐκεῖθέν τε ὥσπερ ἀπό τινος πηγῆς νοερᾶς, ὅλον σεαυτὸν καὶ τὸ πρόσωπον ἐκπλύνας φαιδρὸν ἀπεργάσῃ καὶ καθαρὸν (ἐλεημοσύναις γὰρ, φησὶν, ἀποκαθαίρονται ἁμαρτίαι), εἰς τὸ χρησιμώτατόν σοι δείξεις τῶν θείων Λογίων τὴν ἀνάπτυξιν προσεληλυθέναι.

A bimus. Nam ubi paratus accedit quis cum gaudio, ibi quod laboriosum est, leve fiet; e contra, quod facile fit, difficillimum redditur ubi intervenit socordia, et adversa voluntas. Inunge tu ergo caput, et faciem lava; id quod cupiebas quid esset intelligere, hoc est: Te sereno et hilari vultu præditum exhibe, propter gaudium animi tui et exsultationem repositam in jejunando; enitere autem et operam da omnimodam ut hoc præclarum facinus celetur, ut sic Deum qui secreta omnia intuetur, habeas retributorem. Quod si porro cum jejunas, oleo beneficentiæ caput affatim irrigas, et in capite partem principatum obtinentem, ita ut inde tanquam de fonte intellectuali, te totum, nec solum faciem abluas, et mundes (nam emundat, ut dicitur, B eleemosyna peccatum), palam facies divinorum oraculorum explicationem tibi exstitisse fructuosam.

ΕΡΩΤΗΣΙΣ ΣΙΕ'.

QUÆSTIO CCXV [*Coisl.* CCXXIV, *Taur.* CCXXXV].

Edita a Montacutio (ep. 132, ad Taras. p. 171-175). — Matth. XII, 48; Marc. III, 33 (85).

Ὅπερ ἔφησεν ἐν τοῖς Εὐαγγελίοις ὁ Σωτὴρ, « Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; » οὐχ ὡς ἄν τις ἀφρόνως οἰηθείη, ἐπαισχυνόμενος ὠδῖνας τὰς μητρικὰς, ἢ τὴν μητέρα ἐκβάλλων τοῦ μητρικοῦ κλέους P καὶ τῶν προνομίων, τοῦτό φησι. Πῶς γὰρ, ὅ γε καὶ πρὸ καιροῦ τῶν θαυμάτων, διὰ τὴν πρὸς αὐτὴν αἰδὼ, εἰς οἶνον μεταστοιχειώσας τὸ ὕδωρ, καὶ κατ' αὐτὸν τοῦ πάθους τὸν καιρὸν, ὅτε τραύμασι, καὶ λόγχῃ, καὶ σταυρῷ, καὶ ἥλοις κατετείνετο, πλείστην ὅσην περὶ αὐτῆς τὴν C φροντίδα ἐπιδεδειγμένος· καὶ πρό γε τούτων οὐκ αὐτῇ μόνον τῇ γεννησαμένῃ ἀληθῶς, ἀλλὰ καὶ τῷ νομισθέντι ὑποτασσόμενος πατρί; « Ἦν γὰρ, φησὶν, ὑποτασσόμενος αὐτοῖς; » Ἀλλὰ τί ταῦτα λέγω; Ὁ μήτραν οἰκῆσαι μὴ ἐπαισχυνθεὶς, καὶ τὸ ἔργον ἑκὼν ὑπελθὼν, πῶς ἂν ἔχοι λόγον τὴν κλῆσιν αἰσχύνεσθαι; καὶ ὁ τιμᾶν γονεῖς, μετά γε τὸ Θεῖον εὐθὺς, νομοθετῶν, πῶς ἂν αὐτὸς ὑπεύθυνος ὀφθείη μητρικῆς καταφρονήσεως; Οὐκ ἔστι τοίνυν, οὐκ ἔστιν εἰπεῖν, ὅτι τὴν μητέρα ἐν αἰσχύνῃ ποιούμενος ὁ κοινὸς Πλάστης ἡμῶν ἢ ὑπερορῶν, τὸ « Τίς ἐστιν ἡ μήτηρ μου; καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; » ἔφησεν· ἀλλὰ διὰ τῶν ῥημάτων τούτων ἕτερά τινα διοικονομεῖται μείζονα· καὶ γὰρ ὁ τὴν σωτηρίαν τῆς ψυχῆς, τῶν ἄλλων ἁπάντων πολλαχοῦ διδάσκων D προτιθέναι, καὶ μήτε πατέρα, μήτε μητέρα, μήτε τέκνα, μήτε ἀδελφοὺς αὐτῆς προτιμᾶν, ἀλλὰ μηδὲ αὐτὸν σύμπαντα τὸν κόσμον, νῦν διὰ τῶν ἔργων αὐτῶν αὐτὸ τοῦτο περιφανῶς ἐπιδείκνυσιν. Ἐπεὶ γὰρ διδάσκοντος αὐτοῦ τοὺς ὄχλους, καὶ τὸν τῆς σωτηρίας λόγον ταῖς ἐκείνων ψυχαῖς ἐγκατασπείροντος, ἐπέστησαν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ πρὸς ἑαυτοὺς τὸν εὐεργέτην καὶ κοινὸν Σωτῆρα μεταχαλούμενοι, εἰ-

Quod in Evangelio dixit Servator, « Quæ est mater mea, et quinam sunt fratres mei? » non ita protulit, ut imprudens forte aliquis arbitrari poterit, quasi materni partus dolores verecundaretur: aut eo fine ut matrem materno honore privaret. Qui enim illud admitteret, is, qui ante tempus operandi miracula, ob eam quam erga illam reverentiam habebat, aquam in vinum commutavit: et qui sub ipso passionis tempore cum vulneribus, lancea, cruce, clavis extendebatur, tamen etiam tum summam se illius curam gerere patefecit: quique ante hæc omnia, subjiciebatur, non illi tantummodo quæ ipsum vere genuerat, sed et patri quoque putativo: Nam « erat, ait Scriptura, subditus illis? » Quid autem hæc allego? Qui uterum incolere non erubuit, qui opus et rem ipsam sponte subivit, quomodo sermone nominationem aversaretur? qui parentes post Deum sancivit, quomodo reus ille fuerit maternæ alicujus vilificationis? Non est ergo dicendum, omnino non est, quod matrem agnoscere erubesceret qui communis nostrum omnium Conditor, aut contemptui haberet, cum dixit, « Quæ est mater mea? quinam sunt fratres mei? » Omnino per hæc verba aliud quiddam eximius dispensatur; qui non una vice docuit, animæ salutem rebus aliis omnibus anteponendam, ita ut nec patrem, matrem, liberos, fratres, illi præferamus, imo ne mundum certe universum, is in præsenti hoc idem opere declaravit. Nam cum multitudinem promiscuam doceret, et salutis semen cordibus ipsorum inseminaret, aderant mater et fratres ipsius, qui communem omnium benefactorem et Servatorem ad se vocabant; cui citationi

VARIÆ LECTIONES.

P κλήρου.

NOTÆ.

(85) Ejusdem argumenti est q. XLV.

Digitized by Google

non obedivit, nec injuria, neque enim docendi functionem deseruit, non comperendinavit auditorum salutem, aut maternam prætulit salutationem ; ita reipsa docuit quod cum quis salutem animarum velut agrum colendum suscipit, id agricolam imprimis sollicitum habere debeat, ut nec juxta viam tritam, neque inter spinas, neque in petra semen spargat : eodem modo et spiritualis agricola se totum labori et agriculturæ impendere tenetur, nec in alias curas et cogitationes se dividere : ne quidem si mater aut propinquorum aliquis sit, qui inde ipsum avocare aut abducere velit. Nec est hic maternus aliquis contemptus, sed summa provida cura et sollicitudo de salute salvandorum : sed nec tempus docendo assignatum in obsequium propinquorum impendi debet. Itaque discipulos sibi magis conjunctos cupiens, Salvator ait, « Ecce mater mea, et fratres mei, » id est, isti Patris mei doctrinam ut semen in sinum animarum suscipientes, loco matris meæ et fratrum meorum mihi reputantur. Ita patet nequaquam hoc dictum, ut matrem vilem haberet ; neque enim tales quales erant discipuli, in sortem maternam extulisset : sed multo magis ut eam veneratione et honore prosequeretur. Ait enim, qualem demum cunque filialem amorem in matrem quis, aut quem in fratres tenetur habere, tali omnino digni reputantur illi, qui doctrinam observant, et bona inde promanantia opera gignunt. Attendito autem et illud, cum præmiserat, « Qui diligit patrem vel matrem plus quam me, non est me dignus [89], » ne gravius quid et difficilius in mandatis dedisse videretur, ipse illud imprimis proprio exemplo adimpletum dat, facilitans ita imitationem, materno obsequio utilitatem et salutem multorum præponens ; vocem hanc opere ipso tantum non edens : Nolite arbitrari meum mandatum grave quid esse vel difficulter obeundum ; ego enim qui nulli debitor sum, rem ipsam princeps exordior, et ante Matris meæ cultum, ut intueri oculis potestis, vestram pono salutem. Ubi vero omnium Rex ego qui sum et Dominus et Conditor, haud sum ita gerere me erga vos dedignatus, ut vestram salutem affectui et amori materno prætulerim, certe multo vos magis tenemini similiter compensare, et præ cæteris omnibus ferre amicitiam meam, et in me benevolentiam : nec ob aliquod meum hoc emolumentum ; amor enim humanus et desiderium, quid proderit ei qui cuncta vel nutu circumrotat, cujus opus digitorum hominum est natura, cœlum et quæ exsistunt universa. Hæc ego ipsa, ut et alia, ob vestram desidero salutem. Nec mirari oportet, si Matrem Christus, ut oportuit, honorans, illam haud prætulit saluti hominum : nam matrem illam propter nos et nostram salutem assumpsit, ut nequaquam sibi

κότως οὐκ ἐπεστράφη τῇ κλήσει, οὐδὲ ὑπήκουσεν, οὐδὲ καταλιπὼν τὴν διδασκαλίαν, καὶ τὴν τῶν ἀκροατῶν ὑπεριδὼν σωτηρίαν, τὴν μητρικὴν ἐντυχίαν προὐτίμησεν · ἔργῳ παιδεύων, ὡς ἐπειδ' ἄν τις γεωργῇ ψυχικὴν σωτηρίαν, ὥσπερ ὁ γεωργούμενος μόνῳ προσέχειν ὀφείλει τῷ γεωργῷ, ἂν μὴ ἄρα παρὰ τὴν ὁδὸν, ἢ ἐπ' ἀκάνθαις, ἢ πέτραις ὑποδέχεσθαι μέλλοι τὴν κατασπορὰν· οὕτω δὴ, οὕτω καὶ ὁ [πνευματικὸς [q]] γεωργὸς, ὅλον ἑαυτὸν ἐπιδιδόναι τῷ πόνῳ καὶ τῇ γεωργίᾳ χρεωστεῖ, καὶ μὴ πρὸς πέτρας [r] καταμερίζεσθαι τὰς φροντίδας · μηδ' ἂν μήτηρ, ἤ τις ἄλλος ἢ τῶν ἐγγυτάτω γένους ὁ πρὸς ἑαυτὸν ἐκεῖθεν μετακαλούμενος καὶ μεθέλκων. Τοῦτο δὲ οὐκ ἔστι παρόρασις μητρὸς, ἀλλὰ πολλὴ πρόνοια καὶ σπουδὴ τῶν σωζομένων · οὐδὲ γὰρ, οὐδὲ τὸν τῆς διδασκαλίας καιρὸν, εἰς τὴν τῶν συγγενῶν χρὴ καταναλίσκειν θεραπείαν. Διὰ τοῦτο τοὺς μαθητὰς ἐπὶ πλέον οἰκειούμενος ὁ Σωτὴρ, « Ἰδοὺ ἡ μήτηρ μου, φησὶν, καὶ οἱ ἀδελφοί μου. » Τουτέστιν, Οὗτοι δὴ, οὗτοι, τὸν πατρικὸν τῆς διδασκαλίας σπόρον τοῖς ψυχικοῖς ὑποδεχόμενοι κόλποις, τὸν μητρικὸν τόπον καὶ ἀδελφικὸν ἀναπληροῦσιν ἐμοί. Τοῦτο δὲ δῆλον, ὡς οὐ φαυλίζοντός ἐστι τὴν τεκοῦσαν (πῶς γὰρ ἂν τοὺς τοιούτους, ὡς εἰς μέγα κλέος, εἰς τὸν μητρῷον ἀνέφερε κλῆρον ;), ἀλλὰ μᾶλλον ἀξίως σεμνύνοντος καὶ τιμῶντος αὐτήν. Ἦν γὰρ, φησὶ, πρὸς μητέρα καὶ ἀδελφοὺς στοργὴν καὶ διάθεσιν ὀφείλει τις κεκτῆσθαι, τῆς αὐτῆς ἀξιοῦνται καὶ οὗτοι, πληρωταὶ τῆς διδασκαλίας καὶ γεννητικοὶ τῶν ἐξ αὐτῆς φυομένων ἀγαθῶν ἔργων γινόμενοι. Σκόπει δὲ κἀκεῖνο, ὡς ἐπειδὴ προεῖπεν, « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος, » ἵνα μὴ δόξῃ βαρὺ καὶ δύσκολον ἐπιτάσσειν πρόσταγμα, αὐτὸς τοῦτο πρῶτος ἐκπληροῖ τῷ καθ' ἑαυτὸν ὑποδείγματι ῥᾳδίαν παρασκευάζων τὴν μίμησιν, καὶ τῆς μητρικῆς θεραπείας προτίθησι τὴν ὠφέλειαν καὶ σωτηρίαν τῶν πολλῶν · μονονουχὶ τοῖς ἔργοις φωνὴν ἀφιείς· Μὴ νομίσητε [s-t] τὴν ἐμὴν ἐντολὴν βαρεῖαν εἶναι καὶ δυσεξάνυστον · ἔργῳ γὰρ ὑμῖν, ὁ μηδενὶ τυγχάνων ὑπόχρεως, πρῶτος τοῦ ἔργου ἀπάρχομαι, καὶ τῆς μητρικῆς θεραπείας, ὡς ὑμῖν ὁρᾷν πάρεστι, τὴν ὑμῶν προκρίνω σωτηρίαν. Ὅπου δὲ πάντων Δεσπότης ὑπάρχων καὶ Δημιουργὸς, τοῦτο περὶ ὑμᾶς αὐτοὺς οὐκ ὠκνησα ἐπιδείξασθαι, ἀλλὰ καὶ μητρῴας στοργῆς τὴν εἰς ὑμᾶς σπουδὴν προτίθημι καὶ διάθεσιν · πῶς οὐκ αὐτοὶ μᾶλλον ὀφειλέται καθεστήκατε, τοῖς ὁμοίοις ἀμείβεσθαι, καὶ πάντων ἔμπροσθεν ἄγειν τὴν περὶ ἐμὲ τὸν εὐεργέτην φιλίαν καὶ εὔνοιαν; καίτοι οὐδὲ ταῦτα δι' ἐμέ· τί γὰρ εἰσοίσει πόθος ἀνθρώπινος τῷ πάντα νεύματι περιάγοντι, καὶ οὗ δακτύλων ἔργον, αὐτὴ φύσις ἀνθρώπων, καὶ οὐρανὸς, καὶ τὰ σύμπαντα, ἀλλὰ καὶ ταῦτα, ὥσπερ καὶ τἄλλα, διὰ τὴν ὑμῶν αὐτῶν ἐπιζητῶ σωτηρίαν. Οὐ χρὴ δὴ [u] θαυμάζειν, εἰ τὴν μητέρα τιμῶν ὁ Χριστὸς, ὡς προσῆκεν, ὅμως οὐδὲ

[89] Matth. xvii, 58.

VARIÆ LECTIONES.

[q] C. M. πνευματικὸς deest. [r] C. M. recte ἑτέρας. [s-t] νομίσητε. [u] C. M. δέ.

Digitized by Google

ταύτην τῆς ἡμῶν ὑπερτίθησι σωτηρίας · καὶ γὰρ δὴ καὶ μητέρα ὅλως δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμῶν ἐκτήσατο σωτηρίαν, ἀλλ' ὥστε δὲ αὐτοῦ [v] φεισάμενος ὑπὲρ ἡμῶν, ἀλλὰ κἀκεῖνα τὰ μυρία πάθη ὑποστὰς καὶ τὸν ἐπονείδιστον ἐκεῖνον καὶ βίαιον θάνατον, ἵν' ἀντὶ θανάτου, ζωῆς ἡμᾶς ἀθανάτου δείξῃ κληρονόμους, οὐκ ἂν ἀπεικότως καὶ τῆς μητρικῆς συμπαθείας τὴν ἡμῶν ἡγήσατο πρωτιμοτέραν σωτηρίαν. Εἰ βούλει δὲ κἀκεῖνο σκοπεῖν [x] (πολύχους γὰρ ἡ τῶν θείων Γραφῶν γεωργία, καὶ πολλὴν ἀναδιδοῦσα τοῖς φιλοπονοῦσι τὴν ὠφέλειαν), οὐδενὸς τῶν ἄλλων ἐνδεέστερον δόξῃ, ὅτι τὸ, « Τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου ; » οὐ πρὸς τὴν Μητέρα ἀποτεινόμενος εἴρηκεν ὁ Σωτήρ · ἐκείνη γὰρ ἡ μακαρία Παρθένος, σεμνοπρεπῶς τε καὶ σὺν εὐλαβείᾳ ἔξω ἵστατο, οὐδὲ τὴν πρὸς τὸν Υἱὸν παῤῥησιαζομένη εἴσοδον · οὐμενοῦν οὐδὲ τὴν διδασκαλίαν περικόπτουσα, αὐτὸν δὲ μόνον ἰδεῖν ἐπιποθοῦσα. Πρὸς τίνα λοιπὸν ὁ Δεσποτικὸς λόγος ὁρᾷ ; δῆλον [y], ὡς πρὸς ἐκεῖνον, τὸν οὐκ ἐν καιρῷ καὶ θρασέως ἐπιφωνοῦντα καὶ ἀνακράζοντα, « Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε. » Ἐκεῖνος γὰρ ὁ Ἰουδαῖος (οὐδὲ γὰρ ἔχομεν τούτου κυριώτερον ἐκ τῶν Εὐαγγελίων ὄνομα) ὅτε τῷ Δεσπότῃ προσεφώνει, οὐδὲν οὐ μόνον συνῆπτε ῥῆμα σεβασμιότητος, ἀλλ' οὐδὲ τὸν πρέποντα καιρὸν ἀναμείνας, ἀλλὰ καὶ τὴν διδασκαλίαν περικόπτων, καὶ πολλῇ χρώμενος τῇ αὐθαδείᾳ καὶ θρασύτητι, τὸ, « Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου, προσέρριπτεν, ἔξω ζητοῦσί σε. » Οἶμαι δὲ αὐτὸν τοῦτο δεδρακέναι, ὡσανεὶ καὶ ἀπὸ τοῦ γένους ἐπισκώπτειν τὸν κοινὸν τοῦ γένους Σωτῆρα διαμηχανώμενον. Οὐ γὰρ ἂν οὕτω θρασέως, καὶ εἰς ὑπήκοον [z] τῶν διδασκομένων, τὸν ὀνειδισμὸν οἰκειότερον εἰπεῖν ἢ τὴν πρόκλησιν τοῦ Δεσπότου ἐπεποίητο · καὶ ταῦτα διεμηχανᾶτο καὶ συνεσκευάζετο, ῥᾳθυμοτέρους τε περὶ τὴν ἀκρόασιν, τό γε καθ' ἑαυτὸν, τὸ πλῆθος ἀπεργαζόμενος, καὶ τὸ ἀξιόπιστον τοῦ διδασκάλου, ἀπό γε τῆς συγγενείας, ὡς ἐνόμιζεν, ἐξευτελίζων καὶ ὑποτεμνόμενος. Καὶ γὰρ καὶ ἀλλαχοῦ φαίνεται τὸ Ἰουδαῖον ἔθνος, καὶ μάλιστα κατὰ τὸν καιρὸν τῆς τε διδασκαλίας, καί γε καὶ τῆς θαυματουργίας, τῷ φθόνῳ διαπιμπράμενον, καὶ πρὸς διαβολὰς καὶ ὕβρεις τοῦ Δεσπότου ἐκτόπως ἀναφλεγόμενον. « Οὐχ οὗτός γάρ ἐστι, φησὶν, ὁ τοῦ τέκτονος υἱός ; » καὶ πάλιν, « Οἴδαμεν τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα · » καὶ, « Οὗτος οὐκ οἴδαμεν πόθεν ἐστίν ; » καὶ, « Οὐχὶ παρ' ἡμῖν εἰσιν οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ ; » καὶ πολλὰ τοιαῦτα βασκανίας ῥήματα. Διὸ καὶ ὁ Δεσπότης Χριστὸς ἐλέγχων αὐτοῦ τὴν παρανομίαν, καὶ δι' αὐτοῦ τῶν ὁμοφρόνων τὸ σύστημα, εἰς τοιαύτην τινὰ διάνοιαν τὸν λόγον σχηματίζων τῆς ἀποκρίσεως, « Τίς ἐστι, φησὶν, ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου ; Τουτέστι, Τί τὴν μητέρα, καὶ τοὺς ἀδελφοὺς εἰς ὀνειδισμὸν προφέρειν ἐμελέτησας ; μάτην σοι διεμηχανήθη τὸ κακούργημα, εἰς τοὐναντίον σοι περιτραπή-

A parcens, nostra causa longe alia et innumera passus est. Imprimis contumeliosam illam et violentam mortem crucis, ut vitæ 'nos æternæ hæredes, qui mortis fueramus, faceret : non est improbabile illum nostram salutem antiquiorem, quam maternam habuisse observantiam. Si adhuc libet et illud mihi nota, divinarum Scripturarum agricolatio multiplicibus spicis abundat, et plurimum industriis commodum concedit, non minimum illud, quod illa « Quæ est mater mea, et qui fratres mei ? » non in Matrem directa protulit Servator (illa enim beata Virgo modeste ut oportuit foras constitit, nec liberam adeundi Filium licentiam vindicavit), sed nec docendi cursum interrumpere volebat, sed ipsum tantummodo gestiebat salutare. Ad quem
B igitur dirigitur sermo Dominicus ? patet quod ad eum, qui satis intempestive vociferando et inclamando dicebat, « Mater tua et fratres tui te foras quærunt [60]. » Erat, ille Judæus, nec alio proprio nomine dictum habemus in Evangelio. Ille cum Dominum alloqueretur, non modo nullum verbum reverentiæ evolavit, sed nec tempus præstolatus opportunum docendi cursum interrupit, et cum multa audacia et supercilio projecit illud, « Mater tua et fratres tui te foris quærunt. » Reor autem eo fine hoc ab illo factitatum, ut qui voluerit omni machina adhibita generis nostri Auctorem ab humana sua generatione traducere : non enim tam petulanter in auribus auditorum exprobrationem potius quam
C evocationem adhibere volebat, nisi id agebat machinando, ut ignaviores redderet auditores. Ita quantum in ipso erat abduxit ab audiendo multitudinem, et doctoris reverentiam imminuendi animo, per vilificationem prosapiei interrumpit. Apparet enim et alibi Judaicam gentem cum alias, tum præcipue cum doceret aut miracula daret, invidia succensam, et ad accusandum convitiandumque Dominum insano modo inflammatam. Ita inquiunt, « Annon hic est fabri filius [61] ? » et, « Novimus patrem ejus ac matrem ejus [62] : » et, « Annon nos scimus unde iste est [63] ? » et, « Nonne apud nos sunt fratres et sorores ipsius [64] ? » et multa alia malevolentiæ verba ingerunt. Quocirca Christus Dominus incivilitatem illius redarguens, et per illum
D conventum eorum qui eodem animo affecti erant, ad cogitationes istiusmodi accommodat responsum, et inquit, « Quæ est mater mea ? qui mei fratres ? » quasi diceret : Quid mihi matrem et fratres in opprobrium ingeris ? frustra tibi hoc cessit machinamentum, in contrarium convertetur insidiosa hæc tua satagentia. Tantum enim abest ut me parentum meorum tenuitatis pudeat, ut non solum matrem quæ me incarnatum vere peperit, agnoscam, sed insuper et istos quos viles intueris et despectos, sine urbe et loco pauperes, licet nulla me attingant

[60] Matth. XII, 47. [61] Matth. XIII, 55. [62] Joan. VI, 42. [63] Joan. IX, 29. [64] Marc. VI, 3.

VARIÆ LECTIONES.

[v] ἄλλως τέ γε οὐχ ἑαυτοῦ. [x] σκόπει. [y] C. M. ἢ δῆλον. [z] ἐπήκοον.

Digitized by Google

affinitate, non abnego, sed mihi proprius assumo, A matris et fratrum mihi locum impleturos, modo per meam doctrinam inducti, Patris mei adimpleant voluntatem. Quemadmodum enim illam, nulla me consanguinitate attingentem (nam quid habet genus humanum cum Deitate commune?) de paterna tamen voluntate incarnatus ex illa, matrem monstravi, et omnia materna privilegia, una cum virginitate illibata sarta illi tecta servavi ; ita quoque et istos qui nullum justum titulum adire possunt, quo mihi per carnem conjungantur aut tribum, modo adimplentes cepero doctrinam meam et voluntatem Patris, in sortem et dignitatem fraternam maternamque assumam. Atque ita, ut ego opinor, e dictis tibi patet et satisfit, quod propter illud dictum, « Quæ est mater mea, » et quæ sequuntur ; B nullatenus Dominus et Salvator noster reus tenebatur alicujus contemptus aut despectus erga matrem ; sed contra, tam per ista quam alia omnia Dei opera ostenditur, maternis privilegiis et honoribus, idque meritissimo, apud eum quem pepererat, fructam et gavisam fuisse.

σεται τὸ σκευώρημα. Ἐγὼ γὰρ τοσοῦτον ἀπέχω τοῦ τῇ εὐτελείᾳ τῶν συγγενῶν ἐπαισχύνεσθαι, ὥστε οὐ μόνον τὴν κατὰ σάρκα γεννησαμένην ἀληθῶς, μητέρα ἐπιγράφομαι, ἀλλὰ δὴ καὶ τούτους ὁρᾷς τοὺς εὐτελεῖς καὶ ἀπόλιδας, τοὺς ἀοίκους καὶ πένητας, καίτοι μηδὲν κατὰ γένος προσήκοντας, οὐ παραιτοῦμαι ὡς μητέρα καὶ ἀδελφοὺς οἰκειοποιήσασθαι, ἂν ὥσι μόνον τὸ πατρικὸν, διὰ τῶν ἐμῶν διδαγμάτων, ἐκπληροῦντες θέλημα. Ὥσπερ γὰρ ἐκείνην μηδὲν τῇ θείᾳ φύσει προσήκουσαν (τί γὰρ κοινὸν ἀνθρωπίνῳ γένει καὶ θεότητι;), ὅμως θελήματι πατρικῷ σαρκωθεὶς ἐξ αὐτῆς, μητέρα ἀνέδειξα, καὶ πάντα τὰ μητρικὰ προνόμια, μετά γε τῆς παρθενίας αὐτῆς, συνετήρησα · οὕτω δὴ, οὕτω καὶ τούτους μηδὲν μηδὲ ἐκ τῆς κατὰ σάρκα προσεχοῦς φυλῆς ἐμοὶ διαλωμα διασώζοντας, ἂν μόνον λάβω πληρωτὰς τῆς ἐμῆς διδασκαλίας καὶ τοῦ πατρικοῦ θελήματος, εἰς τὸν τῶν ἀδελφῶν καὶ μητέρων ἀναβιβάζω κλῆρον καὶ τὸ ἀξίωμα. Ἐκ τοίνυν τῶν εἰρημένων οἶμαί σοι σαφῶς ἐπιγνωσθῆναι, ὡς οὐδὲ διὰ τοῦ, « Τίς ἐστιν ἡ μήτηρ μου ; » καὶ τῶν ἑφεξῆς, οὐδαμῶς ὁ Δεσπότης ἡμῶν καὶ Σωτὴρ μητρικῆς ὑπεροψίας, ἢ τινος ὀλιγωρίας, ἐγένετο ἔνοχος · ἀλλὰ καὶ διὰ τούτων, ὡς καὶ διὰ πάντων τῶν ἄλλων, ἡ Θεοτόκος ἐπιδέδεικται τῶν μητρικῶν γερῶν ἀξίως παρὰ τοῦ τεχθέντος ἐξ αὐτῆς ἀπολαύουσα.

QUÆSTIO CCXVI [*Coisl.* CCXLV, *Taur.* CCXXXVI].

ΕΡΩΤΗΣΙΣ ΣΙϚ'.

Edita a Montacutio (ep. 133, ad Michael., p. 175-177).— In verba Joan. Baptistæ, Matth. III, 11 ; Marc. I, 7 ; Luc. III, 16.

Præconis illius vocem qua profitebatur, « Non C sum dignus qui solvam corrigiam calcei ejus, » quod a te quæsitum est, secundum diversas considerationes expositum inveniimus : sunt qui non solum propius ad scopum, ut ego arbitror, accedunt, sed et ad vocis proprietatem, calceum et corrigiam, hi non aliud intelligunt quam quæ communiter in communi usu posita esse sciunt : et per illas voces volunt Baptistam intelligere baptizati illius excellentiam, sine comparatione transcendentem. Scio enim, inquit, illum ego tam excellenti esse dignitate præditum supra me ipsum, non in quantum servus a domino distat, sed si quæ alia est differentia et distantia, quæ a nulla re alia superetur, neque certe ego me in eorum numero reponam, qui illum infima contingunt servitute ; id enim indicat, « Solvere corrigiam calceamenti. » Sunt D qui magis adhuc secundum anagogen, *calcei* nomine mundum supponunt ; *corrigiam* autem interpretantur speculationes in mundo illius modi quæ apprehensionem habent haud facile inveniendam, sed vinculo ignorantiæ insolubili constringuntur. Hunc Jesu calceum supponunt esse, propterea quod, inquiunt, Providentia ipsius omnia permeet, et totum mundum amplectatur et contineat. Potius autem proprio ipsius pede regulat et agit cum summa sapientia ; non eget ob id ipsum, consilio multo aut provida cura, sed per extremam et ultimam inspe-

Τὴν τοῦ κήρυκος φωνὴν, καθ' ἣν ἐκεῖνος ἐκήρυττεν, « Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ, » ὅπερ αὐτὸς διηρώτησας, κατὰ διαφόρους θεωρίας ὑπειλημμένην εὑρίσκομεν. Οἱ μὲν γὰρ, οὐ μόνον ἐγγύτερον, οἶμαι, τοῦ σκοποῦ, ἀλλὰ καὶ οἰκείως τῆς λέξεως, ὑπόδημα καὶ ἱμάντα οὐχ ἕτερόν τι παρ' ὃ κατὰ κοινὴν χρῆσιν ἅπαντες ἴσασιν, ἀλλ' αὐτὰ ἐκεῖνα νενομίκασι · καὶ τὸν Βαπτιστὴν διὰ τούτων ἀποφαίνεσθαι τὸ καθ' ὑπεροχὴν τοῦ βαπτιζομένου ἀσύγκριτον. Τοσοῦτον γὰρ ἐκεῖνον, φησὶ, συνεπίσταμαι ἐν ὑπεροχῇ μεγέθους καὶ ἀξιώματος, οὐχ ὅσον ἐστὶ τὸ μέσον δοῦλον[a] καὶ Δεσπότου, ἀλλὰ καὶ εἴ τις ἄλλη διαφορὰ καὶ διάστασις μηδενὶ ἑτέρῳ ὑπερβολὴν ἀπολείπουσα· οὐδὲ γὰρ, οὐδ' εἰς τὴν ἁπασῶν ἐσχάτην δουλείαν ἄξιον ἐμαυτὸν ἐτάζεσθαι τίθημι · τοιοῦτον γὰρ τὸ, « Λύειν ἱμάντα τοῦ ὑποδήματος. » Οἱ δὲ ἀναγωγικώτερον ἴσως, *ὑπόδημα* μὲν τὸν κόσμον ὑποτίθενται, *ἱμάντα* δὲ τῶν ἐν αὐτῷ θεωρημάτων ὅσα δυσεύρετον ἔχει τὴν κατάληψιν, καὶ τὸν τῆς ἀγνοίας δεσμὸν ἄλυτον · ὃν ὑπόδημα ποιοῦσι τοῦ Ἰησοῦ, ὅτι διαπαντὸς αὐτοῦ, φασὶν, ἡ Πρόνοια διαπεφοίτηκε, καὶ ὅλον αὐτὸν ἔχει περιλαβὼν καὶ συνέχων · μᾶλλον δὲ ποδὶ τῷ οἰκείῳ διεθύνει καὶ φέρει πανσόφως · τουτέστιν, οὐδὲ πολλῆς δεῖται τῆς ἐπ' αὐτῷ βουλῆς καὶ προνοίας, ἀλλὰ διὰ τῆς ἐσχάτης καὶ τελευταίας ἐπισκοπῆς τὸ τηλικοῦτον καὶ τοσοῦτον συντηρεῖ τε καὶ διακοσμεῖ φίλοτέχνημα. Αὕτη δὲ

VARIÆ LECTIONES.

[a] C. M. 553 f. 97 δούλου.

Digitized by Google

ὅσον κομψείᾳ τινὶ διεσχηματίσθη ἡ περίνοια, ἐπὶ τοσοῦτον, οἶμαι, τῆς ἀληθοῦς ἐννοίας διέστηκεν. Ἕτεροι δέ τινες *ὑπόδημα* μὲν τὴν *σάρκα* σημαίνεσθαι (ταύτην γὰρ ὁ *Λόγος* ὑπέδυ, φασίν)· *ἱμάντα* δὲ γεγενημένην τῶν φύσεων πρὸς ἀλλήλας συνάφειαν, ἣν ὁ Πρόδρομος οὐκ ἀπετόλμα λύειν, οὐδ' ὅσοι τῆς ἐκείνου διδασκαλίας κατήκοοι. Οὐδὲ γὰρ, οὐδὲ θεμιτὸν ἀτόποις ἐννοίαις κατ' ἰδίαν σχίζειν ὑπόστασιν ἀπὸ τοῦ *Λόγου* τὸ πρόσλημμα. Ἄλλοι δὲ παρὰ τούτους, οὐχ ἁπλῶς τὴν *σάρκα*, ἀλλ' αὐτὴν τὴν *σάρκωσιν*, καὶ τὴν *ἐνανθρώπησιν*, *ὑπόδημα* νενοήκασιν· *Ἱμάντα* δὲ, οὐ συνάφειαν φύσεων, ἀλλὰ τῶν περὶ τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ἀπόρων, καὶ λογισμοὺς ἀνθρωπίνους ὑπερβεβηκότων, τὸν σύνδεσμον· ὧν τὴν ἐπίλυσιν καὶ σαφήνειαν, οὐχ ὅτι τινὰς τῶν πολλῶν ἑαυτοῖς ἐπιτρέπειν χρὴ καὶ περιεργάζεσθαι, ἀλλ' ἀκριβῶς κἀκεῖνο συνεπίστασθαι, ὡς οὐδὲ τοῖς κατὰ Ἰωάννην, ἓν τε πράξει καὶ θεωρίᾳ, τὸ ὑψηλὸν καὶ μετέωρον ἔχουσιν, οὐ μὲν οὖν οὐδὲ τούτοις, τῶν ἀπορρήτων [b] ἐκείνων τὸ κρύφιον καὶ δυσκατάληπτον εἰς γνῶσιν ἀφίκοιτο. Αὐτὸς γὰρ, ὁ « Μείζων ἐν γεννητοῖς γυναικῶν, » δι' ὧν μὴ δύνασθαι *λύειν τὸν ἱμάντα* ὡμολόγησε, μηδ' αὐτὸν ἱκανὸν ἂν γενέσθαι παρίστησιν τὰ τοιαῦτα τῶν ἀπορημάτων ἐπιλύσασθαι. Τίνα δέ ἐστι ταῦτα; Τίς ἡ τοῦ Λόγου κένωσις; πῶς ὁ Πλάστης ἐνοῦται τῷ πλάσματι; Παρθένος δὲ πῶς ἂν τέκοι, καὶ τὴν τῶν ὠδίνων λύσιν σφραγῖδα τῆς παρθενείας ποιήσαιτο; πῶς ὄγκον ἔχων ὁ Σωτὴρ καὶ σῶμα, θαλάσσης νῶτα διέτρεχε; πῶς δὲ τάφῳ καὶ κλείθροις καὶ σφραγῖσι περιέχεται; τούτων δὲ πάλιν ἀκινήτων φυλαττομένων ἐκεῖθεν προέρχεται; εἶτα δὲ καὶ τῶν θυρῶν κεκλεισμένων εἰς μέσους τοὺς μαθητὰς, μετὰ τοῦ αὐτοῦ σώματος, ἐπιφαίνεται; καὶ πληγὰς καὶ τρώσεις τοῦ ἀπαθοῦς καὶ ἀφθάρτου δῆψις ἐξερευνῶσι καὶ δάκτυλοι; βρῶσις δὲ καὶ πόσις τῷ ἀπροσδεεῖ καὶ ἀρεύστῳ [c] πῶς ἂν τις ἐξείποι διαπράττεσθαι σώματι; Τούτων οὖν καὶ τῶν τοιούτων δεσμῶν οὐκ ἔστιν ὅστις οὐχ ὅτι τῶν πολλῶν καὶ τυχόντων, ἀλλ' οὐδ' εἴ τις εἰς τὴν τοῦ Προδρόμου διέβη τελείωσιν, οὐδὲν σαφῶς καὶ καθαρῶς ἐπιλύσεται. Ἀλλ' ἕτερος μὲν ἴσως ἑτέρου τοῖς ἀκροαταῖς ἐρεῖ τι ψυχαγωγικώτερον, καὶ τῆς πολλῆς ἀπορίας παραμύθιον· ἡ δὲ χωρὶς ἐσόπτρων καὶ αἰνιγμάτων ἐν τούτοις ἀλήθεια, τῶν ἐν βίῳ πάντων ὁμοίως ἀποκεχώρηκεν. Ἀλλὰ ταῦτα μέν σοι τῶν κατὰ μνήμην σωζομένων οἶμαι τὰ ἀξιολογώτερα ἔγραψα· σὺ δ' ἐπικρίνας στέργοις τὸ ἄμεινον. Εἰ δ' ἐρυθριᾷς τὴν κρίσιν, ἐγώ σοι τὸ πρῶτον καὶ τὸ τελευταῖον τῶν ἐν μέσῳ προτίθημι. Τὸ μὲν γὰρ καὶ τῆς ὑποθέσεως καὶ τῶν ῥημάτων ἐστὶν οἰκειότατον· τὸ δὲ τελευταῖον τῶν κατὰ θεωρίαν εὑρήσεις ἀναλογώτερον. Ἔρρωσο.

ction em, opus optimo studio ab ipso elaboratum, tale cum sit et tantum, conservat et exornat. Hæc autem expositio, quo magis ornatu quodam effigiatur, eo, opinor, recedit longius a veritatis intentione. Alii sunt qui per *calceum*, intelligunt *carnem* significari, quam nimirum sibi induit *Verbum*; *corrigiam* autem naturarum adinvicem connexionem, quam nequaquam ille Præcursor solvere audebat, nedum doctrinæ ipsius auditores. Neque enim fas cuicunque fuit per absurdas opiniones quaslibet propria auctoritate solvere hypostasin illam quam assumpsit sibi *Verbum*. Aliqui ab istis alii non simpliciter *carnem*, sed ipsam et *incarnationem*, et humanitatem susceptam *calceum* interpretantur : *corrigium*, non naturarum unionem, sed quæstionum illarum et dubiorum, quæ circa humanitatem in carne susceptam, agitantur, vinculum et annexionem, quæ mentem omnem humanam longe superent : quarum quæstionum solutionem et explicationem, non aliqui e vulgo sibi arrogare debent, aut curiosius circa easdem versari, sed illud exquisite imprimis cognoscere, quod nec Joannis sectatores, qui in actione et contemplatione sublime quid et excelsum habebant, abscondita hæc et vix comprehensibilia, certe inexplicabilia, intelligebant. Ipse « Major inter omnes e mulieribus natos, » cum profitetur se solvere indignum esse *corrigiam calcei*, eodem actu agnoscit non posse se ejusmodi dubias solvere quæstiones. At quænam illæ sunt? Quænam Verbi exinanitio? Rerum Conditor quo pacto rei conditæ adunitur? quo pacto pepererit Virgo, et partus dolorum solutionem, sigillum adhibuit virginitatis? quomodo Servator, qui pondus et corpus habuit, maris tergora cursu peragravit? quomodo sepulcro, claustris et sigillis tenebatur inclusus? et iisdem ipsis immotis custoditis, inde egreditur? quomodo deinde ostiis clausis in medium processit discipulorum, cum eodem corpore? quomodo plagas, inflicta vulnera impassibilis corporis et incorruptibilis, oculi et digiti perscrutantur? Quomodo cibus et potus conferent non indigenti, nec fluido corpori, quis autem effari potest? Hæc autem et similia vincula, nemo, non dixero e vulgo hominum et fæce promiscua, sed ne quidem si ad Præcursoris perfectionem ascenderit aliquis, plane, clare, et perspicue solverit : fieri autem potest, ut unus altero, apud auditores, quid magis ad animæ solamen, dixerit, et in difficultatis multiplicis expeditionem : veritas autem in istis sine speculis et ænigmatis ultra ipsius vitæ terminos removetur. Atque ita tibi earum expositionum quæ mandantur memoriæ, præcipuas enarravi. Tu, facta discussione, optimam amplectere. Quod si judicium interponere verecunderis, ego primam atque ultimam cæteris præpono. Nam earum una cum argumento subjecto, et cum verbis majorem habet affinitatem; postremam reperies magis ad contemplationis analogiam facientem. Vale.

VARIÆ LECTIONES.

[b] C. M. ἀποῤῥηθέντων. [c] leg. ἀῤῥεύστῳ. C. M. ἐναρέστῳ.

Digitized by Google

QUÆSTIO CCXVII [*Coisl.* CCXLVI, *Taur.* CCXXXVII].

De differentia imaginum.

ΕΡΩΤΗΣΙΣ ΣΙΖ'.

Περὶ διαφορᾶς εἰκόνων.

Edita a Montacutio (ep. 134, ad Joan. Spathar., p. 178, 180).

Non detrahit aliquid Christi imagini, si Filius dicatur vera Patris imago, aut, homo vere factus ad imaginem Dei : ne tum si affirmamus eos qui secundum virtutem vivunt, ad veram Christi imaginem conformari. Non enim ut traducatur imaginis artificium, hoc dicitur ; non ut mendacium imagini affricetur: sed ut illa quæ intercedit diversitas intelligatur. Non enim cum Filium veram sapientiam nominamus, sapientiam a divinis oraculis eliminamus; sed nec cum lucem veram, vitam veram, dicimus, lumen solare aut vitam hic nostram, multo minus illam futuram, falsariæ subsistentiæ inniti insinuamus. Eodem modo et cum Filium profitemur veram imaginem, non illas imagines, quæ suum ortum ab imitatione sortiuntur, in mendaciorum ordinem rejicimus ; tantummodo differentiam quam illa ad istas habet per excessum significamus. Audi igitur filium tonitrus, quemadmodum ille, de cœlo intonans, nobis talem verborum sensum suggerit. Utrumque certe, in eo, « gratiam pro gratia [65], » novum et vetus ; uno eodem gratiæ titulo appellans ; addit deinde eminentiam, ubi unum cum altero comparat, « Lex, inquiens per Moysen dabatur, gratia autem et veritas per Jesum Christum [66]. » Manifeste patet, quod cum ita dicat, nec gratiam nec veritatem a Mosaica lege abscidit, ipse enim ille fuit qui paulo prius appellatione *gratiæ* ipsam insignierat. Sed nec mendacium illi imputat. Non enim in contumeliam aut crimen legis dictum illud, « Gratia autem et veritas per Jesum Christum fuit, « Evangelicis sancitis adaptabatur (Heracleon ita diceret, et Heracleonis filii), sed profecto magis illustrem et perfectam Domini magnificentiam ostendere volens quam habuit Lex per Moysen data, generali illo nomine *Gratiæ* et *veritatis* complexus est. Quin et divinus Paulus cum dixit, « Umbram habens lex futurorum bonorum, non ipsam imaginem rerum, » legem typum et imaginem esse futurorum bonorum, non prædicavit ; sed imprimis per verborum illorum tenorem, docere voluit potius gratiam, quam legem, bonorum futurorum fruitionem repræsentare.

Quin et decantatus in explicandis et docendis divinis Litteris, Joannes Chrysostomus, multis in locis hac figura dictionis usus esse agnoscitur. Divina oracula commentariis explanans, et linguam in iis enodandis adhibens, quæ cum Nicodemo dis-

Οὐδὲν λυμαίνεται τῇ εἰκόνι Χριστοῦ, τὸ λέγεσθαι τὸν Υἱὸν ἀληθινὴν εἰκόνα τοῦ Πατρὸς, ἢ τὸν ἄνθρωπον ἀληθῶς κατ' εἰκόνα γεγενῆσθαι Θεοῦ · οὐ μὴν οὐδ' ἐπειδ' ἂν λέγωμεν, τοὺς κατ' ἀρετὴν βεβιωκότας τὴν ἀληθῆ μορφοῦσθαι εἰκόνα Χριστοῦ. Οὐ γὰρ ἐπὶ διαβολῇ τῆς τεχνητῆς [d] εἰκόνος ταῦτα λέγεται, οὐδ' ἵνα ψεῦδος αὐτῇ ἐπιγράφοιτο · ἀλλ' ὡς ἂν αὐτῶν ἡ πρὸς ἄλληλα διαφορὰ ἐπιγινώσκοιτο. Οὐδὲ γὰρ, οὐδ' ὅταν τὸν Υἱὸν ἀληθινὴν σοφίαν προσαγορεύωμεν, τὴν ἐκ τῶν θείων Γραφῶν σοφίαν τῆς ἀληθείας ἐξορίζομεν · οὐδ' ἐπειδ' ἂν φῶς αὐτὸν ἀληθινὸν, ἢ ζωὴν ἀληθινὴν ὀνομάζωμεν, τὸ ἡλιακὸν φῶς, ἢ τὴν ἡμετέραν ἐνταῦθα ζωὴν, ἵνα μὴ λέγω τὴν ἐκεῖθεν, ψευδοῦπόστατον ἀποφαίνομεν · οὕτως οὐδ' ὁπηνίκα φαμὲν ἀληθινὴν εἰκόνα τὸν Υἱὸν, οὐχὶ τὰς εἰκόνας, αἱ τὴν γένεσίν εἰσιν λαχοῦσαι διὰ μιμήσεως, εἰς ψεῦδος ἐλαύνομεν, ἀλλὰ τὸ πρὸς αὐτὰς ἐκείνης καθ' ὑπεροχὴν δηλοῦμεν διάφορον. Ἄκουσον τοίνυν τὸν υἱὸν τῆς βροντῆς, ὅπως ἡμῖν ἄνωθεν βροντῶν, τὴν τοιαύτην χρῆσιν τῶν λόγων ἐννοεῖν δίδωσιν. Ἄμφω γὰρ ἐν τῷ εἰπεῖν, « καὶ χάριν ἀντὶ χάριτος, » τήν τε Παλαιὰν καὶ τὴν Νέαν, τῷ τῆς χάριτος ἐξονομάσας προσρήματι · εἶτα τὸ ὑπερανεστηκὸς θάττερα [e] πρὸς τὴν ἑτέραν παριστῶν, « Ὁ νόμος, φησὶ, διὰ Μωσέως ἐδόθη, ἡ χάρις δὲ καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. » Δῆλον γὰρ ὡς ταῦτα λέγων, οὐχὶ τὴν ἀλήθειαν ἢ τὴν χάριν τοῦ Μωσαϊκοῦ νόμου περιέκοψεν · αὐτὸς γὰρ ἦν ὁ μικρῷ πρόσθεν τῷ τῆς *χάριτος* αὐτὸν ἀποσεμνύνας ὀνόματι. Οὐ μὴν οὐδὲ ψεῦδος αὐτοῦ κατηγόρησεν · οὐδὲ γὰρ ἐφ' ὕβρει καὶ διαβολῇ τοῦ νόμου τὸ, « Ἡ χάρις δὲ καὶ ἀλήθεια δι' Ἰησοῦ Χριστοῦ ἐγένετο, » τοῖς εὐαγγελικοῖς θεσμοῖς περιήρμοσεν (Ἡρακλέων γὰρ ἂν οὕτως εἶποι, καὶ οἱ παῖδες Ἡρακλέωνος), ἀλλ' ἐπισημοτέραν δηλονότι καὶ τελειοτέραν τὴν τοῦ Δεσπότου φιλοτιμίαν τῆς Μωσαϊκῆς νομοθεσίας παραστῆσαι βουλόμενος, *τῆς χάριτος* αὐτὴν καὶ *ἀληθείας* τῇ κοινῇ προσηγορίᾳ περιέλαβεν. Ἀλλὰ καὶ Παῦλος ὁ θεῖος, « Σκιὰν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, » ἀποφαινόμενος, οὐ τὸ εἶναι τὸν νόμον τύπον καὶ εἰκόνα τῶν μελλόντων ἀγαθῶν, ἀπεκήρυξεν · ἀλλὰ διὰ τῶν ῥημάτων τούτων ἐνεδείξατο, μᾶλλον τὴν χάριν ἢ τὸν νόμον, τῶν μελλόντων ἀγαθῶν εἰκονίζειν τὴν ἀπόλαυσιν.

Ναὶ δὴ καὶ ὁ πολὺς ἐν τῇ τῶν θείων Γραφῶν ἀναπτύξει καὶ διδασκαλίᾳ Ἰωάννης ὁ Χρυσόστομος, πολλαχοῦ κεχρημένος τῷ τοιούτῳ σχήματι τῶν λόγων δείκνυται. Τοὺς γὰρ θείους ὑπομνηματίζων χρησμοὺς, καὶ εἰς τὰ πρὸς τὸν Νικόδημον εἰρημένα

[65] Joan. I, 16. [66] ibid. 17.

VARIÆ LECTIONES.

[d] τεχνικῆς. [e] *Isc.* Θατέρας.

Digitized by Google

τῷ Δεσπότῃ, τὴν τῆς ἑρμηνείας γλῶτταν ἐπαφείς, καὶ περὶ τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως καὶ τῆς ἀχρόνως ἐκ Πατρὸς τοῦ Υἱοῦ γεννήσεως τὸν Λόγον κινῶν, « Εἰ γὰρ καὶ αὐτὴ, φησὶν, ἡ γέννησις ἐπουράνιος · ἀλλὰ πρὸς ἐκείνην παραβαλλομένη τὴν ἀληθῆ, καὶ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας, ἐπίγειος. » Ἀκούεις ὅπως πρὸς ἐκείνην φησὶ τὴν ἀληθῆ. Τί οὖν; ἡ διὰ τοῦ βαπτίσματος οὐκ ἔστιν ἀληθής; καὶ τίς ἂν, εἰ μὴ τῶν σφόδρα μαινομένων εἴη, τοῦτο φάναι τολμήσειε; Πῶς οὖν ἐκεῖνος ἔφη, « Πρὸς ἐκείνην τὴν ἀληθῆ; » τὸ ὑψηλότερον ἐκείνης καὶ θαυμασιώτερον ἐξυμνῶν, οὐ ταύτην τῆς ἀληθείας ἀποστερῶν. Καὶ τί δὲ τοῦτό φημι; ἄκουε μᾶλλον αὐτὸν τὰ αὐτὰ ἐμοὶ, οὐ τοῖς νοήμασι μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ῥήμασι συμφθεγγόμενον, καὶ τὴν τοιαύτην τῶν λόγων χρῆσιν ἡμῖν, κἀν τοῖς τοῦ Δεσπότου ῥήμασιν ἐγκειμένην, ὑποδεικνύοντα. Τοῦ γὰρ Σωτῆρος τοῖς Ἰουδαίοις εἰπόντος περὶ τοῦ μάννα, ὡς « Οὐχὶ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον, ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἀληθινὸν ἄρτον, » αὐτὸς τὸν νοῦν ἀναπτύσσων τὸν Δεσποτικὸν, οὕτω φησί · Ἄρτον δὲ ἀληθινὸν καλεῖ, οὐκ ἐπειδὴ ψευδὲς ἦν τὸ θαῦμα, τὸ ἐπὶ τοῦ μάννα · ἀλλ' ὅτι τύπος ἦν, οὐκ αὐτοαλήθεια · καὶ μυρία ἄλλα. Ἀλλὰ τί τὸν δεῖνα μάρτυρα ἢ τὸν δεῖνα καλῶ; Κοινῶς ἅπαντες καὶ τῆς Ἐκκλησίας οἱ τρόφιμοι, καὶ τῶν θύραθεν οἱ λογιώτατοι, πλὴν τῶν Εἰκονομαχούντων, ὡς ἔοικε, ταύτην τοῦ λόγου τὴν χρῆσιν συνεπίστανται · καὶ γέμουσιν αἱ βίβλοι τὸ τοιοῦτο τῶν λόγων ἰδίωμα. Ὡς ἐπὰν ὦσι δύο τινὰ, ἢ καὶ πλείονα καθ' ὁμωνυμίαν, ἢ καθ' ἕτερόν τινα τρόπον, τὴν αὐτὴν κλῆσιν ἐφελκόμενα, ἢ καὶ ἄλλως ἔν τισι κοινωνίαις ἰδιωμάτων τυγχάνοντα · ἠνίκα τις περὶ τοῦ ἐν αὐτοῖς ὑπερέχοντος τὸν λόγον ποιήσασθαι βουληθῇ, τὰ κοινῇ προσόντα πᾶσι, κατ' ἐξαίρετον ἐκείνῳ φέρων δίδωσιν · οὐχὶ τῶν ἄλλων αὐτὰ παντελῶς ἀφαιρούμενος, ἀλλὰ διὰ τούτου τὴν τοῦ προκειμένου ὑπεροχὴν πρὸς τὰ λοιπὰ ἐνδεικνύμενος · καὶ τοῦ λόγου ἀρκέσει παράδειγμα τὰ, οἶμαι, ἃ προείρηται. Εἰ δὲ καὶ ἑτέρων βούλει παράθεσιν, αὐτὸς κατὰ σεαυτὸν τὰ βιβλία διερχόμενος, ὅλην ἀπαρτίσεις βίβλον τῶν τοιούτων χρήσεων τὰ παραδείγματα ἐγγραφόμενος.

serebat Servator, sermonesque serens de baptismate regenerationis, et generatione supra et sine tempore, Filii a Patre, « Utcunque, ait, hæc generatio cœlestis sit, cum illa tamen vera generatione collata, quæ de paterna essentia est, terrena potius censebitur. » Audis, ut dicat, respectu ad illam veram habito. Num non ergo per baptisma vera est regeneratio? Quis nisi summa insania percitus, dicet ita? Quomodo ergo dixit ille, « Collata cum illa vera? » nempe hujus sublimitatem laudat, admiratur, nec tamen hanc privat veritate. Quid opus est ita colligam? Attende enim potius ut ipse rem eamdem, non sensu solo, sed verbis ipsissimis, una concinit mecum, et ostendit illum ipsum sermonum usum in Domini nostri verbis insidentem. Nam cum de manna Judæis sic prolocutus Christus esset: « Moses non dedit vobis panem, sed Pater meus vobis dat verum panem [67]; » ille mortem Domini enucleans, ait. Panem autem appellat hic verum, non quod falsum erat illud miraculum, quod in manna edebatur; sed quod figura erat, et non ipsa rei veritas : sunt et sexcenta alia istiusmodi. Sed quorsum hunc vel illum ego testem cito? generatim omnes, cum Ecclesiæ alumni, tum exterorum doctissimi, solis exceptis Iconomachis, hunc verbi usum, ut videtur, agnoscunt : et scatent passim libri istius modi verborum proprietatibus : ut puta, cum duo quædam aut etiam plura sunt, quæ per homonymiam aut alium quemdam modum dicuntur, eamdem attrahunt ad se appellationem, vel alio aliquo modo, cum communicatione idiomatum adhibentur; qui sermonem instituit de præcellentiori, illa quæ communiter ad omnia spectant, per excessum eidem accommodando tribuit; nec ab aliis interim illa aufert, sed per illud allegati excellentiam super cætera declarat. Opinor, quod allatum est exemplum, sufficit, quod dico, demonstrare. Sin et alia quoque adjicienda desideres, ipse per temet solus sacra Biblia percurre, et coacervabis tot exempla istius usus, quæ conficere volumen queant.

ΕΡΩΤΗΣΙΣ ΣΙΗ'.

QUÆSTIO CCXVIII [*Coisl.* CLXIII, *Taur.* CLXIV].

Edita a Montacutio (ep. ad Amphiloch. p. 190-193). — Joan. xx, 17.

Ὅπερ Χριστὸς, ὁ Θεὸς ἡμῶν, τῇ Μαγδαληνῇ Μαρίᾳ, προσιούσῃ φησὶ, « Μή μου ἅπτου · οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου, » δοκεῖ μέν πως εἶναι δυσθεώρητον. Τί δέ; ἆρα γὰρ μετὰ τὴν πρὸς τὸν Πατέρα ἄνοδον, τότε μᾶλλον αὐτῇ ἐπιτρέψει τὸ ἐφάπτεσθαι; Τὸ δὲ τοιοῦτόν ἐστιν · Οὐκ ἔξεστί σοι, φησὶν, ἐμοῦ ἅπτεσθαι · διὰ τί; Οὔπω γάρ σοι δοκῶ πρὸς τὸ πατρῷον ὕψος ἀναβεβηκέναι, καὶ τῆς ὑπερφυοῦς οὐσίας ἀναλαβεῖν τὸ ἀξίωμα · ἀλλ' ἔτι ταπεινὰ λογίζῃ περὶ ἐμοῦ, προσιοῦσά μοι [f], καὶ τῶν ἀνθρωπίνων μέτρων οὐδὲν ὑψηλότερον. Τὸ δὲ, οὐχ ὅτι

Quod Christus Deus noster Mariæ Magdalenæ adeunti ipsum, ait, « Noli me tangere, nondum ascendi ad Patrem meum, » videtur haud facile intelligendum. Quid enim? an post ascensionem ad Patrem, magis ei permissurus est ipsum tangere? Imo hoc est quod vult : Non licet tibi, ait, me contingere. Cur autem? Nondum ego tibi videor ad Patris sublimitatem ascendisse, et substantiæ illius transcendentis dignitatem assumpsisse; sed tu adhuc me accessura humile quid de me cogitas, nec humanam mensuram excedens : tantum abest

[67] Joan. VI, 32.

VARIÆ LECTIONES.

[f] 553 μου.

Digitized by Google

ut hæc opinio te dignam reddat, quæ me tangas, ut elonget magis. Itaque advertas qualiter, « Noli me tangere, » ubi dixerat, illud annectit, « Nondum enim; » spem illi facit, quod non in finem a suo desiderio excludetur; sed quod post paululum studiose quæsito perfruetur, ac si diceret: Non potes me adire ita animata ut nunc es, nec enim sic assequere quod velis: quod si a vilibus hisce cogitationibus te extuleris ad sublimiores, et Deo congruas, conceditur tibi accessus, et majora quam sperabas consequere. Volebat illa humano, et quo solebat per œconomiæ temporalis decursum more etiam nunc cum Domino conversari: et certe dum sepulcro assidebat, multa hujus generis et fecit illa et cogitavit, unguentum offerens, lacrymas fundens, translationem causata, et resurrectionem in illam transformans. At Christus ab hoc affectu ducens, et tales expungens cogitationes, sed et intempestivam rem et impossibilem affectare eam ostendens, ait, « Ne me tangas, nondum enim ascendi ad Patrem meum: » hoc est, non est æquum ut ego id quod tibi arridet communi præferam providentiæ, aut mundi totius commodo; non est par ut affectum tuum ego ratum habens, paternam subobscurem in me divinitatem, aut patiar ut me etiamnum tanquam merum et nudum hominem accedas. Tempus omne quod præcessit crucem, condescensionis et humiliationis tempus erat: tunc tibi permittebatur cogitationibus humilioribus innixe acquiescere, nec confertim ad majora expulsam, veluti omnino ominibus excidere, et ab iis avelli; at nunc tempus est sublimium et divinarum rerum. Mors enim absorpta in victoriam, morti data est. Infernus mortuis ab omni ævo vacuatus, tyrannide exutus est, illustria tropæa per resurrectionem contra omnes hostes constituta sunt; quocirca te oportet mente sursum ad sublimiora, et divina attollentem, non adhuc, ut prius, quæ condescensionis erant requirere, nec humilioribus immorari, aut cum illis circumferri. Hoc si recte administres, in promptu reperies, nec errabit tibi animus, desideratum. Conceptis enim, quas nondum imbibisti, rectis cogitationibus, multo magis incarnationis modum ineffabilem et supernaturalem admiraberis, et majorem ostendes affectum in me benevolentiæ, quam est quæ inhibetur, cum abjecte me accedere et contingere, præ timore et reverentia, non sustinueris; nempe, dignum mea divinitate, et tua fide jam absoluta. Certe quod non sermone antecedenti simpliciter a tactu prohibebatur illa femina, sed tantum quod ex terrena et humili cogitatione volebat tangere, conjecturam faciunt satis claram mulieres illæ duæ quæ obviam forte Domino fiebant, quibus, *Salvete*, salus omnium clara voce pronuntiat; et cum mentibus et manibus consum-

ἀξίαν οὐ ποιεῖ σε τῆς ἐμῆς δόξης ἐφάπτεσθαι, ἀλλὰ καὶ μακρὰν τίθησιν. Καὶ ὅρα ὅπως τὸ, « Μή μου ἅπτου, » εἰπὼν, τὸ, « Οὔπω γὰρ, » συνεπήνεγκε· διδοὺς ἐλπίδας αὐτῇ, ὡς οὐκ εἰς τέλος τοῦ πόθου ἀπελαθήσεται· ἀλλ' ὅτι καὶ μετ' ὀλίγον, ὧν ἐσπούδασεν, ἐπιτεύξεται· ὡσανεὶ λέγων, Μεθ' ἧς μὲν προσέρχῃ μοι γνώμης, οὐκ ἔξεστί σοι προσιέναι μοι· οὐδὲ γὰρ ἂν τύχοις τῆς ἐφέσεως· ἂν δὲ ταῖς ὑψηλοτέραις καὶ θεοπρεπέσι διανοίαις σεαυτὸν [h] ἐπάρῃς τῶν ταπεινῶν, συγχωρηθήσεταί σοι [h*] ἡ πρόσοδος, καὶ μειζόνων ἀξιωθήσῃ, ἢ ὧνπερ ἤλπισας. Καὶ γὰρ, ἡ μὲν ἐβούλετο, οἷα δὴ καὶ πρότερον, ἀνθρωπικώτερον, καὶ κατὰ τὸν τῆς οἰκονομίας τρόπον τῷ Δεσπότῃ συναναστρέφεσθαι. Πολλὰ γὰρ τοιαῦτα, καὶ τῷ τάφῳ παρακαθημένη, ἐμπραττέ [i] τε καὶ ἐλογίζετο· μύρα φέρουσα· δακρύουσα· μετατίθεσιν [j] ὑπονοοῦσα τὴν ἔγερσιν. Ὁ δὲ ταύτην [j*] ἀπάγων τῆς ὁρμῆς, καὶ τῶν τοιούτων διακαθαίρων ὑπονοιῶν, ἔτι δὲ καὶ τὸ ἄκαιρον ἐνδεικνὺς καὶ ἀδύνατον τῆς ἐγχειρήσεως, « Μή μου ἅπτου, φησίν· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου· » τουτέστιν, Οὐ προσῆκέ τὴν σὴν ἀρέσκειαν, τῆς κοινῆς προνοίας προτιμᾶν, καὶ τοῦ τῆς οἰκουμένης [k] συμφέροντος· οὐδὲ τὸν σὸν πόθον ἀφοσιούμενον, τὴν ἐν ἐμοὶ πατρῴαν συνεπισκιάζειν ἔτι θεότητα, καὶ ὡς ἀνθρώπῳ ψιλῷ ἔτι ἀνέχεσθαι προσιέναι μοι· ἦν μὲν γὰρ τῶν τῆς συγκαταβάσεως, καὶ [l] ταπεινοτέρων, ὁ πρὸ τοῦ σταυροῦ καιρὸς, ὅτε καὶ σοὶ παρεχωρεῖτο, τοῖς ταπεινοτέροις λογισμοῖς, οἷον ἀναπαυομένην, ὑποστηρίζεσθαι, καὶ μὴ πρὸς τὰ μείζω, καταρχὰς καὶ ἀθρόον, ἐκβιαζομένην, πάντων ἐκπίπτειν καὶ ὑποσύρεσθαι· νῦν δὲ, τῶν ὑψηλοτέρων καὶ θείων ἐφέστηκεν ὁ καιρός. Θάνατος γὰρ, εἰς νῖκος καταποθείς, τεθανάτωται· καὶ ᾅδης, τῶν ἀπ' αἰῶνος νεκρῶν κενωθείς, τῆς τυραννίδος ἐκβέβληται· καὶ λαμπρὰ κατὰ πάντων ἐχθρῶν διὰ τῆς ἀναστάσεως ἠγέρθη τὰ τρόπαια. Χρὴ τοιγαροῦν καὶ σὲ, πρὸς τὰ ὑψηλότερα καὶ θεοπρεπῆ τὸν νοῦν ἀναφέρουσαν, μηκέτι τὰ πρότερα, καὶ τὰ τῆς συγκαταβάσεως, ἐπιζητεῖν· μηδὲ τοῖς ταπεινοτέροις ἐναπομένειν, καὶ συγκαταφέρεσθαι. Τοῦτο δὲ κατορθοῦσα, εὑρήσεις ἐξ ἑτοίμου, καὶ οὐ σφαλλομένῃ γνώμῃ, τὸ ποθούμενον· λαβοῦσα γὰρ, ἃς οὔπω εἴληφας, ὀρθὰς ὑπολήψεις, τότε μᾶλλον καὶ τῆς ἐνανθρωπήσεως τὸν ἄῤῥητον καὶ ὑπερφυᾶ θαυμάσεις τρόπον, καὶ πλέον, ἢ ἐγώ σοι ἀπεῖπον, εὐλαβουμένη ταπεινῶς μοι προσιέναι καὶ ἐφάπτεσθαι, ἀξίαν καὶ τῆς ἐμῆς θεότητος, καὶ τῆς σῆς ἐντελοῦς πίστεως, ἐπιδείξεις τὸν εἰς ἐμὲ πόθον καὶ τὴν εὔνοιαν. Ὅτι γὰρ οὐχὶ τῆς ἐπαφῆς, προηγουμένῳ λόγῳ καὶ καθ' ἑαυτὸ, τὸ γύναιον ἐκωλύετο, ἀλλ' ὅτι ταπεινοῖς καὶ χαμαιπετέσι λογισμοῖς ἔτι διενοεῖτο προσάπτεσθαι, τεκμηριοῦσι σαφῶς καὶ αἱ συναντήσασαι τῷ Δεσπότῃ δύο γυναῖκες· αἷς τότε, *Χαίρετε*, ἡ πάντων χαρὰ λαμπρῶς προσφωνεῖ, καὶ τῶν ἀχράντων ποδῶν τε-

VARIÆ LECTIONES.

[g] C. M. συνήνεγκεν. [h] C. M. σαυτήν. [h*] add. καί. [i] C. M. ἔπραττε. [j] C. M. μετάθεσιν. [j*] *Isc.* ταύτῃ [k] *Isc.* τῇ-νῃ. C. M. καὶ τοῦ τοῖς οἰκ. [l] *Isc.* τῶν.

Digitized by Google

τελειωμέναις καὶ φρεσὶ καὶ χερσὶν ἐφίησιν ἅπτεσθαι. Ἐπεὶ δὲ τέως ἐφάπτεσθαι τὸ γύναιον ἐκεκώλυτο, ἵνα μὴ διαμαρτοῦσα τῆς σπουδῆς, εἰς λύπην καὶ λογισμοὺς ἐμπέσῃ· εὔκολον γὰρ τὸ γένος πρὸς ὀλιγοψυχίαν καὶ ὑπόνοιαν· Ὡς παρεώραμαι! ὡς ἐξουθένημαι! οἵμοι λοιπὸν, τίς γένωμαι; Ἵνα οὖν μὴ πρὸς ταῦτα δράμῃ, προλαβὼν αὐτὴν ὁ Σωτὴρ, ψυχαγωγεῖ· καὶ, « Πορεύου, φησὶ, πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· » δυσὶ τρόποις, διὰ τῶν ῥημάτων τούτων, τὸν τάραχον ἀπελαύνων τῶν λογισμῶν, καὶ πρὸς εὐθυμίαν αὐτὴν παρακαλῶν· ἑνὶ μὲν, ὅτιπερ αὐτὴν εὐαγγελίστριαν ἐχειροτόνει τῆς ἀναστάσεως· ἑτέρῳ δὲ, δι' ὧν τὰ ἴσα καὶ τοῖς μαθηταῖς, δι' αὐτῆς ἐκείνης, παρεκελεύετο. Καὶ γάρ φησι· « Καὶ εἰπὲ αὐτοῖς, Ἀναβαίνω πρὸς τὸν Πατέρα μου· » ἵνα εἴπῃς [m], Μή σε λυπείτω, ὅτι προσάπτεσθαί μου διεκώλυσα· οὐ γὰρ παρορῶν, ἢ ἐνυβρίζων, τοῦτο ἔπραξα· ἀλλ' ἡ τῶν πραγμάτων φύσις, καὶ τῆς ἐμῆς προνοίας καὶ οἰκονομίας ὁ ἄῤῥητος θεσμὸς, τοῦτο κρατεῖν ἐπὶ πάντων βούλεται· καὶ οὐδὲν ἕξεις ἔλαττον, εἰ μὴ καὶ πλέον, τῆς σῆς σπουδῆς οὐ συντελεσθήσης [n]. Ἰδοὺ γάρ σε καὶ κήρυκα πέμπω, τοῖς μαθηταῖς, τῆς ἐμῆς ἀναστάσεως· κἀκείνοις δὲ, τὰ αὐτά σοι, διακελεύομαι, εἰδέναι, πρὸς τὸν Πατέρα με ἀναβαίνοντα, καὶ μηκέτι ταῖς προτέραις δόξαις ὑποφέρεσθαι, ταπεινὰ φανταζομένους περὶ ἐμοῦ καὶ ἀνθρώπινα, συνοδοιπορεῖν πάλιν [o], ὡς τὸ πρὶν, καὶ συνδιαφέρειν πόνους καὶ λύπας, συνεχῶς τε ἐπιχωριάζειν καὶ συναλίζεσθαι. Σὺ δέ μοι σκόπει, ὅπως καὶ *ἀδελφοὺς*, ἐν τοῖς πρὸς τὴν γυναῖκα ῥήμασιν, τοὺς μαθητὰς ἐπωνόμασε, θαῤῥεῖν αὐτὴν διὰ πάντων παρασκευάζων, καὶ μηδὲν λυπηρὸν ὑποδέχεσθαι. Ὁ γὰρ τῶν ἀδελφῶν τὴν κλῆσιν τοῖς μαθηταῖς χαριζόμενος, εἶτα ταύτην ἐκείνοις συναριθμῶν, καὶ τῶν ἴσων ἀξιῶν, πᾶσαν αὐτῆς λύπην, καὶ ὑποψίας ἐξέβαλε θόρυβον. Σοφῶς δὲ λίαν, καὶ θεοπρεπῶς, καὶ τὸ, « Πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, » κατὰ διαστολὴν προηνέχθη καὶ διάστασιν· τῶν συλλαβῶν τῷ συνδέσμῳ, τῆς τῶν πραγμάτων διαφορᾶς καὶ ἑτερότητος ἐπιτρανουμένης. Τῷ μὲν γὰρ ἰδιάζοντι, τὴν φύσιν ἔδειξε· τῷ δὲ κοινῷ, τὴν χάριν ἐμήνυσεν. Ὅσον δὲ φύσις, χάριτος καὶ υἱοθεσίας διενήνοχεν· ἐν τοσούτῳ μέτρῳ τῆς ὑπεροχῆς, καὶ ἡ πρὸς τὸν ἕνα καὶ μονογενῆ τοῦ Πατρὸς κατ' οὐσίαν σχέσις, τῆς ἐκ φιλανθρωπίας καὶ οἴκτου, πρὸς τοὺς ἄλλους σχέσεως ὑπερανέχει· καὶ ὑπερίδρυται καὶ ὁ μονογενὴς δὲ, δῆλον ὅτι, τῶν πολλῶν υἱῶν, [καὶ] οὓς ἡ χάρις ἐκυοφόρησε· διὸ, *Πατέρα μου*, εἰπὼν, καὶ, τὸ γνήσιον τῆς φύσεως, τῷ ἰδιάζοντι ἀφορίσας, καὶ, *Πατέρα ὑμῶν*, ἐπενήνοχε, τὴν ἐκ φιλοτιμίας θέσιν καὶ εἰσποίησιν τῶν ἀποστόλων παραστησάμενος· καὶ τὸ, *Θεόν μου*, δὲ καὶ, *Θεὸν ὑμῶν*, πρὸς τὴν αὐτὴν βλέπει διάνοιαν, καὶ τῆς αὐτῆς γνώμης ἧρηται [p]. Διὰ μὲν γὰρ τοῦ, *Θεόν μου*, τὸ συγγενὲς τοῦ ἑνὸς καὶ οἰκεῖον περιλαμβανόμενον ἀνακηρύττεται· διὰ δὲ τοῦ,

A mauæ essent, immaculatos pedes contingere permisit. At quandoquidem mulier contingere vetita fuit, ne ex studioso desiderio rejecto mœstitia afficeretur (proclive siquidem est muliebre genus in pusillanimitatem et suspicionem contemptus et despectus; unde, Hei mihi, quænam ego sum?) Ne inquam ad hujusmodi recurreret, prævenit eam Salvator consolando, et, « Vade, ait, ad fratres meos, et dic illis. » Duobus modis per verba ista tumultuantes ablegavit cogitationes, et ad bene animatam esse eam devocat. Prior est, quod evangelistriam resurrectionis suæ eam facit: posterior, quod ipsa per se jubetur æqualitatem habere cum discipulis; addit enim, « Et illis dicito, Ascendo ad Patrem meum: » quasi diceret: Noli tristari quod me tangere non permiserim; neque enim despiciens, aut te insuper habens illud egi; sed rerum ipsarum status, et natura, et lex meæ providentiæ et dispensationis ineffabilis, id ita vult imprimis obtinere: neque minus tibi erit, si non et majus, si hoc desiderium tuum non adimpleatur. Ecce ego nuntium te resurrectionis meæ ad discipulos ablego: et ea quæ illis tibi etiam annuntio intelligenda: Me ascendere ad Patrem; nec ut olim imaginentur humano more et abjecto, me scilicet una cum illis ambulaturum, aut labores aut molestias ulterius toleraturum, frequenter de loco in locum iturum, aut mensæ accubiturum. Attende etiam quod sermones serens cum muliere, *fratres* appellet discipulos suos: ita omnino confidentem eam reddere volebat, nec quidquam animo molestiarum admittere. Qui enim fratrum titulos discipulis attribuit, et in eodem numero cum illis se habuit, pari honore dignatus, certe omnem ab ea tristitiam et suspicionis tumultum exemit. Valde quinetiam prudenter et divino more, illa, « Ad Patrem meum, et Patrem vestrum, » per discrepantiam elata sunt, et distantiam; dum syllabarum copulatione, rerum diversitas et altereitas effertur. Plane enim per id quod proprium est, naturam ostendit: per id quod commune, declarat gratiam. In quantum natura disparatur a gratia, in tantum per excellentiæ modum, Patris, secundum essentiam, habitudo, ad unicum et unigenitum Filium, transcendit habitum erga alios filiationis, quæ ab hominum amore et miseratione oritur: exaltatur, quod apparet, unigenitus super multos filios quos peperit et parturivit gratia; *Patrem meum* idcirco dicens, per id quod proprium est, naturæ germanitatem separans, addidit, *et Patrem vestrum*, innuens nimirum adoptionem et allectionem apostolorum ex amoris vehementia: etiam illud, *Deum meum*, *et Deum vestrum*, eamdem sententiam respicit, et ab eodem sensu dicitur: nam per *Deum meum*, congenerum unius et peculiare, circumscriptum, præ-

B

C

D

VARIÆ LECTIONES.

[m] εἴπῃ. [n] C. M. συντελεσθείσης. [o] C. M. ἐμοὶ deest. [p] *Isv.* ἥρηται. C. M. εἴρηται.

Digitized by Google

dicatur : per illud, *Deum vestrum*, multorum servilis conditio, et subjectio, et quod commune quiddam est, productio monstratur. Patet enim omnino cunctis, quod ut interdum id quod subjicitur, et quod immutatur, aut superius exsistit, per vocem, *meum*, intimatur ; ita rursus, æquale, congenerum, et maxime genuinum, per eamdem ipsam vocem indicatur. Hæc ego tibi in exemplar delineavi, multo humilius quam postulabat argumentum, omnino tamen non exilius, si epistolæ usus consideretur.

A Θεὸν ὑμῶν, τῶν πολλῶν τὸ δοῦλον καὶ ὑπήκοον καὶ τὸ δεδημιουργῆσθαι κοινοποιούμενον ἐπιδείκνυται. Δῆλον γὰρ, δῆλον ἅπασιν, ὅτι, ὥσπερ ἐνίοτε τὸ ὑποβεβηκὸς καὶ παρηλλαγμένον, ἢ τὸ ὑπερέχων q, διὰ τῆς τοῦ, *ἐμοῦ*, φωνῆς ἐνσημαίνεται· οὕτω πάλιν, καὶ τὸ ἴσον καὶ συγγενὲς καὶ γνησιώτατον, διὰ τῆς αὐτῆς χαρακτηρίζεται λέξεως. Ἀλλὰ ταῦτα μέν σοι πρὸς ὑποτύπωσιν διεχάραξα, τῆς μὲν ὑποθέσεως ταπεινότερον, τῆς δὲ κατ' ἐπιστολὴν χρείας, ἴσως οὐκ ἐνδεέστερον.

QUÆSTIO CCXIX [*Coisl.* CLXIV, *Taur.* CLXIII].

ΕΡΩΤΗΣΙΣ ΣΙϚ'.

Edita a Montacutio (ep. 138, ad Theodorum, p. 193, 194).— De Christi sudore sanguineo. Luc. xxii, 44.

Proverbium usurpatur de valde lugentibus, et agonem patientibus, *Sanguinem sudarit* ; ut et de iis qui acerbe lamentantur, *Sanguinem plorat*. Si quis ad eumdem modum arbitretur deductum et usurpatum illud apud beatum Lucam, (neque enim vir ille, illiusmodi doctrinæ leviter imbutus fuit) : « Fiebat autem sudor ejus tanquam sanguinis grumi : » habes id quod quærebas. Quod si tibi visum curiosius de hoc dicto inventiones adjicere, certe per seipsum facile expeditur, quod cum dixerit, « quasi grumi sanguinis, » non indicavit sudasse illum sanguinis grumos : neque enim ad similitudinem eorum dixisset sudores exstitisse : at *tanquam grumi*, hoc ipsum præcipue docet : certe voluit id subindicare, quod non exiguo quodam rore effundebatur corpus Domini, ad speciem tantum apparente ; sed quod veraciter in morem grandium guttarum distillantium, universum ejus corpus diffluebat, et id ut doceret, ad imaginem rei gestæ exprimendam, sanguinis grumos assumpsit in similitudinem. Manifestavit autem, quemadmodum per continuatam orationem et multifariam agoniam, ita per sudoris sui crassitudinem, quod et per naturam et secundum veritatem, non per remonstrationem et apparentiam, homo, Servator dicebatur : quodque naturalibus hominum et inculpatis affectibus inserviebat. Hoc cum reipsa monstrare vellet Dominus, et quod haud secundum divinam naturam, sed in humana, passionem subiret, oravit, in agonia versaretur : crassos illos et condensos sudores exsudavit, qui sanguineis grumis assimilabantur. Nullo modo quapropter apud te hic locus Evangelii rescidatur, haud est id congruum ; utcunque, quod affirmas, Syris quibusdam ita visum est : sed tanquam nihil impossibile, verum facile admittendum, illo textu contineatur, ita probe recipito, cum reliquis divinis oraculis annumerato, et sine dubitatione omni cura legito.

B Παροιμία λέγεται, ἐπὶ τῶν σφόδρα λυπουμένων καὶ ἀγωνιώντων, *Αἵματι ἱδρωσεν*· ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων, *Αἵματι κλαίει*. Εἰ μὲν οὖν κατὰ τοῦτόν τις πεπαρῳδῆσθαι νομίσοι τὸν τρόπον (οὐδὲ γὰρ τῶν τοιούτων μαθημάτων ὁ ἀνὴρ ἀνήκοος), καὶ τὸ παρὰ τῷ θεσπεσίῳ Λουκᾷ εἰρημένον, « Ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ, ὡσεὶ θρόμβοι αἵματος· » ἔχεις τὸ ζήτημα. Εἰ δὲ περιεργότερον ἐπινενοῆσθαί σοι τοῦτο δόξει· ἀλλ' οὖν ἐκεῖνο αὐτόθεν ἔχει τὸ εὔκολον, ὅτι, « Ὡσεὶ θρόμβοι αἵματος, » εἰπὼν, οὐ θρόμβους ἱδρῶσαι ἀπεφήνατο αἵματος (οὐ γὰρ ἂν καθ' ὁμοιότητα τούτων εἰρήκει γενέσθαι τοὺς ἱδρῶτας· τοῦτο γὰρ σαφῶς δηλονότι, τὸ « ὡσεὶ θρόμβοι, » παρίστησι)· θέλων δὲ μᾶλλον δηλῶσαι, ὡς οὐχὶ λεπταῖς τισι νοτίσι, καὶ οἷον ἐνδείξεως χάριν ἐπιφαινομέναις, τὸ Δεσποτικὸν ἐνοτίζετο σῶμα, ἀλλ' ὡς ἀληθῶς ἀδρῶν σταγόνων δίκην, ὅλον τοῖς ἱδρῶσι περιεστάζετο· τοὺς τῶν αἱμάτων θρόμβους, εἰς εἰκόνα τοῦ γεγενημένου παρείληφεν. Ἐδήλου δὲ ἄρα, ὥσπερ καὶ διὰ τῆς ἐντεταμένης προσευχῆς, καὶ τῆς πολλῆς ἀγωνίας, οὕτω καὶ διὰ τῆς τῶν ἱδρώτων παχύτητος, ὡς φύσει καὶ ἀληθῶς, ἀλλ' οὐκ ἐπιδείξει καὶ φαντασίᾳ, ἄνθρωπός τε ἐχρημάτισεν ὁ Σωτὴρ, καὶ τοῖς φυσικοῖς τῶν ἀνθρώπων καὶ ἀδιαβλήτοις ὑπηρετήσατο πάθεσι. Τοῦτο γὰρ αὐτὸ καὶ ὁ Δεσπότης ἔργοις παριστὰς, καὶ ὡς οὐχὶ κατὰ θείαν φύσιν, ἀλλ' ἐν τῇ ἀνθρωπίνῃ τὸ πάθος ἐδέξατο, καὶ προσηύξατο, καὶ ἠγωνίασε, καὶ τοὺς παχεῖς ἐκείνους καὶ παραπλησίους αἵματος θρόμβους, ἱδρῶτας ἐξίδρωσεν. Μηκέτι οὖν σοι τοῦ Εὐαγγελίου τόδε τὸ χωρίον περικεκόφθαι, κἂν τισι τῶν Σύρων, ὡς ἔφης, δοκεῖ, εὐπρεπὲς νόμιζε· ἀλλ' ὡς οὐδὲν ἀδύνατον, μᾶλλον δὲ καὶ λίαν ἀκόλουθον, ἐν αὐτῷ περιεχόμενον, καλῶς ἐπιγνοὺς, τοῖς ἄλλοις συντάσσων θείοις χρησμοῖς, ἀναμφιβόλῳ γνώμῃ συναναγίνωσκε r.

QUÆSTIO CCXX. [*Coisl.* CLXV *Taur.* CLXIV].

ΕΡΩΤΗΣΙΣ ΣΚ'.

Edita a Montacutio (ep. 139, ad Theodorum, p. 194-198). — In Matth. v, 28.

Cum multa mihi suppeditant dicenda, unde li-

Πολλὰ μὲν εἰπεῖν ἔνεστι δι' ὧν ἔστι σαφῶς ἐπιγνῶ-

VARIÆ LECTIONES.

q *Isc.* ὑπερέχον. r C. M. ἀναγίνωστκε.

Digitized by Google

ναι, ὡς οὐχὶ βαρὺς οὐδὲ ἀδύνατος, ἀλλὰ καὶ κοῦφος καὶ χρηστὸς, ὁ Δεσποτικὸς ἐκεῖνος χρησμὸς, ὁ λέγων, « Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· » ἐκεῖνα τέως κατ' ἐπιστολήν [σοι] ἐρῶ· ὅτι πρῶτον, χρεωστοῦμεν οἱ τῆς χάριτος, πλέον τι, τῶν ἐν νόμῳ βεβιωκότων, κατορθοῦν. Καὶ οὐχ ὁμοίως πέφυκεν ἑκατέρῳ μέρει βαρὺς τῆς νομοθεσίας ἡ ἀκρίβεια· ἀλλὰ τὸ ἐκείνοις ἴσως δόξαν βαρὺ, ἡμῖν σύμμετρον καὶ ἐλαφρόν· καὶ τὸ ἡμῖν τοιοῦτον, ἐκείνοις οὐ τοιοῦτον. Τοῖς μὲν γὰρ μόνον ἀπέτρεπεν ὁ νόμος, ἃ μὴ θέμις ποιεῖν· δύναμιν δὲ οὐδεμίαν ἐχαρίζετο, πρὸς τὴν τῶν νομοθετηθέντων ἐκπλήρωσιν. Ἡμῖν δὲ μεγάλη γέγονεν ἡ διὰ τοῦ βαπτίσματος καὶ τῶν ἄλλων δωρεῶν ἐπικουρία, κουφίζουσα σχεδὸν ἅπαν τὸ δυσχερὲς, καὶ τῶν πονηρῶν πνευμάτων τὴν ὁρμὴν οὐκ ἐῶσα τυραννίδι καθ' ἡμῶν ἐπιτίθεσθαι, μόνῃ δὲ τῇ ἡμετέρᾳ ῥᾳστώνῃ, καὶ οἷον ὑποκαταχλίσει, παραχωροῦσα [αὐτοῖς] τὴν ἐπίθεσιν. Ὥστε εἰ μή τι ἀκριβέστερον ἡμῖν, ἥπερ ἐκείνοις [ἐ]νενομοθέτητο, εἰς τουναντίον ἂν ἡ τοῦ Θεοῦ δικαιοσύνη καὶ χρηστότης περιέστραπτο[a], ἡμῶν τε τῶν μεγίστης ἐπικουρίας τυχόντων, κἀκείνων τῶν μηδεμιᾶς τοιαύτης ἀπολελαυκότων, τὴν αὐτὴν ἀκρίβειαν, καὶ τὸ τῆς πολιτείας παραπλήσιον, ἀπαιτουμένων· καὶ ἐν τῷ ἀνίσῳ τῆς δυνάμεως τῆς ἴσης ἐπιζητουμένης πράξεως. Ὥσπερ γὰρ ἄδικόν τε ὁμοῦ καὶ βαρύτατον, τὸν δύο τάλαντα εἰληφότα ἐπὶ τῇ συντελείᾳ τῆς ἐργασίας δέκα ἀπαιτεῖν· οὕτω; ὀλίγωρον, καὶ, ἐκ τοῦ ἐναντίου, παράνομον, τὸν πέντε τάλαντα λαβόντα, εἰς τέσσαρα τὴν ὅλην πρᾶξιν συγκεφαλαιωσάμενον, ἀποδέχεσθαι· ἀλλ' ἕκαστον δεῖ, ἀναλόγως τῇ ἰσχύϊ καὶ τῷ καταβληθέντι χαρίσματι, τὴν ἐργασίαν εἰσπράττεσθαι. Τοιοῦτον γὰρ τῆς ἰσότητος, καὶ τῆς ἀδεκάστου γνώμης, καὶ κρίσεως, ὁ θεσμός. Δῆλον τοιγαροῦν ἐκ τῶν εἰρημένων, ὡς τοιοῦτον παρ' ἡμῖν ὀφείλει νομίζεσθαι, τὸ μηδὲ ἐμβλέψαι γυναῖκα, πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, οἷον παρὰ τοῖς ἐν τῷ νόμῳ, τὸ μὴ μοιχεῦσαι. Καὶ οὐχὶ τῶν λόγων[a'] τὸ ἀψευδὲς καὶ ἀκόλουθον ἐπιμαρτύρεται τοῦτο· ἀλλὰ καὶ διὰ τῶν ἔργων αὐτῶν ἐναργῶς ὁρᾶται. Οὐ πλείους γὰρ ἔστιν ἰδεῖν τῶν Μωσαϊκῶν, τὴν πρᾶξιν πεφευγότας, ἢ τοὺς ἐν τῇ χάριτι [καὶ] τῶν πρὸς τὴν πρᾶξιν ὠθούντων ἀνακεχωρηκότας. Ὅπου γε πλεῖστοι ὅσοι, τῶν παρ' ἡμῖν, οὐ μόνον περιέργους καὶ ἐρωτιῶντας ὀφθαλμοὺς, ξένοις κάλλεσιν οὐκ ἐπέβαλον· ἀλλ' οὐδὲ εἰς ὄψιν ἁπλῶς γυναικὸς ἐνητένισαν· μέχρι ψιλῆς θέας ἑαυτοῖς τὸ σεμνὸν συντηρήσαντες. Δεύτερον δὲ, ὅτι τοῖς μὲν ὑπὸ τῷ νόμῳ παιδαγωγουμένοις, τὰ προστεταγμένα κατορθοῦσιν, *τὰ ἀγαθὰ τῆς γῆς*, ἆθλον προὐτείνετο. Ἡμῖν δὲ *βασιλεία οὐρανῶν*, καὶ ἃ « Ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη κεν. » Ὥστε καὶ ἐκ τῆς τῶν ἐπάθλων διαφορᾶς τὸ ῥᾷστον καὶ χρηστὸν τῆς εὐαγγελικῆς ἐντολῆς ἐπιδείκνυται. Οὐ γὰρ ὁμοίως ἐπίπονον, δραμόντα

A quod cognosci poterit, quod haudquaquam grave sit aut impossibile, quin contra leve et conveniens, Domini effatum illud, « Omnis qui mulierem intuetur, ad illam concupiscendam, jam in corde suo constupravit illam : » illa per præsentem epistolam tibi suggeram. Nempe in primis quod nos qui sub gratia vivimus, debito tenemur obstricti, multo plura bona operandi, quam qui sub lege versabantur. Nec alterutri parti ex æquo gravis est exacta legis promulgatio : verum quod illis fortasse grave videbatur, nobis perinde congruum et expeditum videbitur : atque id quod nobis taliusmodi fuerit, haud ita illis comparebit. Illis id solum interdixit lex, quod patrare fas non fuit : sed nullam superaddidit facultatem implendi quæ B lege jubebantur. Nobis quid grande adjumenti accessit per baptismum, et alia quædam dona, unde id quod difficile prius fuit alleviabatur; nec malorum spirituum impetuositas potestatem eam habet, tyrannidem in nos, tanquam e loco superiore, exercere : tantummodo autem propter nostram socordiam qui sponte nosmetipsos tantum non subjicimus, permittitur iis nobis struere insidias, nos adoriri. Certe, si non magis exactam nobis legem præscripsit, quam illis, divina bonitas et justitia in contrarium verteretur; et a nobis qui multiplici fruimur adjumento, et ab illis nullo tali suffultis auxilio, eadem per omnia conversatio, idque exactissima, requireretur ; et ubi impar erat facultas, agendi paritas requireretur. Veluti enim C gravissimum est, et cum injustitia conjunctum, ab illo qui tantum duo accepit talenta, consummato opere, decem exigere : ita negligentiam sapit, et repugnat ex adverso legi, cum quinque quis talenta accepit, deductam ad quatuor summam recipere. Profecto par et æquum est, ut quisque juxta virium proportionem et doni collati conditionem, operationem suam perficiat. Id enim postulat æquitatis et non coempti suffragii vel judicii sanctio. Patet igitur ab antedictis dictum, Non oportere mulierem intueri ad concupiscendum illam, eo loco apud nos habendum, quo, « Non mœchaberis, » apud sub lege viventes. Nec verborum tantummodo veritas et consequentia hoc testantur, D sed clarissime per opera discerni potest. Cernere enim erat pauciores per Mosaica tempora actum ipsum aversantes, quam qui, nunc sub gratia, recesserunt longius ab illis rebus, quæ perpetrationi dabant occasionem. Plures sunt apud nos, non modo, satagentes oculos et amaturientes peregrinarum pulchritudinem, qui non addixerunt cupiditatibus illis ; sed qui, ne quidem in vultus muliebres intueri volunt ; quique gravitatem morum illibatam etiam ab intuitu cohibuerunt. In secundis, qui juxta legem quæ scribebatur recte egerant. *bona terræ*, loco præmii exhibita capiebant.

VARIÆ LECTIONES.

[a] Ἰσ. περιετράπετο. [a'] Ἰσ. *add.* μόνων· habet Mon. sine μόνων.

Digitized by Google

Sed nobiscum stipulatur *regnum cœleste :* et illa quæ, « Nec oculus vidit, nec auris audivit, nec ascendit in cor hominis cogitare [68]. » Ita vel e discrepantia præmiorum evangelica mandata, et optima judicantur et facillima. Non æque profecto laborarunt, is qui stadium cucurrit, ut oleagineam coronam consequatur ; ac alius qui duo stadia cucurrit, ut corona aurea insigniatur. Certe levior erit duorum stadiorum decursio, quam unius, cum inter præmia nulla sit comparatio, sed præstantia et splendor unius, laborem alleviet, nec sensum admittat apud laborantem geminatæ defatigationis et sudoris. Accedit, quod nequaquam simpliciter dixit adulterium esse illam per oculos copulationem ; sed cum nominet adulterium cordis, vehementem et fere præcipitem accusationem, per legem compassionis ineffabilis amputavit ; In corde, inquiens, consistit adulterium : illud nempe quod patravit per oculos stimulus et prurigo. Ecquis aliquid majore cum compassione, quam est istud, dicat ? Fornicantem oculum in faciem alienæ mulieris projecisti, et quod haud licuerit, impudico et peregrino intuitu oblectabaris : per visum liquidiorem, affectus venenum mollibus instillasti cordibus : exinde flammam luculentiorem et magis violentam in cogitatione accendisti : ad cor usque processit incendium : ac sola opportunitas comperendinat actum : et quomodo non in corde adulterasti eam ? Procul dubio, diceret alius, si te hoc ipsum in sua uxore videret attentasse, consummasse cum illa adulterium. Amat enim quilibet, quidquid in alios ipse commiserit, et tardius videre, et moderatius censere : sed quod in ipsummet admissum est, acutius cernere, et summum in judicando rigorem exercere. Oculos, alienis oculis adjecisti : per eosdem fornicantes emisisti radios : abinde, e conversim ejaculationes in te reflectuntur improbiores. Totum, e medio corde innodatum, vinctum et captivum animal abducis, ipse per eosdem funes attractus : vulneratus es vulnerasti : prostratus es prostravisti.

Et quidni perspicue hoc sit adulterium ? Verum misericors Deus non id ita reputat : circumscribit peccatum, et cordi affigit, ubi passio producebatur. Ait enim : « In corde adulterasti eum. » Vides ut qui optimus est, benigne reputet quæ definit, nobis parcens ? Sed præter jam allata illud cogita. Hoc ille scitum protulit, non ut meditatus in nos supplicium, sed ut eximens nos a supplicio. Certe, qui libenter et cum affectu quodam animi, tam incongruis spectaculis immoratur, eo pene processit, ut ipsum se actu totum proluat. Quocirca, ut nos a supplicio liberaret, causas omnes removet unde nos nobis pœnas accersimus. Quod si velis rem intentius mente recolere, videre tibi licet, quod per hoc præceptum consolationem humanitatis plenam suggerit, et manuductionem ad salutem, non autem supplicium construit implacabilis, non pœnam nullo modo redimendam. Cum enim, quæ

A στάδιον, τυχεῖν κοτίνου · καὶ δύο στάδια, χρυσοῦ στεφάνου ἀξιωθῆναι. Δῆλον γὰρ, ὡς κουφότερος ὁ τῶν δύο σταδίων πόνος, ἢ ὁ τοῦ ἑνὸς, τῇ ἀσυγκρίτῳ τοῦ ἐπάθλου ὑπεροχῇ καὶ λαμπρότητι, τῆς ταλαιπωρίας κουφιζομένης, καὶ μηδ' αἴσθησιν ἐπιγίνεσθαι συγχωροῦντος, τῆς διπλῆς συντριβῆς, καὶ τῶν διπλῶν ἱδρώτων, τῷ κάμνοντι. Ἐπὶ τούτοις δὲ, οὐδὲ μοιχείαν ἁπλῶς, τὴν τοιαύτην διὰ τῶν ὀφθαλμῶν συμπλοκὴν, διωρίσατο · ἀλλὰ μοιχείαν εἰπὼν, ἐν καρδίᾳ, καὶ τὸ δοκοῦν σφοδρὸν τῆς ἀποφάσεως, καὶ ἀπότομον, νόμῳ συμπαθείας ἀφάτου ἐκόλασεν [1]. Ἐν καρδίᾳ, φησὶν, ἡ μοιχεία συνέστη, ἣν ὁ διὰ τῶν ὀμμάτων οἶστρος καὶ γαργαλισμὸς κατειργάσατο · ὅπως ἂν τις φιλανθρωπότερον, ἢ οὕτως εἴποι ; Ἔρριψας ὄμμα πορνικὸν ἐπὶ πρόσ- B ωπον γυναικὸς ἀλλοτρίας · ἐνετρύφησας, οὐκ ἐξὸν, ἀσελγεῖ καὶ ξένῳ θεάματι · βλέμμασιν ὑγροτέροις τὸν ἰὸν τοῦ πάθους ψυχαῖς ἐνέσταξας ἀπαλωτέραις · ἀνῆψας ἐκεῖθεν, σφοδροτέραν λοιπὸν καὶ ἀκάθεκτον, ἐν τοῖς λογισμοῖς τὴν φλόγα · μέχρι καρδίας ἡ πύρωσις διῆλθεν · εὐκαιρία μόνη πρὸς τὴν πρᾶξιν λείπει · πῶς οὐκ ἐμοίχευσας ἐν καρδίᾳ ; Ἀλλ' εἶπε μὲν ἴσως ἄλλος ἄν τις, ὡς καὶ μοιχείαν τελείαν εἰργάσω, ἂν εἰς τὴν ἑαυτοῦ σε μάλιστα συνῆθετο τοῦτο δεδρακότα. Φιλεῖ γὰρ ἕκαστος, ὥσπερ, ὅσα μὲν αὐτὸς εἰς ἄλλους ἥμαρτε, μέτρια ποιεῖν, καὶ βραδύτερον ἐπισκοπεῖν, οὕτως ὀξύτερον, τὸ εἰς ἑαυτὸν ἀδίκημα βλέπειν, καὶ τότε γενέσθαι τοῦ ἀκροδικαίου. Ἐπέβαλες ὀφθαλμοὺς ὄψεσιν ἀλλοτρίαις, πορνικὰς δι' αὐτῶν ἐκπέμπων ἀκτῖνας · ἀντανεκλάσθησάν σοι πά- C λιν ἐκεῖθεν μιαρώτεραι βολίδες · ὅλον, ἐκ μέσης δεσμήσας καρδίας, αἰχμάλωτον ἕλκεις τὸ ζῶον, τοῖς αὐτοῖς ἀνθελκόμενος βρόχοις · ἐτρώθης, ἔτρωσας · κατεβλήθης, κατέβαλες.

Πῶς οὐχὶ σαφὴς τοῦτο μοιχεία ; Ἀλλ' οὐχ ὁ φιλάνθρωπος ἡμῶν Θεὸς οὕτως · ἀλλὰ μέχρι καρδίας, ἐν ᾗ καὶ τὸ πάθος ὑπέστη, περιγράφει τὴν ἁμαρτίαν. « Ἐμοίχευσας γὰρ, φησὶν, ἐν καρδίᾳ. » Ὁρᾷς ὅπως χρηστῶς, ὅπως κούφως, πάντα γνωματεύει · ὅπως ἡμῶν φείδεται ; Πρὸς δὲ τοῖς εἰρημένοις κἀκεῖνο λογίζου · ὅτι οὐχὶ τιμωρίαν ἡμῖν ἐπινοῶν, ἀλλὰ τιμωριῶν ἐξαιρούμενος, ταύτην ἀνεῖπε τὴν γνώμην. D Ὁ γὰρ τοῖς τοιούτοις ἐμφιλοχωρῶν ἀτόποις θεάμασιν, ἐγγύς ἐστι καὶ πρὸς αὐτὴν τὴν πρᾶξιν ὅλως βαπτισθῆναι. Ἵνα οὖν ἡμᾶς ἐξέληται τοῦ κολασθῆναι, προαναστέλλει τὰς αἰτίας τῶν, ἐφ' οἷς εἰσπραττόμεθα τὰς τιμωρίας. Ἴδοις δ' ἂν μᾶλλον ἐπισκοπούμενος, ὡς οὐχὶ ποινὴν ἀδυσώπητον · οὐδὲ τιμωρίαν ἀλογοθέτητον · ψυχαγωγίαν δὲ μᾶλλον φιλάνθρωπον, καὶ χειραγωγίαν σωτήριον, διὰ ταύτης ἡμῖν τῆς ἐντολῆς μεθοδεύει. Πῶς ; Ἐπεὶ γὰρ, οἷα πολλὰ τὰ ἀνθρώπινα, καὶ χωρὶς μελέτης καὶ περιεργίας, εἰς

[68] I Cor. II, 9.

VARIÆ LECTIONES.

[1] ἔκοψεν· ἐκόλασεν habet et Mon

ἀτόπους ἐκφερόμεθα πράξεις· ἵνα ἐπειδὰν μηδὲν προμεμελετηκότες, μηδὲ τοῖς λογισμοῖς τὸ πάθος στηλώσαντες, κατά τινα δὲ βίαν, ἢ συναρπαγὴν, ἢ δόλον, εἰς τοιαύτην παρολισθήσωμεν πρᾶξιν, τηνικαῦτα μὴ καταπέσωμεν παντελῶς, μηδ' εἰς ἀπόγνωσιν ἑαυτοὺς ἀπορρίψωμεν. Ἀλλ' ἐννοοῦντες, ὅτι μήτε μελέτης, μήτε σπουδῆς, μήτε λογισμῶν, συγκαταθέσεως προηγησαμένης, τῷ πτώματι παρεσύρημεν, θᾶττόν τε αὐτοὺς ἐκεῖθεν ἀναστήσωμεν, καὶ πρὸς μετάνοιαν δράμωμεν, μεγάλην ἐφευρηκότες ἀφορμὴν συγγνώμης, τὸ μὴ μετὰ γνώμης πεσεῖν. Ἵνα οὖν τούτοις τοῖς λογισμοῖς, ἐπειδ' ἂν ἐξ ἐπιδρομῆς, ἢ τέχνης τινὸς [u] ἢ καὶ τυραννίδος ἁλῶμεν, ψυχαγωγεῖν ἔχωμεν ἑαυτοὺς, καὶ προθυμότερον πρὸς τὴν διόρθωσιν εὐθυδρομῶμεν, ταύτην ὁ Σωτὴρ ἀπεφήνατο τὴν γνώμην· ἐν τῇ τῶν χειρόνων αἱρέσει, καὶ τῶν λογισμῶν τῇ συγκαταθέσει, ἀλλ' οὐκ ἐν τῇ πράξει μόνῃ, τὸ τῆς ἁμαρτίας περιστήσας. Τοῦτο δὲ οὐ βαρύνοντός ἐστι, δίχα λόγου, τὸ συνειδὸς τῶν ἁμαρτανόντων, ἀλλὰ βεβαρημένην, τῶν οὐκ ἐκ μελέτης ἁλόντων, ἀνακουφίζοντος τὴν συνείδησιν, καὶ παρηγοροῦντος. Ὥσπερ γὰρ τοῖς δι' ἐκείνων προελθοῦσι τῶν ἐρεθισμάτων, μέγα καὶ δύσοιστον τὸ κατάκριμα. (Τί γὰρ ἐμελέτας; τί δ' ἀνηρέθιζες τὰ πάθη; καὶ τῆς φαύλης αἱρέσεως ὅλον σεαυτὸν ἐποίεις, ἐκὼν ἀποστὰς τῶν κρειττόνων, καίτοι τὸ θέλειν τὰ ἀμείνω ῥᾴον; « Παράκειται γὰρ καὶ ἐν ἑτοίμῳ πᾶσιν, ὡς καὶ Παῦλος βοᾷ, τὸ τὰ ἀγαθὰ θέλειν, » καὶ οὐδὲν ἐργῶδες μισεῖν τἀναντία.) Ἀλλὰ γὰρ ὥσπερ τοῖς τοιούτοις τὸ τῆς κατακρίσεως χαλεπόν· οὕτω τοῖς μὴ διὰ τῶν ὁμοίων παρενεχθεῖσι, προφθάνει τῆς τιμωρίας ἡ φιλανθρωπία, ἐν τῇ ταχινῇ μεταμελείᾳ, ῥᾳδίαν τὴν συγγνώμην καὶ τὴν ἀθώωσιν χαριζομένη. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. Σὺ δέ μοι καὶ πράξεις ἀτόπους ἐκτρέπου, καὶ εἴδωλα τοῖς λογισμοῖς, διὰ περιέργου καὶ ἐμπαθοῦς ὄψεως, ἀνιστᾷν ἀπέχου, ἵνα σοι καὶ τοῖς τοιούτοις λόγοις τρυφᾷν [v], ἀλλὰ μὴ δυσχεραίνειν, περιγίνοιτο.

A est rerum conditio humanarum, etiam absque aliqua meditatione aut curiositate, in absurdas deferimur actiones; ideo, in eum finem, ut, cum neque dedita opera, nec cogitationi penitus inhærente affectu, sed per vim, per rapinam, per fraudem inducti, in ejusmodi actum exorbitavimus; tum, ut ne penitus concidamus, aut abjiciamus nos in desperationem; sed reputantes, quod nec de meditatione, nec studio, nec ratiocinatione, condescensione præcedente, in prolapsionem subtracti fuimus celerius nosmet resuscitabimus, ad pœnitentiam accurremus, primam quamque veniæ indulgendæ occasionem arripientes, minime nos, de animi sententia prolapsos esse. Quocirca, quoties ab incursu, vel per aliquod artificium, aut vim B tyrannice adhibitam occupamur, istiusmodi solationibus nos reficere et fovere possumus; ut sic alacriori cursu feramur ad emendationem. Hanc sententiam Servator protulit, ut in deteriorum electione, et rationis consensu, peccati naturam, et non in solo actu, circumscribat. Nec est hoc onerantis sine ratione conscientiam delinquentium; sed alleviantis potius et consolantis conscientiam prægravatam, eorum, qui non e certo proposito abripiuntur. Quemadmodum enim illis qui ab ipsorum excitationibus profecti sunt, condemnatio accidit justa et importabilis (quid enim studiose meditatus es? quorsum affectus sic irritasti? quare te totum componis ad improbitatem amplexandam, sponte declinans et recedens a melioribus, cum C tamen facile fuerat ut appeteres meliora? « Adjacet enim cuique, uti Paulus ait, velle bonum [o] : » nec est onerosum odisse mala). Ut istis durum est ac intolerabile condemnari; ita eos, qui non per similia abripiuntur, suppliciis exemptos, prævenit misericordia; et in celerala pœnitentia non difficulter donat indulgentiam, et a reatu absolutionem. Et hæc quidem hactenus. Tu autem actiones quaslibet absurdas aversatur; et idola quædam per cogitationem curioso et affectuoso intuitu erigere absistis, ut sic demum lætari possis, et quasi luxuriari, nec ullo modo affici talibus sermonibus vel offendi.

ΕΡΩΤΗΣΙΣ ΣΚΑ'.

Ποίας αἱρέσεως ἦν Εὐσέβιος ὁ Παμφίλου;

QUÆSTIO CCXXI [*Coisl.* CLXVI, *Taur.* CLXV].

Cujus hæresis erat Eusebius Pamphili?

Edita a Montacutio (ep. 144, ad Constant. p. 201) et a B. de Montfaucon (*Biblioth. Coisl.* p. 548).

Εὐσέβιος, ὁ τοῦ Παμφίλου εἴτε δοῦλος εἴτε συνήθης, ὅτι μὲν Ἀρειανισμῷ ἑάλω, βοῶσι μὲν αὐτοῦ τὰ βιβλία. Καὶ αὐτὸς δὲ μεταμελόμενος δῆθεν καὶ ἄκων τὴν νόσον ἀνομολογεῖ, κἂν τῇ μεταμελείᾳ δὲ μᾶλλον ἑαυτὸν δείκνυσιν ἀμεταμέλητον. Οὐ γὰρ ἑαυτὸν ἐκστῆναι τῆς προτέρας κακοδοξίας δι' ὧν ἔδοξεν ἀπολογεῖσθαι συνίστησιν, οὐδὲ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ

D Eusebium, Pamphili sive servum sive familiarem, Arianismo fuisse correptum (1), ejus libri clamant. Ipse vero pœnitentia ductus vel invitus morbum confessus est, etiamsi vel ipsa pœnitentia ipsum nullo modo pœnituisse declaret. Non enim se a prava sententia desistere per illam, quam parat apologiam, profitetur, neque cum sancta et

[o] Rom. VII, 18.

VARIÆ LECTIONES.

[u] διαβολικῆς deest in Monach. quoque. [v] *Isc.* ἐντρυφᾷν. τρυφᾷν habet et Monach

NOTÆ.

(1) De Eusebii Arianismo fuse disputavimus in Animadversionibus in Vitam et scripta Athanasii in fronte *Collectionis novæ SS. PP.* Nobis astipulatur Photius, qui eum palam Arianum declarat. Quoad Origenianismi notam, quam illi inurit idem, nihil nobis proferendum suppetit: eritque id, ni fallor, novum inter doctos controversiæ argumentum: quanquam non defuerunt, qui jam ipsum ex frequenti Origenis operum lectione in Origenianos quosdam errores lapsum suspicati sint. MONTF.

Digitized by Google

œcumenica synodo se consentire indicat, sed *consubstantialis* patronos secum sententia et mente convenire portentose fingit. Quod tum alia plurima, tum epistola, quam Cæsariensibus scripsit, demonstrat. Verum quod ab initio Arianam opinionem foverit, et usque in finem ab ea tuenda non destiterit, multi probe sciunt, et multis ex partibus argui facile potest. Quod autem Origenis morbo, quo ille circa communem nostram resurrectionem affectus erat, laborarit, tametsi multi ignorant; si tamen cum examine ejus libros evolveris, sane videbis eum non minus hoc pernicioso morbo laborasse, quam Arianico furore correptum fuisse.

A συμφωνῆσαι [v] συνόδῳ· ἀλλὰ τοὺς τοῦ *ὁμοουσίου* πρεσβευτὰς αὐτοῦ συνελθεῖν τῷ φρονήματι καὶ συνδιατεθῆναι τῇ γνώμῃ, τερατεύεται. Καὶ τοῦτο σαφῶς ἄλλα τε πλείονα παριστῶσι, καὶ ἡ τοῖς Καισαρεῦσιν αὐτῷ γραφεῖσα ἐπιστολή. Ἀλλ' ὅτι μὲν ἀπ' ἀρχῆς τὰς Ἀρειανικὰς δόξας ὑπέθαλπεν, καὶ μέχρι τέλους οὐ διέλιπε περιέπων, πολλοί τε συνεπίστανται, καὶ ῥᾴδιον ἐστι λαβεῖν πολλαχόθεν. Ὅτι δὲ καὶ τῆς Ὠριγένους νόσου μετέσχεν, ἣν κατὰ τῆς κοινῆς ἡμῶν ἐκεῖνος ἐνόσησεν ἀναστάσεως, εἰ καὶ τοὺς πολλοὺς ὑπολανθάνει· ἀλλ' οὖν αὐτὸς σὺν ἐρεύνῃ τοὺς ἐκείνου λόγους ἀναλεγόμενος, οὐδὲν ἔλαττον αὐτὸν τῷ ὀλεθρίῳ τούτῳ ἀῤῥωστήματι [ἢ] ταῖς Ἀρειανικαῖς μανίαις κεκρατημένον ὄψει.

QUÆSTIO CCXXII [*Coisl.* CLXVII, *Taur.* CLXVI].

Quid est illud : « Qui minor est in regno cœlorum major est illo [70]*? »*

ΕΡΩΤΗΣΙΣ ΣΚΒ'.

Τί ἐστιν· « Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν; »

B

Edita a Montacutio (ep. 135, ad Constantin. p. 180-189).

Quod per quæstionem in Prærcursoris laudem dicitur : « At qui minimus est in regno cœlorum, major illo est ; » scio plurimos ex iis qui me præcesserunt, arbitrari Servatorem ita protulisse, ut proprii animi sensum explicaret. Inter illos quidam connectunt illud, *minimus*, cum illis *in regno cœlorum*, et ὑφ' ἓν, aut tanquam unicam periodum, pronuntiant : atque illum qui in illo regno aliis minor est omnibus, majorem existimant Joanne. *Regnum* illi hic interpretantur, tempus destinatum post Dominicam resurrectionem : quo temporis curriculo, res fidei per crucem, baptismum, spiritum, perfectionem et robur acquirebant. *Minimum* in eo, postremum inter eos volunt, qui in illa politia conversantur; qui utcunque quam cæteri minus C possidet, magis tamen Joanne consequitur. Præcursor enim, aiunt, sub legis adhuc disciplina vivens, inter *natos* censetur de *mulieribus*, et contra illos omnes principatum retulit. At qui sub gratia vivit, inter *natos* est de Spiritu, et de sursum regeneratos; « Dedit enim ipsis potestatem filios Dei esse, qui in nomen ipsius credunt, qui non ex sanguinibus, nec de voluntate carnis, sed ex Deo nati sunt [70*]. » Atque nullo istorum inquiunt, Præcursor major est, quinimo vel minimo eorum indigentior. Atque hactenus illi. Alii, Baptistam, opinor, nec immerito, reveriti, ne talem tantumque virum cum nullo eorum qui per *gratiam* consummantur, æquiparandum statuant, sed vel minimo magis vilem : in primis illud, « Is qui minimus est, » per disjunctionem a sequentibus, « qui in regno cœlorum est, » legunt : secundo, « per regnum cœlorum » expeditius secundum Domini adventum capiunt; *minimum* dici volunt ipsum Dominum Jesum Christum, qui utcunque in primi sui adventus tempore, de multorum opinione non erat major quam Præcursor; tunc tamen temporis ab omnibus, etiam non volentibus eum olim agnoscere et profiteri, cum horren-

Τὸ περὶ τοῦ Προδρόμου ἐν ἐπαίνῳ καὶ κατ' ἐρώτησιν εἰρημένον, « Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν· » τοὺς πλείστους τῶν πρὸ ἡμῶν, ἀποφαινόμενον εἰπεῖν τὸν Δεσπότην, καὶ ψῆφον οἰκείαν φέρειν, ὑπειληφότας ἐγνώκαμεν. Τούτων δὲ, οἱ μὲν συνάπτοντες τὸ, *μικρότερος*, καὶ τὸ, *ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*, ὑφ' ἓν ἀναγινώσκουσι· καὶ τὸν ἐν αὐτῇ τῶν ἄλλων μικρότερον, τοῦ Ἰωάννου τιθέασι μείζονα· *βασιλείαν* μὲν ἐνταῦθα, τὸν μετὰ τὴν Δεσποτικὴν ἀνάστασιν [x] ἐξακούοντες· καθ' ὃν μάλιστα τῷ σταυρῷ, καὶ τῷ βαπτίσματι, καὶ τῷ Πνεύματι, ἐτελειοῦτο καὶ ἐκρατύνετο τὰ τῆς πίστεως· *μικρότερον* δὲ, τῶν ἐν αὐτῇ πολιτευομένων, τὸν ἐλάσσονα· ὃς εἰ καὶ τῶν ἄλλων ἔχει τὸ ἔλαττον, ἀλλ' οὖν τοῦ Ἰωάννου τὸ μεῖζον ἀποφέρεται. Καὶ γὰρ ὁ μὲν Πρόδρομος ἔτι, φασὶν, ὑπὸ τῷ νόμῳ πολιτευόμενος, ἐν *γεννητοῖς* ἐστι *γυναικῶν*, καθ' ὧν ἁπάντων, καὶ τὰ πρεσβεῖα ἠνέγκατο· ὁ δὲ ἐν τῇ χάριτι, καὶ ἐν *γεννητοῖς* ἐστι Πνεύματος, καὶ ἀναγεγεννημένος ἄνωθεν. « Ἔδωκε γὰρ αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν· » ὧν ὁ Πρόδρομος οὐδενὸς, φασὶν, οὐχ ὅτι μείζων, ἀλλὰ καὶ τοῦ μικροτέρου [y] ἐνδεέστερος. Ἀλλ' οἱ μὲν οὕτως. Οἱ δὲ τὸν Βαπτιστὴν, οἶμαι, καὶ δικαίως δυσωπούμενοι, εἰ τηλικοῦτον ὄντα, μηδενὸς τῶν ἐν τῇ *χάριτι* τελειωθέντων ἰσοστάσιον, ἀλλὰ καὶ τοῦ μικροτέρου ποιήσωσιν εὐτελέστερον· πρῶτον μὲν τὸ, « ὁ δὲ μικρότερος, » κατὰ διαστολὴν τοῦ, « ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, » ἀναγινώσκουσιν. Ἔπειτα, « βασιλείαν οὐρανῶν, » ἑτοιμότερον τὴν Δεσποτικὴν καὶ δευτέραν παρουσίαν ἐξακούουσι· *μικρότερον* δὲ, αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ὃς, εἰ καὶ μὴ κατὰ τὸν καιρὸν τῆς πρώτης αὐτοῦ παρουσίας, μείζων τοῦ Προδρόμου τοῖς πολλοῖς ἐνομίζετο· ἀλλ' οὖν τηνικάδε πᾶσι, καὶ τοῖς μὴ βουληθεῖσιν ἐπιγνῶναι πάλαι, μετὰ

D

[70] Luc. VII, 28; Matth. XI, 11. [70*] Joan. I, 12, 13.

VARIÆ LECTIONES.

[v] vel συμφρονῆσαι. [x] add. καιρόν. [y] add. ἔτι.

Digitized by Google

φοβερᾷς καὶ φρικώδους ἐπιγνωσθήσεται τῆς εἰδήσεως, κριτὴς πάντων καὶ βασιλεὺς παραγενόμενος. Ἀλλὰ καὶ οὗτοι, *μικρότερον* εἰρῆσθαι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐ κατὰ μίαν καὶ τὴν αὐτὴν παρεδέξαντο ἔννοιαν· ἀλλ' οἱ μὲν τῷ χρόνῳ τῆς κατὰ σάρκα γεννήσεως (μησὶ γὰρ ὅλοις ἓξ ὁ Δεσποτικὸς τόκος τοῦ Προδρόμου ὑπελείπετο)· οἱ δὲ, τῷ μήκει τῆς ἡλικίας· ὑπερέχειν γὰρ τοῦ Δεσπότου, καὶ τῇ τοῦ σώματος ἀναδρομῇ, τὸν Βαπτιστὴν παραδέδοται· ἄλλοι δὲ τὸ *μικρότερος* εἰρῆσθαι πρὸς τὴν τῶν πολλῶν ὑπόληψιν ἐξειλήφασιν· ὑπείληπτο γὰρ μείζων ὁ Ἰωάννης, ἅτε δὴ Θεῷ ἐκ βρέφους ἀνειμένος, καὶ βίον ἄσκευον [a] ἐκ σπαργάνων αὐτῶν καὶ ἐρημικὸν ἐπανῃρημένος· καὶ διότι τὸν βαπτίζοντα τοῦ βαπτιζομένου, ὁ πρόχειρος λόγισμος [a] ἐθέλει σεβασμιώτερον· ἀλλ' οὗτοι μὲν, κἂν ἐπὶ διαφόρους αἰτίας, μικρότερον τοῦ Προδρόμου τὸν κηρυσσόμενον τοῖς πολλοῖς νομισθῆναι συγκατέθεντο, πλὴν ἀλλ' ὁμοφώνως ἀναῤῥηθῆναι μείζονα τοῦ δούλου τὸν Δεσπότην, κατὰ τὴν οὐράνιον ἐκείνην καὶ φρικτὴν βασιλείαν, ἀπεφήναντο. Ἐγὼ δὲ τούτοις διαιτᾶν ἐμαυτὸν ἐξιστᾶς, καὶ τὸν ἄμεινον εἰπόντα φυλοκρινεῖν [b] οὐ νομίζων ἐμόν· οὐδ' ὡς ἀντεῖποιεν οἱ ἐπικληθέντες τοῦ Βαπτιστοῦ πολλὴν καταγνῶναι ταπεινότητα, ὅτιπερ οὐδὲ τοῖς αἰτιασαμένοις ὑμῖν μέγα τι διανενόηται, μείζονα τοῦ δούλου τὸν Δεσπότην ἀποφῆναι. (Ποῖον γὰρ κλέος Δεσπότην δούλου μείζονα φαίνεσθαι· καὶ τότε κατὰ τὴν ἄφραστον ἐκείνην καὶ φρικτὴν παρουσίαν;) Οὐδὲν οὖν τούτων λέγειν, ἐμὸν εἶναι δικαιώσας, ἀλλὰ καὶ τοὺς ἄνδρας ἀρχιερεῖς ὄντας μάλιστα, καὶ Θεῷ θεράποντας, στέργων, καὶ χάριν μεγάλην ὑπὲρ ὧν εἶπον, ὁμολογῶν (οὐ γὰρ ὅσα ταῖς ἑτέρων διανοίαις ἐνστασιν ποιεῖ, ταῦτα καὶ τοῖς ἐξαρχῆς εἰποῦσι λαβήν τινα προξενεῖ· ἀγαπητὸν μὲν εἴ τις ἀρχόμενος ὑψηλῆς τινος θεωρίας, ἐπὶ ποσόν τι τῆς ἀληθείας ἐφίκοιτο· οἱ δέ γε κλεινοὶ τῶν Πατέρων ἡμῶν, ἐπί γε τὸ πλεῖστον, καὶ εἰς ἀκρίβειαν τὴν τῶν θείων χρησμῶν διάνοιαν ἀπεκάλυψαν), πλὴν γε δὴ τοὺς ἄνδρας ἐν τοῖς μάλιστα τιμῶν καὶ θαυμάζων, οὐδ' ὅπερ ἐμοὶ παρέστη, σιγήσομαι. Ὁρῶ τοιγαροῦν ἐνταῦθα σκοπὸν τῷ Δεσπότῃ, οὐχ ἑαυτοῦ τὸν Βαπτιστὴν ὑποδεδηκότα δεῖξαι, οὐδ' ἄλλου τινὸς (μὴ ὅτι γε τοῦ μικροτέρου πάντων ἀτιμότερον), ἀλλὰ καὶ πᾶν τοὐναντίον ἐπαίνοις δοξάσαι· καὶ γὰρ τῶν προειρημένων, τὸ μὲν ἀσύμφορον ἴσως, τὸ δὲ ταπεινόν· ἄν τε γὰρ τὸν κήρυκα εἰς ἐσχάτους ἐλαύνοις, οὐδὲ τοῦ κηρυσσομένου τὸ ὑψηλὸν διασώσεις· καὶ τὸ δοῦλον ἐλαττῶσαι, μάλιστα νυνὶ παρέλκον, καὶ μικρολογίαν οὐκ ἐκφεύγει· ἀλλ' ὅ γε ὁ Δεσποτικὸς σκοπὸς δῆλός ἐστιν εἰς ἔπαινον ἀφορῶν, καὶ μάλα δικαίως, τοῦ Προδρόμου· ᾖχει μὲν γὰρ ὁ μέγας ἐκεῖνος ἄνθρωπος, ὑπὲρ θείων νόμων τὸ δεσμωτήριον· ἀλλὰ τῶν μὲν κακῶν, οἷς συνείχετο ὑπερεώρα· ἐδεδίει [c] ἄρα οὐχὶ τὸ ξίφος, οὐδὲ τὴν σφαγήν· ἀλλὰ μὴ, τὸν θάνατον

A do et horribili aspectu agnoscetur, judex nimirum in adventu illo et rex apparens : sed tamen isti Dominum nostrum Jesum Christum, *minimum* dici arbitrantur, non secundum unam et eamdem intelligentiam. Quidam referunt ad tempus nativitatis in carne; nam per sex totos menses, nativitas Præcursoris, Domini, antevertebat. Alii ad ætatis extensionem et vitæ mensuram : traditum enim est, Præcursorem Dominum excessisse cursu corporali suo. Alii illud *minimus* secundum multorum opinionem dictum arbitrantur; ferebatur enim major Joannes, utpote Deo ab infantia consecratus, quique vitam asceticam et eremicolam ab ipsis crepundiis sectabatur : tum quod communi et trito sermone, is qui baptizat major habetur B baptizato et venerabilior. Attamen isti, utcunque propter diversas causas, eum qui prædicabatur, minorem Præcursore a multis existimatum consentiant, nihilominus unanimi conspiratione docent, Dominum suo servo majorem prædicari in regno illo cœlesti, et adorando. Ego me hisce conciliandis non immisceo, nec mihi arrogo facultatem dijudicandi, quinam ex illis potiorem sequantur sententiam; nec contra contendent illi ob hanc causam, qui dicuntur extremam Baptistæ humilitatem exprobrare; sed nec vos qui queruli culpatis, quasi magnum nescio quid cogitaretur in eo, quod major esse servo suo prædicatur Dominus (quantum enim, quæso, accedet gloriæ, si Dominus servo major appareat, maxime per adventum illum C ineffabilem et formidabilem); nihil igitur istorum affirmare cum ad me statuam attinere, sed auctores, cum essent homines episcopatu prædili, dilectione prosequens, et simul ipsis gratias multas debere agnoscens pro scriptis suis (nec enim eadem quæ evidentiam aliorum animis imprimunt, iis qui principes illa prædicarant verba Scripturæ ansam exporrigunt; certe habendum est in numerato, si quis exorsus sublimem aliquam speculationem quadantenus progreditur in apprehendenda veritate : præclari certe Patres illi nostri, plerumque sacrarum Litterarum intimos sensus exactius expressere), tamen cum illos summo honore prosequar, non ego subtacebo quod mihi visum est. Animad- D verto enim hoc in loco, Dominum haudquaquam id intendere, ut se Baptistam superambulare demonstraret, ne quidem in aliqua re (nedum ut per illud *minimus* omnium hominum poneret vilissimum), sed plane contrarium, voluisse laudibus illustrare. Certe præallegatarum sententiarum, una incommoda est fortassis, altera humilis; nam si præconem in ima subsellia rejeceris, haud tueberis prædicati sublimitatem; et servum imminutum dare inprimis supervacaneum est, nec non abjecti animi existimabitur. Scopus Domini manifeste collimet

VARIÆ LECTIONES.

[a] ἀσκητικόν. [a] Cod. Mon. recte ποιεῖν ἐθέλει. [b] C. M. recte φιλοκρινεῖν. [c] C. M. add. δέ.

Digitized by Google

laudem Præcursoris (nec immerito), egregius enim ille vir pro lege tunc divina includebatur carceri; mala quibus stringebatur infra se posita ducebat; nec metuebat gladium, non occisionem; sed ne cum mortem superasset perniciosum dogma subintroductum apud homines deponeret, et Domini magnalia per socordiam neque quidem leviter vilificaret; plurimi enim præconem ipsum præconizato majorem arbitrabantur: quorum e numero erant ex ejus discipulis aliqui, per ambitionem hoc morbo laborantes, magistri sui præstantiam ad ipsorum propriam existimationem augendam trahentes. Hoc cum ille adverteret, urebatur, et ut improbam hanc evelleret opinionem, nil non tentavit; sæpe varios miscendo sermones discipulos inde abducere nitebatur; quos cum videret haud sufficienter, movere, quin potius ut acrius certamen inirent, aliam inivit rationem, et ab ipso oculorum intuitu cogitavit id iis persuadere.

A ὑπερχόμενος, ὀλέθριον δόγμα ὑπολείποιτο τῷ βίῳ· καὶ τὸ τοῦ Δεσπότου μεγαλεῖον, τῷ καθ' ἑαυτὸν ῥᾳθύμῳ, οὐκ ἐν μικροῖς ταπεινώσει [d]· πολλοὶ γὰρ μείζονα τοῦ κηρυσσομένου τὸν κήρυκα ὑπενόουν. Ἐξ ὧν τινες καὶ τῶν αὐτοῦ μαθητῶν ὑπὸ φιλαυτίας τοῦτο ἔπασχον, τὴν ὑπεροχὴν τοῦ διδασκάλου εἰς αὔξησιν οἰκείας ἐπισπώμενοι δόξης. Ἅπερ ὁρῶν ἐκεῖνος, ὅλος ἐφλέγετο, καὶ τὴν πονηρὰν ταύτην ὑπόνοιαν ὥστε καθελεῖν, πάντα ἔπραττε· καὶ πολλάκις μὲν τοὺς μαθητὰς ἀπάγειν ἐπεχείρει, ποικίλοις λόγοις, [e] τῆς ὑπολήψεως· ἐπεὶ δὲ τοὺς λόγους ἑώρα τῆς ἐκείνων γνώμης ἡττωμένους, καὶ τὰ τῆς φιλονεικίας ἐπικρατέστερα, ἐπ' ἄλλην ἴδεν ὁδὸν, καὶ τὴν δι' αὐτοψίας πειθὼ προσάγειν αὐτοῖς ἐμελέτησε.

Vide mihi sis autem quam prudenter hoc tractat argumentum. Mittit discipulos ad eum cujus æmulatione capiebantur, et quæstionis formam præscribendo id agit, ut per ea quæ oculis usurpabant salutem ipsorum procuraret, atque error ille antiquior per discipulorum emendationem etiam apud alios excuteretur, et in toto diffluueret; itaque ubi advenerant (is qui Baptistæ immiserat cogitationem illam), verbis ad quæsita nihil respondet; sciebat enim et persuasum habebat, eum qui per exsultationem in utero materno, qui per maternam linguam ipsum prædicaverat, necnon plurimis deinceps illustrissimis testimoniis et divinis enuntiationibus idem præstiterat, nulla indigere ulterius de se doctrina; ita signis et prodigiis opinionem excedentibus, inconcretum suæ suggerit Deitatis; qui eos mittebat id machinabatur ut suspensos redderet a miraculis, quos demum morigeros præceptori factos, et divinitatis suæ præcones remittit Christus. Enimvero Baptista cum hoc modo discipulis errorem exemisset, per eosdem etiam cæteros omnes, viæ dux ad communem Dominum se transferre fecit. Quin et Servator, cum auditores suos ad imitationem reliquarum viri virtutum induxerat, tantum ipsius atque tale studium amplexatus, propensionem animi Dominicis suis et meritis remunerat encomiis; neque enim committere volebat is qui gratis omnibus universum benefactor exstitit, ut inhonoratum Baptistam solum ex omnibus dimitteret, pro amore præfundato et affectu usque ad mortem inflammato: atque ista fuit, opinor, princeps laudandi illum causa. Nihilo inferior est hæc. Quandoquidem illud, « Tune is qui venturus es, » etc., ob salutem discipulorum procurandam interrogabat; interrogationis autem prima facies ab ignorantia Baptistam hoc siscitatum fuisse suggerit iis qui prudentem et artificiosam quæstionem haud intentius ponderaverint: ut ab

B Καὶ ὅρα ὅπως ἐμφρόνως μεταχειρίζεται τὴν ὑπόθεσιν. Πέμπει τοὺς μαθητὰς πρὸς τὸν ὑπ' αὐτῶν ζηλοτυπούμενον, καὶ σχῆμα δοὺς ἐρωτήσεως, τὴν ἑαυτῶν παρασκευάζει, διὰ τῶν ὀφθησομένων, σωτηρίαν καρπώσασθαι, καὶ τὴν προτέραν πλάνην ἐν τῇ τῶν μαθητῶν διορθώσει, καὶ τοῖς ἄλλοις ἀναποσβεσθῆναι καὶ διαῤῥυῆναι τέλεον· αὐτίκα γὰρ παραγεγονότων, ῥήμασι μὲν τέως ὁ Σωτὴρ (ὁ καὶ ταῦτα τῷ Βαπτιστῇ χαριτώσας λογίσασθαι) οὐδὲν πρὸς τὴν ἐρώτησιν ἀποκρίνεται· ᾔδει γὰρ, ᾔδει τὸν ἐξ αὐτῆς μήτρας, σκιρτήμασι καὶ μητρῴᾳ γλώσσῃ αὐτὸν προκηρύξαντα, καὶ μυρίαις ὅσαις μετὰ ταῦτα λαμπραῖς μαρτυρίαις καὶ θεοπρεπέσιν ἀναῤῥήσεσι, μηδεμιᾶς δεῖσθαι περὶ αὐτοῦ μαθήσεως· σημείοις δὲ παραδόξοις καὶ τέρασι τὸ ἀσύγκριτον αὐτοῦ παραστήσας τῆς θεότητος (τοῦτο γὰρ ὁ πέμψας ἐπραγματεύετο), ἐξ αὐτῶν ὀμμάτων τοὺς σταλέντας τοῖς θαύμασιν ἀνηρτήσατο, καὶ λοιπὸν εὐπειθεῖς τῷ διδασκάλῳ, καὶ τῆς αὐτοῦ θεότητος ἀναπέμπει κήρυκας. Ἀλλ' ὁ μὲν Βαπτιστὴς, οὕτω τοὺς μαθητὰς μεθιστῶν τῆς πλάνης, καὶ δι' αὐτῶν τοὺς ἄλλους ἀνθρώπους τῷ κοινῷ προσδραμεῖν ἐμεθόδευε Δεσπότῃ. Ὁ δέ γε Σωτὴρ, τῆς τε ἄλλης ἀρετῆς τοῦ ἀνδρὸς εἰς ζῆλον τοὺς ἀκροατὰς προτρέπων, καὶ τῆς τηλικαύτης αὐτὸν καὶ τοσαύτης ἀποδεχόμενος σπουδῆς καὶ προθυμίας, Δεσποτικοῖς καὶ δικαίοις ἀμείβεται ἐγκωμίοις· οὐδὲ γὰρ, οὐδ' ἠνέσχετ' ἄν, ὁ προῖκα πᾶσι καὶ κοινὸς φανεὶς εὐεργέτης, τῆς προκαταβληθείσης στοργῆς, καὶ τοῦ μέχρι σφαγῆς διαπύρου πόθου, ἀγέραστον μόνον τὸν Βαπτιστὴν ἀποπέμψαι. Ἀλλ' αὕτη μὲν, οἶμαι, τῶν ἐπαίνων ἡ πρώτη αἰτία· οὐδὲν δὲ ταύτης ἐλάττων καὶ αὕτη. Ἐπεὶ γὰρ τὸ, « Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; » ὁ μὲν ἐπὶ τῇ τῶν μαθητῶν διηρώτα σωτηρίᾳ. Τὸ δὲ πρόχειρον τῆς ἐρωτήσεως, τοῖς μὴ πρὸς τὸ εὐμήχανον καὶ σοφὸν τοῦ ἐρωτήσαντος διακύπτουσιν [f], ἐξ ἀγνοίας τοῦτο πυθέσθαι τὸν Βαπτιστὴν ὑποτίθεται· ἵνα καὶ ταύτης αὐτὸν τῆς ὑποψίας ἐκ περιουσίας

VARIÆ LECTIONES.

[d] C. M. rectius ταπεινώσει. [e] *Ita. add.* ταύτης· sed deest etiam in Mon. [f] C. M. διακύψουσι. [g] C. M. ἐξ· υφαίνετο.

Digitized by Google

ἐλευθερώσῃ (μεγίστη γὰρ, ὡς ἀληθῶς, κήρυκος διαβολὴ καὶ κατηγορία, τοῦ κηρυσσομένου ἡ ἀγνοία, ἐπὶ τοὺς ἐπαίνους ἔρχεται· καὶ πλείοσιν αὐτοὺς ἐξυφαίνει τρόποις ε. Ἄτοπον γὰρ, ὡς ἀληθῶς, εἰ δι' ὧν ἄλλως προσεκέρδανεν ἂν ὁ Βαπτιστὴς, καὶ τῆς προτέρας διεκπίπτοι δόξης. Διὸ πρῶτον μὲν ἔπαινον προσάγει [h], ἀπ' αὐτῆς ἐκείνης τῶν ἀκροατῶν τῆς ψήφου· τρίτον ἀπὸ τῆς τῶν προφητῶν μαρτυρίας καὶ προῤῥήσεως· τῶν δὲ λοιπῶν δύο, ἑκάτερον ἐκ τῆς ἰδίας καὶ Δεσποτικῆς ἐπικρίσεως· ἀλλ' ὁ μὲν δεύτερος τρόπος, ἐκ τοῦ εὐθέος λέγει τὸν ἔπαινον· ὁ δὲ τέταρτος, ἐκ τοῦ παρακολουθοῦντος ἀτοπήματος, τοῖς ἐξ ἀγνοίας ὑπειληφόσι τὸν Βαπτιστὴν προσενεγκεῖν τὴν ἐρώτησιν, διαπλέκει τὸ ἐγκώμιον. Ὁ μὲν οὖν πρῶτος καὶ ὁ τέταρτος τῶν ἐπαίνων τρόπος, ἐξ ἀναιρέσεως ὑφαινόμενος, τῶν μηδαμόθεν μὲν τῷ Βαπτιστῇ προσηκόντων, μάτην δὲ ἐνίοις ὑπειλημμένων, κατ' ἐρώτησίν τε σχηματίζεται, καὶ τὸν [i] ἐναντίον ἀπαιτεῖ καὶ διδάσκει τῆς ἐρωτήσεως· οἱ δὲ μέσοι, ἐπ' εὐθείας τε τὴν εὐφημίαν, καὶ σὺν ἀποφάσει, ἀναγράφουσιν· ὥσπερ γὰρ, ἐν τῷ, « Τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν ; κάλαμον ὑπὸ ἀνέμων σαλευόμενον ; » οὐ κάλαμον εἶναι τὸν Βαπτιστὴν, ὁ κατ' ἐρώτησιν ἐσχηματισμένος λόγος ἀποφαίνεται, τοὐναντίον δὲ κατασκευάζει, πόῤῥω καθεστάναι πάντων, ὅσοι καλάμου δίκην τὴν γνώμην σαλεύονται· οὕτω καὶ ὁ διὰ τοῦ, « Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι, » παραπλησίως προσαγόμενος, οὐχὶ μικρότερον, οὐ μὲν οὖν ἀλλὰ μηδένα εἶναι τοῦ Προδρόμου παρίστησι μείζονα· οὐδὲ γὰρ, οὐδὲ τῶν ἐπαίνων οὓς ἔπλεκεν ὁ Σωτὴρ, ἐξαίφνης ἂν ἀπεστέρησεν, οὐδ' εἰς ἐσχάτους ἀθρόον τὸν ἐπαινούμενον ἔῤῥιψεν· ἀλλὰ τὸν αὐτὸν εἱρμὸν φυλάττων, οὐδαμοῦ συγχωρεῖ τὸν ἐν τῇ βασιλείᾳ μικρότερον, τῆς ὑπεροχῆς Ἰωάννου νομίζεσθαι μείζονα.

Ἀλλ' ὁ μὲν ἀπὸ τῆς τῶν ἀκροατῶν ψήφου πλεκόμενος ἔπαινος, πλατύτερον εἰπεῖν, τοιοῦτός τίς ἐστιν· Τί ἐξήλθετε εἰς τὴν ἔρημον ; ἆρα κάλαμον ἰδεῖν ὑπὸ ἀνέμου σαλευόμενον [k] ; ἀλλ' ἆρα ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον ; ἢ δῆλον ὡς οὐδαμῶς· ὑμεῖς γὰρ αὐτοὶ, δι' ὧν πρὸς αὐτὸν διεπράξασθε, καὶ τῷ πρὸς τὴν ἔρημον δρόμῳ, τἀναντία τῆς δόξης ταύτης, ἐμαρτυρήσατε· θαυμάσιόν τινα καὶ μικροῦ τοὺς ἀνθρωπίνους ὅρους ὑπερβεβηκότα, τὸν, ὡς ἀληθῶς, τοιοῦτον εἶναι νομίζοντες [l]. Οὐκ οὖν οὐδὲ νῦν ὁ τηλικοῦτος, μεταβολῇ τινι καὶ ἀγνοίᾳ, τὴν διὰ τῶν μαθητῶν ἐρώτησιν ἐμοὶ προσενήνοχεν, ἀλλὰ τοὐναντίον, ἅπερ ἐδίδαξε λόγῳ, καὶ διὰ τῆς ὄψεως αὐτῆς πιστωθῆναι τοὺς μαθητευθέντας, σοφῇ μεθόδῳ συνδιεπράξατο. Τίς γὰρ λόγος ἀνδρὶ τοσούτῳ μεταβολὴν ἐπελθεῖν τῶν κρειττόνων ἢ ἀλλοίωσιν ; ὅπουγε πᾶσα ἡ πρὸς τὸ χεῖρον ἀπόπτωσις, ἢ γνώμης ἀῤῥωστίᾳ, ἢ φιληδονίας πάθει, ἢ φιλαργυρίας καὶ τοῦ κενοῦ τούτου δοξαρίου ἔρωτι, παραγίνεται, οἷς παραγίνεται· δι' ὧν καὶ ἡ πρὸς τὰ λοιπὰ τῶν παθῶν

ista illa suspicione velut ex abundanti liberet (nam certe in summum præconis dedecus cedit, de ignorato præconiato juste accusari) ad illum laudandum descendit; quam laudationem multis modis contexit. Sane parum fuisset congruum, ut Baptista excideret e præcedenti gloria, per illa ipsa quibus eamdem prius acquisiverat. Primam ergo laudationem instituit ab ipsismet suffragiis auditorum; tertiam a testimonio prophetarum et prædictionibus; duarum reliquarum utramque ab ipsius et Domini propria et peculiari sententia : secundus modus instituit laudationem e proclivi : quartus e consequenti absurdo, et laudationem instituit inde, nempe quod consequens est opinioni eorum qui ex ignorantia arbitrantur Baptistam interrogare. Primus idcirco et quartus laudationis modus contexitur a sublatione eorum, quæ minime conveniunt Baptistæ, et frustra a quibusdam in suspicionem adducuntur; per quæstionem tractantur illi modi, et quæstioni contrarium docent et ponunt uterque; interjecti modi, directe et positive encomium instituunt : quemadmodum enim in illo : «Quid existis in desertum videre? arundinem vento agitatam? [71] » per interrogationem institutus sermo, haud imaginatur Baptistam arundinem esse; e contra astruit eum longe semotum, ab iis qui more arundineo huc illue agitantur opinionibus; ita et ille sermo, qui similiter instruitur, per illud, «Is qui minimus est in regno cœlorum, major ipso est, » non illum minimum nec aliquem majorem subindicat Præcursore : nam haud continue Servator iis encomiis eum privasset, quæ prius contexuerat, ne inter infimos ita laudatum e vestigio rejiceret, sed eamdem observans seriem haud permittit, ut is qui minimus est in regno cœlorum major existimetur Joannis excellentia.

Enimvero laudatio quam a suffragiis contexuit auditorum, ut explicatius eam instituamus, talis est : Quorsum existis in desertum? an ut arundinem videretis ventis conquassatam? an ut hominem mollibus amictum vestimentis? certe patet quod neutrum; vos enim ipsi in eodem quod egistis, et cursim ad eremum discurristis, contrariam huic opinioni testati estis, eumque arbitrati estis admirandum quemdam et humanæ conditionis leges excedentem : quare, vir tantus, quod videtur mihi, haudquaquam propter quæstionem propositam a discipulis mutationis et ignorantiæ accusandus est; e diverso, quod verbo docuit, id visu volebat prudenti quadam ratione apud informandos confirmare. Quæ enim ratio reddi poterit, cur vir tantus mutationem melioris status, aut alterationem subiret; cum omnis in deterius declinatio, vel judicii quadam infirmitate, vel voluptatum lenociniis, vel avaritia, aut gloriolæ istius vanæ vacuæque amore inferatur. Quæ ipsa in cæteras om-

[71] Luc. VII, 24.

VARIÆ LECTIONES.

[h] C. M. προάγει. [i] τό. [j] C. M. habet θεάσασθαι. [k] ἔρημον ἰδεῖν. H; ἆρα κάλαμον σαλ. ὑπ. ἀν. [l] C. M. νομίσαντες.

Digitized by Google

nes passiones prolapsus facilitant. Quibus plerumque alii, inprimis autem in regum aulis versantes influantur, pulvere illo obimpleti : a quibus Joannes, nec id facile est omnibus dicere, ne tantillum expugnabilis. Non enim est arundo ventorum excipiens successionem. Hoc est, instabilium mores evasit, et ægritudinem eorum qui calami more huc illuc flectuntur : sed nec mollibus vestimentis, aut aliis moribus assuefit, quibus insolescunt qui regias frequentant; auro-, voluptatibus, ambitioni servientes. Domus illi est desertum illustris ; paradisus, aula ; camelorum pilis amicitur corpus : zona pellicea circa lumbos, constringendo inserviens et mortificando corporales et humanas lascivias omnes quæ lumbis conveniunt. Si requiras cibum, omnino cibi nihil sumpsit, nisi id quod amarum, et sine nutrimento erat, sed nec talem cibum, nisi ea mensura quæ naturæ necessitati satisfiat. His se subinferre, quo pacto audeat luxus aut evanida gloria ? aut divitiæ quæ gravem et acerbam tyrannidem exercent, cum in possidentes, tum illos qui inviti ipsis carent. Nec opera ejus tantum hæc proclamant, verum et ipsi etiam vos qui hæc oculis usurpatis, testes exhibiti, in illam descenditis opinionem. Opere enim ipso vos perhibuistis testimonium, quod Baptista superior evasit iis qui instabili sunt animo, qui voluptatibus, ambitioni, divitiis mancipantur, a quibus solet proficisci in deterius alteratio, mutatio omnis et ignorantia. Atque hæc est illa forma encomiorum quæ suffragiis innititur auditorum. Consequitur ipsam perspicue ista quæ a Christi ipsius Domini assertione contexitur. At quænam illa ? Nempe prophetam exiistis videre; id quod manifeste agnoverant, per ea quæ fecerant; quasi dicat : Scio quod exiistis in desertum videre neque mente inconstanti hominem, non pecuniæ amantem, non ambitioni aut luxui deditum, sed sublimem quemdam et elevatum, charismatis ac doni prophetici participem; et recte omnino arbitrabamini : Certe testificor vobis quod prophetam videre exibatis, nec hic subsistit, sed plus quam prophetam, agnoscit. Cumque judices, legumlatores, reges a virtutis laudibus insignes sunt habiti ; ne is qui prophetis superior asseritur, alicui alteri ut inferior succumbat; unica assertione sua Baptistam docet, ultra omnes obtinere præeminentiam, « Non surrexit, inquiens, inter natos de muliere, major Joanne Baptista [73]. » Atque ita est secundus encomiorum modus. Tertius medium interserit prophetæ vaticinium laudibus a Domino prædicatis. Hic est inquiens de quo scriptum est, « Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te [73]. » Relictus restat quartus modus, de quo præcipue

A παρολίσθησις · οἷς ἄλλοι μὲν οὐκ ὀλίγοι · μάλιστα δὲ οἱ περὶ τοὺς βασιλείους οἴκους ἐπτοημένοι, καὶ τοῦ κονιορτοῦ ἐκείνου ἁλώσιμοι, ὑφ' ὧν ὁ Ἰωάννης, οὐδ' ἐστὶν εὐχερὲς ἅπασιν εἰπεῖν, οὐδ' ὅσον ἀνάλωτος [m]. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι κάλαμος, τὸν ὑπὸ τῶν ἀνέμων σάλον δεχόμενος. Ἐξέφυγε, φησὶ, τῶν ἀστηρίκτων τοὺς τρόπους, καὶ καλάμου δίκην ῥιπιζομένων, τὸ νόσημα. Οὐ μὴν, οὐδὲ μαλακοῖς ἱματίοις, οὐδὲ τοῖς ἄλλοις ἐκδεδιήτηται, οἷς οἱ περὶ τὰ βασίλεια διαθρύπτονται, χρυσῷ καὶ ἡδοναῖς καὶ φιλοδοξίᾳ δουλούμενοι · ἀλλ' ἔρημος μὲν αὐτῷ οἶκος ἅμα λαμπρὸς, καὶ παράδεισος, καὶ βασίλειον · καμήλων δὲ τρίχες, τῷ σώματι σκέπη · καὶ ζώνη δερματίνη περὶ τὴν ὀσφὺν, δεσμοῦσά τε καὶ νεκροῦσα πάντα τὰ παρ' ἑκάτερα ταύτης, σωματικά τε καὶ ἀνθρώπινα σκιρτήματα. Εἰ βούλει δὲ καὶ τροφὴ, τῷ [n] μηδὲ τροφῆς ἁπλῶς μετέχειν · ἀλλ' ὅση πικρά τε καὶ ἄτροφος, καὶ οὐδὲ ταύτην ἐν μέτρῳ, ἀλλ' ὥστε καὶ αὐτὴν τὴν ἀνάγκην διαπλανῆσαι [o] τῆς φύσεως. Οἷς πῶς ἂν ἐπιτολμήσοι τρυφὴ παρεισδῦναι, ἡ ῥέουσα δόξα, ἢ πλοῦτος ; ὃ καὶ τῶν ἐχόντων, καὶ τῶν εἰς τὸ ἀκούσιον οὐκ ἐχόντων, βαρὺς καὶ πικρὸς τύραννος. Καὶ ταῦτα δὲ οὐχὶ τὰ ἔργα μόνα βοᾷ, ἀλλὰ καὶ ἡμεῖς [p] αὐτοὶ, φησὶν, ἀπὸ τῶν ἔργων, ἃ τοὺς ὑμετέρους ὀφθαλμοὺς, καὶ τὴν γνώμην ἐφελκύσατο, μάρτυρας οὐδὲν ἧττον παρεστήσατε. Ἔργοις γὰρ καὶ αὐτοὶ τὴν μαρτυρίαν εἰσηνέγκατε, ὡς καὶ τῶν ἀστηρίκτων τὴν γνώμην, καὶ τῶν ταῖς ἡδοναῖς, καὶ δόξῃ, καὶ πλούτῳ δουλουμένων, δι' ὧν ἡ ἐπὶ τὸ χεῖρον μεταβολὴ καὶ ἀλλοίωσις, καὶ ἡ ἄγνοια, ὁ Βαπτιστὴς ὑψηλότερος. Ἀλλ' οὗτος μὲν ὁ ἀπὸ τῆς τῶν ἀκροατῶν ψήφου τῶν ἐπαίνων τύπος. Τίς δ' ὁ ἐφεξῆς; ἢ δῆλον ὡς ὁ ἐκ τῆς ἰδίας καὶ Δεσποτικῆς ἀποφάσεως ποίας ταύτης; Ναὶ, φησὶ, λέγω ὑμῖν, ὅτι προφήτην ἐξήλθετε ἰδεῖν · ὡς ἐκείνων τοῦτο σαφῶς, δι' ὧν ἔπραξαν [q], καταθεμένων · ἵνα εἴπῃς · Οἶδα ὅτι οὔτε τὴν γνώμην εὑρίπιστον ἄνθρωπον, οὔτε φιλάργυρον, ἢ κενόδοξον, οὔτε τρυφῆς ἐλάττονα, εἰς τὴν ἔρημον ἰδεῖν ἐξεληλύθατε, ἀλλ' ὑψηλόν τινα καὶ μετάρσιον, καὶ τοῦ προφητικοῦ χαρίσματος μέτοχον· καὶ καλῶς ὑπειλήφατε. Ναὶ γὰρ, λέγω ὑμῖν, ὅτι προφήτην ἐξεληλύθατε ἰδεῖν. Εἶτα καὶ οὐ μέχρι τούτου, ἀλλὰ καὶ περισσότερον ἀποφαίνεται προφήτου. Ἐπειδὴ δὲ καὶ κριταὶ, καὶ νομοθέται, καὶ βασιλεῖς, ἐπ' ἀρετῇ μέγα [r] κατέλιπον · ἵνα μὴ τῶν μὲν προφητῶν περισσότερος, τῶν ἄλλων δέ τινος νομισθῇ ἐνδεέστερος · μιᾷ κατὰ πάντων ἀποφάσει, τὰ πρεσβεῖα φέρειν τὸν Βαπτιστὴν ἀνεκήρυξεν, « Οὐκ ἐγήγερται, εἰπὼν, ἐν γεννητοῖς γυναικῶν, μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ. » Ἀλλ' οὗτος μὲν, καὶ ὁ δεύτερος τῶν ἐγκωμίων τύπος. Ὁ δὲ τρίτος, μεταξὺ τῶν Δεσποτικῶν ἐπαίνων, τὴν προφητικὴν προβάλλεται μαρτυρίαν. Οὗτος γὰρ, φησὶν, περὶ οὗ γέγραπται· « Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσ-

[73] Luc. vii, 28. [73] Matth. xi, 10.

VARIÆ LECTIONES.

[m] *Isc.* εὐάλωτος. [n] *isc.* τό. [o] *isc.* διαπλῆσαι. [p] ὑμεῖς. [q] ἔπραξε. [r] *fs.* κλέος; vel ὄνομα deest.

Digitized by Google

ὥπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. » Λοιπὸς δὲ καὶ τελευταῖός ἐστι, περὶ οὗ μάλιστα καὶ ἡ σκέψις, ὃς, καθάπερ καὶ ὁ πρῶτος, ἐξ ἀναιρέσεως μέν ἐστι τῆς μηδαμόθεν προσηκούσης τῷ Βαπτιστῇ ὑπολήψεως· κατ' ἐρώτησιν δὲ ἀπορηματικὴν καὶ αὐτὸς, οὐκ ἐξ εὐθείας, οὐδὲ ἀποφατικῶς πρόεισιν· ἐκ δὲ τοῦ συμβαίνοντος ἀτοπήματος, τὴν φαύλην ὑπόληψιν ἀναιρεῖ· κἀκεῖθεν διαπλέκει καὶ συνάπαρτίζει τῷ Βαπτιστῇ τὸ ἐγκώμιον. Τίς οὖν ἡ ψευδὴς ὑπόληψις; Τὸ νομίσαι τινὰς τὸν Βαπτιστὴν ἀγνοῆσαι τὸν κηρυσσόμενον, καὶ διὰ τοῦτο προσενεγκεῖν τὴν ἐρώτησιν.

Τί δὲ τὸ ἑπόμενον ἄτοπον; Τὸ ἐρρίφθαι διὰ τοῦτο τῆς βασιλείας τῶν οὐρανῶν. Ὁ γὰρ ἐν αὐτῇ πάντων μικρότερος, τίνος ἄλλου μείζων εἴη ἄν, πλὴν τοῦ πόρρω ταύτης ἀπελαμένου; Διὰ τί δ' ἀπορρίπτοιτο, οὐδὲ λόγου δεῖται. Καὶ γὰρ, ὁ μὴ πεπεισμένος ἀκριβῶς τὸν ἐκ Παρθένου μὲν γεννηθέντα, ὑπὸ δὲ Ἰωάννου δὲ βαπτισθέντα, ὑπὸ δὲ τῆς Πατρὸς φωνῆς μαρτυρηθέντα, καὶ ὑπὸ τοῦ συγγενοῦς ὑποδειχθέντα Πνεύματος, τοῦτον Λυτρωτὴν τοῦ κόσμου, καὶ τοῦ ᾅδου καθαιρέτην εἶναι, δῆλον ὡς ὁ τοιοῦτος, ἐκτός ἐστι[a] τῆς βασιλείας τῶν οὐρανῶν. Πῶς γὰρ ἂν κληρονομήσειε βασιλείαν, ὁ μηδὲ τὸν ταύτης ἐπιστάμενος Δημιουργὸν, καὶ διανομέα, καὶ κληροῦχον; Εἶτα πῶς ἀναιρεῖται τὸ ἄτοπον; Καὶ αὐτόθεν μέν. Πῶς γὰρ οὐκ ἄτοπον, τὸν ἄλλοις κηρύξαντα τὴν βασιλείαν, αὐτὸν ἐκπεσεῖν ταύτης; Ἀλλά γε καὶ ἐκ τῶν ἔμπροσθεν εἰρημένων. Εἰ οὖν ἠγνόησε μὲν, ὅπερ ἐκήρυξεν, ὁ Ἰωάννης· ἔδωκε δὲ λήθῃ τὰ ἄνωθεν ἠκουσμένα· οὐκ οἶδε δὲ ὃν ἐβάπτισεν· ἐρωτᾷ δ' ἵνα μάθῃ, τίς ἐστιν ὁ προσδοκώμενος· δῆλον ὡς οὐδὲ τῆς βασιλείας ὅλως, οὐδὲ καθ' ἣν ὁ μικρότερος διαιτᾶται λῆξιν, οὐδὲ ταύτης ἀξιωθήσεται. Ἀλλὰ τῶν μὲν λίαν ἀτοπωτάτων τοῦτο, τά τε ἄλλα καὶ ἐκ τῶν ἄνωθεν εἰρημένων. Ποῦ γὰρ προφήτης, ὁ μηδὲ τὰ ἐν χερσὶ βλέπων; Ποῦ δὲ προφητῶν περισσότερος, καὶ αὐτὸν τὸν κηρυσσόμενον ἀγνοήσας; Ἐν γεννητοῖς δὲ γυναικῶν μείζων πῶς ἂν, ὁ μηδὲ τῆς βασιλείας ἄξιος; οὐκ ἄρα μικρότερος οὐδαμῶς τοῦ μικροτέρου τῶν ἐν βασιλείᾳ τῶν οὐρανῶν, οὐδ' ἄρα ἠγνόησεν, ὃν ἐκήρυξεν· οὐδ' ἵν' αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοὺς μαθητὰς διὰ τῆς αὐτοψίας βελτιώσῃ, τὴν διδασκαλίαν εἰς ἐρώτησιν ἐσχημάτισε. Ἀλλ' ἡ μὲν ὅλης[b] διανοίας ἀνάπτυξις αὕτη. Ὁ δὲ Δεσποτικὸς καὶ θεῖος χρησμὸς, δριμεῖ τε καὶ συντετμημένῳ λόγῳ, διὰ τοῦ κατ' ἐρώτησιν ἀπορηματικοῦ τύπου, τὴν ὅλην παρέστησεν ἔννοιαν, εἰπών, « Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι; » Ταύτης γὰρ τῆς φωνῆς, ἐξ αὐτῆς ἀκοῆς ἀπαντώσης, καὶ τῇ τοῦ ἀτοπήματος ὑπερβολῇ οὐκ ἐώσης εἰς ἀπρεπῆ τινα ὑπόληψιν τοῦ τῆς ἀληθείας κήρυκος ἀπενεχθῆναι· εὐθὺς μὲν συνελαυνόμεθα εἰς τὸ συνιδεῖν τὸ σοφὸν καὶ ὠφέλιμον τῆς διὰ τῶν μαθητῶν ἐρωτήσεως· ἐκεῖθεν δὲ πάλιν εἰς τὴν τῶν ἐπαίνων ἀποδοχὴν ἔτι μᾶλλον ἐφελκόμεθα· καὶ οὐχὶ τοῦ

A instituitur disquisitio, qui et ipse, ut primus, per negationem illius opinionis constituitur, quam de Baptista concipere non erat æquum. Procedit autem ipse modus, per interrogationem dubitationesque, non directe nec affirmative proponitur; pravam autem illam opinionem tollit per absurdum quod consequitur illud; atque inde complicat et consummat Baptistæ encomium. Quodnam igitur falsum quod supponitur? nempe esse qui opinarentur Baptistam ignorasse eum, quem prædicabat, atque ideo quæstionem instituisse.

Consequens absurdum, quodnam est? nimirum, quod ita a regno cœlorum excludetur. Qui omnibus et singulis in illo regno constitutis minor est, ecquo B major invenietur, nisi eo, qui ab illo longe eliminetur? Nec est opus docere cur sic excludatur. Patet omnino quod extra cœlorum regnum emansor erit ille, qui non firmiter crediderit, natum de Virgine, baptizatum a Joanne, paternæ vocis testimonio denuntiatum, a congeneri spiritu demonstratum, Redemptorem mundi esse, et inferni spoliatorem. Quomodo regnum illud hæreditabit is, qui conditorem ignoret ejus, qui dispensatorem, qui sortitorem aut distributorem? Hoc autem absurdum quomodo tollitur? per seipsum, nempe, quod sit absurdum. Ita est enim, ut is qui aliis annuntiabat illud regnum, ab ipso ipse excluderetur; sed et ab antedictis tollitur: Si ignorabat quem annuntiabat C Joannes, si oblivione sepeliit quæ de cœlo audierat, si non noverit quem baptizabat; quærit autem, ut informetur: Quis est qui exspectatur. Certe patet quod nec regno cœlorum nec isto statu dignus habetur, in quo qui minimus est versatur. Sed esse hoc inter absurdissima censendum, cum aliunde, tum e dictis ab initio patet. Ubi est propheta, qui nec quæ ante pedes ponuntur videt? Ubi major prophetis, qui quem annuntiabat ignorabat? Inter natos mulierum, quomodo erat major, qui regno indignus est? Non est enim minor minimo in regno cœlorum; non igitur ignoravit quem annuntiabat: non ut ipse sciret, sed ut discipuli ab oculis meliorarentur, doctrinam per quæstionis formam in- D stituit. Atque ita sit totius hujus loci sententia explicata. Domini autem nostri divinum oraculum severo quodam et contracto sermone adhibita dubitationis per quæstionem forma generalem suggerit intelligentiam, cum dicit, « At qui minimus est in regno cœlorum illo major est? » Hæc vox cum ex ipso auditu intelligebatur, et cum per nimiam absurditatem non patiatur nos in cogitationem aliquam descendere de veritate hujus præconis, statim in contemplationem nos deducit prudentis illius et perutilis quæstionis discipulorum. Atque inde demum ad laudes ipsius admittendas inducimur. Nec Baptistam decernimus minorem esse illo qui in regno

VARIÆ LECTIONES.

[a] ἔστα:. C. M. ἐκτός ἐστι. [b] C. M. τῆς ὅλης.

Digitized by Google

cœlorum minimus est (nequaquam certe), sed judices, legumlatores, reges, atque ipsos adeo patriarchas supergressum, atque veritati hoc affirmanti assensum adhibemus. Nec injuria ; vinculis enim et multiplici afflictione constringebatur, morti tandem destinatus, pro lege nempe divina certamen subiturus ; nec tamen ejus in Agnum Dei, tollentem peccata mundi, desiderium inflammatum emarcescebat ; quinimo magis magisque effloruit, et per mortem enitebatur accendi vehementius et immortale fieri. Non cessavit manu, lingua, omni ratione cœlestem illum Sponsum deprædicare, singulos ei ardens conjunctos copulare et amorem sponsalis thalami inserere. Quin et mihi videtur, lætatum de gladio, et angi propter tarditatem, et ad illos properare qui apud inferos erant, ut et ibi alios præveniens exspectatum enuntiaret, et primus evangelizaret. Annon hæc encomia Dominicam decebant linguam ? Intuebatur gladium, carnifices intuebatur, occisionem pro stimulo Dominici amoris adhibebat, totus ad eum convertebatur. Omnino verum est, « inter natos mulierum non surrexit major Joanne Baptista. » Caput ipsum Domini attingebat, ab utero annuntiabat, usque ad mortem annuntiabat, mundum ad pœnitentiam attrahebat. Mitto conversationem in deserto, diætam insolitam, impudentes adeo Judæos pudore suffundentem, conversationem et vivendi modum ultra humanum, per quæ patentia ipsorum ora obturabantur. Annon merito major inter natos mulierum ? annon merito Dominica fruebatur voce ? An minimus in cœlorum regno, ipso major est? Quocirca e jam dictis constat, non esse legendum affirmative, « Minimus in regno cœlorum major est eo, » sed illa forma, qua leguntur ista, « Quid existis in desertum videre ? arundinem vento agitatam ? » Prudenter porro adverte, quod illud « in regno cœlorum, » nec cogebamur intelligere contra sensum cuique obvium et agnitum cunctis, aut in alium præter scopum vi pertrahere ; nec illam vocem, *minimus*, additamentis quibusdam scrupulosioribus ad confessionem illius, « major in natis mulierum, » annectere. Tantummodo figuram ab initio adhibitam, aptantes ad formam quæstionariam, rei monstratæ, licet modum epistolæ excedentes, perspicuam fecimus intelligentiam.

A μικροτέρου τῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐλάττονα τὸν Βαπτιστὴν ψηφιζόμεθα (πολλοῦ γε καὶ δεῖ) · ἀλλὰ καὶ κριτῶν, καὶ νομοθετῶν, καὶ βασιλέων, καὶ αὐτῶν πατριαρχῶν ὑπερανεστηκέναι, ὡς αὐτὴ σαφῶς ἀνεῖπεν ἡ Ἀλήθεια, συντιθέμεθα. Καὶ μάλα εἰκότως · εἱρκτῇ καὶ μυρίᾳ κακώσει συνείχετο, τὴν ἐπὶ θανάτῳ τηρούμενος · ἄλλην ταῦτα [u] ὑπὲρ θεσμῶν θείων διακαρτερῶν ἄθλησιν · καὶ ὁ πρὸς τὸν Ἀμνὸν τοῦ Θεοῦ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, διάπυρος αὐτῷ πόθος οὐκ ἐμαραίνετο· ἤνθει δὲ μᾶλλον, καὶ διεφιλονείκει τῷ θανάτῳ ἐπὶ πλέον ἀναζωπυρεῖσθαι καὶ ἀπαθανατίζεσθαι · οὐδ' ἔληγε κηρύσσων, καὶ χειρὶ, καὶ γλώσσῃ, καὶ πάσῃ μεθόδῳ, τὸν οὐράνιον Νυμφίον, πάντας [v] ἐπιποθῶν αὐτῷ συναρμόσαι, καὶ τῶν νυμφικῶν παστάδων ἐνθεῖναι τὸν ἔρωτα. Ἐμοὶ δοκεῖ καὶ χαίρειν αὐτὸν πρὸς τὸ ξίφος, καὶ ἀδημονεῖν τῇ βραδύτητι, καὶ σπεύδειν πρὸς τοὺς ἐν ᾅδου · ἵνα κἀκεῖ φθάσῃ τοὺς ἄλλους, τὸν προσδοκώμενον ἀνακηρύξαι καὶ προευαγγελίσασθαι. Ἆρα οὐκ ἐγκωμίων ταῦτα Δεσποτικῆς ἀξίων γλώσσης; Ἔβλεπε τὸ ξίφος, ἔβλεπε τοὺς δημίους, καὶ τὴν σφαγὴν κέντρον ἐποιεῖτο τοῦ Δεσποτικοῦ φίλτρου, ὅλος πρὸς αὐτὸν ἐπιστρεφόμενος. Οὕτως, « οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ. » Ἤψατο κορυφῆς Δεσπότου · ἐκήρυξεν ἀπὸ γαστρός · ἐκήρυσσε μέχρι θανάτου · εἵλκυσεν εἰς μετάνοιαν κόσμον · ἐῶ τὴν ἔρημον [x] πολιτείαν, καὶ τὴν καταιδέσασαν καὶ τοὺς ἀναισχύντους Ἰουδαίους, ὑπερφυῆ δίαιταν καὶ διαγωγὴν, καὶ τὴν ἐμφράξασαν αὐτῶν τὰ ἀπύλωτα στόματα, ὑπὲρ ἄνθρωπον, ζωήν. Ἆρ' οὐ δικαίως μείζων ἐν γεννητοῖς γυναικῶν ; ἆρ' οὐ κατ' ἀξίαν τῆς Δεσποτικῆς ἀπήλαυσε φωνῆς ; Ἆρ' ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων τοῦ τοιούτου ἐστίν ; Δεῖ τοιγαροῦν, ἐκ τῶν εἰρημένων, οὐκ ἀποφαινόμενον ἀναγινώσκειν τό· « Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν · » ἀλλὰ κατ' ἐκεῖνον τὸν τύπον καθ' ὃν ἀναγινώσκεται καὶ τὸ, « Τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν ; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον ; » Καὶ σκόπει μοι συνετῶς, ὅτι οὔτε τὸ, « ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, » παρὰ τὴν πρόχειρον καὶ πᾶσιν ἐγνωσμένην διάνοιαν, ἠναγκάσθημεν εἰς ἄλλο τι περινενοημένον ἐκβιάσασθαι · οὔτε τὸ, *μικρότερος*, προσθήκαις τισὶ περιεργοτέραις πρὸς ὁμολογίαν τοῦ, « μείζων ἐν γεννητοῖς γυναικῶν, » συνδιεπλέξαμεν · μόνον δὲ τὸ ἐξ ἀρχῆς σχῆμα τοῦ λόγου, εἰς τὸν κατ' ἐρώτησιν τύπον ῥυθμίσαντες, ἐπιστολὴν, παρεστήσαμεν ἔννοιαν.

B

C

D

QUÆSTIO CCXXIII [*Coisl.* CLXVIII, *Taur.* CLXVII].

Si Deus est ubique, quomodo mysterium quo in mulieris utero præsens est accusetur ? Certe, inquiunt, quod sit præsens in mulieris utero, sicut et ubique, nulla est reclamatio ; ex illa autem Deum incarnatum fuisse, quomodo et quale sit ?

ΕΡΩΤΗΣΙΣ ΣΚΓ'.

Εἰ παντάχου τὸ Θεῖον, πῶς διαβολὴ τοῦ μυστηρίου γυναικὸς μήτρᾳ παρεῖναι ; Ναὶ, φασὶ, παρεῖναι μὲν γαστρὶ γυναικὸς, ὡς καὶ πανταχοῦ, οὐδεμία διαβολή · συρκωθῆναι δὲ Θεὸν ἐξ αὐτῆς, πῶς οἷόν τέ ἐστιν ;

Edita a Maio (*Nov. Coll.* t. IX, 111, 112). — De Deo ubique præsente et de mysterio Incarnationis.

Tu ergo, o amice, accusationem contra myste-

Οὐκοῦν, ὦ βέλτιστε, καὶ αὐτὸς τῆς μὲν κατὰ τοῦ

VARIÆ LECTIONES.

[u] ταύτην. [v] πάντως. [x] ἐρήμου.

Digitized by Google

μυστηρίου διαβολῆς καὶ ἄκων ἐξέστης· λανθάνεις δ' αὐτὸν ἀντὶ πολεμίου εἰς τὴν τῶν φίλων τάξιν μεταβαίνων. Ὁ γὰρ ἀφεὶς μὲν τὴν διαβολὴν, ἀπόδειξιν δὲ τοῦ προκειμένου ζητῶν, οὐ δι' ὧν μὴ ἀπαχθείη τῆς δόξης φιλονεικεῖ, ἀλλ' οἷς ἂν καὶ αὐτὸς ταύτην προσδέξηται. Καίτοι τῷ πρὸς ταῦτα παρασκευαζομένῳ, ἤρκει συνιέναι τὴν ἀλήθειαν καθάρσιον τῆς διαβολῆς τοῦ προβλήματος. Δι' ὧν γάρ τις ὡς ἄτοπον φεύγει, εἰ τοῦτο κατίδοι μὴ μόνον μηδεμίαν ἔχον ἀτοπίαν, ἀλλὰ καὶ λόγου συμβαίνον ἀνάγκην, πῶς οὐχὶ μετὰ τὴν ἀποβολὴν τῆς διαβολῆς οὐκ ὀφείλει περιπτύσσεσθαι τοῦτο; Ἀδύνατον ἀρετή; ἀλλ' ἔδειξα πολλοὺς μετιόντας. Οὐκοῦν τὸ δυνατὸν ἀντεισήχθη· καὶ τὸν πρὶν φυγάδα, νυνὶ ταύτης εἶναι δεῖ πολίτην. Βλαβερὸν ἡ ἀνδρία; ἀλλὰ λυσιτελοῦν εἴπερ τι ἄλλο παρέστησα τῷ βίῳ. Οὐκοῦν γέγονεν ἐραστὸν τὴν βλάβην οὐκ ἔχον, ὃ μισητὸν ἐδόκει διὰ τὴν βλάβην. Ἀδύνατον Θεὸν γαστρὶ παρθένου παρεῖναι; Συνωμολόγησας ὅτι μᾶλλον ἀδύνατον μὴ παρεῖναι. Τίνος λοιπὸν ἑτέρας κατασκευῆς τὸ προβληθὲν δεῖται; Ἀλλὰ χρή με, φησὶ, μαθεῖν καὶ πῶς οἷόν τέ ἐστι σαρκωθῆναι, μᾶλλον δὲ εἰ τὸ παρεῖναι σάρκωσις Θεοῦ οὐκ ἂν φθάνοις παντὸς ζώου μορφὴν τούτῳ περιβαλών. Νῦν οὐκέτι τῶν φιλούντων, ἀλλ' εἰς τὴν τῶν πολεμίων πάλιν ἔχθραν ἐπανῆλθες· πλὴν οἷς τὴν ἧτταν ἔσχες ἐν τοῖς προλαβοῦσιν, οὐδὲ ἐν τούτοις σοι τὸ μὴ πεσεῖν ἔσται παρατεττομένῳ κατὰ τῆς ἀληθείας· καί γε πρὸς τὸν ἀκροβολισμὸν διανάστηθι. Ἔστι τις ἀνθρώπων πρόνοια μᾶλλον Θεῷ ἢ τῶν ἀγελαίων ζώων; Οὐκ ἂν φήσεις· καὶ γὰρ καὶ τούτων ἡ δημιουργία καὶ ἡ πρόνοια διὰ τὴν τῶν ἀνθρώπων χρείαν. Οὐκοῦν οὐδὲ ὁμοίως ἐν ἀνθρώποις τε καὶ τοῖς ἄλλοις ζώοις ἡ τοῦ θείου παρουσία. Ἓν γὰρ ὂν καὶ ἁπληθύντως πληθύνεσθαι λέγεται· ὥστε σοι αἱ πολλαὶ μορφαὶ εἰς μίαν μόνην τὴν ἀνθρώπων διηλάσθησαν. Ὁρᾷς ὅπως εὐχερῶς ὁ τῆς ἀπιστίας καταπίπτει πρόμαχος. Καὶ τί τοῦτο; φησίν· Εἰ γὰρ καὶ τῶν ἄλλων ζώων τὰς μορφὰς ὁ Λόγος ὑπεξέφυγεν, ἀλλ' οὖν τὸ μὴ ἀπὸ μιᾶς παρθένου, ἀλλ' ἐκ πασῶν γυναικῶν καὶ παρθένων σάρκωσιν λέγειν ὑπολείπεται. Ἀλλ', ὦ ἀγαθὲ, φανερὰ μὲν κἀνταῦθα ἡ τῶν ἀναισχύντων ἐν οἷς ἔφθασαν ἀναισχυντήσαντες, πτῶσις· ὅμως οὖν ὡς δοκεῖ ἀναστάντα . . . ἀποχρήσει μοι πάλιν σε τοῖς σοφοῖς καταβάλλειν λόγοις. Ἀδύνατον γὰρ φαίην ἂν ἔγωγε μᾶλλον τὸν ἅπαξ σαρκωθέντα δευτέρας σαρκώσεως δεῖσθαι. Οὐκοῦν οὐδὲ ἡ διὰ ποσῶν τῶν παρθένων σάρκωσις χώραν ἔχει, μόνη δὲ ἡ διὰ μιᾶς.

β'. Οἱ χάσματα γῆς προκομίζοντες καὶ ναυάγια καὶ λοιμὸν ἀέρος καί τινα τοιαῦτα ἕτερα ἀθρόον πολλῶν καὶ διαφόρων περιλαμβάνοντα θάνατον, εἶτα ζητοῦντες, πότερον ὥρισται τούτους ὑφὲν (6) καὶ τὴν αὐτὴν ἐλθεῖν τελευτὴν, οὗτοί μοι δοκοῦσι τὸ καθορώμενον ζητούμενον ποιεῖν· ἐξ ὧν αὐτοῖς συμβαίνει αἰσθήσεως μᾶλλον ἢ ἀποδείξεως δεῖσθαι, ἵνα μὴ βαθύτερον ἐξετάζων εἴπω, καὶ αὐτῆς διόλου τῆς ἀπὸ τῶν λογισμῶν προϊούσης κρίσεως· τὸ μὲν γὰρ ὁμολογεῖν μὲν τὰ ὄντα, ζητεῖν δὲ ταῦτα εἰ ἔστιν, οὐδὲν ἕτερόν ἐστιν ἢ τῆς νοητῆς καὶ ἀνερμηνεύτου δυνάμεως στηλιτεύειν τὴν ἀσθένειαν· εἰ γὰρ ὑπὸ τὴν αὐτὴν περιγραφὴν τοῦ θανάτου ἕκαστον πλῆθος περιλαμβάνεται, καὶ τοῦτο καθωμολόγηται. Ὁ δὲ ὅρος C οὐδὲν ἕτερόν ἐστι παρὰ τὸ τέλος ἑκάστου (7), πῶς οὐχ ὅπερ ὁμολογοῦσιν ὅρον γεγενῆσθαι οὐκ ἐλέγχονται ζητοῦντες, εἰ ἄρα κατὰ πάντων εἷς ἦν ὁ παγεὶς ὅρος; Ἀλλ' ἓν μὲν τοῦτο, δεύτερον δέ· Τί δήποτε καταφεύγουσιν εἰς πλῆθος ἀθρόον οὕτω μίαν ἀπαίτησιν εἰσπραττόμενον τέλους; ἢ δῆλον ὅτι τινῶν μὲν ὅρον ὁμολογοῦντες περὶ δὲ τῶν πλειόνων ἀμφισβητοῦντες. Οὐ γὰρ ἂν αὐτοῖς εἰς πλῆθος οὐδ' εἰς τὸ ἀθρόον ἡ καταφυγὴ τῆς ἀριστείας ἐπενοήθη· καὶ μὴν εἰ τινῶν μὲν λέγουσιν ὅρον, μὴ πάντων δὲ, ἐξ ὧν αὐτοὶ τῶν ἑνίων ὅρον καὶ σιγῶντες ἀποδέχονται, ἐκ τῶν αὐτῶν ἔστι καὶ τοῖς κατὰ πάντων τὸν ὅρον λέγουσιν ἐκβιάζεσθαι τούτους καὶ ἄκοντας ἕλκεσθαι πρὸς συγκατάθεσιν· οἷς γὰρ ἐκεῖνοι τὰς ἀπορίας D ἀποκρούονται ἑνίων ὅρον δοξάζοντες τῶν πρὸς ταύτην ἀπομαχομένων τὴν δόξαν, τοῖς αὐτοῖς ἂν οἱ εὐσεβοῦντες κἀκείνους ἀποκρούεσθαι τὰς ἐπηρείας ἐκδιδάσκουσι, ἃς κατὰ τῶν λεγόντων ἕνα κοινὸν ὅρον ἁπάντων ἐπὶ τοῦ προχειριζομένου πλήθους γεγενῆσθαι [προκομίζουσι] (8).

2. Qui repentinos hiatus terræ proferunt et naufragia et aeris pestilentiam aliosque casus ejusmodi, qui multorum simul variorumque complectuntur mortem, et deinde quærunt utrum definitum esset, in unum hos omnes eumdemque convenire obitum, hi mihi videntur in quæstionem vocare, quod ipsis oculis conspicitur; unde istis sensu potius quam demonstratione opus est, ne altius rem examinans dicam, ipsos etiam judicio ex ratiocinio mentis emanante destitutos esse; nam confiteri quidem ea quæ sunt, quærere vero, an hæc sint, nihil aliud est, quam mentis atque intelligentiæ infirmitatem indicare ac prodere. Si enim sub eamdem mortis circumscriptionem singulæ multitudines comprehenduntur, terminus autem nihil aliud est quam uniuscujusque finis: quomodo non convincuntur quærere quod fatentur, dum quærunt, an unus de omnibus sit statutus terminus? Sed hoc unum est ex argumentis; secundum vero istud: Cur, quæso, ad multitudinem confugiunt, a qua finis ita repentinus promiscuusque exigitur? Nimirum quia de aliquibus terminum confitentur, de pluribus vero non concedunt (dubitant); non enim ejusmodi perfugium ad multitudinem uno agmine morientem excogitassent. Et tamen si de aliquibus affirmant terminum, non vero de omnibus: tum quibus ipsi rationibus terminum de aliquibus vel taciti admittunt, iisdem vel inviti compelli ac trahi possunt ad præstandum assensum iis, qui terminum de omnibus affirmant. Quibus enim responsionibus isti terminum de aliquibus admittentes refellunt objectiones eorum, qui huic sententiæ reluctantur, iisdem et catholici docent refellere eos posse objectiones in illos prolatas, qui unum communem de omnibus terminum in illa multitudine fuisse constitutum asserunt.

γ'. Ἔτι δὲ οὐ μόνον ἐπειδὰν περίστασίς τις καινοπρεπὴς ἐπιστῇ, ἀθρόα γένη καὶ διάφορα ἑνὶ ὅρῳ

3. Insuper non solum quando novus aliquis insurgat casus, varia et promiscua simul genera ho-

NOTÆ.

(6) Sc. ὑφ' ἕν. mel. ὑπὸ μίαν.

(7) Catiforus jam in suo *Apographo* vitium huic textui subesse vel pauca deesse suspicatus est.

(8) Textus videbatur nonnihil corruptus et mancus.

Digitized by Google

minum uni mortis termino traduntur, sed ipsa quoque humana vitæ constitutio quotidie cernitur narrationes ejusmodi proponere. Etenim non est invenire diem, quo simul et senex et juvenis, et puer et mulier et virgo, et egenus et dives et subditus et princeps eâdem mortis sagena non irretiantur. Cur igitur relicta quotidiana vitæ constitutione ad hominum interitus fugiunt ex infortunio aliquo contingentes? Nimirum quia ex illa quidem non existimant effici quod contendunt, ex istis autem casibus dubitationi suæ dari locum; et tamen ibi quoque varia simul genera uni eidemque morti inveniuntur tradi similiter atque hic; illinc autem objectionem producere non audent, ideoque per ea, quæ in mortibus illis naturalibus docent, id quod in istis eventibus audacter comminiscuntur, procacitatis potius ac temeritatis ostendunt opus, nihilque plausibile omnino aut necessarium argumento isto indicant exhiberi.

4. Deus mortem non fecit [75], posuit enim ob oculos vitam, deinde mortem, non naturalem, necessitati subjectam, sed libero voluntatis arbitrio; peccatum enim perpetratum mortem genuit. Vide Adamum: fuerat ei definitum vivere nongentorum triginta annorum cursum, et nisi peccasset, omnino consummari (scilicet ad perfectionem adduci vel lectione mutata: et non peccanti perenniter vivere statutum), vita definita erat apud Deum, præcognita vero et mors; idcirco non est Deus causa mortis; neque enim præscientia operata est mortem, sed mandati transgressio. Enoch autem adhuc vivit. Quomodo hoc? Præmium videlicet pietatis nactus translationem. Quid vero Noe [76]? Justificatus qui secundus mundi semina reparavit et servavit in undis ob criminum multitudinem submersi? Quid Lot, Sodomita, sed non Sodomitica voluntate? Quid Moyses qui populum Israel servavit Ægyptiis in Tartarum dejectis? Quid vero illi, quorum, licet non deliquerint, membra in deserto exciderunt? Quid vero illi, quos tellus vivos sepeliendos absorpsit, quando principes tribuum tumultum excitarunt? Quid vero (ut omnem cladem in pœnam peccati inductam omnemque voluntariam interfectionem omittam) effatum illud: « Si volueritis, bona terræ comedetis [77]; sin autem, gladius devorabit vos? » Quid vero illi, quos Elias igne cœlesti in cinerem conflavit impios sacerdotes [78], bisque quinquagenarios [79] viros ex illis, de quibus (dixit Deus): « Reliqui mihi septem millia virorum [80] » et quem

τοῦ θανάτου παραδίδονται, ἀλλὰ καὶ αὐτὴ ἡ ἀνθρωπίνη τοῦ βίου κατάστασις καθ' ἡμέραν ἐπιδείκνυται τοιαῦτα προβαλλομένη διηγήματα· καὶ γὰρ οὐκ ἔστιν εὑρεῖν ἡμέραν, καθ' ἣν ἅμα τε γέρων τε καὶ νεανίας, καὶ παῖς καὶ γυνὴ καὶ παρθένος, καὶ πένης καὶ πλούσιος, καὶ ἀρχόμενος καὶ ἄρχων ὑπὸ τὴν αὐτὴν σαγήνην τοῦ θανάτου περιβέβληνται (9). Τί οὖν τὴν καθημερινὴν κατάστασιν τοῦ βίου φυγόντες ἐπὶ τὰς ἐκ περιστάσεως γινομένας διαφθορὰς καταφεύγουσι τῶν ἀνθρώπων; ἢ δῆλον ὡς ἐξ ἐκείνης μὲν οὐ νομίζουσι τὸ σπουδαζόμενον αὐτοῖς ἐξανύεσθαι, ἐκ δὲ τῶν περιστατικῶν χώραν εὑρίσκειν τὸ ἄπορον· καὶ μὴν κἀκεῖ τε ἅμα διάφορα γένη τῷ ἑνὶ θανάτῳ παραπλησίως εὑρίσκεται ἐκδιδόμενα· ἐκεῖθεν δὲ τὴν ἀπορίαν οὐ προάγειν τεθαρρήκασι (10) διὰ τῆς ἐν ἐκείνοις διδασκαλίας τὸ ἐν τούτοις νεανιευόμενον προπετείας μᾶλλον καὶ θρασύτητος ἔργον δεικνύουσιν, οὐδὲν δὲ πιθανὸν ὅλως οὐδ' ἀναγκαῖον παρεχόμενον τῷ ἐπιχειρήσαντι.

δ'. Ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν· ἔθηκε γὰρ εἰς προῦπτον ζωὴν, εἶτα θάνατον, οὐ φυσικὸν ἀνάγκῃ πρόκειμενον, ἀλλ' αὐτεξουσίῳ ῥοπῇ. Ἁμαρτία γὰρ τελεσθεῖσα ἀπέτεκε θάνατον· ἴδε Ἀδάμ· ὥριστο ζῆσαι ἐνακοσίων τριάκοντα ἐτῶν δίαυλον καὶ μὴ ἁμαρτῶν (11-12) τετελέσθαι πάντως (13). Ζωὴ μὲν γὰρ ὥριστο παρὰ Θεῷ, προέγνωστο δὲ καὶ ὁ θάνατος· διὰ τοῦτο ἀναίτιος ὁ Θεὸς; θανάτου· οὐ γὰρ ἡ πρόγνωσις εἰργάσατο θάνατον, ἀλλ' ἡ τῆς ἐντολῆς παράβασις. Ἐνὼχ δὲ ζῶν ἔτι· πῶς τοῦτο; ἄθλον εὐσεβείας λαχὼν τὴν μετάθεσιν. Τί δὲ Νῶε; δικαιωθεὶς δεύτερος κόσμου σπέρματα ἀνασωσάμενος τὸν βρύχιον (14) θάνατον ὑποστάντα δι' ἁμαρτιῶν πληθύν; Τί δὲ Λὼτ, Σοδομίτης, οὐ Σοδομίτου προαίρεσιν; τί δὲ Μωυσῆς ἀμφὶ λαῷ Ἰσραηλίτῃ Αἰγυπτίων ταρταρωθέντων; Τί δὲ ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ τῶν μὴ πταισάντων; τί δὲ οὓς ζωτάφους δέδεκται γῆ τῶν (15) συνστασιασάντων φυλάρχων; τί δὲ (ἵνα πᾶσαν ἐάσω ἐφάμαρτον πανωλεθρίαν καὶ ἑκουσιότητα) τὸ, « Ἐὰν θέλητε, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· εἰ δὲ μὴ, μάχαιρα ὑμᾶς κατέδεται; » Τί δὲ οὓς Ἠλίας ἀθέους κατῃθάλωσε πυρὶ θείῳ ἱερεῖς, καὶ διπλῆν πεντηκοντάδα, πρὸς οὓς· « Κατέλιπον ἐμαυτῷ ἑπτάκις χιλίους ἄνδρας » καὶ ὃν νεκρὸν ἐξανέστητε; Ταῦτα καὶ τὰ τοιαῦτα εἰ ὥρισται Κλωθὼ πρὸς Θεοῦ, ποῦ τὸ αὐτεξούσιον, ἵνα μὴ εἴπω τὸ ἄτοπον; Τί δὲ ἡ τελευταία πανωλεθρία τῶν Ἰσραηλιτῶν εἰσπραξις οὖσα Κυριακοῦ αἵματος καὶ προφητικοῦ λύθρου δι' Ἰταλικῆς λόγχης; ἐξ ὄρου γέγονεν ἢ ἐξ ἑκουσιότητος ἢ ἄλλως; Τί δὲ τὸ εἰς τὸν Ἄβελ διαπραχθὲν μιαιφό-

[75] Sap. I, 13. [76] Gen. V, 24. [77] Isa. I, 19, 20. [78] III Reg. XVIII, 40. [79] IV Reg. I, 9 seqq. [80] III Reg. XIX, 18.

NOTÆ.

(9) Deest particula μηδεμία.
(10) Videtur deesse particula quædam.
(11-12) Catiforus et hic quid deesse suspicatur.
(13) Cod. τετελέσθω πάντως. Si nihil deest, tum aut τετέλεστο legendum videtur aut τετελέσθαι.
(14) Sic Catiforus legi vult, cum codex habeat κρύφιον.
(15) Cod. μή. Sed sermo est de loco Num. XVI. 1. 2. seq.

Digitized by Google

νημα; Εἰ ὅρος τετέλεστο, τί Καὶν ὡς ὑπηρέτης ὅρου ἀδελφοκτόνος ὢν στόνον αὐτὸς καὶ παγγενῆ πανωλεθρίαν ἐσχάτως καταδικάζεται, καὶ πῶς τὸν φονέα νόμος θεῖος ἐκ Νῶε ἄχρι τῆς δεῦρο θανάτῳ καταδικάζει μετ' ἐπιστάσεως; ἢ πῶς τὸ εἰς τὸν Ἀγὰγ λογιστέον; εἰ πεπλήρωτο ὁ εἰς αὐτὸν ὅρος, οὐκ ἐτεθνήκει, καὶ μὴ βουλομένου τοῦ Σαοὺλ πατάξει αὐτόν; Τί δὲ οἱ τοῦ Ἰὼβ παῖδες, ὅρῳ ἢ ἐξαιτήσει Σατάν (16); τί δὲ Ἐζεκίας· τί δὲ Νινευῖται; τί δὲ οἱ καθεξῆς δι' εὐτυχίας ἀνασωθέντες ἢ καὶ σωζόμενοι; τί δὲ [τὸ] « Ἵνα τις θῇ ψυχὴν ὑπὲρ στεργομένου, » οὗ πρόγραμμος οἱ ἅγιοι μάρτυρες; Πῶς τὸ Φινεὲς ἔργον θετέον; κακοπραγίᾳ ἢ ὅρῳ; Ποῦ δὲ τὸ, « Ἐὰν ἀγαθοεργήσῃ, ἔσῃ μακροχρόνιος; ποῦ δὲ τὸ, « Ἐλασσονοῦσι φυλὰς ἁμαρτίαι; Τί δὲ οἱ δειλίᾳ θανάτου ἀπαγχόμενοι ἑκουσίως ἢ αὐτοὶ καθ' οἱονδηποτοῦν τρόπον ἑαυτοὺς ἀναιροῦντες ἢ ἀκουσίως παρ' ἑτέρων τοῦτο πεισόμενοι [ἢ] λιμῷ ἢ κόρῳ ἢ ψύξει πληθούσῃ ἢ θέρμῃ ἢ λοιμώδει νόσῳ ἢ ὅσα βοηθείας ἰσχυρότερα ἢ ἀθεράπευτα, ἵνα μὴ λέγω πάντα τὰ δι' ἀφαιρέσεως αἵματος; Τί δὲ ἐὰν ἀφῇ τὴν ἀρτηρίαν ἄδετον, ἑκουσίως ἢ καὶ μή; οὐχὶ ἐν αἵματι ψυχῆς αὐτοῦ ἐκδράσει καὶ τὸ νοερὸν Πνεῦμα, ὃ ἐν τούτῳ δέδεται (17) ἐπεὶ αἷμα ἀποτυροῦται εἰς σάρκα; ἅμα γὰρ σὰρξ, ἅμα Πνεῦμα (18)· καὶ πῶς τοῦτο; ὅτι ὁ θεῖος Λόγος καὶ αὐθυπόστατος σὰρξ ἐγένετο σκηνῶν ἐν ἡμῖν περὶ τὸν ἀσφαλῶς δήσαντα. Τί δὲ οἱ γῆν οἰκοῦντες σεισμῷ ἢ πυρκαϊᾷ ἀναιρούμενοι, καὶ οἱ ἐν θαλάσσῃ διασωζόμενοι, ὥσπερ ἐν κλύδωνι ἀπολλύμενοι καὶ οἱ ἐν γῇ μὴ βλαπτόμενοι; Τί τοὺς παρὰ Ἐλισαίου ἀναστάντας νεκρούς; τί δὲ τοὺς παρὰ τοῦ τῆς ζωῆς ἀρχηγοῦ Χριστοῦ; Τί δὲ τὸ Ταβιθᾶς; τί δὲ τὸ Ἀνανίου καὶ Σαπφείρας; τί δὲ τὰ τῶν ἄλλων ἁγίων ἄχρι τῆς δεῦρο τερατουργούμενα νεκρῶν ἀναβιώματα; εἰ ὅρος ἐπεπλήρωτο, πῶς τὸ ὁριςθὲν οὐ κεπέρασται;

A suscitavit mortuum? Hæc et similia si Clotho per Deum, ubi erit arbitrii libertas, ne dicam absurditas? Quid vero postrema illa Israelitarum interfectio in pœnam sanguinis Domini et prophetarum cædis per arma Romanorum illata? Ex termino seu decreto contigit an ex arbitrio voluntatis aut alia ratione? Quid vero cruenta cædes in Abele perpetrata? Si terminus a Deo præstitutus expletus fuit [81], cur Cain, qui ut divini decreti minister occidit fratrem, ad gemitus ipse totiusque generis interitum condemnatur? Et quomodo lex divina a Noe [82] ad hoc usque tempus homicidam morti addicit? Aut quomodo illud de Agag [83] reputandum est? Si terminus ipsi fuisset præstitutus, nonne obiisset, etsi nollet Saul ipsum interficere? Quid B vero filii Job [84]? Per terminumne an per Satanæ petitionem occubuerunt? Quid Ninivitæ? Quid Ezechias? Quid vero cæteri, qui prospero aliquo eventu servati sunt vel adhuc servantur? Quid vero effatum illud: « Ut ponat quis animam suam prædilecto [85], » cujus rei norma sunt sancti martyres. Quid vero de illo quod fecit Phinees [86] statuendum est? Ex infortunio illud evenisse an ex decreto? Ubi vero illud: « Si bene egeris, eris longævus. » Ubi illud: « Minuunt tribus peccata [87]? » Quid vero qui metu mortis sponte se strangulant vel quoquo modo seipsos interimunt vel ab aliis id ipsum inviti patiuntur vel nimia inedia aut satietate vel copioso frigore aut calore vel febri aut pestilentia vel aliis morbis incurabilibus ne recenseam omnia illa quæ ex detractione sanguinis C contingunt? Quid vero si reliquerit arteriam non ligatam sive consulto sive inconsulto? Nonne in sanguine animæ suæ spiritus quoque intellectivus effugiet, qui est in eo alligatus, statim ac sanguis in carnem condensatur? Simul enim exsistit caro simul et spiritus. Et quomodo hoc? Quia divinum Verbum et per se subsistens caro factum est habitans in nobis [88]. Quid vero dicendum, quando qui terram habitant, terræ motu aut incendio interimuntur, et qui in mari degunt, incolumes servantur, sicut alii in tempestate pereunt et qui in terra sunt non læduntur? Quid de mortuis ab Elisæo in vitam revocatis? Quid de iis quos excitavit vitæ auctor Christus? Quid de Tabitha? Quid de eo quod contigit Ananiæ et Sapphiræ? Quid de aliis mortuorum excitationibus, quæ ad hunc usque diem a sanctis peraguntur? Si terminus impletus erat, quomodo quod fuerat definitum non fuit ad effectum perductum?

ε'. Πᾶσα παλαιὰ (19) ὅρον, πλὴν μόνου τοῦ ἐν τῇ παραβάσει ἁμαρτίας, « Ἧ δ' ἂν ὥρᾳ φάγεσθε ἀποθανεῖσθε, » κατὰ πρόθεσιν ἄλλον οὐκ οἶδεν; εἰ δὲ τὸ Εὐαγγέλιον κηρύττει ὅρον, εἰπεῖν οὐκ ἔχω· ἵνα οἶδα ἀκρότατον ὅρον Χριστοῦ λέγοντος· ἐρωτώμενος γὰρ παρὰ Φαρισαίων περὶ ἀνθρώπων Γαλιλαίων, ὧν ὁ Πιλάτος τὸ αἷμα μετὰ τῶν θυσιῶν ἔμιξε καὶ οὓς

D 5. Universum Vetus Testamentum alium terminum secundum propositum non agnoscit, nisi unum illum, qui peccato ac prævaricationi statuitur: « In qua hora comederitis, moriemini [89]? » An vero Evangelium prædicet terminum, affirmare nequeo. Unum scio supremum a Christo indicatum terminum. Interrogatus enim a Pharisæis de illis Galilæis.

[81] Gen. IV, 10 seqq. [82] Gen. IX, 6. [83] I Reg. XV, 8 seqq. [84] Job I, 18, 19. [85] Joan. XV, 13. [86] Num. XXV, 7 seqq. [87] Exod. XX, 12. [88] Joan. I, 14. [89] Gen. II, 17.

NOTÆ.

(16) Supplendum videtur τεθνήκασι vel simile verbum.

(17) In cod. lacuna. Ad marg. Catif. οἱ διάγαν.

(18) Et hic vitiatum textum suspicatur Catisforus.

(19) Sc. διαθήκη.

Digitized by Google

quorum sanguinem Pilatus cum sacrificiis miscuit [90] et quos turris in Siloe collapsa occiderat [91], an omnium fuissent iniquissimi, negavit, adjecitque non solum verba illa : « Nisi pœnitentiam egeritis [92] » omnes similiter peribitis, sed et fici arboris exemplo terminum statuit dicens : « Succide illam ; ut quid etiam terram occupat [93] ? » Similiter et divus Apostolus de iis qui indigne, ut ego, sacrosancta mysteria participant, infert definiens : « Ideo multi infirmi et imbecilles et dormiunt multi [94]. » Quid vero David, Christi Dei proavus, dum vitæ humanæ mensuram septuaginta aut octoginta annos, ultra quos laborem nectit [95] ; tum alibi : « Educ de custodia animam meam [96] » et rursus : « Ne revoces me in dimidio dierum meorum [97], » ut « Viros sanguinum et dolosos, non dimidiabunt dies suos [98], »

A ὁ ἐν Σιλωὰμ πύργος πεσὼν ἀπέκτεινεν, εἰ ἁμαρτωλότατοι πάντων ἦσαν, εἶπεν οὐχί· καὶ ἐπιφέρει· οὐ μόνον τό· « Ἐὰν μὴ μετανοήσητε, » καὶ ἐξῆς, ἀλλὰ καὶ τῷ τῆς συκῆς παραδείγματι τὸν ὅρον καθιστᾷ φάσκων· « Ἔκκοψον αὐτήν· ἵνα τί καὶ τὸν τόπον καταργεῖ ; » Ὡσαύτως καὶ ὁ θεῖος Ἀπόστολος ἐπιφέρει εἰς τοὺς κατ' ἐμὲ ἀναξίως τῶν ἀχράντων μετέχοντας μυστηρίων ὁρίζων· « Διὰ τοῦτο πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι καὶ κοιμῶνται ἱκανοί. » Τί δὲ Δαυὶδ ὁ θεοπάτωρ παλαιστιαῖον ὁρίζων μέτρον ἑβδομηκοστὸν ἢ ὀγδοηκοστὸν ἐν δυναστείᾳ καὶ περαιτέρω κόπον συνδεῖ ; εἶτα· « Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου· » καὶ αὖθις· « Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου· » καὶ, « Ἄνδρας αἱμάτων καὶ δολιότητος μὴ ἡμισεύοντας τὰς ἡμέρας αὐτῶν. »

B

6. Quis inter apostolos aut synodos aut sanctos Patres, qui terminum istum scribat ? Quod si magnum Basilium afferant, male illum intelligunt, qui id de eo opinantur. Ubique enim ita docet, ex nobis exsistere mortem, non autem ex Deo. Locus vero ab iis citatus ejusmodi est. Propositum erat sancto ostendere, non esse Deum causam malorum ; particulatim enim disserens demonstravit nostrum quidem esse infirmari, Dei autem sanare, juxta illud : « Non est malitia sive vexatio, quam Dominus non fecerit [99]. »

ζ'. Τίς τῶν ἀποστόλων, ἀλλὰ [καὶ] τῶν συνόδων ἢ τῶν ἁγίων Πατέρων ὁποῖος ὅρον γράφει ; Εἰ δὲ τὸν μέγαν Βασίλειον (20) φήσουσι, κακῶς νοοῦσιν οἱ τοῦτο ὑπολαμβάνοντες· πανταχοῦ γὰρ οὕτω δοξάζει, ἐξ ἡμῶν εἶναι τὸν θάνατον, καὶ οὐχὶ τοῦ Θεοῦ. Ὃ δὲ ἐπιφέρει τὰ τοῦ ὅρου (21), τοιοῦτόν ἐστι· Σκοπὸς ἦν τῷ ἁγίῳ δεῖξαι, ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός· κατὰ μέρος γὰρ διεξιὼν ἔδειξεν, ὅτι ἡμέτερον μὲν τὸ ἀῤῥωστεῖν, Θεοῦ δὲ τὸ θεραπεύειν, κατὰ τὸ, *Οὐκ ἔστι κάκωσις, ἣν Κύριος οὐκ ἐποίησεν.*

QUÆSTIO CCXLI [*Coisl. Taur.* LXXVII. *Wolf.* LXXXVIII].

ΕΡΩΤΗΣΙΣ ΣΜΑ'.

Quid significat illud : « Vos ex patre diabolo estis : » et, « Quis est diaboli pater [1] ? »

Τί ἐστι τὸ, « Ὑμεῖς ἐκ τοῦ Πατρὸς τοῦ διαβόλου ἐστέ· » καὶ, « Τίς ἐστιν ὁ τοῦ διαβόλου Πατήρ (22) ; »

C

Editarum a Wolfio tricesima quinta (*Cur. Philol.* t. V, p. 675 678 Galland. XIII, 703, 704, n. 6).

Primum quidem hic obstat illud, quod nusquam in sacris Litteris vel antiqui vel novi Fœderis nomen commemoratum, « pater diaboli, » occurrat, quamvis multis in locis malæ illius potestatis fiat mentio. Nunc enim *Satanam*, nunc *diabolum*, nunc *apostatam*, aut similiter antiquum illum humani generis hostem in sacris Litteris ; nonnunquam etiam illum qui prava ejus semina sibi inesse seque ad exemplum ejus conformatum, probat, « filium diaboli » vocari videas. Huc spectat, quod a divo Paulo ad Elymam dicitur : « fili Satanæ [2]. » Hoc primum est, quod « pater diaboli » nunquam in sacris Litteris commemoratur.

Πρῶτον μὲν ἀντιφθέγγεται τὸ μηδαμοῦ τῆς ἱερᾶς ἡμῶν Γραφῆς μήτε κατὰ τὰ παλαιότερα τῆς νομοθεσίας, μήτε ἐν αὐτῇ τῇ χάριτι « πατέρα τοῦ διαβόλου » λαβεῖν τὸ ῥῆμα τὸ εἰρημένον, καίτοι γε πολλοὶ πολλάκις περὶ τῆς πονηρᾶς ἐκείνης δυνάμεως καταβέβληνται λόγοι. Ἀλλὰ *Σατὰν* μὲν καὶ διάβολον καὶ *ἀποστάτην*, καὶ τὰ τοιαῦτα, τὸν ἀρχέκακον τοῦ γένους ἡμῶν ἐχθρὸν εὑρίσκεται τὰ Λόγια ὀνομάζοντα, καὶ υἱὸν ἔσθ' ὅτε διαβόλου τὰς πονηρὰς αὐτοῦ γονὰς ἐν ἑαυτῷ δεικνύντα, καὶ τῷ χαρακτῆρι τῆς πλάνης διαμορφούμενον, ὡς τὸ πρὸς τὸν Ἐλύμαν εἰρημένον τῷ μακαρίῳ Παύλῳ, « υἱὲ διαβόλου· » ἀλλ' ἐν μὲν τοῦτο, τὸ μηδαμοῦ κατονομάζεσθαι πατέρα διαβόλου τῷ ἰδιώματι τῆς Γραφῆς.

Deinde Salvator noster non id agebat, ut doceret, quis tandem ille diaboli pater sit, sed ut ostenderet, cujus Patris filios improbat Judæorum gens se et esse, et appellari fecerit. Illi enim nunc Abrahamum [3] patrem se habere profitebantur ;

D

Δεύτερον δὲ, οὐ περὶ τοῦ πατρὸς τοῦ διαβόλου, τίς ὅλως (23) ἦν, τῷ Σωτῆρι πρόκειται σκοπός. Ἀλλὰ τίνος πατρὸς παῖδας ἑαυτοὺς ὁ τῶν Ἰουδαίων ἀγνώμων λαὸς παρεσκεύασαν καὶ εἶναι καὶ ὀνομάζεσθαι. Καὶ γὰρ νῦν μὲν ἔλεγον πατέρα ἔχειν τὸν Ἀβραάμ,

[90] Luc. XIII, 1. [91] ibid. 4. [92] ibid. 5. [93] ibid. 6, 7. [94] I Cor. XI, 30. [95] Psal. LXXXIX, 11. (Gr. Hebr. XC 10. [96] Psal. CXLI, 8. (CXLII, 7 O'). [97] Psal. CI, 25 (CII, 24 O'). [98] Psal. LIV, 24 (LV, 23 O'). [99] Amos III, 6. [1] Joan. VIII, 44. [2] Act. XIII, 10. [3] Joan. VIII, 3.

NOTÆ.

(20) S. Basilii textum uberius tractarat Photius q. CXLIX.

(21) ἐπιφέροντα τῷ ὅρῳ legit Catiforus, ni mea annotatio fallit. Fortasse legendum ὃ δὲ ἐπιφέρονται τῷ ὅρῳ, quod præferendum videtur.

(22) Vide supra quæstionem XLVII quæ ejusdem argumenti est.

(23) ὅλως Colb. recte, pro ὁ λόγος.

Digitized by Google

νῦν δὲ, ἡμεῖς Πατέρα ἕνα ἔχομεν τὸν Θεόν. Οὐχὶ δὲ, Πατέρα ἔχομεν τὸν Πατέρα τοῦ Θεοῦ. Καὶ ὁ Σωτὴρ ἁπάντων τῆς πατρικῆς ἐν τῇ κλήσει σχέσεως, ἐπείπερ αὐτοὶ ἑαυτοὺς διεσχίσαντο καὶ διετέμοντο τῆς πρὸς αὐτὸν ὁμοιότητος, τολμᾶτε, φησὶ, λέγειν ἑαυτοὺς υἱοὺς εἶναι τοῦ πατρὸς, ὑμεῖς τοῦ διαβόλου ἐστέ. Εἶτα, « Καὶ τὰς ἐντολὰς αὐτοῦ θέλετε ποιεῖν. » Οὐχὶ « τοῦ πατρὸς δηλονότι τοῦ διαβόλου. » Ποῦ γὰρ παραδέδωκεν ἐκεῖνος ἐντολὰς, ὃς ὅλως οὐδὲ γνωρίζεται τῇ Γραφῇ, ἀλλὰ τὰς ἐντολὰς τοῦ διαβόλου, ὅς ἐστιν ὑμέτερος πατήρ. Αἵτινές εἰσι πορνεία, μοιχεία, κλοπὴ, φόνος, ψεῦδος, καὶ ὅσων ἄλλων ἐκεῖνος κακῶν σπορεὺς τῇ γνώμῃ γέγονεν, καὶ ἀρχηγὸς τολμᾶσθαι τὰ ἀτόλμητα, καὶ καταπράττεσθαι. Καὶ τὸ, « Ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐστὶν, » εἰς τίνα ἂν οἰκειότερον ἀνενεχθείη, ἢ εἰς αὐτόν γε τὸν διάβολον, ὃς τῇ γλώσσῃ τὸν Ἀδὰμ τοῦ παραδείσου ἐξέβαλεν, καὶ πρόξενος αὐτοῦ θανάτου καὶ φθορᾶς γεγένηται; Θεὸς γὰρ θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων (24). Τίς δὲ ἕτερος τὸν θάνατον διὰ τοῦ ψεύδους ἐχαλκεύσατο, καὶ κατὰ τῶν σπλάγχνων τοῦ Ἀδὰμ τὴν φθορὰν, εἰ μὴ ὁ παραδοὺς μὲν τὸν ὄφιν, δι' αὐτοῦ δὲ τὸν θανατηφόρον ἰὸν τῆς εἰς Θεὸν βλασφημίας τῇ γυναικὶ, καὶ διὰ ταύτης τῷ Ἀδὰμ κερασάμενος;

Ἐκ τούτων οὖν ἁπάντων καὶ ἑτέρων τοιούτων δείκνυται περὶ τοῦ διαβόλου τὸν σωτήριον διαλαμβάνειν λόγον, καὶ τοῦτον Πατέρα κατονομάζειν τῶν ἀγνωμόνων Ἰουδαίων. Καὶ γὰρ κἀκεῖνοι τὸν Θεὸν ἐφιλοτιμοῦντο πατέρα καλεῖν, καὶ εἰς υἱοὺς αὐτοῦ καταλέγεσθαι. Εἰς δύο δὲ μοίρας μερίζων ὁ Σωτὴρ τὸν παρόντα λόγον, συμπλέκει μὲν πάλιν ἑκατέρῳ ἑκάτερον. Νῦν μὲν προτάττων τὸν διάβολον, καὶ ὑποτάττων τοὺς Ἰουδαίους, νῦν δὲ (25) προκαταλέγων τοὺς Ἰουδαίους, εἶτα ἐπάγων τὸν διάβολον. Διὸ περὶ τοῦ διαβόλου προδιαλαβὼν, καὶ ἐκ τῆς τῶν ἔργων συγγενείας καὶ ὁμοιότητος δείξας τοὺς Ἰουδαίους πατέρα ἔχειν αὐτὸν, μεταβαίνει πάλιν ἐπ' αὐτοὺς τοὺς Ἰουδαίους, δι' ὧν καὶ ἡ ὅλη τοῦ λόγου γέγονεν εἰσβολή. Καί φησιν· Ὅταν ὁ Ἰουδαῖος τὸ ψεῦδος λαλῇ, ὥσπερ καὶ ὑμεῖς νυνὶ λέγοντες· « Πατέρα ἔχομεν τὸν Θεὸν, » καὶ, « πατέρα ἔχομεν τὸν Ἀβραὰμ, » ἐκ τῶν ἰδίων λαλεῖ. Τουτέστιν ἀπὸ κοιλίας φωνεῖ, καὶ οὐκ ἐκ τῶν κριμάτων τοῦ Πνεύματος. Ὅτι δὲ ψεύστης ἐστὶ, καὶ ἐξ ὧν αὐτὸς ἀλαζονεύεται, δείκνυται, καὶ ἐξ ὧν ἔθετο ἑαυτῷ πατέρα διὰ τῆς τῶν πράξεων ὁμοιότητος, περιφανῶς ἀναδείκνυται. Διὸ καί φησιν, Ὅταν ὁ Ἰουδαῖος τὸ ψεῦδος λαλῇ, ὅτι ψεύστης ἐστὶ καὶ αὐτὸς, καὶ ὁ πατὴρ αὐτοῦ. Ὃν ὁ Σωτὴρ, ὡς πολλάκις εἴρηται, τὸν διάβολον καὶ οὐκ ἄλλον εἶναι, καὶ ἀπεφήνατο, καὶ κατωνόμασεν.

nunc aiebant, unum habemus Patrem Deum [a]; non vero, Patrem habemus Dei Patrem. Jam Salvator noster eosdem a respectu paterno, qui nomine hoc inferebatur, abducturus, quoniam ipsi se a similitudine ejus abstraxerant, ait : vos Patris filios vos ipsos audetis appellare, cum tamen diaboli potius filii sitis : et mox, « et mandata ejus facere vultis. » Non sane, « patris diaboli; » Ubi enim ille præcepta dedit, de quo ex Scriptura nihil quidquam constat? sed diaboli ipsius, qui pater vester est, præcepta. Ejusmodi vero sunt, scortatio, adulterium, furtum, cædes, mendacium, et quæ alia mala idem pro sententia sua sevit, ad prava quævis audenda et perpetranda dux et auctor exsistens. Id vero quod dicitur : « Ille ab initio homicida fuit; « ad quem tandem potiori jure, quam ad ipsum diabolum referetur, qui lingua sua Adamum e paradiso ejecit, mortique et perniciei pararius exstitit? Deus enim mortem non condidit neque viventium pernicie delectatur. Quis autem alius mortem per mendacium fabricavit, perniciemque visceribus Adami attulit, nisi is, qui sumpto serpentis habitu, per ipsum illum mortiferum blasphemiæ, in Deum conjectæ, venenum primum uxori, deinde per eam Adamo miscuit?

Ex his itaque omnibus aliisque similibus, apparet Salvatoris nostri verba de diabolo accipi debere, eumque male feriatorum Judæorum patrem appellari. Nam et illi Deum patrem suum ambitiose vocabant, interque filios ejus numerari cupiebant. Cumque Servator noster sermonem hunc suum in duo membra distinguat, alterum alteri deinde connectit, nunc quidem diabolum priore, Judæos vero posteriore loco collocans; nunc autem Judæos præponens, diabolum vero subjungens. Propterea cum de diabolo antea disseruisset et ex actionum convenientia et affinitate Judæos Patrem illum habere ostendisset, mox ad Judæos ipsos revertitur, a quibus omnis illa nata erat disputatio. Ait itaque : Quando Judæus mendacium profert, sicut vos, nunc quidem dicentes, « Patrem habemus Deum, » et, « patrem habemus Abrahamum [b], » de propriis loquitur, hoc est, ex ventre suo, non autem ex sententia Spiritus loquitur. Quod vero homo hujusmodi mendax sit, tum ex illis apparet, de quibus gloriatur, tum ex istis clare intelligitur, per quæ, similibus rebus perpetratis, Patrem sibi ipse ascivit. Propterea ait : quandocunque Judæus mendacium loquitur, et ipse mendax est, et pater ejus. Illum enim Servator, quod sæpius admonitum est, diabolum, non autem alium esse et testatus est, et hoc nomine appellavit.

[a] Joan. VIII 41. [b] Galat. IV, 4.

NOTÆ.

(24) Ita Colb. pro ἐπαπωλιαζόντων.

(25) νῦν δὲ τοὺς Ἰουδαίους, Colb.

Digitized by Google

QUÆSTIO CCXLII [*Coisl. Taur.* LXXXVIII].

Quid est Novilunium, quid Kalendæ, quid Idus et quid Nonæ?

ΕΡΩΤΗΣΙΣ ΣΜΒ'.

Τί ἐστι Νουμηνία, καὶ τί Καλάνδαι, καὶ τί Εἴδοι, καὶ τί Νόνναι;

Nunc primum edita opera D. Hergenroether.

Qui Romanorum imperio dominabantur quemvis mensem in tres dividebant partes, et novilunium quidem sive lunæ initium vocabant Kalendas, deinde nonam mensis diem Nonas, et præterea tertiam partem vocabant Idus, qui quidem Græcis imbuti erant litteris, a lunæ plenæ specie (species enim Græcis est εἶδος), Romani vero sacerdotes a sacrificio, quod illis diebus peragebant quotque Idulim nominabant, quæ vox significat sacrificium ex albis ovibus. Possunt vero et aliæ multæ de his vocibus in medium proferri artificiosæ et doctæ observationes, quæ majori otio atque industria indigerent.

Οἱ Ῥωμαίων (27) γῆς καθηγησάμενοι ἕκαστον μῆνα εἰς τρεῖς μερίδας ἐμέριζον, καὶ τὴν μὲν νουμηνίαν ἤτοι τὴν ἀρχιμηνίαν ἐκάλουν καλάνδας· μετὰ ταῦτα δὲ τὴν ἐννάτην τοῦ μηνὸς ἐκάλουν νόννας, καὶ πρὸς τούτοις ἔτι τὴν τρίτην μοῖραν ἐκάλουν εἰδοὺς, οἱ μὲν ἑλληνίζοντες ἀπὸ τοῦ πλησιφαοῦς εἴδους τῆς σελήνης, οἱ δὲ τῶν Ῥωμαίων ἱερεῖς ἀπὸ τῆς ἐν αὐτοῖς ἱερουργίας, ἣν εἱδουλιν ἐκάλουν τὴν ἐκ λευκῶν προβάτων θυσίαν σημαίνουσαν· καὶ ἄλλη δὲ πολλή ἐστι περὶ αὐτοῦ τεχνολογία, ἥτις δεῖται μακροτέρας σχολῆς καὶ ἐπιμελείας (28).

QUÆSTIO CCXLIII (26).

De divina natura et persona.

ΕΡΩΤΗΣΙΣ ΣΜΓ'.

Περὶ θείας φύσεως καὶ ὑποστάσεως.

Nunc primum edita a D. Hergenroether. — Dogmatica contra Monophysitas ex Cyrilli Alexandrini verbis dogma catholicorum impugnantes.

Una natura Verbi incarnata unam quidem solam sententiam puram præfert sive in unum convenit cum iis qui duas naturas inseparabiliter secundum personam unitas statuunt. Idque patet exinde, quod Cyrillus utraque loquendi forma utitur, neque formulam una natura Verbi incarnati rejiciens, neque negans duas naturas inseparabiliter secundum personam unitas. Non solum vero Cyrillus, sed et quicunque post illum a parte catholica stantes fuere agniti. Nihil vero mirum, si, quamvis illa vox puram catholicorum sententiam indicet, mens tamen hæretica illam ad propriam perversam opinionem detorquet. Etenim et alias sacras voces pervertere audent hi qui malunt prave agere quam discere. Nihil vero aliud isti, quemadmodum et illi, efficiunt, nisi quod pravam suam sententiam reddunt manifestam. Ad hoc vero improbæ eorum, qui rectam sententiam haud amplectuntur, vertentur artes, ut vel Deum Verbum specie tenus carnem gestasse blasphemant Manichæorum ad instar, vel Verbum in carnem mutatum vel corporis naturam a Deitate invisibili, supernaturali et incorporea fuisse absorptam affirment. Si beatus Cyrillus et alii sexcenti ex Patribus sæpe naturam pro hypostasi accipiunt, neque istud his confusionis auctoribus est prohibitum, quomodo non nobis orthodoxis risum movebunt, dum Cyrilli vocem objiciunt, quæ unam naturam Verbi incarnatam affirmat? Si enim videre licet Cyrilli consuetudinem sæpe pro hypostasi naturam sumentem, potius nobis consonat ac suffragatus, quam apostatis. Nostrum enim est et cogitare et dicere Unam Verbi incarnatam

Ἡ μία φύσις τοῦ Λόγου σεσαρκωμένη (29) μίαν μὲν μόνην διάνοιαν καθαρὰν προβάλλεται, ἤτοι συντρέχει τοῖς δύο φύσεις ἡνωμένας ἀχωρίστως καθ' ὑπόστασιν δογματίζουσι. Καὶ τοῦτο δῆλον ἐξ ὧν τε Κύριλλος ἑκατέρᾳ κέχρηται λόγου συνθήκῃ, μήτε τὸ, μία φύσις τοῦ Λόγου σεσαρκωμένη, παραιτούμενος, καὶ τὸ δύο φύσεις ἀχωρίστως καθ' ὑπόστασιν ἡνωμένας οὐκ ἀρνούμενος. Οὐ μόνον δὲ Κύριλλος, ἀλλὰ καὶ ὅσοι μετ' ἐκεῖνον τῆς εὐσεβοῦς μερίδος ἐγνώσθησαν. Οὐδὲν δὲ θαυμαστὸν, εἰ καθαρὰν δηλούσης τὴν εὐσέβειαν τῆς φωνῆς ὁ αἱρεσιώτης νοῦς πρὸς τὴν οἰκείαν ταύτην αἰχμαλωτίζει κακόνοιαν. Καὶ γὰρ καὶ ἄλλας ἱερὰς φωνὰς διαστρέφειν τέ εἰσι θρασεῖς οἱ τὸ κακουργεῖν πρὸ τοῦ μανθάνειν ἔμπροσθεν ἀγοντες· καὶ οὐδὲν πλέον οὐδ' οὗτοι ὥσπερ οὐδ' ἐκεῖνοι πλὴν τοῦ δοῦναι τῆς κακεργάτιδος γνώμης ἔλεγχον ἐξανύουσι. Περιτραπήσεται δὲ πάντως αὐτοῖς ἡ κακοτεχνία μὴ τὴν ὀρθὴν ἀσπαζομένοις διάνοιαν, ἢ ἐν φαντασίᾳ τὴν σάρκα φορέσαι τὸν Θεὸν Λόγον δυσφημεῖν, ὥσπερ οἱ ἀπὸ Μανέντος, ἢ τετράφθαι τὸν Λόγον εἰς σάρκα, ἢ πρὸς τῆς ἀναφανοῦς τε καὶ ὑπερφυοῦς καὶ ἀσωμάτου θεότητος τὴν τοῦ σώματος καταποθῆναι φύσιν. Εἰ τὴν φύσιν ὁ μακάριος Κύριλλος καὶ μυρίοι ἄλλοι τῶν Πατέρων ἀντὶ ὑποστάσεως πολλάκις παραλαμβάνουσιν (30) οὐδὲ τοῦτο τοῖς συγχυτικοῖς ἀπηγόρευται, πῶς ἡμῖν οὐ κινήσουσι γέλωτα τοῖς ὀρθοδόξοις τὴν τοῦ Κυρίλλου φωνὴν ἐπισείοντες τὴν λέγουσαν μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην; Εἰ γὰρ ἔστιν ἰδεῖν τὴν Κυρίλλου συνήθειαν καὶ τὴν φύσιν πολλάκις ἀντὶ τῆς ὑποστάσεως παραλαμβάνουσαν, ἡμῖν μᾶλλον συμφθέγγεται ἢ τοῖς ἀποστάταις· ἡμέτερον γάρ ἐστι καὶ φρονεῖν καὶ λέγειν

NOTÆ.

(26) Hæc quæstio nec in Coisliniano nec in Taurinensi codice reperitur.

(27) Fort. Ῥωμαῖοι.

(28) Photius, qui res Latinorum parum accurate novit, hic ipse innuit se nonnisi obiter ac perfunctorie quæsito satisfecisse. Cæterum quoad rem confer ea quæ disputat Balsamon in canonem Trullanum 62 (Beveregii *Pandect.* canon. t. I, p. 250.)

(29) Hac loquendi forma utebatur Cyrillus *Lib. ad Reginas* et alibi; eam arripuere Monophysitæ ad suum placitum stabiliendum.

(30) Vide Petavium *de Trinitate* L. IV, c. 2, n. 10, 11; *De Incarnat.* L. II c. 3, n. 3.

Digitized by Google

ὑπόστασιν μίαν τοῦ Λόγου σεσαρκωμένην. Ὁρᾷς ὅπως εἰσὶ θεοβλαβεῖς καὶ ἀπόκλητοι· ἐκεῖνα γὰρ καὶ ἄκοντες χαρίζονται, ἃ μὴ λέγουσι συλαγωγοῦντες, κἀκείνων κατήγοροι γίνονται, ὑπὲρ ὧν μὴ ἐξομόσασθαι μυρίους ὑπελθεῖν σχηματίζονται θανάτους. Τὴν φύσιν γὰρ οἱ Ἀκέφαλοι ἦγουν οἱ ἀπὸ Σεβήρου εἰς δύο τέμνουσι φύσεις, καὶ τὴν μὲν καλοῦσι ἰδικήν, τὴν δὲ καθόλου, καίτοι μηδὲν αὐτοῖς τῆς ἐπινοίας ταύτης πρὸς τὴν ἀσέβειαν συντελούσης· οὐδὲ γὰρ τὴν ἄτοπον αὐτῶν δόξαν τοῦτο τὸ κενολόγημα, τὸ μίαν φύσιν ἐπὶ Χριστοῦ τερατεύεσθαι, συγκροτεῖ καὶ κατὰ τῶν ὀρθοδόξων οὐδὲν παρατάττεται. Ἐρωτητέον δὲ αὐτούς, πότερον, ἡνίκα λέγουσι τὸν Χριστὸν, ἐκ δύο φύσεων, ἐκ ποτέρων δύο τοῦτον εἶναί φασι, τῶν, ὡς ἐκεῖνοι λέγουσι, μερικῶν ἢ τῶν κοινῶν. Εἰ μὲν γὰρ τῶν μερικῶν, πῶς Νεστόριον οὐκ ἐρυθριῶσιν ὑβρίζειν, οὗ τὸ δόγμα περιθάλπουσι; τὸ γὰρ ἐκ δύο ὑποστάσεων συντιθέμενον σοφίζεται μὲν τὴν εἰς ἓν πρόσωπον σύνθεσιν, οὐδὲν δὲ ἧττον τὰς δύο ὑποστάσεις ἰδιοσυστάτως εἰσάγει καὶ δογματίζει καὶ κοινὸν προβάλλεται μάθημα. Τὸ μὲν γὰρ ἐκ δύο κοινῶν φύσεων συγκεῖσθαι λέγειν τὸν Χριστὸν καταισχύνει τὸν Νεστόριον (οὐδὲ γὰρ οὐδ' ἐξ ἀνάγκης εἰς ἰδιοσυστάτους ὑποστάσεις διαιρεῖται τὸ συγκείμενον)· τὸ δὲ ἐκ δύο λέγειν, ὡς ἐκείνοις ἀνάγκη λέγειν, *ὑποστάσεων*, οὐκ αὐτῶν μᾶλλον, ἀλλὰ τοῦ Νεστορίου κηρύττει τὸ φρόνημα· κἄν τε γὰρ *ἐκ* δύο τις *ὑποστάσεων* φαίη συγκεῖσθαι τὸν Χριστὸν, κἄν τε *ἐν* δυσὶ, κἄν τε *δύο ὑποστάσεις*, ἡ Νεστορίου θεομαχία κρατύνεται ὥσπερ ἐάν τις φαίη τὴν ὑπόστασιν τοῦ Λόγου ἐν ἑαυτῇ τὴν ἀνθρωπίνην ὑποστήσασθαι φύσιν, κἄν τε ἐκ δύο *φύσεων* εἶπον, κἄν τε ἐν δυσὶ, κἄν τε *δύο*, ὁμοίως τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀνομολογεῖ καὶ τὸ εὐσεβὲς ἀνακηρύττει φρόνημα· σύγκειται γὰρ ὁ Χριστὸς ἔκ τε τοῦ Θεοῦ Λόγου καὶ τῆς ἀνθρωπίνης φύσεως· καὶ γὰρ ὁ Λόγος, ὅπερ ἐστὶν ὑπόστασις, γέγονε σὰρξ, τῆς σαρκὸς οὐ πρόσωπον εἰσαγούσης, ἀλλὰ τὴν ἀνθρωπίνην φύσιν ἀπαγγελλούσης.

A hypostasin. Vides, quo pacto sunt impii et detestabiles; ea enim et inviti concedunt, quæ non dicunt prædatores, et illorum accusatores evadunt, pro quibus non ejurandis sexcenta se mortis genera subituros confingunt. Naturam enim Acephali sive Severiani in duas secant naturas, et unam quidem vocant singularem, alteram universalem, quanquam nihil conferat ad impietatem ista inventio. Neque enim absurdam eorum doctrinam hæc vana locutio, qua una in Christo natura confingitur, stabilire potest et contra orthodoxos frustra profertur. Quærendum vero ex eis est, quando Christum dicunt ex duabus naturis, ex utris eum esse doceant, ex particularibusne an ex communibus. Nam si ex particularibus, quomodo non erubescunt Nestorium injuriis afficere, cujus doctrinam fovent atque prosequuntur? Quod enim ex duabus hypostasibus componi asseritur, simulat quidem compositionem in unam personam, nihilo vero secius duas hypostases per se peculiariter subsistentes inducit et prædicat et communem præfert doctrinam dicere quidem Christum ex duabus communibus naturis compositum Nestorium confundit (neque enim necessario in duas per se subsistentes personas dividitur compositum), dicere autem ex duabus *hypostasibus*, sicut illis dicere necesse est, non eorum potius, sed Nestorii imprimis sententiam prædicat; sive enim *ex* duabus *hypostasibus* Christum quis dicat compositum, sive *in* duabus, sive *duas hypostases*, Nestorii stabilitur in Deum pugna; quemadmodum si quis dicat Verbi hypostasin in se humanam sustentasse naturam, sive ex duabus *naturis* sive in duabus sive *duas naturas* dicat, similiter unionem hypostaticam confitetur et catholicorum dogma deprædicat. Compositus enim est Christus ex Deo Verbo et humana natura; nam Verbum, quod est hypostasis, caro factum est; carnis autem voce non persona inducitur, sed humana natura denotatur.

ΕΡΩΤΗΣΙΣ ΣΜΔ'.

Τίνα νοῶν ἀναπτύσσει τὸ τοῦ Ἀποστόλου ῥητὸν, « Ἐκάθισεν ἡμᾶς ἐν δεξιᾷ (30) τοῦ Θεοῦ καὶ Πατρός; »*

QUÆSTIO CCXLIV [*Coisl. Taur.* XCI].

Quem sensum habet illud Apostoli dictum: « Collocavit nos ad dextram Dei et Patris [e]. »

Editarum a Wolfio tricesima sexta (*Cur. Philol.* t. V, p. 679, 683. Galland. XIII, p. 705, 706, n. 8).

Ὅτι (31) κρείττους ἀγγέλων γεγενῆσθαι διὰ τῆς ἐν σαρκὶ τοῦ Λόγου παρουσίας ἡμᾶς ἡ θεία Γραφὴ διακέκραγεν, καὶ ἐν τῇ ἀναστάσει ἰσαγγέλους ἔσεσθαι. « Ἐκάθισεν γὰρ ἡμᾶς ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρὸς, » ὡς ὁ θεῖος Παῦλος βοᾷ, καὶ ἐξῆς. Καὶ οὐ μάχεται ταῦτα. Τῷ μὲν γὰρ συνεδριάσαι τῷ θρόνῳ τῷ πατρικῷ τὸ ἐξ ἡμῶν πρόσλημμα, τῆς ἀγγελικῆς καὶ δόξης δῆλον ὅτι καὶ τιμῆς ὑπερανεστήκαμεν. Τῷ δὲ μηκέτι μηδενὶ τῶν τῆς σαρκὸς ἐν τῇ ἀναστά-

B Præstantiores angelis nos per adventum Verbi in carnem factos esse, et in resurrectione angelis similes futuros, divinior Scriptura testatur. « Collocavit enim nos ad dextram Dei et Patris, » ut divus Paulus clamat, etc. Neque vero hæc secum invicem pugnant. Manifestum enim est nos ultra angelicam gloriam et dignitatem eo ipso evectos esse, quod illud, quod ex nobis assumptum est, in throno Patris est collocatum. Quando vero in resurrectione

[e] Ephes. II, 6.

NOTÆ.

(30*) Frustra quidem hanc φράσιν in epistola Pauli quæsiveris. Similis tamen illi est, qua Dominus noster utitur Apocal. III. 21. ὁ νικῶν δώσω αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, κ. τ. λ. Conf. Ephes. II, 6.

(31) Ὅτι deest in Colb. et revera abundat.

Digitized by Google

nihil eorum, quæ ad corpus pertinent, vel amovetur, vel contemnitur, nulla vero etiam re, quam corporis natura alias postulat, idem amplius indiget; id quidem nobis commercium conditionis rerum incorporearum ita largitur, ut et similes angelis, et superiores iis dem simus futuri. Superiores quidem ideo, quod natura nostra per eum, qui illam assumpsit, juxta Patrem collocata est; ad similitudinem vero mentium incorporearum perducti; postquam ab affectibus et corruptibilitate immunes, et a corporeis affectionibus, petulantiaque et inconstantia, cui materiale quodque obnoxium est, liberi evasimus.

Hic vero etiam observandum est, verbis illis, « Erant ut angeli Dei[7], » non eamdem naturæ dignitatem, sed id potius indicari, quod nihil corum, quibus in carne fuerant obnoxii, imposterum simus experturi, angelicæ vero indolentiæ participes et a passionibus corporeis immunes vitam in resurrectione acturi, quamvis interim angelis eo simus superiores, quod nostram lapsorum naturam Dei Filius assumpsit et redemit, illorum vero non item. Cujus quidem rei rationem in eo quærere oportet, quod illi quidem nos seduxerunt, nos vero seducti sumus; quodque illi varias prærogativas habuerunt, quo minus peccarent, quippe qui affectibus minus paterent, ad Deum vero propius accederent, et corpore denique carerent. Ab altera parte nobis quidam miserationem magis conciliavit, quod vitiis magis patebamus, corporique obnoxii et alligati eramus; tum vero imprimis, quod ex illis, qui lapsi erant, tales non geniti sunt, per quos Numen benignissimum ad veniam lapsus faciendam adduci poterat. Imo vero illi, qui legem violaverant, eamdem violare semper amant. Porro neque similia neque affinia sunt, angelorum naturam et hominum illam assumere. Quid enim hoc profuisset illis angelis, qui non erant lapsi? Si vero in lapsorum gratiam id factum esset, nonne, hoc facto, illi, qui lapsi non erant deterioris, quam lapsi, conditionis fuissent? Præterea Verbum incarnatum et virtutis et pietatis præcepta nos docuit, per quæ, siquidem illa per gratiam ejus observemus, eorum reddimur participes, quæ perpetua regni cœlorum hæreditas sperare jubet. Jam vero angelorum natura et virtutis et pietatis notitia erat instructa. Virtutis quidem, ceu ex eo patet, quod homines, ab illa avocatos, in contraria omnia pellexerunt: nec minus pietatis. Argumento est ille, qui clamabat; « Novi te, quis sis: sanctus Dei[7]; » et, « Venisti ut ante tempus nos affligeres[8]. » Cujusmodi complura alibi exstant. Itaque Dominus frustra angelorum naturam

A σει μήτε καθέλκεσθαι, μηδὲ παρασύρεσθαι, μηδ' ὅλως ἐν χρείᾳ καθίστασθαι τῶν, ὅσα σαρκὸς φύσις (32) ἐδούλευεν, τῆς τῶν ἀσωμάτων λήξεως χαρίζεται τὴν συγγένειαν, ὥστε εἰκότως (33) καὶ ἰσάγγελοι, καὶ κρείττους ἐκείνων ἐσόμεθα. Τῷ μὲν τὴν φύσιν ἡμῶν ἐν τῷ προσλαβόντι συνεδριάσαι τῷ Πατρὶ; κρείττους. Τῇ δὲ καθέκαστον ἡμῶν ἀπαθείᾳ καὶ ἀφθαρσίᾳ καὶ σωματικῶν πάντων καὶ παθῶν καὶ σκιρτημάτων, καὶ ταχύτητος ἀπηλλάχθαι προσύλου, τὴν πρὸς τοὺς ἀσωμάτους νόας ἰσότητα ἀναδεδεγμένοι (34).

Ἐπισκεπτέον δὲ τὸ, « Ἔσονται ὡς ἄγγελοι Θεοῦ, » οὐ τὴν ἰσοτιμίαν κηρύττει τῆς φύσεως, ἀλλὰ τὸ μηδὲν B πάσχειν, ὧν ἔπασχον πρότερον, σαρκικῶν. Παραπλησίως δὲ τῆς ἀγγελικῆς ἀπαθείας καὶ αὐτοὺς ἐν τῇ ἀναστάσει τῶν σαρκικῶν ἀπηλλαγμένους πολιτεύεσθαι, κρείττους δὲ καὶ ἄλλως ἀγγέλων, ὅτι ἡμῶν μὲν ὁλισθησάντων τὴν φύσιν ἀνέλαβεν ὁ τοῦ Θεοῦ Υἱὸς καὶ ἀνεσώσατο, ἐκείνων δὲ οὐκέτι. Καὶ ζητεῖν δεῖ τὴν αἰτίαν, ὅτι αὐτοὶ μὲν ἐπλάνησαν, ἡμεῖς δὲ τῶν πλανηθέντων. Καὶ ὅτι αὐτοὶ μὲν πολλὰς ἀφορμὰς εἶχον τοῦ μὴ ἐξαμαρτῆσαι, τὸ δυσπαθές τε καὶ τὸ πλησιάζειν μᾶλλον Θεῷ καὶ τὸ ἀσώματον. Τοῖς δὲ ῥοπὴν ἐλέου παρέχει καὶ τὸ εὐπαθέστερον καὶ τῷ σώματι καθέλκεσθαί τε καὶ συνδεδέσθαι, καὶ τὸ μεῖζον, ὅτι οὐκ ἐπιγεγέννηνται ἐκ τῶν πεσόντων ἕτεροι, δι' οὓς ἂν τὸν φιλάνθρωπον εἶλκεν τὸ πτῶμα πρὸς ἔλεον. Ἀλλ' αὐτοί γε οἱ παραβάντες τὴν παράC βασιν διαπαντὸς μένουσι στέργοντες. Ἔτι οὐδ' ὅμοιον οὐδ' ἐγγὺς ἀγγέλων τε φύσεως καὶ ἀνθρώπων ἐπιλαβέσθαι. Τί γὰρ καὶ ὤνησεν τοὺς οὐ πεσόντας; εἰ δὲ διὰ τοὺς πεσόντας, πῶς οὐ χείρους οἱ μὴ πεπτωκότες τῶν πεπτωκότων (35) ἢ τοῦτο ἐπεργαστέον; Ἔτι σαρκωθεὶς ὁ Λόγος τά τε τῆς ἀρετῆς καὶ τὰ τῆς εὐσεβείας μαθήματα ἡμᾶς ἐξεπαίδευσεν, δι' ὧν ἡμῖν γέγονεν τῇ παρ' αὐτοῦ χάριτι κατορθοῦντας (36), ἃ ὑπέθετο τῆς τῶν οὐρανῶν βασιλείας ἀδιάδοχος κληρονομία. Ἡ δὲ ἀγγελικὴ φύσις καὶ τῆς ἀρετῆς καὶ τῆς εὐσεβείας εἶχεν τὴν γνῶσιν. Τῆς μὲν ἀρετῆς, ἐξ ὧν τοὺς ὑπ' αὐτῆς (37) ὑποσκελιζομένους πρὸς τἀναντία μεθελκέν τε καὶ ὑπεδελέαζεν. Καὶ τῆς εὐσεβείας δ' ὁμοίως, καὶ ἐξ ὧν ἐβόα· « Οἶδά σε τίς εἶ· ὁ ἅγιος τοῦ D Θεοῦ· » καὶ, « Ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς· » καὶ μυρία ἄλλα. Ὥστε εἰς μάτην αὐτὴν τῶν ἀγγέλων ὑπῆρχετο φύσιν. Ἔτι σαρκοῦται ὁ Λόγος, ὁδὸν ἡμῖν δι' ὧν ἔπραττεν, ὑποδεικνὺς, δι' ἧς ἡμῖν ἡ πρὸς τὸν οὐρανὸν ἄνοδος πορισθήσεται. Τοῖς δὲ δαίμοσι πρόκειται τὰ ὁμογενῆ τάγματα τῆς ἀρχαίας λήξεως, δι' ὧν πράττουσι, τὴν μακαριότητα προδεικνύοντα. Ἀλλ' ἐκεῖνοι γνώμης ἀπονοίᾳ οὔτε ἔπονται, οὔτε πρὸς αὐτοὺς ἐπι-

[7] Matth. xxii, 30. [7] Luc. iv, 34. [8] Matth. ix, 29.

NOTÆ.

(32) Pro φύσις Colb. φύσιν. Neutrum rectum puto: legerim φύσει. Fortasse vero pro ἐδούλευεν, legendum fuerit ἐδούλευεν, *suadebat*. Et sic retineri possit φύσις.

(33) ὥστε εἰκότως Colb. pro προστεθηκότω.

(34) Ita scripsi pro ἀναδεδειγμένοι, ex verbo ἀναδέχομαι.

(35) Legendum puto εἰ.

(36) Malim κατορθοῦσι, ut referatur ad antecedens ἡμῖν.

(37) αὐτῆς Colb. pro αὐτούς.

Digitized by Google

στρέφονται· ὥστε περίεργόν ἐστιν ἀγγέλων τὴν τοῦ Θεοῦ φύσιν ὑπελθεῖν. Μᾶλλον δὲ εἰς μείζω καὶ βαρυτέραν, εἴπερ οἷόν τέ ἐστι, τῆς ἀποκειμένης αὐτοῖς κολάσεως. Ἔτι ἀγγέλων εἴπερ ἔμελλεν ὁ Λόγος φύσιν ὑπέρχεσθαι (38), πῶς ἂν ὑπῆλθεν, τόκου μὴ μεσιτεύοντος; εἰ δ' ἁπλῶς κατ' οἰκείωσιν καὶ σχετικὴν σύνοδον τοῦτο προσῆν τοῖς δαίμοσιν, ἀλλ' ἐκεῖθεν διερράγησαν (39). Ἔτι τίνος (40) τῶν πεπτωκότων ἐποιεῖτο τὴν κατὰ τὸ ἄκρον οἰκείωσιν; Εἰ μὲν τῶν ἑστώτων, καὶ τί ἂν τὸ πεπτωκὸς ὤνητο; Ἐκείνων γὰρ καὶ πρὶν μενόντων (41) ἐν τοῖς ἀμείνοσι τὸ δαιμόνιον ταλανίζεται. Εἰ δὲ τῶν πεπτωκότων, ποῦ τὸ δίκαιον; Πῶς δ' ἂν οὐκ ἔσχεν χώραν ἐκλέγεσθαι τὸ κατεγνωσμένον Παύλῳ· « Ποιήσωμεν τὰ κακά; » Ἔτι δὲ τόκου ταῖς ἀγγελικαῖς δυνάμεσι μὴ μεσιτεύοντος, οὐδὲ φύσιν ἦν δυνατὸν αὐτῶν ἀναλαβεῖν τὸν Λόγον τοῦ Θεοῦ, ἀλλά τινα τὸν καθ' ἕκαστον. Ὃν δ' ἂν ἔλαβεν, μόνον ἐκεῖνον ἂν καὶ ἔσωζεν. Ὥστε συνέβαινεν ἂν αὐτὸν μυριάκις ἀγγέλων ἄτομα (42) ὑποδύεσθαι. Μᾶλλον δὲ ἀνίλεως εἴη (43) δαιμόνων, οἳ πάσης κακίας ἑαυτοὺς ἀπέδειξαν ὄργανα.

A erat susceptarus. Incarnabatur præterea Verbum, viam nobis per ea, quæ agebat, ostensurum, per quam reditus nobis in cœlum pateret. Dæmonibus vero in exemplum propositi sunt similes illis angelorum ordines, pristinam sedem tuentes, atque illis ipsis, quæ agunt, viam ad beatitatem commonstrantes. Illi vero, mente aversi, nec sequuntur illos, nec ad eosdem convertuntur. Itaque supervacaneum foret, si Dei natura illam angelorum susciperet; imo id ipsum pœnam imminentem majorem et graviorem, siquidem talis dari potest, redderet. Quod si præterea Verbum angelorum naturam assumere unquam voluisset, quomodo id sine intercedente partu aliquo fieri potuisset? Si porro tantum per appropriationem aliquam et relationem moralem Verbum illud se cum dæmonibus communicasset, illi vel sic ab eo sejuncti fuissent. Qua porro de causa Verbum lapsos illos sibi maxime appropriasset? Si dixeris : In gratiam illorum, qui stationem suam retinuerant, quid inde commodi ad lapsos pervenisset? Illis enim meliore conditione pridem fruentibus, dæmones vices suas miserantur. Si vero in gratiam lapsorum; quomodo id fas fuisset? Nonne potius id factum esset, quod Paulus aversatur : « Faciamus mala [9]. » Quando denique partus angelicis copiis mederi et usu venire non potuit, nec naturam angelorum Verbum Dei assumere, sed unum aliquem eorum, potuit. Quemcunque vero eorum assumpsisset, illum unum salvasset. Ita vero futurum erat, ut illa angelorum indivisibilia millies susciperet. Satius itaque erat, dæmonum non misereri, qui se ipsos omnis pravitatis instrumenta præstitissent.

B

ΕΡΩΤΗΣΙΣ ΣΜΕ'.

Διατί διδασκόμεθα ἀποτάσσεσθαι τῷ Σατανᾷ καὶ οὐχὶ τοῖς πονηροῖς ἀνθρώποις;

QUÆSTIO CCXLV [*Coisl. Taur.* XCII. *Maio* CCXLIV].

Quare præcipiatur nobis renuntiatio Satanæ, non autem pravis hominibus.

Edita a Maio (*Nov. Coll.* t. IX, p. 114). — De abrenuntiatione diaboli.

Ἀποτασσόμεθα τῷ Σατανᾷ καὶ τοῖς ἔργοις αὐτοῦ, καὶ οὐχὶ τοῖς πονηροῖς ἀνθρώποις, πρῶτον μὲν ἵνα μὴ ἀφορμὰς, εἰ καὶ μὴ εὐλόγους, ἐκ ταύτης λάβωμεν τῆς ἀποταγῆς, μισεῖν καὶ ἀποστρέφεσθαι καὶ ἐκτρέπεσθαι καὶ ἀποτάσσεσθαι τὸ ὁμόφυλον. Δεύτερον δὲ, εἰ ἀπετασσόμεθα τοῖς πονηροῖς ἀνθρώποις, οὐχ ἡμεῖς δὲ ἀλλὰ καὶ πρὸ ἡμῶν οἱ διδάσκαλοι καὶ ἀπόστολοι, τίς ἂν τῶν ἁμαρτωλῶν ἐσέσωστο, τῆς μὲν ἀποταγῆς τὴν ἀποστροφὴν τικτούσης, τῆς δὲ τὴν παραίνεσιν καὶ διδασκαλίαν συναναιρούσης, ᾗ καὶ ἡ ἐπιστροφὴ καὶ ἡ μεταμέλεια συναναιρεῖται; γ'. Καὶ τίς ἂν ἐκεῖνος ὁ λέγων, Ἀποτάσσομαι τοῖς ἁμαρτωλοῖς ἢ πονηροῖς ἀνθρώποις; εἰ μὲν λέγοι ἑαυτὸν τῶν ἁμαρτωλῶν, ἑαυτῷ ἂν ἀπετάττετο· εἰ δὲ τῶν δικαίων, ἵνα τἄλλα ἐάσω, ἀλλ' ἐν καιρῷ τῆς μετανοίας καὶ σωτηρίας, βάραθρον ἑαυτῷ μεγαλαυχίας καὶ φαρισαϊκῆς ἀπωλείας διώρυττε. δ'. Οὐχ ὁ ἄνθρωπος ἀπ' ἀρχῆς, ἀλλ' ὁ πονηρὸς ἠπάτησε. ε'. Ὁ μὲν Σατανᾶς τὴν κακίαν ἐστὶν ἀμετάβλητος. ς'. Ἐν τῇ ἀποταγῇ τῶν τοῦ Σατανᾶ ἔργων καὶ ὅσα ἄνθρωπος πράξει, ἐπεὶ ἐκεῖθεν ἐκ τῆς ἀπάτης τὸ σπέρμα, ἐν ἐκείνοις περιέχεται· εἰς γὰρ ἐκεῖνον ἀναφέρεται.

C

Satanæ et operibus ejus, non autem pravis hominibus renuntiamus, primo quidem, ne motivum quamvis non rationabile, ex ista renuntiatione sumamus, confratrum odio persequendorum vel vitandorum, vel repellendorum, vel rejiciendorum. Secundo autem, si renuntiaremus pravis hominibus, nec nos, nec ante nos magistri et apostoli, quis peccatorum salvatus fuisset? renuntiatione quidem aversionem producente, sed et exhortationem et instructionem destruente, et ita conversionem et pœnitentiam tollente. Tertio, et quis est qui dicat renuntio peccatoribus, vel pravis hominibus? si seipsum dicit inter peccatores, nonne seipso renuntiabit? si vero inter justos, ne plura dicam, in tempore pœnitentiæ et salutis, superbiæ et pharisaicæ perditionis gurgitem sibi effodiret. Quarto, non homo a principio, sed Satanas decepit. Quinto, Satanas quidem in malo est invariabilis. Sexto, In renuntiatione Satanæ operibus, et quæcunque facit homo, siquidem hinc fallaciæ semen, continentur. In illum enim relationem habent.

NOTÆ.

(38) Sic scribo pro, ὑπέρχεται.

(39) Ita Colb. pro καὶ ἐρράγησαν.

(40) *Τίνος* scripsi pro τινός. Sed vel sic sensus hiat, nisi subintellexeris χάριν, vel sequentem vocem πεπτωκότων cum illa ἀγγέλων permutes. Mox enim angeli in ἑστῶτας et πεπτωκότας distinguuntur. Ita vero legendum fuerit τίνος τῶν ἀγγέλων; *quem angelorum chorum sibi appropriasset?*

(41) Sic scribo, cum Colb. pro μὲν ὄντων, quam lectionem tumen in versione expressi.

(42) Sic Colb. pro ἄτοπα, quod huc non quadrat.

(43) Noster : ἀλλίλιως εἴδη. nullo sensu : Colb. pro εἴδη habet εἴη. Legendum itaque ἀνίλεως.

Digitized by Google

QUÆSTIO CCXLVI [*Coisl.* CLIX *Taur.* CLVIII].

Quare Confessores vocentur Samonas et socii?

Edita a Maio (l. c. p. 115, q. 245).

Confessores qui sunt circa Guriam martyres vocantur non quod Christum in stadio confessi sint, hæc est enim communis omnium martyrum æmulatio, sed quod promissionum quas ad invicem homines habebant testes et mediatores assumpti, eorum qui illis considerant spem non deceperunt, et ab illis qui a promissis defecerunt justam pœnam expetivere. Sicut ergo testes rigidi et inexorabiles promissionum quas ad invicem habebant homines facti, merito confessorum nomen sortiti sunt.

ΕΡΩΤΗΣΙΣ ΣΜϚ'.

Διατὶ ὁμολογηταὶ καλοῦνται οἱ περὶ Σαμωνᾶν;

Ὁμολογηταὶ δ' ἂν οἱ περὶ Γουρίαν μάρτυρες καλοῖντο, οὐχ ὅτι τὸν Χριστὸν ἐν σταδίῳ διωμολογήσαντο· κοινὸν γὰρ ἀγώνισμα τοῦτο πάντων τῶν μαρτύρων· ἀλλ' ὅτι τῶν ὁμολογιῶν ἃς πρὸς ἀλλήλους ἄνθρωποι τίθενται ἐπόπται καὶ μεσῖται παραληφθέντες, οὔτε τῶν πεπιστευκότων αὐτοῖς τὰς ἐλπίδας ἐψεύσαντο, καὶ τοὺς ἀθετήσαντας τὰ ὁμολογηθέντα, τὴν δικαίαν δίκην ἀπῄτησαν· ὡς οὖν ἐπόπται θερμοὶ καὶ ἀπαραίτητοι τῶν πρὸς ἀλλήλους τοῖς ἀνθρώποις ὁμολογιῶν γεγενημένοι, εἰκότως τὴν τῶν ὁμολογητῶν ὀνομασίαν διεκληρώσαντο.

QUÆSTIO CCXLVII [*Coisl. Taur.* XCVIII].

Cur Christus cruci affixus?

Edita a Maio (l. c. p. 115, q. 246).

Crucifigitur incarnatum Dei Verbum, Deus ipse, ut aperte diaboli injustitiam redarguat, utque suum erga homines amorem immensum demonstret, ne etiam multi credentes sese dicere Deum facile esse occasionem inde sumant sese deos faciendi et funestum errorem inducendi, utque illis qui probris et angustiis et malis ad mortem ducentibus probantur, semetipsum patientiæ et fortitudinis exemplum proponens, viriliter et gratanter accidentia ferre præparet. Ut etiam omnipotentia virtutis suæ magis in lucem prodeat : Vi enim et manibus et armis et pugnis adversarium (superare), laudabile quidem est, sed in ordine rerum ordinariarum est, nec ullum divinæ operationis signum revelat. Sed morte mortem ipsam et inferos et diabolum et principatus et potestates mundi annihilare et vincere, hoc est sine dubio omnipotentiæ divinæ quæ omnem sensum et mentem superat. Utque magnitudine bonorum in nos impertitorum exhibita, debitores nos puri erga illum amoris, et vitæ secundum ipsius leges constituendæ faciat. Ex quibus lucrum ad nos ipsos revertitur, regni, id est, hæreditas, et in ineffabilibus quies et voluptas.

ΕΡΩΤΗΣΙΣ ΣΜΖ'.

Διατὶ σταυροῦται ὁ Χριστός;

Σταυροῦται σαρκωθεὶς ὁ τοῦ Θεοῦ Λόγος καὶ Θεὸς, ἵνα λαμπρῶς ἀδικοῦντα διελέγξῃ τὸν διάβολον, καὶ ἵνα τὸ πρὸς ἀνθρώπους φίλτρον παραστήσῃ ἀνυπέρβλητον, καὶ ἵνα μὴ δόξαν εὐχερὲς τὸ λέγειν αὐτὸν εἶναι Θεὸν, πολλοῖς ἀφορμὴ καταστάθῃ θεοποιεῖν ἑαυτοὺς, καὶ πλάνην καταργῶν πλάνην εἰσαγάγῃ ὀλέθριον· καὶ ἵνα τοῖς ἐν ἐπηρείαις καὶ ἐπιβουλαῖς καὶ κακώσεσι πρὸς θάνατον ἀγούσαις ἐξεταζομένοις, ἑαυτὸν ὑπομονῆς καὶ καρτερίας παράδειγμα προθεὶς, γενναίως φέρειν καὶ εὐχαρίστως παρασκευάσῃ τὰ συμπίπτοντα· καὶ ἵνα τὸ πανσθενέστατον αὐτοῦ μᾶλλον φανερώσῃ τῆς δυνάμεως· τὸ μὲν γὰρ ῥώμῃ καὶ χειρὶ καὶ ὅπλοις καὶ συμμάχοις τὸν ἀντίπαλον, ἐπαινετὸν μὲν, τῶν συνήθως δὲ διαπεπραγμένων καὶ οὐδὲν εἰσάγον θεουργίας ἐξαίρετον· τὸ διὰ θανάτου, αὐτόν τε θάνατον καὶ ᾅδην καὶ διάβολον καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ κόσμου καταργῆσαί τε καὶ θριαμβεῦσαι, τοῦτο ἂν εἴη ὡς ἀληθῶς τῆς ὑπὲρ νοῦν καὶ ἔννοιαν παντοκρατορικῆς δυνάμεως τοῦ Θεοῦ· καὶ ἵνα τὴν ὑπερβολὴν τῶν εἰς ἡμᾶς ἀγαθῶν ἐνδειξάμενος, χρεώστας τῆς καθαρᾶς πρὸς αὐτὸν ἀγάπης παραστήσῃ, καὶ τῆς κατὰ τοὺς αὐτοῦ νόμους πολιτείας· δι' ὧν τὸ κέρδος εἰς ἡμᾶς αὐτοὺς ἀναστρέφεται, βασιλεία; ἡμῖν κλῆρος ὄν, καὶ ἐν ἀδιηγήτοις διαγωγὴ καὶ ἀπόλαυσις.

QUÆSTIO CCXLVIII [*Coisl. Taur.* XCIX, *Maio* CCXLVII] (1).

ΕΡΩΤΗΣΙΣ ΣΜΗ'.

Editarum a Wolfio tricesima septima (*Cur. Phil.* p. 685, 686. Galland. XIII, 707, 11). — Quomodo concilianda verba I Cor. xiv, 22, cum Matth. ix, 22; xiii, 58, et similibus locis?

Quomodo dictum illud apostolicum [10] : « *Signa non credentibus, sed incredulis;* » *cum illis Domini oraculis conciliari potest* [11] : « *Fides tua salvum te fecit;* » *et :* « *Non poterat facere signa propter incredulitatem eorum;* » *itemque alia, eamdem sententiam inculcantia* [12].

Πῶς συμβιβασθήσεται τὸ ἀποστολικὸν ῥητὸν, τὸ φάσκον· « *Τὰ σημεῖα οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις,* » τοῖς Δεσποτικοῖς λογίοις τοῖς λέγουσιν· « *Ἡ πίστις σου σέσωκέ σε.* » Καὶ, « *Οὐκ ἠδύνατο ποιῆσαι σημεῖα διὰ τὴν ἀπιστίαν αὐτῶν·* » καὶ ὅσα ἄλλα τὴν αὐτὴν ὑποβάλλει διάνοιαν;»

Qui discendi studio in hæc inquirit, illi dictorum sensus non difficulter patebit. Illis enim, qui jam per tempus aliquod crediderunt, nec dubio aliquo de magno illo, quod profitemur, mysterio vexantur; similiter vero etiam illis, qui incredulitati penitus

Τῷ διερευνῶντι φιλομαθῶς οὐκ ἐργώδης τῶν εἰρημένων ἡ κατανόησις. Τοῖς τε γὰρ ἤδη χρόνῳ πεπιστευκόσι, καὶ μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ καθ' ἡμᾶς μυστηρίου παραδεχομένοις, ὡσαύτως δὲ καὶ τοῖς τελείως τῇ ἀπιστίᾳ κεχρατημένοις, καὶ μὴ

[10] I Cor. xiv, 22. [11] Matth. ix, 22. [12] Matth. xiii, 58.

NOTÆ.

(1) Hanc quæstionem jam editam Maius rursus typis mandavit (*Nov. Coll.* t. IX, p. 116.)

Digitized by Google

θέλουσι διὰ τῶν σημείων πρὸς τὴν εὐσέβειαν χειραγωγηθῆναι, κενὸν καὶ μάταιον ἡ τῶν σημείων ἐπίδειξις. Τοῖς δέ γε ἐν τῇ ἀπιστίᾳ μὲν τεθραμμένοις, εἶτα ἠρέμα πως τοὺς λογισμοὺς πρὸς τὴν εὐσέβειαν ἐνδιδόναι διανισταμένοις, τούτοις οἰκεία καὶ πρόσφορος τῶν παραδόξων ἔργων ἡ φανέρωσις. Διὰ τοῦτο καὶ ὁ Κύριος οὔτε παρὰ τῶν παντελῶς ἀπίστων πίστιν ἐπιζητεῖ. Ἤδει γὰρ οὐχ εὑρίσκων ἐν αὐτοῖς· οὔτε παρὰ τῶν εἰλικρινῶς πεπιστευκότων. Προειλήφει γὰρ καὶ ταύτην προεισενεγκόντων αὐτῶν. Ζητεῖ δὲ παρ' ἐκείνων, οἳ ἐξ ἀσεβείας εἰς εὐσέβειαν μεταβαλλόμενοι, ἤδη (44) τὴν πίστιν ὠδίνουσιν ἐν ἑαυτοῖς. Τοῖς τοίνυν πιστοῖς οὐ δίδοται τὰ σημεῖα. Περιττὸν γάρ. Οὐδὲ τοῖς ἀμεταβλήτως ἔχουσιν ἀπὸ τῆς ἀπιστίας. Εἰς κενὸν γάρ. Ἀλλὰ τοῖς ἐξ ἀπιστίας εἰς πίστιν μεταβαλλομένοις. Ὧν καὶ ἡ πίστις ἐπιζητεῖται τελεσφορηθῆναι, καὶ τελεσφορουμένη πρόξενος γίνεται τῆς ἀπολαύσεως τῶν θεοσημείων. Οὐδὲν οὖν διαμάχεται τοῦ θεσπεσίου Παύλου ἡ φωνὴ τοῖς εὐαγγελικοῖς ῥήμασι. Πρὸς (45) μὲν γὰρ πεπωρωμένους τὴν καρδίαν οὐκ ἠξίου παραδοξοποιεῖν ὁ ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων πάντα πράττων Θεός. Οἱ δὲ εἰλικρινῶς πεπιστευκότες οὐκ ἐδέοντο τούτων εἰς τὸ πιστεῦσαι. Ὑπόλοιπον, πρὸς ἐκείνους θαυματουργίας τὸν τοῦ γένους ἡμῶν Σωτῆρα ἐπιτελεῖν, οἳ οὔπω μὲν πεπιστευκότες ἦσαν, τὴν δὲ τῶν ἀπίστων ἔτι χώραν ἀνεπλήρουν, ὅμως ἐζήτουν, δι' ὧν πιστεύουσιν, καὶ χειραγωγὸν λαμβάνοντες τὰ σημεῖα, εἰς τὴν τῶν πιστῶν μετηλλάττοντο μοῖραν.

A sunt obnoxii, nec ad doctrinam pietatis per miracula adduci cupiunt, signorum demonstratio frustra et vano conatu offertur. Contra vero illis, qui in incredulitate educati quidem sunt, postea vero sensim mentem suam ad pietatem convertere sustinent, operum mirandorum manifestatio accommodata et proficua est. Propterea et Dominus nec ab illis, qui penitus erant increduli, fidem postulat; noverat enim se apud illos non inventurum : neque ab illis, qui sincere credebant; noverat enim eos illam jam ante probasse. Postulat vero ab illis, qui ab impietate ad pietatem conversi fidem apud seipsos parturiebant. Credentibus itaque signa non eduntur; id enim supervacaneum foret : neque illis, qui ab incredulitate avocari non pos-B sunt; frustra enim id fieret; sed illis tantum, qui ab incredulitate ad fidem perducuntur. Horum enim fides perfectior reddi debet, facta vero perfectior ad fructum ex divinis miraculis capiendum perducitur. Divi itaque Pauli oraculum cum verbis Evangelii non pugnat. In eorum enim, qui corde penitus obdurati erant, gratiam Deus, in hominum salutem omnia faciens, miracula edere non sustinebat. Qui vero sincere crediderant, illis ad credendum non indigebant. Relinquitur itaque Salvatorem nostrum eorum causa miracula patrasse, qui nondum crediderant, sed incredulorum hactenus locum occupantes ea requirebant, per quæ ad fidem pervenirent, miracula autem instar ducis nacti in credentium cœtum transferebantur.

ΕΡΩΤΗΤΙΣ ΣΜΘ'.

Εἰ ἦν ἡ γῆ, πῶς ἐγένετο; λέγει γάρ· « Ἡ δὲ γῆ ἦν. »

Edita a Maio (*Nov. Coll.* t. IX, p. 116) — In Gen. I, 2. De ortu terræ.

Ἠλίθιον τὸ ἐρώτημα· ὁ γὰρ εἰπών· « Ἐν ἀρχῇ C ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, » οὐκ ἀΐδιον δηλονότι ἔφη τὴν γῆν· ἔφη δὲ οὐχ ὅτι ἦν ἡ γῆ ἀπολύτως, ἀλλ' ὅτι ἦν ἀκατασκεύαστος· ἔτι γὰρ ἀόρατος ἦν ἐπικειμένου τοῦ ὕδατος· καὶ ἀκατασκεύαστος, μηδέπω κοσμηθεῖσα βλάστῃ· καὶ διατί τοῦ φωτὸς πρῶτον εἶδος, εἶτα τὸ ὑποκείμενον ἤτοι τὸ ἡλιακὸν σῶμα ὑπέστησεν; ἵνα θαυματουργήσῃ, φησὶν ὁ Θεολόγος, μείζονα· ἐπειδὴ γὰρ τοῖς ἄλλοις ὕλην προϋποστήσας εἰδοποίησεν, ὕστερον τάξιν ἑκάστῳ καὶ σχῆμα καὶ μέγεθος περιθεὶς, ἐνταῦθα παραδοξότερον τῆς ὕλης τὸ εἶδος προϋπεστήσατο· εἶδος γὰρ ἡλίου τὸ φῶς.

Stulta est hæc quæstio; qui enim dixit : In principio creavit Deus cœlum et terram, non evidenter terram æternam esse dixit : dixit enim non quod terra erat absolute, sed quod erat inornata. Adhuc enim invisibilis erat, aquis circumdata et inornata, nullo modo ad fructificationem præparata. Et quare luminis primum visionem postea vero suppositum, id est, solis substantiam constituat? ut majora, dicit Theologus, faciat mirabilia. Siquidem aliis formam, præexsistente materia, dedit, postea ordinem unicuique et statum et magnitudinem disposuit. Hic autem quod est mirabilius materiæ formam prius creat, forma enim solis est lumen.

ΕΡΩΤΗΣΙΣ ΣΝ'.

Εἰ τὸ φῶς ὁ Θεὸς ἐδημιούργησεν, οὐκ αὐτὸς τὸ σκότος ἐποίησεν· ἐναντία γὰρ ταῦτα ἀλλήλοις.

QUÆSTIO CCXLIX [*Coisl.* CCLXXIV. *Taur.* CCLXIV].

Si terra jam esset quomodo facta fuerit, dixit enim : terra autem erat (46)?

D

Edita a Maio (l. c. p. 117, q. 249). — An Deus auctor lucis tenebras creare potuerit.

Ἐναντία μὲν ἀλλήλοις, ἀλλ' ἀναγκαῖα τοῖς ἀνθρώποις ἀμφότερα· καὶ τοῦτο καὶ ὁ Δαβὶδ ἐξυμνῶν τὴν τοῦ Ποιητοῦ μεγαλουργίαν λέγει· « Ἔθου γάρ, φησὶ, σκότος, καὶ ἐγένετο νύξ, » κ. τ. λ. ἕως, « Ἐξ-

Sunt quidem inter se contraria, sed hominibus ambo necessaria. Hoc David Creatoris magnificentiam, proclamans dicit : « Posuisti enim tenebras, inquit, et facta est nox, » et reliqua usque ad :

NOTÆ.

(44) Sic Colb. pro ἤδη.

(45) πρὸς illud est ex Colb. quod sensus postulat.

(46) Hanc dissertationem Photius fere totam ex Theodoreto q. 5 in Genes. (Opp. ed. nov. t. I hujus *Patrologiæ* LXXX, col. 83.

(47) Est pariter ex Theodoreto q. 7 in Genes. l. c. col. 87.

Digitized by Google

« Exibit homo ad opus suum et ad operationem suam usque ad vesperam. » Quod sint necessariæ tenebræ evidens est ; quod autem non sint substantia, sed res quædam accidentalis, facile est hoc intelligere ; sunt enim cœli et terræ adumbratio. Quamobrem evanescit et in nihilum evadit, redeunte lumine ; lumen autem est substantia et in se subsistit. Itaque et oriens splendescit, et cum occiderit, rursum oritur ; et cum abierit, revertitur. Ex hoc autem discat quis quod tenebræ sint accidens. Domus enim non habens lampades in tenebris est tota ; adductis autem lampadibus illustratur : Non tenebris alio migrantibus, luminis adventu pereuntibus. Non sunt igitur tenebræ substantia quædam increata neque etiam substantia creata ; sed usus quidam necessarius, ab his quæ facta sunt proveniens et sapientiam Dei prædicans. Statim ergo propheta ex hoc Deum laudat, « Qui fecit, inquit, lumen et præparavit tenebras. » De lumine quidem convenienter dicit : *Qui fecit ;* de tenebris autem, *Præparavit.* Sunt enim accidens quoddam quod et consistit et dissolvitur.

A ελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. » Ἀλλ' ὅτι μὲν ἀναγκαῖον τὸ σκότος, δῆλον · ὅτι δὲ οὐκ οὐσία, ἀλλὰ συμβεβηκός, καὶ ἐντεῦθεν ἔστι λαβεῖν · οὐρανοῦ γὰρ καὶ γῆς ἐστιν ἀποσκίασμα · διά τε τοῦτο καὶ φροῦδον γίνεται καὶ εἰς τὸ μὴ ὂν διαλύεται τοῦ φωτὸς ἀνίσχοντος. Τὸ δὲ φῶς οὐσία ἐστὶ καὶ ὑφέστηκε · διὸ καὶ δυόμενον ἀνίσχει · καὶ ἁπιὸν ἐπανέρχεται · γνοίη δ' ἄν τις κἀντεῦθεν ὅτι τὸ σκότος ἐπισυμβέβηκεν · οἶκος γὰρ οὐκ ἔχων φωταγωγοὺς σκότους ἐστὶ πλήρης, εἰσκομισθείσης δὲ λαμπάδος φωτίζεται, οὐ τοῦ σκότους ἀλλοσέ πη μεταβαίνοντος, ἀλλὰ πάμπαν διολλυμένου τῇ τοῦ φωτὸς παρουσίᾳ. Οὐ τοίνυν ἀγένητος οὐσία τὸ σκότος, οὔτε μὴν γεννητή, ἀλλ' ἐκ τῶν γεννητῶν συνισταμένη χρῆσις ἀναγκαία, τοῦ B Θεοῦ τὴν σοφίαν κηρύττουσα · αὐτίκα γοῦν καὶ ὁ προφήτης καὶ ἐντεῦθεν ὑμνεῖ τὸν Θεόν, « Ὁ ποιήσας γάρ, φησί, φῶς καὶ κατασκευάσας σκότος · » ἐπὶ μὲν τοῦ φωτὸς ἁρμοζόντως εἰπών, *ὁ ποιήσας* · ἐπὶ δὲ τοῦ σκότους, *κατασκευάσας* · συμβεβηκὸς γάρ ἐστι συνιστάμενον καὶ διαλυόμενον.

QUÆSTIO CCLI [*Coisl.* CCLXXVI, *Taur.* CCLXVI].

ΕΡΩΤΗΣΙΣ ΣΝΑ'.

Quare feras et reptilia fecerit Deus (48) ?

Διατί τὰ θηρία καὶ τὰ ἑρπετὰ πεποιηκεν ὁ Θεός ;

Edita a Maio (l. c. p 117, 118, q. 250). — De feris et reptilibus a Deo creatis. Gen. I, 20.

Pueri tum terriculamentis, tum etiam loris et virgis indigent. Et per illa quidem ipsos terremus, per hæc autem erudimus. Nos ergo sciens Deus ad indolentiam propensos, sicut funiculos quosdam et terricula feras nobis præparavit ut ab illis territi, ad illum attrahamus et ad illum in auxilium vocandum præparemur. Sed quemadmodum adulti infantiles timores spernunt, ita et qui in virtute confirmati sunt ferarum non pertimescunt incursus. Etenim ante Adamum astabant feræ, ante peccatum, servitutem suam confitentes, et cum Noe in arca habitabant et cum Daniel in fossa leones quanquam dira fame cruciati ; vipera etiam, Apostoli manu dentibus arrepta, nec peccati flaccitate et mollitie inventa, sese statum dejicit et in ignem irruit, quasi sibimetipsi pœnam infligens ex eo quod in corpus non conveniens sese injecisset. Nobis ergo enervatis providens, deserta illis loca et noctis tempus partitus est. Reptilia autem cavernis assignavit ut nonnisi difficulter ab illis hominum genus vulneraretur. Accidit autem aliquando quosdam ab illis sauciari, ut unusquisque timens ne simile damnum patiatur ad illum qui potest salvare (id est) ad Deum confugiat. Aliunde et illa ad multa salutaria remedia inserviunt. Nemo ergo feras singulas considerans Creatorem reprehendat sed illarum utilitatem requirat. Etenim et corpus humanum multam habet gratiam et harmoniam et utilitatem in partibus, sed habet etiam pituitam et ad illius secretionem recessus, et male olentem odorem. Nullus autem

Δεῖται τὰ παιδία καὶ μορμολυκείων καὶ ἱμάντων καὶ ῥάβδων · καὶ τοῖς μὲν αὐτὰ δεδιττόμεθα, τοῖς δὲ καὶ παιδεύομεν. Καὶ ἡμᾶς τοίνυν προειδὼς ὁ Θεὸς ὡς εἰς ῥᾳθυμίαν ἐκκλίνοντας, οἷον ἱμάντας τινὰς ἢ μορμολύκεια προκατεσκευάσεν ἡμῖν τὰ θηρία · ἵνα τούτοις ἡμᾶς δεδιττόμενος, πρὸς ἑαυτὸν ἕλκῃ C καὶ καλεῖν αὐτὸν εἰς συμμαχίαν παρασκευάζῃ. Ἀλλ' ὥσπερ οἱ τέλειοι τῶν παιδικῶν δειμάτων καταφρονοῦσιν, οὕτω καὶ οἱ τῆς ἀρετῆς τρόφιμοι τὰς τῶν θηρίων οὐ δειμαίνουσι προσβολάς · καὶ γὰρ τῷ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας παρειστήκει τὰ θηρία τὴν δουλείαν ὁμολογοῦντα · καὶ τῷ Νῶε συνῳκίζετο ἐν τῇ κιβωτῷ · καὶ τῷ Δανιὴλ ἐν τῷ λάκκῳ οἱ λέοντες, καίτοι λίαν λιμώττοντες · καὶ ὁ ἔχις δὲ τῇ Ἀποστόλου χειρὶ τοὺς ὀδόντας ἐμβαλὼν καὶ τῆς ἁμαρτίας τὸ χαῦνον καὶ χαλαρὸν οὐχ εὑρὼν ἀπεπήδησε παραυτίκα καὶ κατὰ τῆς πυρᾶς ἥλατο, ὥσπερ δίκας ἑαυτὸν εἰσπραττόμενος ὅτι τῷ μηδαμόθεν προσήκοντι προσέβαλε σώματι. Καὶ ἡμῶν δὲ ῥᾳθυμούντων ὅμως κη- D δόμενος ὁ Θεὸς, τοὺς ἐρημοτέρους ἐκείνοις τόπους καὶ τῆς νυκτὸς ἀπεκλήρωσε τὸν καιρὸν, τοῖς ἑρπετοῖς δὲ τοὺς ἐν τῇ γῇ κατένειμε χηραμούς, ὅπως μὴ ῥᾷον ὑπ' αὐτῶν, τῶν ἀνθρώπων πημαίνοιτο τὸ γένος · συγχωρεῖ δὲ ἔσθ' ὅτε τινὰς, ὑπ' αὐτῶν παραβλάπτεσθαι · ὡς ἂν ἕκαστος δεδιὼς μήτι παραπλήσιον πάθῃ, πρὸς τὸν δυνάμενον σώζειν Θεὸν καταφεύγῃ · ἄλλως τε δὲ ταῦτα καὶ πρὸς πολλὰ τῶν ἀλεξικάκων φαρμάκων συντελεῖ. Μηδεὶς τοίνυν αὐτὸ καθ' ἑαυτὸ τὸ θηρίον ἐξετάζων, ἐπιμεμφέσθω τῷ Ποιητῇ, ἀλλὰ τὴν χρείαν ἐπιζητείτω · ἐπεὶ καὶ τὸ σῶμα τὸ ἀνθρώπινον πολλὴν ἔχει καὶ ὥραν καὶ ἁρμο-

NOTÆ

(48) Est Theodoreti fetus q. 18 in Genes. col. 98.

Digitized by Google

νίαν καὶ τῶν μορίων τὴν χρείαν· ἀλλ' ἔχει καὶ κόρυζαν καὶ πτύελον καὶ δυσώδη κόπρον· ἀλλ' οὐδεὶς εὖ φρονῶν ἀπὸ τούτων διαβάλοι τὸ ζῶον· δίχα γὰρ τούτων βιῶναι, τῶν ἀδυνάτων· διὰ γὰρ τούτων ἀρδόμενον τέθηλε, καὶ αἵματος καὶ φλέγματος καὶ χολῆς ἑκατέρας· ἀλλ' ὥσπερ διὰ τούτων συνέστηκεν, οὕτως διὰ τούτων ἑνὸς τῶν εἰρημένων πλεονάσαντος ἢ ἐλλείψαντος διόλλυται· καὶ σκυταλίδα εἴ τις ἐκτέμοι τῶν δακτύλων δύσεται αὐτὴν παντελῶς ἄχρηστον. Προσήκει δὲ διὰ τοῦτο καὶ ἡμᾶς μὴ αὐτὸ καθ' ἑαυτὸ ἀπομερίζοντας τοῦ παντὸς ἕκαστον μέρος ἐξετάζειν τῆς κτίσεως· ἀλλὰ ζητεῖν καὶ ἐπισκοπεῖν εἰ τῷ κοινῷ χρείαν τινὰ συντελεῖ. Καὶ τὰ θηρία αἰδεῖται μὲν τὸν ἄνθρωπον διὰ τὴν ἐξ ἀρχῆς αὐτῷ δοθεῖσαν ἐξουσίαν κατ' αὐτῶν· παραβεβηκότος δὲ τὸν θεῖον νόμον ἔστιν ὅτε καταφρονεῖ.

A sanus ex hoc vitam accusabit. Sine enim illis vivere impossibile est; ex hoc enim oritur quod refrigerat et sanguinem et ardorem, et bilem utramque. Sed sicut per illa consistit, ita ex dictis uno vel superabundante, vel deficiente deperit. Si quis enim unam digiti partem absciderit, videbitur illa omnino inutilis; convenit ergo nos non singulatim unamquamque totius partem creationis considerare, sed quærere et inspicere utrum utilitati communi aliquo modo inserviant. Feræ hominem pertimescunt, propter potestatem illi super illas a principio datam. Quia autem legem divinam transgressus fuit, aliquando illum spernunt.

ΕΡΩΤΗΣΙΣ ΣΝΒ'.

Τίνι ὁ Θεὸς εἴρηκε· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν; »

QUÆSTIO CCLII.

Cuinam Deus dixerit: Faciamus hominem ad imaginem et similitudinem nostram (49)?

Edita a Maio (l. c. p. 118, 119, q. 251). — Explanatio in Gen. I, 26.

Δηλονότι τῷ ὁμοουσίῳ καὶ ταυτοφυεῖ Υἱεῖ· τούτων γὰρ καὶ μία δύναται γενέσθαι εἰκών. Οἱ δὲ πρὸς τοὺς ἀγγέλους εἰρῆσθαι τοῦτο παραληρήσαντες αἱρετικοὶ, καὶ πρός γε τοὺς δαίμονας τὸ ἀθεώτερον, λίαν εἰσὶν ἀνόητοι· τίνα γὰρ κοινωνίαν ἔχει εἰκὼν Θεοῦ καὶ ἀγγέλων ἢ δαιμόνων; Ὧν γὰρ οὐσία ἀσυγκρίτῳ λόγῳ διενήνοχε, τίς μηχανὴ τούτων τὴν αὐτὴν εἰκόνα ἐννοῆσαι; Ἰουδαίων γὰρ ἄν τις καὶ γελάσειε τὴν ἄνοιαν· πρὸς ἑαυτὸν γὰρ τοῦτο τὸν Θεόν φασιν ἀποφήνασθαι, κατά τινα μίμησιν τῶν καίτοι εἰ καὶ πληθυντικῶς καὶ τὸ *κελεύομεν* καὶ τὸ *ποιήσωμεν* προφέρεται, ἀλλ' οὖν πολλὴν ἔχει πρὸς ἄλληλα τὴν διαφοράν· τὸ μὲν γὰρ *ποιήσωμεν*, ὥσπερ ἐπὶ κοινωνίᾳ τῆς πράξεως τὸν ἰσότιμον καλεῖ· τὸ δὲ *κελεύομεν* ἢ *γράφομεν*, εἰ καὶ πληθυντικῶς ἐσχημάτισται, ἀλλ' οὐδαμῶς ἑτέρου κλῆσιν εἰς συνεργίαν δίδωσιν ἐννοεῖν· ἄλλως τε τὸ μὲν *γράφομεν* καὶ *κελεύομεν*, ἔχει πρόσωπον φανερὸν πρὸς ὃ λέγεται· δῆλον γὰρ ὡς πρὸς τὸν ὑπεξούσιον· ἐνταῦθα δὲ τὸ *ποιήσωμεν*, μάλιστά γε διὰ τὴν ἐπαγωγὴν τοῦ *κατ' εἰκόνα*, οὐδαμῶς δίδωσι πρόσωπον ἄλλο παρὰ τὸν Υἱὸν καὶ τὸ πανάγιον Πνεῦμα ἐννοεῖν, τὰς μεγάλας πιστευόμενον ἀρχὰς, οἳ λέγειν εἰώθεσαν *κελεύομεν*, καὶ *γράφομεν*, καὶ *προστάττομεν*, καὶ τὰ ὅμοια· καίτοι τὰ πλεῖστα ἐνικῶς ἡ θεία Γραφὴ προφέρει λέγοντα τὸν τῶν ὅλων Θεόν· « Καιρὸς γὰρ παντὸς ἥκει ἐναντίον ἐμοῦ· » καὶ, « Ἐνεθυμήθην ὅτι ἐποίησα τὸν ἄνθρωπον· » καὶ, « Ἀπαλείψω τὸν ἄνθρωπον· » καὶ, « Οὐκ ἔσονται θεοὶ ἕτεροι πλὴν ἐμοῦ· » καὶ μυρία· ὀλιγάκις δὲ πληθυντικῶς σχηματίζει τῶν τῆς Τριάδος προσώπων ἐμφαίνων τὸν ἀριθμόν. Ὥσπερ τὸ, « Δεῦτε, καὶ καταβάντες συγχέωμεν τὰς γλώσσας· » καὶ περὶ οὗ νῦν ὁ λόγος· καὶ γὰρ ἐνταῦθα ἐπειδὴ τὸ λογικὸν ζῶον διέπλαττεν ὁ Θεός· ὃ καὶ ἀνακαινίζειν μετὰ πολλὰς ἐμελλεν γενεὰς ταῖς τῆς ἁγίας Τριάδος ἐπικλήσεσι τελεσιουργῶν τὸ πανάγιον βάπτισμα, μέλλων δημιουργεῖν τὴν ἐκεῖνα τὰ μυστήρια παραλη-

B Evidenter suo consubstantiali et ejusdem naturæ Filio; illorum enim una potest fieri imago. Hæretici autem qui illud ad angelos dictum fuisse inepti putaverunt, et ad dæmones, quod majorem redolet impietatem, omnino sunt insipientes. Quamnam enim habeat communitatem imago Dei et angelorum et dæmonum? Quorum substantia ita differt, ut nullo modo inter se comparari possint, quomodo illorum eadem imago cogitari possit? Judæorum insaniam nemo est qui non derideat, ad semetipsum enim dicunt Deum illud locutum fuisse, proferens *faciamus* ad imitationem illorum quæ dicit etiam in plurali numero, *mandamus*; sed adest inter illa magna differentia. Verbum enim *faciamus* quasi ad actionem communem æqualem vocat, *manaamus* autem vel *decernimus*, quamvis plurali numero prolata, nullo modo alium ad actionem communem vocari supponunt. Aliter autem verbum *decernimus* et *mandamus* clare apparet ad quid dicantur, evidenter enim ad subjectum. Hic autem verbum *faciamus*, præsertim propter illud quod adjicitur *ad imaginem*, nihil absolute dat excogitandum nisi Filium et Spiritum sanctum quibus committuntur maximæ potestates, qui dicere consueverant, *mandamus* et *decernimus*, et *jubemus*, et alia id genus. Attamen plerumque sancta Scriptura exhibet Deum in singulari numero loquentem: « Tempus enim omnis venit ante me. » — « Me pœnitet quia feci hominem; » et: « Delebo hominem; » et: « Non erunt dii alii præter me, » et alia multa. Aliquando autem in plurali numero loquens numerum Trinitatis personarum figurare videtur, ut cum dicit: « Venite, descendamus et confundamus linguas eorum, » et verbum de quo agitur. Hic enim cum rationabile animal creasset Deus, quod et renovaturus erat post multas generationes, in nomine sanctæ Trinitatis

C

D

NOTÆ.

(49) Hæc quæstio, quæ ex Theodoreto q. 19 in Genes. p. 102 desumpta est, deest in Coisl. et Taur. Quod et de duabus sequentibus valet.

Digitized by Google

conficiens sanctissimum baptisma, generationem creaturus quæ ista mysteria acciperet, in ænigmate et unitatem substantiæ et numerum personarum demonstrat. Cum enim dicit, *Dixit Deus*, divinæ naturæ communitatem manifestat; adjiciendo autem *faciamus*, personarum multiplicitatem declarat. Iterum dicendo numero singulari *imaginem* identitatem naturæ exhibuit; *nostram* autem adjiciendo hypostasium multiplicitatem. Omnia enim prævidens Deus et Unigeniti sui incarnationem, scilicet quod istam naturam ex sanctissima virgine assumpturus erat, merito illam generationis fundamentum honore magno dignatus est. Primum quidem consilium creationis præposuit ut creandarum rerum rationem præsignificaret. Postea personarum divinitatis numerum manifestavit, ut formatus homo theologiæ secreta sumeret et qui sancto baptismo dignatus est, clare cognoscat quod qui formavit et ipse salvavit, et qui salvavit et ipse formavit. Præterea ut auctor formationis factus, ostendit immensum erga hoc plasma amorem; sed nec manus habere Divinitatem dicimus, nec consilio quodam, vel prævisione indigere, ut, secundum Platonis verba, ad cogitatam formam facturam suam præpararet: sed istorum unumquodque immensam Dei erga creaturas sollicitudinem demonstrat.

A

B

QUÆSTIO CCLIII.

Quid significet: « Ad imaginem » (50)?

Edita a Maio (l. c. p. 119, 121, q. 251).

Quidam ad invisibilitatem animæ referri illud *ad imaginem* dixerunt: sed si ita sit, multo magis ad imaginem essent angeli: quidam autem omnino stulte dicunt humanitatem ad imaginem divinam factam fuisse, decepti ex eo quod sæpe dicatur in Scriptura sacra de Deo: Oculi, manus, et similia, non intelligentes quod Deus homines per alios homines alloquens, audientium imbecillitati sermones metitur, et quia per oculos nos videmus, visionis facultatem in illo oculos nominavit, sicut et aures, audiendi facultatem, et loquendi os. Attamen immensitatem Dei ex multis Scripturæ locis discere facile est. Quidam ergo magistri ita intelligebant illud, « ad imaginem et similitudinem nostram, scilicet, » quod cum creaturas sentientes et rationales fecisset qui est omnium Deus, hominem ultimo loco fecit, sicut quamdam sui ipsius imaginem ponens in medio creaturarum inanimatarum et sensibilium et rationabilium ut creaturæ animatæ et inanimatæ illi sicut quoddam tributum utilitatem conferant. Creaturæ autem rationales illi providendo suam erga factorem benevolentiam ostendunt. Quidam autem verba ad *imaginem* Dei ad imperium factum fuisse hominem significare dicebant: adjecit enim, inquiunt: « Et præsit piscibus maris, » et reliqua. Sicut enim ille habet omnium potentiam, ita et dedit hominibus in creaturas irrationales potentiam.

C

D

ΕΡΩΤΗΣΙΣ ΣΝΓ'.

Τί ἐστι τὸ « Κατ' εἰκόνα »;

Τινὲς τὸ ἀόρατον τῆς ψυχῆς τὸ *κατ' εἰκόνα* εἰρήκασιν· ἀλλ' εἰ τοῦτο, πολλῷ μᾶλλον *κατ' εἰκόνα* ὑπῆρχον ἂν οἱ ἄγγελοι· τινὲς δὲ λίαν ἀνοήτως τὸ ἀνθρώπινον κατ' εἰκόνα θείαν γεγενῆσθαί φασιν, ἀπατηθέντες ἐκ τοῦ λέγειν πολλάκις ἐπὶ Θεοῦ τὴν θείαν Γραφὴν ὀφθαλμοὺς καὶ χεῖρας καὶ τὰ ὅμοια, μὴ συνιδόντες ὡς ἀνθρώποις δι' ἀνθρώπων διαλεγόμενος ὁ Θεὸς τῇ τῶν ἀκουόντων ἀσθενείᾳ τοὺς λόγους μετρεῖ· καὶ ἐπειδὴ δι' ὀφθαλμῶν ὁρῶμεν ἡμεῖς, τὴν ὀπτικὴν αὐτοῦ δύναμιν ὀφθαλμοὺς ὀνομάζει· ὥσπερ καὶ ὦτα τὸ ἀκουστικόν· καὶ τὸ πρόσταγμα στόμα· καίτοι τὸ ἀπερίγραφον τοῦ Θεοῦ πολλαχοῦ τῆς Γραφῆς ἔστιν ἐκμαθεῖν· τινὲς τοίνυν τῶν διδασκάλων οὕτως ἐνόησαν τὸ, « κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, » ὅτι τὴν κτίσιν τὴν αἰσθητήν τε καὶ νοητὴν πεποιηκὼς ὁ τῶν ὅλων Θεὸς τὸν ἄνθρωπον διέπλασεν ἔσχατον· οἷόν τινα εἰκόνα αὐτοῦ ἐν μέσῳ τεθεικὼς τῶν ἀψύχων καὶ αἰσθητῶν καὶ νοητῶν· ἵνα τὰ μὲν ἄψυχά τε καὶ ἔμψυχα τούτῳ προσφέρῃ ὥσπερ τινὰ φόρον τὴν χρείαν· αἱ δὲ νοηταὶ φύσεις ἐν τῇ περὶ τοῦτον κηδεμονίᾳ, τὴν περὶ τὸν πεποιηκότα δεικνύουσιν εὔνοιαν. Τινὲς δὲ τὸ *κατ' εἰκόνα* Θεοῦ κατὰ τὸ ἀρχικὸν γεγενῆσθαι τὸν ἄνθρωπον ἔφησαν· ἐπήγαγε γάρ, φασίν· « Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, » κ. τ. λ. Ὥσπερ γὰρ αὐτὸς ἔχει τῶν ὅλων τὴν δεσποτείαν, οὕτω καὶ δέδωκε τῷ ἀνθρώπῳ τῶν ἀλόγων τὴν ἐξουσίαν.

NOTÆ.

(50) Cum hac quæstione, quam e Theodoreto q. 20 in Genes. decerpsit auctor, confer quæst. XXXVI.

Digitized by Google

Ἔστι μέντοι καὶ ἄλλα εὑρεῖν ὡς ἀρχετύπου μιμήματα· δημιουργεῖ γὰρ καὶ ἄνθρωπος κατὰ μίμησιν τοῦ πεποιηκότος Θεοῦ καὶ οἰκίας καὶ τείχη καὶ πόλεις καὶ λιμένας, οὐρανοῦ ἐκτυπώματα, καὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων καὶ ἀνθρώπων καὶ ἀλόγων ζώων εἰκόνας· εἰ καὶ τὸ τῆς δημιουργίας διάφορον ἄφατον, ἀλλ' ὅμως δημιουργῶν ὁ ἄνθρωπος ἀμηγέπη, τὸν οἰκεῖον μιμεῖται ποιητὴν ὡς εἰκὼν τὸ ἀρχέτυπον· καὶ γὰρ ἡ εἰκὼν ἔχει τὰ τοῦ ἀρχετύπου ἐνδάλματα· ἀλλὰ τὸ μὲν τῶν μορίων εἶδος ἔχει, τὰς δὲ ἐνεργείας οὐκ ἔχει· ἐστέρηται γὰρ ψυχῆς δι' ἧς κινεῖται τὸ σῶμα· οὕτω πάλιν καὶ βασιλεύει ὁ ἄνθρωπος καὶ κρίνει κατὰ μίμησιν τοῦ τῶν ὅλων Θεοῦ· ἀλλ' ὁ μὲν καὶ μαρτύρων καὶ κατηγόρων δεῖται καὶ μυρίων ἄλλων ἐν τῇ συγκρίσει· ὁ δὲ, οὐδενός· πάντα γὰρ καὶ πρὶν γενέσθαι οἶδεν· οὕτω καὶ θεὸς ὁ ἄνθρωπος ὠνομάσθη· διότι καὶ εἰκὼν ἐκλήθη Θεοῦ· καὶ γὰρ ὁ Παῦλός φησιν· « Ἀνὴρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· » ἀλλὰ πάλιν ὁ μὲν Θεὸς καὶ τὴν φύσιν ἐστὶν ὅπερ καλεῖται· ὁ δὲ ἄνθρωπος ὡς εἰκὼν τοὔνομα μόνον ἔχει· πάλιν ἀπερίγραφον κυρίως μὲν καὶ ἀληθῶς ὁ Θεός· μιμεῖται δὲ αὐτό πως καὶ ὁ ἀνθρώπινος λογισμός· ἐν ἀκαρεῖ γὰρ περινοστεῖ τά τε ἑῷα καὶ τὰ ἑσπέρια καὶ τὰ νότια καὶ τὰ βόρεια καὶ δὴ καὶ τὰ οὐράνια καὶ τὰ ὑποχθόνια· ἀλλ' ὁ μὲν τῇ τοῦ λογισμοῦ μόνῃ φαντασίᾳ· Θεὸς δὲ καὶ τῇ οὐσίᾳ καὶ τῇ σοφίᾳ καὶ τῇ δυνάμει τὸ ἀπερίγραφον ἔχει· εὕροι δ' ἄν τις καὶ ἑτέραν μίμησιν ἀκριβεστέραν ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου· ἔχει γὰρ αὐτὴ ἐν ἑαυτῇ καὶ τὸ λογικὸν καὶ τὸ ζωτικόν· καὶ γεννᾷ μὲν ὁ νοῦς τὸν λόγον· συμπρόεισι δὲ τῷ λόγῳ πνεῦμα, οὐ γενώμενον καθάπερ ὁ λόγος, συμπαραμαρτοῦν δ' ἀεί. Ἀλλὰ ταῦτα ὡς ἐν εἰκόνι πρόσεστι τῷ ἀνθρώπῳ· διὸ ἀνυπόστατός ἐστι καὶ ὁ λόγος καὶ τὸ πνεῦμα· ἐπὶ δὲ τῆς ἁγίας Τριάδος τρεῖς νοοῦμεν τὰς ὑποστάσεις καὶ ἀσυγχύτως ἡνωμένας καὶ καθ' ἑαυτὰς ὑφεστώσας.

A Possent etiam inveniri alia quasi archetypi exemplaria: fecit enim homo, exemplo Dei creatoris, et domos et muros et urbes et portus, cœli similitudines, et solis et lunæ et astrorum et hominum et irrationalium animalium imagines. Quamvis ineffabilis sit in operando differentia, attamen homo aliquo modo creans suum factorem imitatur sicut imago suum archetypum. Etenim imago habet archetypi apparentias; partium quidem formas habet, virtutem autem non habet: anima enim qua sese movet corpus privatur. Sic iterum regnat homo et judicat ad imitationem illius qui est omnium Deus. Ille quidem testibus et accusatoribus indiget et multis aliis ad judicandum: hic autem, nullo. Omnia enim antequam facta sint cognoscit. Sic et B homo Deus appellatus est, quia et imago vocatus est Dei. Paulus enim dicit: « Homo non debet caput cooperire, cum sit imago et gloria Dei [13]. » Sed Deus secundum naturam suam sic vocatur; homo autem sicut imago nomen tantum habet. Item vere et realiter incircumscriptus est Deus: hoc autem aliquo modo imitatur intelligentia humana; in momento enim et orientem et occidentem et austrum et septentrionem et cœlestia et subterranea percurrit: sed hic quidem sola mentis imaginatione; Deus autem substantia et sapientia et potentia incircumscriptus est. Inveniri etiam potest aliud exemplum satis perfectum in anima hominis: habet enim illa in seipsa et vitam rationalem et animalem; et mens parit verbum: verbo autem præest C spiritus, non generatus sicut verbum, sed semper comitans. Hæc autem sunt in homine, sicut in imagine, itaque inconsistens est verbum sicut et mens. In sancta autem Trinitate tres credimus hypostases et indivisibiliter unitas et in se singulariter subsistentes.

ΕΡΩΤΗΣΙΣ ΝΔ'.

Ἀγαθὸν τὸν Θεὸν ὀνομάζοντες, πῶς αὐτῷ περιάπτετε τοσαύτην ἀποτομίαν; Ὠμότητα γὰρ καὶ ἀπήνειαν τὸ διὰ βρῶσιν ὀλίγην τοσαύτην ἐπενεγκεῖν τιμωρίαν, οὐ τοῖς ἡμαρτηκόσι μόνον, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων βεβλαστηκόσιν.

QUÆSTIO CCLIV.

Bonum esse Deum existimantes, quomodo illi tantam attribuatis severitatem? Crudelitas est enim et duritia tantam propter parvam manducationem inferre pœnam, non solum illis qui peccaverunt, sed et illorum posteritati (51).

Edita a Maio (l. c. . 121, 122, q. 253). — De pœna gravissima a Deo in Adamum et ejus posteros constituta. Gen. III, 16, 17.

Πρῶτον προσήκει πεπεῖσθαι τοὺς εὐσεβεῖν προαιρουμένους ὡς, πᾶν ὁτιοῦν ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων γινόμενον ἢ κελευόμενον καὶ ὅσιον καὶ δίκαιον καὶ ἀγαθὸν καὶ φιλάνθρωπον· ἔπειτα εἰδέναι χρὴ ὡς πᾶς νόμος εἰ καὶ περὶ μικρῶν τινων διαγορεύει, τὴν ἴσην ἔχει δύναμιν τῷ τὰ μέγιστα κελεύοντι δρᾶν, καὶ διαφερόντως ὅταν θεῖος ᾖ ὁ νόμος· αὐτίκα γοῦν ὁ περιτέμνεσθαι κελεύων, οὐδεμίαν παραβαινόμενος τῷ πέλας ἐξεργάζεται βλάβην· ἀλλ' ὅμως ὁ νομοθέτης φησὶν, « Ὅτι πᾶς ἄρσην ἀπερίτμητος ὃς οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται·

D Primo convenit persuasum esse illis qui pietati colendæ student, quod quodcunque ab omnipotente Deo factum vel mandatum sit, et sanctum et justum et bonum et philanthropicum est. Deinde scito opus est omnem legem, quamvis de minimis rebus statuat, æqualem habere virtutem ac illa quæ maxima facere jubet, et eminenter quando agitur de lege divina. Sit in exemplum lex quæ circumcidi omnes jubet, quam si quis transgressus fuerit, nullam proximo offensionem causat, attamen legislator dixit: « Quod omne masculinum incircum-

[13] I Cor. XI, 7.

NOTÆ.

(51) Theodoreti sunt fere omnia (q. 57 in Genes. p. 131).

Digitized by Google

cisum quod non circumcisum fuerit die octava, exterminabitur, et quam statuit homicidis et adulteris pœnam, eamdem illis ponit [14]. » Si autem Marcion et ejusdem impietatis asseclæ propterea præsertim et legem et Legislatorem ipsum redarguunt, Evangelio lingua eorum comprimenda est. « Qui enim mente lasciva mulierem viderit sicut adulter ab illo judicatur [15]; » et, « Qui dicit fratri suo, Raca, reus est concilio; et qui temere irascitur, reus erit judicio; et qui illum fatuum vocaverit, reus erit gehennæ ignis [16]. » Quidam hunc quidem bonum appellant, crudelem autem Veteris Testamenti legislatorem. Hæc autem istis secundum illorum mensuram duriora sunt; nos autem et has et illas unius leges scimus, differentiam autem sola effecit subditorum qualitas. Sicut enim bonus magister imperfectis quidem imperfecta, perfectis autem perfecta attulit.

A καὶ ἦν ὥρισε τοῖς ἀνδροφόνοις καὶ μοιχοῖς τιμωρίαν, ταύτην δὴ τούτοις ἐπλήρωσεν. » Εἰ δὲ Μαρκίων καὶ οἱ τῆς αὐτῆς δυσσεβείας διὰ ταῦτα μάλιστα τὸν νόμον καὶ αὐτὸν κακίζουσι τὸν νομοθέτην, ἐκ τοῦ Εὐαγγελίου ἐπιστομιζέσθωσαν· « Ὁ γὰρ λάγνως ὁρῶν γυναῖκα ὡς μοιχὸς ἐκείνῳ κρίνεται· » καὶ, « Ὁ ῥακὰ λέγων τὸν ἀδελφὸν, γραφῆς ὑπεύθυνος· καὶ ὁ εἰκῇ ὀργιζόμενος, ἔνοχος τῇ κρίσει· καὶ ὁ μωρὸν καλῶν, ἄξιος τῆς γεέννης· » τί γὰρ τὸν μὲν ἀγαθὸν ὀνομάζουσιν, ἀπηνῆ δὲ τὸν τῆς Παλαιᾶς νομοθέτην; ταῦτα γὰρ ἐκείνων κατὰ τὸν τούτων ὅρον ὠμότερα· ἡμεῖς δὲ καὶ τούτους κἀκείνους ἴσμεν τοὺς νόμους ἑνός· τὸ δὲ διάφορον ἡ τῶν νομοθετουμένων ποιότης εἰργάσατο· οἷα γὰρ σοφὸς διδάσκαλος τοῖς μὲν ἀτελέσι τὰ ἀτελῆ, τοῖς δὲ τελείοις τὰ τέλεια προσενήνοχε.

Ad hoc autem et illud considerandum est, quod illis qui primi leges transgrediuntur, sine venia infligumtur pœnæ: ita ut alii punitione visa transgredi non audeant. Sic qui prius in Sabbato lignum collegit, ab omni populo lapidatus est. Postea autem multis Sabbati legem transgredientibus longanimiter tulit legislator. Sic Cain qui primus homicida fuit, inexorabilibus pœnis circumfertur, quamvis postea multi homicidæ pœnas non statim dederint. Oportebat ergo Adamum, accepta lege et hac non onerosa, siquidem ex omni genere fructuum dederat abundantiam, uno solummodo impedito, pro delicto ad utilitatem generis sui pœnas dare. Si autem nimia ira commotus, ut dixit Marcion abominabilis, propter parvam comestionem mortis pœnam intulit, quomodo omnibus hominibus ad impietatem et injustitiam irruentibus, non totalem perditionem intulerit, sed e contra suum Filium dederit, et per passionem ad crucem salutem donaverit. Evidens est autem illis qui in divinorum notitia versantur nihil ex animi inconstantia facere Deum: hæc est enim proprie passio illorum qui naturam variabilem habent, nec futurum cognoscunt. Deus autem et quæ non sunt sicut et quæ facta sunt videt. Itaque prævidens Deus quod Adam mortalis fieret propter transgressionem mandati, tali modo illius naturam in masculum et feminam præparavit. Mortalibus enim et generatione ad generis sui durationem indigentibus, talis est corporum dispositio. Immortalis enim natura non indiget femina: hujus causa Creator corporum quidem numerum simul produxit, mortalia autem animalia bina; et postquam singula formata sint, illis benedictionem ad multiplicandum intulit.

B Πρὸς δὲ τούτοις σκοπητέον καὶ τοῦτο, ὅτι τοῖς πρώτοις παραβαίνουσι τοὺς νόμους δίχα συγγνώμης ἐπιφέρονται αἱ τιμωρίαι, ὥστε τοὺς ἄλλους ὁρῶντας τὴν κόλασιν μὴ παραβαίνειν· οὕτως ὁ πρῶτος ἐν Σαββάτῳ ξύλα συλλέξας ὑπὸ παντὸς τοῦ λαοῦ κατελεύσθη· χρόνῳ δὲ ὕστερον πολλῶν τὸν περὶ Σαββάτου νόμον παραβεβηκότων, μακροθύμως ὁ νομοθέτης ἤνεγκεν· οὕτω Κάϊν πρῶτος φονεύσας ἀνηκέστοις τιμωρίαις περιβάλλεται, πολλῶν φονέων ὕστερον οὐ παραυτίκα δόντων τὰς τιμωρίας· ἔδει τοίνυν καὶ τὸν Ἀδὰμ δεξάμενον τὸν νόμον, καὶ νόμον κουφότατον (τῶν παντοδαπῶν γὰρ καρπῶν αὐτῷ ἐδεδώκει τὴν ἀφθονίαν, ἑνὸς δὲ μόνου ἀπηγορεύκει), δοῦναι δίκας τοῦ πλημμελήματος εἰς ὠφέλειαν τοῦ γένους· εἰ δὲ δυσόργητος ὢν, ὡς ὁ δυσώνυμος ἔφη Μαρκίων, διὰ C βρῶσιν ὀλίγην τὴν τοῦ θανάτου τιμωρίαν ἐπήνεγκε, πῶς ἁπάντων ἀνθρώπων εἰς ἀσέβειαν ἐξοκειλάντων καὶ παρανομίαν, οὐ πανωλεθρίαν ἐπήνεγκεν; ἀλλὰ καὶ τὸν Υἱὸν ἔδωκε καὶ τὴν διὰ τοῦ πάθους καὶ σταυροῦ ἐδωρήσατο σωτηρίαν· καίτοι δῆλον τοῖς τὰ θεῖα πεπαιδευμένοις ὡς οὐδὲν ἐκ μεταμελείας ποιεῖ ὁ Θεός· τοῦτο γὰρ ἴδιον τὸ πάθος τῶν τρεπτὴν ἐχόντων τὴν φύσιν, ἔτι δὲ καὶ τὸ μέλλον ἀγνοούντων· ὁ δὲ Θεὸς καὶ τὰ μήπω γεγενημένα ὡς ἤδη γεγενημένα ὁρᾷ· διὸ καὶ τὸν Ἀδὰμ προειδὼς ὅτι θνητὸς γενήσεται τὴν ἐντολὴν παραβὰς, τοιαύτην αὐτοῦ καὶ τὴν φύσιν εἰς ἄρρεν καὶ θῆλυ προκατεσκεύασε· τῶν γὰρ θνητῶν καὶ παιδοποιίας δεομένων εἰς τὴν τοῦ γένους διαμονὴν ἡ τοιαύτη τῶν σωμάτων διάπλασις· ἡ γὰρ ἀθάνατος φύσις οὐ δεῖται τοῦ θήλεος· τούτου D χάριν ὁ Ποιητὴς, τὸν μὲν τῶν σωμάτων ἀριθμὸν ὁμοῦ παρήγαγε, τῶν δὲ θνητῶν ζώων ἀνὰ δύο· καθ' ἕκαστον δημιουργησάμενος, τῆς αὔξης αὐτοῖς τὴν εὐλογίαν προσήνεγκεν.

Hæc ergo prævidens Deus, non modo in masculum et feminam hominem fecit, sed et de manducatione legem illis dedit. « Ecce enim, inquit, dedi vobis omnem herbam afferentem semen, et cætera, ut sint vobis in escam [17]. » Et hæc ante mandatum. Non ergo ita plena est iræ punitio, sed est modus

Ταῦτα τοίνυν προορῶν ὁ Θεὸς οὐ μόνον εἰς ἄρσεν καὶ θῆλυ τὸν ἄνθρωπον διέπλασεν, ἀλλὰ καὶ τὸν περὶ τῆς βρώσεως αὐτοῖς νόμον ἔδωκεν. « Ἰδοὺ γὰρ, φησὶν, ἔδωκα ὑμῖν πάντα χόρτον σπόριμον καὶ ἐξῆς· ὑμῖν δέδωκα εἰς βρῶσιν· » καὶ ταῦτα πρὸ τῆς ἐντολῆς· οὐ τοίνυν ὀργῆς ἡ τιμωρία ἀλλ' οἰκονομία σοφίας

[14] Levit. XII, 3. [15] Matth. V, 28. [16] ibid. 22. [17] Genes. I, 29.

Digitized by Google

μεστή ἵνα γὰρ μισήσῃ τὴν ἁμαρτίαν τὸ τῶν ἀνθρώπων γένος ὡς αἰτίαν θανάτου γεγενημένην, μετὰ τὴν παράβασιν τῆς ἐντολῆς ἐπιφέρει τοῦ θανάτου τὴν ψῆφον ὁ πάνσοφος, τοῦτο μὲν τὸ περὶ τὴν ἁμαρτίαν μηχανώμενος μῖσος, προευτρεπίζων δὲ τῷ γένει τῆς σωτηρίας τὸ φάρμακον, τὴν τοῦ Μονογενοῦς ἐνανθρώπησιν· δι' ἧς ἡμῖν ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ ἀθανασία διαπεπραγμάτευται· τί δὲ καὶ ἀπηνὲς ἡ ἀπόφασις ἔχει; «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.» Ἀπὸ γῆς σε, φησὶν, εἰς ἀμείνω πολλῷ φύσιν μετεσκεύασα· ἐπεὶ δὲ φυλαξαι μου τὴν ἐντολὴν οὐκ ἠθέλησας, πρὸς τὴν προτέραν ἐπανελεύσῃ φύσιν· ἀνθότου δὲ καὶ σμικρὸν εἶναι δοκεῖ τὸ ἁμάρτημα; Ὁ μὲν πάντων ἔδωκε τὴν ἐξουσίαν, ἑνὸς δὲ μόνου ἀπεῖρξεν· ὁ δὲ καταλιπὼν ἅπαντα, τοῦτον καὶ μόνον καὶ πρῶτον ἐτρύγησε τὸν καρπόν· τοῦτο γὰρ αὐτῷ καὶ ὁ Δεσπότης ἐμέμψατο. Τίς γὰρ, φησὶν, ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνον μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; δεδήλωκε δὲ καὶ ὁ διάβολος μὴ φαγεῖν αὐτοὺς ἀπό τινος ἄλλου ξύλου. Δι' ὧν ἔφη τῇ Εὔᾳ· Τί ὅτι εἶπεν ὁ Θεὸς, Οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν παραδείσῳ; εἰ γὰρ οἶδεν ἐδηδοκότας, οὐκ ἂν ᾠήθη περὶ πάντων αὐτοὺς τῶν δένδρων εἰληφέναι τὴν ἐντολήν· οὐ μικρὰ τοίνυν ἡ παράβασις· πρώτου γὰρ μετέλαβον, οὗ μόνου μὴ μετασχεῖν ἐκελεύσθησαν.

agendi sapientia plenus. Ut enim peccatum exhorresceret hominum genus ut causam mortis factum, post transgressionem mandati mortis decretum qui est omnino sapiens, intulit, et hoc quidem odium peccati moliens, hominibus autem salutarem medicinam præparans, scilicet, Unigeniti sui incarnationem, per quam nobis ex mortuis resurrectio et immortalitas operatur. Quid autem crudele habet hoc decretum? « Terra es, et in terram reverteris [18] » e terra te, inquit, ad multo meliorem naturam præparavi, quia autem non voluisti mandatum meum servare, ad primam naturam reverteris, quare autem parvum esse videatur peccatum? Ille quidem omnium dedit potentiam, uno solummodo interdixit; hic autem omnibus relictis, illum et solum et primum carpsit fructum. « Hoc enim illi Dominus exprobravit. Quis enim, inquit, indicavit tibi quod nudus esses, nisi quod ex ligno de quo præceperam tibi ne comederes comedisti [19]? » demonstravit autem et diabolus illos non comedisse ab alio quodam ligno. Itaque dicit Evæ: Cur præcepit vobis Deus ut non comederetis de omni ligno paradisi? Si enim illos comedisse scivisset, non putasset de omnibus arboribus illos mandatum accepisse. Non est parva ergo transgressio: primum enim apprehendit quem solum non attingere jussus fuerat.

ΕΡΩΤΗΣΙΣ ΣΝΕ'.

Τίνας υἱοὺς Θεοῦ κέκληκε Μωϋσῆς;

QUÆSTIO CCLV [*Coisl.* CCCV, *Taur.* CCXCIV].

Quosnam filios Dei vocaverit Moyses (52).

Edita a Maio (l. c. p. 123, q. 254). — De filiis Dei in textu Gen. VI, 2.

Οἱ μὲν τοὺς ἀγγέλους ὑπονοήσαντες, μαίνονται· υἱοὺς δὲ κέκληκε νῦν τοῦ Θεοῦ τοὺς ἐκ τοῦ Σὴθ καταγομένους· εἰποῦσα γὰρ ἡ Γραφὴ ὅπως ἐκ τοῦ Σὴθ ὁ Ἐνὼς ἐγεννήθη, προσέθηκεν· «Οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ·» ὁ δὲ Ἀκύλας φησί· *Τότε ἤρξατο καλεῖν ἐν ὀνόματι Κυρίου·* αἰνίττεται δὲ ὡς διὰ τὴν εὐσέβειαν οὗτος πρῶτος τῆς θείας προσηγορίας τετύχηκε καὶ ὑπὸ τῶν συγγενῶν ὠνομάσθη Θεός· ὅθεν οἱ ἐκ τούτου φύντες, υἱοὶ Θεοῦ ἐχρημάτιζον· διὸ καὶ ὁ Κύριος διὰ τοῦ προφήτου Δαβὶδ· « Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες· » καὶ, « Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ· » οὕτω δὲ ὀνομάζει τοὺς ἄρχοντας· καὶ γὰρ ἐπάγει· « Ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; » καὶ ἑξῆς· καὶ πολλαχοῦ τῆς Γραφῆς εὑρήσεις θεοὺς τοὺς διαφέροντας τῶν πολλῶν ἀνθρώπων ὀνομαζομένους· οἱ τοίνυν τοῦ Σὴθ ἀπόγονοι εἴτε ἐκ τοῦ Ἐνὼς, ὃς Θεὸς ἐπεκλήθη πρῶτος, ἐκφύντες, εἴτε ἁπλῶς ὡς εὐσεβείᾳ τῶν ἐκ τοῦ Κάϊν τεχθέντων διαφέροντες, υἱοὶ Θεοῦ ἐκαλοῦντο, καὶ οὐκ ἐμίγνυντο τοῖς ἐκ τοῦ Κάϊν διὰ τὴν ἐπενεχθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἀράν· χρόνῳ δὲ ὕστερον εὐειδεῖς θεασάμενοι τὰς ἐκ τῆς τοῦ Κάϊν συγγενείας θυγατέρας, καὶ καταθελχθέντες, ὡς εἰκὸς, τοῖς παρ' αὐτῶν ἐπινοηθεῖσι μουσικοῖς

Qui quidem angelos esse sentiunt turpiter errant, filios autem vocavit Dei illos qui ex Seth orti sunt. Dicens enim Scriptura sacra quod ex Seth Enoch natus est, adjecit: « Iste confidit invocare nomen Domini Dei [20]. » Aquila autem dicit: *Tunc cœpit invocare nomen Domini;* ostendit autem quod per pietatem iste primus divinam appellationem obtinuit et a parentibus Deus cognominatus est. Unde qui ex illo nati sunt, filii Dei nominabantur. Itaque Dominus per prophetam David dicit: « Ego dixi: Dii estis et filii Excelsi omnes [21]. » Et: « Deus stetit in concilio deorum [22]. In medio autem deos judicat. « Sic nominat illos qui imperant. Etenim adjicit: « Usquequo judicatis injustitiam et personas peccatorum sumitis [23]? » et cætera. Et sic in multis Scripturæ locis invenies deos vocari illos omnes qui ab aliis hominibus distinguuntur. Qui ergo ex Seth orti sunt sive ex Enoch, qui Deus primus vocatur, nati sint, sive solummodo pietate a filiis Cain differentes, filii Dei vocabantur, et non miscebantur cum illis qui ex Cain descendebant, propter maledictionem contra illum a Deo illatam. Temporis autem decursu, pulchras videntes filias Cain et multis musicis instrumentis inventis deliniti, Jobal enim ex illis ortus psalterium et ci-

[18] Gen. III, 19. [19] ibid. 11. [20] Genes. IV, 24. [21] Psal. LXXXI, 6. [22] Psal. CX, 1. [23] Psal. LXXXI, 2.

NOTÆ.

(52) Ex Theodoreto quæst. 47 in Genes. p. 147 seq

Digitized by Google

tharam invenit, et acceperunt illas sibi uxores, et ita illorum honestas corrupta fuit, et a Deo pœnas transgressionis causa dederunt, perditionem totalem invenientes. Illud autem omnino advertendum est scilicet, non simpliciter illis divinum verbum exprobrare peccatum, sed zelum et ardorem in transgrediendo: hoc enim indicat illud: Omnis qui in corde suo studiose cogitat malum omnibus diebus. Qui enim peccati victoriam ægre ferunt, propter mentis imbecillitatem, non autem ex malitia superati, postea autem dolore affecti et gementes habent rationabilem aliquo modo excusationem. Qui autem ad licentiam et malitiam omnimode inclinantur, ita ut semper novas malitiæ ideas excogitent, qualis veniæ sint digni?

A ὀργάνοις (ὁ γὰρ Ἰωδὰλ ἐξ αὐτῶν ἀνθήσας ψαλτήριον καὶ κιθάραν κατέδειξεν), ἐπεμίγησαν αὐταῖς καὶ διέφθειραν τὴν οἰκείαν εὐγένειαν, καὶ θεήλατον τιμωρίαν ἐδέξαντο, καρπὸν τῆς παρανομίας τὴν πανωλεθρίαν εὑράμενοι· ἐκεῖνο μέντοι ἐπισημήνασθαι χρὴ, ὡς οὐχ ἁπλῶς αὐτῶν ἁμαρτίαν ὁ θεῖος λόγος κατηγορεῖ, ἀλλὰ τὴν μετ' ἐπιμελείας καὶ σπουδῆς παρανομίαν· τοῦτο γὰρ δηλοῖ τὸ, Πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας· οἱ μὲν γὰρ δυσχεραίνοντες τῆς ἁμαρτίας τὴν ὑπερβολὴν, ἡττώμενοι δὲ διὰ τὴν τοῦ νοῦ ῥαθυμίαν, οὐ πονηρίαν, εἶτα ὕστερον ἀλγοῦντες καὶ στένοντες ἔχουσί τινα μετρίαν ἀμηγέπη παραίτησιν· οἱ δὲ εἰς ἀκολασίαν καὶ πονηρίαν παντάπασιν ἀποκλίναντες, ὥστε καὶ προσεπινοεῖν νεωτέρας κα-

B κίας ἰδίας, ποίας ἄξιοι συγγνώμης;

QUÆSTIO CCLVI [*Coisl.* CCLXXVII, *Taur.* CCLXVII].

Lege nondum promulgata quæ jubet honorare patrem et matrem, quomodo Cham ut parricida judicatur (53)?

ΕΡΩΤΗΣΙΣ ΣΝϚ'.

Τοῦ νόμου μήπω τεθέντος ὃς διαγορεύει τιμᾶν τὸν πατέρα καὶ τὴν μητέρα, πῶς ὁ Χὰμ ὡς πατραλοίας κρίνεται;

Edita a Maio (l. c. p. 125, 124, q. 255). — Cur Cham parricidii reus judicatus. Gen. ix, 28.

Naturaliter in corde necessarias leges inscripsit Deus. Sic Cain condemnavit, quia illum natura erudivit quod homicidium est vetitum, attamen dolo utens ut adjumento longe a parentibus abducens fratrem interfecit, et Deo interrogante, « Ubi est Abel frater tuus [24], » scire negat, evidenter quia sciebat malum esse quod patraverat, convictus autem a justo Judice confessus est majus suum esse peccatum quam ut veniam mereretur. « Major est enim iniquitas mea quam ut veniam merear [25]. » Porro ipse Adam divinam præsentiam sentiens sese abscondere tentavit, sciens certe quod furtum malum est. Sic Cham parricidii accusationem incurrit, propter legis naturalis transgressionem. Quod vero honorare parentes natura edocet, testantur Cham fratres qui cum multo pudore patrem operuerunt.

Τῇ φύσει τοὺς ἀναγκαίους νόμους ἐντέθεικεν ὁ Θεός· οὕτω τὸν Κάϊν κατέκρινεν, ἐπειδήπερ αὐτὸν ἡ φύσις ἐδίδασκεν ὡς ὁ φόνος παράνομον· αὐτίκα γοῦν δόλῳ χρησάμενος συνεργῷ, πόρρω τῶν γεγεννηκότων ἀπάγων ἀνεῖλε τὸν ἀδελφὸν, καὶ τοῦ Θεοῦ πυνθανομένου, « Ποῦ Ἄβελ ὁ ἀδελφός σου, » ἠρνήθη, δηλονότι ὡς ἐπιστάμενος κακὸν εἶναι τὸ τολμηθέν· ἐλεγχθεὶς δὲ ὑπὸ τοῦ δικαίου Κριτοῦ, ὡμολόγησεν ὑπὲρ συγγνώμην ἡμαρτηκέναι· « Μείζων γὰρ ἡ ἁμαρτία μου τοῦ ἀφεθῆναί με· » καὶ μέντοι καὶ ὁ Ἀδὰμ τῆς θείας ἐπιφανείας αἰσθόμενος ἐπειράθη λαθεῖν, καὶ εἰδὼς ὅτι δὴ τὸ κλέπτειν κακόν· οὕτω δὴ ὁ Χὰμ τὴν τοῦ πατραλοίου κατηγορίαν ἐδέξατο ὡς παραβὰς τὸν τῆς φύσεως νόμον· ὅτι δὲ καὶ τὸ γεραίρειν τοὺς γεγεννηκότας ἡ φύσις ἐδίδασκε, μαρτυροῦσιν οἱ τοῦ Χὰμ ἀδελφοὶ οἱ μετὰ πολλῆς αἰδοῦς τὸν πατέρα συγκαλύψαντες.

QUÆSTIO CCLVII [*Coisl.* CCLXXVIII, *Taur.* CCLXVIII].

Quare, Cham in peccatum lapso, filius illius maledicatur (54)?

ΕΡΩΤΗΣΙΣ ΣΝΖ'.

Τί δήποτε τοῦ Χὰμ ἐπταικότος, ὁ ἐκείνου παῖς ἠράθη;

Edita a Maio (l. c. p. 124, q. 256). — De filio Chami peccatoris maledicto

Omnes una, finito diluvio, divinæ benedictionis fuerunt participes. Timuit ergo Noe maledictionem inducere in aliquem qui divinæ benedictionis fuerat particeps: cujus causa hanc filio illius deposuit, et hæc punitio justa est. Quia enim cum esset filius patrem offendit, per maledictionem filii punitionem accepit. Ad hoc autem et illud considerandum est quod, si ipse Cham maledictionem accepisset, in omnem suam progeniem pœna extenderetur. Porro ex illo orti sunt Æthiopes et Ægyptii et Libya tota et Phœnicia et Palæstina. Ne autem omne genus pœna at-

D Κοινῇ πάντες μετὰ τὴν τοῦ κατακλυσμοῦ παῦλαν, τῆς θείας μετέλαχον εὐλογίας· τολμηρὸν τοίνυν ὑπέλαβεν ὁ Νῶε ἐπάγειν ἀρὰν τῷ τῆς θείας εὐλογίας μετειληχότι· τούτου χάριν τῷ ἐκείνου παιδὶ ταύτην περιέθηκεν· ἔχει δὲ ἡ τιμωρία τὸ δίκαιον· ἐπειδὴ γὰρ υἱὸς ὢν ἐξήμαρτεν εἰς πατέρα, διὰ τῆς τοῦ παιδὸς ἀρᾶς δέχεται τιμωρίαν· πρὸς δὲ τούτῳ, σκοπητέον κἀκεῖνο· ὡς εἰ αὐτὸς ὁ Χὰμ ἐδέξατο τὴν ἀρὰν, εἰς ὅλον ἂν διέβη τὸ γένος ἡ τιμωρία· ἐκ δὲ τούτου ἐβλάστησαν Αἰθίοπες καὶ Αἰγύπτιοι καὶ Λιβύη πᾶσα καὶ Φοινίκη καὶ Παλαιστίνη· ἵνα τοίνυν μὴ ἅπαν

[24] Genes. iv, 9. [25] ibid 13.

NOTÆ.

(53) Ex Theodoreto q. 57 in Genes. p. 159.

(54) Ex Theodoreto q. 58 in Genes. p. 162.

Digitized by Google

τὸ γένος περιβάλῃ τῇ τιμωρίᾳ, εἰς τὸν νεώτατον A tingeretur, in juniorem filium pœnam immisit. Et hoc
υἱὸν τὴν τιμωρίαν παρέπεμψε· καὶ τοῦτο δὲ εἰδέναι προσήκει ὡς πρόρρησίς ἐστιν οὐν ἀρὰ τοῦ δικαίου τὰ ῥήματα· ἐπειδὴ γὰρ ἤμελλεν ὁ Ἰσραὴλ ἐκ τοῦ Σὴμ κατάγων τὸ γένος τῆς Παλαιστίνης κύριος ἔσεσθαι, ταύτην δὲ πάλαι ᾤκουν οἱ ἐκ τοῦ Χαναὰμ, εἰς ἀρὰν σχηματίζει τὴν πρόρρησιν, προαγορεύων μὲν τὰ ἐσόμενα, δεδιττόμενος δὲ τοὺς ὕστερον ἐσομένους μὴ πλημμελεῖν εἰς γονέας· καὶ τοῦτο σαφῶς ἡμᾶς ἡ τοῦ Σὴμ εὐλογία διδάσκει· « Εὐλογητὸς γὰρ Κύριος ὁ Θεὸς τῷ Σήμ· ἔσται Χαναὰμ παῖς· πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ· καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ· » καὶ τοῦ Ἰάφεθ τὴν πτλυγονίαν προείρηκε, τοῦ δὲ Σὴμ τὴν εὐσέβειαν· τὸν γὰρ Θεὸν ἐν τοῖς σκηνώμασι τοῦ Σὴμ κατοικήσειν προείρηκε· κατῴκησε δὲ ἐν τοῖς τοῦ Σὴμ πατριάρχαις καὶ ἐν τοῖς ἐκ τούτων B βεβλαστηκόσι προφήταις, καὶ ἐν τῇ σκηνῇ πρότερον καὶ ἐν τοῖς Ἱεροσολύμοις ὕστερον· ἀκριβὲς δὲ τέλος ἔσχηκεν ἡ προφητεία τὸ τῆς οἰκονομίας μυστήριον· ὅτε αὐτὸς Θεὸς Λόγος ἐνηνθρώπησε καὶ ναὸν ἑαυτοῦ προσηγόρευσεν ἣν ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραὰμ ἔλαβε σάρκα· ἐκ τοῦ Σὴμ γὰρ καὶ οὗτοι κατῆγον τὸ γένος· ἡ δὲ Χαναὰμ δουλεία ἐν τοῖς Γαβαωνίταις τὸ τέλος ἐδέξατο.

scire convenit non esse maledictionem sed prædictionem verba justi. Cum enim Israel ex Sem oriundus Palæstina potiturus erat, hanc autem a longe habitabant filii Chanaan sub forma imprecationis prædictionem declarat, annuntians futurum, et timorem incutiens illis qui postea futuri erant, ne in parentes peccarent, et clare hoc docet Sem benedictio: « Benedictus Dominus Deus Sem : erit Cham servus ejus[36]. Dilatet Deus Japhet et habitet in tabernaculis Sem. » Japhet numerosam progeniem prophetavit, Sem autem pietatem. Deum autem in tabernaculis Sem habitaturum prædixit : habitavit autem in patriarchis ex Sem ortis et in prophetis ab istis descendentibus ; et primum sub tentoriis et postea in Jerusalem. Perfectam autem adimpletionem habuit prophetia in mysterii dispositione mirabili, cum ipse Deus Verbum incarnatum est et templum suum vocavit quam ex semine David et Abraham assumpserat carnem. Ex Sem enim et ipsi originem ducebant. Chanaan autem servitus in Gabaonitis adimpletionem obtinuit.

ΕΡΩΤΗΣΙΣ ΣΝΗ'.

Πῶς Ἀβραὰμ πιστὸς ὀνομάζεται εἰρηκὼς τῷ Θεῷ, « Κατὰ τί γνώσομαι τοῦτο ὅτι κληρονομήσω αὐτήν ; »

QUÆSTIO CCLVIII [*Coisl.* CCLXXIX, *Taur.* CCLXIX].

Quomodo Abraham fidus appelletur qui dixerit : « Unde scire possum quod possessurus sim eam ? »

Edita a Maio (l. c. p. 125, q. 257). — De Abrahami interrogatione. Gen. xv, 14.

Τὸ, « Κατὰ τί γνώσομαι ; » οὐκ ἀπιστοῦντός ἐστιν C ἀλλὰ μαθεῖν ποθοῦντος τῆς κληρονομίας τὸν τρόπον· ἐπειδὴ γὰρ ἑώρα πλήθη μυρία τὴν Παλαιστίνην οἰκοῦντα, μαθεῖν ἠβούλετο τίνι τρόπῳ παραλήψεται τῆς γῆς ἐκείνης τὴν δεσποτείαν· νόμῳ πολέμου; δίχα πολέμου ; ζώντων ἐκείνων ; ἀναιρουμένων ; ἐξελαυνομένων ; τούτου χάριν μετὰ τὴν θυσίαν ὁ τῶν ὅλων ὀφθεὶς Θεὸς, « Γινώσκων, φησὶ, γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου, καὶ ἐξῆς· » ἕως τοῦ, « Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορῥαίων. » Ἐκ τῆς θείας τοίνυν ἀποκρίσεως ἔστι γνῶναι τὸν τρόπον τῆς ἐρωτήσεως· ἐπειδὴ γὰρ εἶπε, « Κατὰ τί γνώσομαι ὅτι κληρονομήσω αὐτήν ; » ἐδιδάχθη μὲν ὅσον παροικήσουσι χρόνον, καὶ ὅπως ταλαιπωρήσουσιν, ὅσης δὲ ἀξιωθήσονται προμηθείας· τῶν μὲν πολεμησάντων αὐτοὺς κολασθησομένων, τῶν D δὲ τὰ ἐκείνων καρπωσομένων· καὶ ὅτι τούτων αὐτὸς οὐδεμίαν πεῖραν λαβὼν ἐν εἰρήνῃ καταλύσει τὸν βίον· ἐδίδαξε δὲ καὶ τῆς ἀναβολῆς τὴν αἰτίαν· ἵνα γὰρ μή τις τοπάσῃ καὶ διὰ τὸ πλῆθος τῶν ἐνοικούντων μὴ δυνηθῆναι τὸν Δεσπότην Θεὸν τῆς γῆς ἐκείνης παραδοῦναι τὴν δεσποτείαν, φησὶν, « Ὅτι οὔπω ἄξια πανωλεθρίας δεδράκασιν οἱ Ἀμορῥαῖοι· » οὐ χρὴ γὰρ πρὸ τῆς ἁμαρτίας ἐκ προγνώσεως ἐνεχθῆναι τὴν τιμωρίαν· ὅτι δὲ εἶχον κατ' ἐκεῖνο καιροῦ εὐσεβεῖς, δῆλον ἔκ τε τοῦ Ἀβιμέλεχ καὶ ἐκ τῶν τὴν

Hoc verbum unde scire possum non increduli est, sed expetentis discere hæreditatis modum. Postquam enim vidisset populis ab innumerabilibus Palæstinam habitari, discere voluit quomodo terræ hujus dominatum occuparet. Belli jure? sine bello? viventibus illis? interemptis? expulsis? Quapropter, post sacrificium, qui omnium rerum Deus visus erat, « Prænoscens, inquit, cognosces quod peregrinum futurum sit semen tuum[37], » et cætera usque ad : « Nondum enim completæ sunt iniquitates Amorrhæorum. » Proinde, ex divina illa responsione cognosci potest modus quæstionis. Postquam enim dixisset : « Unde scire possum quod possessurus sim eam, » didicit quot quidem annos peregre commorarentur, affligerentur, quantæque digni censerentur providentiæ, quosdam quidem cum his bellaturos, castigandos esse; alios vero illorum fortunis fruituros. Atque ipsum nihil ex iis perpessum, in pace animam efflaturum. Didicit etiam hujus dilationis causam, ne quis conspiceret propter multitudinem incolarum non potuisse Dominum Deum hujus terræ tradere dominatum, dixit : « Quia nondum exitii digna fecissent Amorrhæi. » Non enim oportet venturi sceleris ex præsumptione solvi pœnas; et quod eo tempore pii essent, constat ex Abimelech atque e Chebræ incolis quos

[36] Genes. IX, 26. [37] Genes. XV, 13.

NOTÆ.

(55) Est Theodoreti q. 65 in Genes. 171.

Digitized by Google

audire potuisses patriarchæ dicentes : « Rex es tu a Deo missus nobis ; in electis sepulcris nostris sepeli corpus tuum. »

Χεβρὼν οἰκούντων· ὧν ἔστι πρὸς τὸν πατριάρχην ἀκοῦσαι λεγόντων· « Βασιλεὺς εἶ σὺ παρὰ Θεοῦ ἐν ἡμῖν, ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου. »

QUÆSTIO CCLIX [*Coisl.* CCLXXX].

Quam ab causam eluctetur adversus Jacobum angelus (56).

ΕΡΩΤΗΣΙΣ ΣΝΘ'.

Τίνος ἕνεκεν ἐκπαλαίει τῷ Ἰακὼβ ὁ ἄγγελος ;

Edita a Maio (l. c. p. 125, 126, q. 258). — De angeli cum Jacobo certamine. Gen. XXXII, 24.

Cum fratrem timeret angelus ei virtutem addit. Eadem etiam de causa huic victoriam concessit, hæc propemodum dicens : Qui me vicisti, hominem times? Ne vero ille superbiret Deum a se victum fuisse putans tactu femoris angelus voluntariam fuisse cladem suam ostendit. Tactu enim femoris illi torporem obducit. Postquam autem angeli qui sibi apparuerat potentiam novit, Jacobus benedictionem ab eo poscit, quam ille petenti annuit ; ejusque nomen mutat. Remansit vel post vigiliam femur ejus torpore affectum ac leviter claudum, ne vanam imaginem duceret hoc visum. Qua de causa cum interrogasset quo angelus appellaretur nomine, non solum petitio non exauditur, sed etiam ipse increpatur, ut naturæ mensuram transgressus. « Cur, inquit, quæris nomen meum [28]. » Mirumque est atque hic notatione dignum quod eumdem appellavit et hominem et Deum, dixit enim : « Tu qui contra Deum fortis fuisti, contra homines prævalebis, » vocavitque Jacobus nomen loci illius Phanuel, dicens : « Vidi Deum facie ad faciem, et salva facta est anima mea [29]. » — « Ortusque est ei statim sol postquam transgressus est Phanuel [30]. » Quas ob causas intelligimus unigenitum Filium hic Jacob apparuisse.

Δεδιότι τὸν ἀδελφὸν θάρσος ἐντίθησι· διά τοι τοῦτο καὶ τῆς νίκης αὐτῷ παρακεχώρηκε· μονονουχὶ λέγων· Ἐμὲ νενίκηκας, καὶ ἄνθρωπον δέδοικας ; ἵνα δὲ μὴ μέγα φρονῇ δόξας νενικηκέναι Θεὸν, τῇ ἁφῇ τοῦ μηροῦ τὸ ἐθελούσιον τῆς ἥττης ἐδήλωσε· τῇ γὰρ ἁφῇ τοῦ μηροῦ τὴν νάρκην εἰργάσατο. Γνοὺς δὲ τοῦ ἐπιφανέντος τὴν δύναμιν, τὴν εὐλογίαν αἰτεῖ· ὁ δὲ καὶ τὴν αἴτησιν δίδωσι καὶ τὴν προσηγορίαν ἀμείβει· διέμεινε δὲ καὶ μετὰ τὴν ἐγρήγορσιν ὁ μηρὸς ναρκῶν τε καὶ ὑποσκάζων, ἵνα μὴ φαντασίαν ὑπολάβῃ τὴν ὄψιν· διὰ τοῦτο καὶ ἐρωτήσας τίνα προσηγορίαν ἔχει, οὐ μόνον διαμαρτάνει τῆς αἰτήσεως, ἀλλὰ καὶ ἐπιπλήττεται ὡς ὑπερβὰς τὰ μέτρα τῆς φύσεως· « Ἵνα τί γάρ, φησὶν, ἐρωτᾷς τὸ ὄνομά μου ; » καὶ τοῦτό ἐστι θαυμαστόν· ἐπισημαντέον δὲ κἀνταῦθα ὅτι τὸν αὐτὸν ἐκάλεσε καὶ ἄνθρωπον καὶ Θεόν· « Ἐνισχύσας γάρ, ἔφη, μετὰ Θεοῦ καὶ μετὰ ἀνθρώπων ἔσῃ δυνατός· » καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου· Εἶδος Θεοῦ. « Εἶδον γὰρ, φησὶν, Θεὸν πρόσωπον πρὸς πρόσωπον· καὶ ἐσώθη ἡ ψυχή· » καὶ πάλιν· « Ἀνέτειλε δ' αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ· » διὰ τούτων δὲ πάντων μανθάνομεν ὡς ὁ μονογενὴς Υἱὸς ἐφάνη κἀνταῦθα τῷ Ἰακώβ.

QUÆSTIO CCLX [*Coisl.* CLXX, *Taur.* CLXIX].

Cur liberis suis benedixisse Jacobus dicatur, cum nonnullis certe maledixerit [30] (57*).

ΕΡΩΤΗΣΙΣ ΣΞ'.

Πῶς εὐλογῆσαι τοὺς παῖδας ὁ Ἰακὼβ λέγεται ἐνίοις ἐπαρασάμενος ;

Edita a Maio (Nov. Coll. t. I, p. 208 seq.). — De Jacobi ultima oratione ac benedictionibus. Gen. XLIX.

1. Neque diræ neque benedictiones, imo vero vaticinia sunt patriarchæ sermones extremi. Adeste, inquit, ut certiores vos faciam quid cuique postremis temporibus eventurum sit. Tum facinorum quoque meminit, quæ nonnulli patraverant ; non quod patrum scelera vindicentur in filiis, sed quia diris ac benedictionibus orationem suam ob communem legentium utilitatem figurat. Jam vero Rubenio arrogantiam exprobrat et ferociam patrisque thalamum violatum : posterosque ejus paucos prædicit : id enim innuunt verba, instar aquæ non ferveas, id est ad fecunditatem non incalescas. Iraseitur quoque Simeoni atque Levinio, Sicimitarum injustam necem deplorans ; deprecatur autem quominus ipsemet ullam sceleris ejus societatem attingat : tum maledicit affectibus eorum improbis

α'. Οὔτε ἀραί εἰσιν οὔτε εὐλογίαι ἀλλὰ προρρήσεις οἱ τελευταῖοι τοῦ Πατριάρχου λόγοι· « Συνάχθητε γὰρ, φησὶν, ἵνα ἀναγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτου τῶν ἡμερῶν· » ἐμνήσθη δὲ καὶ τῶν παρ' ἐνίων γεγενημένων, οὐκ ἐπειδὴ δίκας οἱ παῖδες εἰσεπράττοντο τῶν πατρικῶν ἁμαρτημάτων, ἀλλὰ σχηματίζων εἰς ἀρὰν καὶ εὐλογίαν τοὺς λόγους εἰς κοινὴν τῶν ἐντευξομένων ὠφέλειαν. Καὶ τῷ μὲν Ῥουβὶμ αὐθάδειαν ἐπιμέμφεται καὶ θρασύτητα καὶ τὴν εἰς πατρῴαν εὐνὴν παρανομίαν· οὗ δὴ ὀλίγους αὐτοῦ γενῆσθαι τοὺς ἀπογόνους προλέγει· τοῦτο γὰρ δηλοῖ τὸ « Ὡς ὕδωρ μὴ ἐκζέσαις, » ἀντὶ τοῦ, Μὴ ἐκθερμανθείης εἰς πολυγονίαν. Νεμεσᾷ δὲ καὶ τῷ Συμεὼν καὶ τῷ Λευΐ, τῶν Σικιμιτῶν τὸν ἄδικον ὄλεθρον ὀδυρόμενος, καὶ εὔχεται μηδεμίαν κοινωνίαν εἰς τὴν παρανομίαν ἔχειν ἐκείνην· ἐπαρᾶται μέντοι οὐκ αὐτοῖς, ἀλλὰ τοῖς

[28] Genes. XXXII, 29. [29] ibid. 28. [30] ibid. 30 et seq. [30*] Genes. XLIX, 1 seqq.

NOTÆ.

(56) Hæc quæstio, quæ in cod. Taurin. desideratur, ex Theodoreto q. 92 in Genes. p. 199 desumpta fuit.

(57) Est Theodoreti q. 6 in Exod. t. LXXX, p. 230.

(57) Fere verbo tenus ex Theodoreto q. 110 in Genes p. 215.

Digitized by Google

πονηροῖς αὐτῶν πάθεσι καὶ τῇ ὀργῇ τῇ μήνιδι· ἐπιθυμίαν δὲ τὴν ὀργὴν ἐκάλεσεν· ἐκ ταύτης γὰρ ἡ ὀργὴ τὴν ἐτυμολογίαν ἔχει· ὀρέγεται γὰρ ὁ ὀργιζόμενος ἀμύνασθαι τὸν ἐχθρόν· καὶ αὐτὴ δὲ ἡ τιμωρία πρόῤῥησις ἦν· « Διαμεριῶ γὰρ αὐτοὺς ἐν Ἰακὼβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ· » ἀλλ' ἡ τοῦ Λευῒ φυλὴ διὰ τὴν ἄκραν διεσπάρη τιμήν· ὥστε γὰρ ἑκάστῃ φυλῇ συνεῖναι Λευῖτας καὶ ἱερέας καὶ τὴν παρ' αὐτῶν ὠφέλειαν καρποῦσθαι, οὐκ ἔλαβον ἴδιον κλῆρον, ἀλλ' ἐν ἑκάστῃ φυλῇ τινες αὐτοῖς ἀπενεμήθησαν πόλεις, καὶ τῆς προαστείου γῆς ὡρισμένος πήχεων ἀριθμός· καὶ ἡ τοῦ Συμεὼν φυλὴ οὐκ εἶχε κλῆρον κεχωρισμένον, ἀλλὰ κατὰ τὴν τοῦ πατριάρχου πρόῤῥησιν μεταξὺ τῶν ἄλλων φυλῶν διεσπαρμένον.

A iræque vindici. Et quidem cupiditatis nomine excandescentiam appellat : illinc quippe ducitur vocabuli *excandescentia* ratio ; ardet enim excandescens inimicum ulciscendi cupiditate. Atque hæc ipsa ultio vaticinium erat. « Dividam quippe eos in Jacob, dispergam in Israel. » Reapse tamen Levinii tribus summi honoris gratia dispersa fuit : namque ut in singulis tribubus Levitæ essent ac sacerdotes, indidemque utilitatem perciperent [31], non est illis assignata peculiaris possessio, sed in unaquaque tribu quædam urbes attributæ cum suburbani soli definito cubitorum numero. Tum ne Simeonis quidem tribus proprium agrum sortita est, sed ut patriarcha prædixerat, inter alias tribus dispersa [32].

β'. Τοῦ δὲ Ἰουδα πολλοὺς ἐπαίνους διέξεισιν. « Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου· σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης. » Ἀλλὰ τούτων οὐδὲν τῷ Ἰούδα ἁρμόττει, ἀλλὰ τῇ ἐκ τούτου βλαστησάσῃ φυλῇ· βασιλικὴ γὰρ ἦν αὕτη, πρώτου μὲν τοῦ Δαβὶδ βασιλεύσαντος, εἶτα τῶν ἐξ ἐκείνου, καὶ πασῶν δὲ τῶν ἄλλων φυλῶν ἦν δυνατωτάτη· καὶ γὰρ ἡνίκα Δαβὶδ ὁ βασιλεὺς ἀριθμηθῆναι προσέταξε τὸν λαὸν, τετρακοσίας χιλιάδας τοῦ Ἰούδα εὗρε, τῶν δὲ ἄλλων φυλῶν ἐννεακοσίας· καὶ μέντοι κἀν τῇ ἐρήμῳ ἀριθμηθέντες, πλείους ὤφθησαν τῶν ἄλλων φυλῶν· ἀλλὰ τὸ ἀκριβὲς τῆς προῤῥήσεως τὴν ἔκβασιν ἔλαβεν ἐπὶ τοῦ Δεσπότου Χριστοῦ, ὃς ἐκ βλαστοῦ Ἰούδα ἀνέτειλε κατὰ τὸν πατριάρχην Ἰακὼβ, καὶ κατὰ τὸν προφήτην Ἡσαΐαν· « Ἐξῆλθε ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀνέβη· » αὐτῷ δὲ καὶ τὸ « Ἀναπεσὼν ὡς λέων ἐκοιμήθη, ἁρμόττει, καὶ ὡς σκύμνος λέοντος· » ὥσπερ γὰρ ὁ λέων καθεύδων ἐστὶ φοβερὸς, οὕτως ὁ Δεσποτικὸς θάνατος καὶ τῷ θανάτῳ καὶ τῷ διαβόλῳ γεγένηται· λέοντα γὰρ αὐτὸν καὶ σκύμνον λέοντος κέκληκεν ὡς Βασιλέα καὶ Βασιλέως Υἱὸν, καὶ Θεὸν καὶ Θεοῦ Υἱόν· καὶ κατὰ τὸ ἀνθρώπινον· ἐκ τοῦ Δαβὶδ γὰρ ἐβλάστησε· καὶ ὡς Θεὸς πρὸ τῶν αἰώνων ἐκ τοῦ Πατρὸς ἐγεννήθη· καὶ τὸ, « Τίς ἐγερεῖ αὐτόν; » τὴν ἄφατον αὐτοῦ δείκνυσι δύναμιν· αὐτὸς γὰρ ἑαυτὸν ἀνέστησε κατὰ τὴν αὐτοῦ πρόῤῥησιν· « Λύσατε τὸν ναὸν τοῦτον, » καὶ ἑξῆς.

B 2. Age vero Judæ plurimas laudes recitat. « Juda, laudent te fratres tui ; manus tuæ in cervicibus hostium tuorum ; filii patris tui adorent te. Catulus leonis Judas ; ex germine, fili mi, ascendas. » Atqui nihil horum Judæ congruit, sed ortæ ex eo tribui, quæ regalis evasit, Davide rege primo, deinde posteris ejus. Hæc omnium tribuum potentissima fuit : nam et cum rex David numerari populum jussit, quadringenta millia Judæorum reperit ; ex aliis vero cunctim tribubus nongenta millia [33]. Imo et in deserto cum census ageretur, plures Judæi cæteris tribubus comperti sunt. Vaticinii tamen accurata ratio nacta est exitum in Christo Domino, qui de Judæ germine emersit, prout Jacobus patriarcha et Isaias propheta affirmaverunt : Exiit virga de radice Jessæi, et flos de radice ascendit. Christo præterea verba congruunt, « Ut leo procumbens quievit, ut leonis catulus [34]. » Nam sicuti leo cubans terribilis est, ita mors Dominica morti ac diabolo terrori fuit. Leonem ipsum catulumque leonis appellat, nempe ut regem regisque filium, Deumque Dei Filium. Etenim ut homo, Davide ortus est ; ut Deus, ante sæcula a Patre genitus. Jam verba « Quis suscitabit eum, » maximas ejus vires demonstrant : ipse enim semet prout prædixerat exsuscitavit : « Solvite templum hoc ; » et reliqua.

C

γ'. Προαγορεύει δὲ καὶ τῆς ἐπιφανείας αὐτοῦ τὸν καιρόν· « Οὐκ ἐκλείψει γὰρ ἄρχων ἐξ Ἰούδα, » καὶ ἑξῆς· σημεῖον γὰρ τοῦτο τῆς τοῦ Κυρίου παρουσίας σαφέστατον· ἐξέλιπον γὰρ τῶν Ἰουδαίων οὐχ οἱ βασιλεῖς μόνον ἀλλὰ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ προφῆται· τοῦ γὰρ Σωτῆρος ἡμῶν μέλλοντος τίκτεσθαι, ἀλλόφυλοι αὐτῶν ἐκράτησαν βασιλεῖς, ἵνα ὁ αἰώνιος δειχθῇ Βασιλεὺς ἡ τῶν ἐθνῶν προσδοκία· καὶ γὰρ καὶ τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ ὑπέσχετο ὁ Θεὸς ἐν τῷ σπέρματι αὐτῶν εὐλογήσειν πάντα τὰ ἔθνη τῆς γῆς· τοῦτο δὲ καὶ ἐνταῦθα παραδηλῶν ὁ Ἰακὼβ, φησί· « Οὐκ ἐκλείψει ἄρχων, » καὶ ἑξῆς· ἕως, « Καὶ αὐτὸς προσδοκία ἐθνῶν· » καὶ Ἰουδαίων συστάντα

D 3. Pergit tempus etiam prædicere, quo ille venturus erat : « Non deficiet princeps ex Juda ; » et reliqua. Hoc enim indicium fuit Christi præsentis exploratissimum : namque apud Judæos defecerant non reges tantummodo, sed etiam pontifices atque prophetæ. Etenim Servatoris nostri instante nativitate, alienigenæ reges dominabantur, ut rex æternus manifestaretur, gentium exspectatio. Nam et Abrahamo et Isaaco et Jacobo promiserat Deus, in semine eorum benedicturum se gentes terræ. Id ipsum hoc loco declarans Jacobus ait : « Non deficiet princeps ; » et reliqua, usque ad verba : « Et ipse erit exspectatio gentium : » populumque Judaicum

[31] Num. xxxv, 4. [32] Jos. xix, 9. [33] I Paral. xxi, 5 ; Num. i, 27. [34] Isa. xi, 7. [35] Joan. ii, 19. [36] Genes. xlix, 10.

Digitized by Google

constituet. Alligans, inquit, viti asinam suam, vitis ramo pullum asinæ suæ. Quod quidem vitis nomine denotetur Israel, passim prophetæ docent. Utique David ait: « Vineam ex Ægypto transtulisti [37]. » Tum Dominus in Evangeliis : « Homo quidam vineam plantavit [38]. » Pullum dicit ethnicorum populum, utpote adhuc indocilem et domitore carentem. Hoc ipse Dominus innuit, cum mandavit discipulis ut in adversum castellum irent, vinctamque asinam solverent cum pullo ejus, quem nemo adhuc, inquit, insederat [39]. Nam neque patriarcha, neque legislator, neque propheta salutis ethnicorum curam gesserant. Divi autem apostoli erudire ethnicos jussi solverunt asinam, id est hominum naturam peccatorum loris antea devinctam : solverunt et pullum, germinantem scilicet ex ea populum : impositisque ei vestimentis suis, id est, quam acceperant, gratia (nam quotquot in Christo baptizati sunt, Christum induerunt [40]) docilem effecerunt eum, qui erat antea pullus indomitus, ipsique Dominum imposuerunt. Tum eumdem viti alligaverunt, id est sibimet ipsis : nam Judæis oriundi apostoli. Neque apostolis tantum, verum etiam horum discipulis devincti fideles sunt : id quod patriarcha prævidens ait : Alligans viti asinam suam, ramoque vitis pullum asinæ suæ.

A λαόν. « Δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ, φησὶ, καὶ τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ. » ὅτι δὲ ἄμπελος ὁ Ἰσραὴλ ὠνομάζετο, πάντες μὲν οἱ προφῆται διδάσκουσι· καὶ Δαβὶδ φησι· « Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας· » καὶ ὁ Κύριος δὲ ἐν τοῖς Εὐαγγελίοις· « Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα. » πῶλον δὲ τὸν ἐξ ἐθνῶν ὀνομάζει λαὸν, ὡς ἀδάμαστον ὄντα καὶ πωλοδάμνην οὐκ ἐσχηκότα· τοῦτο γὰρ καὶ ὁ Κύριος ᾐνίξατο τοῖς ἀποστόλοις προστεταχὼς εἰς τὴν ἀπέναντι κώμην ἀπελθεῖν καὶ λῦσαι τὴν ὄνον τὴν δεδεμένην καὶ τὸν ταύτης πῶλον, ἐφ' ὃν, φησὶ, οὐδεὶς ἀνθρώπων ἐκάθισε· οὔτε γὰρ πατριάρχης, οὔτε νομοθέτης, οὔτε προφήτης (58), τῆς τῶν ἐθνῶν ἐφρόντισε σωτηρίας· οἱ δὲ θεῖοι ἀπόστολοι προσταχθέντες μαθητεῦσαι τὰ ἔθνη, ἔλυσαν μὲν τὴν B ὄνον, τουτέστι τῶν ἀνθρώπων τὴν φύσιν τὴν δεδεμένην ταῖς τῆς ἁμαρτίας σειραῖς· ἔλυσαν δὲ καὶ τὸν πῶλον τὸν ἐκ ταύτης βεβλαστηκότα λαόν· καὶ ἐπιθέντες αὐτῷ τὰ ἱμάτια τὰ ἑαυτῶν, τουτέστι τὴν χάριν ἧς ἔτυχον (ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο), εὐήνιον ἀπέφηναν τὸν ἀδάμαστον πῶλον, καὶ ἐπεκάθισαν αὐτῷ τὸν Δεσπότην, καὶ προσέδησαν αὐτὸν τῇ ἀμπέλῳ, τουτέστιν ἑαυτοῖς· ἐξ Ἰουδαίων γὰρ οἱ ἀπόστολοι, οὐ μόνον δὲ τοῖς ἀποστόλοις συνήφθησαν οἱ πεπιστευκότες, ἀλλὰ καὶ τοῖς τῶν ἀποστόλων μαθηταῖς· καὶ τοῦτο προορῶν ὁ πατριάρχης ἔφη· « Δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ, καὶ τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ. »

4. Exin passionem quoque prædicit : « Lavabit vino stolam suam, sanguine uvæ pallium suum : hilares oculi ejus a vino, candidi dentes. Corpus quidem ejus stolæ nomine indigitat, vini nomine sanguinem : nam consecratum vinum sanguis est [41], teste Servatoris sermone. Tum evangelistam docentem audimus, quod cum militis lancea latus ejus effossum est, sanguis et aqua eruperit [42] : quæ scatebræ cum in corpus diffluerent, idcirco ait : « Lavabit vino stolam suam, uvæ sanguine pallium suum [43]. » Deinde ostendens exorturum e passione gaudium, « Hilares, inquit, oculi ejus a vino : » nam lætitia orbis Servatoris passio est. Quod autem hac figura passionem patriarcha designaverit, testis ipse Dominus dicens : « Pater, si fieri potest, transeat a me calix iste [44]. » Tum etiam Zebedæi filiis aiebat : « Potestisne bibere calicem quem ego bibiturus sum [45] ? » Ergo oculorum hilaritas consecutam e passione lætitiam denotat. Namque post passionem missi sunt in universum orbem discipuli salutem fidelibus allaturi. Jam doctrinæ puritatem claritatemque candidissimis dentibus comparavit. « Candidi, inquit, dentes ejus præ lacte [46]. » Atque hactenus patriarcha Judam commendavit.

δ'. Εἶτα καὶ τὸ πάθος προλέγει· « Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ· χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου· καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ· » καὶ τὸ μὲν σῶμα αὐτοῦ στολὴν ὀνομάζει· τὸ δὲ αἷμα οἶνον· ἐπειδὴ καὶ τὸν μυστικὸν οἶνον αἷμα κέκληκεν ὁ Δεσπότης (59)· ἀκούομεν δὲ καὶ τοῦ εὐαγγελιστοῦ διδάσκοντος ὡς τοῦ στρατιώτου τῇ λόγχῃ νύξαντος αὐτοῦ τὴν πλευρὰν, ἐξῆλθεν αἷμα καὶ ὕδωρ· οὗτοι δὲ οἱ κρουνοὶ διὰ τοῦ σώματος κατερρύησαν· διὰ τοῦτο καί φησι· « Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. » Εἶτα δεικνὺς τὴν ἀπὸ τοῦ πάθους γενησομένην εὐφροσύνην· « Χαροποιοὶ, φησὶν, οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου· » εὐφροσύνη γὰρ τῆς οἰκουμένης τὸ σωτήριον πάθος. Ὅτι δὲ οὕτω τὸ πάθος ἐκάλεσε, μάρτυς αὐτὸς ὁ Κύριος λέγων· « Πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· » οὕτω καὶ τοῖς υἱοῖς ἔφη Ζεβεδαίου· « Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πιεῖν ; » τὸ τοίνυν χαροποιὸν τῶν ὀφθαλμῶν, τὴν μετὰ τὸ πάθος εὐφροσύνην δηλοῖ· μετὰ γὰρ τὸ πάθος καὶ τὴν ἀνάστασιν, εἰς πᾶσαν ἀπεστάλησαν τὴν οἰκουμένην οἱ μαθηταὶ τὴν σωτηρίαν προσφέροντες τοῖς πιστεύουσι· τῆς δέ γε δι-

[37] Psal. LXXIX, 9. [38] Luc. XX, 9. [39] Luc. XIX, 30. [40] Galat. III, 27. [41] Matth. XXVI, 28. [42] Marc. X, 38. [43] Gen. XLIX, 11. [44] Matth. XXVI, 39. [45] Matth. XX, 22. [46] Genes. XLIX, 12.

NOTÆ.

(58) Excipe tamen certe Jonam ad ethnicos Ninivitas missum.
(59) Recole Photii quæstionem 75.

Digitized by Google

δασκαλίας τὸ διειδὲς καὶ τὸ διαφανὲς λευκοτάτοις ὀδοῦσιν ἀπείκασε· « Λευκοὶ γάρ, φησίν, οἱ ὀδόντες αὐτοῦ ἢ γάλα. » Τοσαῦτα μὲν προείρηκεν ὁ πατριάρχης εὐλογῶν τὸν Ἰούδαν.

ε'. Τοῦ δὲ Ζαβουλὼν προείρηκε τὴν παράλιον οἴκησιν· τοῦ δὲ Ἰσάχαρ τὴν γηπονίαν· τοῦ δὲ Δάν, κατά μέν τινας, τὰ ὑπὸ τοῦ Σαμψὼν γεγενημένα· ἐκ ταύτης γὰρ ἦν τῆς φυλῆς· συνηρίθμηται δὲ καὶ τοῖς Κριταῖς· καὶ διὰ τοῦτο, φησίν, ἔφη· « Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαὸν ὡσεὶ καὶ μία (60) φυλὴ ἐν Ἰσραήλ· » ἔνιοι δέ φασι τὰ κατὰ τὴν Λάϊσσαν τὴν νῦν Πανεάδα καλουμένην προσαγορεῦσαι· ἐξαπίνης γάρ τινες ἀπὸ ταύτης ὁρμώμενοι τῆς φυλῆς, ταύτῃ προσβαλόντες τῇ πόλει, εἷλόν τε κατὰ κράτος καὶ ᾤκισαν, καὶ τὴν οἰκείαν αὐτῇ προσηγορίαν ἐπέθεσαν. Δὰν γὰρ αὐτὴν ἐκάλεσαν· ἐγὼ δὲ οἶμαι τὸ θεῖον Πνεῦμα ὥσπερ τὰ περὶ τοῦ Σωτῆρος ἡμῶν, οὕτω καὶ περὶ τοῦ Ἀντιχρίστου διὰ τοῦ πατριάρχου ἐκ ταύτης δηλοῦν [*cod.* δηλῶν] τῆς προῤῥήσεως. « Δὰν γάρ, φησί, κρινεῖ τὸν ἑαυτοῦ λαὸν ὡσεὶ καὶ φυλὴ μία ἐν Ἰσραήλ. » Ὥσπερ γάρ, φησί, ἐκ τῆς τοῦ Ἰούδα φυλῆς ὁ Σωτὴρ βλαστήσας διασώζει τὴν οἰκουμένην, οὕτως ἐκ τῆς τοῦ Δὰν φυλῆς ὄφις ὀλέθριος ἐξελεύσεται· τοῦτο γὰρ λέγει· « Καὶ γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ καθήμενος ἐπὶ τρίβου δάκνων πτέρναν ἵππου· καὶ πεσεῖται ὁ ἱππεὺς τὴν σωτηρίαν ἀναμένων Κυρίου· » ἐπειδὴ γὰρ ἁπάταις παντοδαπαῖς κεχρημένος πειρᾶται τοὺς φενακιζομένους ἀγρεύειν εἰς ὄλεθρον, ὄφει τινὶ αὐτὸν ἀπεικάζει παρά τινι τρίβῳ φωλεύοντι καὶ τοῖς παριοῦσι λυμαινομένῳ· ἵππον δὲ οἶμαι καλεῖν αὐτὸν τὸ σῶμα, ἐπιβάτην δὲ τὴν ψυχήν· τὸ δὲ εἰς τοὐπίσω πεσεῖν, τουτέστιν ὕπτιον κεῖσθαι τὸν θάνατον παραδηλοῖ· τοιοῦτο γὰρ τῶν τεθνεώτων τὸ σχῆμα· διὰ δὲ τῆς πτέρνης τὴν ἀπάτην ἠνίξατο· ἐπειδὴ τοὺς μὲν ἐξαπατᾷ, τοῖς δὲ παγχαλέποις ἐπιφέρει κολάσεις· διὰ δὲ τοῦ ἵππου τὸ σῶμα ἠνίξατο, οὗ δακνομένου καὶ διαφθειρομένου, θάνατος γίνεται, τοὺς τῆς δὲ τῆς τοιαύτης ἐλπίδος ἡ σωτηρία.

ς'. Προλέγει τῷ Γὰδ τὰς ἐσομένας αὐτῷ παρὰ τῶν ληστρικῶν ἐφόδων ἐπιβουλάς· τοῦτο γὰρ λέγει, « Πειράτηριον πειρατεύει αὐτόν· » προαγορεύει δὲ καὶ τὴν ἐσομένην αὐτοῦ νίκην· « Καὶ αὐτὸς γάρ, φησί, πειρατεύσει αὐτὸν κατὰ πόδας· » ὡσαύτως δὲ καὶ τοῦ Ἀσὴρ τὴν σιτοφόρον χώραν· καὶ τοῦ Νεφθαλεὶμ τὴν εἰς πλῆθος ἐπίδοσιν· τοῦτο γὰρ ἔφη· « Στέλεχος ἀνειμένον ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος· » εἶτα τοῦ Ἰωσὴφ τὸν φθόνον, καὶ τὰς παντοδαπὰς ἐπιδείξας ἐπιβουλάς, τὴν θείαν ὑμνεῖ κηδεμονίαν, δι' ἧς τοὺς πεπολεμηκότας ἐνίκησε. « Συνετρίβη γάρ, φησί, μετὰ κράτους τὰ τόξα αὐτῶν, καὶ ἐξελύθη νεῦρα βραχιόνων χειρῶν αὐτῶν, διὰ χεῖρα δυνάστου Ἰακώβ· ἐκεῖθεν ὁ κατισχύσας σε Ἰσραὴλ παρὰ Θεοῦ τοῦ Πατρός σου· καὶ ἐβοήθησέ σοι ὁ Θεὸς ὁ ἐμός· καὶ εὐλόγησέ σε εὐλογίαν οὐρανοῦ ἄνωθεν, καὶ εὐλογίαν γῆς ἐχούσης πάντα, » καὶ ἑξῆς· δι' ὧν

5. Age vero Zabulonis maritimum incolatum prædixit; Isachari agricolandi studium; Danis denique, ut quidam autumant, quæ Samsoni acciderunt. Ex hac enim is tribu fuit, idemque in Judicibus connumeratur. Quapropter dicitur: « Dan judicabit populum suum, instar unius tribus in Israele [47]. » Alii dicunt commemorari ea quæ contigerunt Laissæ nunc Paneadi dictæ. Repente enim nonnulli ea tribu oriundi urbem hanc adorti, vi captam ipsi incoluerunt, suumque ei nomen indiderunt, Dan scilicet vocitantes. Ego vero existimo divinum Spiritum sicuti res Servatoris nostri, ita res quoque Antichristi hoc vaticinio patefacere; « Dan scilicet, inquit, judicabit populum suum, instar unius tribus in Israele. » Sicuti de Judæ tribu Servator pullulans mundum servabit, ita de Danis tribu exitiosus anguis exsiliet. Id enim verba innuunt, fiat Dan serpens in via, projectus in semita, mordens equi calcaneum: tum corruet eques, qui a Domino exspectabit salutem. Quoniam Antichristus omnimodis dolis utens illectos pertrahere nitetur in interitum, hunc colubro comparat juxta semitam latitanti, viatoribusque exitium inferenti. Equum dici a patriarcha corpus censeo; equitem, animam. Quod autem retro decidit, id est supinus projicitur, mors nimirum innuitur: hic est enim exanimatorum habitus. Calcaneo denique fraudem significat; quia videlicet Antichristus alios decipiet, alios acerbissimis suppliciis cruciabit. Equo, ut dixi, corpus innuitur; quo læso et corrupto, mors consequitur: quæ tamen fortibus spei fructum affert: hujus vero spei fructus, salus.

ἐλπίδος τοῖς ὑπομένουσι κομίζων καρπούς· καρπὸς

6. Gado futuras a latronum incursionibus insidias ominatur. Id enim aiunt verba, « direptio eum diripiet. » Tum etiam victoriam spondet: ipse, inquit, mox diripiet illum. Asero similiter frugiferum agrum prædicit; Nephtalimo sobolis incrementum: sic enim intelliguntur verba, caudex emissus, ex se gignens pulchritudinis germen. Deinde infensam Josepho invidiam variasque pandens insidias, divinam celebrat Providentiam, qua tectus adversarios suos superavit. « Contriti sunt, inquit, arcus eorum; dilapsi sunt nervi brachiorum manuumque eorum, per manum potentis Jacob. Illinc qui te roborat Israel a Deo Patris tui. Opitulatus est tibi Deus meus: benedixit tibi benedictione cœli desuper, terræque benedictione omnia continentis [48]; » et reliqua. Quibus omnibus verbis Deum suum celebravit, qui se fratri adversario superiorem reddi-

[47] Jos. XIX, 47. [48] Genes. XLIX, 24, 25.

NOTÆ.

(60) Ita habent LXX interpretes, quos sequitur Photius; neque ullam varietatem ego reperi in Holmesiana diversarum lectionum magna farragine. Textus tamen Lat. vulgatus habet *alia*, quia lecta fuit in Hebraico archetypo vicesima pro quarta littera.

Digitized by Google

dit : filiumque pariter suum, contra quem tanta fratrum turba conjuraverat. Hanc, inquit, tutelam nactus es propter tuum erga parentes studium. Sic enim intelligas verba : propter benedictionem uberum et vulvæ, benedictionem patris matrisque tuæ. Is enim senis patris sollicitam curam gessit : quidquid autem patri fecit, id utrique parenti commune dicitur : namque et mater eamdem curam fuisset experta, nisi citius vita excessisset. Deinde precatur ei præclaram famam, atque ut apud omnes inclarescat : « Exsuperes, inquit, benedictiones montium immobilium, desideriumque clivorum æternorum. » Hæc fient in capite Josephi, in vertice quorum ipse dux est fratrum. Haud vocabulum θίνας Aquila, sed βουνοὺς posuit. Sicuti ergo procul conspiciuntur seu colles seu montes, horum instar patriarcha optat conspicuum fieri Josephum atque omnium illustrissimum.

7. Denique Benjaminum dixit lupum rapacem propter eam quæ contigit huic tribui cladem. Idcirco adjecit : « Mane comedet, vespere cibum distribuet [49]. » Nam primo alteroque congressu superiores Benjamitæ, ad extremum funditus deleti fuerunt, paucis admodum exceptis, quibus victores misericordia commoti feminas quidem in matrimonium ob sacramenti religionem non tradiderunt, aliter tamen eis nuptias conciliaverunt. Neque tamen nesciendum est nonnullos hoc vaticinium ad divum Paulum traxisse : hic enim lupi ritu noxius Ecclesiæ fuit in domos irrumpens ; postea vero spiritalem escam orbi distribuit. Postquam hæc Jacobus dixisset, suumque obitum nuntiavisset, pergit dicere historicus : Collectis in lectulo pedibus, animam egit, et ad populum suum appositus est. Id ipsum Abrahamo quoque dixerat communis Deus : « Tu vero abibis ad patres tuos, bona senectute nutritus [50]. » Hinc etiam Dominus Sadducæorum incredulitatem coarguebat dicens : « Quod autem mortui surrecturi sint, nonne legistis? Ego Deus Abrahami et Isaaci et Jacobi [51]. » Non est Deus, mortuorum Deus, sed viventium. » Ipsi gloria in sæcula. Amen.

QUÆSTIO CCLXI [*Coisl.* CCLXXXI, *Taur.* CCLXX].

Quid hoc ostendat rubum ardere nec comburi.

ἁπάντων ὕμνησε τὸν οἰκεῖον Θεὸν, ὃς καὶ αὐτὸν κρείττονα τοῦ πεπολεμηκότος ἀπέφηνεν ἀδελφοῦ, καὶ τὸν υἱὸν ἅμαχον ἔδειξε παρὰ τοσούτων ἀδελφῶν ἐπιβουλευθέντα. Ταύτης δὲ, φησὶ, τῆς κηδεμονίας τετύχηκας, τῆς εἰς τοὺς γεγεννηκότας θεραπείας μισθὸν κομισάμενος· τοῦτο γὰρ λέγει, « Ἕνεκεν εὐλογίας μασθῶν καὶ μήτρας, εὐλογίας πατρός σου καὶ μητρός σου· » γηρωκόμος γὰρ τοῦ πατρὸς σπουδαῖος ἐγεγόνει· τὰ δεῖς αὐτὸν γεγενημένα, κοινὰ αὐτοῦ τε καὶ τῆς μητρὸς εἶναί φησι· ταύτης γὰρ ἂν τῆς κηδεμονίας κἀκείνη ἀπήλαυσεν, εἰ μὴ θᾶττον ἐξῆλθε τοῦ βίου· εἶτα ἐπεύχεται αὐτῷ περιφάνειαν, ὥστε γενέσθαι αὐτὸν παρὰ πᾶσιν ἐπίσημον. « Ὑπερισχύσαις γὰρ, φησὶν, ὑπὲρ εὐλογίας ὀρέων μονίμων καὶ ἐπιθυμίας θινῶν αἰωνίων· » ἔσονται ἐπὶ κεφαλῆς Ἰωσὴφ, καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν· τὸ δὲ *θῖνας* ὁ Ἀκύλας *βουνοὺς* ἡρμήνευσεν· ἐπειδὴ τοίνυν πόρρωθεν ὁρῶνται καὶ οἱ βουνοὶ καὶ τὰ ὄρη, τούτοις παραπλησίως εὔχεται γνώριμον αὐτὸν γενέσθαι καὶ πάντων περιφανέστατον.

ζ'. Τὸν δὲ Βενιαμὶν λύκον ἅρπαγα κέκληκε διὰ τὸ συμβεβηκὸς πάθος τῇ τούτου φυλῇ. Διὸ ἐπήγαγε· « Τὸ πρωῒνὸν ἔδεται, καὶ εἰς τὸ ἑσπέρας διαδώσει τροφήν· » ἐν γὰρ τῇ πρώτῃ καὶ δευτέρᾳ συμπλοκῇ νενικηκότες, ὕστερον ἄρδην ἀπώλοντο, πλὴν εὐαριθμήτων τινῶν ὀλίγων, οὓς οἱ νενικηκότες οἰκτείραντες, δοῦναι μὲν αὐτοῖς γυναῖκας διὰ τὸν ὅρκον ὑπείδοντο, ἑτέρως δ' αὐτοῖς τὸν γάμον ἐμηχανήσαντο· εἰδέναι δὲ χρὴ ὡς τινες τήνδε τὴν πρόῤῥησιν εἰς τὸν θεσπέσιον Παῦλον εἵλκυσαν (61)· λύκου γὰρ δίκην ἐλυμαίνετο τὴν Ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, ὕστερον δὲ τὴν πνευματικὴν τροφὴν τῇ οἰκουμένῃ διέδωκε. Ταῦτα τοῦ Ἰακὼβ εἰρηκότος, καὶ τὴν οἰκείαν τελευτὴν μεμηνυκότος, ὁ συγγραφεὺς ἔφη· « Καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην ἐξέλιπε, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ· » τοῦτο δὲ καὶ πρὸς τὸν Ἀβραὰμ ὁ τῶν ὅλων ἔφη Θεός· « Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, τραφεὶς ἐν γήρει καλῷ· » ἐντεῦθεν καὶ ὁ Κύριος τὴν τῶν Σαδδουκαίων ἀπιστίαν διήλεγξεν εἰρηκώς· « Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ οὐκ ἀνέγνωτε ; Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. » Οὐκ ἔστιν ὁ Θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΡΩΤΗΣΙΣ ΣΞΑ'.

Τί δηλοῖ τὸ, τὴν βάτον καίεσθαι καὶ μὴ κατακαίεσθαι ;

Edita a Maio (Nov. Coll. t. IX, p. 126). — Exod. III, 2.

Hoc Dei potentiam atque amorem in homines proclamat quod rubum qui lignosus erat non combussit inexstinguibilis ignis. Præterea censeo ab hoc Israel repræsentari qui ab Ægyptiis vexatus non tamen periturus erat, vel etiam Filium Unigenitum qui, postquam naturam humanam sumpsisset atque in sinu virginis habitavisset, ei integram vir-

Τὴν τοῦ Θεοῦ δύναμιν καὶ φιλανθρωπίαν κηρύττει, ὅτι φρυγανώδη οὖσαν οὐκ ἀνήλισκε τὸ ἄσβεστον πῦρ· οἶμαι δὲ δι' αὐτοῦ παραδηλοῦσθαι καὶ ὅτι ὁ Ἰσραὴλ ὑπὸ τῶν Αἰγυπτίων ἐπιβουλευόμενος οὐκ ἀναλωθήσεται· ἔτι δὲ καὶ ὡς ὁ Μονογενὴς ἐνανθρωπήσας καὶ παρθενικὴν ἐνοικήσας νηδὺν, φυλάξει τὴν παρθενίαν ἀκήρατον· φασὶ δέ τινες ἐν βάτῳ φανῆναι τὸν Θεὸν,

[49] Judic. XX; XXI. [50] Genes. XV, 15. [51] Marc. XII, 26.

NOTÆ.

(61) In his Hieronymus ep. 38, 1, et quæst. in Genes. nec non in opusculo quod ejus nomen jactat, *De benedictionibus Jacob.*

Digitized by Google

καὶ οὐκ ἐν ἄλλῳ φυτῷ, διὰ τὸ μὴ δύνασθαί τινα ἐκ βάτου γλύψαι Θεόν· εἰκὸς γὰρ ἦν Ἰουδαίους καὶ τοῦτο τολμῆσαι, εἴπερ ἐν ἄλλῳ ὤφθη φυτῷ. A

ginitatem servavit. Dicunt quidam Deum rubi quidem non autem alius plantæ formam induisse, quia non potest ex rubo cælari Deus. Verisimile est Judæos hoc tentare ausuros fuisse si Deus in alia planta visus esset.

ΕΡΩΤΗΣΙΣ ΣΞΒ'.

Ἡ λέπρωσις τῆς χειρὸς τί δηλοῖ;

QUÆSTIO CCLXII [*Coisl.* CCLXXXII, *Taur.* CCLXXI].

Leprositas manus quid significet.

Edita a Maio (l. c. p. 126, q. 271). — Exod. IV, 6.

Ἐν εὐσεβείᾳ τραφὲν τὸ γένος τοῦ Ἰακὼβ εἰς τὴν Αἴγυπτον εἰσελήλυθεν· ἀλλ' ἐκεῖ τῶν Αἰγυπτίων μετέμαθε τὴν ἀσέβειαν· τῆς ἐκείνων δὲ δουλείας ἀπαλλαγὲν μετέμαθε τὸν τῶν ὅλων Θεόν· δεδήλωκε τοίνυν διὰ τῆς ἀλλοιώσεως τῆς χειρὸς, τὴν λέπρωσιν αὐτῶν καὶ τὴν κάθαρσιν· πρὸς δὲ τούτοις καὶ ἕτερον ᾠκονόμει ὁ Θεός· ἐπειδὴ γὰρ ἔμελλε τὸν περὶ τῶν λεπρῶν τιθέναι νόμον καὶ ἀκαθάρτους τούτους προσαγορεύειν, ἕτερα διὰ τούτων οἰκονομῶν ἐλέπρωσε τοῦ νομοθέτου τὴν χεῖρα τὴν τὰ τέλεια πεπαιδευμένην, διδάσκων ὡς οὐδὲν τῶν τοιούτων τὰληθεῖ λόγῳ ἀκάθαρτον· πῶς γὰρ ἀκάθαρτον τὸ ἀκούσιον; διὸ ἡ τὰ θαύματα ἐκεῖνα ἐργασαμένη δεξιὰ, λεπρὰ πρότερον γενομένη ταῖς θεοσημείαις ὑπούργησε· τοῦτο δὲ καὶ τὸν νομοθέτην ἐπαίδευσε μὴ μέγα φρονεῖν, ἀλλ' εἰδέναι τὴν φύσιν τῆς λεπρωθείσης ἀναμιμνησκόμενον δεξιᾶς. B

Educatum in pietate Jacobi genus Ægyptum ingressum erat. Hic vero Ægyptiorum didicit impietatem; quorum servitio liberatum rursus didicit omnium rerum Deum. Ostendit igitur, per hanc manus immutationem, horum et leprositatem et purgationem. Prætereaque aliud etiam constituit Deus : cum enim prope esset ut Hebræi in leprosos legem ferrent eosque immundos declararent, alia Deus providens leprosam effecit legislatoris manum quæ ad tantas res apta erat, docens nihil tale revera immundum esse. Quo pacto enim quod non sponte fit immundum sit? Quam ob causam quæ tot mirabilia peregerat, hæc dextra leprosa prius facta operam postea navavit prodigiis divinis. Hoc quoque legislatorem ipsum Deus edocuit, non superbire, propriæ naturæ scientem, dextræque antea leprosæ haud immemorem.

ΕΡΩΤΗΣΙΣ ΣΞΓ'.

Διατί ἠβουλήθη ὁ ἄγγελος ἀνελεῖν τὸν Μωϋσῆν;

QUÆSTIO CCLXIII. [*Coisl.* CCLXXXIII, *Taur.* CCLXXII].

Qua de causa voluerit angelus occidere Moysen (63).

Edita a Maio (l. c. p. 126, q. 272). — Exod. IV, 24.

Ἡ γυνὴ μὲν ἐτόπασε διὰ τὸ θάτερον τῶν παίδων ἀπερίτμητον εἶναι, διὸ καὶ αὐτίκα περιέτεμε· τινὲς δέ φασι, διότι ἐπ' ἐλευθερίᾳ πεμφθεὶς τῶν ὁμοφύλων, κοινωνὸν τῆς ὁδοῦ ἐπήγετο τὴν ὁμόζυγα, οὓς ἐχρῆν συνιδεῖν ὅτι πεῖσαι τὸν κηδεστὴν βουλόμενος ὡς οὐκ ἀμελήσει τῆς γυναικὸς, οὐδ' αὐτῆς ἄλλην προτιμήσει, ταύτην ἠναγκάσθη συνεπάγεσθαι, ἀλλ' οὐ καταφρονητικῶς διανοῶν τῷ θείῳ προστάγματι· αὐτίκα γοῦν λαβὼν τὴν ἀφορμὴν τοῦ ἀγγέλου, ταύτην ἀναστρέψαι πρὸς τοὺς οἰκείους προσέταξε· καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἡ ἱστορία διδάσκει· μετὰ γὰρ τὴν ἔξοδον τὴν ἐξ Αἰγύπτου διαβάντων αὐτῶν τὴν Ἐρυθρὰν θάλασσαν καὶ εἰς τὸ Σίναιον ὄρος παραγεγονότων ἀφίκετο σὺν τῇ γυναικὶ καὶ τοῖς δύο παισὶν ὁ κηδεστὴς πρὸς αὐτόν· τοιγάρτοι ἄλλο κατασκευάζων ὁ ἄγγελος, ἔδειξε τὴν ῥομφαίαν γυμνήν· ἐπειδὴ γὰρ ὁ μέγας Μωϋσῆς ἐδεδίει τὸν Φαραὼ, ὡς πολλαχοῦ τὸ δέος ἐδήλωσε, νῦν μὲν λέγων· « Τίς εἰμι ἐγὼ ὅτι πορεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου; » νῦν δέ· « Προχείρισαι ἄλλον δυνάμενον ὃν ἐξαποστελεῖς· » καὶ πάλιν· « Ἰσχνόφωνος καὶ βραδύγλωσσός εἰμι ἐγώ· » ἀπειλεῖ αὐτῷ τιμωρίαν ὁ ἄγγελος, φόβῳ φόβον ἐξελαύνων, τῷ μείζονι τὸν ἐλάττονα, μονονουχὶ λέγων διὰ τῆς γεγυμνωμένης C D

Quia, ut conjecit Moysis uxor, unus e duobus pueris incircumcisus erat; ideo quoque statim circumcidit eum; vel quia ut aliis placet, missus Moyses ad emancipandos populares, sociam itineris conjugem secum duxit. At illi intelligere debuissent Moysen ita fecisse ut socero suo persuasum esset fore ut ipse minime uxorem negligeret nec aliam præferret; quare illam secum ducere coactus est, sed nequaquam contemptu divini mandati. Statim igitur, accepto angeli impetu, præcepit uxori ut ad patrem suum rediret. Quod fuisse verum historia testatur. Etenim, post exitum ex Ægypto, cum Judæi Rubrum mare trajecissent pervenissentque ad Sinai montem, socer Moysis cum ejus muliere duobusque pueris eum adiit. Proinde ad aliud spectans angelus ostendit nudum gladium. Cum enim Pharaonem timeret magnus Moyses, ac metum persæpe jam declaravisset modo dicens : « Quis sum ego ut vadam ad Pharaonem Ægyptiorum regem [82]? » modo : « Elige alium fortem virum quem mittes, » rursusque : « Impeditioris et tardioris linguæ ego sum [83], » ab illo pœnas sumpsit angelus, metu metum expellens, majore minorem, prope modum nudo gladio dicens : « Pharaonem

[82] Exod. III, 11 et seqq. [83] Exod. IV, 10.

NOTÆ.

(62) Ex Theodoreto q. 10 in Exod. l. c. p. 231.

(63) Est Theodoreti q. 14 in Exod. l. c. p. 242.

Digitized by Google

times, potius me timeas qui tibi vel invisibiliter vulnera infligere possum. »

QUÆSTIO CCLXIV [*Coisl.* CCCVII, *Taur.* CCXCVI].

Qua de causa fugientibus præceperit exsequi Paschæ ferias.

Edita a Maio (l. c. p. 127-129, q. 275). — De præcepto Exodi XII, 11.

In perpetuum voluit ab iis obtineri conservationis memoriam, ideoque dixit legislator : « Si interrogabit filius tuus dicens : Quid est Pascha ? respondes : In hodierna die eduxit patres nostros Dominus Deus de Ægypto [54], » et cætera. Quamobrem jubentur qui has ferias exsequuntur, itineris veste circumdari. « Renes vestros accingetis [55]. » Hoc autem vocabulum *Pascha* Philo interpretatur sacrificia pro transitu ; Josephus transgressionem ; Symmachus transgressiones ; Theodotius *Phasek*, ipso Hebraico usus verbo, quo significatur exterminatorem a primogenitis Hebræorum abstinuisse. Jussi fuerant enim fasciculum hyssopi sumere, mactatæque ovis cruore immersis, postes et limen illinere, ut cum immineret exterminator percutiendis Ægyptiorum primogenitis, cruorem aspiciens, Hebræorum domos transgrederetur. Iis quidem signis non opus erat experti corporis angelo, sed Judæis ut symbolo Dei sollicitudinem discerent, nosque qui Agnum labe carentem immolamus, hunc figuris prædescriptum novissemus. — Nec ex ovibus agnos solum sumere jubet, sed etiam ex capris hædos, non ut mactarent utrumque simul, sed ut qui ovem haberet, agnum mactaret, qui vero non haberet, hædum. Die decimo primi mensis jubet hostias desumere quæ pararentur ante festum, et quarto decimo die sub vesperum mactarentur, quia Christus vespere Judæis traditus est ; cum silvestribus intybus hostiam comedere debebant, memores amarissimæ in Ægypto vitæ. Azyma significant non solum itineris celeritatem, cœnamque improvisam, sed etiam Judæos, ut par erat, nihil vestigii e moribus Ægyptiis secum allaturos. Sic enim Dominus interpretatur dicens : « Cavete a fermento scribarum et pharisæorum [56]. » Jussitque eos qui ad agni sacrificium pares non essent, vicinos sibi socios asciscere, et una cum eis Pascham immolare. Sic illos fraternam charitatem docet, et in pauperes commiserationem. Idcirco jussi fuerunt carnium redundantiam comburere, ut cogerentur inopes ad communionem feriarum.

Hæc omnia nostrorum sunt mysteriorum ænigmata. Linimus enim et nos cruore nostri Agni non solum limen, sed etiam duos quoque postes ; figurate quidem linguam et labra mundantes et sancti-

[54] Exod. XII, 51. [55] ibid. 11. [56] Matth. XVI, 11.

ρομφαίας· « Εἰ τὸν Φαραὼ δέδοικας, μᾶλλον δεῖσον ἐμὲ τὸν καὶ ἀοράτως σοι τὴν πληγὴν ἐπάγειν δυνάμενον. »

ΕΡΩΤΗΣΙΣ ΣΞΔ'.

Διατί φεύγουσιν ἐπιτελέσαι προσέταξε τοῦ Πάσχα τὴν ἑορτήν ;

Ἀείμνηστον ἠβουλήθη φυλαχθῆναι τῆς σωτηρίας τὴν μνήμην· διὸ καὶ νομοθετῶν ἔλεγεν· « Ἐὰν ἐρωτήσῃ σε ὁ υἱός σου λέγων· Τί ἐστι τὸ Πάσχα ; ἐρεῖς, Ὅτι ἐν τῇ σήμερον ἡμέρᾳ ἐξήγαγε τοὺς πατέρας ἡμῶν Κύριος ὁ Θεὸς ἐκ τῆς Αἰγύπτου, » καὶ ἑξῆς. Τούτου χάριν παρακελεύεται ταύτην ἐπιτελοῦντας τὴν ἑορτὴν περικεῖσθαι τὸ τῆς ὁδοιπορίας σχῆμα· « Ἔστωσαν γὰρ αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, » καὶ ἑξῆς· τὸ δὲ *Πάσχα* ὁ μὲν Φίλων ἡρμήνευσε *διαβατήρια*· ὁ δὲ Ἰώσηππος, *ὑπερβάσια*· ὁ δὲ Σύμμαχος, *ὑπερβάσεις*· ὁ δὲ Θεοδοτίων, *φασὲκ*, αὐτὴν τὴν Ἑβραΐαν τεθεικὼς φωνήν· σημαίνει δὲ τὸ ὄνομα, τῶν Ἑβραίων πρωτοτόκων τὴν σωτηρίαν· παρεκελεύσατο γὰρ δέσμην ὑσσώπου λαβεῖν καὶ τῷ αἵματι τοῦ θυομένου προβάτου ἐμβάψαντας τοὺς σταθμοὺς ἐπιχρίσαι [καὶ] τὴν φλιάν, ἵνα ὅταν ἐπιστῇ ὁ ὀλοθρεύων πατάξαι τὰ πρωτότοκα τῶν Αἰγυπτίων, ἰδὼν τὸ αἷμα, ὑπερβῇ τῶν Ἑβραίων τὰς οἰκίας, οὐκ ἐπειδὴ τοιούτων ἐδεῖτο σημείων ἡ ἀσώματος φύσις, ἀλλ' ὅτι διὰ τοῦ συμβόλου ἔδει κἀκείνους μαθεῖν τὴν τοῦ Θεοῦ κηδεμονίαν, καὶ ἡμᾶς τοὺς τὸν ἄμωμον Ἀμνὸν θύοντας γνῶναι προδιαγράφοντα τὸν τύπον· οὐκ ἐκ τῶν προβάτων δὲ μόνον ἄρνας λαβεῖν κελεύει, ἀλλὰ καὶ ἐκ τῶν αἰγῶν ἐρίφους· οὐχ ἵνα κατὰ ταυτὸν ἐκεῖνον θύσωσιν, ἀλλ' ἵνα ὁ μὲν πρόβατον, τὸν ἀρνόν· ὁ δὲ μὴ ἔχων, τὸν ἔριφον θύσῃ· τῇ δεκάτῃ δὲ τοῦ πρώτου μηνὸς παρεγγυᾷ τοῦτο λαβεῖν ἵν' εὐτρεπίσῃ πρὸ τῆς ἑορτῆς· τῇ δὲ τεσσαρεσκαιδεκάτῃ τυθῆναι πρὸς ἑσπέραν· ὅτι καὶ ὁ Δεσπότης τὴν ἑσπέραν τοῖς Ἰουδαίοις παρεδόθη· μετὰ πικρίδων δ' αὐτὸ βρωθῆναι, εἰς ἀνάμνησιν τῆς ἐν Αἰγύπτῳ πικροτάτης ζωῆς· διὰ δὲ τῶν ἀζύμων οὐ μόνον τῆς ὁδοιπορίας τὸ σύντομον καὶ τὸ τῆς τροφῆς αὐτοσχέδιον, ἀλλὰ καὶ ὅτι προσήκει μηδὲν ἴχνος τῆς Αἰγυπτιακῆς πολιτείας ἐπιφέρεσθαι· οὕτω γὰρ ὁ Κύριος ἡρμήνευσε· « Προσέχετε, λέγων, ἀπὸ τῆς ζύμης τῶν Γραμματέων καὶ Φαρισαίων· » ἐκέλευσε δὲ καὶ τοὺς μὴ διαρκοῦντας εἰς θυσίαν προβάτου παραλαβεῖν τοὺς γείτονας καὶ κατὰ ταυτὸν θῦσαι τὸ Πάσχα, φιλαδελφίαν αὐτοὺς ἐκπαιδεύων καὶ τὸν εἰς τοὺς πένητας ἔλεον· διὰ τοῦτο παρακελεύεται καὶ τὰ περιττεύοντα τῶν κρεῶν κατακαίεσθαι, ταύτῃ καταναγκάζων αὐτοὺς καλεῖν τοὺς δεομένους εἰς κοινωνίαν τῆς ἑορτῆς.

Ταῦτα δὲ πάντα τῶν ἡμετέρων ἐστὶ μυστηρίων αἰνίγματα· χριόμεν γὰρ καὶ ἡμεῖς τῷ αἵματι τοῦ ἡμετέρου Ἀμνοῦ οὐ μόνον τὴν φλιὰν ἀλλὰ καὶ τοὺς δύο σταθμούς, κατὰ μὲν τὸ ὁρώμενον τὴν γλῶτταν

NOTÆ.

(64) Est Theodoreti q. 24 in Exod., p. 250.

Digitized by Google

καὶ τὰ χείλη καθαίροντές τε καὶ ἁγιάζοντες· κατὰ δὲ τὸ νοούμενον ἀντὶ φλιᾶς τὸ λογικόν· ἀντὶ δὲ τῶν δύο σταθμῶν, τὸ θυμοειδὲς καὶ ἐπιθυμητικόν· ἁρμόττει δὲ ἡμῖν καὶ τὸ μήτε ὠμὰ, μήτε ἐψημένα, ἐσθίειν, ἀλλ' ὀπτὰ πυρί· οὔτε γὰρ μόνῳ τῷ ὄμματι προσβλέπομεν, ἀλλὰ τὴν διάνοιαν ἐρευνῶμεν, οὔτε μὴν ἀνθρωπίνους λογισμοὺς τοῖς θείοις ἐπεισάγομεν λόγοις· τοῦτο γὰρ καὶ Ἡσαΐας τινῶν κατηγόρησεν, ὡς ἀναμιγνύντων ὕδατι τὸν οἶνον· ἀλλὰ μόνῳ χρώμεθα τῷ θείῳ πυρὶ, τῇ τοῦ παναγίου Πνεύματος χάριτι· τὸ δὲ μὴ καταλιπεῖν τῶν κρεῶν εἰς τὴν ὑστεραίαν, οὕτω νοοῦμεν· ὅτι ὁ μέλλων βίος τῶν συμβόλων οὐ δεῖται· αὐτὰ γὰρ ὁρῶμεν ἐν ἐκείνῳ τῷ πράγματι· τὰ δὲ ὀστᾶ τοῦ προβάτου συντρίβουσιν οἱ κακῶς τὰ θεῖα νοοῦντες Λόγια καὶ εἰς τὴν οἰκείαν αὐτὰ πειρώμενοι μεταφέρειν ἀσέβειαν· τὸ δὲ μὴ μόνον ἐκ προβάτων ἀλλὰ καὶ ἐξ ἐρίφων λαμβάνειν, τὴν θείαν πάλιν κηρύττει φιλανθρωπίαν· οὐ γὰρ μόνον ὑπὲρ δικαίων ὁ Χριστὸς ἀλλὰ καὶ ὑπὲρ ἁμαρτωλῶν τὸ σωτήριον ὑπομεμένηκε πάθος· ἔριφον γὰρ ὑπὲρ ἁμαρτωλοῦ ὁ νόμος προσφέρειν ἐκέλευσε· καὶ τῶν θείων δὲ μυστηρίων οἱ μεταλαμβάνοντες, οἱ μὲν ὡς προβάτου μεταλαμβάνουσιν, ἅτε δὴ τελείαν τὴν ἀρετὴν κεκτημένοι· οἱ δὲ ὡς ἐρίφου, διὰ μετανοίας ἐξαλείφοντες τὰς τῶν ἁμαρτημάτων κηλῖδας· οὕτω καὶ ὁ Κύριος ἡμῶν οὐκ ἐκ σιτίνων μόνον ἀλλὰ καὶ ἐκ κριθίνων τοὺς συνεληλυθότας ἄρτων διέθρεψε· καὶ ἡμῖν δὲ διεκέλευσεν ἔχειν τὰς ὀσφύας περιεζωσμένας καὶ τοὺς πόδας ὑποδεδεμένους καὶ τοὺς λύχνους καιομένους, ὡς οἰκέτας δεσπότην προσμένοντας· ἀλλ' Ἑβραῖοι μὲν ὡς Αἰγυπτίων ἀπαλλαττόμενοι καὶ εἰς τὴν Χαναναίων γῆν εἰσαγόμενοι τοῦτο εἶχον τὸ σχῆμα· ἡμεῖς δὲ ὡς ἐντεῦθεν εἰς ἕτερον μεθιστάμενοι βίον.

Διὰ τοῦτο καὶ ἡμῖν ὁ θεῖος παρακελεύεται Παῦλος βοῶν· « Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην· » καὶ ἑξῆς εἰπών· « Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. » Ἄνωθεν δὲ προμεμήνυκε τὴν τῶν ἐθνῶν σωτηρίαν ὁ Θεός· καὶ γὰρ προσηλύτους μεταλαγχάνειν τοῦ Πάσχα προσέταξε. Γιόραν γὰρ τὸν προσήλυτον ἐκάλεσεν, καὶ ἰσονομίας αὐτῷ μετέδωκεν· « Ἔσται γὰρ, φησὶν, ὡς αὐτόχθων τῆς γῆς· » καὶ τὸ « Ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, » φυλάττουσιν οἱ πιστοὶ, ἐν μόνῃ τῇ Ἐκκλησίᾳ τῶν θείων μεταλαμβάνοντες μυστηρίων, τὰς δὲ τῶν αἱρετικῶν συναγωγὰς βδελυττόμενοι· τὰ μέντοι πρωτότοκα καὶ τῶν προβάτων καὶ τῶν βοῶν προσφέρεσθαι νενομοθέτηκε, τῆς τῶν πρωτοτόκων αὐτοὺς σωτηρίας ἀναμιμνήσκων· οὐδὲ γὰρ αὐτὸς τῶν θυμάτων ἐδεῖτο, ἀλλὰ τὴν ἐκείνων ὠφέλειαν ἐπραγματεύετο· τοῦτο δὲ καὶ αὐτὸς ὁ νόμος δηλοῖ· « Ἐὰν γὰρ ἐρωτήσῃ σε ὁ υἱός σου, Τί ἐστι τοῦτο; » καὶ ἑξῆς, ἕως τοῦ, « Διὰ τοῦτο ἐγὼ θύω τῷ Κυρίῳ πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενικὰ καὶ πᾶν πρωτότοκον τῶν υἱῶν σου λυτρώσομαι· καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν· ἐν γὰρ

A ficantes, revera autem pro limine intellectum, pro duobus postibus animum et cupiditates. Hæc quoque : « Non comedetis ex eo crudum quid, nec coctum aqua, sed tantum assum igni [57], » ad nos pertinent qui non ad speciem tantum respicimus, sed mentem etiam indagamus, nec humanas rationes divinis asciscimus. Quod etiam Isaias quibusdam exprobravit, quasi vinum cum aqua miscuissent; sed solo divino igne utimur, scilicet sancti Spiritus gratia. — Quod non oporteat ad posterum diem linquere carnes sic intelligimus : futuræ vitæ non opus esse symbolis. Idem sequentia declarant. Ossa enim agni conterunt qui male oracula divina intelligunt, et ad impietatem suam ea referre conantur. Quod non oporteat solum ex

B ovibus, sed etiam ex hædis hostias desumere, hoc rursus divinum in homines proclamat amorem, non enim solum pro justis Christus, sed etiam pro peccatoribus salutarem pertulit passionem. Nam hædum pro peccatoribus lex offerre jussit; ex iis autem qui sacra mysteria participant, alii quidem quasi in partem agni veniunt, utpote virtutem eximiam adepti, alii vero quasi in partem hædi, scilicet qui pœnitentia maculas peccatorum oblitterant. Sic enim Dominus noster non e frumentario solum, sed etiam ex hordeaceo pane turbam enutrivit, et nobis præscripsit lumbos cinctos habere, et pedes calceatos, et lucernam accensam ut famulis dominum exspectantibus. Ut igitur Hebræi de Ægypto

C exire jussi, migrantesque in Chanaan hunc cultum habebant, habeamus et nos qui ex hac vita in alteram migramus.

Qua de causa et nos divus adhortatur Paulus, clamans : « Expurgate vetus fermentum [58], » et reliqua, dicens : « Itaque epulemur non in veteri fermento, nec in malitiæ et vitii fermento, sed in azymis sinceritatis veritatisque [59]. » A longe prænuntiavit gentilium salutem Deus qui proselytos Paschæ fieri participes jussit. Etenim proselytum appellavit, eique juris æquabilitatem dedit. « Erit enim, inquit, ut terræ indigena. Hoc autem Pascha in una domo comedetur [60], » observant fideles qui una in

D ecclesia sacrorum participes mysteriorum sunt, et ab hæreticis conventibus abhorrent. Attamen primogenita ovium et boum offerri Hebræis præcepit Dominus, ut primogenita eorum servata fuisse iis in memoriam revocaret. Nullo enim modo ei victimis opus erat, hoc autem ad Hebræorum utilitatem spectabat. Quod idem ostendit lex. « Cumque interrogaverit te filius tuus : Quid est hoc [61], » et reliqua usque ad hoc : « Idcirco immolo Domino omne quod aperit vulvam masculini sexus et omnia primogenita filiorum meorum redimo, et erit igitur quasi signum in manu tua, quasi appensum quid ob recordationem inter oculos tuos

[57] Exod. XII, 9. [58] I Cor. V, 7. [59] ibid. 8. [60] Exod. XII, 46. [61] Exod. XIII, 14.

Digitized by Google

eo quod in manu forti eduxit nos Dominus de Ægypto. Proinde hæc omnia non pro re Domini, sed pro populi commodis evenerunt.

A χειρὶ κραταιᾷ ἐξήγαγέ σε Κύριος ἐξ Αἰγύπτου. » Τοιγάρτοι τούτων ἕκαστον οὐ τῆς τοῦ Θεοῦ χρείας ἕνεκα, ἀλλὰ τῆς τοῦ λαοῦ ἐγένετο ὠφελείας.

QUÆSTIO CCLXV [*Coisl.* CCLXXXIV, *Taur.* CCLXXIII].

Quomodo intelligere oporteat hæc Apostoli verba : « Omnes in Moyse baptizati sumus, » et reliqua, usque ad « Hic vero lapis erat Christus (65).»

ΕΡΩΤΗΣΙΣ ΣΞΕ'.

Πῶς νοητέον τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον, « Πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθημεν, » καὶ ἑξῆς, ἕως· « Ἡ δὲ πέτρα ἦν ὁ Χριστός; »

Edita a Maio (l. c. p. 129, 130, q. 274). — In I Cor. x, 1, 4, et Exod. xiii, 21, xiv, 22.

Figura erant novarum antiquæ res et umbra quidem lex, corpus vero quoddam gratia. Cum igitur persequerentur Hebræos Ægyptii, iique transgressi sunt mare Rubrum, et amara Ægyptiorum servitute liberati sunt, figura fuit baptisterii mare, B Spiritus sancti nubes, Christi Salvatoris Moyses, crucis virga, diaboli Pharao, dæmonum Ægyptii, divini cibi manna, redemptoris sanguinis aqua e saxo. Ut enim illi postquam transgressi fuerunt Rubrum mare inusitato cibo et mirabili fonte fruiti sunt, sic nos postquam per baptisma salvati fuimus divinorum mysteriorum participes facti sumus.

Τύπος ἦν τῶν νέων τὰ παλαιά, καὶ σκιὰ μὲν ὁ νόμος, σῶμά τι δὲ ἡ χάρις· ἐπειδὴ τοίνυν ἐδίωκον τοὺς Ἑβραίους οἱ Αἰγύπτιοι, διαβάντες δὲ τὴν Ἐρυθρὰν θάλασσαν οἱ Ἑβραῖοι τῆς πικρᾶς τῶν Αἰγυπτίων ἀπηλλάγησαν δεσποτείας, τύπον ἔχει τῆς κολυμβήθρας ἡ θάλαττα· ἡ δὲ νεφέλη, τοῦ Πνεύματος· ὁ δὲ Μωϋσῆς, τοῦ Σωτῆρος Χριστοῦ· τοῦ σταυροῦ δὲ, ἡ ῥάβδος· τοῦ διαβόλου δὲ, ὁ Φαραώ· τῶν δαιμόνων, οἱ Αἰγύπτιοι· τὸ δὲ μάννα, τῆς θείας τροφῆς· τὸ δὲ τῆς πέτρας ὕδωρ, τοῦ σωτηρίου αἵματος· ὥσπερ γὰρ ἐκεῖνοι μετὰ τὸ διαβῆναι τὴν Ἐρυθρὰν θάλασσαν καὶ τῆς ξένης τροφῆς καὶ τοῦ παραδόξου ἀπήλαυσαν νάματος, οὕτως ἡμεῖς μετὰ τὸ σωτήριον βάπτισμα, τῶν θείων μεταλαγχάνομεν μυστηρίων

QUÆSTIO CCLXVI [*Coisl.* CCLXXXV, *Taur.* CCLXXIV].

Quomodo incolume sit æquum filiis pro patribus punitis (66).

ΕΡΩΤΗΣΙΣ ΣΞΣ'.

Πῶς τὸ δίκαιον σώζεται, τῶν παίδων ὑπὲρ τῶν πατέρων κολαζομένων;

Edita a Maio (l. c. p. 129, 130, q. 275). — Exod. xx, 5.

Majores apud Deum sunt minæ pœnis; dicit C enim : « Quicunque incircumcisus erit masculus, nec circumcidetur die octavo, exterminabitur. » Sed videre possumus quosdam circumcisos diverse tamen in deserto interemptos; alios vero, incircumcisos, pro pœnis, ea consecutos quæ majoribus promissa fuerant. Hos enim circumcidit Josue Galgalis. Rursus domibus fermentum habentibus ruinam minatus est, sed non immisit. Deinde etiam qui pueros diligebant, hos terret minis, dicitque, « Visitans iniquitatem patrum in filios in tertiam quartamque generationem eorum qui oderunt me [62]. » Porro adhibere fidem huic nudo verbo impium esse ipse Deus docet, contraria ostendens; dicit etenim : « Non occidentur filii pro patribus, nec patres pro filiis, sed unusquisque pro peccato suo morietur [63]. » D Et in Ezechiel : « Quid est quod inter vos parabolam vertitis in proverbium istud dicentes : Patres comederunt uvam acerbam, et dentes filiorum obstupescunt. Vivo ego, dicit Dominus, si erit ultra vobis parabola. Hæc in proverbium in Israel; sed comedentium acerbam uvam obstupescunt dentes. Ecce enim omnes animæ meæ sunt [64]. » Quæque sequuntur hunc habent sensum. Ego autem puto potius divinum in homines amorem repræsentari

Μείζους τῶν κολάσεων παρὰ τῷ Θεῷ αἱ ἀπειλαί· φησὶ γάρ· « Πᾶς ἀπερίτμητος ἄρσην ὃς οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται· » ἀλλ' ἔστιν ἰδεῖν τοὺς μὲν περιτετμημένους ἐν τῇ ἐρήμῳ διαφόρως ἀναιρεθέντας· τοὺς δὲ ἀπεριτμήτους, καὶ τῆς τῶν προγόνων ἐπαγγελίας ἀντὶ τῆς τιμωρίας τετυχηκότας (τούτους γὰρ ἐν Γαλγάλοις ὁ Ἰησοῦς περιέτεμε), πάλιν ταῖς ἐχούσαις ζύμην οἰκίαις πανωλεθρίαν ἠπείλησεν, ἀλλ' οὐκ ἐπήγαγεν· καὶ ἐνταῦθα τοίνυν ὡς φιλόπαιδας δεδίττεται ταῖς ἀπειλαῖς καί φησιν· « Ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με· » ὅτι προσέχειν γυμνῷ τῷ γράμματι ἀσεβὲς, αὐτὸς δι' ὧν τἀναντία διδάσκει ὁ Θεὸς, δῆλον· « Οὐκ ἀποθανοῦνται γὰρ παῖδες ὑπὲρ πατέρων, φησὶν, οὐδὲ πατέρες ὑπὲρ παίδων· ἀλλ' ἕκαστος ἐν τῇ ἰδίᾳ αὐτοῦ ἁμαρτίᾳ ἀποθανεῖται· » καὶ διὰ Ἐζεκιήλ· « Τίς ὑμῖν παραβολὴ αὕτη λεγόντων· Οἱ πατέρες ἔφαγον ὄμφακας, καὶ οἱ ὀδόντες τῶν υἱῶν αἱμοδίασαν; Ζῶ ἐγὼ, λέγει Κύριος ὁ Θεὸς, εἰ ἔσται ἡ παραβολὴ αὕτη, ἀλλὰ τῶν φαγόντων τὸν ὄμφακα αἱμοδιάσουσιν οἱ ὀδόντες· ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσι· » καὶ τὰ ἑξῆς δὲ ταύτην τὴν ἔννοιαν ἔχει· ἐγὼ δὲ οἶμαι μᾶλλον τὴν θείαν φιλανθρωπίαν ἐμφαίνειν τὴν ἀπειλήν· πρόκειται γάρ· « τοῖς μισοῦσί με· » τουτέστι μα-

[62] Exod. xx, 5. [63] Deut. xxiv, 16. [64] Ezech. xviii 2.

NOTÆ.

(65) Ex Theodoreto q. 27 in Exod., p. 258.
(66) Ex Theodoreto q. 40 in Exod. t. LXXX, p. 266.

Digitized by Google

κροθυμῶ τοῖς πατράσιν ἡμαρτηκόσι· μακροθυμῶ καὶ παισίν. Εἰ δὲ οἱ ἔκγονοι καὶ οἱ ἀπόγονοι τὴν τῶν προγόνων ζηλώσαιεν πονηρίαν, τότε ἐπάξω τὴν τιμωρίαν. « Ποιῶν γάρ, φησίν, ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσί με. » Εὕροι δ' ἄν τις καὶ τὴν ἱστορίαν σύμφωνον· πέμπτῃ γὰρ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου· ἀλλὰ τοῖς τῶν Αἰγυπτίων ἐν Αἰγύπτῳ δεδουλευκότες θεοῖς οὐκ ἔτισαν δίκας, οὔτε οἱ πατέρες αὐτῶν οὔτε οἱ προπάτορες, αὐτοὶ δὲ ζηλώσαντες τὴν ἐκείνων ἀσέβειαν ἐκολάσθησαν· ὡς μετὰ τοσαύτην εὐεργεσίαν καὶ τὰ μυρία θαύματα τὴν ἀσέβειαν οὐκ ἐκπτύσαντες· οἱ δὲ τούτων παῖδες τὸν Σωτῆρα Θεὸν ἠγαπηκότες τῆς προγονικῆς ἀπήλαυσαν ὑποσχέσεως· καὶ ὁρῶμεν τὸ ἀψευδὲς τῆς πρὸς τοὺς πατέρας γεγενημένης ἐπαγγελίας· τὰ γὰρ ἔθνη διὰ τοῦ σπέρματος Ἀβραὰμ τῆς εὐλογίας τετύχηκεν· ἐπειδὴ τοίνυν τὸν μόσχον ἔμελλον προσκυνεῖν, προαπειλεῖ τὴν τιμωρίαν.

A minis. Ultima enim verba sunt « qui oderunt me, » id est, patiens ego in patres peccatores, patiens et in filios. Si autem prima secundaque progenies avitæ malitiæ æmula fuerit, tunc his pœnas immittam; namque, dicit Dominus, « Misericordiam facio in millia his qui diligunt me [65]. » Quod præsenti ex historia facile constat. Quinta enim generatione filii Israel de Ægypto ascenderunt; qui autem Ægyptiorum diis in Ægypto inservierant, non multati sunt, neque patres eorum, nec patres patrum, sed ipsi pœnas dederunt æmuli paternæ impietatis, qui post tanta beneficia, postque tam multa prodigia impietatem non respuerant. At horum filii postquam Salvatorem Deum amarunt, iis fruiti sunt quæ patribus promissa erant, quæque B ipsi comperimus vere majoribus prænuntiata. Populi enim per semen Abraham benedictionem obtinuerunt, propterea igitur quod vitulum adoraturi essent, tales Deus pœnas minatur.

ΕΡΩΤΗΣΙΣ ΣΞΖ'.

Τί ἐστι ἐξεικονισμένον βρέφος;

QUÆSTIO CCLXVII [*Coisl.* CCXXXVI, *Taur.* CCLXXV].

Quid sit informatum fetus (67) ?

Edita a Maio (l. c. p. 130, q. 276). — Exod. xxi, 22.

Φασὶ τοῦ σώματος ἐν τῇ μήτρᾳ διαπλασθέντος, τότε ἐμψυχοῦσθαι τὸ ἔμβρυον· καὶ γὰρ καὶ τὸ τοῦ Ἀδὰμ σῶμα πρότερον διέπλασεν ὁ Θεὸς, εἶτα ἐνεφύσησε τὴν ψυχήν· κελεύει τοίνυν ὁ νομοθέτης γυναικὸς ἐγκύμονος ἐν μάχῃ ἀμβλωσάσης, εἰ μὲν ἐξεικονισμένον, τουτέστι μεμορφωμένον ἐξέλθοι τὸ βρέφος, φόνον καλεῖσθαι καὶ φόνου δίκην ὑπέχειν τὸν δεδρακότα· ἂν δὲ μὴ, φόνου μὲν ἀφίεσθαι· οὐ γὰρ ἐμψυχον ἐξημβλώθη· ζημίαν δέ τινα τίνειν.

Aiunt quidam corpori, statim atque in utero formatur, animam afflari. Etenim corpus Adam primum formavit Deus, deinde immisit animam. Præcipit igitur legislator : Si mulier quædam prægnans, inter rixandum percussa, abortivum quidem fecerit, idque jam informatum, id est quadam suscepta hominis forma exierit, habebitur homicida utque homicida punietur facinoris molitor. Sin aliter, reus de cæde quidem absolvetur, non enim C vivus infans partus erit, sed quadam tamen pœna multabitur.

ΕΡΩΤΗΣΙΣ ΣΞΗ'.

Τὴν σκηνὴν τί δήποτε γενέσθαι προσέταξεν;

QUÆSTIO CCLXVIII [*Coisl.* CLXXI, *Taur.* CLXX].

Qua de causa tabernaculum fieri Deus præscripserit (68).

Edita a Maio (l. c. p. 131-133, q. 277). — De tabernaculo. Exod. xxvi, 1 seq.

Αὐτὸς ὁ Θεὸς αἰτίαν δεδήλωκε. « Καὶ ποιήσεις γάρ μοι, φησὶν, ἁγίασμα, καὶ ὀφθήσομαι ἐν ὑμῖν· καὶ ποιήσεις κατὰ πάντα ὅσα ἐγὼ δείκνυμί σοι ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς σκηνῆς καὶ τὸ παράδειγμα τῶν σκευῶν αὐτῆς. » Ἐπειδὴ γὰρ ἐν τῷ ὄρει Σινᾷ νόμον ἐδεδώκει, εἰκὸς δὲ ἦν τινας ὑποτοπάσαι περιγεγράφθαι τὸ Θεῖον, ἐκέλευσε γενέσθαι σκηνήν· ἐκεῖθεν τὴν οἰκείαν ποιούμενος ἐπιφάνειαν, ἐκπαιδεύει τὸν λαὸν τὴν εὐσέβειαν. Ὥσπερ γὰρ τὴν ἐπηγγελμένην ἀπειληφότων, νεὼν γενέσθαι προσέταξε, καὶ τὰς θείας λειτουργίας ἐν τούτῳ γίνεσθαι προσέταξεν, ἵνα μὴ ἀδεῶς τοῦτο δρῶντες τῇ τῶν δαιμονίων περιπέσωσι πλάνῃ, οὕτω τὴν ἔρημον διαβαίνουσι σκηνὴν γενέσθαι προσέταξε, μεταβῆναι καὶ αὐτὴν δυναμένους· καὶ ἀπαιρόντων, ἡγεῖσθαι προσέταξεν· ἵνα μὴ ζητῶσιν πάλιν θεοὺς, οἱ προπορεύονται αὐ-

Deus ipse causam attulit dicens : « Et facies mei sanctuarium, et habitabo in medio vestrum, secundum exemplar quod tibi in monte monstratum est, similitudinem tabernaculi et similitudinem vasorum in cultum ejus [66]. » Cum enim in monte Sinai legem dedisset, verisimileque esset quosdam credituros circumscriptam esse numini habitationem, jussit fieri tabernaculum, unde propria ac peculiari manifestatione populum pietatem doceat. D Utque nos, quibus promissa persoluta sunt, templum habere jussit Deus in quo liturgia quædam servaretur, ne sacra absque reverentia facientes facile in dæmonum insidiis caderemus, sic Hebræis desertum transeuntibus Deus præscripsit ut esset tabernaculum; idque qui valerent asportarent, utque asportantes anteirent, ne rursus qui ex Hebræis

[65] Exod. xx, 6. [66] Exod. xxv, 8.

NOTÆ.

(67) Ex Theodoreto q. 48 in Exod. Vide t. LXXX, p. 271.

(68) Ex Theodoreto q. 60 in Exod. T. LXXX, p. 279.

Digitized by Google

præcedebant, sibi deos quærerent, utque, populo assidente, assiderent. Præterea habet tabernaculum quasi creationis imaginem. Ut enim, postquam cœlum et terram fecisset Deus, in medio collocavit firmamentum, quo secernerentur cœlestia terrestribus, haud aliter, postquam sanctuarium esse unum præscripsisset, in medio ejus poni jussit velum quod esset pro firmamento. Sic arca in duas divisa est partes; partem autem quæ juxta portam erat sanctuarium appellavit, interiorem vero Sancta sanctorum; utque dicit David : « Cœlum cœli Domino, terram autem dedit filiis hominum [67], » sic exterior sanctuarii pars data est sacerdotibus, interior vero intacta remansit, nullique unquam patuit, nisi summo pontifici, et semel modo quotannis.

A τῶν· καὶ αὐλιζομένων ἱστασθαι· εἶχε δὲ αὕτη τῆς κτίσεως τὴν εἰκόνα· ὥσπερ γὰρ τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργήσας ὁ Θεὸς μέσον ἔστησε τὸ στερέωμα δι' αὐτοῦ διορίσας τὰ ἄνω τῶν κάτω, οὕτω τὴν σκηνὴν μίαν προστάξας γενέσθαι, ἐν μέσῳ διαταχθῆναι κελεύει τὸ παραπέτασμα ἐν τύπῳ τοῦ στερεώματος· καὶ δι' αὐτοῦ διῄρητο ἡ κιβωτός· καὶ τὸ παρὰ τὴν θύραν μέρος ἐκάλεσεν ἅγια· τὸ δὲ τοῦ παραπετάσματος ἔνδον, Ἅγια ἁγίων· καὶ ὥσπερ λέγει ὁ Δαβίδ· « Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων, » οὕτω καὶ τὸ ἔξω μὲν τοῦ καταπετάσματος εἰσητὸν ἦν τοῖς ἱερεῦσι, τὰ δὲ ἔνδον ἄψαυστα ἦν καὶ ἄδυτα· τὸν ἀρχιερέα γὰρ μόνον ἅπαξ τοῦ ἔτους νόμος ἦν εἰσιέναι.

B

Hic erant simulacra Cherubim qui incorporeas potestates figurabant. In medio arcæ tabulas legis includens et urnam cum manna, et virgam Aaronis germinatam. Hic quoque erat propitiatorium quod expansis alis, tegebant Cherubim. Hæc inter omnia se Deus manifestatum dabat. Cum enim natura divina neque corporea sit, neque figurata, nec ea prorsus cui similis imago struatur, Deus præcepit maxima sui ipsius insignia repræsentari symbolis quæ tabernaculi intus essent. Indices enim legislationis erant tabulæ; sacerdotii virga, victus in deserto manna, prophetiarumque propitiatorium. Inde enim prophetias edebat Deus. Quæ igitur velo intus fuerant collocata, cœlestia referebant, et ideo pars illa Sancta sanctorum appellabatur. Hoc beatus Paulus testatur dicens : « Non enim in manufacta sancta Jesus introivit exemplaria verorum, sed in ipsum cœlum [68]. » Quæ autem citra velum erant, terrestria repræsentabant. Hic erat, australi parte, candelabrum septem ex hastilibus constans, et super candelabrum lucernæ septem, septem hebdomadis dies figurabant. Ex boreali parte, aurea mensa supra quam, Dei jussu, panes imponebantur duodecim, aureæque phialæ thuris et salis plenæ. Inter candelabrum et mensam altare ex auro stabat. Hæc ordinatio erat fructuum quos homini terra præbet.

Ἦν δὲ ἐκεῖ τὰ τῶν Χερουβὶμ εἰκονίσματα, τύπον τῶν ἀσωμάτων δυνάμεων ἐπέχοντα· ἐν μέσῳ δὲ τούτων ἡ κιβωτὸς τὰς πλάκας ἔχουσα τοῦ νόμου, καὶ τὴν στάμνον τοῦ μάννα, καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν· ἐπέκειτο δὲ αὐτῇ τὸ ἱλαστήριον ταῖς πτέρυξι τῶν Χερουβὶμ σκιαζόμενον· ἐν τούτῳ δὲ ὁ τῶν ὅλων Θεὸς τὴν οἰκείαν ἐπιφάνειαν ἐποιεῖτο· ἐπειδὴ γὰρ ἡ θεία φύσις ἀνείδεός τε καὶ ἀσχημάτιστος, καὶ τῆς τοιαύτης οὐσίας εἰκόνας τεκτήνασθαι παντάπασιν ἀδύνατον, τὰ σύμβολα τῶν μεγίστων αὐτῶν δωρεῶν ἔνδον κεῖσθαι προσέταξεν· αἱ μὲν γὰρ πλάκες τὴν νομοθεσίαν ἐδήλουν· τὴν ἱερωσύνην δὲ ἡ ῥάβδος· τὸ δὲ μάννα τὴν ἐν ἐρήμῳ τροφήν· τὸ δέ γε ἱλαστήριον τῆς προφητείας σύμβολον ἦν· ἐκεῖθεν γὰρ αἱ προῤῥήσεις ἐγίνοντο· τὰ μὲν οὖν ἔνδον τοῦ καταπετάσματος, τῶν οὐρανίων εἶχε τύπον· διὸ καὶ Ἅγια τῶν ἁγίων ὠνόμαστο· μαρτυρεῖ δὲ τοῦτο καὶ ὁ μακάριος Παῦλος λέγων· « Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν· » τὰ δὲ τούτου ἐντὸς εἰκόνα ἔφερε τῶν ἐπιγείων· εἶχε δὲ ταῦτα λυχνίαν μὲν ἐν τῷ νοτίῳ μέρει ἑπτάκαυλον, ἰσαρίθμους ἔχουσαν λύχνους ἐπικειμένους· ἐδήλουν δὲ οὗτοι τῶν ἡμερῶν τῆς ἑβδομάδος τὸν ἀριθμόν· τράπεζαν δὲ ἐν τῷ βορείῳ χρυσῆν, ἐφ' ἧς ἄρτους προσέταξε προσκεῖσθαι δυοκαίδεκα, καὶ φιάλας χρυσᾶς πλήρεις λιβανωτοῦ καὶ ἁλῶν· ἐν δὲ τῷ μέσῳ τῆς τε λυχνίας καὶ τῆς τραπέζης, χρυσοῦν ἔκειτο θυσιαστήριον· ταῦτα δ' ἦν συντάγματα τῶν ἀπὸ γῆς τοῖς ἀνθρώποις δεδωρημένων καρπῶν.

Æneum autem altare ad quod victimæ adducebantur, coram tabernaculo, foris exstabat; unde perspicuum est hæc supervacanea fuisse, Deoque injucunda. Hæc operari sacra Deus concessit Judæis ob eorum infirmitatem, sed solum extra tabernaculum, velut interioribus non necessaria, nos autem solemnia nostra interioribus exsequimur, Deo thus, lucernarumque flammam, et mysticum mensæ offerentes sacrificium. Longitudo tabernaculi erat triginta cubitorum, latitudo decem, quod edocere facile est, nam viginti tabulas pars australis habebat, et totidem borealis. Tabulas cæteri interpretes columnas appellarunt. Cum vero unaquæque tabula

D Πρὸ δὲ τῆς σκηνῆς ἔξω τὸ χαλκοῦν θυσιαστήριον, τὸ τὰ προσφερόμενα δεχόμενον θύματα· δηλοῖ δὲ τοῦτο περιττὰ εἶναι ταῦτα καὶ μὴ ἀρεστὰ τῷ Θεῷ· ὅθεν ἐπιτελεῖσθαι μὲν αὐτὰ συνεχώρησεν διὰ τὴν Ἰουδαίων ἀσθένειαν, ἔξω δὲ σκηνῆς ὡς οὐκ ἀναγκαῖα τοῖς ἔνδον· ἡμεῖς δὲ τὴν τοῖς ἔνδον ἀπονεμηθεῖσαν λειτουργίαν ἐπιτελοῦμεν· θυμίαμα γὰρ καὶ λυχνιαῖον φῶς προσφέρομεν τῷ Θεῷ καὶ τὴν μυστικὴν τῆς τραπέζης ἱερουργίαν· τριάκοντα δὲ πήχεων ἦν τὸ μῆκος τῆς σκηνῆς, καὶ δέκα τὸ εὖρος· καὶ τοῦτο καταμαθεῖν εὐπετές· εἴκοσι γὰρ σανίδας εἶχε τὸ νότιον μέρος, καὶ τοσαύτας τὸ βόρειον· σανίδας δὲ τοὺς στύλους ὠνόμασαν οἱ ἄλλοι ἑρμηνευταί· ἑκάστης δὲ

[67] Psal. cxiii, 16. [68] Hebr. ix, 24.

Digitized by Google

σανίδος πῆχυν ἐχούσης καὶ ἥμισυ, τριάκοντα πήχεις αἱ εἴκοσι σανίδες ἐπλήρουν· οὕτω πάλιν τὸ πρὸς δυσμὰς ἀποβλέπον ἓξ εἶχε σανίδας τὸ αὐτὸ μέτρον ἐχούσας καὶ δύο γωνίας· δώδεκα δὲ πήχεις ἐκ τούτων συναγόμενοι οἱ μὲν δέκα τὸ ἔνδον μέρος ἐπλήρουν, οἱ δὲ ἄλλοι δύο τῶν ἑκατέρων πλευρῶν τὰς ἁρμονίας ἐδέχοντο· ἐκ μέντοι τοῦ ἑῴου μέρους τὴν θύραν γενέσθαι προσέταξεν, ἵνα καὶ αὐτὸς ἀνίσχων ὁ ἥλιος οἷόν τινα προσκύνησιν προσφέρῃ τοῖς προπυλαίοις εὐθὺς ἐκεῖσε τὰς ἀκτῖνας ἐκπέμπων· καὶ οἱ τῷ Θεῷ μόνῳ λατρεύοντες ὄπισθεν τὸν ἥλιον ἔχωσι πρὸς τὴν σκηνὴν τετραμμένοι, καὶ μὴ τοῦτον, ἀλλὰ τὸν τούτου Ποιητὴν προσκυνῶσι· δρυφακτῷ τοίνυν ἡ σκηνὴ προσεῴκει, σανίδας πάντοθεν ἔχουσα συνηρμοσμένας ἀλλήλαις· εἶχον δὲ καὶ τὰς βάσεις ἀργυρᾶς καὶ κεφαλίδας ὡσαύτως· καὶ αὗται δὲ ἔξωθεν καὶ ἔνδοθεν ἦσαν εἰλημμέναι χρυσῷ· τὸν δὲ δροφον εἶχεν ἐξ ὑφασμάτων ποικίλων, ἐκ διαφόρων κατεσκευασμένον χρωμάτων· τὸ μὲν γὰρ ἦν ἁλουργόν· τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαφές· τὸ δὲ ὑακίνθῳ προσεοικός· ἡ δὲ βύσσος τὴν λευκὴν εἶχε χρόαν· καὶ ταῦτα δὲ τῶν τεσσάρων στοιχείων ἦν αἰνίγματα· ὁ μὲν ὑάκινθος τῷ ἀέρι προσέοικε· τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαφὲς τῷ πυρί· τὸ δὲ ἁλουργὸν μηνύει τὴν θάλασσαν· ἐκείνη γὰρ τρέφει τὸν κόχλον, ἐξ ἧς τὸ τοσοῦτον γίνεται χρῶμα· ἡ δὲ βύσσος τὴν γῆν, ἐκ ταύτης γὰρ φύεται· καὶ δέρρεις δὲ εἶχε τριχίνας ἐπικειμένας, καὶ μέντοι καὶ διφθέρας ποικίλας, ὥστε καὶ τὸν ὑετὸν ἀπείργειν.

Καὶ τοῖς ἱερεῦσι δὲ παντοδαπὸν περιέθηκε κόσμον, τὸν μὲν λαὸν καταπλήττοντα τῷ διαφόρῳ τοῦ σχήματος, αὐτοὺς δὲ τοὺς ἱερέας διδάσκοντα ὅπως χρὴ τὴν ψυχὴν ἐξωραΐζειν καὶ κοσμεῖν· ὑποδύτην δὲ καλεῖ τὸν ἐνδότερον χιτωνίσκον· ἐπενδύτην δὲ τὸν χιτῶνα τὸν ἐξώτερον· ὑακίνθινον δὲ τοῦτον προσέταξε γενέσθαι· ποδήρη δὲ προσηγόρευσε ὡς μέχρι ἄκρων τῶν ποδῶν διήκοντα· ἀπήρτησε δὲ τούτου κώδωνας χρυσοῦς καὶ ῥοΐσκους ἵνα εἰς τὸ ἄδυτον καὶ ἀνάκτορον τῆς σκηνῆς εἰσιὼν, καὶ τὴν ἀπὸ τούτων ἐπιτελουμένην ἠχὴν εἰσδεχόμενος μετὰ δέους τὴν λειτουργίαν ἐπιτελῇ εἰς μνήμην τοῦ προστεταχότος ἀφικνούμενος· διά τοι τοῦτο καὶ ὁ ποδήρης, τοῦ ἀέρος εἶχε τὸ χρῶμα· ὑάκινθος δὲ ἦν ὡς ἂν εἰς τοῦτον ἀφορῶν μετάρσιος γίνηται· ἐπέκειτο δὲ τῇ κεφαλῇ κίδαρις τὸν οὐρανὸν μιμουμένη· ἐπεκάλυπτε δὲ καὶ ταινία τὸ μέτωπον, ἣν μίτραν εἶπον οἱ Ἑβδομήκοντα· εἶχε δ' ἐν μέσῳ αὕτη πέταλον χρυσοῦν ἐγγεγραμμένον ἔχον τοῦ Θεοῦ ἄφραστον ὄνομα ὃ καλοῦσιν Ἑβραῖοι τετραγράμματον· εὐλάβειαν δὲ τὸν λαὸν ἐκπαιδεύων δι' αἰνίγματος τοῦτο δεδήλωκεν· *Ἐπιγράψεις* γάρ, φησὶν, *αὐτὸ ἁγίασμα Κυρίου.*

Ἐκέλευσε δὲ αὐτῷ καὶ ἐφεστρίδα γενέσθαι, ἣν οἱ Ἑβδομήκοντα, ἐπωμίδα ἐκάλεσαν· ἐν δὲ ταῖς Βασιλείαις εὑρίσκομεν, ἐφοὺδ, αὐτὴν κατὰ τὴν τῶν Ἑβραίων γλῶτταν ὠνομασμένην· αὕτη εἶχεν ἐφ' ἑκατέρου μὲν ὤμου δύο λίθους πολυτελεῖς ἔχοντας τῶν φυλῶν τὰς προσηγορίας ἐγγεγραμμένας· τῷ στήθει δὲ τὸ καλούμενον λογεῖον τὴν λογικὴν συγκα-

in sesquicubitum protenderetur, viginti igitur tabulæ in triginta cubitos erant protensæ. Rursus quæ pars respicit ad occidentem, sex habebat tabulas eadem mensura, duosque angulos. Ex his duodecim cubitis ita distributis, decem implebant interiorem partem cæteri laterum juncturam suscipiebant. Ex ea vero parte quæ respicit ad orientem, portam esse jussit, ut ipse oriens sol, osculatione, ut ita dicam, vestibulum complecteretur, statim radios immittens, utque qui unicum Deum adoraturi essent, ad tabernaculum conversi, orientem a tergo solem exciperent, nec eum, sed ejus Creatorem adorarent. Tabulato quidem tabernaculum simile erat, columnas undequaque habens alias aliis aptas. Iis erant argenteæ bases, capitisque tegumenta ex eodem metallo, illaque extrinsecus et ex interiori parte auro distincta. Tectum ex varia textura constabat, diversis coloribus depictum, parte ex alia purpureum, alia roseum, alia cocco tinctum, alia hyacinthinum, alia referente album byssi colorem. Hæc quatuor elementorum erant symbola. Hyacinthus aeri similis est, roseus coccineusve color igni, purpureus vero mare significat; illud enim nutrit concham ex qua tam pulcher nascitur color; repræsentat byssus terram e qua oritur; pelles etiam crinibus confectæ illis superinductæ erant, exuviæque distinctæ quæ imbrem arcerent.

Præterea sacerdotibus diversissimas vestes Deus assignavit, quæ populo, cultus varietate, mirationem moverent, ipsosque docerent sacerdotes quomodo animam exornare venustamque efficere oporteret. Vestem interiorem appellat tuniculam, amiculum exteriorem, et hanc tunicam hyacinthinam esse præscripsit. Cui ad imos pedes promissæ talaris fuit cognomen, de qua aurea tintinnabula speciem mali punici referentia pendebant, ut in adytum et regiam tabernaculi cum intraret sacerdos, percepto eorum sonitu, cum reverentia solemnia perageret, recordans illius qui hæc omnia præceperat. Quamobrem talaris aeriam colorem referebat, hyacintheaque erat ut ad eam intuens mentem sacerdos sursum teneret. Imminebatque summi sacerdotis fronti tiara, cœlum imitata, faciem contegebat vitta quam Septuaginta mitram appellarunt; stabat in medio lamina aurea in qua inenarrabile Dei nomen, a Judæis tetragramma appellatum, inscriptum erat. Sic figurate Deus populum reverentiam docebat, ut ex his apparet: *Sculpes*, inquit, *ipsum sanctum Domino* [69].

Præcepit quoque Deus summum sacerdotem indui veste quam superhumeralem vocaverunt Septuaginta, quam autem in Regum libris appellant Ephod, Hebræa voce designatam. Huic erant super utrumque humerum duo pretiosi lapides inscripti nominibus tribuum Israel. In pectore, mentis tegmen pectorale. Huic quoque duodecim lapides aptati erant, variis

[69] Exod. xxviii, 17.

Digitized by Google

coloribus micantes. Quibus indicto bello, vel victoria, vel clades significabatur. Quod Regum ex historia constat. Cum enim adversus Israel bellum suscepissent hostes, non prius ausus est Saul aciem instruere quam signa victoriæ vidisset. Quare universi mundi Deus dicit: « Ponesque rationale judicii in pectore Aaron, et in utroque latere superhumeralis. » Adjecitque: « Ponesque in eo doctrinam et veritatem [70]. » Doctrinamque quidem vocavit signa ex illis lapidibus, veritatem vero signorum veracitatem. Hoc enim animadvertendum censeo quod crassioribus hujus ætatis hominibus quam ut spiritualia intelligerent sapientissimus Dominus noster per corporea symbola auxilium suppeditavit, nobis autem interpretatur pectorale speculatio spiritualium, chlamys perfectio virtutis, junctura autem concinna pectoralis et chlamydis nobis figurate docet fidei et effectivæ virtutis concentionem. Primum imponi chlamydem, deinde huic pectorale aptari significat rectam agendi rationem supponi virtutibus fundamentum.

A λύπτον καρδίαν· εἶχε δὲ καὶ τοῦτο δώδεκα λίθους προσηρμοσμένους διάφορον ἔχοντας χρόαν· διὰ δὲ τοῦτο ἐδηλοῦτο πολέμου συγκροτηθέντος, ἢ νίκη, ἢ ἧττα· καὶ τοῦτο δὲ τῶν Βασιλειῶν ἡ ἱστορία διδάσκει· ἐπιστρατευσάντων γὰρ τῶν πολεμίων τῷ Ἰσραὴλ οὐ πρότερον ἐτόλμησεν ὁ Σαοὺλ παρατάξασθαι, ἕως εἶδε τὰ τῆς νίκης μηνύματα· διὰ τοῦτο εἰρηκὼς ὁ τῶν ὅλων Θεός· « Καὶ ἐπιθήσεις τὸ λογεῖον τῆς κρίσεως ἐπὶ τὸ στῆθος Ἀαρών, καὶ συνάψεις αὐτὸ πρὸς τὴν ἐπωμίδα· » ἐπήγαγε· « Καὶ ἐπιθήσεις αὐτῷ τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν· » καὶ δήλωσιν μὲν ἐκάλεσεν τὰ ἐκεῖθεν μηνύματα· ἀλήθειαν δὲ τῶν μηνυμάτων τὸ ἀψευδές· ἰστέον μέν τοι ὡς παχυτέροις οὖσι τοῖς τηνικαῦτα καὶ τῶν νοητῶν ἐφικέσθαι μὴ δυναμένοις, διὰ τῶν σωματικῶν συμβόλων τὴν B ὠφέλειαν ὁ πάνσοφος ἡμῶν Δεσπότης ἐπραγματεύετο· καὶ γὰρ ἡμεῖς νοοῦμεν διὰ τοῦ λογείου τὴν θεωρίαν τῶν νοητῶν· διὰ δὲ τῆς ἐπωμίδος τὴν ἐργασίαν τῆς ἀρετῆς, καὶ τὴν τοῦ λογείου καὶ τῆς ἐπωμίδος ἁρμονίαν τε καὶ συνάφειαν εἰς τὴν τῆς πίστεως καὶ τῆς ἀγαθῆς πράξεως λαμβάνομεν συμφωνίαν· τὸ δὲ πρώτοις ἐπιτίθεσθαι τὴν ἐπωμίδα, εἶθ' οὕτως ταύτῃ τὸ λογεῖον συνάπτεσθαι τὸ τὴν ἀγαθὴν πρᾶξιν ὑποβάθραν εἶναι τῶν ἀρετῶν.

QUÆSTIO CCLXIX. [*Coisl.* CCLXXXVII, *Taur.* CCLXXVI.]

Quam ob causam Moyses tabulas contriverit (69).

ΕΡΩΤΗΚΙΣ ΣΞΘ'.

Διατὶ τὰς πλάκας συνέτριψεν,

Edita a Maio (l. c. p. 134, q. 278). — Exod. xxxii, 19.

Quia credidit populum legis esse indignum. Cum enim tabulæ pro dotalibus libellis essent, sponsaque nondum thalamum ingressa, sese prostituisset, valde iratus, ut par est, dotale libellum dirupit. Animadvertendum est quod tunc ad preces placabilis factus Deus, in aliud tempus distulerit pœnas, dicens: « Ego autem in die ultionis visitabo et hoc peccatum eorum [71]. » Quod Apostoli verbis simile est: « Ignoras quoniam benignitas Dei ad pœnitentiam te adducit? Secundum autem duritiam tuam [72], » et reliqua. Attamen legislator cognito quod universus Deus jam nollet esse cum Judæis, angelum vero iis præfecturus esset, scire quæsivit quem esset missurus, obsecravitque ne iis daret conservum ducem, sed ipse eos dirigeret. Quod ubi impetravit, sublato ebrius amore quæ hominem excedunt affectavit, invisibilemque naturam cernere concupivit. Verumenimvero hoc esse nefas didicit; quæ autem ad divinam pertinent providentiam et actionem (sic enim intelligenda est posterior Dei pars) contemplari possumus, non quidem palam, sed ut Moyses et in petra quasi ab ipso Deo collocati, sic ostenditur firma fidei stabilitas, et in foramine hujus lapidis fidei foramen apparet, quæ inaccessa oculis corporeis et invisibilia perspicit.

Ἀνάξιον κρίνας τὸν λαὸν τῆς νομοθεσίας· ἐπειδὴ γὰρ προικῴων γραμματείων τύπον εἶχον αἱ πλάκες, ἡ δὲ νύμφη πρὸ τῆς παστάδος εἰς μοιχείαν ἀπέκλινε, μάλα εἰκότως τὸ προικῷον γραμμάτειον διέῤῥηξεν· ἐπισκεπτέον μὲν ὡς τότε δεξάμενος ὁ Θεὸς τὴν ἱκεσίαν, ἀπεβάλετο τὴν τιμωρίαν· προστέθεικε δὲ, « Ἡ C δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπάξω ἐπ' αὐτοὺς πᾶσαν τὴν ἁμαρτίαν αὐτῶν· » ἔοικε δὲ τοῦτο τοῖς ὑπὸ τοῦ Ἀποστόλου εἰρημένοις· « Ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρότητά σου, » καὶ ἑξῆς· ὁ μέντοι νομοθέτης ἀκούσας ὡς οὐκ ἀνέξεται συνεῖναι αὐτοῖς ὁ τῶν ὅλων Θεὸς ἔτι, ἀλλ' ἄγγελον ἐπιστήσει, ᾔτησε μὲν γνῶναι τὸν ἐπιστησόμενον, ἠντιβόλησε δὲ μὴ δοῦναι αὐτοῖς ὁμόδουλον ἡγεμόνα, ἀλλ' αὐτὸν αὐτῶν καθηγήσασθαι· ὡς δὲ καὶ ταύτην ἔσχε τὴν ἀρχὴν ἔρωτι μεθύων ἐπαινουμένῳ τῶν ὑπὲρ ἄνθρωπον ἠράσθη καὶ τὴν ἀθέατον φύσιν ἰδεῖν ἐπεθύμησεν, ἀλλὰ μεμάθηκεν ὡς τοῦτο ἀδύνατον· τὰ δὲ τῆς οἰκονομίας τε καὶ D ἐνεργείας, οὕτω γὰρ δεῖ νοεῖν τοῦ Θεοῦ τὰ ὀπίσθια, θεωρῆσαι δυνατὸν τοῖς κατὰ Μωϋσέα, οὐδὲ τούτοις δὲ ἁπλῶς, ἀλλ' εἰς τὴν πέτραν ὑπ' αὐτοῦ τοῦ Θεοῦ τιθεμένοις· σημαίνει δὲ αὕτη τῆς πίστεως τὸ στερρὸν καὶ ἀκράδαντον· καὶ διὰ τῆς ὀπῆς τῆς πέτρας, δηλοῖ δὲ αὕτη τῆς πίστεως ὀφθαλμὸν θεωροῦντα τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἀνέφικτα καὶ ἀθέατα.

[70] Exod. xxviii, 38. [71] Exod. xxxii, 34. [72] Rom. ii, 4.

NOTÆ.

(69) Ex Theodoreto q. 68 in Exod. T. LXXX, p. 294.

Digitized by Google

ΕΡΩΤΗΣΙΣ ΣΟ'.

Πῶς ἐν ἱματίοις λέπρα ἐγίνετο;

QUÆSTIO CCLXX. [*Coisl.* CCLXXXVIII, *Taur.* CCLXXVII.]

Quomodo intelligendum in vestimentis lepram inesse (70)?

Edita a Maio (l. c. p. 134, q. 279). — Levit. XIII, 47.

Πολλὰς αὐτοῖς παιδείας ὁ Θεὸς τοιαύτας ἐπήγαγεν· αὐτίκα γοῦν καὶ περὶ λεπρῶν οἰκιῶν οὕτως ἔφη· « Ὡς ἂν εἰσέλθητε εἰς τὴν γῆν τῶν Χαναναίων ἣν ἐγὼ δίδωμι ὑμῖν· καὶ δώσω ἀφὴν λέπρας ἐν ταῖς οἰκίαις τῆς γῆς τῆς ἐγκτήτου ὑμῶν, » καὶ ἑξῆς· διδάσκει δὲ διὰ τούτων ὅτι θεήλατοι ἦσαν αἱ πληγαί, ποτὲ μὲν κατὰ ἱματίων, ποτὲ δὲ κατὰ οἰκιῶν φερόμεναι· ταῦτα δὲ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν ἀνεδήλου· τῶν γὰρ ἀνθρώπων ἁμαρτανόντων, ἱματίοις καὶ οἰκίαις ἐπέφερε τὰς πληγάς, διὰ τούτων τοῖς ταῦτα B κεκτημένοις τὴν θεραπείαν προσφέρων· ἔοικε δὲ τῷ λεπρῶντι οἴκῳ ὁ οἶκος τοῦ Ἰσραὴλ, οὗ πολλάκις μὲν ἐξῃρέθησαν καθάπερ λίθοι τινὲς λεπρῶντες οἱ πλημμελήσαντες, ποτὲ μὲν διὰ Ἀσσυρίων, ποτὲ δὲ διὰ Βαβυλωνίων, ἄλλοτε δὲ διὰ Μακεδόνων· ἐπειδὴ δὲ παγίαν ἔσχον τὴν λέπραν, ἄρδην καταλυθῆναι τὴν οἰκίαν ὁ νομοθέτης ἐκέλευεν.

Judæis multæ talesque institutiones a Deo datæ sunt. Statim igitur de leprosis domibus sic loquitur : « Cum ingressi fueritis terram Chanaan quam ego dabo vobis in possessionem, si fuerit plaga lepræ in ædibus [73], » et reliqua. Sic docet vulnera esse a Deo immissa, modo in vestes, modo in domos. Hæc autem ipsa ineffabilem Dei erga homines amorem demonstrant : hominum enim peccatorum in vestimenta et domos vulnera cum immitteret, ita sanationem ea possidentibus afferebat. Simile est domui leprosæ domus Israel e qua sæpissime, quasi petræ quædam, Judæi leprosi, id est, peccatores avulsi sunt, nunc ab Assyriis, nunc a Babyloniis, alias tandem a Macedonibus; cum autem inveterata domui cuidam lepra hæreret, hanc evelli funditus legislator imperabat.

ΕΡΩΤΗΣΙΣ ΣΟΑ'.

Τί σημαίνει τὰ δύο ὀρνίθια ὑπὲρ τοῦ καθαριζομένου προσφερόμενα;

QUÆSTIO CCLXXI. [*Coisl.* CCLXXXIX, *Taur.* CCLXXVIII.]

Quid significent duæ aves quæ pro expiando homine offerebantur (71).

Edita a Maio (l. c. p. 135, q. 280). — Levit. XIV, 4.

Τοῦ σωτηρίου πάθους περιέχει τὸν τύπον· ὥσπερ C γὰρ τούτων τὸ μὲν θύεται, τὸ δὲ εἰς τὸ τοῦ τυθέντος αἷμα βαπτόμενον ἀπελύετο, οὕτως ὑπὲρ τῆς λεπρώσης ἀνθρωποτητος ὁ Δεσπότης ἐσταυρώθη Χριστὸς, τῆς μὲν σαρκὸς δεξαμένης τὸν θάνατον, τῆς δὲ Θεότητος οἰκειωσαμένης τὸ τῆς ἀνθρωποτητος πάθος· καὶ καθάπερ ὕδατι καθαρῷ τοῦ σφαγέντος ὀρνιθίου τὸ αἷμα μιγνύμενον, καὶ κεδρίνου ξύλου καὶ ὑσσώπου καὶ κοκκίνου κεκλωσμένου περιῤῥαινόμενος ὁ καθαριζόμενος λεπρὸς λαμπρός τε καὶ καθαρὸς ἀποδείκνυται, οὕτως ὁ τῷ Σωτῆρι πιστεύων Χριστῷ καὶ τῷ τοῦ παναγίου Πνεύματος ὕδατι καθαιρόμενος, τὰς τῶν ἁμαρτημάτων ἀποβάλλει κηλῖδας· σύμβολον δὲ τὸ μὲν κέδρινον ξύλον, τῆς ἀπαθοῦς Θεότητος· ἄσηπτον δὲ τὸ ξύλον· τὸ δὲ κόκκινον τὸ κλωστὸν, τῆς ἐκ ψυχῆς καὶ σώματος ἀνθρωποτητος· τὸ δὲ ὕσσωπον, τῆς τοῦ παναγίου Πνεύματος θερμότητός τε καὶ εὐοσμίας· διὰ τούτων οἱ βαπτιζόμενοι τῆς ψυχικῆς ἀπαλλάττονται λέπρας· καὶ ἡ κοτύλη δὲ τοῦ ἐλαίου, τοῦ Πνευματικοῦ ἐστι μύρου σημαντική· δηλοῖ δὲ τὸ ἐπιχριόμενον ἔλαιον τῷ ὠτίῳ τῷ δεξιῷ καὶ τῇ δεξιᾷ χειρὶ καὶ τῷ δεξιῷ ποδὶ, τὸ μὲν τὴν ἀκοὴν τοῖς δεξιοῖς ἀφοριεῖσθαι λογίοις· τὴν δὲ χεῖρα καὶ τὸν πόδα, ταῖς δεξιαῖς πράξεσιν ἐπιβαλλόμενον δὲ καὶ τῇ κεφαλῇ, τὴν ἀφιέρωσιν τοῦ λογικοῦ δηλοῖ· ὁ μέν τοι διαμείνας λεπρὸς ἔξω τῆς Ἐκκλησίας ἐκβάλλεται.

Figura sunt salutaris passionis. Ut enim horum alia immolatur, aliaque in sanguinem immolatæ immersa dimittebatur, haud aliter pro humana lepra Dominus Christus crucifixus corpore quidem mortem suscepit, divinæque naturæ humanitatis passionem. Ac veluti cruor immolatæ avis postquam viventi aquæ commistus fuerat, homoque leprosus ligno cedrino, hyssopo, coccoque conspersus erat, tunc mundus purusque videbatur; sic qui in Salvatorem Christum credit, et sancti Spiritus aqua purus factus est, omnes peccatorum maculas projicit. Exprimit lignum cedrinum expertem doloris divinitatem; incorruptum enim est hoc lignum; coccus vero nendo deductus, humanitatem ex anima et corpore conflatam; hyssopus Spiritus sancti calorem et suavitatem. Sic iis qui baptizantur ex anima lepra adimitur; cotula oleo plena significat sancti Spiritus gratiam, illitum super extremum auriculæ dextræ, et super manum dextram et pedem, oleum ostendit. Auditum quidem aperiri dextris eloquiis, manum vero et pedem recte facta elaboraturos. Illitum autem capiti mentis consecrationem significat. Qui autem leprosus permanserit, ex Ecclesia ejicietur.

[73] Num. XXXIV, 2.

NOTÆ.

(70) Ex Theodoreto q. 18 in Levit. T. LXXX, p. 322.

(71) Ex Theodoreto q. 19 in Levit. T. LXXX, p. 323.

Digitized by Google

QUÆSTIO CCLXXII [*Coisl.* CCXC, *Taur.* CCLXXIX.]

Cur non licuerit Judæis edulia immolare animalia nisi coram tabernaculo (72)?

ΕΡΩΤΗΣΙΣ ΣΟΒ'.

Διατί ἀπαγορεύει πόρρω τῆς σκηνῆς θύεσθαι τὰ ἐσθιόμενα θρέμματα ;

Edita a Maio (l. c. p. 135, 136, q. 282). — De præcepto Levit. XVII, 3, 4.

Non Deum fugiebat Judæos esse impios, propensosque ad victimas dæmonibus offerendas. Imperavit igitur ut qui vellet aliquid immolare, vel vitulum, vel ovem, vel capram, is ad januam tabernaculi adduceret, tunc profuso ejus sanguine secum carnes domum asportaret. Eum qui aliter ageret, ut homicidii reum fieri jussit, dicens : « Sanguinis reus erit, quasi si sanguinem fuderit [74], » et reliqua. Quod autem lex ad id spectet, e sequentibus constat : « Nam adolebit sacerdos, B inquit, adipem in odorem suavitatis Domino, et nequaquaquam ultra immolabunt hostias suas dæmonibus cum quibus fornicati sunt [75]. » Ista est lex quæ apud Judæos viget; nam sacerdos immolat edulia animalia, prohibuit vero ne sanguis esca fieret his de causis : « Anima carnis in sanguine est, et ego dedi illum vobis ut super altare in eo expietis pro animabus vestris, et sanguis pro animæ piaculo sit. Idcirco dixi filiis Israel : Omnis anima ex vobis non comedet sanguinem [76]. » Velut ipse, inquit, animam immortalem habes, sic animal sensu carens, pro anima corpus habet. Quamobrem pro anima tua hanc Deus poni jubet. Sanguinem igitur si comedes, anima vesceris; nam C rationalis anima vices implet. Quam edentem vocat homicidam. Quamobrem morticina animalia comedere vetat, quoniam a sanguine separatum non est corpus.

Ἤδει τὴν ἐνίων ἀσέβειαν, καὶ ὅτι τοῖς δαίμοσι θυσίας προσοίσουσι· προσέταξε τοίνυν πάντα θύσαι βουλόμενον μόσχον ἢ πρόβατον ἢ αἶγα, παρὰ τὴν θύραν τῆς σκηνῆς ἀγαγεῖν· καὶ τὸ αἷμα ἐκχέαι καὶ μεταβαλεῖν οἴκαδε τῶν κρεῶν· τὸν δὲ τοῦτο μὴ δεδρακότα, ὡς φόνων ἔνοχον κατηγορεῖσθαι ἐκέλευσεν· « Αἷμα γὰρ, φησὶ, λογισθήσεται τῷ ἀνθρώπῳ ἐκείνῳ· αἷμα ἐξέχεε, » καὶ ἑξῆς. Ὅτι δὲ τοῦτον ἔχει τὸν σκοπὸν ὁ νόμος, τὰ ἑφεξῆς διδάσκει. « Ἀνοίσει γὰρ, φησὶν, ὁ ἱερεὺς τὸ στέαρ εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ, καὶ οὐ θύσουσιν ἔτι τὰς θυσίας αὐτῶν τοῖς ματαίοις, ὧν αὐτοὶ ἐκπορνεύσουσιν ὀπίσω αὐτῶν· » οὗτος ὁ νόμος παρὰ Ἰουδαίοις ἐπικρατεῖ· ὁ γὰρ ἱερεὺς θύει τὰ ἐσθιόμενα ζῶα· ἀπηγόρευσε δὲ καὶ τὸ ἐσθίειν αἷμα καὶ τὴν αἰτίαν ἐδίδαξεν. « Ἡ γὰρ ψυχὴ, φησὶ, πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι· καὶ ἐγὼ αὐτὸ δέδωκα ὑμῖν ἐπὶ τοῦ θυσιαστηρίου ἐξιλάσκεσθαι περὶ τῶν ψυχῶν ὑμῶν· τὸ γὰρ αἷμα αὐτοῦ ἀντὶ τῆς ψυχῆς αὐτοῦ ἐξιλάσεται· διὰ τοῦτο εἴρηκα τοῖς υἱοῖς Ἰσραὴλ· Πᾶσα ψυχὴ ἐξ ὑμῶν οὐ φάγεται αἷμα· » ὥσπερ σὺ, φησὶ, ψυχὴν ἀθάνατον ἔχεις, οὕτω τὸ ἄλογον ζῶον ἀντὶ τῆς ψυχῆς ἔχει τὸ σῶμα· οὗ δὴ χάριν κελεύει ἀντὶ τῆς σῆς ταύτην προσενεχθῆναι· ἐὰν δὲ τοῦτο φάγῃς, ψυχὴν ἐσθίεις· λογικῆς γὰρ ψυχῆς τάξιν τοῦτο πληροῖ· διὸ καὶ φόνον τὴν βρῶσιν ὠνόμασε· τούτου ἕνεκα καὶ τὰ τεθνηκότα τῶν ζώων ἐσθίειν ἀπαγορεύει, ὡς τοῦ αἵματος μὴ χωρισθέντος τοῦ ζώου.

[74] Levit. XVII, 4. [75] ibid. 6. [76] ibid. 11.

QUÆSTIO CCLXXIII.

Sancti Joannis Climaci locus ex capite de quiete et patientia, « Medium prætereuns in mediis perveni, » et : « Potum sitienti dabat, » usque ad verba : « Dicere prorsus nequeo. »

ΕΡΩΤΗΣΙΣ ΣΟΓ'.

Τῆς Κλίμακος ἐκ τοῦ περὶ ἡσυχίας καὶ ὑπομονῆς· « Μετερχόμενος τὸ μέσον ἐν μέσοις γέγονα, » καὶ, « ἐπότιζε διψῶντα » ἕως τοῦ, « λέγειν εἰς ἅπαν οὐκ ἔχω (73). »

Nunc primum edita a D. Hergenroether e cod. Vaticano, f. 186. — Explicatio quorumdam verborum Joannis Climaci.

1. Senis sacri atque laboriosi petitio, senis venerabilis et contemplativi quæstionem proponit ejusdem postulans explicationem, cum tamen iis, qui sunt in vita activa sapientes, non solet ut plurimum magister esse sermo, sed actio atque imitatio per se doctrinam revelat. Nostri igitur senis est, D vetusti senis ex actionum instituto ænigmata explicare ; facto enim cum habeas res ipsas, quasque nequit sermo quæstiones diluere, actio ad illarum cognitionem præit ac ducit. Quoniam tamen cæteris vult virtutibus etiam hic humilitatis perfectionem adjungere et ab iis, in quibus non exstat virtutum praxis, practicus iste vir practicarum doctrinarum arcana poscit sibi explicari ac patefieri:

α'. Γέροντος ἱεροῦ καὶ φιλοπόνου αἴτησις, γέροντος θεσπεσίου καὶ θεωρητικοῦ θεωρίαν προβάλλεται τὴν ταύτης ἐπιζητοῦσα σαφήνειαν· καίτοι γε τοῖς τὰ πρακτικὰ σοφοῖς οὐ λόγος ὡς ἐπίπαν φιλεῖ καθίστασθαι διδάσκαλος· ἡ δὲ πρᾶξις καὶ μίμησις αὐτόθεν ἀνακαλύπτει τὸ μάθημα. Τοῦ ἡμετέρου τοίνυν ἐστὶ γέροντος, τοῦ παλαιοῦ γέροντος τὰ ἀπὸ τῆς πράξεως διαλύειν αἰνίγματα· ἔργῳ γὰρ ἔχων τὰ πράγματα καὶ ὅσα λόγος ἀδυνατεῖ τῶν ἀπορημάτων διαλύειν, ἡ πρᾶξις καθοδηγεῖ συνεπίστασθαι· πλὴν ἐπεὶ προσλαβεῖν ταῖς ἄλλαις ἀρεταῖς κἀνταῦθα τὸ τῆς ταπεινοφροσύνης τέλειον καὶ παρ' οἷς οὐκ ἔστι πρᾶξις, ὁ πρακτικὸς τῶν πρακτικῶν θεωρημάτων τὰ ἀπόῤῥητα ζητεῖ γενέσθαι ῥητὰ, οὐχ ἡμῖν, ἀλλὰ τῇ ἐκείνου καὶ

NOTÆ.

(72) Ex Theodoreto q. 23 in Levit. T. LXXX, p. 334.

(73) *Climax* seu scala paradisi est titulus operis ascetici, quem rogante Joanne abbate Raithuensi Joannes abbas in monte Sinai, exinde Climacus nuncupatus, sæculo sexto conscripsit (cf. de eo Fessler *Patrolog.* tom. II, § 410, p. 890 seq.). Hujus libri locum Photius illustrat et exponit hac quæstione, quæ in cod. Coisliniano et Taurinensi omnino deest.

Digitized by Google

ἀρετῇ καὶ αἰτήσει θαῤῥοῦντες ἐπὶ τὴν τῶν ἀπορουμένων λύσιν βαδιούμεθα.

A non nobis, sed illius et virtute et postulatione freti ad dubiorum solutionem procedimus.

β'. Τρεῖς ὁ παλαιὸς καὶ καλὸς ἐκεῖνος γερων προκοπὰς εἴτε τάξεις εἴτε βαθμοὺς, εἴτε τι ἄλλο φίλον τοῖς βουλομένοις καλεῖν, ἐν τοῖς παροῦσιν ἐκδιδάσκει ῥήμασιν· ἀμεριμνίαν τῶν ἐν βίῳ καὶ οἷς ὁ βίος συγκαταλύεται πραγμάτων, προσευχὴν ἄοκνον, καὶ τρίτον ἐργασίαν ἄσυλον καρδίας· ὥστε δῆλον ὅτι μέσον ἑκατέρου τῶν ἄκρων ἡ προσευχὴ κεῖται. Ὁ τοίνυν τὴν ἀμεριμνίαν μὴ κτησάμενος οὐδὲ τὰ ἑφεξῆς δύο δυνατός ἐστι μετελθεῖν. Ἀλλὰ τί τὸ ἐντεῦθεν; Τὸ μέσον τοίνυν ἤτοι τὴν προσευχὴν μετερχόμενος ἐν μέσοις γέγονε τοῖς καλοῖς, κἂν μήπω πρὸς τὸ ἄκρον ἀναβεβήκῃ τῶν ἀγαθῶν.

2. Tres antiquus ille bonusque senex progressiones ad virtutem sive ordines sive gradus sive quid aliud appellare libeat, in his verbis indicat: plenam rerum hujus vitæ, cum quibus et ipsa vita simul interit, incuriam, sedulam atque indefessam orationem, et tertio inviolatam cordis operationem; unde constat mediam inter utraque extrema orationem esse. Qui igitur neglectum rerum mundanarum non possederit, nec reliqua duo persequi poterit. Verum quid inde? Medium igitur, videlicet orationem, exercens in mediis exsistit bonis, quamvis nondum ad extremum bonorum ascenderit.

γ'. Ἐπότιζε δ' ὅμως διψῶντα καὶ πόῤῥωθεν οὖσα ἡ τοῦ σελασφόρου θεάματος πλήρωσις καὶ τρυφὴ καὶ θέα· εἶτα οὐ μέχρι παντὸς τοῦ θεάματος ἐτρύφων, ἀλλὰ μετὰ ταῦτα πάλιν ἐν ἐκείνοις, ἐν οἷς καὶ πρώην. Τί μὲν οὖν ἦν πρὸ τῆς ὁρατῆς μορφῆς ἐν τοῖς ὁρωμένοις, οὐδ' αὐτὰ τὰ ὁρώμενα διδάσκειν ἠδύναντο, ὥσπερ εἰωθεν ἡ ὄψις τὰ πολλὰ τῶν ὁρωμένων διδάσκαλος γίνεσθαι· οὐδὲ γὰρ ἦν τῶν κατὰ φύσιν καὶ συνήθων θεαμάτων, ἀλλὰ χάρις ἦν ἡ διδοῦσα τὰ μὲν ὁρᾶν, τὰ δὲ κρείττω ποιοῦσα τῶν διὰ τῆς ὄψεως καταλήψεων· καὶ γὰρ οὐδὲ ὁ ταύτης ἡμῖν τῆς ἀπορρήτου τρυφῆς καὶ θεωρίας ἀρχιτέκτων ἐφεῖτο καὶ συνεχώρει ἀκραιφνῆ λαμβάνειν τὴν μάθησιν. Ἀλλ' ἔγωγε πόθῳ καὶ ἔρωτι μαθεῖν ἠρώτων ὅμως, πῶς δὴ νῦν ὁ τῆς σωτηρίας ἡμῶν καὶ τῶν καλῶν θεαμάτων αὐτουργὸς ὑπάρχει· καὶ ἡ ἀπόκρισις ἔλεγεν ἐν τοῖς ἰδίοις μὲν, ἀλλ' οὐκ ἐν οἷς ᾠκονόμει τὴν ὅρασιν εἶναι· τὰ μὲν γὰρ ἦν φιλανθρωπίας καὶ συγκαταβάσεως, τὰ δὲ τῷ μὴ τῆς οἰκείας ἐξίστασθαι φύσεως τὸ ἀΐδιον ὑπογράφοντα καὶ ἀμετάβλητον. Εἶτα ἐπειδή με πρὸς φύσιν ἀνῆγε πάσης ὄψεως καὶ καταλήψεως ὑπεραναβεβηκυῖαν, ἐπυνθανόμην ἔτι προσδιαπορῶν, ὡς Εἰ ταῦθ' οὕτως ἔχει, τίς ἡ δεξιὰ στάσις καὶ καθέδρα καὶ τὰ τῶν ὑλικῶν σχέσεων καὶ διαθέσεων ὀνόματα; ποῦ γὰρ ἔχει ταῦτα χώραν λέγεσθαι ἐν οἷς καὶ τῶν ὁρωμένων τὰ πολλὰ οὐχ ὁρασίς ἐστιν, ἀλλὰ τῆς φαντασίας διατύπωσις· ὁ δὲ τῶν ἀποριῶν ἀκροατὴς ἐπιτιμῶν, ὡς ἔοικε, φιλοπράγμονα ἔνστασιν καὶ οὐκ ἐῶν ἀπολαύειν τοῦ ζητήματος, κρεῖττον ἀκοῆς ἔφη τὴν ἐρώτησιν καὶ καιρὸν οἰκεῖον ἔχειν τῆς ἀποκαλύψεως. Ἐγὼ δὲ φιλονεικῶν ἔτι καὶ τὸν καιρόν με συναγαγεῖν παρεκάλουν καὶ μὴ τῆς καλῆς ἀποστερεῖν ἐφέσεως· ἐκεῖνος δὲ τοῦ λυποῦντος ὡς οἷόν τε καὶ ἀδημονοῦντος ἀπάγων οὔπω τὸν καιρὸν ἔλεγε παρεῖναι· οὔπω γὰρ οὐδὲ τὸ πῦρ τὸ τὴν ἀφθαρσίαν ἀνάπτον ἐν τοῖς καθ' ἡμᾶς ἀναφλέγεται.

B 3. *Potum vero sitienti dabat* vel eminus exsistens splendidi spectaculi impletio et oblectatio atque visio; deinde non usque ad universum spectaculum deliciabar; sed postea rursus eram in illis, in quibus et antea. Quid igitur esset ante visibilem formam in rebus, quas videmus, ne ipsæ quidem res, quas videmus, docere nos poterant, sicut solet visio frequenter eorum quæ videntur interpretes esse; neque enim erat ex iis spectaculis, quæ naturalia nobisque familiaria exsistunt, sed gratia erat, quæ dabat alia quidem intuenda, alia vero potiora oculorum perceptione efficiebat; etenim nec ipse arcanæ hujus oblectationis et contemplationis nostræ auctor permittebat vel concedebat claram illius haurire cognitionem. Sed ego studio atque C amore discendi sciscitabar nihilominus, ubi nunc salutis nostræ præclarorumque spectaculorum nobis auctor exstet. Et responsio dicebat: in propriis quidem, non tamen in quibus disponebat visionem esse; hæc enim erant benignitatis et indulgentiæ; illa vero æternitatem atque immutabilitatem designabant, quod ex propria non recederet natura. Deinde ubi me ad naturam evexit omni visione et contemplatione superiorem, interrogabam adhuc addubitans: Si hæc ita se habent, quænam est dextera statio et sessio et materialium habitudinum dispositionumque nomina? Ubi enim hæc locum habent ut dicantur, in quibus et multa eorum, quæ conspiciuntur, non visio sunt, sed imaginationis delineatio. Ille dubitationum auditor increpans, ut par D erat, curiosam instantiam nec frui me sinens quæstionis solutione, non posse auditu percipi interrogationem inquit, eamque proprium habere revelationis tempus. Ego vero adhuc contendens et contrahi mihi tempus precabar nec me honesta cupiditate fraudari. Ille autem dolorem, qua poterat, mœstitiamque levans nondum adesse dicebat tempus; nondum enim ignis, qui incorruptibilitatem impertit, inter nos ardet.

δ'. Ταύτην οὖν τὴν ὀπτασίαν ὁ καλὸς καὶ φιλόθεος καὶ παλαιὸς ἐκεῖνος ἀπαγγείλας γέρων οὐ μεγαλαυχεῖ, οὐδὲ τοιαῦτα τεθεαμένος ἐπαίρεται· ἀλλὰ καὶ ἀγνοιαν ἑαυτῷ προσάπτει λέγων· Οὐκ οἶδα εἰ σὺν τῷ χοῒ ταῦτα ἐθεάμην, εἴτε καθ' ἑαυτὴν τῆς ψυχῆς

4. Hanc igitur visionem bonus ille, pius atque antiquus senex enuntians non se magnifice jactat, nec se quod hæc viderit extollit, sed et ignorantiam sibi tribuit inquiens: Nescio, an cum corpore terreno hæc intuerer, an vero anima per se ad Deum

Digitized by Google

evolaverit corpusque ad modicum temporis reliquerit ac conjunctione ac mistione cum ipsa sejunctum.

QUÆSTIO CCLXXIV. [*Coisl.* CCXCI, *Maio exinde* CCLXXXIV, *Taur.* CCLXXX.]

Cur populum numerari Deus jusserit (73*).

Edita a Maio (Nov. Coll. t. IX, p. 136). — De numerato Dei jussu populo. Num. I, 1-3.

Ut suæ promissionis ostenderet veritatem. Etenim promissa Abraham faciens, dixerat : « Multiplicans multiplicabo semen tuum sicut stellas cœli, et velut arenam quæ est in littore maris [77]. » Cæterum promissionis veritatem ostendit; nam quæ cum de Ægypto egressi fuissent septuaginta et quinque millium, tum sexcenta tria millia quingenti quinquaginta virorum numerati sunt, qui poterant ad bella procedere, excepta intempestiva et immatura ætate et femineo genere, et tribu Levi. Hanc suam docet potentiam Deus, cum dicit : « Attendite ad Abraham patrem vestrum et ad Saram quæ peperit vos, quia unum vocavi eum, et multiplicavi eum [78]. »

QUÆSTIO CCLXXV [*Coisl.* CCCVI, *Taur.* CCXCV, *Maio* CCLXXXV.]

Qua de causa farina ex hordeo pro muliere accusata stupri afferretur (74).

Edita a Maio (l. c. p. 136, 137). — De textu Num. V, 15.

Ipse Dominus explicavit dicens : « Quia sacrificium zelotypiæ est, sacrificium recordationis, et oblatio zelotypiæ. » Inde neque oleum, neque thus in hoc sacrificio esse jussit; orbatum est enim suavitatis et justitiæ luce. Hoc [præcepit legislator quem non fugiebant homicidæ Judæorum cogitationes; ne enim tenui de suspicione conjuges occiderent, suspectam adduci voluit ad eum qui omnia abdita etiam perspicue novit. « Offeret igitur eam, inquit, sacerdos et statuet coram Domino, assumetque aquam sanctam, vivens coram Domino [79], » et reliqua. Hæc autem omnia fieri a muliere suspecta præcipit, ut perculsa timore, si peccavisset, confiteretur et per pœnitentiam peccati remissionem acciperet. Quamobrem hanc, detecto capite, ad Dominum duci jubet, his dictis : « Omnia autem nuda et aperta sunt oculis ejus [80]. » E sequentibus haud dubium est quin ita mulierem terrere voluerit. « Adjurabitque eam, et dicet mulieri sacerdos : Si non dormivit vir alienus tecum, et si non polluta es, deserto mariti toro, non tibi nocebunt aquæ istæ amarissimæ. Sin autem declinasti a viro tuo, » et reliqua : « ad tempus det te Dominus in maledictionem, exemplumque cunctorum in populo tuo; putrescere faciat femur tuum, et uterus disrumpatur [81]. » Jussa erat mulier his precibus assentiri, ac respondere : Amen, amen. Præceptum

ἀνιπταμένης πρὸς τὸ κρεῖττον καὶ τὸ σῶμα λειποῦσης ἐπὶ βραχὺ, τοῦ πρὸς αὐτὴν συνδέσμου κεχωρισμένον καὶ τῆς ἀνακράσεως.

ΕΡΩΤΗΣΙΣ ΣΟΑ'.

Διατί προσέταξεν ἀριθμηθῆναι τὸν λαὸν ὁ Θεός;

Ἵνα τῆς οἰκείας ἐπαγγελίας δείξῃ τὸ ἀληθές· ὑπισχνούμενος γὰρ τῷ Ἀβραὰμ ἔφη· « Πληθύνων πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· » ἔδειξε γὰρ τὴν τῆς ἐπαγγελίας ἀλήθειαν· ἐκ πέντε γὰρ καὶ ἑβδομήκοντα τῶν εἰς Αἴγυπτον κατελθόντων, ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι καὶ ἑξακόσιοι καὶ πεντήκοντα ἠριθμήθησαν ἄνδρες δυνάμενοι πολεμεῖν, καὶ ἐξώρου ἡλικίας καὶ τῆς ἀώρου κεχωρισμένης, καὶ μέντοι καὶ τοῦ θήλεος γένους καὶ τῆς λευϊτικῆς φυλῆς· ταύτην αὐτοῦ διδάσκων τὴν δύναμιν ὁ Θεὸς καὶ διὰ τοῦ Ἡσαΐου ἔφη· « Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν καὶ εἰς Σάρραν τὴν ὠδίνασαν ὑμᾶς, ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτὸν, καὶ ἐπλήθυνα αὐτόν. »

ΕΡΩΤΗΣΙΣ ΣΟΕ.

Διατί ἄλευρον κριθινον ὑπὲρ τῆς ὑποπτευομένης μοιχευθῆναι προσεκομίζετο;

Αὐτὸς ὁ Δεσπότης ἡρμήνευσεν· « Ἔστι γὰρ, ἔφη, θυσία ζηλοτυπίας, θυσία μνημοσύνου, θυσία ἀναμιμνήσκουσα ἁμαρτίαν· » ὅθεν οὐδὲ ἔλαιον αὐτὴν οὐδὲ λίβανον ἔχειν προσέταξεν· ἐστέρηται γὰρ καὶ τῆς εὐωδίας καὶ τοῦ τῆς δικαιοσύνης φωτός· τοῦτο μέν τοι γίνεσθαι νενομοθέτηκε τὴν μιαιφόνον αὐτῶν ἐπιστάμενος γνώμην· ἵνα γὰρ μὴ ἐξ ὑποψίας καταστείνωσι τὰς ὁμοζύγους, ἐκέλευσε τὴν ὑποπτευομένην αὐτῷ προσενεχθῆναι, ἅτε δὴ πάντα καὶ τὰ λαθραῖα σαφῶς ἐπισταμένῳ· « Προσάξει γὰρ, φησὶν, ὁ ἱερεὺς καὶ στήσει τὴν γυναῖκα ἐναντι τοῦ Κυρίου, καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἐναντι Κυρίου· » καὶ ἑξῆς· ταῦτα δὲ πάντα γενέσθαι προσέταξε, τὴν γυναῖκα τὴν ὑποπτευομένην ἐκδειματῶν, ἵνα εἰ ἐξήμαρτεν, ὁμολογήσῃ καὶ διὰ μετανοίας λάβῃ τὴν ἄφεσιν· τούτου χάριν καὶ ἀκάλυπτον αὐτὴν τῷ Θεῷ προσενεχθῆναι κελεύει, διδάσκων ὅτι γυμνὰ πάντα καὶ τετραχηλισμένα ἐνώπιον αὐτοῦ· ὅτι δὲ ταῦτα, δεδιττόμενος αὐτὴν, γενέσθαι κεκέλευκε, τὰ ἑξῆς μαρτυρεῖ· « Καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεὺς καὶ ἐρεῖ τῇ γυναικί· Εἰ μὴ κεκοίμηταί τις μετὰ σοῦ, εἰ μὴ παραβέβηκας μιανθῆναι ὑπὸ τὸν ἄνδρα σεαυτῆς, ἀθῶος ἴσθι ἀπὸ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου· εἰ δὲ παραβέβηκας, ὑπανδρος οὖσα, » καὶ ἑξῆς, ἕως, « Οὐ δῴη σοι Κύριος ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ δοῦναι τὸν μηρόν σου περιπεπτωκέναι καὶ τὴν κοιλίαν σου πεπρισμένην· »

[77] Genes. XVI, 10. [78] Isai. LI, 2. [79] Num. V, 16. [80] ibid. 18. [81] ibid. 19, 21.

NOTÆ.

(73*) Deprompta est hæc quæstio ex Theodoreti q. in Numer. t. LXXX, p. 350.

(74) Hæc quoque ex Theodoreto q. 10 in Num. descripsit Photius. T. LXXX, p. 358.

Digitized by Google

ἐκέλευσε δὲ καὶ τὴν γυναῖκα συντίθεσθαι τῇ ἀρᾷ, καὶ λέγειν· *Γένοιτό μοι· γένοιτό μοι·* καὶ γραφῆναι δὲ τὴν ἀρὰν προσέταξε καὶ ἐξαλειφθῆναι ὕδατι· καὶ πιεῖν τὴν γυναῖκα τὸ ὕδωρ· πρότερον δὲ τὴν θυσίαν προσενεχθῆναι, τουτέστιν τὸ κρίθινον ἄλευρον· εἶτα διδάσκει ὡς ἀθῷος μὲν οὖσα, ὑγιὴς φυλαχθήσεται· ἔνοχος δὲ οὖσα καὶ κρύπτουσα, τῇ πείρᾳ μαθήσεται τῆς ἀρᾶς τὴν ἰσχὺν, καὶ τῆς κοιλίας διαῤῥηγνυμένης καὶ τοῦ μηροῦ διαπίπτοντος· δι' ὧν γὰρ ἡ ἁμαρτία, διὰ τούτων ἡ τιμωρία· τὸ δὲ ἐνόρκιον οὕτω νοητέον· ὅταν τις δεινὰ καὶ ἀνήκεστα πάθῃ, εἰώθασί τινες ὀμνύντες λέγειν, Μὴ πάθοιμι ἃ ὁ δεῖνα πέπονθεν. A

quoque erat ista maledicta scribenda esse, et aquis deluenda, aquas autem mulieri exhauriendas, priusque oblationem afferri, id est hordeaceam farinam. Deinde admonet mulierem, si sit innoxia, incolumem futuram; sin autem obnoxia culpam celet, experiendo disciturum quæ sit exsecrationis vis, et dilapso ventre femur putrefaciendum. Unde enim peccatum, exinde pœna. Jusjurandum vero ita intelligendum est: cum aliquis mala et insanabilia tulit, solent quidam cum jurejurando dicere: Utinam non feram quæ iste perpessus est.

ΕΡΩΤΗΣΙΣ ΣΟΖ'.

Τίνος ἕνεκεν ἁμαρτάνουσιν εὐθὺς ἐπάγει τὰς τιμωρίας; B

QUÆSTIO CCLXXVI. [*Maio* CCLXXVI.]

Cur a peccatoribus pœnæ statim expetantur (75).

Edita a Maio (l. c. p. 137, 138). — De textu Num. xi, 1 seq.

Ἀρχὴν εἶχεν ὁ νόμος· ἔδει τοίνυν τῇ τῶν παραβαινόντων τιμωρίᾳ σωφρονίζεσθαι τοὺς λοιπούς· ἀρμόδιος γὰρ τοῖς ἀρχομένοις ὁ φόβος· συνέζευκτο μέντοι τῇ τιμωρίᾳ φιλανθρωπία· μεταμελόμενοι γὰρ φιλανθρωπίας ἀπήλαυον· αὐτίκα γοῦν τοῦ θεηλάτου πυρὸς μέρος τι τῆς παρεμβολῆς ἀναλώσαντος, εἶτα πάντων συνδεδραμηκότων εἰς δέησιν, ᾔτησεν ὁ νομοθέτης τὴν ἄφεσιν· παρέσχε δὲ αὐτὴν ὁ φιλάνθρωπος Θεός· ὅτι δὲ αὐτοῖς ἀναγκαίως αἱ τιμωρίαι ἐπήγοντο, τὰ ἑξῆς μαρτυρεῖ· εὐθὺς γὰρ μετὰ τὴν παῦλαν τῆς τιμωρίας, τῆς Αἰγύπτου καὶ τῶν ἐν Αἰγύπτῳ τὴν μνήμην ἀνενεώσαντο· μάλα τοίνυν εἰκότως τῇ ἐκείνων ἀχαριστίᾳ τὴν θείαν συνῆψε φιλοτιμίαν ὁ συγγραφεὺς τὰ περὶ τοῦ μάννα διηγησάμενος, καὶ ὅτι οὐ μόνον ἄρτου χρείαν, ἀλλὰ καὶ κρεῶν ἐπλήρου· ἦλθον γὰρ ἐν τῷ μύλῳ καὶ ἔτριβον ἐν τῇ θύᾳ καὶ ἥψουν ἐν τῇ χύτρᾳ καὶ ἐποίουν ἐγκρυφίας· ἐκείνων δὲ ὀλοφυρομένων χαλεπαίνει μὲν ὁ Δεσπότης Θεὸς, δυσχεραίνει δὲ ὁ προφήτης καὶ βοᾷ λέγων· « Ἵνα τί ἐκάκωσας τὸν θεράποντά σου, καὶ διατί οὐχ εὕρηκα χάριν ἐνώπιόν σου ἐπιθεῖναι μοι τὴν ὁρμὴν τοῦ λαοῦ τούτου ἐπ' ἐμέ; μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον τὸν λαὸν τοῦτον; » καὶ ἑξῆς· δεδήλωκε διὰ τούτων τὸ ἀτελὲς αὐτῶν καὶ νηπιῶδες· θηλάζοντι γὰρ αὐτοὺς ἀπείκασεν, ἄλλο μὲν οὐδὲν ἐργάσασθαι δυναμένῳ, ἐκβυζᾶν δὲ μόνον βουλομένῳ τὸ γάλα· ἐπειδὴ δὲ σφόδρα ἦν τὰ ῥήματα τὰ δυσχεραίνοντος, καὶ τὰ ἑξῆς γὰρ τοῦτον ἔχει τὸν νοῦν, διδάσκεται παρὰ τοῦ Δεσπότου Θεοῦ, ὡς οὐκ ἀνθρωπίνῃ δυνάμει, θείᾳ δὲ χάριτι τὸν λαὸν κυβερνᾷ· ἔφη γάρ· « Συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας· » εἶτα μετ' ὀλίγα· « Καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοὶ, καὶ ἐπιθήσω ἐπ' αὐτούς· καὶ συναντιλήψομαι μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ τούτου, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος· » μεμάθηκε δὲ διὰ τούτων τῶν λόγων ὁ νομοθέτης ὡς ἀποχρῶσαν ἔλαβε τῇ οἰκονομίᾳ τὴν χάριν· διὰ τοῦτο εἶπεν· Ἀφελῶ ἀπὸ τοῦ πνεύματός σου ἐν σοί· οὐ γὰρ σπανίζων ἑτέρας δυνάμεως, C D

Erat legi suprema potestas: necesse igitur, multata legis violatione, docere cæteros sapientiam. Decet enim subditos timor. Sed conjuncta erat cum amore pœna. Quos enim pœnitebat, amore fruebantur. Statim igitur immisso igne, magnaque exercitus parte consumpta, deinde omnibus ad deprecationes concurrentibus, peccati remissionem postulavit legislator; et benigne a Deo exauditus est. Judæis pœnas ex necessitate immissas quæ sequuntur demonstrant. Vix enim priori pœnæ finis erat, quam Ægyptum recordarentur. Haud immerito igitur historicus cum ingrato Judæorum animo divinam confert munificentiam; in his quæ de manna narravit, dicens illam non solum panis, sed etiam carnis loco fuisse. Hanc enim mola frangebant et terebant in mortario, et coquebant in olla, et ex eo tortulas efficiebant. Graviter lamentantes objurgat Dominus Deus, ac moleste fert ipse propheta, exclamans: « Cur afflixisti servum tuum? Quare non invenio gratiam coram te? Et cur imposuisti pondus universi populi hujus super me? Nunquid ego concepi omnem hanc multitudinem? vel genui eam [82]? » et reliqua. His dictis indicat quam simplices puerilesque fuerunt; sugenti puero illos comparavit qui nihil aliud facere potest nisi lac cum clamoribus exposcere. Cum autem vehementia essent Moysis indignantis verba, nam sequentia hunc sensum habent, admonitus est a Domino Deo hunc populum non humana potestate, sed gratia Dei gubernari; dicit enim: « Congrega mihi septuaginta viros. » Deinde paulo post: « Auferam de spiritu qui est in te, tradamque eis, et sustentabo tecum onus populi hujus, et non tu solus graveris [83]. » His verbis cognovit legislator se sufficientem vim administrandæ genti accepisse. Quapropter dictum erat: Auferam de spiritu tuo in te, non quod Deus externa potentia indigeret, verum sic locutus est ut Moysen doceret concessam

[82] Num. xi, 11, 12. [83] Num. xi, 24-25.

NOTÆ.

(75) Hæc quæstio deest in codd. Coisliniano et Taurinensi; et ipsa quoque ex Theodoreto desumpta est q. 18 in Num. T. LXXX, p. 570.

Digitized by Google

eis fuisse vim quæ ad usum suppeditaret. Etenim septuaginta viris dans, non minuit illius gratiam, ut ex eventu constat. Eadem enim et imperio et miraculis peragebat quam antea. Quod et nos quotidie idem fieri videmus. Multi enim ab uno sacerdote baptizati, alii summo sacerdote consecrati, munusque divinum accipientes, minime dantis minuunt gratiam, et ipsi donum eximium accipiunt. Hoc testatur ipse Dominus servi sui suffragio, cui dixit : « Congrega quos tu nosti. »

A ἀλλ' ἐκεῖνον διδάσκων ὡς εἴληφει δύναμιν ἀρκοῦσαν τῇ χρείᾳ, τοῦτο ἔφη · ὅτι γὰρ καὶ τοῖς ἑβδομήκοντα δοὺς, οὐκ ἐμείωσε τούτου τὴν χάριν, τὰ πράγματα μαρτυρεῖ · τὰ αὐτὰ γὰρ καὶ οἰκονομῶν καὶ θαυματουργῶν διετέλει ἃ καὶ πρότερον · τοῦτο καὶ νῦν ὁρῶμεν γινόμενον · πολλοὶ γὰρ ὑπὸ ἑνὸς ἀνθρώπου ἱερέως βαπτιζόμενοι, ἄλλοι δὲ παρὰ ἀρχιερέως χειροτονούμενοι, καὶ τὴν θείαν δεχόμενοι δωρεὰν, οὔτε σμικρύνουσι τοῦ μεταδόντος τὴν χάριν, καὶ αὐτοὶ τὸ τέλειον δέχονται · μεμαρτύρηκε μέντοι ὁ Δεσπότης καὶ τῇ τοῦ θεράποντος ψήφῳ · ἔφη γὰρ αὐτῷ · « Ἔκλεξαι οὓς οἶδας. »

QUÆSTIO CCLXXVII. [*Coisl.* CCXCII, *Taur.* CCLXXXI.]

Cur præscripserit Deus factiosorum thuribula circum altare distribui (76) ?

ΕΡΩΤΗΣΙΣ ΣΟΖ'.

Διατί προσέταξεν ὁ Θεὸς τὰ τῶν στασιαστῶν πυρεῖα τῷ θυσιαστηρίῳ γεγκόσθαι περίθεμα ;

B

Edita a Maio (l. c. p. 138, 139, q. 287). — Explanatio in Num. xvi, 37 seq.

Ut coargueret temere adversus sacerdotium incepta, eosque confirmaret qui sacris operam dabant. Hoc enim edixit : « Commone filios Israel, » et reliqua. Quamobrem germinatam Aaron virgam collocari in arca præcepit, et rursus sacerdotes sacra facere, et Levitas eis subministrare, nec ad altare, nec ad sacra accedere vasa. Deinde docet quæ sacerdotibus dono darentur. Oblatas enim primitias panis, et vini, et olei, et cibi eos comedere præscripsit, et alia quæcunque donaria. Posteaque decrevit : « Pro primogenito immundorum animalium pretium esse siclis argenti quinque, pondere sanctuarii, siclus viginti obolos habet; mundorum vero animalium sanguinem tantum eorum fundere super altare et farinam offerre, et ab illis carnes accipi. Sicut pectusculum consecratum, et armus dexter, tua erunt [84]. » Hoc fœdus pactum salis appellavit, quoniam, secundum divum Apostolum, « Qui altari deserviunt, cum altari participant [85]. » A quibusdam quoque dicitur : Postquam in victimas spargi sal præscripsit, tum edixit et sacerdotes et Levitas omnes decimas Israelis in possessionem habituros, et decimas lucri ex ovibus, et ex bobus, et ex mercatura, et ex alio quocunque lucro. Præcepit quoque Levitas e decimis decimas offerre sacerdotibus. Jubet sacerdotes omnibus locis harum rerum fieri participes, ipsisque sepositas hostiarum partes intus in templo comedere. Vocatque decimas « Pretium pro ministerio quo populo serviunt [86] ; » vobis, inquit, ædificantibus, vel mercantibus, vel domi viventibus, illi pro vobis omnibus sedulo meo ministerio serviunt. Hoc quoque dicit : « Quia pretium est pro ministerio [87] » quod præstatis in tabernaculo testimonii.

C

D

Εἰς ἔλεγχον τῶν κατὰ τῆς ἱερωσύνης θρασυνομένων, καὶ βεβαίωσιν τῶν ἱερουργεῖν τεταγμένων · τοῦτο γὰρ ἐπήγαγε · « Μνημόσυνον τοῖς υἱοῖς Ἰσραὴλ, » καὶ ἑξῆς · τούτου χάριν καὶ τὴν βλαστήσασαν τοῦ Ἀαρὼν ῥάβδον ἐντεθῆναι προσέταξε τῇ κιβωτῷ · καὶ πάλιν ἐνομοθέτησε τοὺς μὲν ἱερέας ἱερουργεῖν, τοὺς δὲ Λευΐτας ὑπουργεῖν, μήτε τῷ θυσιαστηρίῳ μήτε τοῖς ἱεροῖς πελάζοντας σκεύεσιν · εἶτα διδάσκει καὶ τίνα χρὴ τοὺς ἱερέας λαμβάνειν · τὰς γὰρ αὐτῷ προσφερομένας ἀπαρχὰς σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ ἄρτων, αὐτοὺς ἐσθίειν προσέταξε, καὶ μέντοι καὶ τὰ ἀναθήματα καὶ τὰ πρωτότοκα τῶν μὲν ἀκαθάρτων κτηνῶν ὁρίσας, τὰ λίτρα πέντε σίκλων ἕκαστον κατὰ τὸν σίκλον τὸν ἅγιον, ὃς ἐστιν εἴκοσι ὀβολοί · τῶν δὲ καθαρῶν πρωτοτόκων ζώων τὸ μὲν αἷμα ἐκχεῆναι παρὰ τὴν τοῦ θυσιατηρίου βάσιν, τὸ δὲ στέαρ προσενεχθῆναι, τὰ δὲ κρέα αὐτοὺς λαμβάνειν · ὥσπερ δὴ τὸ στηθύνιον καὶ τὸν βραχίονα ἀπὸ τῶν ἄλλων θυμάτων κομίζονται · διαθήκην δὲ ἁλὸς τὴν κοινωνίαν ἐκάλεσεν · ἐπειδὴ, κατὰ τὸν θεῖον Ἀπόστολον, « Οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται · » τινὲς δέ φασιν, ἐπειδὴ ταῖς θυσίαις ἐπιβάλλεσθαι τοὺς ἅλας προσέταξεν, εἶτα διδάσκει καὶ τοὺς ἱερέας καὶ τοὺς Λευΐτας καὶ τῶν ἀπὸ γῆς φυομένων τὰς δεκάτας, καὶ τῶν ἐκ ποιμνίων καὶ βουκολίων προσγενομένων κερδῶν, καὶ τῶν ἐξ ἐμπορίας καὶ ἑτέρας τινὸς χρείας · τοὺς δὲ Λευΐτας τῶν δεκατῶν τὰς δεκάτας προσφέρειν τοῖς ἱερεῦσι · καὶ τούτων μὲν ἐν παντὶ τόπῳ κελεύει μεταλαγχάνειν · τὰ δέ γε ἐκ τῶν θυσιῶν ἀφωρισμένα αὐτοῖς, ἔνδον ἐσθίειν ἐν τῷ ναῷ · καλεῖ δὲ καὶ τὰς δεκάτας « Μισθὸν εἰς τὴν τοῦ λαοῦ ὠφέλειαν · » ὑμῶν γὰρ, φησὶν, οἰκοδομούντων ἢ ἐμπορευομένων ἢ οἴκοι διαγόντων, οὗτοι ἀντὶ πάντων ὑμῶν τῇ ἐμῇ προσεδρεύουσι λειτουργίᾳ · τοῦτο γὰρ ἔφη · « ὅτι μισθὸς ὑμῶν οὗτός ἐστιν, » ἀντὶ τῶν λειτουργιῶν ὑμῶν τῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

[84] Num. III, 47. [85] I Cor. IX, 13. [86] Num. XVIII, 2. [87] ibid. 3.

NOTÆ.

(76) Est Theodoreti fetus q. 34 in Num.

Digitized by Google

ΕΡΩΤΗΣΙΣ ΣΟΗ'.

Τί δήποτε ὠργίσθη τῷ Μωϋσεῖ καὶ τῷ Ἀαρὼν ὁ Θεὸς, ἡνίκα τὸ ὕδωρ ἐκ τῆς πέτρας ἐξήγαγεν;

Edita a Maio (l. c. p. 139, q. 288). — In Num. xx, 12.

Ἀθυμοῦσιν αὐτοῖς διὰ τὴν τῆς ἀδελφῆς τελευτὴν, ἐπέκειντο αὐτοῖς ὁ λαὸς διὰ τὴν τοῦ ὕδατος σπάνιν· δυσχεραίνοντες οὖν τὴν πολλὴν αὐτῶν ἀκρασίαν, ἀμφιβόλοις ἐχρήσαντο ῥήμασιν τὸ ὕδωρ ἐξαγαγόντες· ἔφη γάρ· « Ἀκούσατέ μου, οἱ ἀπειθεῖς, μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξω ὑμῖν ὕδωρ; » τοῦτο γοῦν ὁ Θεὸς ἔφη· « Ὅτι οὐκ ἐπιστεύσατέ μοι ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν ἣν ἔδωκα αὐτοῖς· » τοῦτο καὶ Δαβὶδ φησι· « Καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς, » καὶ ἑξῆς· ὀργιζόμενος γὰρ ἐκείνοις ἀμφιβόλως τὸν λόγον προήνεγκεν· καὶ ἦν οὐ τῆς ψυχῆς, ἀλλὰ τῆς γλώσσης ἀμφιβολία· τοῦτο γὰρ ἔφη· « Καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ· » ἰστέον μέντοι ὅτι ἕτερον οἰκονομῶν ὁ Θεὸς ταύτην ἐξενήνοχε τὴν ἀπόφασιν.

A

Πρὸς ἑσπέραν δὲ ἐθύετο ὁ ἀμνὸς, ὅτι τύπον προδιέγραφε τοῦ ἀληθινοῦ ἀμνοῦ καὶ ποιμένος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν · ἐπὶ δυσμαῖς γὰρ τῶν αἰώνων καὶ ὁ πλάστης τὸν ὑπὲρ ἡμῶν ἑκούσιον ὑπέστη θάνατον · πλησιαούσης δὲ τῆς σελήνης οὔσης προσήγετο τὸ θῦμα · ἐπεὶ καὶ ὁ τοῦ γένους ἡμῶν Σωτὴρ οὐκ ἄνθρωπος μόνον ἐχρημάτιζεν, ἀλλὰ καὶ Θεός · καὶ τύπον μὲν τῆς Θεότητος φέρει τὸ φῶς, τὸ δὲ σεληνιακὸν σῶμα τῆς προσληφθείσης σαρκός · πλὴν ἐπειδὴ κατὰ τὴν κοσμογένειαν ὁλοκλήρῳ φωτὶ καταλαμπομένη ἡ σελήνη λαμβάνει τὴν προαγωγὴν, ὁ δὲ τοῦ Σωτῆρος ὑπὲρ τοῦ γένους θάνατος ἀνανέωσίν τε καὶ ἀνακαίνισιν ἐπραγματεύετο τοῦ παντὸς, εἰκότως ἡ σελήνη τὸ φῶς ἀμείωτον κατ' ἐκεῖνο καιροῦ παρέχειν ὑπὸ τοῦ πάντα σοφῶς οἰκονομοῦντος ἀπετάχθη.

QUÆSTIO CCXCVI [*Coisl., Taur.* CIX].

Quid ex his verbis intelligendum « Ponam arcum meum in nubibus ? »

ΕΡΩΤΗΣΙΣ ΣΙΣ'.

Τί ἐστι, « Θήσω τὸ τόξον μου ἐν τῇ νεφέλῃ ; »

Edita a Maio (l. c. p. 150, q. 306). — Explanatio in Gen. IX, 13.

Arcum in nubibus, gentilium filii quoddam naturale putant opus, quod suam, unde solet nubes constitutionem accipit ; divo autem Moysi quantum e

Τὸ δὲ ἐν τῇ νεφέλῃ τόξον Ἑλλήνων μὲν παῖδες φυσικόν τι νομίζουσιν ἔργον, καὶ ἀφ' οὗ νεφέλαι καὶ ἥλιος, κἀκεῖνο τὴν σύστασιν λαμβάνει · τῷ δέ γε θε-

Digitized by Google

σπεσίῳ Μωϋσεῖ ὅσον ἀπὸ τῆς τῶν λέξεων προφανοῦς σημασίας οὐκ ἐδόκει τοῦτο, ἀλλὰ σύγχρονον εἶναι τῇ δεδομένῃ διαθήκῃ· « Ἰδοὺ γὰρ, φησὶ, τίθημι τὸ τόξον μου ἐν τῇ νεφέλῃ, ὡς νῦν τιθεμένου καὶ τῆς διαθήκης χρηματίζοντος σημείου · » οὐδὲν δὲ ἄτοπον ἐννοεῖν καὶ φάσεως μὲν ἀπαρχὴν [ἀπαρχῆς ?] προσβολὴν εἶναι τὸ τόξον, ἐπὶ βεβαιώσει δὲ τῆς πρὸς τὸν Νῶε διαθήκης τὸ θεῖον αὐτὸ προσλαμβάνειν · οἷον ὡς εἰ λέγοντες, ὅτι ἕως ἂν τοῦτο γένηται καὶ ἡ φύσις τὸ οἰκεῖον προβάληται ἔργον, οὐκ ἔσται κατακλυσμός· καθ' ἃ ἄν τις εἴποι· Ἕως οὖν ἀνταναιρεθῇ ἡ σελήνη, καὶ ἕως ἂν ὁ ἥλιος τὸν οὐράνιον διατρέχων πόλον τὰ ἐπίγεια φωτίζει · ὅπερ ἐστίν · Ἕως ἡ φύσις τὸν οἰκεῖον εἱρμὸν διασώζει καὶ πρὸς λύσιν οὐ διαστρέφει, ἕως τότε τὸ ἀνθρώπινον γένος κατακλυσμῷ ἀτιμώρητον ἔσται · ὁ δὲ βασιλεὺς τῆς Συρίας μαθεῖν ἀποστέλλει περὶ τῆς ζωῆς αὐτοῦ πρὸς τὸν Ἐλισσαῖον · καίτοι μὴ τῷ Θεῷ, ἀλλ' εἰδώλοις λατρεύων, ὅτι προφήτην αὐτὸν πανταχοῦ διήγγελλεν ἡ φήμη, καὶ ἡ νόσος ἐπιστᾶσα τῷ βασιλεῖ συνηνάγκαζε πυθέσθαι πρὸς οἷον ἀποβήσεται τέλος.

A significatione verborum ejus perspicuum est, non idem videtur sed coævum fuisse arcum concessi olim hominibus Testamenti : « Ecce, inquit Deus, pono areum meum in nubibus, et erit signum fœderis pactique. » Minime autem absurdum credere arcum quasi adjectum statim verbo auctorem quo ipse Deus confirmaret suum cum Noemo fœdus. Perinde ac si dictum esset quandiu arcus iste permanebit, et natura suum opus peraget. Non erit diluvium, quod idem est atque : Quandiu stabit luna, et sol cœlum percurrens, terrestria illuminabit ; vel, Quandiu natura suis nodis astringetur, et ad dissolutionem non vertetur, tandiu genus humanum diluvio non punietur. Syriorum rex ad Elisæum misit qui hunc de regis vita interrogaret, B quamvis ille non Deo, sed idolis inserviret. Prophetæ autem fama undique pervulgata erat, et istiusmodi erat morbus regi instans ut necesse fieret sciscitari quem ad finem exiturus esset.

ΕΡΩΤΗΣΙΣ ΣΙϚ'.

Δίκαιος δὲ ὁ Νῶε τυγχάνων, διατί ἁλίσκεται μέθῃ, καὶ οὐ δίδωσι δίκην ;

QUÆSTIO CCXCVII [*Coisl.*, *Taur.* CX].

Cum justus esset Noe, cur ebrietatis arguitur pœnas non solvat.

Edita a Maio (l. c. p. 150, q. 307). — De Noe ebrio nec tamen punito. Gen. IX, 21.

Δίκαιος δὲ ὁ Νῶε τυγχάνων ἁλίσκεται μέθῃ καὶ οὐ δίδωσι δίκην, ὅτι μήτε ἀκρασίᾳ κεχρημένος τὴν μέθην ὑπέστη, καὶ νόμον οὐκ εἶχε τῆς εἰς κόρον ἀπείργοντα οἰνοποσίας · ἄλλως τε δὲ καὶ ἀγνοίᾳ τῆς χρήσεως, ἀλλ' οὐχὶ πολυποσίᾳ κατέπεσεν εἰς μέθην· κιρνάμενος γὰρ ὁ οἶνος οὐχ οὕτως τῶν ἐπιθολούντων C ἀτμῶν τὸν ἐγκέφαλον πληροῖ καὶ τὸ ἡγεμονικὸν ἐπισκοτίζει · ἡ δὲ ἄκρατος τούτου προσφορὰ θερμοτέρους τούτους ἀναφέρουσα καὶ δριμυτέρους καὶ ἐξ ὀλίγου πόματος μάλιστα τοῖς ἀσυνήθως πρὸς τοῦτο διακειμένοις ἐνεργάζεται τὸ πάθος · πλὴν ὁ θεσπέσιος Παῦλος, πρὸ ἡμῶν τὸν ὑπὲρ αὐτοῦ ποιεῖται λόγον, « Ἁμαρτία, φάσκων, οὐκ ἐλλογεῖτο, μὴ ὄντος νόμου· » διὸ πολλὰ ἂν εὕροις κατὰ τὴν παλαιὰν ἐκείνην πολιτείαν τοὺς θαυμασίους ἐκείνους ἄνδρας διαπεπραχότας ἐξ ἀπειρίας, ἐξ ὧν αὐτοῖς οὐδεμία παρηκολούθησε δίκη · νυνὶ δὲ ἐπεὶ παρ' ἡμῖν καὶ νόμοι καὶ τῶν πρακτέων ἡ γνῶσις ἐπιφανεστάτη, εὐλόγως τοὺς παραβεβηκότας ἡ τῆς παρανομίας ὑποδέχεται τιμωρία.

Cum justus esset Noe, ebrietatis arguitur, nec pœnas solvit, quia non ex intemperantia ebrius factus est, et nondum adversus ebriosos homines lata erat lex, præsertim cum vini inscius, non so nimia cupiditate bibendi vino obrutus sit ; temperatum aquæ vinum non adeo turbulento anhelitu, cerebrum implet, caputque obtenebrat. Meracum autem vinum calefactis hominibus feritatem addit vel modice haustum, præsertimque insuetis animum incendit. Cæterum divus Paulus ante nos rem agitavit dicens : « Peccatum autem non imputabitur quando non esset lex [19] ». Quamobrem in antiqua lege mirabiles videas persæpe viros quibus id inexpertis accidit, ex quo nulla tamen eis consecuta est pœna. Nunc autem apud nos cum et lex et rerum quæ sunt faciendæ cognitio manifestata sit, recte eos qui leges transgressi sunt, transgressionis pœna excipit.

D

ΕΡΩΤΗΣΙΣ ΣΙΗ'.

Πόθεν ἔστι τῆς Γραφῆς λαβεῖν ὑπὸ τοῦ διαβόλου τὸν Ἀδὰμ ἀπατηθῆναι ;

QUÆSTIO CCXCVIII [*Coisl. Taur.* CXII].

Ex quo Scripturæ loco constat, Adamum a diabolo deceptum esse ?

Editarum a Wolfio tricesima octava (*Cur. Philol.*, t. V, p. 692, 693. Galland. XIII, 709, 710)

Ὃ δὲ ἐπηρώτησας, ὡς πόθεν ἔστι τῆς Γραφῆς λαβεῖν, ὑπὸ τοῦ διαβόλου τὸν Ἀδὰμ ἀπατηθῆναι, πᾶσι μὲν εὐσεβέσι νομίζεται τοῦτο, ἀλλ' ἡ Γραφὴ (83) διὰ τοῦ ὄφεως μόνον ἀπατηθῆναι (84) τὴν Εὔαν, δι'

Quod quæris, unde ex Scriptura constet Adamum a diabolo esse seductum, id quidem piis omnibus exploratum habetur. Scriptura tamen, quæ Evam tantum per serpentem, per illam vero Adamum,

[19] Rom. v, 13.

NOTÆ.

(83) Post γραφὴ excidisse videtur facili lapsu librarii, ἢ.
(84) Coislin. ἀπατηθῆναι, Colb. ἀπαιτηθῆναι.

Digitized by Google

deceptum sistit, luculentiorem quæsiti hujus solutionem affert. Ipse enim Dominus noster in Evangeliis nos docuit, dicens : « Ille ab initio homicida est [20]. » Neque enim ibi, quod nonnullis visum est, Cainum innuit ; sed in ipsum Satanam crimen hoc refert. Serpens enim, qui diaboli instrumentum vocatur, nihil dubii movet, quippe qui primarius et princeps seductionis auctor haberi non possit. Propterea vero per serpentem, non autem per aliud animal malus dæmon fraudem Evæ facit, quod animal illud mulieri jucundum esset ideo, quoniam, pro singulari indole sua, alia quæcunque imitando facillime exprimere poterat. Cum vero præterea diabolus animal hoc naturali quadam sagacitate instructum videret, idem illi maxime visum est accommodatum, cujus ministerio ad fraudem faciendam uteretur ; inprimis cum idem tunc quidem linguam haberet ad verba proferenda idoneam. Interim ineffabili providentiæ debetur etiam illud, quod serpens voces articulatas formare potuit. Cum enim Conditor optimus mali dæmonis consilium perspiceret, sciretque eum, nisi serpentem fraudis suæ instrumentum haberet, hominibus ipsis ad mutuam sui deceptionem usurum esse, serpentem humanam vocem emittere passus est, ne pernicies hominum ex ipsis hominibus nasceretur, malique origo ab ipsis prodiret. Quod si enim ipsi auctores persuasionis ad peccandum exstitissent, idem illis usu venisset, quod serpenti accidit, ita quidem, ut sine instituto causæ examine, ad exemplum serpentis, condemnatoriam sententiam audivissent. Itaque sermonis humani facultas serpenti permittitur, ne homo mali auctor fuisse videretur. Ita enim Deus agere consuevit, ut per quæ adversarius malas artes molitur, per eadem pessima ejus consilia evertat et disturbet.

A αὐτῆς δὲ τὸν Ἀδὰμ εἰσάγει, περιφανεστέραν τοῦ ζητήματος τὴν λύσιν ἔχει. Αὐτὸς γὰρ ὁ Κύριος ἐν Εὐαγγελίοις ἐδίδαξεν ἡμᾶς εἰπών· « Ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐστίν. » Καὶ γὰρ οὐχ, ὡς ἐνίοις ἔδοξε, τὸν Κάϊν μηνύει, ἀλλ' εἰς αὐτὸν τὸν Σατανᾶν τὴν κατηγορίαν ἀναφέρει. Ὁ γὰρ ὄφις, ὄργανον μὲν τοῦ διαβόλου χρηματίζων, οὐδεμίαν παρέχεται ἀπορίαν, αὐτουργὸς δὲ καὶ πρωταίτιος τῆς ἀπάτης οὐδαμῶς ἂν ἔχῃ χώραν νομισθῆναι. Διὰ τοῦτο δὲ, καὶ οὐχὶ δι' ἄλλου ζώου, προσάγει ὁ πονηρὸς τὴν ἀπάτην τῇ Εὔᾳ, ὅτι κεχαρισμένον ἦν τοῦτο τὸ ζῶον τῇ γυναικὶ, διὰ τοῦ τὴν ἄλλην εὐφυΐαν καὶ πρὸς τὸ μιμήσασθαι δυνατὸν ἦν. Ἄλλως τε δὲ καί τινος ἐμφύτου μετέχον τοῦτο τὸ ζῶον ὁρῶν φρονήσεως ὁ διάβολος, ἐπιτήδειον ἐνόμισε πρὸς τὴν ὑπB ηρεσίαν αὐτῷ τῆς ἀπάτης χρηματίσαι ὄργανον, ἅτε δὴ μάλιστα καὶ γλῶσσαν ῥήμασιν ὑπηρετήσασθαι λαχόντα τότε τὸν ὄφιν. Ἀφράστου δὲ προνοίας ἔργον ἦν καὶ τὸ, τὸν ὄφιν φωνὰς ἐνάρθρους ἀφιέναι. Ἐνορῶν γὰρ ὁ πλάνης τὰς τοῦ πονηροῦ ἐννοίας, καὶ ὡς εἰ μὴ τὸν ὄφιν ὄργανον τῆς ἀπάτης λάβοι, αὐτοὺς ἐκείνους τοὺς ἀνθρώπους εἰς τὴν ἑαυτῶν ἀπάτην συλαγωγήσει, συγχωρεῖ τὸν ὄφιν ἀνθρωπίνους φωνὰς προΐέναι, ἵνα μὴ ἐξ αὐτῶν τῶν ἀνθρώπων ἡ τῶν ἀνθρώπων λύμη ἐκβλαστήσῃ, καὶ ἡ τοῦ κακοῦ ἀρχὴ ἐκεῖθεν τὴν πρόοδον λάβοι. Εἰ γὰρ αὐτοὶ τῆς εἰσηγήσεως τοῦ ἁμαρτήματος καθεστηκότες ὤφθησαν ἀρχηγοὶ, ὅπερ ἂν ἐπὶ τοῦ ὄφεως ἐπράχθη, καὶ ἐπ' ἐκείνων ἂν διεφυλάχθη. Καὶ οὐδ' ἀνακρίσεως τυχόντες ἄν, ὥσπερ οὐδ' ὁ ὄφις, τὴν καταδικάζουσαν ἐδέC ξαντο ψῆφον. Ἀλλὰ παραχωρεῖται τῷ ὄφει τῶν ἀνθρώπων ὁ λόγος, ἵνα μὴ ὁ ἄνθρωπος ἀρχηγὸς ὀφθῇ γεγενημένος τῆς κακίας. Τοιοῦτον γὰρ τὸ Θεῖον. Ἐξ ὧν ὁ ἀντικείμενος τὴν κακοτεχνίαν ἐπινοεῖται, διὰ τούτων αὐτοῦ τὰ μηχανήματα περιτρέπει τε καὶ καταλύει.

QUÆSTIO CCXCIX [*Coisl. Taur.*, CXVI].

Quid hæc valeant : « Domine, non est exaltatum cor meum. »

ΕΡΩΤΗΣΙΣ Σιθ'.

Τί ἐστι, « Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου· »

Edita a Mai (*Nov. Coll.* t. IX, p. 151).

Hæc verba, « Domine, non est exaltatum cor meum, neque elati sunt oculi mei, neque ambulavi in magnis, neque in mirabilibus super me [21], » hæc in ipsum forsan David conferenda sunt. Qui cum regnum adeptus esset, plurima de hostibus tropæa constituisset, anteaque e pastore rex factus, spe majora consecutus esset, cum iram adversus Nabalpalam exercuisset irruentem filio necem contemplatus, multa expertus a Joab et Semei cæteraque id genus majore dignus miratione videtur, quod cum tantis et talibus rebus tentatus esset, fractæ non sunt ejus vires, nec, quamvis spe majora adeptus intumuit, aut animum extulit, aut sese plus æquo jactavit. Cuncta enim ad summam omnipotentis omniaque regentis Dei potentiam referebat, verbi hujus nusquam immemor : « Ego autem vermis sum, et non homo, hominum dedecus et populi ab-

Τὸ δὲ, « Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην D ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμὲ, » τάχα μὲν καὶ εἰς αὐτὸν ἐκληφθείη τὸν Δαβίδ. Τὸ γὰρ βασιλείαν μὲν περιεζῶσθαι, κατ' ἐχθρῶν δὲ πολλάκις τρόπαια ἀναστῆσαι, καὶ πρὸ τούτων ἀπὸ ποιμένος ἐν βασιλείοις διαιτᾶσθαι, καὶ μειζόνων ἢ κατ' ἐλπίδας ἀξιοῦσθαι, καὶ ὀργὴν ὕστερον κατὰ τοῦ Νάβαλ ἐπιδεδεῖχθαι, θανάτου τε ἀπαίτησιν ἐπισκῆψαι τῷ παιδὶ, παρά τε τοῦ Ἰωὰβ καὶ τοῦ Σεμεεὶ λαβεῖν, καὶ ὅσα ἄλλα τοιαῦτα, θαυμασιώτερον μὲν ἀποφαίνει μᾶλλον τὸν Δαβὶδ εἰ ἐν τοσούτοις καὶ τοιούτοις ἐξεταζόμενος, τὸ τῆς ψυχῆς οὐκ ἐκλονήθη πάγιον, οὐδὲ μειζόνων ἢ κατὰ τὰς ἐλπίδας ἀξιούμενος ἐπῆρεν ἑαυτοῦ καὶ ὑπερύψωσε τὴν καρδίαν, μεῖζον ἢ προσῆκε τὰ καθ' ἑαυτὸν φανταζόμενος· ἀλλ' εἰς τὴν παντοκράτορα καὶ κυριεύουσαν τῶν ὅλων ἅπαντα

[20] Joan. VIII, 44. [21] Psal. CXXX, 1, 2.

Digitized by Google

φέρων ἐτίθει Πρόνοιαν, οὐδαμοῦ λήθην λαμβάνων τοῦ, « Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ. » Εἰ δέ τις ἐθέλοι τὸ εἰρημένον ἐκλαβεῖν καὶ ἐφ' ἑτέρου τινὸς τὴν ταπεινόφρονα ἀρετὴν κατορθωκότος, καὶ εἶναι τοῦτο ὥσπερ στήλην καὶ ὑπογραφὴν ἀνδρὸς ἂν φρόνημα τεταπεινωμένον καὶ συντετριμμένον φέροντος, οὐδ' οὕτος ἂν εἴη τοῦ εἰκότως φερόμενος ἔξω · ταπεινοφροσύνη δ' οὖν, ὡς ἔστι πολλαχόθεν λαβεῖν, καὶ ὁ μέγας ἐκεκόσμητο Δαβίδ. Ἐνίοις δὲ καὶ εἰς ὅλην τὴν ἀνθρωπίνην φύσιν ἔδοξεν ἐναρμόζεσθαι τὸ ῥητόν. Αὕτη γάρ, φησί, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς καὶ τῶν περὶ τὸ σῶμα φυομένων τε καὶ ἀναστρεφομένων παθῶν, οὐδ' ὄντινα καιρὸν ἀνατείνεσθαί τε καὶ ἀνυψοῦσθαι ὑπὲρ ἑαυτὴν δύναται, οἱονεὶ τῷ βάρει καθελκομένη · καὶ ποτὲ μὲν τούτῳ, ποτὲ δὲ ἐκείνῳ βαρυνομένη, καὶ μηδέποτε καθαρὰ τοῦ διενοχλοῦντός τε καὶ βιάζοντος καθεστηκυῖα, μηδὲ τὰς μεγίστας τε καὶ περὶ αὐτῆς ἀναλογίζεσθαι δεδυνημένη ἐννοίας · ἀλλὰ καλῶς γε ποιοῦσα, γῆν τε αὐτὴν καὶ σποδὸν ἡγεῖται, καὶ ἀναξίαν τῆς ὑπὲρ ἄνθρωπον ἀναβάσεως · ἵνα μὴ μεταλαβοῦσα τοῦ ξύλου ἐφέσει θεότητος, καὶ αὐτῆς τῆς πρεπούσης αὐτῇ καὶ ἐναρμοζομένης πάλιν τάξεως κατενεχθῇ · ἐντεῦθεν δὲ ὑψοῖ τὴν ψυχὴν καὶ τρέφει τὴν ἡδεῖαν τροφὴν, ἐκείνας τὰς ἐννοίας ἃς μετὰ τοῦ σώματος τραφῆναι οὐ δύναται · καὶ γὰρ τὸ, « Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ... »

jectio [22]. » Si quis aliter hæc verba interpretetur, eaque referat ad hunc virum humilitati subditum, si dicat scripta et edita esse ab eo cor contritum et humiliatum gerente, hic quoque a recta via non abhorreret. Namque humilitate, ut multis e locis colligitur, magnus ornatus est David. Hæc sententia pluribus etiam visa est humanam ad naturam spectare. Hæc enim, inquiunt, propter carnis infirmitatem omnesque dolores qui in corpore gignuntur et incidunt proprio pondere gravata non ea est quæ vel ad modicum supra seipsam erigi et attolli queat. Etenim nunc his nunc illis onerata, nec unquam turbatione et oppressione liberata, nihil magnum de se excogitat; sed seipsam, haud immerito quidem, nihil præter pulverem et cinerem esse existimat et indignam quæ supra hominem assurgat. Qua in sententia commoratur, ne, particeps crucis facta, sitiensque deitatis, recedat ab ista vitæ ratione quæ ipsam decet, huicque accommodatur. Crux autem in sublime fert animam et proprium cibum ei præbet, et illas cogitationes quæ simul atque corpus ali non possunt. Namque hoc verbum, ut qui a lacte depulsus est ad matrem suam . . . . . .

Τῷ μέντοι εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μεταφέροντι τὴν ἑρμηνείαν, καὶ προφητείαν εἶναι τὸν ἐκείνου βίον καὶ τρόπαιον ὑπογράφουσαν δόξαν ποιουμένῳ, οὐδὲ τοῦτο ἂν γένοιτο τοῖς δευτερείοις ἐναριθμεῖσθαι τῶν ὀρθῶς περὶ τῆς ῥήσεως τεθεωρηκότων· ὥσπερ γὰρ τὸ, « Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, » Δαβὶδ μὲν λέγει, εἰς Χριστὸν δὲ ἐξέβη, οὕτως καὶ τὸ εἰρημένον, « Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, καὶ διεμερίσαντο τὰ ἱμάτιά μου, » καὶ μυρία ἄλλα· τοῦτο δὲ καὶ ὁ Παῦλος συνορῶν, αἰχμαλωτίζειν παραινεῖ πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ · καὶ γὰρ οὐδ' ὑψώθη Χριστὸς ὁ Θεὸς ἡμῶν ὁ ὑπὲρ παντὸς ὕψους καὶ πάσης ὑπεροχῆς τελῶν, οὐδὲ ἐμετεωρίσθη· μᾶλλον δὲ τὸ ἀποστολικὸν εἰπεῖν· « Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου· » καὶ αὐτὸς δὲ ἐκεῖνος κατὰ καιρὸν τοῦ πάθους φησίν· « Ἠδυνάμην παρακαλέσαι τὸν Πατέρα μου, καὶ παρέστησέ μοι πλείονας ἢ δώδεκα λεγεῶνας ἀγγέλων· » ἀλλ', οὗ μοι γνώμη, τὸ ὑψοῦσθαι, μέγεθος δὲ καὶ θαυμασιότης ὑπὲρ αὐτὸν οὔτε ἦν οὔτε ὑπενοεῖτο, οὔτε αὐτὸς οὐδὲ ἐπεστράφη ποτὲ ὑπερενεχθῆναι τούτῳ. Τί γὰρ ἂν εἴη θαυμασιώτερον ἢ μεῖζον τῆς ὑπὲρ πᾶν μέγεθος καὶ ἀξίωμα ὑπεριδρυμένης φύσεως θεϊκῆς; πλὴν ἀλλ' οὐδὲ ὡς ἄνθρωπος τοῖς κατὰ τὰ περίγεια καὶ τὴν σάρκα μεγάλην δόξαν καὶ ὄγκον περιβεβλημένοις οὐδὲ τούτοις συνημιλλᾶτο καὶ συνεπορεύετο· μᾶλλον δὲ τοὐναντίον ἅπαν ταπεινοφροσύνη καὶ μετριότητι ὅλον ἑαυτὸν διερρύθμιζε· διὸ καὶ ὁ προφήτης· « Χαῖρε, φησὶ, θύγατερ Σιών · » καὶ τῆς αἰτίας ἡ χαρὰ, « Ὅτι πρᾶος καὶ

Qui ad Dominum nostrum Jesum Christum interpretationem confert, habetque vitam ejus prophetiam qua tropæum inscribitur iis qui Deo laudem retribuunt, non is non secundum obtinebit locum inter eos qui hac de sententia recte cogitaverunt. « Ut enim foderunt manus meas et pedes meos [23], » dicit David, Christum spectat, sic hoc dictum, descenderunt me in infima fossa, et « Diviserunt sibi vestimenta mea [24] » et sexcenta alia; quod et ipse intelligit Paulus. Omnem sensum ad Christum referens, namque ne elatus quidem fuit Christus Deus noster qui super omnem altitudinem et eminentiam commoratur, nec in sublime erectus fuit. Vel potius apostolicum verbum hujuscemodi est : « Non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit, formam servi accipiens, in similitudinem hominum factus, et humiliavit semetipsum usque ad mortem [25]. » Ipse etiam ad passionis tempus dixit : « Possem rogare Patrem meum, et exhiberet mihi modo plusquam duodecim legiones angelorum [26]; » sed, ut opinor, altitudo, magnitudo et admiratio in Christo nec erant, nec suspiciebantur. Nec ipse quæsivit quomodo cæteris antecelleret. Quid enim mirabilius vel majus esset quam natura divina quæ super omnem magnitudinem et majestatem collocatur? Præterea Christus ne, ut homo quidem, cum eis qui, si ad terrena et corporea spectes, multo fastu circumdantur, contendebat, aut conversabatur. Imo vero se totum in humilitate et modestia componebat. Quare propheta : « Exsulta, filia Sion; nam

[22] Psal. xxi, 7. [23] Psal. xxi, 17. [24] ibid. 19. [25] Philip. ii, 6, 7, 8. [26] ibid.

Digitized by Google

causa est tibi gaudii, quoniam quietus et mansuetus venit ad te rex [26]. » Hoc verbum a lacte depulsum cum his forte congrueret, quia animam quam assumpserat ad antiquam et primitivam dignitatem reduxit, quod idem est ac lacte depulsum ad matrem suam. Si quis autem intelligeret Christum postquam utque Deus, utque homo commorationem suam inter homines peregit, rursus ad paternum gremium ex quo egressus erat reversum esse, is quoque verisimilia conjiceret. Namque illuc recurrens, et accepto super omnia judicio, omnes in semetipsum justificavit, quod ex his verbis constat : « Restitues ad animam meam. »

A ἡσυχος ἥκει σοι ὁ βασιλεύς· » τὸ δὲ, ἀπογεγαλακτισμένον, ἐναρμοσθείη ἂν τοῖς εἰρημένοις, ὅτι καὶ τὴν ψυχὴν ἣν προσείληφεν ἐπὶ τὸ ἀρχαῖον αὐτὴν καὶ προγονικὸν ἐπανήγαγεν ἀξίωμα· τοῦτο γὰρ ἂν εἴη τὸ, « Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ· » εἰ δέ τις ἐθέλοι νοεῖν ὅτι καὶ τὴν μετὰ τῶν ἀνθρώπων ἀναστροφὴν θεοπρεπῶς τε καὶ ἀνθρωποπρεπῶς τελέσας πάλιν ἐπὶ τοὺς πατρικοὺς, ὧν οὐκ ἐξέστη, κόλπους ἐπανῆλθε, καὶ οὕτος ἂν τὰ εἰκότα ἐρεῖ· καὶ γὰρ ἐκεῖσε ἀναδραμὼν καὶ τὴν ὑπὲρ πάντων κρίσιν δεξάμενος, ἐδικαίωσε πάντας ἐν ἑαυτῷ, ὅπερ ὑποδηλώσει ἂν καὶ τὸ, « Ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. »

QUÆSTIO CCC [*Coisl. Taur.* CXIII].

Cur in rubo nec in alia planta Moysi apparuerit Deus?

ΕΡΩΤΗΣΙΣ Τ'.

B *Διατί ἐν βάτῳ καὶ οὐκ ἐν ἑτέρῳ φυτῷ τῷ Μωϋσεῖ ὀπτάνεται ὁ Θεός;*

Edita a Maio (l. c. p. 152-154, q. 309). -- Exod. III, 2.

Multas ob causas; at priusquam excutiamus qua de causa apparuerit, dicere expedit tria hoc symbolum significare. Vel ut rubus ardebat, nec comburebatur, sic Israel obnoxium periculis, pœnis, flammisque miseriæ quibus eum servitio objectum Ægyptii vexabant, sola Dei dextra e morte et exitio ereptum fuisse. Vel Deum Verbum, Patris lumen, incorporeum, divinitatis ignem terrestri et corporeo Virginis sinu fulsisse, inconsumptamque et intactam Virginem quæ conceperat servavisse. Si mavis ipse Divinitatis ignis humanæ consociatus naturæ, illam quidem mundabit, consecrabit, non autem comburet, nec delebit. Verumenimvero hæc rubi mysterio præfigurantur, rubusque, nec alia planta subjicitur igni. Forte quoniam in deserto C nulla alia planta gignebatur; vel etiam, ut discamus ignem divinum cum naturam humanam complecteretur quæ peccata sua ut spinas projicit, illam inflammasse, non autem consumpsisse. Sed spinas circumdantes exussisse ac delevisse. Vel si aliud te juvat, in rubo isto apparent pleræque gentium, abjectis de Deo opinionibus correptæ, et quasi atheismo obsessæ, semina peccatorum secum ferentes, putrefactamque in Deum venerationem, quæ debebant sancti Spiritus adventu et manifestatione accendi, et spinoso illo ingratoque errore mundari, ignisque divini radios accipere. « Ipse, prout dictum est, baptizabit vos in Spiritu sancto et igni [27]. » Ut autem manifestior clariorque esset D figura, memoraut rubum arsisse, non autem combustum esse. Namque rubus repens et spinosus, si ad naturam ejus spectes, infirmus est; si ad speciem, super terram diffusus. Quæ cuncta rubum inter et gentiles quædam communia ponunt. Insuper hac quidem planta nihil fere humilius, quæ, etiamsi augescat, nunquam tamen assurgit, humique semper proserpit: ignis autem, leve quiddam cum habeat, ex omnibus quæ sensu percipiuntur maxime ad excelsa et sublimia tendit. Quo significatur hanc præ cæteris omnibus consti-

Διὰ πολλὰς αἰτίας· μᾶλλον δὲ πρὸ τοῦ ἀποδοῦναι τὰς διατί ὤφθη αἰτίας, ἄμεινον εἰπεῖν ὅτι τρία τινὰ τὸ σύμβολον μηνύει· ἢ ὅτι ὥσπερ ἡ βάτος πυρὶ περιελαμβάνετο μὲν, οὐ κατεκαίετο δὲ, οὕτω καὶ ὁ Ἰσραὴλ ἔκδοτος τοῖς πειρασμοῖς καὶ ταῖς τιμωρίαις καὶ τῇ φλογὶ τῆς ταλαιπωρίας ἦν αὐτοῖς οἱ αἰχμαλωτεύσαντες ὑφῆπτον, μόνῃ δὲ τῇ τοῦ Θεοῦ δεξιᾷ τοῦ μὴ διολωλέναι καὶ ἀποτεφρωθῆναι διετηρήθησαν· ἢ ὅτι ὁ Θεὸς Λόγος τὸ φῶς τὸ πατρικὸν καὶ τὸ ἄϋλον τῆς Θεότητος πῦρ ἐν τῇ γεηρᾷ τε καὶ ὑλώδει τῆς Παρθένου μήτρᾳ περιαστράψαν, ἀκατάφλεκτον καὶ ἀπήμονα διασώσει τὴν δεξαμένην αὐτό· εἰ βούλει δὲ τὸ αὐτὸ τῆς θεότητος πῦρ τῇ ἀνθρωπίνῃ προσομιλῆσαν φύσει, πυρακτώσει μὲν καὶ θεοποιήσει, οὐ καταφλέξει δὲ καὶ ἐξαφανίσει· ἀλλὰ προτυποῖ μὲν τὸ ἐπὶ τῆς βάτου μυστήριον ἴσως ἂν τὰ τοιαῦτα· καὶ ἡ βάτος δὲ ὑποβάλλεται τῷ πυρὶ καὶ οὐχὶ φυτὸν ἕτερον· τάχα μὲν ὅτιπερ οὐδ' ἦν ἑτέρου τινὸς ἡ ἔρημος παρὰ τοῦτο φυτοῦ καρποφόρος· ἔτι δὲ καὶ ἵνα μάθωμεν, ὡς τὴν ἀνθρωπίνην φύσιν τὸ τῆς θεότητος περιλαβὸν πῦρ, οἱονεί τινας ἀκάνθας τὰς ἁμαρτίας προβεβλημένην, ταύτην μὲν ἐφλόγιζεν, οὐ κατέκαιε δέ· τὰς δὲ περὶ αὐτὴν ἀκάνθας κατέκαιε καὶ διέφθειρεν· εἰ βούλει δὲ, καὶ ἐπείπερ τὰ πλήθη τῶν ἐθνῶν ταῖς χαμαιπετέσι περὶ Θεοῦ συρόμενα διανοίαις, καὶ οἷον τῇ ἀθεότητι περικεχυμένα, καὶ τὰς τῶν ἁμαρτιῶν ἐκφέροντα ἐκφύσεις, καὶ τὴν τοῦ σεβάσματος σύστασιν σαθρὰν, ἐμελλε δὲ ταῦτα τῇ τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσει τε καὶ ἐλλάμψει, τῆς μὲν ἀκανθώδους καὶ ζιζανιώδους περιφλέγεσθαι καὶ ἀποκαθαίρεσθαι πλάνης, τὰς δὲ τοῦ θείου πυρὸς ἀκτῖνας ὑποδέχεσθαι. Αὐτὸς γὰρ, φησὶ, βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· ἵν' ἐμφανέστερόν τε καὶ τηλαυγέστερον τὸ εἰκονιζόμενον προσδιατυπωθῇ, ἡ βάτος παραλαμβάνεται, ὑπηρετουμένη μὲν, οὐ φλεγομένη δὲ τῷ πυρί· χαμερπής τε γάρ ἐστι καὶ ἀκανθώδης καὶ τὴν ὑπόστασιν ἀσθενὴς καὶ κατὰ τὴν ὄψιν διηπλωμένη τῆς γῆς· καὶ' ἃ καὶ τὴν ἀναλογίαν πρὸς αὐτὴν διασώζει τὰ ἔθνη. Ἔτι δὲ τοῦ τοιούτου μὲν φυτοῦ σχεδόν τι οὐδὲν

[26] Soph. III, 14. [27] Marc. I, 8.

Digitized by Google

ταπεινότερον, ἀλλ' αὔξην μέν τινα δέχεται, οὐδέπω δ' ἐπαίρεται τῆς γῆς· ἀεὶ δὲ ταύτῃ προσέρπει· τὸ δὲ πῦρ κοῦφόν τε καὶ τῶν ὅσα κρίνεται αἰσθήσει ἀνωφερέστατόν τε καὶ ἀνώτατον· ὡς ἂν οὖν ἐπιδειχθῇ ὅτι ἡ πάντων ὑπερέκεινα τῶν ὄντων ἀνῳκισμένη τε καὶ ὑψηλοτέρα τῆς θεότητος φύσις (πῦρ γὰρ πολλάκις ἡ Γραφὴ τὸν Θεὸν ὀνομάζει), πρὸς τὴν ταπεινοτέραν φύσιν τῶν ἀνθρώπων τῇ πηλῷ καὶ γῇ συμπεφυρμένην οὐκ ἀπηξίωσε κατελθεῖν, εἰκότως τῷ ὑποδείγματι κατάλληλον παρελήφθη φυτόν. Ἔτι δ' ἂν ἐπιθεωρήσαις, ὡς τοῦ Ἑβραίων ἔθνους αὐτομολεῖν πως ἐπιῤῥεπῶς ἔχοντος πρὸς πολυθεΐαν, ἅτε τοῖς τῶν Αἰγυπτίων ἔθεσιν οὐκ ὀλίγοις ἔτεσι συναναπεφυρμένου, ἵνα μὴ αὐτοῖς πρόσβασίς τις εἰς πολυθεΐαν περιγένηται ἐν τῷ τοιούτῳ, εἰδεχθεῖ τε καὶ ταπεινῷ καὶ ἀνεπιτηδείῳ πρὸς παραγωγὴν ξοάνων παραδείκνυται τὸ θαῦμα· ἵνα μὴ καταπλαγέντες τὸ ὁρώμενον, ἢ αὐτό γε τὸ εἶδος τοῦ Θεοῦ αὐτοῦ, εἰς Θεὸν ἀναγραψάμενοι προσκυνήσωσιν· ἢ διαγλύφοντες ἐξ αὐτοῦ ἀπεικάσματά τε καὶ ὁμοιώματα, ὡς θεοὺς αὐτῶν τὰ τῶν χειρῶν ἔργα προσκυνήσωσιν· οἱ γὰρ μετὰ τοσαύτης ζημίας μοσχοποιήσαντες, καὶ ὡς Θεῷ τῷ τύπῳ τῆς τοῦ βοὸς κεφαλῆς προσκυνήσαντες, ἐν ᾧ μηδὲ θεοσημείαν μηδ' ἠντιναοῦν ἐθεάσαντο, τί ἂν οὗτοι οὐκ ἐτόλμησαν, εἰ τῶν ὡραίων τι φυτῶν καὶ πρὸς χρείαν ἐπιτηδείων τὸ πῦρ αὐτοῖς ἀφλέκτως φέρον ἐφαίνετο, μάλιστα ἀκηκοότες τοῦ νομοθέτου λέγοντος· « Ἐλάλησεν ὁ Θεὸς τῷ Μωϋσεῖ ἐκ τῆς βάτου.

tutam et excellentem Dei naturam (ignem enim persæpe Scriptura Deum vocat) non dedignatam esse ad humillissimam hominum naturam limo terraque commistam descendere. Merito igitur planta hinc naturæ congruum exemplum sumptum est. Hoc etiam animadverte quod, cum inesset Hebræorum genti proclivitas ad idololatriam, prodigium istud adeo fœdam, vilem indecoramque præ idolis formam suscepit ne gradus novus ad hæc idola iis supponeretur, scilicet ne visione commoti, aut ipsam Dei speciem pro Deo ponentes adorarent, aut signa et figuras ad ejus similitudinem imitati cum confecissent, hæc manuum suarum opera uti deos venerarentur. Qui enim vitulum tantis impensis excuderunt, proque Deo simulacrum bovino capite instructum adoraverunt ubi nulla omnino Dei manifestatio exstiterat, quid non ausi essent si tempestiva quædam et usurpata herba innoxiam ferens flammam ipsis apparuisset præsertim cum audivissent legislatorem dicentem; « (Deus) vocavit eum (Moysen) de medio rubi[18]. »

ΕΡΩΤΗΣΙΣ ΤΑ'.

Τί δήποτε τοῦ Θεοῦ διαῤῥήξαντος καὶ διαμερίσαντος τὸν τῶν Ἑβραίων λαόν, καὶ τὸν μὲν εἰς Σαμάρειαν ἐξωκικότος, τὸν δὲ εἰς τὴν Ἰουδαίαν ἐγκαταλελοιπότος· γέγραπται γὰρ ὡς εἶπεν ὁ Κύριος τῷ Σολομῶντι· Διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου· ἐκείνου τοίνυν διαῤῥηγνύντος, τί δήποτε τοὺς τὴν ἐκ Θεοῦ διαίρεσιν ὑποστάντας μέμψεσι καθυποβάλλομεν καὶ αἰτίαις; Θεοῦ γὰρ διαῤῥήσσοντος, τίς ἂν συναφθείη; καὶ μερισμὸν καταδικάζοντος, τίς ἐξελεῖται;

QUÆSTIO CCCI [*Coisl. Taur.* CXIV].

Quid tandem, cum Deus sciderit et diviserit Hebræum populum, aliis quidem in Samariam relegatis, aliis autem in Judæa relictis (scriptum est enim Dominum ad Salomonem dixisse: Scindens scindam regnum tuum), cum ergo Deus ipse scindat, quam ob causam, illos qui divisioni subjecti sunt a Deo, conviciis obruamur et ex probationibus? Deo enim scindente, quis conjungatur? et divisionem sanciente, quis expiatur?

Edita a Maio (l. c. p. 95, q. 70). — De regni Judaici divisione quæ a Deo facta dicitur et tamen populo vitio vertitur. III Reg. xi, 11.

Τὸ μὲν οὖν διαπορηθέν σοι, εἴ τι μέμνηται, τοιοῦτον. Εἰδέναι δὲ δεῖ οὐ μόνον ἐπὶ τῆς παρούσης ἀπορίας, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων τῶν παραπλησίαν τὴν περίστασιν ἐχόντων, ὡς αἱ προλαμβάνουσαι τῆς ἐκβάσεως τιμωρητικαὶ τοῦ Θεοῦ ψῆφοι, οὐκ αὐταὶ τῆς ἐκβάσεως τὴν αἰτίαν εἰσὶν ἀναδεδεγμέναι· οὐ γὰρ εἴ τι τῶν γενησομένων προθεωρήσας τις προαναφωνήσει οὐδ' ἐφ' ἡμῶν τῶν ἀνθρωπίνων, μήτοιγε τὸ Θεῖον, αὐτὸς ἂν εἴη δίκαιος τὴν αἰτίαν ἔχειν τῶν ἐκβεβηκότων· λέγεται οὖν ἐν τῇ θείᾳ Γραφῇ τὰ τοιαῦτα· ὡς ἂν μὴ εἰς ἑτέραν τινὰ δύναμιν καὶ ἀρχὴν τὰς ἐπὶ τοῖς ἡμαρτημένοις ἡμῖν ἐπαγομένας τιμωρίας προαχθείημεν ἀναφέρειν· καὶ ταύτην ὁ θεῖος λόγος τὴν ὑπόνοιαν ἀναστέλλων, προαγορεύει τὰ ἐφ' οἷς ἡμάρτομεν συμβησόμενα. Καὶ μία μὲν αἰτία αὕτη τοῦ τὴν αἰτίαν τῶν τοιούτων εἰς τὸ Θεῖον τὴν ἀναφορὰν ἔχειν· δευτέρα δὲ, ὅτι δυνατὸς ὢν ἐπισχεῖν τὴν πρὸς τὰ χείρω ἡμῖν ῥοπὴν, οὐκ ἐκβιάζεται, οὐδὲ πρὸς τἀναντία μεθέλκει· τοιοῦτον δὲ καὶ τὸ, « Ὁ ποιῶν εἰρήνην καὶ κτίζων

Quod ergo te suspensum habet, si bene memini, tale est. Scito autem opus est, non tantum in præsenti dubio, sed et in omnibus aliis similes circumstantias offerentibus, ultricia Dei decreta, quæ eventum præcedunt, causam eventus non esse reputanda: etenim si quid futurum aliquis prævidens proclamet, nec a nobis hominibus, nec certe a Deo causa habebitur eventus. Talia ergo in divina Scriptura dicuntur, ne ad pœnas pro peccatis nostris inflictas ad aliam potestatem et potentiam referendas inducamur, quam divina sententia opinionem reprimens, quæ propter peccata nobis sunt eventura prænuntiat, et primo quidem causa ea est cur imputatio istorum ad divinitatem referatur. Secunda vero quod cum in sua sit potestate reprimere nostram ad pejora inclinationem, nec refrenat, nec ad contraria attrahit. Tale est autem et hoc: « Faciens pacem et creans mala[18]. » Et: « Scio quod non audiet te Pharao: propter quod indurabo cor ejus[19]. » Etenim, dicit *indurabo*, non quod ipse

[18] Isa. xlv, 7. [19] Ex cod. vii, 3.

Digitized by Google

cor Pharaonis in duritiam sit conversurus, sed quod ad illam istum inclinantem et conversum non relevet nec refrenet, ne humanæ naturæ liberum arbitrium auferat. Ægyptium contra voluntatem inclinatum non mutat nec convertit ad malam voluntatem; hoc enim significat *indurabo*. Continet forte quemdam alium eadem lectio sensum : *Indurabo*, id est, duræ et indocili menti dura inducam et istiusmodi feritatis digna.

A κακά·» καὶ, «Οἶδα ὅτι οὐκ ἀκούσεταί σου Φαραὼ· διὰ τοῦτο σκληρυνῶ τὴν καρδίαν αὐτοῦ·» καὶ γὰρ τὸ, *σκληρυνῶ*, οὐχ ὅτι αὐτὸς τὴν τοῦ Φαραὼ καρδίαν μεταπλάσει εἰς σκληρότητα, ἀλλ' ὅτι πρὸς ταύτην αὐτοῦ ῥέποντος καὶ συνεστραμμένου, οὐδὲ ἀναχαιτίζει, ἵνα μὴ περιέλῃ τῆς ἀνθρωπίνης φύσεως τὸ αὐτεξούσιον· καὶ παρ' ἑκούσιον τοῦ Αἰγυπτίου ὡρμηκότος, οὐ μεταβαλεῖ οὐδὲ μεταστήσει πρὸς τὸ ἀκούσιον· τοῦτο γὰρ ἐστι τὸ, *σκληρυνῶ*. Ἔχοι δ' ἂν τινα καὶ ἑτέραν ἡ λέξις αὕτη παραδηλουμένην περιπέτειαν· *σκληρυνῶ* γὰρ ἀντὶ τοῦ, σκληρῷ καὶ ἀτεράμονι τὴν γνώμην ὄντι σκληρὰ αὐτῷ ἐπάξω καὶ τῆς τοῦ τρόπου ὠμότητος ἐπάξια.

Ita ergo, sicut diximus, prævidens Deus illos proprio motu et propria voluntate Roboam desertu-ros esse, servumque et apostatam Jeroboam sequendos esse, et dividendam esse gentem in duas partes, hujus (inquam) cognitionem sicut et omnium aliorum præoccupans Deus, quæ futura sunt B prænuntiat et dicit : Scindam regnum tuum, propter duas causas jam supradictas. Si enim Deo ita semper loquente, et ad semetipsum omnia referente, attamen illi ad alios sese convertentes deos, et Astartem quæ Artemis apud Græcos vocatur et Chamos et muscas colentes, istis suæ vitæ providentiam et durationem attribuerunt, ad quid audaciæ non venissent, si ex sanctarum Scripturarum lectione, illis data fuisset occasio quædam cogitandi, alium quemdam esse finem pœnis facientem, et ex alio quodam malorum onus venire? Videas autem in tentatione justi Job Deum tentationes permittentem et fines quosdam tentationi constituens; verbi gratia, hoc datur tibi tentare, in illum autem ne manum extendas. Omnia enim ab omni C potenti dextra, modo quidem adjuvante et cooperante, modo permittente et non impediente, pendent.

Οὕτω δὴ οὖν ἐνταῦθα, ὥσπερ ἔφημεν, προειδὼς τὸ Θεῖον ὡς ἐξ οἰκείας ὁρμῆς καὶ θελήσεως ἀποστήσονται μὲν τοῦ Ῥοβοὰμ, ἀκολουθήσουσι δὲ τῷ δούλῳ καὶ ἀποστάτῃ Ἱεροβοὰμ καὶ μερισθήσεται τὸ ἔθνος εἰς τμήματα δύο, τούτου τὴν γνῶσιν ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων προειληφὼς ὁ Θεὸς, προαγορεύει τὸ ἐσόμενον, καί φησι· Διαῤῥήξω τὴν βασιλείαν, διὰ τὰς προειρημένας ἔμπροσθεν αἰτίας δύο. Εἰ γὰρ καὶ οὕτω τοῦ Θείου πανταχοῦ λέγοντος καὶ εἰς ἑαυτὸν τὸ πᾶν ἀναφέροντος, οὐ διέλιπον αὐτοὶ πρὸς ἑτέρους ἀποτρέχοντες θεοὺς, καὶ τῇ Ἀστάρτῃ ἥτις ἐστὶ παρ' Ἕλλησιν Ἄρτεμις, καὶ τῷ Χαμὼς καὶ ταῖς μυίαις λατρεύοντες, κἀκείνοις τῆς ἑαυτῶν ζωῆς τὴν πρόνοιάν τε καὶ τὴν διαμονὴν περιάπτοντες, τί οὐκ ἂν ἐτόλμησαν εἴ τινά ποθεν λαβεῖν ἀφορμὴν ἔσχον ἐκ τῆς τῶν ἱερῶν Γραμμάτων διανοίας, ὡς ἄλλος τίς ἐστιν αὐτοῖς ὁ τὰς τιμωρίας ὁρίζων, καὶ ἐξ ἑτέρου τινὸς ἡ τῶν χειρόνων αὐτοῖς ἕπεται φορά; Ἴδοις δ' ἂν καὶ κατὰ τὸ πειρατήριον τοῦ δικαίου Ἰὼβ τὸν Θεὸν συγχωροῦντα τοὺς πειρασμοὺς καὶ ὅρους τινὰς καθορίζοντα τῷ πειράζοντι· οἷον, Τάδε δίδοταί σοι πειράσαι, τούτου δὲ μὴ ἅψῃ. Πάντα γὰρ τῆς παντοκρατορικῆς ἐξῆπται δεξιᾶς, τὰ μὲν ἀντιλαμβανομένης καὶ συμπραττούσης, τὰ δὲ παραχωρούσης καὶ οὐκ ἀπειργούσης.

Similis autem aliquo modo videtur et hæc lectio : « Et addidit furor Domini irasci contra Israel, commovitque David in eis dicentem : Dinumera Israel [30]. » Incitat enim David ad Israel dinumerandum quia erga justi judicis iram et vindictam Israelitæ pro peccatis suis debitores erant; et non est alius impellens Davidem ac ille qui irascitur contra Israel et qui pœnas in illum inducturus erat. Etenim peccati nos reos scimus, testimonium etiam perhibentibus divinis Litteris, accidentium autem nobis pro peccatis tribulationum divina vo- D luntas est auctor. Justi enim est judicis pœnam pro gravitate delicti statuere; etenim iræ causa sunt, qui peccaverunt; ira autem istis punitionem induxit, medio sumpto David, quem ipsi offenderant, propter quod et ipse in Deum peccaverat, etenim dinumeravit, quamvis illum citius aliis condemnaverit; dicit enim : Percussit cor David eum propter populi recensionem. Quali vero pro delicto populus pœnas dare dignatus est? nonne evidens est pro insurrectione contra David suum regem, cum rejecta legitima et justa potestate, in favorem illius

Παραπλήσιον δέ πως εἶναι δοκεῖ καὶ τὸ, « Προσέθετο ὀργὴ Κυρίου τοῦ θυμωθῆναι ἐπὶ Ἰσραήλ. Καὶ ἐπέσεισε τὸν Δαβὶδ εἰς αὐτοὺς λέγων, Ἀρίθμησον τὸν Ἰσραήλ. » Ἐπισείει γὰρ τὸν Δαβὶδ ἀριθμῆσαι τὸν Ἰσραὴλ, ὅτι τοῦ δικαίου κριτοῦ ὀργὴ καὶ τιμωρία τῷ Ἰσραὴλ ἐφ' οἷς ἥμαρτον ἐκεχρεώστητο· καὶ οὐκ ἄλλος τίς ἐστιν ὁ ἀνασείων τὸν Δαβὶδ, ἀλλ' ὁ ὠργισμένος μὲν τῷ Ἰσραὴλ, ἐπενεγκεῖν δὲ μέλλων αὐτοῖς τὴν ποινήν. Καὶ γὰρ τῆς μὲν ἁμαρτίας αὐτοὺς ἴσμεν τε αἰτίους, καὶ τὰ θεῖα διαμαρτύρονται Λόγια, τῶν δὲ ἐρχομένων ἡμῖν ἐφ' οἷς ἐξαμαρτάνομεν θλιβερῶν ἡ θεία ψῆφος δημιουργός· κριτοῦ γὰρ δικαίου, πρὸς τὴν τῶν ἔργων βαρύτητα καὶ τὴν ἐπ' αὐτοὺς τιμωρίαν ἁρμόζεσθαι. Καὶ γὰρ τῆς μὲν ὀργῆς οἱ ἡμαρτηκότες παραίτιοι· ἡ δὲ ὀργὴ τούτοις τὴν τιμωρίαν ἐπήγαγε, μέσου παραλαμβανομένου τοῦ Δαβὶδ, εἰς ὃν ἐκεῖνοι προσέκρουσαν, διὰ τὸ καὶ αὐτὸν ἡμαρτηκέναι Θεῷ· καὶ γὰρ ἠρίθμησεν· εἰ καὶ θᾶττον αὐτὸν πρὸ τῶν ἄλλων κατεδίκασεν· φησὶ γάρ· « Ἔπαξε καρδία Δαβὶδ αὐτὸν ὅτι ἠρίθμησε τὸν λαόν. » Ποίας δὲ παρανομίας τηνικαῦτα ὁ λαὸς ὑποσχεῖν ἐδικαιοῦτο τιμωρίαν, ἢ δηλονότι τῆς ἐπαναστάσεως τῆς κατὰ

[30] Exod. xiv, 4. [31] Num. xxv, 4.

Digitized by Google

τοῦ σφῶν βασιλέως Δαβίδ ; ἡνίκα διαῤῥαγέντες ἐκ A qui contra patrem et regem tyrannicas manus levaverat, nullo naturæ respectu, nulla dignitatis regiæ reverentia, consurrexerunt et simul secessernnt. Quo factum est ut alii alios crudeliter trucidaverint, et omnes naturæ leges pedibus conculcaverint, filiis sæpe contra patres gladium ferentibus, et charissimo filio manu paterna jacente. Hæc sunt enim belli civilis mala ; cujus autem mutuæ cædis æquum erat pœnas dare Israel. Cum autem illum pœnæ causam nescire oporteret, sicut quædam principalis causa vindictæ dicitur Davidem excitatum fuisse ad populum dinumerandum.

νόμου καὶ δικαίας ἀρχῆς τῷ κατὰ πατρὸς καὶ βασιλέως τυραννικὰς χεῖρας ἀντάραντι, καὶ μήτε τὴν φύσιν εὐλαβηθέντι, μήτε τὸ τῆς βασιλείας ἀξίωμα δυσωπηθέντι, συνεπανέστησάν τε καὶ συναπεστάτησαν. Ἐξ οὗ κυρίως μὲν κατ' ἀλλήλων ἐῤῥυήκει ὁ φόνος, ἅπας δὲ φύσεως κατεπατήθη νόμος, παίδων πολλάκις κατὰ πατέρων τὰ ξίφη φερόντων, καὶ ὁ φίλτατος υἱὸς χειρὸς πατρικῆς ἔργον κείμενος· τοιαῦτα γὰρ τὰ κακὰ τῆς ἐμφυλίου στάσεως. Ταύτης οὖν τῆς κατ' ἀλλήλων μιαιφονίας, δίκαιος ἦν ὑποσχεῖν τὴν τιμωρίαν ὁ Ἰσραήλ· ἐπεὶ δὲ ἔδει ποινηλαθῆναι αὐτὸν, οἷόν τις προκαταρκτικὴ αἰτία τιμωρίας διατίθεται τὸ ἀνασεισθῆναι τὸν Δαβὶδ ἐξαριθμῆσαι τὸν λαόν.

Hæc enim belli civilis mala ; cujus autem mutuæ cædis æquum erat pœnas dare Israel. Cum autem illum pœnæ causam nescire oporteret, sicut quædam principalis causa vindictæ dicitur Davidem excitatum fuisse ad populum dinumerandum.

Ὅτι γὰρ οὐδὲ τῶν δεινῶν σφόδρα παρὰ βασιλέως ἦν B Quod enim non tam fuerit criminosa ista populi recensio a rege facta, quamvis nunc ut causa punitionis tradatur, clare demonstrat illa quæ postea ab eodem David facta fuit recensio, propter quam nullum occurrit malum, siquidem nullam malitiæ accusationem attulit nec pœnam induxit. Illa facta fuit extremis regis annis, cum levitarum numerus recensitus fuit. Quod satis clare indicat Scriptura dum verba : « Adjecit ira Dei irasci contra populum Israel » ponit ante illa « Impulit David » inducens aliquo modo et disponens auditores ad intelligendum non propter populi recensionem iram Dei excitatam fuisse, sed propter factam ab eis rebellionem et tyrannidem et cædem. Ira enim recensione præposita, illam non propter recensionem inductam fuisse clarum est. Incitatur vero ipse David et non alius, quia propter ipsius delictum Absalonis insurrectio accidit, dicit enim : « Quia occidisti et adulterium commisisti, sub aliorum potestate eris, sed et mulieres tuas in oculis tuis proximus tuus tollet. » Quod quidem fecit Absalom. Commovetur ergo ipse qui peccavit ut sui delicti conscientiam habens, « Ego peccavi, clamitet, ego male egi, hic autem populus quid fecit ? » et ex ista confessione et pœnitentia tribulationis fiat finis, et ista cessante, salus genti superveniat. Potius autem quæ supra memorans, pœnam meruit populus, propter quod adjecit furor Domini irasci contra illos ; commovit autem ira David ad populum dinumerandum. Post autem recensionem irruit plaga ; qua stante, in conscientiam delicti venit David, et ex conscientia in pœnitentiam, pœnitentia autem veniam et misericordiam a Deo attrahit, et sic finem habet tribulatio, ita ut mala populo quasi in uno capite peccasset acciderint, et malorum levamen per ejusdem pœnitentiam contigerit.

ἡ ἀρίθμησις τοῦ λαοῦ, κἂν νῦν εἰς αἰτίαν τῆς τιμωρίας παρείληπται, δηλοῖ καὶ ἡ μετὰ ταῦτα ἀπαρίθμησις παρὰ τῷ αὐτῷ γεγενημένη Δαβίδ· ἐφ' ᾗ οὔτε τι μηδὲν ἀπήντησε πονηρὸν καὶ μήτε πονηρίας ἐγκλήματι ὑπαχθεῖσα μήτε τινὰ ἐφελκυσαμένη ποινήν· αὕτη δὲ περὶ τὰ τέλη γέγονε τοῦ βασιλέως· ὅτε καὶ ὁ τῶν Λευϊτῶν συνελογίσθη ἀριθμός· τοῦτο δὲ καὶ συνυπεμφαίνουσα ἡ Γραφὴ, τὸ, « Προσέθετο ὀργὴ Κυρίου θυμωθῆναι ἐπὶ Ἰσραὴλ, » διατίθησι πρὸ τοῦ, « Ἀνέσεισε τὸν Δαβὶδ, » ἐνάγουσα οἱονεὶ καὶ διανιστῶσα τὸν ἀκροατὴν συνιδεῖν ὡς οὐχὶ διὰ τὸ ἀριθμηθῆναι τὸν λαὸν ἡ ὀργὴ ἀνήφθη τοῦ Θεοῦ, ἀλλὰ διὰ τὴν προσγεγενημένην αὐτῶν στάσιν τε καὶ τυραννίδα καὶ μιαιφονίαν· τὸ γὰρ τὴν ὀργὴν προτεθεῖσθαι τῆς ἀριθμήσεως, οὐ διὰ τὴν ἀρίθμησιν ἐπαχθῆναι ταύτην δηλοῖ· ἀνασείεται δὲ αὐτὸς ὁ Δαβὶδ καὶ οὐκ ἄλλος, ὅτιπερ διὰ τὸ αὐτοῦ ἁμάρτημα ἡ τοῦ Ἀβεσαλὼμ ἐπανάστασις συνέβη. « Ἀνθ' ὧν γὰρ, φησὶν, ἐφόνευσας καὶ ἐμοίχευσας, καὶ ἑτέροις μὲν ὑπαχθήσῃ, πλὴν ἀλλὰ καὶ αἱ γυναῖκές σου ἐνώπιον τῶν ὀφθαλμῶν σου εἰς ἑτέρους μεταστήσονται, » ὃ δὴ καὶ διαπέπρακται τῷ Ἀβεσαλώμ· ἀνασείεται οὖν αὐτὸς ὁ ἡμαρτηκὼς, ἵνα τοῦ οἰκείου πταίσματος εἰς συναισθησιν ἐλθὼν, « Ἐγὼ ἥμαρτον, ἀναβοήσῃ, καὶ ἐγὼ ἐκακοποίησα, οὗτος δὲ ὁ λαὸς τί ἐποίησε ; » Καὶ ἐκ μὲν τῆς ἐξαγορεύσεως καὶ μετανοίας ἡ θραῦσις κοπάσῃ· ταύτης δὲ ληγούσης ἡ σωτηρία περιγένοιτο τῷ γένει· μᾶλλον δὲ ἄνωθεν εἰπεῖν, ἐκεχρεωστήκει τὴν δίκην ὁ λαός· διὰ τοῦτο προσέθετο ὀργὴ Θεοῦ θυμωθῆναι ἐπ' αὐτούς· ἀνασείει δὲ ὁ θυμὸς πρὸς τὴν ἀρίθμησιν τὸν Δαβίδ· ἀριθμηθέντος δὲ ἐπέθετο ἡ πληγή· ἱσταμένης δὲ τῆς πληγῆς εἰς συναίσθησιν τοῦ παρσπτώματος ἦκε ὁ Δαβὶδ· ἐκ τῆς συναισθήσεως, εἰς μετάνοιαν· ἡ μετάνοια δὲ τὴν ἄνωθεν συγγνώμην καὶ τὸν ἔλεον κινεῖ· τὰ δὲ παύουσι τὴν θραῦσιν· ὥστε καὶ τὸ δεινὸν τῷ λαῷ ὥσπερ ἀπό τινος κεφαλῆς τῷ ἡμαρτηκότι κατέβη· καὶ ἡ τοῦ πάθους πάλιν ἀναστολὴ διὰ τὴν αὐτοῦ μετάνοιαν κατεπράχθη.

Quod enim non tam fuerit criminosa ista populi recensio a rege facta, quamvis nunc ut causa punitionis tradatur, clare demonstrat illa quæ postea ab eodem David facta fuit recensio, propter quam nullum occurrit malum, siquidem nullam malitiæ accusationem attulit nec pœnam induxit. Illa facta fuit extremis regis annis, cum levitarum numerus recensitus fuit. Quod satis clare indicat Scriptura dum verba : « Adjecit ira Dei irasci contra populum Israel » ponit ante illa « Impulit David » inducens aliquo modo et disponens auditores ad intelligendum non propter populi recensionem iram Dei excitatam fuisse, sed propter factam ab eis rebellionem et tyrannidem et cædem. Ira enim recensione præposita, illam non propter recensionem inductam fuisse clarum est. Incitatur vero ipse David et non alius, quia propter ipsius delictum Absalonis insurrectio accidit, dicit enim : « Quia occidisti et adulterium commisisti, sub aliorum potestate eris, sed et mulieres tuas in oculis tuis proximus tuus tollet. » Quod quidem fecit Absalom. Commovetur ergo ipse qui peccavit ut sui delicti conscientiam habens, « Ego peccavi, clamitet, ego male egi, hic autem populus quid fecit ? » et ex ista confessione et pœnitentia tribulationis fiat finis, et ista cessante, salus genti superveniat. Potius autem quæ supra memorans, pœnam meruit populus, propter quod adjecit furor Domini irasci contra illos ; commovit autem ira David ad populum dinumerandum. Post autem recensionem irruit plaga ; qua stante, in conscientiam delicti venit David, et ex conscientia in pœnitentiam, pœnitentia autem veniam et misericordiam a Deo attrahit, et sic finem habet tribulatio, ita ut mala populo quasi in uno capite peccasset acciderint, et malorum levamen per ejusdem pœnitentiam contigerit.

ΕΡΩΤΗΣΙΣ ΤΒ'.

Διατί ὁ θεσπέσιος Δαβὶδ παραχωρεῖται πεσεῖν εἰς ἁμαρτίαν καὶ τότε τηλικαύτην ;

QUÆSTIO CCCII [*Coisl. Taur.* CX].

Cur permiserit Deus prophetam Davidem tanto succumbere ?

Edita a Maio (l. c. p. 154, q. 310). — II Reg. xi, 1 seq.

Τάχα μὲν καὶ διά τινας ἑτέρας ἀπορῥήτους αἰτίας · πλὴν ὡς ἂν καὶ τῷ βίῳ μετανοίας προστεθειμένον εἴη παράδειγμα · εἰ γὰρ οὗτος βασιλεύς τε ὢν καὶ

Quibusdam occultis forte de causis, at saltem ut nobis David pœnitentiæ proponeretur exemplar ; si enim hujusmodi rex quem secundum cor Dei

Digitized by Google

regnavisse accepimus, tam cito e lapsu se attulit, pœnitentiaque et lacrymis conatus est delere iniquitatem suam, nonne oportet nos qui non semel tantum cecidimus, sed continuo labimur, facere ut largo fletu et contrito corde peccata nostra emendemus? Argumentum quoque hoc est ne quidam, virtute insignes, cum in eos errores deciderint, qui sunt hominis, semetipsos, omni deposita spe, pessumdent; sed potius attendant beatum hunc Davidem, quanto scelere astrictum, quam cito salutem invenerit, ut et ipsi eodem studio excitentur, assurgant, emendatisque moribus unice demum consulentes, priorem integritatem usque colant. Forsan quoque tanto peccato permittitur succumbere David ne Judæi audientes magna quæ de illo sacræ Scripturæ testantur, ex æquo illum cum Deo colerent; etenim eadem de causa Moysis corpus subreptum est; ignotumque usque ad præsens tempus a filiis Israel vocatur, Divusque Paulus idem de semetipso declarat dicens : « Ne quisquam sese scandalizaverit super me propter quod videt et audit; » et reipsa gentilium quidam una vidissent prodigia quæ ipse et Barnabas perpetrabant ut diis sacra facere properaverunt.

A κατὰ τὴν καρδίαν πεπολιτεῦσθαι μεμαρτυρημένος Θεοῦ, πεσὼν οὗτος θᾶττον ἀνέστη καὶ διὰ μετανοίας καὶ δακρύων ἐσπούδασεν ἐκκαθᾶραι τὸ ὀλίσθημα. πῶς οὐ χρὴ καὶ ἡμᾶς οὐχ ἅπαξ πεσόντας, ἀλλὰ διὰ παντὸς πίπτοντας, θερμοῖς τοῖς δάκρυσι καὶ συντετριμμένῃ καρδίᾳ ἀπαλείφειν πειρᾶσθαι τὰ ἁμαρτήματα; ἔτι δὲ, ἵνα μὴ δήποτέ τινες τῶν ἐν κατορθώμασι διαλαμπόντων, οἷα δὴ τὰ ἀνθρώπινα εἰς παράπτωμά τι κατωλισθηκότες ἀπογνώσει ἑαυτοὺς καὶ ἀπελπιστίᾳ παραδῶσιν · ἀλλ' ἔχοντες τὸν μακάριον ἐκεῖνον Δαβὶδ τηλικαύτην μὲν παρανομίαν εἰργασμένον, οὕτω δὲ ταχεῖαν τὴν θεραπείαν εὑρημένον, καὶ αὐτοὶ πρὸς τὸν ὅμοιον διαναστῶσι ζῆλον, καὶ τοῦ πτώματος ἀνασφαλέντες, καὶ τῆς μετανοίας ὅλοι γεγονότες, τῶν προτέρων ἔχωνται κατορθωμάτων · ἴσως δὲ B καὶ συγχωρεῖ ὁ Θεὸς εἰς ἁμαρτίαν πεσεῖν τὸν Δαβὶδ, ἵνα μὴ τὰς τῆς ἱερᾶς Γραφῆς περὶ αὐτοῦ μαρτυρίας τὸ Ἰουδαίων ἔθνος ἀκούοντες εἰς Θεὸν αὐτὸν ἀναστήσωσι · καὶ γὰρ καὶ τὸ Μωϋσέως σῶμα διὰ τὴν αὐτὴν αἰτίαν μετατεθὲν, ἄγνωστον μέχρι καὶ τήμερον χρηματίζει τοῖς ἐξ Ἰσραήλ · καὶ ὁ θεσπέσιος δὲ Παῦλος τοιοῦτόν τι περὶ αὐτοῦ ὑποδηλοῖ λαλῶν · « Ἵνα μή τις ὑπολογίσηταί τις περὶ ἐμοῦ ὑπὲρ ὃ βλέπει καὶ ἀκούει · ἀλλὰ καί τινες τῶν Ἑλληνιζόντων ἐπεὶ τερατουργοῦντας εἶδον αὐτόν τε καὶ Βαρνάβαν, ὡς θεοῖς προσφέρειν θυσίας ὥρμησαν.

QUÆSTIO CCCIII [*Coisl. Taur.* CXVI].

Quare Deus primogenitum Israel vocavit?

ΕΡΩΤΗΣΙΣ ΤΓ'.

Διατί πρωτότοκον ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκάλεσε,

Edita a Maio (l. c. q. 100, 101, q. 132).

Deus Israel primogenitum vocat, cum Moysen ad Pharaonem misit, ad ostendendum quantum amorem et quantam charitatem erga illum habebat. Sic aliquo modo ad Moysen loquebatur : Loquere Pharaoni. Quantum tu amorem erga filium tuum primogenitum habes et servas, tantum puta et Deum habere erga populum Israel. Itaque non acquiescente illo liberationi et reditui Israel, contra primogenitos Pharaonis et Ægyptiorum plaga irruit. » Deus autem cum sit omnium gentium factor et auctor, ita est et omnium providentia. Sequentibus autem temporibus, omnes gentes ad eamdem cognitionem conversurus erat et convocaturus, et filios et hæredes gratiæ redditurus. Ante illas autem gentem Israeliticam elegit, ut per illam omnes alias conduceret : quod et demonstrant apostoli, qui quidem ex Israel D orti sunt omnium autem magistri et conductores facti sunt, propterea Israelitis vox *primogenitus* donata est. Non recepit autem illi primogenitus pietatis perfectionem, itaque durus et indocilis factus est non solum in Ægypto, sed et post exitum in deserto. Propter quod perfectioribus non dignatus est mysteriis et per legem secundi ordinis semper instituitur. Cum enim legem digito Dei scriptam, tabulisque humanis manibus non confectis insculptam, legem nobis a Christo dandam figurantem, populus Hebræus, propter vituli aurei transgressionem et impietatem, non dignatus fuerit accipere, accepit secundam quam Moyses tabulis a se politis inscripsit. Si enim ipsas a Deo scriptas

C Πρωτότοκον δὲ ὁ Θεὸς τὸν Ἰσραὴλ καλεῖ, ἡνίκα τὸν Μωϋσῆ ἀπέστελλε πρὸς τὸν Φαραὼ, ἐνδεικνύμενος τὴν ἀγάπην καὶ στοργὴν ὅσην εἶχε περὶ αὐτόν · ὡσανεὶ ἔλεγε τῷ Μωϋσεῖ · « Λάλησον τῷ Φαραὼ, ὅτι Ἠλίκην σὺ στοργὴν περὶ τὸν σὸν υἱὸν τὸν πρωτότοκον ἔχεις καὶ διατηρεῖς, τὴν αὐτὴν ἐνόει καὶ πρὸς τὸ γένος τοῦ Ἰσραὴλ ἔχειν τὸν Θεόν · διὸ καὶ ἀπειθοῦντος πρὸς τὴν ἐλευθερίαν καὶ ἄνοδον τοῦ Ἰσραὴλ, κατὰ τῶν πρωτοτόκων τοῦ Φαραὼ καὶ τῶν Αἰγυπτίων ἀφίεται ἡ πληγή · » ἔτι δὲ ὁ Θεὸς ἐπειδὴ ἁπάντων ἐστὶν ἐθνῶν πλάστης καὶ δημιουργὸς, οὕτω καὶ πάντων προνοητής · χρόνοις δ' ὑστέροις τὰ ἔθνη πάντα πρὸς τὴν οἰκείαν ἐπίγνωσιν ἐμελλεν ἐπιστρέφειν καὶ καλεῖν καὶ υἱοὺς αὐτοῦ καὶ κληρονόμους τῆς χάριτος ἀποφαίνειν · πρὸ δὲ τούτων τὸ ἔθνος ἐξελέξατο τοῦ Ἰσραὴλ ὡς ἂν δι' αὐτοῦ συναγάγῃ καὶ τοὺς ἄλλους. Καὶ δηλοῦσιν οἱ ἀπόστολοι τοῦτο ἐξ Ἰσραὴλ μὲν φύντες, πάντων δὲ τῶν ἐθνῶν διδάσκαλοι καὶ συναγωγεῖς γεγενημένοι · διὰ τοῦτο τοῖς Ἰσραηλίταις ἡ *πρωτότοκος* ἐχαρίσθη φωνή. Οὐ Λαμβάνει δὲ ὁ πρωτότοκος οὗτος τὰ τῆς εὐσεβείας τελεώτερα · διότι σκληρὸς καὶ ἀπειθὴς γέγονεν, οὐ κατὰ τὴν Αἴγυπτον μόνον, ἀλλὰ μετὰ τὴν ἐξ Αἰγύπτου ἔξοδον ἐν τῇ ἐρήμῳ. Διὸ τῶν μὲν τελειοτέρων οὐκ ἀξιοῦται μυστηρίων, διὰ δὲ τοῦ δευτέραν τάξιν ἔχοντος νόμου τέως παιδαγωγεῖται. Ἐπεὶ καὶ τὸν δακτύλῳ Θεοῦ γεγραμμένον νόμον πλαξί τε ἀχειροποιήτοις ἐντετυπωμένον, ὃς τὸν ἡμέτερον καὶ κατὰ Χριστὸν προετύπου νόμον οὐκ ἀξιοῦται δέξασθαι τὸ Ἰουδαίων ἔθνος διὰ τὴν

Digitized by Google

περὶ τὸν μόσχον δυσσέβειάν τε καὶ παρανομίαν, λαμβάνει δὲ τὸν δεύτερον καὶ ὃν Μωϋσῆς πλαξὶν ἃς αὐτὸς ἐλάξευσεν ἐγεγράφει. Εἰ γὰρ αὐτὰς τὰς θεογραφους πλάκας ἔλαβον καὶ κρεῖττον ἢ κατὰ χειρὸς ἔργον ἐκλελαξευμένας, τάχα ἂν καὶ θεοὺς αὐτὰς ἡγοῦντο καὶ ἐπὶ μεῖζον τὴν θείαν κατ' αὐτῶν ὀργὴν ἀνῆψαν· ἀλλ' ἐκείνοις μὲν δι' ἣν ἔφημεν αἰτίαν τὰ τελειότερα οὐ παραδίδοται τῶν μυστηρίων. Ἐπ' ἐσχάτων δὲ ἡμερῶν ἄνθρωπος γεγονὼς ὁ τοῦ Θεοῦ Λόγος, καὶ θέμενος τὰ ἔθνη εἰς υἱοὺς, δίδωσιν αὐτοῖς οὐκέτι τὴν ἐν τύπῳ καὶ σκιᾷ παλαιωθεῖσαν λατρείαν, ἀλλὰ καὶ ἐν ἀληθείᾳ καὶ πράγματι νεάζουσάν τε καὶ ἐνακμάζουσαν τὸ τῆς εὐσεβείας ἀκήρατον κάλλος. Πάντων γοῦν υἱοθετηθέντων τῶν ἐθνῶν, εἰκότως ὁ πρὸ αὐτῶν εἰς υἱοθεσίαν κληθεὶς πρωτότοκος ἐλέγετο τοῦ Ἰσραὴλ λαός. Ὧδε δέ μοι καὶ ἕτερον σκόπει· Ὁ τοῦ Θεοῦ Λόγος ἐκ σπέρματος φαίνεται κατὰ τὸ ἀνθρώπινον ἐληλυθὼς Ἰσραήλ· δι' αὐτοῦ δὲ πρωτότοκον ἅπαν Αἰγυπτιακὸν, τουτέστιν ἀσεβὲς καὶ ἄθεον γέννημα, τῷ θανάτῳ καὶ τῇ φθορᾷ ὑποβέβληται. Ἐπεὶ οὖν ἐκ τοῦ Ἰσραὴλ ἔφυ ὁ τῶν Αἰγυπτιακῶν ἀναιρέτης πρωτοτόκων, πρωτότοκον καὶ τὸν Ἰσραὴλ καλεῖ. Καὶ τοῦτο ἄρα καὶ ὁ Εὐαγγελιστὴς ἀναγράφει· « Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου. » Ἐπισκεπτέον οὖν ἄμεινον τούτων.

A tabulas et melius quam ab humanis manibus politas accepisset, eas mox ut deos habuisset et Deum contra se ad majorem iram excitasset. Illis quidem propter quam diximus causam perfectiora non sunt tradita mysteria. Novissimis autem diebus, homo factum Dei Verbum, gentibus in adoptionem filiorum vocatis, illis non jam figuris et tenebris antiquis obumbratum cultum dedit, sed in veritate et in opere virescentem, et purum pietatis decorem producentem. Omnibus ergo gentibus in adoptionem filiorum vocatis, merito qui ante illas in adoptionem vocatus est, populus Israel primogenitus dicitur. Hic autem et hoc mecum considera, Dei Verbum ex semine David veniens secundum humanitatem apparet. Per illum autem omne primogenitum Ægypti, ut impia et incredula generatio, morti et corruptioni subjectum fuit. Cum ergo ex Israel ortus sit Ægyptiorum interfector primogenitorum, primogenitum et Israel vocat. Hoc Evangelista describit dicens : « Ex Ægypto vocavi filium meum [30]. » Quæ sunt ergo meliora pensanda sunt.

B

ΕΡΩΤΗΣΙΣ ΤΔ'.

Πῶς οἱ οὐρανοὶ διηγοῦνται δόξαν τοῦ Θεοῦ;

QUÆSTIO CCCIV [*Coisl. Taur.* CXVIII].

Quomodo cœli enarrent gloriam Dei?

Edita a Maio (l. c. p. 97, 98, q. 81).— In Psal. xviii (Græc. xix), 1.

Οἱ δὲ οὐρανοὶ μὴ ἔχοντες στόμα διηγοῦνται δόξαν Θεοῦ, διότι ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ὁ γενεσιουργος θεωρεῖται, καὶ τὸ περὶ αὐτὰ θαῦμα τοῖς γε φρονοῦσιν εἰς τὸν Δημιουργὸν ἀναφέρεται καὶ διαβαίνει· ὥστε οἱ οὐρανοὶ οὐχὶ ῥήμασι, πράγμασι δὲ τήν τε δύναμιν ἀνακηρύττουσι τοῦ Δημιουργοῦ, καὶ πρὸς δοξολογίαν παρακαλοῦσι τοὺς ὀρθῶς αὐτοῖς ἐνορῶντας· εἰ δὲ κατ' ἐπιβολὴν θεωρίας ἐθελήσοις ἐννοεῖν, εὑρήσεις οὐρανοὺς τοὺς ἀποστόλους, οἳ διηγήσαντο τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ πάσῃ τῇ οἰκουμένῃ, καὶ δοξάζειν τὸν Θεὸν τὸν ὑπὲρ ἡμῶν τὰ ἡμέτερα ἀναλαβόντα, ὑπέδειξάν τε καὶ καθηγήσαντο· εἰ βούλει δὲ, διηγήσαντο οἱ οὐρανοὶ τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν Χριστοῦ, ἡνίκα τῶν πατρικῶν μὴ κενωθεὶς κόλπων, ἐκ Παρθένου σάρκα λαβεῖν κατηξίωσεν, καὶ εἶχεν αὐτὸν ἡ Βηθλεὲμ καὶ τὸ σπήλαιον· τότε γὰρ δὴ, τότε ἡ ἐν τοῖς οὐρανοῖς ἀριθμουμένη φύσις, τοῦτο μὲν ἡ ὁρατὴ, τοῦτο δὲ καὶ ἡ ὑπὲρ τὸ ὁρώμενον, ὑπηρετεῖτό τε καὶ καθυπούργει τῷ θαύματι· ἡ μὲν οἱονεί τινα κήρυκα κοινὸν τὸν ἀστέρα χειροτονοῦσα καὶ προβάλλουσα ἀνακηρύττει τοῦ Δεσπότου τὴν δόξαν, καὶ τὸν κρυπτόμενον βασιλέα δι' ἑνὸς δορυφόρου προπομπεύουσα· ἡ δὲ πλῆθος στρατιᾶς προβαλλομένη τὸν Κτίστην αἰνούντων, καὶ τῶν τελουμένων τὸ θαῦμα διηγουμένων τῷ ᾄσματι· ῥηθεῖεν δ' ἂν οὐκ ἀπεικότως οἱ ἄγγελοι οὐρανοὶ, ἅτε δὴ ἄνωθεν ἀφιγμένοι πρὸς τὰ ἐπίγεια· εἰ δὲ καὶ τὸν ἥλιον ἐθέλοις ἰδεῖν ἐπὶ τῷ Δεσποτικῷ πάθει σκυθρωπάζοντα, καὶ τῇ ἀποθέσει τοῦ περικαλλοῦς ἐκείνου φω-

C

D

Cœli, cum os non habeant, gloriam Dei annuntiant in eo sensu quod ex magnitudine et multitudine creatarum rerum auctor dignoscitur et istorum admiratio a sapientibus ad auctorem refertur et ascendit; ita ut cœli non verbis, sed factis Creatoris potentiam prædicent et ad illum glorificandum illos qui rectis oculis in istos respiciunt hortentur. Si autem supra visibilia mentem elevare volueris, cœlos invenies apostolos esse qui Evangelium Christi in universa terra annuntiaverunt, et ad Deum qui supra nosmetipsos nostra assumpsit glorificandum docuerunt et instruxerunt. Si autem volueris, annuntiabant cœli gloriam Dei nostri Jesu Christi, cum, paterno sinu non derelicto, ex Virgine incarnari dignatus est et illum Bethleem et præsepe habuerunt. Tunc enim præsertim creaturæ quæ in cœlis numerantur tam visibiles quam invisibiles, miraculo ministrabant et serviebant. Illæ quidem sicut præconem communem stellam eligentes et præmittentes, Domini gloriam et absconditum regem per unum custodem concomitantes, prædicant. Hæ vero multitudinem exercitus præmittentes ad laudandum Deum et ad operata mirabilia canticis celebranda. Dicet forte aliquis satis verisimiliter angelos esse cœlos, siquidem e cœlo venerunt ad terrena. Si vero et solem volueris videre propter Dominicam passionem pallescentem, et deposito præpulchro suo lumine, divinitatem et potentiam patientis annuntiantem,

[30] Osee xi, 2; Matth. ii, 15.

Digitized by Google

non longe ab interpretatione secundum visionem fueris.

τὸς τὴν θεότητα καὶ τὴν δύναμιν τοῦ πάσχοντος ἀναγγέλλοντα, ἐγγὺς ἂν γένοιο καὶ τῆς κατὰ θεωρίαν ἀναπτύξεως.

QUÆSTIO CCCV [*Coisl. Taur.* CXVIII].

Quid sit : « Increpasti gentes et periit impius? »

ΕΡΩΤΗΣΙΣ ΤΕ'.

Τί ἐστιν· « Ἐπετίμησας τοῖς ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής; »

Edita a Maio (l. c. p. 98, 99). — In Psal. IX, 6.

Verba : « Increpasti gentes et periit impius, » clare hoc designant, scilicet, cum increpatæ fuerint gentes et ab errore viæ suæ ad ingrediendum in ovile Christi reductæ fuerint, illum qui nos ad impietatem vocabat, id est, diabolum periisse. Impius enim dici potest qui impie agit, et qui illum ad impietatem trahit. Magis obvium forte esset dicere quod, cum Christus in terra manserit et simul omnes Judæos et Græcos barbaros ad eamdem vocaverit cognitionem, et, ut ita dicam, pro peccatis ab illis antea commissis, salutarem et perfectam increpationem per baptismum induxerit, quicunque sese docibiles et sinceros ad increpationem habuerunt, de parte salvatorum facti sunt, qui autem animo demisso increpationem acceperunt, nec baptismi purificationem, nec quod ex illo procedit lumen fidei susceperunt, illi ut impii et perditione digni perierunt. Scio autem eamdem vocem sumi, præsertim apud aliquos doctos extraneos, pro honore, splendore et gloria. Significare ergo potest hic locus, si verba in isto sensu accipiantur, quod gentibus a Christo honoratis et glorificatis, filios quidem et hæredes sui regni qui docibiles fuerunt, posuit, qui autem hæreditate indigni et adoptioni cum essent impii, perierunt.

Τὸ, « Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής, » φασὶ τοῦτο δηλοῦν, ὡς ἐν τῷ ἐπιτιμηθῆναι τὰ ἔθνη καὶ τῆς οἰκείας ἀποστῆναι πλάνης, γενέσθαι τε τῆς ποίμνης Χριστοῦ, ὁ πρὸς ἀσέβειαν αὐτοὺς ἐκκαλούμενος ἀπώλετο διάβολος· ἀσεβὴς γὰρ αὐτός τε ὁ ἀσεβῶν εἴη ἂν καὶ ὁ τοῦτον ἕλκων πρὸς τὴν ἀσέβειαν· εἴη δ' ἂν ἐγγύτερον ὡς τοῦ Σωτῆρος ἐπιδεδημηκότος τῇ γῇ, καὶ κοινῶς ἅπαντας Ἰουδαίους τε καὶ Ἕλληνας καὶ βαρβάρους ἐπὶ τὴν οἰκείαν προσκαλουμένου ἐπίγνωσιν, καὶ οἱονεὶ τῶν πρώην αὐτοῖς ἠσεβημένων καθαρτικήν τε καὶ τελειωτικὴν ἐπιτίμησιν τὴν διὰ τοῦ βαπτίσματος ἐπάγοντος· ὅσοι μὲν εὐπειθῶς τε καὶ εἰλικρινῶς τὴν ἐπιτίμησιν ἐδέξαντο, οὗτοι τῆς μερίδος τῶν σωζομένων ἐγένοντο· εἰ δέ τις πρὸς τὴν ἐπιτίμησιν ἀπεδυσπέτησε, μήτε τὸν τοῦ βαπτίσματος καθαρμὸν μήτε τὴν δι' αὐτοῦ τῆς πίστεως προσδεξάμενος ἔλλαμψιν, οὗτος ὡς ἀσεβής τε καὶ ὀλέθρου ἀπολεῖται ἄξιος· οἶδα δὲ ἐπιτιμίας παρά γε μάλιστα τοῖς ἔξω σοφοῖς τὴν τιμὴν καὶ τὴν περιφάνειαν ὀνομαζομένην καὶ τὸ περίδοξον· λέγοι ἂν οὖν τὸ ῥητὸν, εἴτις τὴν λέξιν εἰς τοῦτο τὸ σημαινόμενον μεταλάβοι, ὡς τοῦ Χριστοῦ τιμήσαντος καὶ δοξάσαντος τὰ ἔθνη, υἱοὺς γὰρ κληρονόμους τῆς αὐτοῦ βασιλείας τοὺς πειθομένους ἔθετο, οἱ ἀνάξιοι τοῦ κλήρου καὶ τῆς υἱοθεσίας, ἀσεβεῖς ὄντες ἀπολοῦνται.

QUÆSTIO CCCVI [*Coisl. Taur.* CXIX].

Quare magi ex Oriente et Perside, non vero ex alia regione aut gente ad Dominicum partum primi accesserint?

ΕΡΩΤΗΣΙΣ ΤΣ'.

Διὰ τί μάγοι ἐξ Ἀνατολῶν καὶ Περσῶν, καὶ οὐκ ἐξ ἑτέρας χώρας ἢ ἔθνους τῷ Δεσποτικῷ τόκῳ παραγεγόνασι πρῶτοι;

Editarum a Wolfio tricesima nona (*Cur. Philol.* t. V, p. 695-697. Galland. p. 710, 711, n. 14, q. 119). — De Magis ex Oriente advenientibus. Matth. II, 1

Variis de causis id factum esse opinor. Primum quidem ita oraculum aliquod propheticum impleverunt, ita habens : « Reges Arabum et Sabæ dona afferent [33]. » Persæ enim tunc temporis summam potestatem in regiones illas exercebant : eadem vero terra et aurum præstantissimum, et myrrham et thus profert. Porro Ægyptiorum imperio ad Assyrios translato, Assyriorum vero illo ad Persas devoluto, Persarumque regibus tunc primatum tenentibus, conveniens erat, ut, qui ea ætate præcipui essent, iidem primo et uni sæculorum Regi, in terra conspecto, Christo, et Deo nostro, adventu suo cultum præstarent, et dona offerrent, iis, quæ faciebant, profitentes, quod Rex modo natus ipsorum, qui tantum non omni orbi imperarent, et gentibus omnibus superiores essent, Herus, Do-

Διὰ πολλὰς, οἶμαι, αἰτίας. Πρῶτον μὲν γὰρ προφητείαν τινὰ ἐξεπλήρουν, τὴν λέγουσαν· « Βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσιν. » Καὶ γὰρ οἱ Πέρσαι τηνικαῦτα τῶν χωρῶν ἐκείνων τὸ κράτος εἶχον. Φέρει δὲ ἡ ἐκείνων γῆ ἐπίσημόν τε χρυσὸν καὶ σμύρναν καὶ λίβανον. Ἄλλως τε δὲ καὶ τῆς μὲν Αἰγυπτίων βασιλείας εἰς Ἀσσυρίους διαλελυμένης, τῶν Ἀσσυρίων δὲ εἰς Πέρσας μεταῤῥυείσης, καὶ τῶν ἐπὶ γῆς τότε βασιλέων Περσῶν τὰ πρεσβεῖα ἐχόντων, ἔδει τοῖς τὸ πρωτεῖον ἐν τοῖς τότε καιροῦ λαχοῦσι, τῷ πρώτῳ καὶ μόνῳ Βασιλεῖ τῶν αἰώνων, ἐπὶ γῆς ὀφθέντι Χριστῷ, Θεῷ τῷ ἡμῶν, παραγεγονότας τε προσκυνῆσαι, καὶ δῶρα κομίσαι, δι' ὧν (85) ἔπραττον ἀνομολογοῦντας (86) ὅτι ὁ τεχθεὶς Βασιλεὺς καὶ αὐτῶν, τῶν μικροῦ τῆς γῆς ἁπάσης κρατούντων, καὶ κατὰ πάντων τὸ πρωτεῖον ἐχόντων, Δε-

[33] Isa. LX, 6.

NOTÆ.

(85) Sic scribo pro, δι' ὅν.

(86) Coisl. male ἀνομολογοῦντας.

Digitized by Google

σπότης καὶ Κύριος καὶ Βασιλεὺς χρηματίζει, προσκυνούμενός τε ὑπ' αὐτῶν καὶ δορυφορούμενος (87). Εἰ δ' ὅτι ἐκεῖθεν ἐτύγχανεν καὶ Ἀβραὰμ ὁ πατριάρχης (ἐκ Χαλδαίων γὰρ γῆς πρῶτος ἀπαρας θεογνωσίαν ἐκήρυξεν), διὰ τοῦτο καὶ οὗτοι εἰς προσκύνησιν τοῦ Σωτῆρος πρῶτοι τῶν ἄλλων ἐκεῖθεν ἐκινήθησαν παραγενέσθαι, τρανῶς διασαλπιζούσης τῆς τοιαύτης οἰκονομίας, ὅτι ὁ αὐτός ἐστιν ὁ καὶ τότε καὶ νῦν ἐνεργῶν, τότε μὲν τυπικῶς, νῦν δὲ αὐτοῖς πράγμασι καὶ ἀληθείᾳ· οὐδὲ τοῦτο ἂν εἴη τῆς ὀρθῆς ἄπωθεν διανοίας. Νόει δέ μοι κἀκεῖνο· Οἱ Ἀσσυρίων βασιλεῖς τήν τε Ἱερουσαλὴμ πολλάκις ἐπόρθησαν, καὶ τὰ ἐν τῷ θείῳ νεῷ κειμήλια ἀπεσύλησαν. Καὶ αὐτὸν ἔσθ' ὅτε τὸν ναὸν πυρὸς ἔργον ἀποφήναντες. Καὶ ὅσα ἄλλα ἡ περὶ ταῦτα ἱστορία διέξεισιν. Ἡ δὲ τῶν Ἀσσυρίων ἀρχὴ εἰς Πέρσας μετέπεσε, καὶ τὸν ἐκείνοις πλοῦτον ἅπαντα, ὅσος (88) τε ἐν λαφύροις, καὶ ὅσος ἐν ὑπηκόων φόροις εἰς ἐκείνους συμμετέστησεν. Ἄγει τοίνυν ὁ Θεὸς τοὺς Πέρσας εἰς προσκύνησιν τοῦ βασιλέως τοῦ Ἰσραὴλ, ὅς ἐστι Χριστὸς ὁ Θεὸς ἡμῶν, ᾧτινι καὶ ἀνεῖτο μὲν ἐν Ἱεροσολύμοις νεὼς, ἀνεφέροντο δὲ καὶ αἱ θυσίαι (89), καὶ τρέχουσι δρομέως, καὶ προσφέρουσι ἀντὶ μὲν τῆς παρὰ τῶν πατέρων αὐτῶν γεγενημένης εἰς τὰ ἱερὰ τοῦ Θεοῦ ἀτιμίας τιμὴν, ἀντὶ δὲ τῶν δυσφημιῶν θεολογίαν, καὶ προσκύνησιν ἀντὶ τῆς ἄλλης παροινίας, ἀντὶ δὲ τῶν συλαγωγηθέντων δῶρα· τῆς προγονικῆς ὥσπερ ὑπεραπολογούμενοι τόλμης, καὶ τὴν συγγνώμην ἐκείνοις διὰ τῆς οἰκείας ἐκκαλούμενοι πράξεως. Καὶ προσφέρουσι μὲν χρυσὸν ἀντὶ τοῦ χρυσοῦ καὶ τῶν ἱερῶν κειμηλίων, ὧν ἐσύλησαν· λίβανον δὲ ἀντὶ τῶν θυσιῶν, ἃς ἐκώλυσαν, καὶ σμύρναν ἐπὶ τοὺς ἅπαξ ὑπ' αὐτῶν ἀνῃρημένους (90), πάλαι κατὰ τὴν πολιορκίαν ἐνῆν αὐτοῖς ἀναστῆσαι καὶ παραστῆσαι, ὥσπερ τιμὴν ἐκείνοις (91) τὴν σμύρναν κομίζοντες, τάχα δὲ καὶ τὴν γνώμην αὐτῶν ἐνδεικνύμενοι. Ὡς τόγε ἐπ' αὐταῖς καὶ τὸν καταστραφέντα ναὸν, καὶ τὴν πόλιν Ἱερουσαλὴμ αἱρετὸν (92) ἦν ἀνανεῶσαι. Καὶ γὰρ ἡ σμύρνα συσφίγγειν εἴωθεν τὰ διεστῶτα καὶ διεσπασμένα. Καὶ γὰρ εἰ καὶ ἐπὶ Ἔσδρᾳ (93) τε καὶ *Ζοροβάβελ* ἀνηνέχθη τινὰ τῶν λαφυραγωγηθέντων ἱερῶν, ἀλλ' οὖν ἐνδεῶς ἐπράττετο ταῦτα, μήτε τοῦ Λυτρωτοῦ καὶ Σωτῆρος ἡμῶν παραγεγονότος, μήτε αὐτῶν τῶν συλαγωγησάντων αὐτοπρόσωπον τὴν προσφορὰν τῶν σεσυλημένων, ἀλλὰ δι' ἑτέρων ποιουμένων. Προμήνυμα δ' ἂν εἴη καὶ ἡ Περσῶν πρώτη ἄφιξις, ὅτι πρῶτον οἱ ἐξ ἐθνῶν, ἤπερ (94) ὁ Ἰσραὴλ, τὸν οἰκεῖον ἐπιγνώσονται Δεσπότην. Εἰδέ τις ἐθέλοι καὶ τὰ

minus et Rex appellaretur, tanquam adoratus ab illis, et satellitio regio stipatus. Quoniam porro inde Abrahamus patriarcha oriundus etiam fuit (is enim, ex Chaldæorum regione primum profectus, divini Numinis cognitionem publice ursit), propterea et illi primi omnium excitati sunt, ut ex eadem regione ad cultum Salvatori præstandum, advolarent, sapientissimaque hæc rerum directio perspicue significaret eumdem esse, qui et tunc et nunc operaretur, tunc quidem in typis, nunc vero re ipsa et opere. Si quis ita statuat, nec hunc a recto judicio putaverim aberrare. Jam vero et hoc velim expendas. Assyriorum reges Hierosolyma sæpe expugnarunt, templique, Deo sacri, cimelia abstulerunt, ipsum interdum templum ignis prædam facientes, ut plura alia taceam, quæ de his historia tradit. Postea Assyriorum imperium ad Persas pervenit, omnesque eorum opes, quæ vel in spoliis, vel in subjectorum tributis positæ erant, ad eos transferebantur. Deus itaque Persas excitat ad adorationem Regis Israelis, qui est Christus, Deus noster, cui et templum Hierosolymis erectum erat, et sacrificia offerebantur. Illi citato cursu ad eum feruntur, eique pro probris, a majoribus suis in sacra conjectis, honorem, pro injuriis fidei, tanquam in Deum, professionem, pro flagitiis aliis cultum, pro spoliis olim factis dona offerunt, hoc modo quasi avitam temeritatem excusaturi, veniamque illis propriis suis moribus procuraturi. Et aurum quidem offerunt pro auro illo et cimeliis, quæ per rapinam olim abstulerant; thus vero pro sacrificiis, quæ fieri vetuerant; et myrrham denique pro illis, qui ab ipsis erant trucidati, quosque in frequentibus suis obsidionibus, excitare et in integrum restituere potuissent; his enim myrrha cultum quasi suum et studium testari poterant. Fortasse vero etiam per myrrham animi sui sententiam declarare voluerunt, quod scilicet pro virili sua parte templum olim eversum et urbem Jerusalem instaurare libenter vellent. Myrrha enim ea, quæ distracta et disturbata sunt, constringere et continere solet. Quamvis enim sub *Esdra* et *Zorobabele* nonnulla, quæ ex sacris in prædam cesserant, offerrentur, tenue tamen illud omne et leve erat, cum nec Liberator et Servator noster advenisset, nec illi, qui prædam fecerant, spolia illa ipsi, sed per alios, offerrent. Porro idem Persarum ante cæteros adventus præsignificabat, gentiles priores, quam Judæos, Dominum suum agnituros esse. Si

NOTÆ.

(87) *Coisl.* δωρυφορούμενος. Legendum videri poterat δωροφορούμενος, quasi *muneribus cohonestatus*. Præstat vero nostrum illud, quo et Photius alias, et Scriptores frequenter utuntur, ubi de satellitio regio sermo est. Vide quæ de δορυφόροις affert Elisius in *Fortuitis sacris* p. 50. et de δορυφορῶσι Ezech. Spanhemius *ad Cæsares Juliani* p. 384.

(88) Ita *Colb.* pro Ὅσα.

(89) Coisl. male ἀνθυσίαι.

(90) Post ἀνῃρημένους puto per affinitatem syllabæ ultimæ excidisse οὖς frequenti librariorum incuria.

(91) Ita scribo pro ἐκείνους.

(92) Sic Colb. pro ἀρετῶν.

(93) Idem pro Ἔδρα.

(94) Sic scribo pro εἴπερ.

Digitized by Google

quis denique de oblatis illis statuere malit, aurum quidem Christo, ut Regi hujus universi, instar tributi, et in obedientiæ argumentum, thus vero, ut Deo, myrrham denique, ut tali, qui pro nobis moriturus sit, oblata esse; id quoque non inconvenienter modo dictis jungi possit.

προσκομισθέντα δῶρα τὸν μὲν χρυσὸν ὡς Βασιλεῖ προσενεχθῆναι τῶν ὅλων, οἱονεὶ φόρον τινὰ καὶ ὑπακοῆς σημεῖον, ὡς Θεῷ δὲ τὸν λίβανον καὶ σμύρναν, ὡς δι' ἡμᾶς γενησομένῳ νεκρῷ, καὶ τοῦτο οὐκ ἂν ἀναρμόστως τῷ προτεθέντι περιαφθείη.

QUÆSTIO CCCVII [*Coisl. Taur.* CXX].

Cur præcipit Herodes Magis, qui Salvatorem nostrum Christum adoraturi veniebant: « Inquirite diligenter, » inquiens, « in puerum; ubi vero inveneritis, renuntiate mihi, ut et ego veniens adorem eum[34]*? »*

ΕΡΩΤΗΣΙΣ ΤΖ'.

Διὰ τί ἐπικελεύεται ὁ Ἡρώδης τοῖς εἰς προσκύνησιν ἥκουσιν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ μάγοις, « Ἀκριβῶς ἐξετάσατε, λέγων, περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ἵνα κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ; »

Editarum a Wolfio quadragesima (l. c. p. 697-699. Galland. p. 711, 712, n. 15, q. 120).

Id quidem secundum sensum litteralem ideo faciebat, quod ipse erat Rex Judææ, perceptoque Regis partu consternabatur, atque adeo eum interficere studebat, qui imperium sibi erepturus videbatur. Quoniam vero eum difficulter invenire poterat, dolos et fraudem nectit. Propterea etiam ait: « Ut et ego veniens adorem illum. » Hæc expositio ex verbis ipsis nascitur. Fortasse vero etiam invitus ipse prænuntiat, fore ut non solum gentiles per Persas, qui primum venerant, Christum adorarent, sed et Judæa universa, post cultum ab illis præstitum, eum religiose veneraretur. Vel, si malis, procliviori modo ratio typica ostendi possit. Herodes enim ipse duas illas gentes repræsentare queat, qui ex gentibus ortus Judæis imperabat, atque adeo, quamvis invitus, et, quæ dicat, ipse nescius, prophetam agit, personamque totius generis humani, gentilium æque ac Judæorum, sustinens, Deo ad homines divertenti, religiosum cultum præstandum esse, profitetur. Nihil vero obstat, quominus prophetam egisse existimetur. Similiter enim et Caiphas ignorabat quid loqueretur. Nam dum mens ejus furibunda in cædem ferebatur, labiis tamen vaticinium edebat, dicens: « Præstat unum hominem mori, quam totam gentem perire[35]. » Nisi enim Christus Deus noster mortem obiisset, genus humanum nunquam fuisset salvatum. Quamvis enim uterque eorum dono prophetico esset indignus, hinc tamen sacerdotalis, hinc regia dignitas, doni alicujus fructum capiebat, quandoquidem ad cædem Domini nostri nondum erant progressi. Videas vero similiter etiam alia quædam, malo quidem animo et sanguinolento impetu prolata, instar vaticiniorum, eventum sortita fuisse. Tale erat illud: « Sanguis ejus super nos et super liberos nostros[36]. » Tandem enim sanguinis effusio, et cædes gladiis facta, eos opprimebat. Nec minus illud: « Si eum vivere patiamur, omnes in eum credent; tunc venient Romani, gentemque nostram et urbem delebunt[37]. » Nam etiam inviti vivere eum patiebantur, cum non possent in eum dominari, qui vitæ erat penu, et omnia vivificabat. Propterea malum quidem et sanguinolentum animum prodebant, scopo vero frustrati, et ipsi et tota gens, et templum, et urbs peribant.

Ὅσον μὲν ἀπὸ τοῦ γράμματος, διὰ τοῦτο ὅτι βασιλεὺς ἦν τῆς Ἰουδαίας, καὶ βασιλέως τόκον ἀκούσας, ἐταράχθη τε καὶ ἐζήτει ἀνελεῖν τὸν ἐλπιζόμενον παραλῦσαι τῆς βασιλείας αὐτόν. Καὶ ἐπείπερ οὐκ ἦν ῥᾴον αὐτὸν ἀνευρεῖν, δόλον προβάλλεται καὶ ἀπάτην. Καὶ διὰ τοῦτό φησιν· « Ἵνα κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. » Ἀλλ' αὕτη μὲν ἡ ἐπὶ τῷ γράμματι κατανόησις. Τάχα δὲ καὶ ἄκων προφητεύει τὸ μέλλον, ὅτι μὴ μόνον τὰ ἔθνη διὰ τῶν Περσῶν προσκυνήσει τὸν Χριστόν, ἀλλὰ μετὰ τὴν ἐκείνων προσκύνησιν καὶ Ἰουδαία πᾶσα προσκυνήσει αὐτῷ. Εἰ βούλει δὲ, καὶ αὐτόθεν ἔχει ὁ τύπος τὸ ἀπευθύνεσθαι. Τῶν γὰρ δύο λαῶν φέροι ἂν ὁ Ἡρώδης ἐκτύπωμα. Ἐξ ἐθνῶν γὰρ ὢν Ἰουδαίων ἐβασίλευεν, καὶ εἴη ἂν ἄκων καὶ μὴ εἰδὼς, ὃ λέγει, ὅμως προφητεύων, καὶ ὡς ἐκ προσώπου παντὸς τοῦ ἀνθρωπίνου γένους οἷον ἐθνῶν τε καὶ Ἰουδαίων τὴν προσκύνησιν ἀνομολογήσας τῷ ἐπιδημήσαντι πρὸς ἀνθρώπους Θεῷ. Οὐδὲν δὲ κωλύει προφητεύειν αὐτόν. Καὶ γὰρ καὶ ὁ Καϊάφας οὐκ ᾔδει μὲν, ὃ λέγει. Ἀλλὰ τὸ τῆς καρδίας αὐτοῦ μανιῶδες πρὸς μιαιφονίαν ἀνηρέθιστο, τὰ χείλη δὲ προφητείαν ἐξέφερον ἐν τῷ λέγειν· « Συμφέρει, ἵνα εἷς ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. » Καὶ γὰρ εἰ μὴ Χριστὸς ἀπέθανεν ὁ Θεὸς ἡμῶν, οὐκ ἂν τὸ ἀνθρώπινον γένος ἐσώζετο. Εἰ γὰρ καὶ ἀνάξιος ἑκάτερος αὐτῶν προφητικοῦ χαρίσματος ἐτύγχανεν, ἀλλ' οὖν τόγε τῆς ἱερωσύνης ἄξίωμα, καὶ τὸ τῆς βασιλείας ἔτι τινὸς χαρίσματος παραπήλαυεν, οὕπω τῆς κατὰ τοῦ Δεσπότου μιαιφονίας τούτοις τετολμημένης. Ἴδοις δ' ἂν παραπλησίως τούτοις καὶ ἑτερά τινα κακούργῳ μὲν γνώμῃ καὶ ὁρμῇ μιαιφόνῳ προενηνεγμένα, πέρας δὲ προφητικὸν εἰληφότα. Ὡς, « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. » Καὶ γὰρ ἐπέπεσεν αὐτοῖς ἔσχατον ἡ τῶν αἱμάτων ἐκχυσις, καὶ ὁ διὰ ξίφους φόνος. Καὶ, « Ἐὰν ἀφῶμεν αὐτὸν ζῆν, πάντες πιστεύσουσιν εἰς αὐτὸν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸ ἔθνος καὶ τὴν πόλιν. » Καὶ γὰρ ἀφῆκαν καὶ ἄκοντες ζῆν. Οὐ γὰρ ἠδύναντο κύριοι καταστῆναι τοῦ τῆς ζωῆς ταμείου, καὶ ζωοποιοῦντος τὰ πάντα. Διὸ τὴν μὲν πονηρὰν καὶ μιαιφόνον ἐνέφηναν γνώμην, τοῦ δὲ σκοποῦ μὴ τυχόντες ἀπώλοντο καὶ αὐτοὶ, καὶ τὰ γένη, καὶ ὁ ναὸς, καὶ ἡ πόλις. Ὃν δὲ ἔδοξαν ἀνελεῖν, τοῦτον ζωῆς χορηγὸν καὶ ζωοποιοῦντα τοὺς νεκροὺς τὰ ἔθνη δεξάμενοι, καὶ τὴν ἐκ νεκρῶν αὐτοῦ

[34] Matth. II, 8. [35] Joan. XI, 50. [36] Matth. XXVII, 25. [37] Joan. XI, 48.

Digitized by Google

προσκυνοῦντες ἀνάστασιν, θεὸν ἴσασιν ἀληθινὸν ἐπὶ σωτηρίᾳ τοῦ γένους ἐνανθρωπήσαντα, καὶ λατρεύουσιν εἰλικρινῶς καὶ θειάζουσιν. Καί γε δὴ καὶ οἱ Ῥωμαῖοι ἐπιστάντες αὐτοῖς πολέμῳ, τήν τε πόλιν κατεστρέψαντο, καὶ τὸν ναὸν κατηρήμωσαν (95), καὶ τῷ διὰ ξίφους θανάτῳ τὸ ἔθνος ὑπήγαγον. Εὑρήσεις δὲ καὶ ὄνον ἐν τοῖς Γράμμασι τοῖς Παλαιοῖς προμανθάνουσάν τε καὶ προδιδάσκουσαν τὰ ἐσόμενα (96). Ἐξ ὧν ἁπάντων οὐδὲν κωλύον θεωρήσεις, καὶ τὸν Ἡρώδην εἰπεῖν κατὰ προφητικὸν τύπον τὰ πρὸς τοὺς μάγους εἰρημένα.

A Quem vero sibi e medio tollere videbantur, hunc gentes, tanquam vitæ auctorem et mortuos vivificantem, recipientes, ejusque ex mortuis resurrectionem religiose venerantes, eumdem, ut verum Deum, in salutem generis humani hominem factum, agnoscunt sincereque colunt et reverentur. Ab altera vero parte Romani, bello in illos moto, et urbem evertebant, et templum devastabant, gentemque omnem gladio perimebant. Videas vero etiam asinam in libris Veteris Testamenti repræsentari futura et edoctam et prænuntiantem. Ex his omnibus intelliges, nihil obstare, quominus Herodes prophetico more ad magos locutus censeatur.

ΕΡΩΤΗΣΙΣ ΤΗ'.

Διὰ τί ὁ Πρόδρομος ἐλέγχει τὸν Ἡρώδην;

QUÆSTIO CCCVIII [*Coisl.*, *Taur.* CXXI].

Quare præcursor (Joannes) Herodem reprehendit?

Editarum a Wolfio quadragesima prima (l. c. p. 700, 701. Galland., p. 712, n. 16, q. 121). — De Herode a Baptista Joanne increpato. Matth. XIV, 4; Luc. III, 19.

Ὁ δὲ Πρόδρομος καὶ Βαπτιστὴς Ἰωάννης ἐλέγχει τὸν Ἡρώδην δικαίως εἰς παρανομίαν ἀποκλίναντα. Καὶ γὰρ εἰ ἐξ ἀλλοφύλων κατήγετο, ἀπόγονος ὢν τοῦ παλαιοῦ Ἡρώδου, ἀλλ' οὖν Ἰουδαίων τε ἐβασίλευεν, καὶ τοῖς Ἰουδαίων ἐπολιτεύετο νόμοις καὶ ἔθεσιν, καὶ οὐκ ἐξῆν αὐτῷ κατὰ τοὺς νόμους ἐξ ἀδελφοῦ παῖδα ἔχουσαν τὴν Ἡρωδιάδα εἰς γάμον ἀναλαβεῖν. Ὁ γὰρ νόμος, ἄπαιδος μὲν τοῦ ἀδελφοῦ τελευτήσαντος, ἐπιτρέπει τὴν πρὸς τὴν γυναῖκα τούτου συνάφειαν, « Ἵνα, φησὶν, ἐγείρῃ σπέρμα τῷ ἀδελφῷ. » Καταλελειμμένου δὲ σπέρματος καὶ γονῆς, ἀποτρόπαιον ἦν ἡ (97) πρὸς τὴν νύμφην ὁμιλία. Καὶ τὸν Ἔλεγχον ὁ Πρόδρομος ποιεῖται, οὐ τοσοῦτον κηδόμενος ἐκείνου, ὅσον τὸ πλῆθος διορθοῦσθαι πρόνοιαν ποιῶν. Καὶ γὰρ τῶν τοῖς ἄρχουσι καὶ βασιλεῦσι πλημμελουμένων ἀνεπιτιμήτων μενόντων, ἑτοίμως τὸ πλῆθος πρὸς τὴν μίμησιν παρακαλεῖται. Ἐκείνων δὲ τῆς πράξεως ἀναχαιτιζομένων, ἀναγκάζεται καὶ τὸ ὑπήκοον εὐλαβέστερον πρὸς τὰς παρανομίας διακεῖσθαι. Περίεστι δέ μοι καὶ εἰς μνήμην νυνὶ Παλαιᾶς Ἱστορίας ἀνάγνωσις ὡς καὶ τῷ ἀδελφῷ ὑσὰν ὁ πρὸς τὴν ἐκείνου γυναῖκα ἔρως μὴ (98) ἀνακόπτοιτο. Καὶ δι' ἄμφω ταῦτα σταθερώτερόν τε καὶ παῤῥησιαστικώτερον ὁ Πρόδρομος εἴη τῷ Ἡρώδῃ προσφερόμενος τὸν ἔλεγχον.

B Præcursor et Baptista Joannes Herodem, tanquam in peccatum ruentem, recte reprehendebat. Quamvis enim alienigena esset, Herodis antiquioris nepos, Judæis tamen imperabat, et ad Judæorum leges ac instituta vitam componebat, neque adeo per leges fieri poterat ut Herodiadem, quæ ex fratre pepererat, uxorem duceret. Lex enim, mortuo sine relictis filiis fratre, fratri alteri consuetudinem cum uxore demortui integram facit, « Ut » scilicet « fratri semen excitet [98.44]. » Semine vero et masculo relicto, prohibitum erat cum ejusmodi uxore conjugale commercium. Præcursor itaque in Herodem animadvertit, non tam ipsius rationem habens, quam ad vulgus emendandum respiciens. Quando enim ea, quæ ab imperantibus et regibus prave patrantur, sine animadversione prætermittuntur, subjectorum vulgus ad illorum imitationem facile abripitur. Quando vero illi a facinoribus ejusmodi prohibentur, subjectos quoque ab illis diligentius sibi cavere necesse est. Venit præterea in mentem recordari ex Veteris Testamenti lectione, fratri quoque amorem in fratris uxorem esse prohibitum [45]. Utrumque horum effecit, ut Præcursor tanto constantius et liberius in Herodem animadverteret.

C

ΕΡΩΤΗΣΙΣ ΤΘ' (99).

Πῶς νοητέον τό· « Ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ οὐκ ἐγήγερται; »

QUÆSTIO CCCIX [*Coisl.*, *Taur.* CXXII].

Quomodo accipiendum est illud : « Inter natos ex mulieribus major Joanne Baptista non surrexit [46]? » (99).

Editarum a Wolfio quadragesima secunda (l. c. p. 701-704. Galland. p. 712, 713, n. 179, q. 122).

Περὶ τοῦ ἐν γεννητοῖς γυναικῶν μὴ ἐγηγέρθαι μείζονα Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ ὅπως ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν, εἴρηται μέν μοι καὶ ἀλλαχοῦ (1). Οὐδὲν δὲ κωλύει τῆς ὑμῶν αἰτήσεως χάριν ἐκεῖνο διαλαβεῖν, ὡς ἡ διάνοια τοῦ ῥητοῦ, μὴ ἐγηγέρθαι ἐν τῷ νόμῳ

D De eo, quomodo inter natos ex mulieribus nemo Joanne Baptista major, exstiterit, et quomodo minimus in regno cœlorum illo major esse dicatur, alibi a me disputatum est. Nihil vero prohibet, quo minus ad petitum vestrum denuo moneamus, dictum illud hoc sibi velle, quod in veteri Testamento

[98.44] Deut. XXV, 5. [45] Levit. XVIII, 16. [46] Matth. XI, 11.

NOTÆ.

(95) Ita scribo pro Κατηρήπωσαν.

(96) Respicit asinam Balaami Num. XXII, 23.

(97) Ἡ *Colb.* pro καί.

(98) Τὸ *μή* alieno loco positum est, et rectius omittitur.

(99) Denuo argumentum q. CCXXIII Photius pertractat.

(1) Idem scilicet argumentum Photius persequitur, sed alia quadam ratione, in epistola 135 (nunc q. 222) quæ ipsa totidem verbis in *Amphilochiis* exstat num. 176.

Digitized by Google

non surrexerit propheta ipso major. Ille enim quod ad tempus Christo proximus erat, et vocabatur « vox clamantis : Parate viam Domini [47], » pronuntians. Scriptura itaque ait, quod nemo illo major surrexerit ; non vero ideo cogitare nos jubet, quod idem in gradum, cæteris omnibus altiorem, fuerit evectus. Hoc vero, quod Præcursor aliis omnibus major sit, non prohibet quominus multi alii æquales ipsi habeantur.

Alterum vero illud : « Minimus vero, major illo est ; » alii quidem de Christo accipiunt, qui, quamvis Dominus esset, ætate tamen corporisque statura et vulgi judicio eo tempore minor haberetur. Ego vero, ut alibi de hoc momento sententiam dixi, ita huic expositioni phrasin : « Inter natos ex mulieribus, » adversari existimo. Christus enim non ex muliere simpliciter, sed ex Virgine natus est : virgo vero mulier proprie appellari non potest, nisi vocem eo significatu induere velis, quo divus Paulus usus est, dicens : « Natus ex muliere [48]. » Cum igitur Christus ex Virgine, non autem proprie ex muliere, natus sit, merito quidem a comparatione, cum Joanne instituenda, distinxisse se existimabitur.

Alii vero contendunt minorem in regno cœlorum hoc loco eum dici, qui gratiæ novi fœderis factus sit particeps : hoc scilicet sensu, neminem ex iis, qui sub lege geniti sint, hominibus Joanne majorem esse ; ex iis vero, qui post gratiam prædicatam exstiterint, etiam minimum priores partes in tantum tenere, in quantum istis mactatus est bonis, quorum ille (Joannes) non ante factus sit particeps. Si quis enim ratione typorum et præludiorum dignitate et prærogativis maximus habeatur, idem tamen, habito ad res ipsas, quæ opere ipso se sistunt et conspiciuntur, respectu, nunquam causam invenerit, cur se cum eo, qui minimum etiam locum tuetur, comparet. Quamvis enim Joannes Christum ipsum viderit, sacrique lavacri mysterium administrarit, Agnique, peccata mundi tollentis, testis exstiterit non inficiandus ; idem tamen eo tempore, quo lex et umbræ adhuc erant superstites, nec gratia clare pleneque eluxerat, ex vita excessit. Cum enim in carcere versaretur, et cædi non promeritæ, propter animadversionem in violatas leges Mosaicas, jam subjectus esset, tum demum Dominus noster, Jesus Christus, regnum Dei prædicare incipiebat. Propterea nemo eorum, qui ex aqua et Spiritu regenerati erant, et Paracleti accessu donisque digni habebantur, secundas a Joanne partes tenere judicari possit. Imo vero etiam is, qui infimum locum occupet, illius respectu

παρίστησι μείζονα προφήτην αὐτοῦ. Καὶ γὰρ πλησιαίτατός τε κατὰ τοὺς χρόνους γέγονε τοῦ Χριστοῦ, καὶ « φωνὴ βοῶντος ἀναγέγραπται, Ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου, » διασαλπίζουσα. Φησὶ δ' οὖν καὶ τὸ γράμμα, ὡς αὐτοῦ μὲν μείζων ἄλλος οὐκ ἐγήγερται, οὐ συναναγκάζει δὲ νοεῖν, ὡς οὗτος τῶν ἁπάντων εἰς βαθμὸν ἀνέδραμε μείζονα. Τὸ δὲ μὴ (2) μείζονα τὸν Πρόδρομον τῶν ἄλλων εἶναι, τοῦτο οὐδὲν κωλύει πολλοὺς συνδραμεῖν αὐτῷ πρὸς ἰσότητα.

Τὸ μέντοι · « Ὁ δὲ μικρότερος αὐτοῦ μείζων αὐτοῦ ἐστιν, » οἱ μὲν ἐξειλήφασιν περὶ τοῦ Χριστοῦ, χρόνῳ τε καὶ τῇ τοῦ σώματος ἀναδρομῇ, καὶ τῇ τῶν πολλῶν ὑπολήψει κατ' ἐκεῖνο καιροῦ τὸ μικρότερον ἀποφέροντος τοῦ Δεσπότου. Ἐμοὶ δὲ τοῦτο καὶ ἀλλαχοῦ τῆς πρεπούσης διαίτης ἠξίωται (3-4), ἀλλὰ καὶ τὸ « ἐν γενητοῖς γυναικῶν » ἔχει τι ἀντιπίπτον τῇ προειρημένῃ ἀναπτύξει. Οὐ γὰρ ἐκ γυναικὸς ἁπλῶς γεγένηται ὁ Χριστὸς, ἀλλ' ἐκ Παρθένου. Ἡ δὲ Παρθένος οὐκ ἂν κυρίως κληθείη γυνή, εἰ μή τις ἐθέλοι τῷ ῥήματι καταχρήσασθαι, ὡς που καὶ ὁ θεσπέσιος Παῦλός φησι · « Γενόμενος ἐκ γυναικός. » Ἐκ Παρθένου οὖν ὁ Χριστὸς προελθὼν, ἀλλ' οὐ κυρίως ἐκ γυναικὸς, ἑαυτὸν ἂν (5) ἐξωτάττοι τῆς πρὸς τὸν Ἰωάννην συγκρίσεως.

Ἕτεροι δέ φασι μικρότερον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐνταῦθα εἰρῆσθαι τὸν ἀξιωθέντα τῆς χάριτος, ἵνα εἴη τοιοῦτον ὁ νοῦς· Τῶν μὲν κατὰ νόμους γεγονότων ἀνθρώπων οὐδεὶς ἂν εἴη τοῦ Ἰωάννου μείζων· τῶν δὲ μετὰ τὴν χάριν ἀναφανέντων ὅσον ἐπὶ τῷ ἀξιωθῆναι, ὧν ἐκεῖνος οὐκ ἔφθασε τυχεῖν, κατὰ τοῦτο τὸ κατ' αὐτοῦ μείζον ὁ μικρότερος ἀπενέγκοιτο ἄν. Καὶ γὰρ ὁποῖός ἄν τις ὢν ἐν τοῖς τύποις καὶ τοῖς προχαράγμασιν κατὰ μέγεθος καὶ δόξαν προκριθῇ, οὗτος τῶν ἐν τῇ ἀληθείᾳ καὶ αὐτοῖς τοῖς πράγμασι συντεταγμένων τε καὶ ἀναφανέντων οὐδὲ τοῦ τὴν ἐσχάτην δοκοῦντος τάξιν ἐπέχειν εἰς ἰσότητα λόγον εὑρήσει. Εἰ γὰρ καὶ ὁ Ἰωάννης αὐτόπτης γέγονε τοῦ Χριστοῦ, καὶ τῷ τοῦ βαπτίσματος μυστηρίῳ ὑπηρετήσατο, καὶ μάρτυς διαπρύσιος τοῦ Ἀμνοῦ, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, κατέστη· ἀλλ' οὐκ (6) ἔτι τοῦ νόμου καὶ τῆς σκιᾶς ἐν τοῖς λειψάνοις σωζομένης, καὶ μήπω καθαρῶς καὶ τελείως τῆς χάριτος ἀναλαμψάσης, αὐτὸς μετέστη τοῦ βίου. Ἐπεὶ γὰρ τό τε οἴκημα ᾤκησε, καὶ τὴν ἐπ' ἐλέγχῳ τῆς τῶν Μωσαϊκῶν νόμων παραβάσεως ἄδικον ὑπέστη σφαγὴν, μετὰ ταῦτα ἤρξατο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κηρύττειν τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ διὰ τοῦτο, ὅσοι τε δι' ὕδατος καὶ Πνεύματος ἀνεγεννήθησαν, καὶ τῆς ἐπιφοιτήσεως καὶ τῶν χαρισμάτων τοῦ Παρακλήτου ἠξιώθησαν, τούτων οὐκ ἄν τις τὰ δευτερεῖα σχοίη τοῦ Ἰωάννου. Ἀλλὰ γὰρ καὶ ὁ τὴν τελευταίαν τάξιν λαχὼν τὸ κατ' αὐτοῦ

[47] Matth. III, 3. [48] Galat. IV, 4.

NOTÆ.

(2) μὴ illud expungere res ipsa jubet. Natum illud videtur ex prima syllaba vocis μείζονα, quæ, ratione pronuntiationis tunc receptæ, cum voce μὴ eadem est.

(3-4) Vid. epistolam modo appellatam p. 181, edit. Montacutianæ.

(5) Ἂν est ex *Colb.*

(6) Legendum puto οὖν

Digitized by Google

μεῖζον ἀπενέγκοι. Καὶ εἰ μή τις ἐκλάβοι τῶν πρὸ τῆς χάριτος (7) μηδένα εἶναι μείζονα τοῦ Ἰωάννου ἀνειπεῖν (8) τὸν Χριστὸν, ἀλλ' ἁπλῶς κατὰ πάντων ἐξενηνέχθαι τὴν ἀπόφασιν τὴν Δεσποτικὴν, ὥρα (9) σοι καὶ τῆς ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου τοῦτον ἐπίπροσθεν ἄγειν καὶ τῶν κορυφαίων ἀποστόλων, ὃ οὐκ ἂν τις ἐπιτρέψειε λογισμός. Πλὴν καὶ ὁ περὶ τούτου λόγος, τῇ προσηκούσῃ μοι πάλαι διαίτῃ ὑποβληθείς, τὴν νῦν ἀκριβολογίαν δυσχεραίνει.

A primum tuebitur. Nisi porro quis statuat Christum id sibi velle, quod nemo eorum, qui ante fœdus gratiæ fuerint, major sit Joanne, malitque dictum Domini de omnibus hominibus simpliciter accipere, commodum tibi fuerit eumdem etiam Deiparæ, Dominæ nostræ celebratissimæ, et principibus apostolis præferre. Id vero sana ratio nunquam permiserit. Sed hoc argumentum, alias debito examini a me subjectum, nunc quidem diligentius tractari non potest.

ΕΡΩΤΗΣΙΣ ΡΓ'.

Διὰ τί κατὰ τὸ σωτήριον πάθος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λόγχῃ νύττεται;

QUÆSTIO CCCX [*Coisl.*, *Taur.* CXXIII].

Quare in salutari perpessione Dominus noster Jesus Christus lancea confossus est [49]?

Editarum a Wolfio quadragesima tertia (l. c. p. 704, 705. Galland. p. 713, n. 18).

Λόγχῃ νύττεται τὴν πλευρὰν κατὰ τὸ σωτήριον πάθος Χριστὸς, ὁ Θεὸς ἡμῶν· τοῦτο μὲν ἡμῖν δύο βαπτίσματα καινουργούμενός τε καὶ προτυπῶν, ἓν μὲν τὸ δι' ὕδατος, ἕτερον δὲ τὸ δι' αἵματος. Καὶ γὰρ οὐδ' εἰρμῷ καὶ ἀκολουθίᾳ τῆς φύσεως ἀπερρύηκε ταῦτα τῆς σωτηρίου πλευρᾶς. Μετὰ γὰρ τὸν θάνατον γέγονεν ἡ πληγὴ, καὶ μετὰ πληγὴν βλύζει τὰ νάματα ἡ πλευρά. Ἐν τῇ πλευρᾷ δὲ (10) καὶ οὐκ ἐν ἑτέρῳ μέρει δέχεται τὴν πληγὴν, διότι ἐκ πλευρᾶς μὲν τοῦ Ἀδὰμ ἐπλάσθη ἡ γυνὴ, δι' αὐτῆς δ' ἁμαρτία ἐπράχθη τῷ Ἀδάμ. Πλήττεται οὖν Χριστὸς, ὁ Θεὸς ἡμῶν, ὁ νέος Ἀδὰμ, τὴν πλευρὰν, ὥσπερ διὰ τῆς πληγῆς ἀναιρῶν τὴν ἁμαρτίαν, καὶ τὸν Ἀδὰμ ἀπαλλάττων τοῦ διὰ τῆς πλευρᾶς αὐτῷ περιγεγονότος ὀλισθήματος, ὡς ἂν κἀνταῦθα πληρούμενον εἴη τὸ, « Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία » (τουτέστιν ἐν τῇ Εὔᾳ, ἥτις γέγονεν ἐκ πλευρᾶς τοῦ Ἀδάμ), « ἐκεῖ ἐπερίσσευσεν ἡ χάρις, » οἷον ἐν τῇ τοῦ Χριστοῦ πλευρᾷ. Περισσεύει μὲν γὰρ ἐν ἐκείνῃ τῇ πλευρᾷ ἡ ἁμαρτία, ὅτι ἐκεῖθεν ἔφυ τὸ κακόν. Περισσεύει δὲ πάλιν ἐν τῇ Δεσποτικῇ πλευρᾷ ἡ χάρις, ὅτι οὐ μόνον ἡ τῆς ἁμαρτίας ἐν ταύτῃ γέγονεν ἀναίρεσις καὶ πληγὴ, ἀλλ' ὅτι καὶ ἡ τῆς σωτηρίας πηγὴ καὶ κάθαρσις ἐξ αὐτῆς ἀνέβλυσεν καὶ μένει, μὴ κενουμένη διὰ παντός. Ἴασις οὖν γίνεται λοιπὸν ἡ πλευρὰ τῆς πλευρᾶς, ἡ πληγεῖσα λόγχῃ τῆς πληγείσης ἁμαρτίᾳ.

Christus, Deus noster, in salutari perpessione quod ad latus confoditur. Hoc ipso vero duos nobis baptismos condidit et præsignificavit, aquæ alterum, alterum sanguinis. Neque enim ista naturæ quodam ordine et nexu ex latere, salutem pariente, fluxerunt. Post obitum enim vulnus hoc inflictum est, et post vulnus ex latere flumina illa manarunt. In latere vero, neque alia corporis parte vulnus accepit, quia ex latere quidem Adami nata est uxor, per illam vero eidem peccatum est conciliatum. Christus itaque, Deus noster, novus Adamus, in latere vulneratur, tanquam qui per latus peccatum expiet, et Adamum a peccato, per latus ad ipsum perlato, liberet, ut ita hac etiam parte impleatur illud : « Ubi abundavit peccatum, » nempe apud Evam, quæ facta est ex latere Adami, « ibi etiam abundavit gratia [50], » nempe in latere Christi. In latere enim illo peccatum abundat, quod inde ortum est malum : vicissim vero in Domini latere abundat gratia, quod in illo peccatum non tantum finem et vulnus accepit, sed ex eodem quoque fons salutis et purgatio fluxit, et tanquam nunquam abolenda perseverat. Latus itaque lateri sanationem præstat, latus nempe, lancea perfossum, lateri per peccatum vulnerato.

ΕΡΩΤΗΣΙΣ ΡΙΑ'.

Τί ἐστι (11)· « *Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην* (12)· » *καὶ, εἰ ἔλαβεν πέρας ἡ εὐχή;*

QUÆSTIO CCCXI [*Coisl.*, *Taur.* CXXIV].

Quid significat illud : « Domine, ne statuas illis hoc peccatum ; » et an eventu sit confirmata hæc precatio?

Editarum a Wolfio quadragesima quarta (l. c. p. 705-708. Galland. p. 714, 715, n. 19. — De oratione sancti Stephani. Act. VII, 59.

Τὸ δὲ, « Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν, » καὶ ἑξῆς, οὐχ, ὡς ἂν τις ἁπλῶς οἰηθείη (13), ἐκβέ-

Dictum illud : « Ne statuas illis peccatum hoc, » etc. non quidem, quod existimare aliquis

[49] Joan. XIX, 34. [50] Rom V, 28.

NOTÆ.

(7) τῶν πρὸ τῆς. Colb. τῆς πρώτης.
(8) Sic *idem* pro ἂν εἰπεῖν.
(9) ὥρα scribo, pro ὅρα.
(10) δέ, ex *Colb.*
(11) De eodem loco vide Photium epistola 146 (nunc tertii libri 46), ubi tamen illum non tam explicat, quam in usum adversus inimicum aliquem convertit.
(12) Verba sunt Stephani *Act.* VII, 59, similia illis, quæ Dominus, ex cruce pendens, pronuntiabat : Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι, τί ποιοῦσι. Utrumque locum Photius, hæc scribens, in mente habuit. Utrumque etiam in ep. 146 conjungit : Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν· οὐ γὰρ οἴδασι, τί ποιοῦσι. Novum hoc est exemplum, Nostrum non admodum accuratum in excitandis Scripturæ oraculis fuisse ; quod et alias ipsi usu venisse, ex superioribus constat.
(13) Codex habebat iterum οὐχ, ante ἐκβέβηκεν, quod omisi.

Digitized by Google

poterat, exitum habuit, neque precatio illa eventu confirmata est. Dominus enim noster, hominum amantissimus, generisque nostri Salvator, precatur, ne statuatur hoc peccatum illis, qui se crucifixerint, primum quidem ideo, ut humanitatis nobis et mutuæ benevolentiæ exemplum sistat, ut ne in illos quoque, qui mortem nobis machinari videntur, ira, excandescentia et diris invehamur. Deinde vero precatur etiam, ne illis statuatur hoc peccatum, qui desistant a malo, nec porro in idem protervitatis et improbitatis culmen evehantur. Jam, qui destiterunt a malitia, illis pœna commissi criminis non inflicta est. Multi enim Judæorum non solum veniam nacti sunt, sed et veritatem postea edocti, et pietatis studio ducti, filii et hæredes regni cœlestis evaserunt. Qui vero ab impietatis studio provehendo sibi non temperarunt, sed cædes cædibus cumulantes, in maximam amentiam sunt prolapsi, illi quidem merito pœnas dederunt. Nihilominus tamen hæc Salvatoris nostri precatio rata fuit, nec scopo suo excidit. Novi quidem nonnullos alium sensum dicto huic subjicere, quod nempe illi, qui Christum crucifigebant, et perpessioni ejus aderant, non ex Judæis fuerint, sed Romani potius, et ex aliis gentibus orti, cum Judæi professi fuerint, Christum secundum legem suam mori debere, sibi vero non licere quemquam occidere. Postquam etiam Christum Pilato tradiderunt, milites Romani et gentilium alii eorum, quæ postea in Christum patrabantur, administri erant. Cum enim Christus prodendus esset, Judæi, tanquam Romanis subjecti, nec ea, quæ vellent, perficere valentes, non audebant soli capturam ejus suscipere, sed cohortem potius et tribunum aliquem sibi jungebant. Propterea Dominus noster, Jesus Christus, tanquam humani generis amantissimus, et creaturæ suæ prospiciens, benignitatem et humanitatem suam quadam precationis formula expressurus, dicit : « Ne statuas illis hoc peccatum; » et postea addit : « Neque enim sciunt, quæ faciunt. » Vere enim et Romanorum turma et gentiles cæteri nesciebant, quid facerent. Neque enim ea erant edocti, quæ lex et prophetæ de eo prænuntiaverant. Precatur itaque, inquiunt illi, pro Romanis, et gentilibus cæteris, et precationis hujus fructus mox apparuit. Ita enim ipso perpessionis tempore centurionem videas, crucifixum illum Dei Filium profiteri; paulo post vero Longinum illum, virum admirandum, non profiteri solum et credere in Christum, sed et martyrium pro eo sustinere, fideique suæ sinceritatem nunquam temerandam testatam facere. Multos præterea alios ex iis, qui tunc præsentes erant, in

A

B

C

D

δηκεν εἰς πέρας, οὐδὲ τὸ τέλος ἀπείληφεν ἡ εὐχή. Εὔχεται μὲν γὰρ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης, καὶ τοῦ γένους Σωτὴρ, μὴ στῆναι τοῖς σταυρώσασιν τὴν ἁμαρτίαν, τοῦτο μὲν ὑπογράφων ἡμῖν φιλανθρωπίας τύπους καὶ τῆς πρὸς ἀλλήλους εὐνοίας, ἵνα μηδὲ κατ' αὐτῶν τῶν δοκούντων φονᾶν καθ' ἡμῶν, εἰς θυμοὺς ἐφερόμεθα (14), καὶ ὀργὰς, καὶ ἀράς. Ἔπειτα δὲ μὴ στῆναι μὲν αὐτοῖς ἐπεύχεται τὴν ἁμαρτίαν, ἱσταμένοις τοῦ κακοῦ, καὶ μὴ πορρωτέρω φερομένοις ἐπὶ τὸν αὐτὸν τῆς ἀσελγείας τε καὶ παρανομίας κρημνόν. Καὶ ὅσοι γε ἔστησαν τοῦ κακοῦ, οὐκ ἐπέστη αὐτοῖς οὐδ' ἡ τῶν ἁμαρτηθέντων δίκη. Πολλοὶ γὰρ ἐκ τῶν Ἰουδαίων οὐ μόνον τῆς συγγνώμης ἀπήλαυσαν, ἀλλὰ καὶ τὴν ἀλήθειαν μεταμαθόντες, προσδεδραμηκότες τῇ εὐσεβείᾳ, υἱοὶ καὶ κληρονόμοι τῆς τῶν οὐρανῶν βασιλείας ἀπεδείχθησαν. Ὅσοι δὲ τῆς πρόσω τῶν κακῶν οὐκ ἔστησαν φορᾶς, ἀλλὰ μιαιφονίας ἐπὶ (15) μιαιφονίαις προστιθέντες, εἰς ἔσχατον ἐξώκειλαν ἀπονοίας, οὗτοι μὲν δικαίως τὴν δίκην ἀπέτισαν (16). Οὐδὲν δὲ ἧττον ἡ τοῦ Σωτῆρος εὐχὴ ἔμεινεν μὴ διαπεσοῦσα τοῦ σκοποῦ. Οἶδα δέ τινας καὶ ἑτέραν τοιαύτην ὑποβαλλομένους διάνοιαν τῷ ῥητῷ, ὅτιπερ οἱ σταυροῦντες τὸν Χριστὸν καὶ παρόντες τῷ πάθει, οὐχὶ τῶν Ἰουδαίων ἦσάν τινες, Ῥωμαῖοι δὲ μᾶλλον καί τινες ἐξ ἑτέρων ἐθνῶν, τῶν Ἰουδαίων ἀποφηναμένων, ὡς « Κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ἡμῖν δὲ οὐκ ἔξεστιν οὐδένα ἀποκτεῖναι. » Εἶτα καὶ τῷ Πιλάτῳ παραδεδωκότων τὸν Χριστὸν οἱ Ῥωμαῖοι στρατιῶται καὶ τῶν λοιπῶν ἐθνῶν ὑπηρετοῦντο λοιπὸν τοῖς πραττομένοις κατὰ Χριστοῦ. Καὶ γὰρ ἐν τῇ προδοσίᾳ τοῦ Δεσπότου, ἅτε δὴ ὑπόφοροι ὄντες οἱ Ἰουδαῖοι Ῥωμαίοις, καὶ οὐκ ἐξὸν αὐτοῖς πράττειν, ἃ ἠβούλοντο, αὐτοὶ μὲν κατὰ μόνας οὐκ ἐτόλμων παρεῖναι τῇ συλλήψει, τὴν δὲ σπεῖραν καὶ τὸν χιλίαρχον αὐτοῖς συνεπεφέροντο. Ὁ οὖν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ περὶ τὸ ἀνθρώπινον γένος φιλάνθρωπος, καὶ τοῦ οἰκείου πλάσματος προνοούμενος, τὴν βούλησιν αὐτοῦ καὶ τὴν φιλανθρωπίαν εἰς εὐχῆς σχηματίζων τύπον, φησίν· « Μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· » εἶτα, « Οὐ γὰρ οἴδασι τί ποιοῦσι. » Τῷ ὄντι γὰρ τό τε Ῥωμαίων στίφος, καὶ οἱ ἐξ ἐθνῶν οὐκ οἴδασιν, ἃ πράττουσιν. Οὐδὲ γὰρ ἦσαν μεμυσταγωγημένοι, ἃ ὁ νόμος προανεκήρυττε καὶ οἱ προφῆται περὶ αὐτοῦ. Προσεύχεται οὖν ὑπὲρ τῶν Ῥωμαίων, φασὶ, καὶ τῶν ἐθνῶν, καὶ αὐτίκα τῆς εὐχῆς φαίνεται ὁ καρπός. Ἴδοις γὰρ ἂν ἐν αὐτῷ τῷ τοῦ πάθους καιρῷ τὸν ἑκατόνταρχον, Υἱὸν Θεοῦ ἀναβοήσαντα τὸν ἐσταυρωμένον, καὶ μετ' ὀλίγον Λογγῖνον (17) ἐκεῖνον, τὸν θαυμάσιον ἄνδρα, οὐκ ἀνομολογήσαντα μόνον, καὶ πεπιστευκότα εἰς Χριστὸν, ἀλλὰ καὶ μαρτυρίου δρόμον ὑπὲρ αὐτοῦ ἀνειληφότα, καὶ αἵματι τὸ τῆς πίστεως εἰλικρινὲς καὶ ἀπαράτρωτον ἐπιδεδειγμένον· καὶ πολλοὺς

NOTÆ.

(14) Malim φερώμεθα.

(15) μιαιφονίας ἐπί, ex *Colb.*

(16) *Idem* pro ἀπέστησαν.

(17) Hoc nomine Photius vel ipsum illum centurionem intelligit, vel militem, qui latus Domini nostri lancea confodit. Uterque enim ab aliis Græcis scriptoribus ita appellatur. Vide, quæ scripsi in his Curis ad Matth. XXVII, 54; et Joan. XIX, 34. Confer *Acta sanctorum* Antuerpiensia mense Martio, tom. II, pag. 381 seq., ubi de centurione, et p. 366 seqq. ubi de milite.

Digitized by Google

ἄλλους εὑρήσεις τῶν τότε παρόντων τῆς υἱοθεσίας ἀξιωμένους Θεοῦ καὶ τῆς αἰωνίου μὴ ἐκπεπτωκότας βασιλείας.

filiorum Dei numerum receptos, atque adeo regno æterno non privatos inveneris.

ΕΡΩΤΗΣΙΣ ΤΙΒ'.

Πόσοι Ἀστέριοι γεγόνασι καὶ τίς ἡ δόξα αὐτῶν;

QUÆSTIO CCCXII [*Coisl.*, *Taur.* CXXV].

Quot Asterii fuere, et quænam ipsorum opinio?

Edita a B. de Montfaucon (*Bibl. Coisl.* p. 546).

Ὅτι συνήκμασαν μὲν Ἀστέριοι δύο, ὅ τε τῆς Ἀρείας λύσσης ὑπασπιστὴς, καὶ ὁ τῶν εὐσεβῶν δογμάτων τρόφιμος. Ὃς καὶ τῷ μεγάλῳ μὲν Ἰουλιανῷ φοιτῶν τοῖς μοναδικοῖς ἐγυμνάσθη παλαίσμασιν, ἔτι τὸ μειράκιον διεξιών· ὕστερον δὲ καὶ μονῆς ἀσκητικῆς καθηγήσατο, οὗ καὶ μαθητὴς μετὰ καὶ ἄλλων πολλῶν ἐπισήμων ἀνδρῶν ἐχρημάτισεν ὁ πολυθρύλλητος Ἀκάκιος ὁ Βεροίας. Ὁ δὲ Ἀρειανῆς αἱρέσεως ἐραστὴς σοφιστικὴν μὲν ἐκ νέων μετήρχετο τέχνην, καὶ τῇ τῶν Ἑλλήνων ἀνετέθραπτο πλάνῃ· ὀψὲ δὲ τὸν Χριστιανισμὸν ὑποκρινόμενος εἰς τὴν τῶν Ἀρειανῶν ἀπέκλινε μοῖραν. Καὶ ὁ μὲν δίκην ἔδωκεν ἐν Ἀντιοχείᾳ τῆς ἀκολάστου γλώσσης· ἔργον γεγονὸς τῆς Ἰουλιανοῦ τοῦ θαυμασίου προσευχῆς. Ὁ δὲ τὸν ὅσιον εἰς τὴν κατ' αὐτοῦ δικαίαν τιμωρίαν διανέστησεν. Ἕτερος οὖν τὸ θρέμμα τῆς ὀρθοξίας, καὶ ἕτερος ὁ τῆς πλάνης κήρυξ. Ἀλλ' οὐδ' ὁ τὴν ἔκφρασιν τῆς μάρτυρος Εὐφημίας ἀναταξάμενος, κοινόν τι φέρει πρὸς τὸν τῆς δυσσεβείας ὑπέρμαχον· πρῶτον μὲν ἐξ ὧν θᾶττον ὁ δυσσεβὴς ἀπέτισε τὴν δίκην· ὁ γὰρ τῆς εἰρημένης εἰκόνος λογογραφήσας τὴν ἔκφρασιν, ὡς ἔν τισιν αὐτοῦ τῶν λόγων διαλαμβάνει, εἰς βαθὺ γῆρας τοῦ βίου κατήντησεν· δεύτερον, ὁ μὲν τῆς Ἀρειανῆς λύσσης ἐπεπλήρωτο· οὗτος δὲ ἐν τοῖς οἰκείοις λόγοις τὰ τῶν ὀρθοδόξων δογματίζει, οὐκ ἐκμιόντων [l. ἐκ μὴ ὄντων] τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ ὡς ὁ μεμηνὼς δυσφημῶν Ἀστέριος, ἀεὶ δὲ ὄντα θεολογῶν καὶ ἀεὶ συνόντα τῷ Πατρί. Τρίτον, ὁ μὲν αἱρετικὸς Ἀστέριος οὐ τῆς Ἀμασείας, ἀλλ' ἄλλης τινὸς πόλεως πλησιαζούσης τῇ Ἀντιόχου, μισθὸν τῆς ἀσεβείας παρὰ τῶν συναιρεσιωτῶν τὴν ἐπισκοπὴν εἴληφεν· ἐξῆς καὶ μετάκλητος ἐν Ἀντιοχείᾳ παρὰ τῶν ὁμοφρόνων γεγονὼς ἐπὶ συμμαχίᾳ τοῦ δυσσεβήματος, ταῖς τοῦ θαυμασίου Ἰουλιανοῦ προσευχαῖς, ὡς προείρηται, τὸν βίον ἀθλίως κατέστρεψεν. Ἐπὶ τούτοις ὁ μὲν διδάσκει τὸ ποίμνιον, καὶ φιλοπονεῖται περὶ τῶν ἀρετῶν, ἁπάσης δείκνυται θεαρέστου πολιτείας καταγώγιον· ὁ δὲ οὐδὲν τοιοῦτον ἔχων ἐπιγινώσκεται.

Eodem tempore floruere Asterii duo, alter Arianici furoris propugnator, alter piorum dogmatum alumnus, qui cum magnum illum Julianum frequens adiret, adolescentiam emensus in monastica sese palæstra exercuit, demumque ascetici monasterii præfectus fuit, cujus cum aliis multis illustribus viris discipulus fuit celeberrimus ille Acacius Berœæ. Ille vero Arianæ hæresi addictus, sophisticam a teneris annis artem coluit, et in gentilium errore educatus est: tardius vero Christianismum simulans, in Arianorum partem declinavit. Ipse vero ob petulantem linguam pœnas Antiochiæ dedit, id operante admirandi Juliani oratione: et sanctum virum excitavit ad justum supplicium de se sumendum. Alter igitur in orthodoxa fide educatus est; alter erroris præco fuit. Ille porro qui de sancta martyre Euphemia narrationem edidit, nihil commune cum impietatis defensore habet. Primo quidem quoniam impius ille maturius pœnas dedit: nam qui de memorata imagine narrationem instituit, ut in quadam ille oratione sua indicat, ad provectam senectutem devenit: secundo, ille Ariano furore plenus erat; hic vero in scriptis suis orthodoxam sententiam præ se fert, nempe Filium et Verbum Dei non esse ex non exstantibus, ut furiosus ille Asterius impie dicebat; sed semper esse, et semper Patri coexsistere theologice affirmat: tertio, hæreticus ille Asterius, non Amaseæ, sed alterius prope Antiochiam urbis episcopatum a sociis suis hæreticis in mercedem impietatis accepit. Deinde accersitus ab asseclis Antiochiam, ut impietatem secum propugnaret, admirandi Juliani precibus, ut supra dictum est, vitam misere clausit. Ad hæc vero, ille gregem docet, de virtutibus lucubrationes edidit, omnisque vitæ probe instituendæ methodi receptaculum est: iste vero nihil hujusmodi habuisse deprehenditur.

ΕΡΩΤΗΣΙΣ ΤΙΓ'.

Περὶ τοῦ Ἰακὼβ καὶ τῆς Λείας.

QUÆSTIO CCCXIII [*Coisl. Taur.* CXXVI].

De Jacob et Leia.

Edita a Maio (*Nov. Coll.* t. IX, p. 157, 158, q. 315 et ultima. In Gen. xxix).

Ὅτι μὲν μετὰ ἑπταετίαν ὁ Ἰακὼβ τὴν Λείαν ἀντὶ τῆς Ῥαχὴλ εἰς γυναῖκα παρέλαβε, δῆλον ἡ Γραφὴ ποιεῖ· καὶ ὅτι ἀντὶ δουλείας ἄλλης, ἑπτὰ καὶ αὐτῆς ἔτη παρατεινομένης, τὴν Ῥαχὴλ ἠγάγετο, καὶ ἐκ τούτου σαφῶς διδάσκει· εἰ δὲ ὑποσχόμενος τὴν δουλείαν εὐθὺς ἔλαβεν, ἢ καὶ μετὰ τὸ διελθεῖν ταύτην ὅλην, ὕστερον ἠγάγετο, οὐκ ἀντιπαραδίδωσι σαφῶς, ἀλλ' ἀμφίδοξον ὅσον ἀπὸ τῶν ῥημάτων ὑπολείπει· πότερον ὑποσχόμενος τὴν δουλείαν εὐθὺς τὸν μισθὸν τῆς Ῥαχὴλ ἔλαβεν, ἢ μετὰ τὴν τῶν πόνων ἐπίδειξιν καὶ τῆς ὑποσχέσεως τὴν συμπλήρωσιν, μετὰ τοῦτο πρὸς

Quod post hebdomadem annorum Jacobus Leiam pro Rachel uxorem sumpserit, Scriptura testatur; quodque post alium item per septem annos famulitium Rachelem duxerit ex eadem perspicuum est. Utrum vero statim post pollicitum famulitium uxorem sumpserit, an post famulitium adimpletum, non liquidum est, sed quantum ex verbis ambiguum. Utrum pacta de famulitio fide, mercedem Rachelem acceperit, an, exacto labore et absolutis promissis, matrimonio eam sibi junxerit, ex verbis inter utramque sen-

Digitized by Google

tentiam mens dubia fluctuat. Quædam argumenta ad id inclinant, quod pacta fide statim sociam Jacobus virginem acceperit. Verum si peractis septem annis eam duxisset, Jacob videretur non solum annis viginti apud Laban, ut scriptum est, commoratus, sed multo diutius. Nam si post septem annos Rachelem sibi junxit, aliud spatium temporis elapsum est in quo sua ei sterilitas exprobrata est, ancillasque Jacobo ad sobolis procreationem præbuit, illæque postquam in sinu concepissent, pueros genuerunt. Quo tempore peracto aliud exstitit in quo Rachel, sterilitatis purgata exprobratione, genuit Josephum. Denique post partum Josephum, sex annos declarat Scriptura per quos Jacobus pro pacta ovium mercede Labano famulatus est; hæc tempora non viginti annos solum complectuntur. Namque istis temporibus si adjeceris illud in quo sterilis fuit Rachel, et in quo genuerunt pueros ancillæ, spatium multo longius colligitur. Quæ vero merces Jacobo inter quatuordecim et sex annos famulato decernitur? cum nullo temporis spatio videatur Jacob famulitium sine mercede tulisse. Etenim in prima annorum hebdomade, pro Rachel, merces ei Leia; pro secunda hebdomade Rachel, proque sex aliis annis sibi comparat oves. Quid igitur pro elapso inter quatuordecim et sex ultimos annos spatio? Quæ alia merces detegitur? Oporteret enim, si Jacobus quatuordecim annis peractis Rachelem sibi adjunxisset, et Rachel, primum sterilis, deinde peperisset, alio tempore consumpto, hujus quoque spatii mercedem notam præfinitam fuisse. Sed nusquam Scripturæ alia merces, nusquam aliud tempus præter quatuordecim et sex annos, supputato jam tempori medium interponitur.

A γάμον ἠγάγετο· ἀλλ' ἀπὸ μὲν τοῦ ῥητοῦ πρὸς ἑκάτερ ν μερίζεται ἡ διάνοια· λογισμοὶ δέ τινες μᾶλλον ῥέπειν τὸν νοῦν ὑποτίθενται, ὡς μετὰ τὴν ὑπόσχεσιν εἰς ὁμιλίαν εὐθὺς τὸ γύναιον προσελάβετο· ἐπεὶ εἰ μετὰ τὴν συμπλήρωσιν τῆς ἑπταετίας ταύτην ἠγάγετο, οὐ μόνον εἴκοσι ἔτη ἐν τῇ τοῦ Λάβαν οἰκίᾳ ὁ Ἰακὼβ, ὡς αὐτός φησι, διατρίψας φαίνεται, ἀλλὰ καὶ τούτων πλείονα· εἰ γὰρ μετὰ τεσσαρεσκαιδεκαετίαν τὴν Ῥαχὴλ ἠγάγετο, χρόνος πάντως ἕτερος διεληλύθει, ἐν ᾧ τε ἡ στείρωσις αὐτῆς διηλέγχετο, καὶ ἐν ᾧ τὰς παιδίσκας εἰς παιδοποιΐαν τῷ Ἰακὼβ παρείχετο, ἐν ᾧ τε ἐκεῖναι κατὰ γαστρὸς λαβοῦσαι τοὺς παῖδας ἀπέτικτον, καὶ μετὰ τοῦτον ἕτερος ἐν ᾧ ἡ Ῥαχὴλ τῶν ὀνειδισμῶν ἀπολυομένη τῆς στειρώσεως, τὸν Ἰωσὴφ ἐτεκνώσατο· εἶτα μετὰ τὸν τόκον τοῦ Ἰωσὴφ ἕτερα

B ἓξ ἐπισημαίνεται ἡ Γραφὴ ἐπὶ μισθῷ προβάτων δουλεῦσαι τὸν Ἰακὼβ τῷ Λάβαν, οὐχὶ μόνα εἴκοσι συγκεφαλαιοῦται· ἀλλὰ καὶ τοῖς χρόνοις τούτοις μεταξὺ προστιθεμένου καθ' ὃν τε ἐστείρευσεν ἡ Ῥαχὴλ καὶ καθ' ὃν αἱ παιδίσκαι ἔτικτον, πλέον ὁ χρόνος συνάγεται· τίς δὲ καὶ μισθὸς τούτου τὸ μεταξὺ τῶν δεκατεσσάρων χρόνων καὶ τῶν ἓξ τῷ Ἰακὼβ δουλεύοντι τῷ Λάβαν ἀφορίζεται; εἰ δὲ οὐδεμίαν τῶν περιόδων τῷ Ἰακὼβ φαίνεται ἀμισθὶ τὴν δουλείαν ἐταλαιπωρεῖτο· ἐν μὲν γὰρ τῇ πρώτῃ ἑπταετίᾳ ἀντὶ τῆς Ῥαχὴλ ἡ Λεία μισθὸς αὐτῷ· ἀντὶ δὲ τῆς δευτέρας ἡ Ῥαχὴλ· καὶ ἀντὶ τῶν τελευταίων ἐτῶν ἓξ, ὁ διὰ τῶν προβάτων αὐτῷ χορηγούμενος· ἀντὶ γοῦν τοῦ μεταξὺ χρόνου τῆς τεσσαρεσκαιδεκαετίας καὶ τῶν τελευταίων ἓξ, τίς ἐπιγινώσκεται μισθὸς ἕτερος; ἔδει

C δὲ εἰ μετὰ τὴν συμπλήρωσιν τῆς τεσσαρεσκαιδεκαετίας τὴν Ῥαχὴλ ὁ Ἰακὼβ ἔγημεν, εἶθ' οὕτως ἡ παιδίσκη καὶ ἡ Ῥαχὴλ στειρεύουσα καὶ πάλιν τίκτουσα χρόνον ἄλλον κατηνάλωσαν, καὶ τούτου τὸν μισθὸν καθεστάναι γνώριμον· ἀλλ' οὐδαμοῦ τῆς Γραφῆς οὔτε μισθὸς φαίνεται, οὔτε χρόνος ἄλλος παρὰ τὰ δεκατέσσαρα καὶ τὰ ἓξ ἔτη παρενθήκην ἐπέχων λόγων συγκατάταττεται.

MONITUM.

ὥστε οὐδὲ ἀφήσω λαθεῖν τὸ γεγενημένον αὐτῆς dus sciat. A magno videlicet animo id proficisce-
ἔργον· ἀλλ' ἅπας ὁ κόσμος γνώσεται· ἀπὸ γὰρ μεγά- batur, et multæ erat indicium fidei.
λης διανοίας ἦν τοῦτο, καὶ πολλῆς τεκμήριον πίστεως.

FRAGMENTA IN LUCAM.

Φωτίου. Τὸ προοίμιον τοῦ εὐαγγελιστοῦ δύο Cap. I. *Photii.* Evangelistæ procemium duo
τινὰ κεφάλαια περιέχει· σύστασίν τε τῶν πρὸ αὐτοῦ quædam puncta complectitur : objectum eorum qui
τὸ Εὐαγγέλιον συγγραψάντων, οἷον Ματθαίου καὶ ante ipsum Evangelium conscripserunt, Matthæus
Μάρκου, καὶ ἀπολογίαν δι' ἣν καὶ αὐτὸς ἐπὶ τὸ συγγρά- C scilicet et Marcus, et rationis explicationem, ob
φειν ἦλθεν. Εἰπὼν δὲ τὸ, *ἐπεχείρησαν*, λέξιν δυναμέ- quam ad scribendum ductus est. Dicendo autem,
νην ἐπί τε τῶν τολμηρῶς ἁπτομένων τῆς ὑποθέσεως ἀρ- *conati sunt*, vocem adhibet apte scriptoribus audacius quoddam intentantibus argumentum convemótττειν, καὶ ἐπὶ τῶν εὐλαβῶς αὐτῇ προσιόντων· δυσὶν nientem, et ad hoc pie accedentibus. Duabus cor-
ἐπιδιορθώσεσι τὸ ἀμφίβολον τῆς λέξεως ἐπιδιορθοῦ- rectionibus vocis amphibologiam emendat, dicendo
ται, ἔκ τε τοῦ εἰπεῖν *περὶ τῶν πεπληροφορημένων* *de rebus quæ in nobis completæ sunt*, et, *sicut tradi-*
ἡμῖν πραγμάτων, καὶ ἐκ τοῦ εἰπεῖν, *καθὼς παρ-* *derunt qui ipsi viderunt*, etc. Qui enim secundum
έδοσαν οἱ αὐτόπται, καὶ ἑξῆς. Οἱ γὰρ κατ' ἄμφω duo hæc narrare conantur, evidenter piam et de-
ταῦτα ἐπιχειροῦντες διηγεῖσθαι, δηλονότι πανευλαβῶς mesticam rem conantur; inconcussa certitudine
καὶ οἰκείως ἐπιχειροῦσι· τῇ μὲν ἀδιστάκτῳ πληρο- verum narrantes, ex veracitate eorum qui tradi-
φορίᾳ τὸ ἀληθὲς ἀπαγγέλλοντες, τῇ δὲ ἀξιοπιστίᾳ derunt narrationem legitimam exponentes. Simul
τῶν παραδεδωκότων τὸ εὐπαράδεκτον εἰσηγούμενοι· autem illud, *tradiderunt*, majus aliquid mihi indi-
ἅμα δὲ καὶ τὸ, *παρέδοσαν*, ἔμφασιν ἔχειν μοι δοκεῖ care videtur, quam exprimit hoc ipsum vocabulum
τῆς ἐπὶ τὸ καὶ αὐτῆς *παραδιδόναι* προτροπῆς. *tradere. Sicut enim isti tradiderunt*, et illos oporte-
Καθὼς γὰρ ἐκεῖνοι παρέδοσαν, καὶ αὐτοὺς δεῆσει bat, cum rursus inde accepissent, conformi sermone
πάλιν ἐκεῖθεν παρειληφότας, ἀκολούθῳ λόγῳ ἀλλήλοις D hæc aliis tradidisse : deinde, cum scripta non foret
ταῦτα παραδιδόναι· εἶτα, ἐπεὶ ἀγράφου τῆς παρα- traditio, necesse fuit iterum hos qui illam accepdόσεως γινομένης, ἀνάγκη ἦν πάλιν τοὺς παρειλη- issent, aliis tradere ; indeque contigit quæ tradeφότας ἄλλοις παραδοῦναι· κἀντεῦθεν συνέβαινε τὰ bantur, aut oblivione eorum qui in medio accipiπαραδιδόμενα, ἢ λήθῃ τῶν ἐν μέσῳ ὑποδεχομένων, ἢ ebant, aut fraude in multis alterata fuisse, quando
ῥᾳδιουργίᾳ πολλὰ παραπεποιῆσθαι· ὅπου γε καὶ quidem etiam hæc scripta aliqui ausi sunt corrum-
γεγραμμένων τινὲς ἐτόλμησαν ταῦτα παραφθείρειν. pere. Cum igitur, quoniam non scripta erant quæ
Ἐπεὶ οὖν ἀγράφων ὄντων τῶν παραδιδομένων, εἰκὸς tradebantur, profecto nulla aliena irrepsissent
ἦν ἄτοπα πολλὰ συμβαίνειν, τῷ μακρῷ χρόνῳ, multo tempore, qui ab his *qui viderant et ministri*
εἰκότως οἱ *ἀπὸ τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ* *fuerant sermonis*, primi acceperant, scriptam mundo
λόγου πρῶτοι παρειληφότες, ἔγγραφον παντὶ τῷ

Digitized by Google

universo præstiterunt traditionem; et fraudem expellentes, et oblivionem tollentes, et integritatem traditioni suppetentes. Sed Matthæus et Marcus ut acceperunt sic et tradiderunt; alii vero, ut illos prava et temeraria mens impulit, conati sunt narrare propriæ cogitationis figmenta, ut Evangelium ad Ægyptios dictum, et Evangelium τῶν duodecim. Nam ut frumento zizania, sic veritati nititur mendacium insurgere; ista autem a piorum cœtu et memoria exsulant. Sed beatus Lucas, Inter quæ, dicit, ut horum qui ante ipsum Evangelium scripserunt veracitas constet, in simile illis propositum ingreditur, ob eamdem causam quæ et illis fuit scribendi. Ut enim illi eo quod acceperunt, et tanquam acceperunt scribunt, sic et ipse eo quod a principio, et tanquam assecutus est, ita ad scribendum adductus est; non igitur contraria illis faciem, sed una progrediens, imo testificans scribit. Aliam quoque ob causam, ut Theophilo cuidam a Deo dilecto, cum illum in veritate curaverit, et illi fidei sermonem non scriptum tradiderit, neque auditu solo hæc credere securum non sit, per scripta illi securitatem verborum, *de quibus eruditus est*, præstet, et per illum mundo universo utilitatem largiatur. Merito ergo illi proœmio opus fuit; in quo objectum præcedentium evangelistarum exponitur, et causa ob quam post illos scripsit significatur; cum illi nihil circa proprium objectum dixerint, sed tanquam huic testimonium de se dandum reliquerint.

A κόσμῳ παρέσχοντο τὴν παράδοσιν· καὶ τὴν ἐπίβουλὴν ἀπελαύνοντες, καὶ τὴν λήθην ἀνακόπτοντες, καὶ τὸ ἀνελλιπὲς τῇ παραδόσει περιποιούμενοι. Ἀλλὰ Ματθαῖος μὲν καὶ Μάρκος, ὡς παρέλαβον, οὕτω καὶ παρέδοσαν· ἄλλοι δὲ καθὼς αὐτοὺς ἡ πονηρὰ καὶ θρασεῖα συνήλασε γνώμη, ἐπεχείρησαν διηγεῖσθαι διανοίας ἰδίας ἀναπλάσματα, ὡς τὸ λεγόμενον κατ' Αἰγυπτίους, καὶ τῶν δώδεκα Εὐαγγέλιον. Ὡς γὰρ τῷ σίτῳ τὸ ζιζάνιον, οὕτως καὶ τῇ ἀληθείᾳ φιλονεικεῖ τὸ ψεῦδος ἐπισυνίστασθαι. Ἀλλ' ἐκεῖνα μὲν εὐσεβούντων καὶ χοροῦ καὶ μνήμης ἐξωστράκισται. Ὁ δὲ μακάριος Λουκᾶς· Δι' ὧν ἔφη συστήσασθαι τῶν πρὸ αὐτοῦ εὐαγγελιστῶν τὴν ἀκρίβειαν, ἐπὶ τὴν ὁμοίαν ἐκείνοις προαίρεσιν ἔρχεται, δι' αἰτίαν δ' ἣν κἀκείνοις γράφειν ἐγένετο. Ὡς γὰρ ἐκεῖνοι διότι παρέλαβον, καὶ καθὼς B παρέλαβον γράφουσιν, οὕτω καὶ οὗτος διότι καὶ ἐξ ἀρχῆς, καὶ καθὼς ἠκολούθησεν, οὕτω καὶ εἰς τὸ γράφειν ἐλήλυθεν. Οὐκ ἐναντία οὖν πράττων ἐκείνοις, ἀλλὰ συντρέχων καὶ συμμαρτυρούμενος μᾶλλον γράφει· δι' ἑτέραν δὲ αἰτίαν, ὅτι Θεόφιλόν τινα θεοφιλῆ ἐργασάμενος ἀληθῶς, καὶ τὸν τῆς πίστεως αὐτῷ παράδεδωκὼς ἀγράφως λόγον, ἀκοῇ δὲ ταῦτα μόνῃ πιστεύει οὐκ ἦν ἀσφαλὲς, καὶ διὰ γραφῆς αὐτῷ τὴν ἀσφάλειαν τῶν κατηχηθέντων λόγων ἀπεργάζεται, καὶ δι' αὐτοῦ παντὶ τῷ κόσμῳ δαψιλεύεται τὴν ὠφέλειαν. Εἰκότως οὖν οὗτος καὶ προοιμίου ἐδεήθη· δι' οὗ ἥ τε σύστασις τῶν πρὸ αὐτοῦ πραγματεύεται, καὶ ἡ αἰτία δι' ἣν μετ' ἐκείνους ἔγραψεν, ἐπιγινώσκεται· ἐκείνων μηδὲν ὑπὲρ τῆς ἰδίας εἰπόντων συστάσεως· ἀλλ' C ὥσπερ τούτῳ τὴν ὑπὲρ αὐτῶν μαρτυρίαν καταλελοιπότων.

Vers. 29. *Photii.* Quid vidit, et cur *turbata est?* Vidit angelum castis oculis intuentem, sed sponsi indicia gerentem; puro aspectu contemplantem, sed nuptiarum fœdera nuntiantem. Hos nuptiales sermones audiens, et cupiditatum conversatione expertem habitum cernens, his rationi contrariis verbis turbata est. Video, inquit, legatum pie astantem, et læto animo nuntium suadeor accipere; sed nuptiales mihi sermones dirigit, et lætitiam in timorem convertit, et animam turbat nuntio. Video vultum ejus pudore conspersum; sed nuptias adesse nuntiat. Video prudenter alloquentem, sed conceptionis verba loquitur; et virginitatis amor sermonem ut dolosum suspicari cogit. Etenim legati D tunc forma et astantia, cum habitus decentia, divine venisse indicat legationem; verba autem sponsi indicium exhibentia abnuere suadent assensum.

Φωτίου. Τί ἰδοῦσα, καὶ τίνος ἕνεκεν *διεταράχθη;* Ἰδοῦσα τὸν ἄγγελον ἁγνοῖς τοῖς ὀφθαλμοῖς ἀτενίζοντα, ἀλλὰ μνηστῆρος μηνύματα φέροντα· καθαρῷ βλέμματι προσανέχοντα, ἀλλὰ γάμου λέγοντα συναλλάγματα· τούτων τῶν νυμφικῶν ῥημάτων γενομένη κατήκοος, καὶ παθῶν ἀμέτοχα τῆς ὁμιλίας τὰ σχήματα βλέπουσα, ταῖς τῶν λογισμῶν ἀντιπνοίαις ἐταράσσετο. Ὁρῶ, φησὶ, τὸν μηνυτὴν εὐλαβῶς παριστάμενον, καὶ περιχαρῶς τὴν ἀγγελίαν ἀναπείθομαι δέξασθαι· ἀλλὰ νυμφικούς μοι λόγους προβάλλεται, καὶ τὴν χαρὰν εἰς φόβον μεθίστησι, καὶ θορυβεῖ τὴν ψυχὴν τῷ μηνύματι. Ὁρῶ τὸ πρόσωπον αἰδοῖ συστελλόμενον, ἀλλὰ νυμφίου μοι παρουσίαν ἐπαγγέλλεται. Ὁρῶ συνετῶς διαλεγόμενον, ἀλλὰ συλλήψεως ῥήματα φθέγγεται· καὶ τῆς παρθενίας ὁ πόθος τὸν λόγον ὡς δόλον ὑποπτεύειν διάζεται. Διὰ τοῦτο ἐκταράσσομαι, ὡς ἰσορρόπῳ γνώμῃ τὸ πρᾶγμα ζυγοστατούμενον βλέπουσα. Ἡ ἕξις μὲν γὰρ τοῦ μηνυτοῦ καὶ κατάστασις, σὺν τῷ κοσμίῳ τοῦ σχήματος, θεόθεν ἥκειν διδάσκει τὸ μήνυμα· τὰ ῥήματα δὲ μνηστῆρος ἔμφασιν ὑπεμφαίνοντα, ἀνανεύειν πείθει τὴν συγκατάθεσιν.

Photii. Turbata est in sermone, non beneficium abhorruit. *Turbata est*, sed collocuta est; et modum salutationis considerans, sermonem autem videns rationi adversantem, timore prudenti capta est, et extraneam salutationis modum reformidavit. Quid igitur angelus? num permisit eam diversis cogitationibus turbari, et anxietatum fluctibus agitari? et quomodo mandati non malus minister probatus

Φωτίου. Ἐθορυβήθη τοῖς λόγοις, οὐκ ἀπεστράφη τὴν εὐεργεσίαν. *Διεταράχθη*, ἀλλὰ διελογίζετο· καὶ τὸν τρόπον μὲν ἐπιζητοῦσα τοῦ ἀσπασμοῦ, τὸν δὲ λόγον ὁρῶσα διαφεύγοντα τοὺς λογισμούς, φόβῳ κατείχετο σώφρονι, καὶ τὸ ξένον τοῦ ἀσπασμοῦ κατεπλήττετο. Τί οὖν ὁ ἄγγελος; ἆρα κατέλιπεν αὐτὴν ταῖς ἀντισπάσαις διανοίαις ταράσσεσθαι, καὶ ταῖς κύμασι τῶν ἀποριῶν κλυδωνίζεσθαι; καὶ πῶς ἂν τοῦ

Digitized by Google

προστάγματος οὐ φαῦλος ὑπηρέτης ἠλέγχετο; πῶς δὲ δίκας οὐκ ἂν δικαίως εἰσεπράττετο, ὅτι τὴν παρθένον θορυβεῖσθαι κατέλιπε; διὰ τὸ μὴ εἶναι τοίνυν δυνατὸν θορυβουμένην καὶ φοβουμένην, ἀκριβῶς ἀκούειν τὰ λεχθησόμενα, διὰ τοῦτο λύει πρῶτον αὐτῆς τὸν φόβον.

Φωτίου. Οὐκ ἀπάτην ἦλθον λαλῆσαί σοι, ἀλλὰ τῆς ἀπάτης ἀναίρεσιν εἰσηγήσασθαι. Οὐ πλανῆσαι παραγέγονα, τῆς δὲ πλάνης λύτρωσιν ἐγγυήσασθαι· οὐ συλῆσαί σοι τὴν ἄσυλον παρθενίαν ἐπεδήμησα, ἀλλὰ τοῦ πλάστου τῆς παρθενίας καὶ φύλακος τὴν ἐνοίκησιν εὐαγγελίσασθαι· οὐκ ὄφεώς εἰμι πονηρίας διάκονος, ἀλλὰ τοῦ καταργοῦντος τὸν ὄφιν ἀπόστολος. Νυμφοστόλος, οὐκ ἐπίβουλος παραγέγονα· χαρᾶς πρόξενος, οὐ λύπης παραίτιος· σωτηρίας προάγγελος, οὐκ ἀπωλείας σύμβουλος· ἐγὼ τοῖς προστάγμασι τοῖς Δεσποτικοῖς τοὺς σοὺς λογισμοὺς θεραπεύσω· ἐγὼ τοὺς δεσμοὺς διαλύσω τῆς ἀπορίας.

Τοῦ αὐτοῦ. Χάριτός ἐστι θείας ὁ ἀσπασμός, ἀλλ' οὐ φύσεως ὑπουργός· χάριτος θεϊκῆς, οὐκ ἀνθρωπίνης ἐπιβουλῆς· χάριτος τὸν ἀνθρώπινον ὑπερπηδώσης λογισμόν. Ἀλλ' ὅταν χάριν ἀκούσῃς, ἄνθρωπε, μὴ μάτην τὸ χάρισμα τῇ Παρθένῳ χορηγηθῆναι νομίσῃς· μηδὲ φιλοτιμίαν διάκενον τὸ δῶρον ὑπολάβῃς. Εὗρε γὰρ χάριν ἡ Παρθένος παρὰ Θεῷ, ὅτι ἀξίαν ἑαυτὴν τῷ Δημιουργῷ κατεσκεύασεν· ὅτι τῷ κάλλει τῆς ἁγνείας τὴν ἑαυτῆς ψυχὴν ὡραΐσασα, κατοικητήριον ἀξιέραστον ἑαυτὴν τοῦ λόγῳ τοὺς οὐρανοὺς στερεώσαντος ἡτοιμάσατο· ὅτι οὐ μόνην τὴν παρθενίαν ἄχραντον διετήρησεν, ἀλλά γε καὶ τὴν προαίρεσιν ἀμόλυντον συνετήρησεν· ὅτι ἐκ βρέφους καθηγιάσθη Θεῷ, *λαὸς* ἔμψυχος καὶ ἁλάξευτος τῷ βασιλεῖ τῆς δόξης οἰκοδομούμενος, διὰ τὸ τοῦ σώματος ἀκηλίδωτον· διὰ τὸ τῆς παρθενίας ὑπέρλαμπρον· διὰ τὸ τῆς ἁγνείας ἀμόλυντον· διὰ τὸ τῆς προαιρέσεως καθαρώτατον· διὰ τὸ τῆς ψυχῆς πρὸς τὴν ἁμαρτίαν ἀῤῥεπές, καὶ τοῦ κρείττονος ἀμετάπτωτον.

Φωτίου. Τὸ μέλλον, ὡς ἤδη παρὸν ἀποφαίνεται· ἀντὶ γὰρ τοῦ, *ποιήσει*, φησὶν *ἐποίησεν*, ὡς ἤδη κατορθωθὲν καὶ γενόμενον τῆς αὐτοῦ, φησὶ, χειρὸς, οὐκ ἀνθρώπου τὸ ἔργον· *Ἐποίησε κράτος*, οὐ διὰ Μωϋσέως (1) ὡς πάλαι ἐπὶ τοὺς Αἰγυπτίους· οὐδὲ διὰ Ἰησοῦ τοῦ Ναυῆ, ὡς τότε Ἱεριχούντεια τείχη κατασείων περιόδῳ ἱερέων καὶ σαλπίγγων ἠχῇ· οὐδὲ δι' ἀγγέλου, ὡς ἡνίκα τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας κατεστρώννυε τῶν πολεμίων· οὐδὲ δι' ἄλλου τινός· ἀλλὰ διὰ τίνος; δι' αὐτοῦ τοῦ οἰκείου βραχίονος. Βραχίων δὲ τοῦ Πατρὸς, ὁ Υἱός· κατὰ τὸ, *Ἐλυτρώσω ἐν βραχίονί σου τὸν λαόν σου.* Δι' αὐτοῦ οὖν νίκην εἰργάσατο, καὶ τροπαῖον ἔστησε κατὰ τῶν πάλαι τυραννούντων τῶν ἐχθρῶν.

Τοῦ αὐτοῦ. Κατεστροπώσατο, φησὶν, οὐκ Αἰγυπτίους, ἢ Ἀσσυρίους ἢ τόδε τὸ πολέμιον, ἀλλὰ πάντα λογισμὸν ὑπερήφανον τουτέστι μὴ ὑποκύπτοντα καὶ πειθαρχοῦντα τῇ παρουσίᾳ αὐτοῦ. Διεσκέδασε καὶ σαθρὰς ἀπήλεγξε τὰς ὑπερηφάνους διανοίας τῆς καρδίας αὐτῶν, ἃς ἔσχον εἰς τὸ μὴ πιστεῦσαι καὶ φοβηθῆναι αὐτὸν, διελίκμησε τὰς ὑπερηφάνους τῶν μὴ πι-

A est? quomodo pœnas non juste subiit, quod virginem turbari permisit? Quia non erat igitur possibile turbatam et territam audire accurate quæ dicenda erant, ideo primum ejus metum solvit.

Vers. 30. *Photii.* Non fraudem veni tibi dicturus, sed fraudis destructionem edocturus. Non ad errorem veni, sed ad erroris solutionem arcessendam. Non intactam virginitatem rapturus affui, sed virginitatis auctoris et custodis adventum nuntiaturus. Non serpentis malitiæ sum minister, sed serpentis destructoris apostolus. Nuptiarum nuntius, non insidiator adsum: gratiæ præco, non doloris causa; salutis angelus, non perditionis complex. Ego Domini per mandata rationem tuam sanabo, ego
B anxietatis vincula solvam.

Ejusdem. Gratiæ divinæ salutatio est, non autem naturæ obsequium; gratiæ divinæ, non humanæ fraudis; gratiæ humanum intellectum superantis. Sed cum gratiam audieris, o homo, ne frustra Virgini gratiam hanc præstitam esse arbitreris; neque liberalitatem inane donum censeas. Invenit enim gratiam Virgo apud Deum; quod se dignam Deo comparavit; quod castitatis pulchritudine animam suam exornans, dignum habitaculum semet ei cujus verbo cœli firmati sunt disposuit; quod non solum virginitatem inviolatam servavit, sed voluntatem irreprehensibilem custodivit; quod e pueris
C a Deo sanctificata est, templum spirituale non manufactum regi gloriæ habitandum, propter corporis puritatem, propter virginitatis decus, propter castitatis integritatem, propter voluntatis munditiam, propter animæ contra peccatum firmitatem, et in bono constantiam.

Vers. 49. *Photii.* Futurum, ut jam præsens apparet. Nam pro *faciet*, dicit, *fecit*, quasi jam factum et perfectum manus ejus, non hominis opus. *Fecit potentiam*, non per Moysen ut olim in Ægyptios; neque per Jesu filium Nave, ut tunc Jericho mœnia excutiens per sacerdotum circuitum et tubarum sonum; neque per angelum, ut quando centum quinque et octoginta millia hostium mactavit; neque alium aliquem. Sed per quodnam? per
D suum proprium brachium. Brachium autem Patris, Filius; secundum quod dicitur: *Liberasti in brachio tuo populum tuum.* Per hunc igitur victoriam adeptus est, et tropæum statuit contra illos qui olim dominabantur, inimicos.

Ejusdem. Dispersit, ut loquitur, non Ægyptios, aut Assyrios, aut similes hostes, sed omnem intellectum se extollentem, id est non inclinantem se nec submittentem coram ipso. Dispersit et caducas esse convicit superbas cogitationes cordis eorum, quas habuerunt cum non crediderunt nec illum metuerunt. Dispersit superbas non credentium

NOTÆ.

(1) Confer volumen primum primæ editionis p. 190.

Digitized by Google

mentes, nec illis umbram excusationis reliquit. Nam proprio corde, cum talia haberent de quibus erubescere debebant inflati sunt, et fructum propriæ mentis lethalem, incredulitatem præbuerunt.

VERS. 32. *Photii.* Ut homo, exponit; nam ut Deus, supra quod magnum est.

Ejusdem. Magnus erit, quod jam erat, etsi carnis humilitatem induit. Non enim humanitatis assumptio, magnitudinem imminuit divinitatis; sed potius attollitur ad illam humanitatis humilitas. Etsi igitur ad carnem demissus est, ita tamen *erit magnus*, ut erat.

Ejusdem. Non, nomine tu appellabis, sed ille *vocabitur*; a quo, an evidenter per consubstantialem Patrem? *Nemo enim novit Filium nisi Pater;* in quo autem est vera cognitio geniti, hic nomen imposuisse conveniens qui credatur, dignus est. Propterea dicit: *Hic est Filius meus dilectus.* Est igitur semper, etsi nunc nomen illi ad nostram instructionem declaratur. Ideo *vocabitur*, inquit, non fiet. Erat enim ante sæcula consubstantialis una cum Patre regnans. Hunc concipies, hujus mater ostenderis; hunc tuus virgineus uterus recipit, quem cœlorum immensitas non continet.

Photii. Sed quid ad ista sanctissima Virgo? num verbis mollitam, aut intellectui auditum libenter præbentem dixit inconsulto assensum se præstare? minime.

CAP. II. VERS. 34. *Photii.* Scio, inquit, aperte, ut conceptum, prægnationem, et Filium mihi et partum enarras. Sed multo magis anxietatem auxisti, o Angele; partus enim omnis viri cognitione comparatur. Mea autem virorum societate abhorrentia, non mihi primum intelligentiam præstat hujus conceptionis; quomodo ergo erit genitus, cujus genitor non cognoscitur?

Photii. Qui enim sterilitatis vinculum solvit, ipse partum illi potest præstare, absque viri cooperatione. Qui enim siccatam radicem in fructiferam stipitem restaurat, hic quoque sine humore agrum in fecundum arvum illi renovabit. Sin autem voluerit per exempla fidem horum quæ nuntiantur accipere, parvis magna componens, et per præterita fidem addens futuris; ita *concipies in utero et paries filium*, ut virga Aaron inculta germinavit, quasi radicum ope adjuta; ut ros e cœlo in vellus descendens, ipsum solum rigavit, terram autem non humectavit; ut rubus igne arsit, et flammam nutriens non consumptus est: sic et tu concipies filium, carnem præstans, alimentum immateriali igni præbens, et incorruptibilitatem conservans. Hæc enim tuam pridem præfigurabant prægnationem; innovata sunt ista et præexstiterunt, ut mysterii in te exsistentis adumbrarent incomprehensibilitatem.

στευσάντων διανοίας, οὐδὲ σκιὰν αὐτοῖς ὑπολιπὼν ἀπολογίας. Ἀπὸ γὰρ οἰκείας καρδίας καίτοι τοσαῦτα ἔχοντες τὰ δυσωποῦντα αὐτοὺς, ἐφυσιώθησαν· καὶ καρπὸν ὀλέθριον τῆς ἰδίας ψυχῆς, τὴν ἀπιστίαν παρέστησαν.

[P. 17. a.] *Φωτίου.* Τὸ ἀνθρώπινον ὑποδάλλων· ὡς γὰρ Θεὸς, καὶ ὑπὲρ τὸ μέγα.

Τοῦ αὐτοῦ. Ἡ μέγας ἔσται ὅπερ ἦν, εἰ καὶ τὴν βραχύτητα τῆς σαρκὸς ὑποδύεται. Οὐδὲ γὰρ, οὐδ' ἡ τῆς ἀνθρωπότητος πρόσληψις, τὸ μέγεθος κατασμικρύνει τῆς θεότητος, ἀλλὰ συνυψοῦται μᾶλλον αὐτῇ τὸ ταπεινὸν τῆς ἀνθρωπότητος. Κἂν γοῦν πτωχεύῃ τὴν σάρκα, ἀλλὰ καὶ *οὕτως μέγας ἔσται* ὥσπερ ἦν.

Τοῦ αὐτοῦ. Οὐκέτι σὺ τὴν κλῆσιν ὀνοματοθετήσεις, ἀλλ' ἐκεῖνος *κληθήσεται.* Παρὰ τίνος, ἢ δηλονότι παρὰ τοῦ ὁμοουσίου Πατρός; *οὐδεὶς γὰρ οἶδε τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ·* παρ' οὗ δὲ γνῶσις ἀληθὴς τοῦ γεννήματος, οὗτος ἐπιθεῖναι καὶ κλῆσιν καταλληλον ἀξιόπιστος· διὸ καί φησιν· *Οὗτός ἐστι ὁ Υἱός μου ὁ ἀγαπητός.* Ἔστιν οὖν ἀεὶ, εἰ καὶ νῦν ἡ κλῆσις αὐτῷ εἰς ἡμετέραν διδασκαλίαν πεφανέρωται. Διὰ τοῦτο καὶ *κληθήσεται*, φησὶν, οὐ γενήσεται. Ἦν γὰρ καὶ πρὸ αἰώνων τῷ ὁμοουσίῳ συνεδριάζων Πατρί. Τοῦτον συλλήψῃ, τούτου μήτηρ ἀναδειχθήσῃ, τοῦτον ὁ σὸς παρθενικὸς ὑποδέχεται κόλπος, ὃν οὐράνιον οὐκ ἐχώρησε κῦτος.

[P. 18. a.] *Φωτίου.* Ἀλλὰ τί πρὸς ταῦτα ἡ παναγία Παρθένος; ἆρα εὐθὺς κατεμαλακίσθη τοῖς λόγοις, ἢ τὰς ἀκοὰς ἡδέως ἀναπετάσασα τοῖς λογισμοῖς ἐφῆκε φέρειν ἀνεξετάστως τὴν συγκατάθεσιν; Οὐδαμῶς.

[P. 18 a.] *Φωτίου.* Οἶδα, φησὶν, ἐμφανῶς, ὡς σύλληψιν καὶ κυοφορίαν, καὶ Υἱόν μοι, καὶ τόκον, λογογραφεῖς. Ἀλλὰ πολλῷ πλέον ηὔξησας τὴν ἀπορίαν ὦ ἄγγελε. Τόκος γὰρ ἅπας, ἀνδρὸς κοινωνίᾳ συνίσταται· ἡ δὲ τῆς πρὸς ἄνδρας ὁμιλίας ἀλλοτρίωσις, οὐδὲ τὴν ἀρχὴν εἰς ἀκοὴν κατέρχεται τῆς συλλήψεως. Πῶς οὖν ἔσται μοι γέννημα, οὗ γεννήτωρ οὐκ ἐγνώρισται;

[Pag. 21 a.] *Φωτίου.* Ὁ γὰρ στειρώσεως λύων δεσμὰ, αὐτὸς καὶ τόκον ἑαυτῷ δύναται κατασκευάσαι, δίχα μεσιτείας ἀνδρός. Ὁ τὴν ξηρανθεῖσαν ῥίζαν εἰς καρποφόρον στέλεχος ἀνανεώσας, αὐτὸς καὶ τὴν ἄνικμον ἄρουραν εἰς εὔφορον χώραν ἑαυτῷ καινοποιήσει. Ἂν δὲ βούλῃ καὶ παραδείγμασι τῶν ἀπηγγελμένων τὴν πίστιν παραδέξασθαι, μικροῖς τὰ μεγάλα εἰκάζουσα, καὶ τοῖς φθάσασι πιστουμένη τὰ μέλλοντα, οὕτως *συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν*, ὡς ἡ ῥάβδος Ἀαρὼν ἀγεωργήτως ἐβλάστησε, τὰ τῶν ἐῤῥιζωμένων ἐνεργήσασα· ὡς ὁ ὑετὸς οὐρανόθεν ἐπὶ τὸν πόκον φερόμενος, αὐτὸν μόνον ἐπότιζε, τὴν δὲ γῆν οὐκ ἐδρόσιζεν· ὡς ἡ βάτος τὸ πῦρ ὑπεδέχετο, καὶ τὴν φλόγα τρέφουσα, οὐκ ἐφθείρετο· οὕτω καὶ σὺ συλλήψῃ υἱὸν σάρκα δανείζουσα, τροφὴν τῷ ἀΰλῳ πυρὶ παρέχουσα, καὶ τὴν ἀφθαρσίαν ἀνθέλκουσα. Ταῦτα γὰρ τὴν σὴν πόρρωθεν προεζωγράφει κυοφορίαν· ἐκαινοποιήθη ταῦτα καὶ προϋπέστη, ἵνα τοῦ κατὰ σὲ μυστηρίου σκιαγραφήσῃ τὸ ἀκατάληπτον.

Digitized by Google

[Pag. 22 b.] *Φωτίου.* Ἐπεί μοι, φησὶ, Πνεῦμα ἅγιον ἐπελεύσεσθαι διετράνωσας, οὐκέτι ἀντιπίπτω, οὐδὲ ἀντιλέγω. *Γενηθήτω μοι κατὰ τὸ ῥῆμά σου.* Εἰ ἄξια τῷ Δεσπότῃ κρίνομαι, ὑπουργήσω χαίρουσα τῷ θελήματι· εἰ ὁ Πλάστης τῷ πλάσματι ἀναπαύεται, οἰκοδομείτω τὸν οἶκον αὐτὸς ἑαυτῷ, ὡς εὐδόκησε· ζωοπλαστείτω ἐν ἐμοὶ τὴν σάρκα τὴν ἑαυτοῦ, ὡς οἶδεν αὐτὸς καὶ ὡς βούλεται· γένοιτό μοι τὰ σὰ ῥήματα περατούμενα πράγματι.

[p. 27. a.] *Φωτίου.* Ὁ ἀσπασμὸς, ἄνωθεν· ἡ σύλληψις ἄσπορος· ἡ κύησις, ἄφραστος· ὠδῖνες, ἀλόχευτοι· σφραγὶς τῆς παρθενίας, ἡ τῶν ὠδίνων διάλυσις· ὁ τόκος, ἄφθορος· καὶ ἡ τεκοῦσα, παρθένος καὶ μετὰ γέννησιν. Θεὸς ἐν σαρκὶ, τὸ τικτόμενον· χορὸς ἀγγέλων, ᾄσμα τὸ θαῦμα ποιούμενοι. Ἔνθα τοσούτων καὶ τηλικούτων συνδρομὴ, πῶς ἂν τις διαμφισβητήσειε, κἂν πάντα ἀσεβεῖν ἔθετο μελέτην, ὅτι μὴ οὐχὶ παρθένος ἡ Παρθένος καὶ μέχρι τέλους διέμεινεν; ὥστε ἡ τῶν ἀχράντων λόγων ἀλήθεια τὸ μὲν παράδοξον καὶ ὑπερφυὲς καὶ ὑπὲρ κατάληψιν, ἠβουλήθη παραστῆσαι, ὅπερ ἐστὶ τόκος ἄνευ ἀνδρὸς ἐπιγνώσεως· τὸ δὲ μετὰ ταῦτα, νοεῖν κατέλιπεν ὡς ἀκόλουθον. Τὸ γὰρ τὴν ἐν τόκῳ παρθενεύουσαν, καὶ τὸ λοιπὸν διὰ βίου παρθενεύειν, οὔτε καινὸν ὅλως ἢ παράδοξον, ἀλλὰ καὶ τοῖς προηγησαμένοις ἐξ ἀναγκαίου μᾶλλον ἑπόμενον. Ἄλλως τε καὶ τῶν Ἰουδαίων τέως ἐπιστομίζειν ὁ εὐαγγελιστὴς ἔγνω τὸ βλάσφημον, οἱ ἐκ πορνείας τὸν ἄσπορον τόκον διέσυρον. Διὸ καὶ πρὸς τὴν ἐκείνων ἵσταται κακόνοιαν, δι' ὧν τρανοῖ τῆς τεκούσης τὸ ἀνέπαφον· ἀλλὰ καὶ τὸ ἕως, ἐνίοτε μὲν πρὸς ἀντιδιαστολὴν τοῦ ἐφεξῆς χρόνου, ὡς εἴρηται, παραλαμβάνεται, ἐνίοτε δὲ ἐπὶ δηλώσει μεγάλων ἔργων καὶ θεοπρεπῶν, καθάπερ νῦν, οὐ μὴν πρὸς ἀντιδιαστολὴν ἑτέρου χρόνου τινὸς, ἀλλὰ καὶ τοὐναντίον εἰς ὑποδήλωσιν ἀπεράντου διαστήματος. Καὶ ἀνατελεῖ γὰρ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη· καὶ, *Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου*· καὶ, *Μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας.* Δῆλον γὰρ ὡς ἐνταῦθα τὸ ἕως οὐ χρονικόν τι μεθόριον, καὶ πέρας παρεισάγει, μέγεθος δὲ θείων πραγμάτων ἡ λέξις παρασημαίνουσα, εἰς ἀπεριόριστον παράτασιν τὸν νοῦν τῶν ἐντυγχανόντων ἀναπέμπει. Καὶ ἄλλα δὲ μυρία ἔστιν εὑρεῖν, δι' ὧν δῆλον καθίσταται, ὡς ἐνταῦθα τοῦ διηνεκῶς καὶ εἰς τὸν αἰῶνα, ἡ λέξις παραλαμβάνεται. Ὅταν οὖν δείξωσιν οἱ πάντα θρασεῖς, μετὰ τὴν τῆς σελήνης ἀνταναίρεσιν, τὴν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν δικαιοσύνην εἰς τὸ μὴ ὂν κατασύουσαν, καὶ μετά γε τὸ ὑποτεθῆναι τοὺς ἐχθροὺς αὐτοῦ τῆς ἐκ δεξιῶν καθέδρας τοῦ Πατρὸς παρακινούμενον, ἢ καὶ μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος, ὅτε μᾶλλον αὐτοῖς ἡ οἰκείωσις τῶν μαθητῶν ἀφιστάμενον, τότε διαποροῖτωσαν καὶ εἰ μετὰ τὸν ἄῤῥητον τόκον ἀνδρὸς ὁμιλίας ἡ Παρθένος ἐμελέτησεν.

[pag. 39, a.] *Φωτίου.* Συντελέσας ὁ πρεσβύτης τὴν εἰς τὸ Θεῖον δοξολογίαν, τρέπεται λοιπὸν ἐπὶ

A *Photii.* Quoniam mihi, inquit, Spiritum sanctum superventurum esse significasti, non resisto, non contradico. *Fat mihi secundum verbum tuum,* si digna a Domino judicor, pareo gaudens ejus voluntati; si Creator in creatura moratur, ædificet sibi ipse domum, ut libuerit. Informet in me suam carnem, ut scit ipse et ut vult; fiant mihi verba tua reipsa completa.

Photii. Salutatio cœlestis; conceptio sine semine; prægnatio ineffabilis; dolores sine partu; virginitatis sigillum, dolorum liberatio; partus inviolatus; pariens virgo et post partum; Deus in carne, quem peperit; angelorum chorus canticis prodigium celebrantium. Hic talium et tantorum B fuit concursus; quomodo contenderet aliquis, quamvis omne in impietatem studium posuerit, non virginem ad finem permansisse, cum verborum intemeratorum veritas ostendere voluerit rem stupendam et supra naturam et intellectum positam, quæ est, partus sine viri cognitione? Quæ autem sequuntur, explicare inutile, utpote consectaria. Virginem enim in partu fuisse, et reliqua vita virginem permanere, neque novum omnino est neque stupendum, sed potius necessario ex antea narratis sequitur. Imo Judæorum quoque blasphemiam retundere potuit evangelista, qui e fornicatione esse inseminatum partum obtrectabant. Ideo et contra illorum malam mentem statuuntur, per quæ C parientis inviolabilitas demonstretur, sed et τὸ *donec,* nunc in distantiam seriei temporis, quando adhibetur, intelligitur, nunc in significationem magnorum et divinorum operum; sicut hic sumitur, non in distantiam alius cujusdam temporis, sed e contrario ad ostendendam infinitam durationem. Etenim surget in diebus ejus justitia, donec destruatur luna; et, *Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum*[1]; et *Vobiscum sum donec veniat consummatio.* Evidens enim est ibi τὸ *donec,* non temporalem limitem aut terminum adducere; hæc vox autem magnitudinem divinarum rerum ostendens, in infinitam extensionem ideam rerum quæ ibi occurrunt adducit. Alia autem permulta inveniri possunt, per quæ D evidenter statuitur, hanc vocem pro non interrupto et in sæcula assumi. Quando igitur isti audacissimi, ostendunt, post lunæ destructionem Christi et Dei nostri justitiam in nihilum reduci, et postquam positi fuerint sub pedibus ejus inimici, illum e sede ad Patris dexteram dejici, aut etiam post consummationem sæculi, cum potius ipsi a discipulorum mansione repellentur; tunc ambigant, an post ineffabilem partum viri societatem virgo curaverit.

Photii. Cum perfecisset senex suam in Deum doxologiam, demum convertitur ad benedictionem

[1] Psal. cix, 1.

Digitized by Google

eorum qui puerum inducebant. Deinde ad solam matrem sermonem dirigit : benedictionem enim ambobus communicat, sed reconditorum magis prædictionem soli matri dirigit, ut per communem benedictionem parentis specie non privetur Joseph, sed per verba quibus matrem alloquitur, Virginem ab isto discernens. illam ut vere matrem compellat, quam benedicit ut divinæ voluntati obsequentem. Tum, dicit ad illam : *Hic positus est in ruinam et resurrectionem multorum in Israel.* Vides quomodo totam mysterii œconomiam Virgini aperit, et illi præbet hujus narrationem. *Ruinam* hic dicit eorum qui e fide in Christum et pietate corruent; *resurrectionem* autem, eorum qui illum ut Salvatorem agnoscent (18).

Photii. Sanctissimæ et semper virginis Mariæ animam gladius pertransiit, ob ipsam salutiferam Christi passionem, non ut dubiis sententiis agitata sit, nec incredulitatis jaculis vulnerata; nec pro his quibus gaudebat, dolorem commutans, sed materna sinens viscera propria sentire, propter naturalem sympathiam, Filio crucifixo. Quomodo enim mater non pateretur videns filium, et præsertim natura humana longe meliorem, pravorum pœnas ferentem? hoc accidit inviolatæ Verbi matri, amarior et acerbior omni gladio dolor. Si enim multas habuit firmitatis causas, Deum sciens incarnatum suum Filium esse, sed non omnino leges naturæ solvit, concessit autem naturæ ut intra proprios emineat fines. Ideo et horrendam passionem videntis, maternis oculis subjectus aspectus, ceu gladii vulnere, animam ejus vulneravit et divisit.

CAP. III. VERS. 3. *Photii.* Licet pariter cogitare et dicere, præstitisse peccatorum remissionem Præcursoris quoque baptisma, non autem omnium; sicut nec legales cæremoniæ et immolationes. Non enim admissarum cum præmeditatione cædium, neque si quis aliorum conjunctiones transfoderit, neque illorum, propter quæ horrendus iste et cœlestis ignis in nocentes invidia missus est, neque multorum facinorosorum et similium operum mundationem, neque lex, neque Joannis baptisma præstabat. Sed de his omnibus, quæ lex non præcaverat, et primus legislator damnaverat, pœnas gladius sumpsit. Joannis autem baptisma, omnibus in salutem, utpote multo majus fuerit solita virtute, patebat. Præstabat igitur et Præcursoris baptisma, ut dictum est, peccatorum remissionem, non autem omnium; hoc enim Dominici baptismatis proprium est. Sed præstabat, perfectionem Salvatori præparans; mundatio erat, mundationem præcedens; et remissio per partem, integram remissionem anteiens; imperfecta purificatio,

A τὴν εὐλογίαν τῶν ἀγαγόντων τὸ βρέφος · εἶτα ἐκεῖθεν πρὸς μόνην τὴν μητέρα ἀποστρέφει τὸν λόγον. Τῆς μὲν γὰρ εὐλογίας ἀμφοῖν μεταδίδωσι, τὴν δὲ πρόρρησιν τῶν ἀπορρητοτέρων, τῇ μητρὶ προσάγει μόνῃ, ἵνα διὰ μὲν τῆς κοινῆς εὐλογίας τοῦ σχήματος τῶν γεννητόρων, μὴ ἀπογυμνώσῃ τὸν Ἰωσήφ · διὰ δὲ τῶν πρὸς τὴν μητέρα λόγων, τὴν Παρθένον ἐκείνου διαστέλλας, τὴν ὡς ἀληθῶς ἀνακηρύξῃ μητέρα, ἣν καὶ εὐλογεῖ ὡς ὑπηρετήσασαν θείᾳ βουλῇ. Εἶτα καὶ διαλέγεται πρὸς αὐτήν· *Οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ.* Ὁρᾷς ὅπως ὅλην τοῦ μυστηρίου τὴν οἰκονομίαν πρὸς τὴν Παρθένον ἀναφέρει, κἀκείνῃ ποιεῖται τὴν τούτου διήγησιν; καὶ *πτῶσιν* μὲν λέγει ἐνταῦθα, τῶν ἐκπεπτωκότων τῆς εἰς Χριστὸν πίστεως καὶ εὐσεβείας· *ἀνάστασιν* δὲ, τῶν ἐπεγνωκότων τὸν Σωτῆρα.

B

[p. 40. a.] *Φωτίου.* Τῆς παναγίας καὶ ἀει παρθένου Μαρίας τὴν ψυχὴν ῥομφαία διῆλθε, κατ' αὐτὸ τὸ σωτήριον τοῦ Χριστοῦ πάθος, οὐκ ἐπιδιστάζουσι λογισμοῖς βαλλομένης, οὐκ ἀπιστίας βέλεσι τιτρωσκομένης · οὐκ ἐφ' οἷς ἔχαιρε, τὴν λύπην ἀλλασσομένης, ἀλλὰ μητρικὰ σπλάγχνα διδούσης, πρὸς τὴν ἔμφυτον συμπάθειαν, ἀνασκολοπιζομένου τοῦ Υἱοῦ, πράττειν τὰ οἰκεῖα. Τί γὰρ μήτηρ οὐκ ἂν πάθοι βλέπουσα τὸν Υἱὸν καὶ μάλιστα τῆς ἀνθρωπίνης φύσεως πολιτευόμενον κρεῖττον, τὰς τῶν κακούργων ὑπέχοντα δίκας; Τοῦτο γέγονε τῇ παναχράντῳ Μητρὶ τοῦ Λόγου, πικρότερον καὶ δριμύτερον ῥομφαίας ἁπάσης τὸ πάθος. Εἰ γὰρ καὶ πολλὰς ὑποθέσεις εἶχε Θεὸν εἰδέναι τὸν Υἱὸν σεσαρκωμένον, ἀλλ' οὖν οὐκ ἐπὶ πάντων ἔλυε τοὺς τῆς φύσεως νόμους, ἐνεδίδου δὲ καὶ τῇ φύσει, τοῖς οἰκείοις ἐνδιαπρέπειν ὅροις. Διὸ καὶ πάθος φρικτὸν ὁρῶσα μητρικοῖς ὀφθαλμοῖς, προκείμενον θέαμα, κατὰ πληγὴν ῥομφαίας, τὴν ψυχὴν ἐτέμνετό τε καὶ κατεμερίζετο.

C

[p. 49 a.] *Φωτίου καὶ Κυριλλου Ἱεροσολύμων.* Ἔξεστι δὲ ἴσως φρονεῖν τε καὶ λέγειν, ὡς παρεῖχε μὲν ἁμαρτημάτων ἄφεσιν καὶ τὸ τοῦ Προδρόμου βάπτισμα · οὐ πάντων δέ · ὥσπερ οὐδ' αἱ νομικαὶ τελεταὶ καὶ θυσίαι. Οὐδὲ γὰρ τῶν ἐκ προνοίας φόνων, οὐδ' εἴ τις ἀλλοτρίους γάμους διώρυξεν, οὐδ' ὅσα τὸ φρικτὸν ἐκεῖνο καὶ οὐράνιον πῦρ τοῖς ἐνόχοις ζημίας ἐπέβαλλον, οὐδ' ἄλλων πολλῶν ἐξαγίστων καὶ παραπλησίων ἔργων τὴν κάθαρσιν, οὔτε ὁ νόμος οὔτε τὸ Ἰωάννου διεπράττετο βάπτισμα · ἀλλὰ τούτων ἁπάντων ὁ μὲν νόμος ὅσα μὴ προλαβὼν ὁ πρῶτος νομοθέτης εἰσεπράττετο δικαστὴν τὸ ξίφος ἐκάθιζε. Τὸ δὲ Ἰωάννου βάπτισμα εἰς τὸ κοινὸν καὶ σωτήριον, ὡς πολλῷ μεῖζον ὑπάρχον τῆς ἰδίας ἰσχύος, παρέπεμπε. Παρεῖχε μὲν οὖν καὶ τὸ τοῦ Προδρόμου βάπτισμα, ὥσπερ εἴρηται, τῶν ἁμαρτημάτων ἄφεσιν · οὐ πάντων δέ · τοῦτο γὰρ τοῦ Δεσποτικοῦ τὸ ἐξαίρετον · παρεῖχε δὲ, προευτρεπίζον τῷ σωτηρίῳ τὴν τελειότητα · καὶ λουτρὸν ἦν πρὸ λουτροῦ · καὶ ἄφεσις ἐκ μέρους, πρὸ τῆς παντελοῦς ἀφέσεως · καὶ ἀτελὴς κάθαρσις προοιμιαζομένη τὴν τελειοποιόν · καὶ κα-

D

NOTÆ.

(18) Cf. q. CLVII CLXXVI.

Digitized by Google

θαῖρον μὲν τὰ φθάσαντα τῶν ἁμαρτημάτων, οὐδὲν δ' ἀσφαλὲς οὐδ' ἐχέγγυον περὶ τῶν μελλόντων χαριζόμενον. Τὸ Δεσποτικὸν δὲ καὶ σωτήριον πάντων μὲν τῶν προλαβόντων ῥύσιον, ῥώμης δὲ παρεκτικὸν καὶ ἰσχύος, μὴ κατὰ τὰς πρώτας ὀλισθήσεις ἔτι πρὸς τὰ πάθη κατασύρεσθαι· καὶ τὸ μὲν, εἰς τὴν τῶν οὐρανῶν ἀναφέρει βασιλείαν, καὶ τὸ μεῖζον πάντων, υἱοθεσίαν χαρίζεται· τὸ δὲ τινῶν μὲν ἄφεσιν παρέχει, οὔτε δὲ κληρουχίαν οὐρανῶν βασιλείας, οὐδὲ πολλῷ μᾶλλον πρὸς υἱοθεσίας ἀναβιβάζει ἀξίωμα· ἐντελέστερον δὲ περὶ τούτων ἐν τῷ Ἰωάννῃ καὶ τῷ Ματθαίῳ εἴρηται. Ἐκεῖσε οὖν τοὺς φιλολόγους παραπέμψαντες, ἡμεῖς ἐπὶ τὰ ἐχόμενα ἴωμεν. A

Φωτίου. Οὐκ οἶδε σύνοδον ἀλλήλων πλεονεξία καὶ φιλανθρωπία· μακρὰν ἀπέχει ἀνὴρ ἐλεήμων τῆς τῶν πλουτούντων μισαδελφίας. Διὰ τοῦτο, καὶ *μέγα χάσμα* ἐστήρικται μεταξὺ γεέννης καὶ βασιλείας. B

[p. 228. b.] *Φωτίου.* Ἦλοι τὰς Δεσποτικὰς διαπερονῶσι παλάμας, καὶ τοὺς τῆς κακίας ἡμῶν τοῖς μέλεσι παρεμφύντας ὄζους, ὑφ' ὧν ἐξερημοῦτο καὶ ἐκακύνετο τὸ ἀνθρώπινον, αὐταῖς ἀνασπῶσι ῥίζαις. Στέφανος ἐξ ἀκανθῶν τῇ κεφαλῇ περισφίγγεται, καὶ ὁ πολυώδυνος τῆς παλαιᾶς κατάρας κλοιὸς ἀπαυχενίζεται· λόγχῃ πλευρὰ διορύσσεται, καὶ ἡ τῆς σωτηρίας ἡμῶν ἀναστομοῦται πηγή.

[p. 306. b.] *Φωτίου.* Μᾶλλον δὲ *ῥήγνυται καταπέτασμα τοῦ ναοῦ*, ξύλῳ τοῦ Δεσπότου κρεμαμένου, διὰ πολλὰς, οἶμαι, τὰς αἰτίας. Τὸ μὲν γὰρ τὴν γῆν κλόνῳ μικροῦ δεῖν συγκατενεχθῆναι, δυνατόν ἐστι τοῖς ἀγνωμονοῦσι καὶ εἰς τὰ κατὰ φύσιν ἀνάγειν τῶν στοιχείων πάθη. Τὸ δὲ ῥαγῆναι τὸ καταπέτασμα, μηδενὸς μάλιστα διασπῶντος, ἀπὸ ἄνωθεν ἕως κάτω, θεομηνίαν τὸ τέρας δείκνυσιν. Ἦν δὲ καὶ σύμβολον καὶ προμήνυμα τῆς ἀεὶ καταστροφῆς τε καὶ ἐξερημώσεως τοῦ τε περιωνύμου ναοῦ Ἰουδαϊκῶν τελετῶν. Καὶ τρίτον, ὡς οὐκέτι μέρει τινὶ τῆς οἰκουμένης ἡ εὐσέβεια συγκλεισθήσεται· ἀλλ' ἅπαντα τὰ πέρατα, τῶν ἀπορρήτων ἐν ἀπολαύσει γενήσεται. Ἔτι ἡ κιβωτὸς καὶ τὰ ἐν αὐτῇ, κατὰ τὸν τύπον γέγονε τοῦ ἀνθρώπου καὶ τῶν ὑπὸ τὸν οὐρανὸν, αὕτη δὲ διείργετο τῷ καταπετάσματι, καὶ ἀπεκρύπτετο· ἐδήλου δὲ τὴν εἰς οὐρανοὺς εἴσοδον, ἀνθρώποις ἄβατον συντετηρῆσθαι τέως. Ῥήγνυται οὖν τὸ καταπέτασμα Χριστοῦ σταυρουμένου, τὴν εἰς οὐρανὸν εἴσοδον πᾶσιν ἡμῖν ὑποσαλπίζον καὶ εὐαγγελιζόμενον. C D

Φωτίου. Ἦν ποτε κρύφιος φίλος ὁ Ἰωσὴφ, καὶ νυκτερινὸς Χριστοῦ μαθητής· ἀλλ' ὕστερον τοὺς δεσμοὺς ἀπορρήξας τῆς δειλίας, τῶν εἰς τὸ φανερὸν φιλούντων θερμότερός τε καὶ θαῤῥαλεώτερος γέγονε· καὶ τὸ Δεσποτικὸν ἐν ὕβρει κρεμάμενον σῶμα τοῦ ξύλου καθελὼν, τῆς δυνατῆς θεραπείας οὐκ ἠμέλησε, ῥημάτων μετριότητι, τὸν πολυτελῆ μαργαρίτην ἐμπορευόμενος, καὶ κρύπτων τούτων τὸ σπουδαζόμενον. Οὐδὲ γὰρ ὡς δή τι μέγα φρονῶν ἢ φθεγ-

perfectæ viam disponens; mundans quidem a peccatis præteritis, sed nihil tutamenti, nihil roboris ad futura largiens. Domini autem et Salvatoris baptisma, omnia præterita lavans, virtutem et robur præstat, ne in priores lapsus jam ad passiones abripiamur; imo in cœlorum regnum introducit, et quod omnibus majus est, filiorum adoptionem largitur. Joannis autem baptisma peccatorum quidem remissionem præbet, sed non cœlestis regni hæreditatem, neque multo magis ad adoptionis dignitatem attollit. Apertius de his in Joanne et Matthæo legitur, ad quos philologos remittentes, nos ad propositum volvamus.

CAP. XVI. VERS. 31. *Photii.* Non invicem conveniunt avaritia et liberalitas; multum abest vir misericors ab odio divitum in fratres; propterea, et *magnum firmatum* est intervallum gehennam inter et regnum.

CAP. XVII. VERS. 33. *Photii.* Clavi Domini palmas transfigunt, et malitiæ nostræ membris inhærentes nodos, per quos vastatum et corruptum est humanum genus, ipsis evellunt radicibus. Corona e spinis capiti circumducitur, et ærumnosus antiquæ maledictionis torques rumpitur; lancea latus dividitur, et nobis salutis fons aperitur.

CAP. XXIII. VERS. 45. *Photii.* Potius vero *scissum est velum templi*, ligno cum Dominus penderet, ob plurimas, puto, causas. Quod enim terra motu parum oportuit agitari, possibile est incredulis illud elementorum naturali perturbationi attribuere, scissum vero esse velum, nemine præsertim divellente, a summo usque deorsum, Dei iram hoc prodigium ostendit. Erat autem symbolum et indicium perpetuæ destructionis et vastationis inclyti Judaicorum rituum templi. Et tertio, quod non parte aliqua orbis religio concludetur; sed omnes fines in mysteriorum participationem adducentur. Jam arca et quæ includebat, secundum figuram facta est hominis et eorum quæ sub cœlo sunt; hæc autem velo separabatur et occultabatur; ostendebat hactenus cœlorum ingressum hominibus impervium permansisse; scinditur ergo velum, cum Christus est crucifixus, cœlorum ingressum omnibus præconizans et annuntians (19).

VERS. 50. *Photii.* Erat forte occultus amicus Joseph, et nocturnus Christi discipulus; sed tandem metus rumpens vincula, omnibus qui palam sequebantur ferventior et audacior factus est. Et Domini corpus in contumelia suspensum, a ligno demittens, quod potuit obsequium non neglexit, verborum moderatione, pretiosam emens margaritam, et horum valorem velans. Non enim ut homo mente et sermone superbus, corpus expetit, sed

NOTÆ.

(19) Cf. q. CCXII.

Digitized by Google

ut misericordiæ et liberalitati deditus, in sepultu-
ram mortuum petit; et *accedit ad Pilatum*, timo-
rem et pavorem excutiens, quasi consilio consen-
tiens, deferri corpus mortui hortatur; jam enim
parasceve occidente sole desinebat, et lex Sabbati
præsenti illucescebat; et persuadere magis ratus
est, legem pariter prætendens, qua vetabatur sus-
pensa manere corpora crucifixorum. Judæi enim
alia contra legem agentes, et aperta fronte patria
instituta transgredientes, si quid voluntati non
contrarium occurrebat, et facillimum completu, le-
gis in hoc reverentiam curabant. Da mihi, inquit
Joseph, si vis, sepelire corpus Jesu quem noti
omnes derelinquentes abierunt; cujus multi con-
currebant in passione spectatores, nunc autem nul-
lus permansit, ne amicorum quidem, ad sepelien-
dum, abest a te de regno metus; mortuus est qui
potestatem magistratus occupaturus incusabatur.
Ad ipsam apparentiam expers visus est omnis in-
justitiæ: quem prophetarum interfectrix lingua et
vox et manus, te ferre censente humaniorem sen-
tentiam, sub damnationem mortis induxerunt. Da
mihi annuere gratiam, per quam alios minime læ-
dere potes; non enim Judæorum turba ægre feret
si terra noverit absconditum inimicum. Magis igitur
dolebunt, si mortuum quem oderant viderint, id
est, eorum victimam cruce triumphantem cernen-
tium miserationem adducentem, et crucifigentium
crudelitatem exprobrare inspirantem; neque Cæsaris
amicitiam præ se ferent. Non es, dicentes, amicus
Cæsaris, si cadaver dederis terra sepeliri; sine hæ-
sitatione, si vis tantum, implebitur mea postulatio.
Talibus Pilati mentem incantans verbis, propositum
obtinet, et sumit avulsum corpus Jesu, et assuetis
honorat curis.

A γόμενος, οὕτως τὸ σῶμα ἐπιζητεῖ, ἀλλ' ὡς ἂν ἐλαίῳ καὶ φιλανθρωπίᾳ δοὺς, εἰς ταφὴν αἰτεῖται τὸν νεκρόν· καὶ *πρόσεισι μὲν τῷ Πιλάτῳ*, ὄκνον ἅπαντα καὶ φόβον ἀποῤῥιψάμενος, οἷα δὲ βουλῆς κοινωνῶν, κατενεχθῆναι τὸ σῶμα τοῦ τεθνηκότος συμβουλεύει. Ἤδη γὰρ τῆς παρασκευῆς ταῖς τοῦ ἡλίου δυσμαῖς συνυποληγούσης, καὶ ὁ τοῦ Σαββάτου νόμος τῇ ἐπιούσῃ συνανεφαίνετο· καὶ πιθανώτερος ἐδόκει, καὶ τὸν νόμον ἴσως ὑποφαίνων, δι' ὃν οὐκ ἐχρῆν μετέωρα μένειν ἔτι τὰ σώματα τῶν ἀνῃρημένων. Τὰ μὲν γὰρ ἄλλα τῶν Ἰουδαίων ἐκθέσμως πραττόντων, καὶ ἀπερικαλύπτῳ τῇ κεφαλῇ τῶν πατρίων ἐκδιαιτωμένων, ἐν οἷς οὐδὲν ἀντίπαλον τοῦ θελήματος ἁπήντα, καὶ ῥᾷστον ἦν ἐκτελέσαι, ἡ περὶ τοὺς νόμους εὐλάβεια κατεσπούδαζε. Καὶ δός μοι, φησὶν ὁ Ἰωσὴφ, εἰ βού-
B λει, θάψαι τὸν νεκρὸν τοῦ Ἰησοῦ, ὃν οἱ γνωστοὶ πάντες ᾠχοντο καταλιπόντες, οὗ πολλοὶ μὲν συνέῤῥεον ἐπὶ τῷ πάθει θεαταὶ νῦν δ' οὐδεὶς ὑπέμεινεν, οὐδὲ τῶν φίλων, ἐνταφιαστής. Ἄπεστί σοι φόβος βασιλείας· τέθνηκεν ὁ τὸ κράτος μὲν τῆς ἐξουσίας ἁρπάσαι κατηγορούμενος, μέχρι δὲ καὶ αὐτῆς προφάσεως ἀθῶος ὀφθεὶς παντὸς ἀδικήματος· ὃν προφητοκτόνος γλῶσσα καὶ φωνὴ καὶ χεῖρες, σοῦ δοκοῦντος φέρειν φιλανθρωποτέραν ψῆφον, ὑπὸ κρίσιν ἦγαγον θανάτου. Δός μοι χάριν ὁμολογεῖν, δι' ἧς ἑτέρους οὐδὲν ζημιοῖς. Οὐδὲ γὰρ, οὐδ' ὁ τῶν Ἰουδαίων ὄχλος ἀνιάσεται γῇ μαθόντες τὸν ἐχθρὸν καλυπτόμενον. Μᾶλλον
C μὲν οὖν δυσχεραίνουσι καὶ νεκρὸν τὸν ὑπ' αὐτῶν μισούμενον βλέποντες· τοῦτο μὲν τὴν αὐτῶν μιαιφονίαν τῷ σταυρῷ θριαμβεύοντα, τοῦτο δὲ τῶν ὁρώντων τὸν ἔλεον ἕλκοντα, καὶ τῶν σταυρωσάντων ἐκκαλούμενον μυσάττεσθαι τὴν ὠμότητα· οὐδὲ τὴν Καίσαρος ἐπισείουσι φιλίαν, Οὐκ εἶ φίλος, λέγοντες, τοῦ Καίσαρος, εἰ νεκρὸν δίδως τῇ γῇ κατορύττεσθαι. Ἀπροφάσιστος, εἰ βούλει μόνον, ἡ πλήρωσις τῆς αἰ-

τήσεως. Τούτοις τὴν τοῦ Πιλάτου κατεπᾴδων ψυχὴν, σῶμα τοῦ Ἰησοῦ, καὶ τῆς συνήθους ἀξιοῖ φροντίδος.

Ejusdem. Myrrha igitur ungens et aloe corpus Domini, quod mortuis apud Judæos honor funebris erat, et mortuariis circumligans fasciis, in novo deponit monumento. Novum autem monumentum paravit, ut ipsi Domina quomodo potuit honorem Joseph expromeret. Sepulcrum enim novum erat et proprium, non autem commune, et plurimis contaminatum corporibus, ut in mortuis sepulto
D reverentiam præstet; et duplicem ob aliam disposita a Deo causam: primo quidem, ne cum resurrectionis miraculum contigisset, ab audentibus omnia Judæis et non erubescentibus alius quidam consepultorum divulgatus foret, non ille qui ab illis ad crucem condemnatus erat, mortuorum, surrexisse; sed ut illis undequaque præcideretur omnis mendacii et in Deum odii occasio. Secundo autem, ne viderentur sola illa e sepulcro surrexisse corpora, quibus Domini corpus applicatum et admotum fuisset; quod etiam ab aliquo sanctorum corpore vivente adhuc differebat, et a fortiori mortuo. Sed ut, tanquam super omnia fuerit contra infernum potentia Domini manifestata, nondum

Τοῦ αὐτοῦ. Σμύρνης οὖν ἐπιπλάσσων καὶ ἀλόης τὸ σῶμα τὸ Δεσποτικὸν, ὃ τοῖς τελευτῶσι παρά γε τοῖς Ἰουδαίοις τιμὴ τελευταία, καὶ τοῖς νεκροστολίοις περιελίσσων ὀθονίοις, πρὸς τῷ καινῷ κατατίθησι μνημείῳ· καινὸν δὲ τὸ μνημεῖον παρεσκεύαστο, αὐτῷ τε τῷ Δεσπότῃ τὸν δυνατὸν τρόπον τοῦ Ἰωσὴφ τιμὴν ἐξευρίσκοντος· τάφος γὰρ καινὸς καὶ ἴδιος, ἀλλὰ μὴ κοινὸς καὶ πολλοῖς ἐκλελυμασμένος σώμασι, τὴν ὡς ἐν νεκροῖς τῷ θαπτομένῳ προσνέμει σεμνότητα· καὶ διπλῆς ἄλλης οἰκονομουμένης αἰτίας ἕνεκα, μιᾶς μὲν, ἵνα μὴ τοῦ τῆς ἀναστάσεως ἐπιτελουμένου θαύματος τοῖς πάντα τολμῶσι καὶ ἀναισχυντοῦσιν Ἰουδαίοις, ἄλλος τις τῶν συντεθαμμένων ἐπιφημισθῇ, οὐχ ὁ παρ' αὐτῶν τῷ σταυρῷ καταδεδικασμένος, τῶν νεκρῶν ἀνιστάμενος, ἀλλ' ἵνα αὐτοῖς πανταχόθεν ᾖ πᾶσα ψευδολογίας καὶ θεομαχίας περικεκομμένη πρόφασις· ἑτέρας δὲ, τοῦ μὴ δόξαι τισὶν ἐκεῖνα μόνα τῶν σωμάτων ἐξαναστῆναι τοῦ τάφου, οἷς τὸ Δεσποτικὸν ἐπεχωρίαζε σῶμα καὶ ἐπλησίαζεν· ὃν καί τινος τῶν ἁγίων πάλαι καὶ ζῶντος ἔτι διεπέπρακτο, καὶ αὖ τελευτήσαντος· ἀλλὰ ἵν' ὥσπερ ὑπὲρ πάντων εἴη τὸ κατὰ τοῦ ᾅδου κράτος ὁ Δεσπό-

Digitized by Google

της ἀναδεδεγμένος, οὕτω καὶ τῶν πανταχοῦ γῆς καὶ θαλάσσης διερριμμένων σωμάτων, καὶ πυρὶ καὶ ἀέρι διεσκεδασμένων, λαμπρῶς ἐπιγνωσθῇ τῷ οἰκείῳ πάθει διαπεπραγμένος τὴν ἀνάστασιν· οἷς γὰρ τινῶν μὲν οὐ συνετέθαπτο σώμασι, πολλοὶ δὲ τῶν ἁγίων ἀναστάντες, ἀλλοθί που καὶ ἄλλοθι καὶ σποράδην καὶ οὐ κατὰ τὸ Δεσποτικὸν μνῆμα κείμενοι, πολλοῖς ἦλθον εἰς ἐμφάνειαν· διὰ τούτων μᾶλλον τρανῶς ἐπιδείκνυται, μὴ τῶν μὲν, τῶν δὲ μή, ἀλλ' ὑπὲρ πάντων τῷ Δεσπότῃ ὅτε θάνατος γεγενημένος καὶ ἡ ἀνάστασις· διὰ ταῦτα γὰρ οὖν καὶ τοιαῦτα, καινὸς ὁ Δεσποτικὸς τάφος τῷ Ἰωσὴφ ἐλάξευτο· ἐκείνου μὲν μὴ, συνορῶντος ἴσως ἅπαντα, ἀλλὰ πρὸς ἓν γε, τὴν τιμὴν, ἀποβλέποντος· τῆς θείας δὲ καὶ ταῦτα προκαταρτιζούσης καὶ συνοικονομούσης προγνώσεως.

A ubique per terras et maria agitatis corporibus, neque in igne et aere dispersis, clare nosceretur propria virtute resurrectionem patravisse. Quibus enim non consepultus erat corporibus, multi sanctorum resurgentes, ibi et alibi et passim et non juxta Domini monumentum jacentes, multis apparuerunt. Per hæc aperte magis ostenditur, non horum, neque illorum, sed universorum Domino factam esse mortem et resurrectionem. Propter quæ igitur et talia, novum Domino sepulcrum a Joseph excisum est; qui quidem non omnia hæc simul videbat, sed unum, honorem scilicet, intendebat; prævisione autem divina cuncta præparante et disponente.

[p. 316. a.] *Φωτίου.* Οὐ μὴν ὑποληπτέον ὅτι ἡ παράβασις τοὺς ὀφθαλμοὺς ἐκείνων διήνοιξεν, ἄπαγε. Οὐδὲ γὰρ, οὐδ' ἐν αὐτῇ παραβάσει γέγραπται τοὺς ὀφθαλμοὺς αὐτῶν διηνοίχθαι, ἀλλὰ μετὰ τὴν παράβασιν. Ὅπερ τοιοῦτόν ἐστι. Μετὰ τὴν ἁμαρτίαν ὡς τὰ πολλὰ ἐπίγνωσις τοῦ ἁμαρτήματος γίνεται, καὶ τὸ μέγεθος τοῦ τολμήματος τότε μᾶλλον ἐπιγινώσκεται. Τοῦ γὰρ ἐπιπροσθοῦντος πάθους καὶ κινοῦντος οἴστρου πρὸς τὴν ἁμαρτίαν, μετὰ τὴν ἔκθεσμον πρᾶξιν πεπαυμένου, τότε ὥσπερ διακύψας τῆς πολλῆς ἐκείνης ἀχλύος ὁ λογισμὸς καὶ ἀνανήψας ἐφορᾷ τὰ πεπραγμένα καὶ εἰς οἵαν κατάστασιν ἐξ οἵας μετηνέχθη, μᾶλλον λαμβάνει τὴν συναίσθησιν, καὶ τὸ συνειδὸς τιτρῶσκον αὐτὸν καὶ διεγεῖρον ἔχον, διαβλέπει τραχῶς ἃ τοῦ πάθους ἐπιπροσθοῦντος, οὐχ ὁμοίως ἔβλεπεν· ἄλλως δὲ πρὸς τὴν ἁμαρτίαν ἕκαστος χωρῶν, οἷς ὁ πονηρὸς διαγαργαλίζων τε καὶ ὑποθέλγων ἡμᾶς ἐκθηλύνει, καὶ γνόφου πληροῖ, κεκαρωμένους ὥσπερ φέρει τοὺς λογισμούς, καὶ πεπηρωμένον τὸ ὀπτικὸν τῆς διακρίσεως. Μετὰ δὲ τὴν πρᾶξιν ὑπ' ὄψιν ἄγει τὸ τολμηθὲν, καὶ ἀνακαλύπτει πικρῶς, ὃ πρότερον πολλαῖς μηχαναῖς συνεκάλυπτεν· εἶτα, δι' ὧν κατάφωρον τὸν ὄγκον ἀποτελεῖ τοῦ τολμήματος, πρὸς ἀπόγνωσιν ὠθεῖν πειρᾶται τὸν ἁμαρτήσαντα. Τὸ γοῦν, *Διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ*, οὐ πρὸς τὸν ἔμπροσθεν χρόνον, οὐδὲ πρὶν ἢ τῆς ἐντολῆς αὐτοὺς ἐκπεσεῖν, παραληπτέον. Τότε γὰρ ἠνεῳγμένους εἶχον μᾶλλον, μήπω τοῦ ὄφεως τοῖς ψιθυρισμοῖς ὑποκλαπέντες, καὶ συνορᾷν τὸ πρακτέον, ἐγρήγορον ἔφερον τὴν διάνοιαν. Οὐκοῦν τὸ βλέπειν οὐκ ἔχοντες, ἐπὶ τῆς ἁμαρτίας ἀνέλαβον· τοὐναντίον δὲ τὴν ἁμαρτίαν ἐν τῷ πράττειν τυφλώττοντες, πεπαυμένης τὴν ὅρασιν ἀνεκτήσαντο· ἐνταῦθα μέντοι τὸ, *Διηνοίχθησαν οἱ ὀφθαλμοὶ*, ἀντὶ τοῦ, τὸ βλέμμα αὐτῶν ὠξύνθη πρὸς ἐπίγνωσιν· ᾠκονόμει γὰρ τέως ὁ Κύριος τὸ μὴ γνωσθῆναι αὐτοῖς, μέχρι τῆς τοῦ ἄρτου κλάσεως.

B CAP. XXIV. VERS. 31. *Photii.* Non equidem intelligendum eorum oculos transgressione apertos fuisse, absit. Neque enim in ipsa transgressione scriptum est apertos fuisse eorum oculos, sed post transgressionem. Idem est quod post peccatum major cognitio offensæ datur, et audaciæ magnitudo tunc magis cognoscitur. Nam offuscante animum passione et in peccatum furiose movente, post nefariam autem actionem desinente, tunc, velut ab opaca illa nube et quasi ebrietate soluta ratio actionem intuetur, et cum in alium ex alio statum adducta est, magis conscientiam audit, quæ velut aculeis pressa et excitata clare conspicit, quæ passione offuscante non eadem viderat. Aliter autem ad peccatum quisque tendit, cum malignus, quibus blandiens et incantans nos debilitat et tenebris complet, soporiferas rationes adducit, et oculum occludit conscientiæ. Sed post actionem, ante oculos ponit quod ausum est, et amare aperit, quod prius multis artibus velaverat; deinde, ut manifestam facinoris gravitatem consummet, in desperationem injicere nititur peccatorem. Illud igitur : *Aperti sunt oculi eorum*, non præcedenti tempore, neque antequam in mandatum peccavissent, intelligendum est: Quando enim oculos habebant apertos magis, nondum serpentis decepti fraudibus, et ad videndum quid agendum esset, vigilem gerebant mentem. Cum igitur videre non poterant, in peccatum inciderunt. E contrario autem qui in peccatum agendo cæci C erant, peracto peccato visum recuperaverunt. Ibi ergo dicitur : *Aperti sunt eorum oculi*, tanquam diceretur, visus eorum magis ad cognitionem acutus factus est. Disponit enim Dominus ne hactenus ab illis noscatur, usque ad fractionem panis.

[p. 317 a.] *Τοῦ αὐτοῦ.* Συντέμνει τὴν ὑπόσχεσιν, διὰ τὴν ὀλιγοψυχίαν τῶν μαθητῶν· καὶ διὰ τοῦτο πρὸ τῆς Γαλιλαίας ἐν αὐτοῖς Ἱεροσολύμοις, αὐτοῖς ἐμφανίζεται, καὶ οὐ δήπου τοῦτο τῆς ἐπαγγελίας παράβασις. Ταχεῖα δὲ μᾶλλον ἐκ πολλῆς φιλανθρωπίας ἐκπλήρωσις· ὥρθη δὲ μετὰ ταῦτα καὶ ἐν τῇ Γαλιλαίᾳ, ὅτε ἀπῆλθον ἐκεῖ· *Ἀπελθόντες* γὰρ, φησὶν, *ὄψεσθέ με.*

VERS. 36. *Ejusdem.* Promissionem reducit, ob discipulorum pusillanimitatem et propterea prælia Galilæa ipsis Jerosolymis illis apparet, et id minime est promissi violatio; celeris potius est ex magna charitate impletio. Visus est autem posthac et in Galilæa, quia huc abierant. Dicit enim : *Abite, et videbitis me.*

Digitized by Google

FRAGMENTA IN JOANNEM.

Ex Catena Corderii.

CAP. IV. VERS. 13. *Respondit Jesus, et dixit ei : Omnis qui bibit ex aqua hac, sitiet iterum : qui autem biberit ex aqua quam ego dabo ei, non sitiet in æternum.*

Photii. Dicente illa : Nunquid tu major es Patre nostro Jacob? non respondit: Certe major sum : visus enim fuisset sese tantum jactitare, nondum sui facta probatione. Ex dictis autem id astruit. Non enim simpliciter dixit : Dabo tibi aquam ; sed prius illa Jacob neglecta, suam laudat, a munerum natura, dantium volens differentiam ostendere, et quantum ipse patriarcham excelleret : nam si miraris, inquit, Jacob hanc aquam dedisse, hacce multo præstantiorem dabo tibi (21).

A Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα.

Φωτίου. Λεγούσης αὐτῆς, *Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ ;* Οὐκ εἶπεν, Καὶ μείζων εἰμί· ἔδοξε γὰρ ἂν κομπάζειν μόνον, τῆς ἀποδείξεως μὴ φαινομένης. Δι' ὧν δὲ λέγει, τοῦτο κατασκευάζει. Οὐ γὰρ ἁπλῶς εἶπεν, Δώσω σοι ὕδωρ, ἀλλὰ πρότερον ἀμελῶν τὸ τοῦ Ἰακώβ, τότε ἐπαίρει τὸ ἑαυτοῦ, ἀπὸ τῆς τῶν δωρεῶν φύσεως, τὸ διάφορον τῶν διδομένων παραστῆσαι βουλόμενος, καὶ τὴν ὑπεροχὴν τὴν πρὸς τὸν πατριάρχην. Εἰ γὰρ θαυμάζεις, φησὶ, τὸν Ἰακώβ, ὅτι τοῦτο ἔδωκε τὸ ὕδωρ, πολὺ τούτου βελτίω δώσω σοι.

VERS. 20. *Patres nostri in monte hoc adoraverunt, et vos dicitis, quia Jerosolymis est locus, ubi adorare oportet.*

Photii. Judæi crassioribus de divina corporisque experte natura opinionibus imbuti, Jerosolymis dumtaxat ab omnibus Deum adorandum esse contendebant, quasi semel tota ibidem incomprehensa illa et ineffabilis natura, in unum quodammodo compacta et circumscripta foret. Quamobrem tanquam omnino rudes hac in re arque imperiti, voce prophetarum reprehensi sunt, dicente Domino : *Cœlum mihi sedes, terra autem scabellum pedum meorum. Qualem domum ædificabitis mihi, dicit Dominus? Vel quis locus quietis meæ?* Samaritani vero rursum, ut loco et regione, sic et inscitia ruditateque vicini Judæis, in monte Garizin dicto, orationes ac preces faciendas existimantes, merito risum non effugiunt. Hujus autem stolidæ superstitionis occasionem illis præbuit illa benedictio, quam in Garizi monte datam ex Deuteronomio cognoscimus. Hancce quæstionem ista mulier Salvatori tanquam problema difficillimum proponit, dicens : *Patres nostri in monte hoc adoraverunt*, et quæ sequuntur. Ad quod respondit Salvator : Non jam amplius quæsitum iri locum, in quo proprie Deus putetur habitare; sed ut qui omnia impleat, et universa contineat, ex suo quemque loco Dominum adoraturum, quemadmodum quidam sanctorum prophetarum ait. Horam autem et tempus ejuscemodi rituum abrogandorum, vocat corporeum suum in hunc mundum adventum (22).

B Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν.

Φωτίου. Οἱ Ἰουδαῖοι παχυτέρας ἔτι τὰς περὶ τῆς θείας τε καὶ ἀσωμάτου φύσεως διαλήψεις δεχόμενοι, ἐν μόνοις τοῖς Ἱεροσολύμοις χρῆναι προσκυνεῖσθαι τὸν ἐπὶ πάντας Θεὸν διετείνοντο, ὡς ἅπαξ ὅλης τῆς ἀῤῥήτου καὶ ἀκαταλήπτου φύσεως καταλυούσης ἐκεῖ, καὶ περιγραφομένης. Διὸ δὴ καὶ λίαν ἀσυνετοῦντες ἐπὶ τούτῳ διὰ τῆς τῶν προφητῶν ἠλέγχοντο φωνῆς, τοῦ Θεοῦ λέγοντος· *Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος; Ἢ τίς ὁ τόπος τῆς καταπαύσεώς μου;* Σαμαρεῖται δὲ πάλιν οὐ πόῤῥω τῆς Ἰουδαίων ἀμαθίας κείμενοι, χώραν τε ὁμοῦ καὶ ἀπαιδευσίαν ὅμορον ἔχοντες, ἐν ὄρει τῷ Γαριζεὶν, οὕτω καλουμένῳ, καὶ προσεύχεσθαι δεῖν καὶ προσκυνεῖν οἰόμενοι, τὸ γελᾶσθαι δικαίως οὐ διαφεύγουσι. Γέγονε δὲ καὶ αὐτοῖς τῆς ἀνοίας ἡ πρόφασις, τὸ δεδόσθαι τὴν εὐλογίαν ἐν ὄρει Γαριζεὶν, καθὼς ἐν Δευτερονομίῳ γεγραμμένον εὑρίσκομεν. Ταύτην ἡ γυνὴ τῷ Σωτῆρι τὴν ζήτησιν, ὡς δυσκατάληπτον πρόβλημα προῖσχεται, λέγουσα, ὅτι *Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν*, καὶ τὰ ἑξῆς. Πρὸς ὃ φησιν ὁ Σωτὴρ, Οὐκέτι ζητήσεται τόπος ἐν ᾧ δὴ κυρίως οἰήσονται κατοικεῖν τὸν Θεὸν, ἀλλ' ὡς πάντα πληροῦντι, καὶ συνέχειν ἰσχύοντι, προσκυνήσωσι τῷ Κυρίῳ, ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, καθάπερ τίς φησι τῶν ἁγίων προφητῶν. Ὥραν δὲ καὶ καιρὸν τῆς τῶν τοιούτων ἐθῶν μεταστάσεως, τὴν ἑαυτοῦ μετὰ σώματος ἐπιδημίαν ἐν κόσμῳ φησίν.

Ex catena, t. II, p. 444.

CAP. XVII. VERS. 13..... Dicens : *Ut habeant gaudium meum impletum*, ostendit clare, quod volens illos a multa liberare afflictione, præcedenter

Εἰπὼν, *Ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην*, ἐδήλωσεν σαφῶς ὅτι θέλων αὐτοὺς ἀπὸ τῆς πολλῆς ἀνακτήσασθαι θλίψεως, τὰ προειρημένα ἐλα-

NOTÆ.

(21) Cf. Q. LXXIV.

(22) Cf. Q. LXXIV.

Digitized by Google

λησεν, διὸ καὶ πρὸς τὴν ἐκείνων συγκαταβαίνων διάνοιαν (παραμυθεῖσθαι γὰρ αὐτοὺς ἀλλ' οὐ διδάσκειν νῦν τὴν τῆς θεολογίας ἀκρίβειαν ἐβούλετο), ἀνθρωπινώτερον, καὶ ὡς ἐκεῖνοι ἠδύναντο παραμυθεῖσθαι, διαλέγεται, *Τήρησον αὐτούς*, λέγων, καὶ, *Ἐν τῷ ὀνόματί σου*· καὶ, *Ὅτε ἤμην ἐν τῷ κόσμῳ, ἐτήρουν αὐτούς*, καὶ τὰ ὅμοια. Χαρὰν δὲ τὴν ἐμὴν, φησὶν, οἷον τὴν πνευματικὴν, τὴν στηρίζουσαν ψυχὰς, ἀλλ' οὐχὶ τοιαύτην οἵαν ὁ κόσμος ἔχει, διὰ τρυφῆς καὶ ἡδονῶν καὶ σωματικῶν εὐπαθείας συνισταμένην. A dicta locutus est, propterea ad eorum intelligentiam descendens; consolari enim eos, non autem docere nunc theologiæ veritatem volebat. Humanum magis quoddam, et quod illos consolari possit, exponitur. *Serva illos*, inquit; et: *In nomine tuo;* et: *Cum essem in mundo, servabam eos*, et similia. Gaudium autem meum, inquit, ut spirituale, animas firmans, sed non quale mundus habet, voluptate, deliciis et corporalibus commodis constans.

Hæc habet B, sed forsam Photii sunt, ut multa alia, scholia quæ interjecit iste cod., sed nomine ejus in marg. scripto sic φῶ. Huic autem scholio non ascribitur.

FRAGMENTA IN EPISTOLAS SANCTI PAULI.

Ex Catena Crameriana.

I. IN EPISTOLAM AD ROMANOS.

(Cramer. t. IV.)

Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως. B CAP. V. Vers. 14. *Sed regnavit mors ab Adam usque ad Moysen.*

Φωτίου. Τρία ἐστὶν ἐν τούτοις τοῖς παραβολικῶς ἀλλήλοις παρατεθεῖσιν, ὁμοιότης τις, ἐναντιότης, ὑπερβολή. Κατὰ τὴν ὁμοιότητα ἐναντιότης μὲν, ἁμαρτία, ἀναμάρτητον· ἔχθρα πρὸς Θεὸν, κατάλλαγὴ πρὸς Θεόν· κατάκριμα, δικαίωμα· ἀπώλεια καὶ πτῶμα καὶ θάνατος, σωτηρία καὶ ζωὴ καὶ ἀνάστασις. Ἡ μὲν οὖν ἐναντιότης ἐν τούτοις· ἡ δὲ ὁμοιότης, ὥσπερ δι' ἑνὸς τοῖς πᾶσιν ἐπιγέγονεν· ἡ δὲ ὑπερβολὴ, ὅτι ἐπὶ μὲν τῶν χειρόνων συνέπραξαν, τῷ ἑνὶ οἱ πολλοὶ ἐπὶ τὸ μετασχεῖν αὐτοῖς τῶν κακῶν, ἐπὶ δὲ τῶν ἀμεινόνων οὐδεὶς, συνέπραξεν ἀλλὰ μόνον τοῦ ἑνὸς Χριστοῦ τὸ χάρισμα γέγονεν. Ὥστε οὐχ ὁμοίως καὶ ἐπίσης, ἀλλὰ καθ' ὑπερβολὴν καὶ ἐκ περισσείας ἡ ὁμοιότης. Πάλιν διὰ τοῦ Ἀδὰμ τῶν χειρόνων εἰσαχθέντων, οὐκ ἀνῃρέθη μόνον ταῦτα, ὅπερ ὡς ἐναντίοις C ὁμοίων καὶ ἀνάλογον, ἀλλὰ καὶ ἐπεδόθη παρὰ Χριστοῦ τὰ ἀμείνω· ὅπερ τὴν ὑπερβολὴν καὶ τὴν περισσείαν παρίστησιν.

Photii. Tria sunt in his parabolice inter se invicem collatis, similitudo quædam, oppositio, hyperbole. Secundum similitudinem oppositio quidem fit, noxa, innocens; odium in Deum, conversio ad Deum; damnatio, justificatio; perditio, interitus et mors; salus, vita et resurrectio. Est igitur oppositio in istis: similitudo autem, sicut per unum in omnes pertransiit: hyperbole autem, quia in delictis simul operati sunt, in uno multi, quod ipsi in malis operibus communicaverunt, in melioribus vero nullus operatus est, sed tantum unius Christi gratia facta est. Ita non similiter nec æqualiter, sed hyperbolice et ex superabundantia similitudo. Rursus cum per Adam delicta introducta forent, non solum ablata sunt illa, quod in oppositis similitudinem et analogiam præ se fert, sed data sunt per Christum meliora; quod hyperbolen et superabundantiam præstat.

Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς, κ. τ. λ.

Vers. 19. *Quemadmodum enim per inobedientiam unius*, etc.

Φωτίου. Εἰπὼν ὅτι τύπος ἦν ὁ Ἀδὰμ τοῦ Χριστοῦ· τύπος δὲ δηλονότι ἐκ τοῦ ἐναντίου. Ὡς γὰρ ἐκεῖνος αἴτιος ἀνθρώποις [a] θανάτου, οὕτως ὁ Χριστὸς αἴτιος ἀνθρώποις ἀναστάσεως. Εἰπὼν οὖν, ὡς ἔφημεν, ὅτι τύπος ἦν ὁ Ἀδὰμ τοῦ Χριστοῦ· ἐπειδὴ μέλλων αὐτὸ κατασκευάζειν, οὐ μόνον τὴν ὁμοιότητα κατασκευάζει καὶ τύπον, ἀλλὰ καὶ τὴν ἐν τῷ τύπῳ καὶ ὁμοιότητι ὑπεροχὴν καὶ περισσείαν. Τοῦτο γὰρ ἐνδείκνυται διὰ τοῦ λέγειν, ἀλλ' οὐχ ὡς τὸ παράπτωμα· καὶ πάλιν, καὶ οὐχ ὡς ἑνὸς ἁμαρτήσαντος. D Ἐπεὶ οὖν σύνθετον αὐτῷ πως γέγονε τὸ ἐπιχείρημα, ἀνομοιότητά πως ἐν ὁμοιότητι διαπλέκοντι· νῦν

Photii. Typum dicit fuisse Adam Christi; typus autem evidenter est ex oppositione. Ut enim ille causa hominibus mortis fuit, sic et Christus causa hominibus resurrectionis. Dicit igitur, ut notavimus, typum fuisse Adam Christi; cum id expositurus est, non solum similitudinem exponit et typum, sed etiam in typo et similitudine excessum et superabundantiam. Hoc enim ostendit dicendo, sed non sicut delictum, et rursus, et non sicut uno peccante. Cum igitur composita illi quodammodo facta sit expositio, absimilitudinem similitudini inserenti; nunc idem reassumit, meram-

VARIÆ LECTIONES.

[a] Cod. ἀνθρωπος, sed marg. γρ. ἀνθρώποις.

Digitized by Google

que similitudinem ostendit, nec miscet aliquam ex dictione absimilitudinis repugnantiam. Deinde aperte et nude demonstrans, quia sicut per unum mors regnavit, multo magis in vita regnabit per unum Christum, adjicit tanquam conclusionem ducens, et in apertiorem adhuc et pressiorem producens sermonem, et dicit : *Igitur sicut per unum delictum in omnes homines condemnatio*, et quæ sequuntur. Deinde cum in primo composita expositione utitur, in secundo explicata et repetita, et in voce *sicut*, conclusioni abjecta. Delictum quidem et donum et condemnationem, et donationem et justificationem memorat : unde etiam initium sumpsit. Nullo modo contrariorum utriusque connexio indicata est. Nunc illud exponit et aperit dicens, quod unum ex inobedientia manavit, alterum autem ex obedientia floruit; ita ut demonstratio illud sit expositionis in qua exhibuit typum et similitudinem, quale est illud, *Si enim unius delicto mors*, etc.

A ἐπαναλαμβάνεται μὲν τὸ αὐτὸ, καθαρῶς δὲ τὴν ὁμοιότητα δείκνυσι· καὶ οὐκέτι πλέκων ὅσον ἀπὸ τῆς λέξεώς τινα ἀνομοιότητος μάχην· εἶτα σαφῶς τοῦτο καὶ καθαρῶς ἐνδειξάμενος, ὅτι ὥσπερ δι' ἑνὸς ἐβασίλευσεν ὁ θάνατος, πολλῷ μᾶλλον ἐν ζωῇ βασιλεύσει δι' ἑνὸς Χριστοῦ, ἐπάγει ὥσπερ συμπεραινόμενος, καὶ εἰς τὸ ἔτι σαφέστερον καὶ συνεσταλμένον ἀνάγων τὸν λόγον, καί φησιν· « Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους τὸ κατάκριμα, » καὶ τὰ ἑξῆς. Εἶτα καὶ ἐπειδὴ καὶ ἐν τῷ πρώτῳ καὶ συνθέτῳ ἐπιχειρήματι, καὶ ἐν τῷ δευτέρῳ καὶ διακεκαθαρμένῳ καὶ ἐπαναληπτικῷ· καὶ ἐν τῷ ὥσπερ συμπεράσματι ἐπενεχθέντι. Παραπτώματος μὲν καὶ χαρίσματος καὶ κατακρίματος καὶ δωρήματος καὶ δικαιώματος καὶ τοιούτων μνημονεύει· ὅθεν καὶ τὴν ἀρχὴν εἴληφεν· ἑκάτερα τῶν ἐναντίων ἡ συστοιχία αὕτη οὐδέπω ἐπεσημήνατο.

B Νῦν αὐτὸ τοῦτο διασαφεῖ καὶ ἀποκαλύπτει, καὶ φησιν, ὅτι τὰ μὲν ἐκ παρακοῆς ἐρρύη, τὰ δὲ ἐξ ὑπακοῆς ἤνθησεν· ὥστε κατασκευαστικὸν ἂν εἴη τοῦτο καὶ τὴν ὁμοιότητα, οἷον τοῦ, *Εἰ γὰρ τῷ τοῦ ἑνὸς*

τοῦ ἐπιχειρήματος τοῦ κατασκευάζοντος τὸν τύπον *παραπτώματι ὁ θάνατος*. » καὶ ἑξῆς.

Non eumdem sermonem repetit, ut putari posset, divinus Apostolus in istis, sed clare multum et recte connectit et disponit vim horum capitum. Est igitur illud : *Sed non sicut delictum*, et quæ sequuntur, usque ad : *Ex multis delictis in justificationem*, expositio quidem, ut diximus, typum et similitudinem ostendens; deerat ergo claritate et explicatione. Illud præstat quæ sequitur expositio, repetens jam dicta, et explicans et in aperto exponens. Sed oportebat et huic quoque conclusionem C dari, ut non ex hypothesi tantum videatur constare. Hoc non omittit, sed tanquam conclusionem ducens, et sermonis veritate fidens, cum affirmatione profert : *Igitur sicut per unius delictum*, etc. Deinde, cum igitur minime in talibus expositionibus dixit unde habuerit principium justificatio et condemnatio, neque illud prætermittit, sed exponit dicens : *Sicut enim per inobedientiam*, etc.

Οὐ ταυτολογεῖ τοίνυν, ὡς ἄν τις οἰηθείη, ὁ θεῖος Ἀπόστολος ἐν τούτοις, ἀλλὰ σαφῶς λίαν καὶ διηκριβωμένως ἀλληλουχεῖ καὶ ἐντάττει τῶν κεφαλαίων τὴν δύναμιν· ἔστι μὲν οὖν τὸ μὲν, *Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα*, καὶ ἑξῆς, ἕως τοῦ, *ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα*, ἐπιχείρημα μὲν, ὡς ἔφημεν, δεικτικὸν τοῦ τύπου καὶ τῆς ὁμοιότητος. Ἐδεῖτο οὖν σαφηνείας καὶ διακαθάρσεως. Τοῦτο ποιεῖ τὸ ἐφεξῆς ἐπιχείρημα, ἐπαναλαμβάνον τὸ προειρημένον καὶ διακαθαῖρον καὶ εἰς τὸ σαφὲς ἀπαγγέλλον· ἀλλ' ἔδει καὶ τοῦτο λαβεῖν ἀξίωμα, καὶ μὴ ἐξ ὑποθέσεως προτείνεσθαι μόνον. Οὐδὲ τοῦτο παροράᾳ, ἀλλ' ὥσπερ συμπεραινόμενος, καὶ τῇ τοῦ λόγου θαρρῶν ἀληθείᾳ, μετὰ βεβαιώσεως ἀποφαίνεται· *Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος*, καὶ τὰ ἑξῆς. Εἶτα, ἐπεὶ οὖν ἦν εἰπὼν ἐν τοσούτοις ἐπιχειρήμασιν οὐδαμοῦ πόθεν ἔσχεν ἀρχὴν τὸ δικαίωμα καὶ τὸ κατάκριμα, οὐδὲ τοῦτο παροράᾳ, ἀλλὰ τίθησι λέγων, *Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς*, καὶ ἑξῆς.

CAP. VII. VERS. 8. *Sine enim lege peccatum mortuum erat.*

Peccatum quidem mortuum erat; ego autem in vita eram, utpote non turbatus, non vulneratus, non occisus ab illo. Quomodo ergo revixit illud per D legem? Quomodo? Quod, data lege, magis ad impugnandum incitatum est, et quidquid nocere poterat ausum est, tanquam coronandum fore hunc qui mandatum servaverit considerans, et ideo magis invidiosum factum. Et ego rursus cognoscens per legem peccatum, et quia in hac cognitione agebam quæ vitare oportebat, magis propterea peccabam; et magis illud contra me valens efficiebam, robur illi addens per cognitionem actus injusti, et debili et mortuo vires et vitam suscitans. Cum autem vixit, me occidit. Antequam illud ad vitam revocaretur, vivebam ego magis. Illud autem erat ante legem et mandatum; ita ut, quamvis lex non

Χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά.

Φωτίου. Ἡ μὲν ἁμαρτία νεκρά· ἐγὼ δὲ ἐν ζωῇ, ἅτε μὴ ἐνοχλούμενος μηδὲ νυττόμενος, μηδὲ νεκρούμενος ὑπ' αὐτῆς. Πῶς οὖν ἀνέζησεν ἐκείνη διὰ τοῦ νόμου; Τίνα τρόπον; ὅτι τοῦ νόμου δοθέντος μᾶλλον ἐκείνη πρὸς ἐπίθεσιν παρωξύνθη, καὶ οἷον ἐπηρεάσαι ὥρμησεν· ἅτε δὴ καὶ στεφανοῦσθαι μέλλοντα τὸν φυλάξαντα τὴν ἐντολὴν ὑπολογιζομένη, καὶ διὰ τοῦτο μᾶλλον διαβασκαίνουσα. Καὶ ἐγὼ πάλιν γνοὺς διὰ τῆς ἐντολῆς τὴν ἁμαρτίαν, ὡς ἐν γνώσει πράττων ἃ φεύγειν ἔδει, μᾶλλον κατὰ τοῦτο ἡμάρτανον· καὶ μᾶλλον αὐτὴν κατ' ἐμαυτοῦ ἐπερώννυον, ἰσχὺν αὐτῇ διὰ τῆς κατὰ γνῶσιν ἀτόπου πράξεως ἐπιχορηγῶν, καὶ οἷον ἀσθενῆ καὶ νενεκρωμένην οὖσαν ἐνισχύων καὶ ἀναζωπυρῶν. Ἡ δὲ ζήσασα ἐμὲ ἐνέκρωσε. Πρὸ δὲ τοῦ ἀναζῆσαι ἐκείνην, ἐγὼ ἔζων μᾶλλον. Τοῦτο δὲ ἦν πρὸ τοῦ νόμου καὶ τῆς ἐντολῆς· ὥστε εἰ καὶ

Digitized by Google

μὴ ὁ νόμος ἁμαρτία, ἀλλ' οὖν ἐκείνου δοθέντος, κατὰ δύο τρόπους ἡ ἁμαρτία ἀνέζησεν, αὐτῆς τε ἐκείνης μᾶλλον πρὸς ἐπίθεσιν ἀνακινηθείσης· καὶ διεγερθείσης, καὶ ἡμῶν τῇ κατὰ γνῶσιν ἐκτόπῳ πράξει ἐνισχυσάντων αὐτήν· καὶ τὴν καθ' ἡμῶν ἐπιβουλὴν σὺν παῤῥησίᾳ παρασχομένην. *Ἀλλ' ἐκείνη μὲν ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον.*

A sit peccatum, hac tamen data, duobus modis revixit peccatum. Illud magis ad impugnandum incitatum et animatum nobis alieno secundum cognitionem actu valentius illud efficientibus, contra nos in impetum audacissime, irruit. *Sed peccatum revixit, ego autem mortuus sum.*

Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα. Ἀνωτέρω εἰπὼν ὅτι, *Ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν*, ἐπάγει ὅτι, Οὐ μόνον ἐπιθυμίαν πᾶσαν κατειργάσατο, ἀλλὰ καὶ ἀπεκτόνασέ με. Αὕτη γέγονεν εἰς θάνατον. Εἶτα ὡς ἔθος αὐτῷ αἰτίας αἰτίαις συνείρειν, καὶ τὴν ἀκολουθίαν ἐνδεικύναι καὶ τῶν πραγμάτων ἐν τοῖς λόγοις, ἀνατρέχει καὶ τίθησί πως· *Κατειργάσατο πᾶσαν ἐπιθυμίαν*· καὶ φησι, *Ὅτι ἀφορμὴν λαβοῦσα ἐξηπάτησέ με.* Εἶτα ἀφῆκε τὸ προῤῥηθὲν νοεῖν ἐνταῦθα, ὅτι Ἐκ τούτου δὲ εἰργάσατο τὴν ἐπιθυμίαν, καὶ τοῦτο ἀφεὶς ἐπισυνάπτει τὸ τέλος, *καὶ ἀπέκτεινεν*· ἵν' ᾖ κατὰ συνέχειαν, εἴ τις ἀναλάβοι, οὕτως αὐτῷ εἰρημένον· *Ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν*· τὴν δὲ ἐπιθυμίαν κατειργάσατο ἀπατήσασα· ἐργασαμένη δὲ τὴν ἐπιθυμίαν, ἀπέκτεινέ με. Ἔστιν οὖν ἀπάτη αἰτία τῆς ἐπιθυμίας. Ἡ δὲ ἐπιθυμία τοῦ θανάτου· τὴν δὲ ἀπάτην εἰργάσατο διὰ τῆς ἐντολῆς ἡ ἁμαρτία· ἵνα φανῇ τὸ ὑπερβάλλον τῆς κακίας αὐτῆς, διὰ τοῦ ἀγαθοῦ τὸ κάκιστον ἐργαζομένης.

Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα. Supra dixit: *Occasione accepta peccatum operatum est in me omnem concupiscentiam.* Addit', quod non solum omnem concupiscentiam operatum est, sed et occidit me. Illud factum est in mortem. Deinde, cum mos est illi causas causis conserere, et seriem rerum ostendere in verbis, relegit et ponit quomodo: *Operatum est omnem concupiscentiam;* et dicit: *Quia occasione accepta seduxit me.* Dein, mittit ibi significationem eorum quæ antea dixerat, quod ex hoc operatum est omnem concupiscentiam, et illud mittens finem intexit, *et occidit*, ut appareat connexio, si quis hoc modo dicta ejus perlegat. *Occasione accepta, peccatum operatum est in me omnem concupiscentiam.* Concupiscentiam vero operatum est seducendo, et operando concupiscentiam occidit me. Seductio igitur causa est concupiscentiæ; concupiscentia autem mortis. Seductionem vero operatum est per mandatum peccatum; ut ostenderetur malitiæ ejus immensitas, cum per bonum pessimum operetur.

Φωτίου. Ἐκ δευτέρου δὲ ἔφη τὸ, *Λαβοῦσα ἡ ἁμαρτία ἀφορμὴν διὰ τῆς ἐντολῆς*· τὰ αὐτὰ ποικίλως κατασκευάζων· καὶ εἰκότως· μεγάλην γὰρ εἶχε δόξαν ὁ νόμος. Δείκνυσιν οὖν αὐτὸν μηδὲν ὠφελοῦντα, ἀλλ' ἐκ περιστάσεως καὶ βλάπτοντα· ἵνα εὐπαράδεκτος γένηται, κηρύσσων τὸ ἀφεῖναι μὲν αὐτὸν, προσδραμεῖν δὲ τῇ πίστει Χριστοῦ.

Φωτίου. Σὺ δὲ ἁπλῶς δύνασαι ἅγιον τὸν νόμον εἰπεῖν· ὅτι ἐφύλαττεν ἀπὸ ἀκαθαρσίας τοὺς φυλάττοντας αὐτόν· δίκαιον, ὅτι τοὺς μὲν κατορθοῦντας, ἠμείβετο δωρεαῖς· τοῖς δὲ παραβαίνουσι, ἐπετίθει τὰς τιμωρίας. Ἀγαθὸν, ὅτι οὐχ ἡδόμενος ταῖς τιμωρίαις ἢ ὀργῇ χρώμενος ἐκόλαζεν· ἀλλὰ τῆς αὐτῶν ἕνεκεν σωτηρίας. Καὶ ἔτι ὅτι μικρὰ κατορθοῦσι μεγάλα ἐχαρίζετο· καὶ ἁμαρτάνοντας περιεῖπε· καὶ οὐ κατ' ἀξίαν τῶν πλημμελημάτων ἐκόλαζεν. Αὐτὸς δὲ ταῦτα παραῤῥαμὼν ἐκ τούτων συμπεραίνει ἅγιον καὶ δίκαιον καὶ ἀγαθὸν εἶναι τὸν νόμον ἢ τὴν ἐντολήν. Ἐξ ἑνὸς μὲν, ὅτι ἐδίδαξέ με τὴν ἁμαρτίαν· καὶ ἐπέταξε φυγεῖν αὐτήν. Ἐξ ἑτέρου δὲ, ὅτι κηδόμενος καὶ φροντίζων τοῦτο ἐποίησεν. Ἅγιος οὖν, ὅτι ἐδίδαξε, καὶ ἐπέταξε φυγεῖν ἀπὸ τῆς ἀκαθαρσίας. Δίκαιος, ὅτι διδάξας οὕτω, τὴν τιμωρίαν τοὺς ἁμαρτάνοντας ἀπαιτεῖ· ἀγαθὸς δὲ, ὅτι καὶ ζωήν μοι προνοούμενος ταῦτα ἐπετέλει.

Φωτίου. Τὸ μέγεθος δὲ ἠθέλησε δεῖξαι τῆς ἁμαρτίας· καὶ ἐπειδὴ ταύτης εἰς κακίαν μεῖζον οὐκ ἦν εὑρεῖν· δι' αὐτῆς ταύτης ἐνδεικνύμενος τὸ μέγεθος φησίν· *Ἵνα φανῇ ἁμαρτία*· τουτέστιν ἵνα ἐκκαλυφθῇ αὐτῆς ὁ πᾶς τῆς κακίας πλοῦτος, καὶ ἡ ἰσχὺς αὐτῆς

Nam peccatum occasione accepta. Supra dixit: *Occasione accepta peccatum operatum est in me omnem concupiscentiam.* Addit', quod non solum omnem concupiscentiam operatum est, sed et occidit me. Illud factum est in mortem. Deinde, cum mos est illi causas causis conserere, et seriem rerum ostendere in verbis, relegit et ponit quomodo: *Operatum est omnem concupiscentiam;* et dicit: *Quia occasione accepta seduxit me.* Dein, mittit ibi significationem eorum quæ antea dixerat, quod ex hoc operatum est omnem concupiscentiam, et illud mittens finem intexit, *et occidit*, ut appareat connexio, si quis hoc modo dicta ejus perlegat. *Occasione accepta, peccatum operatum est in me omnem concupiscentiam.* Concupiscentiam vero operatum est seducendo, et operando concupiscentiam occidit me. Seductio igitur causa est concupiscentiæ; concupiscentia autem mortis. Seductionem vero operatum est per mandatum peccatum; ut ostenderetur malitiæ ejus immensitas, cum per bonum pessimum operetur.

Photii. Secundo autem dixit: *Occasione accepta per mandatum, peccatum.* Eadem vario modo exponens; et merito: magnam enim habuit laudem ex. Ostendit igitur eam nihil profuisse, sed ex circumstantia etiam nocuisse; ut clarus videatur, quando prædicat illam desiisse fidei Christi præcedentem.

Photii. Tu absolute poteris sanctam legem dicere, quod ab immunditia custodiebat servantes illam; justam, quod recte agentes donis remunerabat, transgressores autem pœnis multabat; bonam, quod non pœnis et ira gaudens quibus utebatur, puniebat, sed ad procurandam eorum salutem, et amplius, quod parva bene agentes magnis donabat, et peccatores, neque dignas illorum delictis pœnas sumebat. Ille autem ista percurrens ex his concludit sanctam, justam et bonam esse legem aut mandatum: ex uno quidem, quod didicit mihi peccatum, et præcepit ut illud fugerem; ex altero autem, quod libens et consulens hoc egit. Sancta ergo, quod didicit, et præcepit ut fugerem ab immunditia, justa, quod, postquam sic didicit, pœnas de peccantibus sumit, bona autem, quod vitam mihi providens hæc perfecit.

Τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος.

Φωτίου. Τὸ μέγεθος δὲ ἠθέλησε δεῖξαι τῆς ἁμαρτίας· καὶ ἐπειδὴ ταύτης εἰς κακίαν μεῖζον οὐκ ἦν εὑρεῖν· δι' αὐτῆς ταύτης ἐνδεικνύμενος τὸ μέγεθος φησίν· *Ἵνα φανῇ ἁμαρτία*· τουτέστιν ἵνα ἐκκαλυφθῇ αὐτῆς ὁ πᾶς τῆς κακίας πλοῦτος, καὶ ἡ ἰσχὺς αὐτῆς

Quod ergo bonum est, mihi factum est mors.

Photii. Magnitudinem voluit ostendere peccati; et quoniam nihil inveniri posset illo majus ad malum procurandum, per illud ipsum ipsius exhibens magnitudinem dicit: *Ut appareat peccatum*, id est, ut revelentur illius malorum omnium divi-

Digitized by Google

tiæ, et illius robur quod in ipso est; tanquam ut quod totum est, totum manifeste appareat. Cum enim malorum aliorum magnitudinem comparare volumus, possumus aliud quid adjicere illi quod affligimur; ut scelestus erat in tantum Cain, quia fratricida factus est, et Deo primus mentitus est. Et rursus, non per prodigiorum ostensionem adductus est Pharao ad liberandum Israelitas, ut exhibeatur illius sententiæ crudelitas et odium in Deum; et in cæteris idem. Nam inveniri potest aliquid præsenti malo pejus, cujus perpetratione qui inique operantur conveniens malignitati nomen accipiunt. Peccatum autem, cum illo, ut diximus, nihil pejus inveniri potest, ipsum se per se designat; amaram et acerbam simul gravitatem, tyrannicamque et invictam vim ostendit. Cum certius censuerit dici per nominis tautologiam, iterum nomen reassumit, dicit enim epithetice : *Peccans peccatum*. Acerbitatis designatio absoluta est. Cognominat et non omnino a nomine abscedit; in quo autem solutio esse videtur, vim addit adjiciens, *supra modum*; et ita apertius simul et fortius, acerbitatem quoque exprimente sermone utitur dicens : *Ut fiat supra modum peccans peccatum*.

Vers. 16. *Si autem quod nolo, illud facio.*

Photii. Tu vero mihi sic verba patefacias. Postquam venundatus et sub peccato factus est homo, non cognoscit quod operatur, turpi consuetudine omnino illi dominante, neque consentiente ut videat malum esse quod agit. Quamobrem quod odisset, si innoxius et liber esset, et quod non eligeret, illud eligit. Jam venundatus et non suus agit. Si vero liber et innoxius et meus forem, non eligerem quæ nunc facio, *consentio legi quoniam bona est*. Illa enim ut fugiam mihi consentit, quæ, dum ego in propria naturæ libertate versor, fugienda censui et odibilia esse. *Non intelligo* igitur, evidenter *venundatus*, *non enim quod volo*, dum liber sum, *hoc facio* nunc, cum *venundatus* sum; *sed quod odi*, dum liber sum, *illud facio* dum *venundatus* sum. *Si vero quod nolo*, dum liber sum, *illud facio*, dum venundatus sum, *consentio legi*, dum liber sum, *quia bona est*. Opera enim legis volo, et non quæ nunc facio.

Vers. 21. *Invenio igitur legem, volenti mihi facere bonum*, etc.

Photii. Intelligas autem sic. Ex his quæ dixi, in quit, hoc mihi concluditur, et illud *invenio legem* esse, legem in bonum *volenti mihi facere bonum*; et illud solum gratum est. Malum enim invenio, *quoniam* similiter *mihi adjacet*; et non melior factus essem ex lege, nisi magis damnum..... recepissem, quia, ut adjaceat mihi et quasi propius mihi sit malum, hæc præbuit occasionem. Lex igitur, solum lex facta est mihi in bonum, aliud autem nihil. Unde evidens est, quod malum mihi tali modo ad-

A ἡ ἐν αὐτῇ. Οἷον ἵν' ὅπερ ἐστὶν ὅλη ὡς ὅλη γένηται ἐκφανής. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ὑπερβολήν τινα θέλοντες παραστῆσαι, δυνάμεθα ἄλλο τι ἐπιφέρειν τῷ διασυρομένῳ ὑφ' ἡμῶν· οἷον μιαρὸς ἦν ἐπὶ τοσοῦτον ὁ Κάϊν· ὅτι καὶ ἀδελφοκτόνος ἐγένετο· καὶ θεὸν πρῶτος ἐψεύσατο. Καὶ πάλιν, οὐδὲ μετὰ τὴν τῶν τεραστίων ἐπίδειξιν παρεκλήθη Φαραὼ ἀπολῦσαι τοὺς Ἰσραηλίτας· ἵνα φανῇ αὐτοῦ τὸ ὠμὸν τῆς γνώμης καὶ θεομισές· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ἔστι γὰρ εὑρεῖν τι χεῖρον τῶν ὑποκειμένων, οὗ μετασχόντες οἱ πονηρευόμενοι τὰς κατ' ἐκεῖνο προσηγορίας ἐπιδέχονται. Ἐπὶ δὲ τῆς ἁμαρτίας, ἐπεὶ ταύτης, ὡς ἔφημεν, οὐκ ἔστι χεῖρον εὑρεῖν· αὐτῆς ἐφ' ἑαυτῆς κατηγόρησε. Πικρῶς ἅμα καὶ δριμέως τὸν ὄγκον αὐτῆς, καὶ τὸ τυραννικὸν ἅμα καὶ ἀνB υπέρβλητον ἐνδεικνύμενος. Ἐπεὶ δὲ ἀσφαλέστερόν πως ἔδοξεν εἰρῆσθαι τῇ ταυτολογίᾳ τοῦ ὀνόματος· πάλιν δὲ μεταλαμβανομένου τοῦ ὀνόματος. Ἔφη γὰρ παρωνύμως *ἁμαρτωλὸς ἡ ἁμαρτία*. Ἡ τῆς δριμύτητος ἔνδειξις ἐξελύετο. Παρονομάζει μὲν καὶ οὐ τελείως ἀφίσταται τοῦ ὀνόματος. Ἐν ᾧ δὲ ἐκλελῦσθαι ἐδόκει, τόνον ἐπάγει τῇ προσθήκῃ τοῦ *καθ' ὑπερβολήν*· καὶ οὕτως ἐπὶ τὸ σαφέστερον ἅμα καὶ ἔντονον, καὶ τοῦ δριμέως ἐμφαντικὸν μεταλαβὼν τὸν λόγον φησίν· *Ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία.*

Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ.

Φωτίου. Σὺ δέ μοι οὕτω διαλεύκανον τὰ ῥητά· Μετὰ τὸ πραθῆναι καὶ γενέσθαι ὑπὸ τὴν ἁμαρτίαν τὸν ἄνθρωπον, οὐ γινώσκει ὃ κατεργάζεται· τῆς C συνηθείας τῆς αἰσχρᾶς παντελῶς αὐτοῦ κυριευσάσης, καὶ μὴ συγχωρούσης εἰδέναι ὅτι κακόν ἐστιν ὃ πράσσει. Διὸ καὶ ὃ ἐμίσει ἂν, εἰ ἄπρατος καὶ ἐλεύθερος ἦν, καὶ ὃ οὐκ ἂν εἵλετο, τοῦτο καὶ αἱρεῖται, πεπραμένος ἤδη ὢν καὶ πράττει. Εἰ δὲ ἐλεύθερος ὢν καὶ ἄπρατος καὶ κατὰ φύσιν, οὐκ ἂν εἱλόμην ἃ νῦν ποιῶ, *Συμμαρτυρῶ τῷ νόμῳ ὅτι καλός*. Ἐκεῖνα γάρ μοι συμψηφίζεται φυγεῖν, ἃ καὶ ἐγὼ ἐν τῇ κατὰ φύσιν ἐλευθερίᾳ τυγχάνων, ἔκρινα φευκτέα εἶναι καὶ μισητά. *Οὐ γινώσκω* οὖν, *πραθεὶς* δηλονότι· *οὐ γὰρ* ὃ *θέλω* ἐλεύθερος ὢν, *τοῦτο πράσσω* νῦν, *πεπραμένος* ὢν· *ἀλλ'* ὃ *μισῶ* ἐλεύθερος ὢν, *τοῦτο ποιῶ πεπραμένος* ὤν. *Εἰ δὲ* ὃ *οὐ θέλω* ἐλεύθερος ὢν, *τοῦτο πράσσω* πεπραμένος ὤν, *συμμαρτυρῶ* D ἐλεύθερος ὢν, ὅτι *καλὸς ὁ νόμος*. Τὰ γὰρ αὐτὰ ἐκείνῳ βούλομαι, καὶ οὐχ ἃ νῦν ποιῶ.

Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν.

Φωτίου. Ἐκλάβοις δ' ἂν καὶ οὕτως· Ἐξ ὧν εἶπον, φησὶ, τοῦτό μοι συμπεραίνεται, καὶ τοῦτο *εὑρίσκω*, τὸ εἶναι *τὸν νόμον*, νόμον εἰς τὸ καλὸν *τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν*· καὶ τοῦτο μόνον χαριζόμενον. Τὸ γὰρ κακὸν εὑρίσκω, *ὅτι* ὁμοίως *ἐμοὶ παράκειται*· καὶ οὐδὲν ἐβελτιώθην ἐκ τοῦ νόμου. Εἰ μὴ καὶ μᾶλλον βλάβην [b] ἐδεξάμην, ὅτι παρακεῖσθαί μοι καὶ οἷον ἐγγίζειν μοι τὸ κακὸν παρέσχεν ἀφορμήν. Ὁ νόμος οὖν μόνον νόμος ἐγένετό μοι εἰς τὸ ἀγαθόν· ἄλλο δὲ οὐδέν· πόθεν δῆλον, ὅτι τὸ κακόν μοι

VARIÆ LECTIONES.

[b] Hic est in cod. rasura.

Digitized by Google

ὡσαύτως παράκειται. Ἢ καὶ οὕτως· *Εὑρίσκω ἄρα τὸν νόμον*, τουτέστι, κατενόησα καὶ κατελάμβανον τὴν ἰσχὺν καὶ τὴν φύσιν τοῦ νόμου. Ἐξεῦρον αὐτὸν ἀκριβῶς· ὅτι οὐδέν μοι βοηθῆσαι ἴσχυσε· πόθεν δῆλον; ὅτι *θέλοντί μοι ποιεῖν τὸ καλὸν*, οὐδὲν ἐπικουρεῖ· ἀλλ' ὁμοίως τὸ κακὸν παράκειται ἄπρακτόν μοι τὸ θέλειν ποιοῦν. Ἐν τούτῳ οὖν εὗρον ἀκριβῶς *τὸν νόμον* ὅσον ἰσχύει, καὶ τίς ἐστιν ἡ φύσις αὐτῷ, ἐν τῷ ἐμοὶ τῷ *θέλοντι ποιεῖν τὸ καλὸν*, εὑρίσκειν ἔτι τὸ κακόν. Παράκειται γὰρ καὶ οὐκ ἀπελήλαται ὑπ' αὐτοῦ ἐξ ἐμοῦ. Δυνατὸν δὲ καὶ οὕτως ἐγγύτερον τῆς λέξεως ἐκλαβεῖν. *Εὑρίσκω ἄρα τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν* κατὰ τὸν νόμον, ὅτι *ἐμοὶ τὸ κακὸν παράκειται*. Καὶ γὰρ οἱ κατὰ τὸ Εὐαγγέλιον θέλοντες ποιεῖν τὸ καλὸν, οὐχ εὑρίσκουσιν ὅτι παράκειται αὐτοῖς τὸ κακόν. Διὰ τοῦ βαπτίσματος γὰρ ἐξώσθη καὶ ἀπελήλατο. Ὥστε δεῖ Χριστῷ προσελθεῖν διὰ τοῦ βαπτίσματος, καταλιπόντας τὸν νόμον.

A jacet, certe et ita est. *Invenio igitur legem*, id est, notavi et intellexi vim et naturam legis. Cognovi illam perfecte, quod nihil adjuvare valuit. Unde certum est? quia *volenti mihi facere bonum*, non auxiliatur. Sed similiter malum adjacet inutiliter mihi velle faciens. In hoc igitur *inveni* perfecte *legem* quantum valeat, et quæ sit ejus natura, quod mihi *volenti facere bonum*, invenio adhuc malum. Adjacet enim et non ab illa ex me movetur. Potest autem sic propior dictionis sensus intelligi. *Invenio igitur volenti mihi facere bonum* secundum legem, *quoniam malum mihi adjacet*. Etenim qui secundum Evangelium volunt facere bonum, non inveniunt quoniam adjacet illis malum; per baptisma enim ablatum et amotum est; ita ut oporteat ad Chri-
B stum per baptisma ingredi, legem deserentes.

Ὁ Θεὸς τὸν ἑαυτοῦ πέμψας Υἱὸν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας.

Φωτίου. Δυνατὸν γὰρ καὶ οὕτω στίξαντα, ἀναγνῶναι· *Ὁ Θεὸς τὸν ἑαυτοῦ πέμψας Υἱὸν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας*· εἶτα ἐπαγαγεῖν, *κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί*· τουτέστι τὸν Υἱὸν περὶ ἁμαρτίας· ἦγουν ἕνεκα τῆς ἁμαρτίας, τοῦ ἐξᾶραι αὐτὴν· καὶ ἐλευθερῶσαι ἡμᾶς ἀπὸ ταύτης. Πῶς οὖν ἐξῆρε; Κατακρίνας αὐτήν. Θὺ γὰρ ἁπλῶς καὶ ἐξουσιαστικῶς· ἀλλ' ὑπὸ δίκην ἀγαγὼν αὐτὴν, καὶ δείξας ἁλοῦσαν. Πῶς οὖν ἐάλω καὶ ἥττηται; *ἐν τῇ σαρκὶ* αὐτοῦ. Προσιέναι γὰρ βουληθεῖσα καὶ μὴ ἰσχύσασα, ἐάλω καὶ ἥττηται.

CAP. VIII. VERS. 3. *Deus Filium suum mittens in similitudinem carnis peccati.*

Photii. Potest enim punctis ita notatis legi: *Deus Filium suum mittens in similitudine carnis peccati, et de peccato;* deinde addendo: *Damnavit peccatum in carne.* Id est, Filium de peccato, aut causa peccati, ut illud tolleret, et nos ab illo liberaret. Quomodo ergo tulit? damnans illud, non simpliciter et facultative, sed in jus illud, vocans et convictum ostendens. Quomodo igitur convictum et devictum est? *In carne* illius; cum enim intelligere voluisset et non valuisset, convictum et de-
C victum est.

Τὸ δὲ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν.

Φωτίου. Καλῶς οὖν φησιν, ὅτι τὸ φρόνημα τῆς σαρκὸς τῷ νόμῳ τοῦ Χριστοῦ οὐχ ὑποτάσσεται. Ἐν ὅσῳ μὲν γὰρ ἔστι, δῆλον ὅτι οὐχ ὑποτάσσεται· ἐν ὅσῳ δὲ παρέλθῃ καὶ ἀπογένηται τοῦ ἀνθρώπου, οὐδόλως ἔστιν· ὥστε οὐδ' ὑποτάσσεται. Πῶς γὰρ ἂν τὸ μὴ ὄν, ἢ ἀντιστήσεται, ἢ ὑποταγῇ τινι; Τίς οὖν ὑποτάσσεται; Ὁ ἄνθρωπος ἐν ᾧ τὸ σαρκικὸν φρόνημα [Suppl. οὐκ ἔστι]; ἀλλ' ἔτι μὲν τοῦ σαρκικοῦ παρόντος φρονήματος, οὐδὲ ἐκεῖνος. Καταβληθέντος δὲ διὰ μετανοίας καὶ ὑποχωρήσαντος, τότε ἐκεῖνος ἀγαθοεργεῖ, καὶ ὑποτάσσεται τῷ νόμῳ τοῦ Θεοῦ.

VERS. 7. *Quoniam sapientia carnis inimica est Deo.*

Photii. Recte ergo dicit, *quoniam sapientia carnis legi Christi non subjecta est.* Quandiu enim est, evidens est *quoniam non subjecta est;* quandiu autem elapsa est et abscessit ab homine, evidens est quoniam non subjecta est. Quomodo enim quod non est aut resistet aut subjicietur alicui? quis ergo subjectus est? homone, in quo sapientia carnis non est? sed jam, in quo invenitur carnis sapientia, non ille est. Immutatus autem per pœnitentiam et conversus, tunc ille bonum operatur et legi Dei subjectus est.

Ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς.

Φωτίου. Τί γὰρ οὐκ ἐλάβομεν ταύτην διὰ τοῦ βαπτίσματος; οὐχὶ καὶ αὐτὸς πρὸ μικροῦ ἔφης, ὅτι *Πνεῦμα υἱοθεσίας ἐλάβετε;* Ναὶ, φησίν. Ποίαν οὖν ἀπεκδεχόμεθα; Τὴν φανερουμένην, φησὶν, κατὰ τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. Ἄλλην παρὰ τὴν εἰρημένην; Μὴ γένοιτο. Ἀλλ' αὐτὴν ἐκείνην τελειότερον φανερουμένην, καὶ διὰ πείρας αὐτῆς ἐπιγινωσκομένην. Μετὰ γὰρ τὴν ἀπολύτρωσιν τοῦ σώματος, τότε ἡ τῶν ἀγαθῶν ἀπόλαυσις. Τότε πάντα τὰ τῆς υἱοθεσίας γνωρίσματα καὶ ἀποτελέσματα. Καὶ νῦν γὰρ ἐπ' ἐλπίδι τούτων ἐλάβομεν τὴν υἱοθεσίαν. Αὐτὸς δὲ ἐμφαντικώτερον εἶπεν, *ἐσώθημεν*. Πῶς οὖν ἠλπίσαμεν ταῦτα, μὴ τούτων παραγεγονότων ἤδη, μηδ' ὑπ' ὄψιν ἡμῶν πεσόντων, μηδ' ὑπὸ πεῖραν; Καλῶς, φησὶν, καὶ εὐλόγως. Εἰ γὰρ ὑπ' ὄψιν ἡμῶν, καὶ ὑπὸ πεῖραν ἤδη τὰ ἐλπιζόμενα ἀγαθὰ ἐγεγόνει, οὐκ ἂν ἦν ἐλπιζόμενα.

VERS. 24. *Spes autem quæ videtur non est spes.*

Photii. Quid ergo non accepimus illam (adoptio-
D nem) per baptisma? nonne et ipse paulo ante dixisti, quia *accepistis spiritum adoptionis?* Ita est, inquit. Qualem ergo exspectamus? hanc quæ manifestata est, ait, per redemptionem corporis nostri. Aliam ac illam quæ dicta fuit? absit! sed eamdem illam posterius manifestatam, et per ejus experientiam cognitam. Etenim, post redemptionem corporis, tunc bonorum erit possessio; tunc omnia cernentur adoptionis signa et effectus. Nunc enim in spe eorum accepimus adoptionem; Apostolus autem apertius dicit: *Salvi facti sumus.* Quomodo ergo speramus illa, cum jam non evenerint, neque visu nostro, neque experientia cognita sint? bene et recte loquitur; si enim visu nostro, et experientia jam quæ sperantur bona cognita essent, non sperata orent.

Digitized by Google

VERS. 31. *Quid ergo dicemus ad hæc ?*

Photii. Certe ita est. *Quid dicemus ad hæc ?* Quod elegit, quod vocavit, quod justificavit, quod glorificavit. Ad tantam beneficiorum magnificentiam, quid dicemus? non gratis, inquit, verbis abundamus, neque operum retributione. Talis est ineffabilis ejus circa nos gratia. Deinde quasi copiam acceperit inde, dicit : *Si Deus pro nobis, quis contra nos ?* nemo ; quamvis enim aliqui nocere niterentur non nocebunt, sed proderunt.

CAP. VIII. VERS. 28. *His qui secundum propositum sunt sancti.*

Photii. Id est, his qui secundum decretum, secundum propositum, digni habiti sunt sanctitate vocationis.

VERS. 32. *Qui etiam proprio Filio suo non pepercit, sed pro nobis omnibus tradidit illum ; quomodo non etiam cum illo omnia nobis donavit ?*

Photii. Apponit igitur illud : *Qui etiam proprio Filio non pepercit.* Sollicitudinem, ut diximus, ineffabilem Dei circa nos ostendens, simulque, si quid asperum ab aliquo patimur, firmitatem per hoc exemplum suadens ; non solum autem, sed et inducens et injungens. Si enim Filius tanta pro te passus est, quid te oportet pati pro illo ? et, ille tanta patiens, paternæ gloriæ et divinitatis nullum donum recipiebat : Tu vero non omittas illa pati ; omnino enim bonis promissis, post passionem et post mortem dignus habeberis.

VERS. 33. *Quis accusabit adversus electos Dei ?*

Photii. In his quæ supra, locutus est de tentationibus quæ per afflictiones et cruciatus fiunt, dicendo : *Quis contra nos ?* nunc alteram tentationum speciem indicat : contumelias, exprobrationes, injurias quibus credentes a non credentibus impetendi sunt. Illud quoque ostendis dicendo : *Quis incusabit contra electos Dei ?* et manifestat ibi, ut in supradictis, in vanum, Deo justificante, iis linguam prurire qui accusant et condemnant.

CAP. IX. VERS. 1-5. *Veritatem dico*, etc.

Photii. Sed quomodo dicit, quem nihil separat a charitate Christi, hunc ob cognatos inquirere et optare ab illo separari ? non sunt contraria ista, sed et potius concordant. Qui enim fratrem suum diligit, Deum diligit ; *In hoc enim cognoscent omnes quia discipuli mei estis, si charitatem habeatis in alterutrum.* Ita est, inquit ; sed ibi Dei charitati proximi charitatem anteponit. Sed illos diligendo, Christo identificamur. Ostendit ergo supereminentem charitatem, in eo quod alios in se conjunxit ; ita enim intelligi debet quod dicitur : Si possibile esset per meam perditionem Christum glorificari, et Judæos salvari, non illud deprecarer ; alio sensu enim non dicit *anathema fieri*, id est, abhinc separari ab illo ; id enim maxime detestandum est ; sed *anathema esse*, id est, separatum adhuc manere, neque ad Christum adiisse, sed adhuc ab illo separari ; si istud ad vestram conversionem et fidem

A *Τί οὖν ἐροῦμεν πρὸς ταῦτα;*

Φωτίου. Ἢ καὶ οὕτως· *Τί ἐροῦμεν πρὸς ταῦτα;* ὅτι προώρισεν, ὅτι ἐκάλεσεν, ὅτι ἐδικαίωσεν, ὅτι ἐδόξασε· πρὸς τοιαύτην ἀφθονίαν εὐεργεσιῶν, τί ἐροῦμεν ; Οὐδὲ εὐχαρίστων, φησὶν, λόγων εὐπορούμεν· μή τι γε ἔργων ἀμοιβῆς. Τοιαύτη ἐστὶν ἄφατος; αὐτοῦ ἡ περὶ ἡμᾶς χάρις. Εἶτα ὥσπερ πόρισμα λαβὼν ἐντεῦθεν, φησὶν, *Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν ;* Οὐδείς. Κἂν γάρ τινες βλάπτειν ἐπιχειρήσωσιν, οὐ βλάψουσιν, ἀλλὰ ὠφελήσουσιν.

Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι.

Φωτίου. Τουτέστι τοῖς κατὰ γνώμην, κατὰ πρόθεσιν ἀξιωθεῖσι τῆς κλήσεως.

B *Ὃς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται ;*

Φωτίου. Τέθεικε τοίνυν τὸ, *Ὃς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο*, τὴν κηδεμονίαν, ὡς ἔφαμεν, τὴν ἄφατον τοῦ Θεοῦ τὴν περὶ ἡμᾶς ἐνδεικνύμενος. Καὶ ἅμα εἴ τι δυσχερὲς ὑπό τινος πάσχομεν, καρτερεῖν διὰ τοῦ παραδείγματος παραινῶν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἀνακτώμενος καὶ παρηγορῶν. Εἰ γὰρ ὁ Υἱὸς τοσαῦτα ὑπὲρ σοῦ ἔπαθε, τί σε χρὴ παθεῖν ὑπὲρ αὐτοῦ ; καὶ εἰ ἐκεῖνος τοιαῦτα παθὼν, τῆς πατρικῆς δόξης τε καὶ θεότητος οὐδέν τι καθυφειμένον ἐδέξατο· μηδὲ σὺ ὀλιγωρήσῃς πάσχων ταῦτα. Πάντως γὰρ τῶν ἐπηγγελμένων, καὶ μετὰ τὰ παθήματα, καὶ μετὰ τὸν θάνατον, ἀξιωθήσῃ.

C *Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ ;*

Φωτίου. Ἐν τοῖς ἔμπροσθεν δὲ εἰπὼν τοὺς πειρασμοὺς τοὺς διὰ θλίψεων καὶ βασάνων, ἐν τῷ εἰπεῖν *Τίς καθ' ἡμῶν ;* νῦν ἕτερον εἶδος πειρασμῶν λέγει· τοὺς ὀνειδισμοὺς, τὰς μέμψεις, τὰς λοιδορίας, ἃ, κατέχεον οἱ ἄπιστοι τῶν πιστῶν. Καὶ τοῦτο δηλοῖ διὰ τοῦ λέγειν, *Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ ;* καὶ ἀποδείκνυσι κάνταῦθα, ὥσπερ καὶ ἐπὶ τῶν εἰρημένων, ὅτι Θεοῦ δικαιοῦντος, εἰς μάτην γλωσσαλγοῦσιν οἱ αἰτιώμενοι καὶ κατακρίνοντες.

Ἀλήθειαν λέγω, κ. τ. λ.

Φωτίου. Ἀλλὰ πῶς, φησὶν, ὃν οὐδὲν χωρίζει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, οὗτος ὑπὲρ συγγενῶν ἐπιζητεῖ καὶ εὔχεται τούτου χωρισθῆναι; οὐκ ἔστιν D ἐναντία ταῦτα, ἀλλὰ καὶ μᾶλλον συνάδει. Ὁ γὰρ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, τὸν Θεὸν ἀγαπᾷ. *Ἐν τούτῳ γὰρ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε πρὸς ἀλλήλους.* Ναὶ, φησὶν· ἀλλ' ἐνταῦθα προκρίνει τῆς πρὸς τὸν Θεὸν ἀγάπης, τὴν τοῦ πλησίον. Ἀλλὰ τὸ φιλεῖν ἐκείνους, τὸ οἰκειῶσαι τῷ Χριστῷ ἐστι. Δείκνυσι γοῦν τὴν ὑπερβάλλουσαν ἀγάπην, ὅτι καὶ ἑτέρους συνήλκυσεν εἰς αὐτόν. Οὕτω γὰρ ἂν νοοῖτο τὸ ῥητόν· Εἰ ἦν δυνατὸν διὰ τῆς ἐμῆς ἀπωλείας, δοξασθῆναι τὸν Χριστὸν, καὶ σωθῆναι τοὺς Ἰουδαίους, οὐδὲ τοῦτο ἂν παρῃτησάμην. Ἄλλως τε οὐδὲ λέγει *ἀνάθεμα* γενέσθαι, τουτέστιν, ἀπὸ τοῦ νῦν αὐτοῦ χωρισθῆναι· τοῦτο γὰρ ἀπευκτότατον· ἀλλὰ *ἀνάθεμα εἶναι*, τουτέστι, κεχωρισμένον ἔτι εἶναι, καὶ μήπω τῷ

Digitized by Google

Χριστῷ προσελθεῖν, ἀλλ' ἔτι κεχωρισμένον αὐτοῦ εἶναι· εἰ τοῦτο εἰς τὴν ὑμετέραν εἴσοδον καὶ πίστιν τὴν εἰς αὐτὸν συνετέλει. Μὴ γὰρ ὅτι προσῆλθον τῷ Χριστῷ, διὰ τοῦτο καὶ ὑμᾶς με προκαλεῖσθαι νομίσητε, φησίν. Καὶ πρὸ ἐμοῦ ὑμᾶς ἠβουλόμην προσδραμεῖν αὐτῷ. A in illum proficeret. Non enim quod ad Christum adiverim, ideo vos a me advocatos esse arbitremini, inquit ; etiam ante me vos voluissem ad illum cucurrisse.

Ἵνα ἡ κατ' ἐκλογὴν τοῦ Θεοῦ πρόθεσις μένῃ.

Φωτίου. Ἡ πρόθεσιν εἰπὼν, τοῦ Θεοῦ τὴν βουλὴν ἐδήλωσεν· εἰπὼν δὲ *κατ' ἐκλογὴν*, ἔδειξεν ὅτι καὶ διέφερον ἀλλήλων. Οὐδεὶς γὰρ ἐκλέγεται ἕτερον ἀφ' ἑτέρου, εἰ μή τι αὐτοῦ διαλλάσσει. Εἰπὼν δὲ *οὐκ ἐξ ἔργων*, παρέδειξε τὸ μέγεθος τῆς κλήσεως καὶ τῆς χάριτος αὐτοῦ· ὅτι καὶ μηδὲν πραξάντων, ἐκλέγεται καὶ προσκαλεῖται. Ἀλλ' εἰ μηδὲν πραξάντων ἐκλέγεται, πῶς ἐκλέγεται; Ἡ μὲν γὰρ ἐκλογὴ ἐπὶ τῶν B κατά τι γίνεται διαφερόντων, οἱ δὲ μηδὲν πράξαντες, τί διαφέρουσι ; Καὶ πάνυ. Ἀνθρωπίνοις μὲν γὰρ ὀφθαλμοῖς ἐπεὶ οὐδὲν ἔπραξαν, οὐδὲ διαφέρουσι. Θείᾳ δὲ προγνώσει τοῦ μέλλοντος, πολὺ διαφέρουσι. Καὶ γὰρ ὁ μὲν εὐηρέστησε τῷ Θεῷ, ὁ δὲ, οὐκέτι. CAP. IX. VERS. 11. *Ut secundum electionem Dei propositum maneret.*

Photii. Certe dicendo *propositum*, Dei voluntatem significavit. Cum autem dicit, *secundum electionem*, ostendit hæc inter se differre. Nemo enim eligitur alius ab alio, nisi ab illo differat. Dicendo, *non ex operibus*, exhibuit electionis et Dei gratiæ magnitudinem ; quod non ex operantibus electio et vocatio fit. Sed, si non ex operantibus electio fit, quomodo eligitur ? Electio enim fit in his qui in aliquo differunt ; qui autem non operantur, in quo differunt ? Multum quidem, humanis enim oculis, cum nihil operati sunt, non differunt ; divina autem cognitione futurum cernente, multum differunt. Etenim hic quidem Deo placuit, ille autem non.

Λέγω οὖν, Μὴ ἔπταισαν ἵνα πέσωσι;

Φωτίου. Ἐπειδὴ δὲ τῶν προσπταιόντων, οἱ μὲν πταίοντες ὑποσκελίζονται μόνον, οἱ δὲ καὶ καταπίπτουσι, θέλων τοὺς Ἰουδαίους ἅμα μὲν εἰς τὴν πίστιν προτρέψαι, ἅμα δὲ καὶ παραμυθήσασθαι, φησὶ, ὅτι τὸ πταῖσμα αὐτῶν οὐκ εἰς κατάπτωσιν τελείαν γέγονεν, ἀλλὰ μόνον οἷον ὑπεσκελίσθησαν. Καὶ τοῦτο δι' οἰκονομίαν τινὰ συνεχωρήθη, ἵνα τῷ C ἐκείνων παραπτώματι γένηται μὲν ἡ σωτηρία τοῖς ἔθνεσι, γένηται δὲ καὶ αὐτῶν ἐκείνων διόρθωσις, παραζηλούντων καὶ μιμουμένων τοὺς ἐξ ἐθνῶν. Ὥστε τὸ προσπταῖσαι αὐτοὺς τρόπον τινὰ εἰς ἀνόρθωσιν συντελεῖ τὴν αὐτῶν. Εἴπερ *ἐν* μὲν *τῷ παραπτώματι αὐτῶν ἡ σωτηρία τοῖς ἔθνεσιν*, ἐν δὲ τῇ σωτηρίᾳ ἐκείνων ἡ τούτων παραζήλωσις· διὰ δὲ τῆς παραζηλώσεως ἡ τῶν πεπτωκότων ἐπανόρθωσις. Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ πρόνοια. Ἐξ ἀπόρων πόρους παρέχει, καὶ ἐκ τῶν ἐναντίων τὰ χρηστότερα. Οἱ μὲν γὰρ Ἰουδαῖοι, ἔπταισαν, ὥστε πεσεῖν καὶ κεῖσθαι, καὶ μήτε ἑαυτοῖς μήτε ἑτέροις χρηστοῦ D τινος γενέσθαι αἴτιοι. Ὁ δὲ Χριστὸς τῷ αὐτῶν παραπτώματι, καὶ εἰς τὴν τῶν ἐθνῶν σωτηρίαν, καὶ εἰς τὴν αὐτῶν ἐκείνων ἐχρήσατο ἐπανορθώσιν. CAP. XI. VERS. 11. *Dico ergo : Nunquid sic offenderunt ut caderent ?*

Photii. Quoniam et his qui offendunt, alii offendendo vacillant tantum, alii autem cadunt, volens Judæos, simul ad fidem convertere, simulque consolari, dicit, quod illorum offensio non in casum omnino facta est, sed quod tantummodo vacillarunt. Et id quoque per quamdam œconomiam dispositum est ; ut illorum dilecto fiat gentium salus, illorumque ipsorum emendatio, æmulantium et imitantium eos qui sunt ex gentibus ; ita ut illorum vacillatio medium quoddam eis præstet ad revelationem : siquidem *in illorum delicto salus sit gentibus* ; in salute autem gentium, Judæorum æmulatio, et per hanc æmulationem eorum qui ceciderunt elatio. Talis enim est Dei providentia. Ex inviis vias præbet, et ex contrariis utiliora. Judæi enim offenderunt, ita ut ceciderent et jacerent, et nec sibi neque aliis utile quiddam præstare possent ; sed Christum illorum delicto, et in gentium salutem, et in illorum ipsorum relevationem usus est.

Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, καταλλαγὴ κόσμου, κ. τ. λ.

Φωτίου. Ἰστέον γε μὴν, ὅτι τὸ, *Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν*, ἡ ἐπανάληψίς ἐστι τοῦ, *εἰ δὲ τὸ παράπτωμα αὐτῶν*, ὡς καὶ προείρηται, ἡ αἰτία τῆς σπουδῆς Παύλου τῆς περὶ τὸ σωθῆναι αὐτούς. Ὡς ἂν εἴ τις ἔλεγε, Τί σπεύδεις, Παῦλε, ὑπὲρ τῶν Ἰουδαίων, λέγων, *Εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν* ; Τίς ἐστιν ὁ τοσοῦτός σου ἀγών; Ναὶ, φησὶ, προσήκει μοι σπεύδειν καὶ ἀγωνίζεσθαι. Εἰ γὰρ καὶ τούτων ἐκλιπόντων, ὅμως κατηλλάγη ὁ Θεὸς τῷ κόσμῳ, καὶ τὸ μεσότοιχον ἤρθη τῆς παλαιᾶς ἔχθρας, τί ἂν οὐ γένοιτο χρηστὸν καὶ ὑπερθαύμαστον, καὶ τούτων σωθέντων καὶ VERS. 15. *Si enim amissio eorum reconciliatio est mundi*, etc.

Photii. Sciendum est quod illud : *Si enim amissio eorum*, repetitio est illius, *quod si delictum eorum*. Ut enim supra dictum est, causa est conatuum Pauli ob illorum salutem. Si enim quis diceret : Quid conaris, Paule, de Judæis, dicendo : *Si quomodo ad æmulationem provocem carnem meam, et salvos faciam aliquos ex illis*. Quisnam est tantus iste ardor ? ita, dicit, decet me conari et ardere. Si enim his derelictis, nihilominus reconciliet Deus mundum, et medius paries tollatur veteris inimicitiæ, quid non foret utile et admirabile, his salvatis et assumptis ? Quæ est igitur eorum assum-

Digitized by Google

ptio et additio, nisi perfecta et integra lætitia, in hac scilicet perfecta et nova vita et resurrectione e mortuis, omnium, non solum qui offenderunt, sed et qui usque ad mortem et interitum ceciderunt? Et vide: Incipiens offensionem appellavit Judæorum incredulitatem, deinde delicium. Cum autem illis ostenderit, si credere tantum volunt, bonorum magnitudinem; et illos excitaverit, illos nominando gentium divitias, mundi reconciliationem, et carnem suam propriam, tunc incredulitatis nefas quantum sit ostendit; mortuos per hanc eamdem fieri significans. Sed hoc admirabiliter maxime et sapienter facit. Cum enim illos appellare mortuos, amarum et contumeliosum sit, et in injuriam magis quam in exhortationem tendat, non ita sicco modo id proponit, sed miscet, et in laudis ordinem præfert dicens: *Quæ assumptio eorum, nisi vita ex mortuis?* per hanc vocem, *vita*, jucundum quoddam ponens; per illud autem, *e mortuis* significans incredulitatem eorum mortem esse.

προστεθέντων; τίς οὖν ἔσται αὐτῶν ἡ πρόσληψις καὶ ἡ προσθήκη, εἰ μὴ τελεία καὶ ὁλόκληρος χαρὰ, ὡς ἐπὶ τελείᾳ καὶ καινῇ ζωῇ καὶ ἀναβιώσει ἐκ νεκρῶν, πάντων, οὐ μόνον τῶν προσπταισάντων, ἀλλὰ καὶ τῶν μέχρι θανάτου καὶ νεκρώσεως καταπεσόντων; Καὶ ὅρα· ἀρχόμενος μὲν, πταῖσμα τὴν ἀπείθειαν ἐκάλεσε τῶν Ἰουδαίων· εἶτα παράπτωμα. Ἐπειδὴ δὲ ἔδειξεν αὐτοῖς, ἐὰν βούλωνται μόνον πεισθῆναι, τὸ μέγεθος τῶν ἀγαθῶν, καὶ ἐπῆρεν αὐτοὺς, πλοῦτον ἐθνῶν καλῶν, καὶ καταλλαγὴν κόσμου, καὶ σάρκα οἰκείαν· τότε καὶ τῆς ἀπειθείας τὸ ἄτοπον ἡλίκον ἐστὶ δεικνύει, νεκροὺς αὐτῆς διὰ ταύτης γενέσθαι ἀποφαινόμενος. Ἀλλὰ καὶ τοῦτο λίαν θαυμασίως ποιεῖ καὶ σοφῶς. Ἐπειδὴ γὰρ τὸ νεκροὺς αὐτοὺς ὀνομασθῆναι, λίαν πικρὸν ἦν καὶ καταφορικόν· καὶ εἰς ὕβριν μᾶλλον ἢ παραίνεσιν συντελοῦν· οὐχ οὕτως αὐτὸ τίθησι ξηρῶς, ἀλλὰ μίγνυσιν αὐτὸ, καὶ ἐν τάξει ἐπαίνου προάγει, λέγων, *Τίς ἡ πρόσληψις αὐτῶν, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;* διὰ μὲν τοῦ, *ζωὴ*, τὸ εὐφραῖνον τιθείς· διὰ δὲ τοῦ, *ἐκ νεκρῶν*, ὑποσημαίνων, ὅτι ἡ ἀπείθεια αὐτῶν νέκρωσις ἦν.

Vers. 28. *Secundum Evangelium quidem, inimici propter vos.*

Photii. Quæret aliquis, si inimici facti sint Judæi, propter illos qui e gentibus crediderunt, quomodo superius dixerit, *Quandiu ego sum gentium apostolus, ministerium meum honorificabo.* Quare? *Si quomodo ad æmulationem provocem carnem meam.* Si enim ob fidem gentium æmulantur et imitantur Judæi, et fideles fiunt, quomodo propter illos inimici rursus facti sunt fidei et Evangelii? Sed primo dicimus illum non dixisse ob fidem gentium æmulari et imitari Judæos, sed quod glorificentur et laudentur; Gloria enim et laus in illos qui sunt ex gentibus incurrens, illos excitabit ad æmulationem et imitationem; ita ut repugnantia invicem non sint quæ dicta sunt: secundo autem, non asserendo dixisse, ut æmulentur Judæi, sed quasi ambigendo et dubitando. *Si quomodo*, dicit enim, *ad æmulationem provocem carnem meam.* Sicut, fortasse, tametsi etiam ob eorum fidem, non autem per gloriam et laudem, diceret ad æmulationem provocare se Judæos, non ita sibi pugnaret. Nam cum dicit, *inimici propter vos*, Judæorum incredulitatem significat, et causam cur vehementius fidei adversentur; cum autem dicit: *Si quomodo ad æmulationem provocem carnem meam*, proprios indicat conatus quibus salvare Judæos nititur et extra illud etiam quod diximus, non ita repugnarent apostoli dictæ, quamvis utrumque explicando diceretur. Etenim nihil vetaret quominus aliqui credentium, fide gentium excitati, æmulentur et imitentur; et multi vicissim non credentium, odio illorum qui ex gentibus sunt pertinaciores et incredituliores et infideliores evangelico præconio adversentur: quod ipsis rebus videri potest; qui enim gentes imitantur, ad fidem accedunt, et salvantur; qui autem gentibus adversantur, acriores fidei inimici constituuntur.

Κατὰ μὲν τὸ Εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς.

Φωτίου. Ζητήσειε δ' ἄν τις, εἰ ἐχθροὶ γεγόνασιν Ἰουδαῖοι, διὰ τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, πῶς ἀνωτέρω ἔλεγεν, *Ἐφ' ὅσον εἰμὶ ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω; Διατί; εἴπως παραζηλώσω μου τὴν σάρκα.* Εἰ γὰρ διὰ τῆς πίστεως τῶν ἐθνῶν παραζηλοῦσι, καὶ μιμοῦνται οἱ Ἰουδαῖοι, καὶ πιστοὶ γίνονται, πῶς δι' αὐτοὺς ἐχθροὶ γίνονται πάλιν τῆς πίστεως καὶ τοῦ Εὐαγγελίου; Ἀλλὰ πρῶτόν φαμεν, ὅτι οὐκ ἔφη διὰ τῆς πίστεως τῶν ἐθνῶν παραζηλοῦν καὶ μιμεῖσθαι τοὺς Ἰουδαίους, ἀλλὰ διὰ τοῦ δοξάζεσθαι αὐτοὺς, διὰ τοῦ ἐπαινεῖσθαι. Ἡ γὰρ δόξα καὶ ὁ ἔπαινος ὁ εἰς τοὺς ἐξ ἐθνῶν ἀνατρέχων, ἐρεθίσει αὐτοὺς καὶ εἰς ζῆλον καὶ μίμησιν. Ὥστε οὐκ ἐναντία ἐστὶν ἀλλήλων τὰ εἰρημένα. Δεύτερον δὲ, ὅτι οὐ κατὰ ἀπόφασιν, ἔφη, παραζηλώσουσιν οἱ Ἰουδαῖοι, ἀλλ' ἀμφιβόλως καὶ διστάζων· *Εἴ πως γὰρ, φησὶ, παραζηλώσω μου τὴν σάρκα.* Οἷον ἴσως, τάχα, ὥστε εἰ καὶ διὰ τῆς αὐτῶν πίστεως, οὐχὶ δὲ διὰ τῆς δόξης καὶ τῶν ἐπαίνων. Ἔλεγε παραζηλοῦν τοὺς Ἰουδαίους, οὐδ' οὕτως ἐμάχετο ἑαυτῷ. Διὰ μὲν γὰρ τοῦ εἰπεῖν, *ἐχθροὶ δι' ὑμᾶς*, τῶν Ἰουδαίων τὴν ἀπιστίαν λέγει, καὶ τὴν αἰτίαν δι' ἣν σφοδρότερον ἀπεχθάνονται τῇ πίστει. Διὰ δὲ τοῦ, *εἴ πως παραζηλώσω τὴν σάρκα*, τὴν ἰδίαν ἐνδείκνυται σπουδὴν, ἣν εἶχεν εἰς τὸ σῶσαι τοὺς ἐξ Ἰουδαίων. Καὶ χωρὶς δὲ τῶν εἰρημένων, οὐδ' οὕτως ἐμάχετο τὰ λεχθέντα, κἂν ἅμφω ἀποφαντικῶς εἴρητο. Καὶ γὰρ οὐδὲν ἐκώλυε τινὰς μὲν τῶν πεπιστευκότων, ἀνερεθισθέντας τῇ πίστει τῶν ἐθνῶν, παραζηλῶσαι καὶ πιστεῦσαι. Καὶ τῶν μὴ πεπιστευκότων πάλιν πολλοὺς, μίσει τῷ πρὸς τοὺς ἐξ ἐθνῶν, σκληροτέρους καὶ ἀπιστοτέρους καὶ ἀπειθεστέρους τῷ εὐαγγελικῷ κινεῖσθαι κηρύγματι. Ὃ καὶ ἐπ' αὐτῶν ἰδεῖν ἔστι τῶν πραγμάτων. Οἱ μὲν γὰρ μιμούμενοι τοὺς ἐξ ἐθνῶν, προσέρχονται τῇ πίστει, καὶ σώζονται. Οἱ δὲ τούτοις ἀπεχθανόμενοι, σφοδρότεροι ἐχθροὶ τῆς πίστεως καθίστανται.

Digitized by Google

Καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ. A CAP. XII. VERS. 2. *Et nolite conformari huic sæculo.*

3. Rursum quia conveniens erat ut Verbum, Filius Patris, in errorem lapsos revocaret (ratione enim concinnatur error, et ad rationem pertinet [reductio et directio peccatorum) ; manifeste ad solam generis humani salutem respicit incarnatio Filii. Atqui sive Pater, sive sacrosanctus Spiritus suscepisset humanam naturam, non modo nequaquam redemisset genus nostrum, sed ad difficilius propositum se præbuissent intentos. Etenim si carne indutus et vitæ præsens dixisset : *Ego sum Dei Pater*, aut, carnis crassitudine apparente, dixisset : *Ego sum Spiritus* : quomodo Judæus non renuisset solo auditu ipsius vocis recipere sonum ? Verum enimvero, si, cum Salvator dixisset se esse Filium Dei (quod tamen et illis sæpe dictum erat), in cordibus suis inflammati ex ira ad cædem pulsi vociferarunt : *De bono opere non lapidamus te, sed quia tu homo cum sis, facis te ipsum Deum* [a]. Quid ergo absurditatis non commisissent, quid vero non ausi essent, quamque

[a] Joan. x, 33.

ΕΡΩΤΗΣΙΣ ΡΗΖ'.

Διὰ τί ὁ Υἱὸς ἐσαρκώθη, καὶ οὐχ ἑτέρα τῆς Τριάδος ὑπόστασις ;

Ϝα'. Τί δήποτε ὁ Υἱὸς, καὶ οὐχ ἑτέρα τῆς ἁγίας Τριάδος ὑπόστασις, τὴν ἡμετέραν ἀναλαβὼν ἐσαρκώθη φύσιν ; Τί δήποτε ; ἵνα ὁ ἄνω Υἱὸς, καὶ κάτω μένῃ Υἱὸς, ἐκ τῶν ἀχράντων καὶ παρθενικῶν σαρκούμενος αἱμάτων, καὶ ἡ ἀναλλοίωτος φύσις μηδεμίαν παραλλαγὴν ἀπὸ τῆς παραλλαττούσης σχέσεως ἢ ἀλλοίωσιν ἐλεγχθῇ δεξαμένη· ἓν μὲν οὖν τοῦτο.

B

β'. Ἕτερον δὲ, τὸν Δημιουργὸν ἔδει, συντριβὲν τὸ δημιούργημα, οὐκ ἄλλον, ἀλλ' αὐτὸν ἀναπλάσαι· εἰ δ' ἄλλος μὲν ἔπλασεν, ἄλλος δ' ἀναπλάττει, ὃ μὲν ὁ πλάσας εἶχεν, οὐκ ἔχει, ὃ δὲ ὁ ἀναπλάσας χαρίζεται, τοῦτο μὴ ἔχειν τὸν πλάσαντα ἡ τοῦ ἑτέρου χρεία παραδεικνύει. Ἀλλ' οὐδὲν τοιοῦτον ἐν τῇ θεαρχικῇ καὶ παντοκρατορικῇ Τριάδι· δημιουργεῖ ὁ Υἱὸς, συμπάρεστι καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα· ἀναπλάττει πάλιν ὁ Υἱὸς, εὐδοκεῖ καὶ συνεργεῖ τῇ ἀναπλάσει καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα. Μία τῶν τριῶν ἡ βουλὴ, τὸ κράτος ἕν, οὐχ ἑτέρα ἡ ἐνέργεια, ἡ βασιλεία μία.

C

γ'. Πάλιν, ἐπεὶ Λόγος ὁ Υἱὸς τοῦ Πατρὸς, τοὺς εἰς ἀλογίαν καταπεσόντας τὸν Λόγον ἦν ἀνακαλεῖσθαι προσῆκον (λόγῳ γὰρ ἡ ἀλογία ῥυθμίζεται, καὶ πρὸς τὸν λόγον τὴν ἀναφορὰν ἡ διόρθωσις τῶν ἐκπεσόντων τῆς χάριτος ἔχει)· ἡ σάρκωσις τοῦ Υἱοῦ δῆλον ὅτι πρὸς μόνην τὴν τῶν ἀνθρώπων ἀφορᾷ σωτηρίαν. Εἰ τοίνυν ὁ Πατὴρ προσέλαβε τὴν ἀνθρωπίνην φύσιν, ἢ τὸ πανάγιον Πνεῦμα, οὐ μόνον οὐδὲν ἂν ἀπώνατο τὸ ἡμέτερον γένος, ἀλλὰ καὶ πρὸς τὸ χαλεπώτερον ἑαυτοὺς παρεῖχον ἀποτεταμένους· εἰ γὰρ ὁ σάρκα περικείμενος καὶ τῷ βίῳ παρὼν ἔλεγεν· *Ἐγώ εἰμι ὁ Πατὴρ τοῦ Θεοῦ*, ἢ, τῆς ἐν σαρκὶ παχύτητος φαινομένης, ἔλεγεν· *Ἐγώ εἰμι τὸ Πνεῦμα*, πῶς ἂν ὁ Ἰουδαῖος ὅλως ἠνέσχετο καὶ αὐτῆς τῆς φωνῆς ἀκοῇ μόνῃ παραδέξασθαι τὸν ἦχον ; Εἰ γὰρ τοῦ Σωτῆρος λέγοντος ἑαυτὸν Υἱὸν εἶναι τοῦ Θεοῦ (ὃ δὴ κἀκείνοις πολλάκις ἐῤῥήθη, τοῖς θυμοῖς ἀναφλέγοντες αὐτοὺς, εἰς φόνον τὴν ὀργὴν ἐξῆγον, καὶ ἐβόων· *Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλ' ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεὸν*, τί ἂν τῶν ἀτόπων παρ-

D

Digitized by Google

ἦλθον, τί δ' οὐκ ἐτόλμων, τίνα δὲ διδασκαλίαν ἢ νομοθεσίαν ὑπέμειναν παραδέξασθαι, εἰ Πνεῦμα ἅγιον, ἢ Πατέρα τοῦ Θεοῦ ὁ τὴν σωτηρίαν τοῦ γένους πραγματευόμενος ἑαυτὸν ἀνωμολόγει; Οὐκοῦν δι' οὗ μᾶλλον συνηπίστατο τὴν σωτηρίαν ἡμᾶς κερδαίνειν, δι' ἐκείνου καὶ τὴν σάρκωσιν καὶ τὴν ἀνάκλησιν ἡμῶν ἡ φιλάνθρωπος καὶ παναγία Τριὰς ἐμεθόδευσεν. Ἄλλως τε δὲ, τοὺς εἰς ἀλογίαν ἀπονεύσαντας καὶ παραπεπτωκότας, οἰκειότερον ἦν διὰ τοῦ Λόγου τῆς ἀλογίας ἀπαλλαγῆναι· διὰ τοῦτο γὰρ οἰκονομεῖται καὶ τῇ τῶν ἀλόγων ἀνακλιθῆναι φάτνῃ ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ μέσον ἀλόγων ἀναπεσεῖν ἐσπαργανωμένος ὁ δημιουργὸς συμπάσης τῆς κτίσεως. Ἐννοήσαις δ' ἂν εἰκότως, ὡς ἔδει καὶ τὴν ἀπαράλλακτον καὶ φυσικὴν εἰκόνα τοῦ Πατρὸς, τοὺς κατ' εἰκόνα μὲν Θεοῦ καὶ χάριτι γεγονότας, παραχαράξαντας δὲ καὶ κατακιβδηλεύσαντας τὸ ὁμοίωμα, διὰ τῆς ἀπαραλλάκτου καὶ φυσικῆς εἰκόνος εἰς τὴν ἀρχαίαν ἐπαναχθῆναι μορφὴν καὶ εὐπρέπειαν.

A doctrinam legislationemve accipere tulissent si se Spiritum sanctum, aut Dei Patrem generis salutem operans confessus esset? Atqui, per quem magis sciebat nos salutem lucrifacere, per hunc hominis amans et sacrosancta Trinitas incarnationem et revocationem nostram instruxit. Alio modo in errorem inclinatos et jam lapsos quasi convenientius erat Verbum a peccato reducere; idcirco dispensatur ab irrationalium stabulo revocare qui insidet Cherubim, et discumbere in medio irrationalium Creatorem omnis creaturæ pannis involutum. Cogitabis probabiliter quia oportuit immutabilem et naturalem Patris imaginem, ad imaginem Dei et gratiæ productos: adulterantes autem et depravantes similitudinem, per immutabilem et B naturalem imaginem ad antiquam et excellentem formam reducere.

δ'. Σὺ δὲ καὶ τοῦτο λογίζου. Ἐπεὶ κριτὴς ζώντων καὶ νεκρῶν ὁ Υἱὸς, *Τὴν γὰρ κρίσιν πᾶσαν δέδωκε*, φησὶ, τῷ *Υἱῷ*, διὰ τοῦτο τὸν μέλλοντα κρίνειν καὶ δικάζειν τοὺς βεβιωκότας, τοῦτον αὐτὸν καὶ νομοθέτην ἔδει καὶ εἰσηγητὴν ὁρᾶσθαι τῶν πρακτέων, οὐ ῥήμασι πρὸς τὴν μίμησιν παρακαλοῦντα (πολλοῖς γὰρ τοῦτο καὶ ἄλλοις μελέτη καὶ σπούδασμα κατέστη, καὶ ἄλλως δυσκατόρθωτον τῷ πλήθει τοὺς λόγους ἔργῳ περαίνειν), διὰ δὲ τῶν κατὰ τὴν πρᾶξιν ὑποδειγμάτων, ὧν ἄν τις αὐτουργὸς γένοιτο καὶ διδάσκαλος διὰ τοῦ βίου, ὥσπερ τὰς προφάσεις τοῦ παρολισθαίνειν πάσας ἀφαιρῶν ὁ παραινῶν ὁρᾶται, καὶ τὴν μίμησιν εὐχερεστέραν παρέχει. Ἀλλὰ καὶ τὸ φίλτρον, ὃ τοῖς μανθάνουσι καὶ μιμουμένοις διασώζει, μᾶλλον ταύτῃ γινώσκεται ἐπιδεδειγμένος.

4. Sed et illud cogita. Cum vivorum et mortuorum judex sit Filius: *Omne* enim, ait, *judicium dedit Filio* [a]: ideo, quia judicare et justificare omnes qui vixerunt veniet, oportebat ipsum legislatorem et monitorem videri factorum, non verbis ad imitationem hortantem (multis enim aliis hæc cura et diligentia fuit, et sic tantum multitudo verba actionibus confirmare consuevit); exemplis autem exhibitis per quæ et opifex et præceptor exstitit et erroris viam destruit et imitantibus methodum monstrat. Sed amatorium poculum est C quod discipulis et imitatoribus servat, quo magis demonstratus revelatur.

ε'. Ναὶ δὴ καὶ διότι σοφία καὶ εἰκὼν ἔμψυχος καὶ ἀπαράλλακτος τοῦ Πατρὸς ὁ Υἱὸς, ἔδει τὴν κατ' εἰκόνα μὲν Θεοῦ μεμορφωμένην καὶ ἐξωραϊσθεῖσαν ψυχὴν, νόθοις δὲ βαφαῖς καὶ κιβδήλοις χρώμασιν εἰς τὸ τῆς ἁμαρτίας δυσειδές τε καὶ ἄμορφον μεταμορφωθεῖσαν, διὰ τοῦτο τοῦτον ἐχρῆν ταύτην ἀπαλλάξαι τοῦ αἴσχους, καὶ οἷα γραφικὴν ἐπιβαλόντα χεῖρα τῷ διερρυηκότι καὶ λελυμασμένῳ χαρακτῆρι, ἀναμορφῶσαί τε καὶ εἰς τὸ ἀρχαῖον ἀναζωγραφῆσαι κάλλος, καὶ τὴν φιλάνθρωπως μὲν διαμορφωθεῖσαν, ἀφρόνως δὲ περιῳβρισθεῖσαν καὶ ἀμαυρωθεῖσαν εἰκόνα, πρὸς ἑαυτόν τε ἐπιστρέψαι, καὶ εἰς τὴν ἀρχαίαν πάλιν εὐγένειαν ἀποκαταστῆσαι. Ἀλλὰ γὰρ εἰ γε τὸ Πνεῦμα, ἢ ὁ Πατὴρ ὑπὲρ ἡμῶν, ἀλλ' οὐχ ὁ Υἱὸς ἐσεσάρκωτο, οὐδὲν ἂν ὅσα γε τῆς ἀνθρωπίνης ἀντιπιπτούσης ἀσθενείας, ἢ τῆς γνώμης εἰς τὸ κακουργεῖν ὑποφερομένης, τῶν εἰς σωτηρίαν αὐτοὺς ἀνακαλουμένων διεπέπρακτο· πῶς γὰρ Ἰουδαίων ἀκοαῖς ἀνεκτὸν ἦν, εἰ σαρκὶ παρὼν ὁ σώσων, ἔλεγεν, ὡς ὁ τῷ Μωσεῖ χρηματίσας ἐν ὄρει Σινᾷ, καὶ Πατὴρ τῶν ὅλων καὶ γινωσκόμενος αὐτοῖς καὶ ἀνακαλούμενος, αὐτὸς οὗτος, «ὡς ἄνθρω-

5. Certe igitur et quia sapientia et imago spiritualis immutabilisque Patris, Filius, debebat illam animam ad imaginem Dei formatam et ornatam, et quæ colorum dehonestamento peccati naturam ac formam præ se ferebat, illam ab ignominia liberare. Hinc arte pictoria utentem oportebat eum naturæ deperditæ et maculatæ ita mederi, ut pulchritudo ac nobilitas primitiva regeneraretur. Si ergo Spiritus aut Pater pro nobis, autem Filius incar- D natus esset, nihil fecisset ut quam maxime humana infirmitate lapsos aut mente ad malum perversos in salutem revocaret. Quomodo enim Judæorum aures capere potuisset si præsens in carne Salvator dixisset quod qui Moysi oraculum reddens in monte Sina et Pater omnium et cognitus et ab ipsis invocatus ipse iste, ut homo cum hominibus conversatur et ipse ille esset qui quondam divinas leges tabulis digito insculptas scripsit, et plagis propter eos Ægyptum flagellavit, et per maris humidam naturam immadidis pedibus iter facere eis concessit, et quæque ut eos ad pietatem erga Deum reduceret, mirabiliter fecit? Quomodo ei talia

[a] Joan. v, 22.

Digitized by Google

dicenti obedivissent? Quod miraculum ab illo non exegissent? Si enim Filium Salvator se ipsum dixit, etsi ipse sæpius invenustus et inscitus Israel filius appellaretur, illi ad hanc vocem insaliebant et obmurmurabant et blasphema dicere arguebant; ad quantum igitur malorum fastigium non incurrissent, si se ipsum Patrem prædicasset accipiens nostram carnem, in generis humani salutem factus Salvator? Ideoque igitur (quantum rationibus humanis lubet concipere) non Pater fit homo, sed Filius, ut quam maxime acceptabilis fieret hominibus salutaris prædicatio, et ut Dominicum hominibusque benignum opus omnes misericordiæ et providentiæ rationes excedens ad finem suum perveniret.

A πος, τοῖς ἀνθρώποις, συναναστρέφεται, καὶ αὐτὸς ἐκεῖνος εἴη ὁ πάλαι τὰς πλάκας, αἳ τοὺς θείους θεσμοὺς ἔφερον, δακτύλῳ διαγράψας, καὶ πληγαῖς τὴν Αἴγυπτον ὑπὲρ αὐτῶν μαστίξας, καὶ τὴν ὑγρὰν τῆς θαλάσσης φύσιν πεζοπορεῖν ἀβρόχως αὐτοὺς χαριτώσας, καὶ ὅσα ἄλλα πρὸς ἀναγωγὴν θεοσεβείας τὸ θεῖον αὐτοῖς ἐδημιούργει θαῦμα; πῶς ἂν ταῦτα λέγοντος, ἐπείθοντο; τί δὲ τῶν ἀτόπων πράττειν οὐκ ἂν ἠρεθίζοντο; εἰ γὰρ, Υἱὸν λέγοντος ἑαυτὸν τοῦ Σωτῆρος, καίτοι γε καὶ αὐτὸς ὁ ἀχάριστος καὶ ἀγνώμων Ἰσραὴλ πολλάκις υἱὸς ὠνομάζετο, οἱ δὲ καὶ πρὸς ταύτην τὴν φωνὴν ἐπεπήδων, καὶ τῆς ἀληθείας κατεγόγγυζον, καὶ βλασφημίας αἰτίαν περιῆπτον τῷ λέγοντι, εἰς ποῖον ἂν κολοφῶνα κακῶν οὐκ ἀνέδραμον, εἰ Πατέρα ἑαυτὸν ἀνεκήρυττεν ὁ τὴν

6. Similiter vero si quidem Spiritus sanctus carnem induisset, tum Judæis fuisset iniquitatis et infidelitatis idem prætextus et moleste ferendi repugnandique excusatio et avertendæ calumniæ fictio. Si enim in sententiis suis subobscuram aliquam sacrosancti Spiritus proferebant famam, sane quia prophetarum doctrinam audientes didicerant melius esse natura humana, nihil commune carni et spiritui, et divina oracula aliquo modo sibi repræsentabant; Isaiæ enim prophetæ verba: *Spiritus Domini super me, ideo unxit me* [6], aut Davidis clamantis: *Spiritum sanctum tuum ne auferas a me* [7], aut Moysis originem mundi describentis: « *Spiritus Dei ferebatur super aquas* [8], et sexcenta alia hujusmodi, ex quibus diviniorem quam secundum hominem Spiritus naturam inducebant, etsi non pure ad ejus theologiam exinde ducerentur: quanto magis Sadducæi derisissent et manibus dentibusque mysterium lacerassent, si quis eis dedisset, apparentem in carne discerpsissent, ejus incarnationem ut et angelorum exsistentiam negantes [9]. Cum igitur et Patris et Spiritus incarnatio Judæis omnino inacceptabilis esset et salus generis, quæ scopus et providentia Dei erat et per quam evacuatio inevacuabilis, finis quem habuit in Filio incarnato, multa indigeret acceptatione et probabiliter propter multam aliam sapientiam ineffabilem, et humanis ratiociniis incomprehensibilem, Filius decreto Patris, virtute sacrosancti Spiritus, nostram induens carnem, generis humani communem salutem perfecit.

ἡμετέραν ἀναλαβὼν σάρκα, καὶ σῶσαι παραγεγονὼς ἀνθρωπίνοις λαβεῖν) οὐχ ὁ Πατὴρ ἄνθρωπος γίνεται, ἀλλ' ὁ γε Υἱὸς, ὡς ἂν μάλιστα εὐπαράδεκτον τοῖς ἀνθρώποις τὸ σωτήριον γένηται κήρυγμα, καὶ τὸ δεσποτικὸν καὶ φιλάνθρωπον ἔργον καὶ πάντα λόγον οἰκτιρμῶν, καὶ προνοίας ὑπερβαῖνον, εἰς πέρας ἐξενηνεγμένον εἴη.

B ς'. Ὡσαύτως δὲ καὶ εἰ τὸ Πνεῦμα τὸ ἅγιον ὑπέστη τὴν σάρκωσιν, ἡ αὐτὴ ἂν ἦν τοῖς Ἰουδαίοις τῆς ἀγνωμοσύνης καὶ ἀπιστίας γινομένη πρόφασις, καὶ τοῦ δυσχεραίνειν καὶ ἀπαυθαδίζεσθαι καταφυγὴ, δοκοῦσα τὴν διαβολὴν ἀποτρέπεσθαι· εἰ γὰρ καὶ ἀμυδράν τινα τὴν περὶ τοῦ παναγίου Πνεύματος δόξαν ταῖς ἑαυτῶν διανοίαις περιέφερον, ἀλλ' οὖν ὅτι κρεῖττον τῆς ἀνθρωπίνης φύσεως, καὶ κοινὸν οὐδὲν σαρκὶ καὶ πνεύματι, τούς τε τῶν προφητῶν χρησμοὺς ἀκούοντες ἀνεμάνθανον, καὶ θειότητά τινα περὶ αὐτοῦ ἐφαντάζοντο, τοῦτο μὲν, *Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με*, τοῦ Ἡσαΐου καταγγέλλοντος, τοῦτο δὲ τοῦ Δαβὶδ, *Τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς, ἀπ' ἐμοῦ*, καὶ, *Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος*, Μωσέως τὴν κοσμογένειαν ἀναγράφοντος, καὶ μυρία ἄλλα· ἐξ ὧν θειοτέραν μὲν ἢ κατὰ ἄνθρωπον τὴν τοῦ Πνεύματος φύσιν ἀνελογίζοντο, εἰ καὶ πρὸς τὴν αὐτοῦ καθαρῶς θεολογίαν οὐκ ἀνήγοντο. Μᾶλλον δὲ οἱ Σαδδουκαῖοι διεγέλων ἂν καὶ διεχλεύαζον τὸ μυστήριον, καὶ χερσὶν ἂν καὶ ὀδοῦσιν, εἴ τις αὐτοῖς ἐδίδου, τὸν ἐπιφανέντα διέσπων τε καὶ διεσπάρασσον, ἅτε μηδ' εἰ; ὕπαρξιν ὅλως ἐλθεῖν, ὥσπερ μηδ' ἀγγέλων φύσιν, ἀνεχομένους λέγειν, ἢ λογισμοῖς ἀναδέχεσθαι. Ἐπεὶ οὖν ἥ τε τοῦ Πατρὸς καὶ ἡ τοῦ Πνεύματος σάρκωσις τοῖς Ἰουδαίοις παντελῶς ἦν ἀπαράδεκτος, καὶ ἡ σωτηρία τοῦ γένους, ὅπερ ἦν ὁ σκοπὸς καὶ ἡ πρόνοια τοῦ Θείου, καὶ δι' ἣν ἡ κένωσις τοῦ ἀκενώτου πέρας οἷον ἔσχε, σαρκωθέντος τοῦ Υἱοῦ, πολλῷ ἐνέδει τοῦ δέξασθαι, εἰκότως ὁ Υἱὸς καὶ κατὰ πολλὴν ἄλλην σοφίαν, ἀῤῥητόν τε καὶ ἀνθρωπίνοις λογισμοῖς ἀκατάληπτον, εὐδοκίᾳ μὲν τοῦ Πατρὸς, ἐνεργείᾳ δὲ τοῦ παναγίου Πνεύματος, τὴν ἡμετέραν ἀναλαβὼν σάρκα, τὴν κοινὴν τοῦ γένους σωτηρίαν ἐπραγματεύσατο.

C

D

QUÆSTIO CCXXVIII. [*Coisl. Taur.* LXXVI.]

De natura et persona.

Apparens in Christo, quid erat? natura aut per-

ΕΡΩΤΗΣΙΣ ΣΚΗ'.

Περὶ φύσεως καὶ ὑποστάσεως.

Τὸ φαινόμενον τοῦ Χριστοῦ, τί ἦν; φύσις ἢ ὑπό-

[6] Isa. LXI, 1. [7] Psal. L, 11. [8] Gen. I, 2. [9] Act. XXIII, 8.

Digitized by Google

στασις; ἀλλ' εἰ μὲν ὑπόστασις, ἔστι δὲ καὶ τὸ μὴ φαινόμενον, ἤτοι ἡ τοῦ Λόγου ὑπόστασις, δύο ἄρα, ὅπερ ἄτοπον. Εἰ δὲ φύσις, πλείω τὰ ἄτοπα· καθόλου τε γὰρ καὶ ὀφθαλμοῖς οὐκ ἔστιν ὁρατὴ (ἐννοεῖται γὰρ καὶ κατὰ πλειόνων)· πῶς δὲ ἡ κυοφορεῖται, ἢ γεννᾶται φύσις; καὶ μυρία ἄλλα. Οὔτε φύσις, οὔτε ὑπόστασις, ἀλλὰ μέρος τῆς τοῦ Λόγου συνθέτου ὑποστάσεως, ὅπερ ἐστὶν ἐνυπόστατον. Εἰ δὲ καὶ ὑπόστασίν τις αὐτὸ οὐκ ἄλλην παρὰ τὴν τοῦ Λόγου, προσθεὶς ἐν τῇ ἀποκρίσει, ἀποφήνῃ, τάχα ἂν οὐ κακῶς εἴη πρός γε Νεστοριανοὺς ἀποκρινόμενος. Ἀχώριστός ἐστιν ἑαυτῆς ἡ *Τριὰς*, ἢ καὶ ἰδιώμασι καὶ λόγοις μόνοις χωρίζεται, καὶ οὐκ ἔστι τῶν ὄντων οὐδέν, ἐν ᾧ ἡ μὲν *Πατρικὴ* πάρεστιν ὑπόστασις, ἄπεστι δὲ ἡ τοῦ *Υἱοῦ*, ἢ ἡ τοῦ *Πνεύματος*, ἀλλ' ὅσα πληροῦται τῆς *Πατρικῆς* ὑποστάσεως, καὶ ἑκατέρας τῶν ἄλλων πληροῦται, καὶ τὸ ἀνάπαλιν; Πῶς, λέγοντες τὴν τοῦ *Υἱοῦ* σεσαρκῶσθαι καὶ γεγεννῆσθαι ὑπόστασιν, ἢ οὐ χωρὶς μὲν τῆς τοῦ *Πατρὸς* καὶ τοῦ *Πνεύματος* ὑποστάσεως, ἢ κἀκείνας γεννηθῆναι καὶ σαρκωθῆναι συγχωρήσομεν; Ἐπὶ τῶν γενέσει καὶ φθορᾷ δυνατόν ἐστι δεῖξαι τοῦτο, ἵνα καὶ ἀχώριστά ἐστι τῇ ὑποστάσει, καὶ ἑνὸς τούτων ποιοῦντος, ἢ πάσχοντος, μηδὲν τῶν λοιπῶν τὸ αὐτὸ ποιεῖ ἢ πάσχει, πολλῷ ἄρα ῥᾷον ἐπὶ τῶν ἀπαθῶν καὶ ἀκηράτων ὑποστάσεων τοῦτο συγχωρεῖν. Παράδειγμα δὲ, τοῦ πυρὸς ἡ φωτιστικὴ καὶ καυστικὴ ποιότης· ποιεῖ γὰρ τούτων ἑκατέρα, ἀχώριστος οὖσα τῆς λοιπῆς, καὶ μηδὲν θατέρας ἐν τῷ ποιεῖν τῆς ἑτέρας ποιούσης. Ἄλλως δὲ εἰ τὸ γεννηθῆναι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς οὐ τὴν ἀχώριστον ὕπαρξιν τῆς αὐτῶν ὑποστάσεως, ἢ τόπῳ, ἢ χρόνῳ, ἢ ἐνεργείᾳ χωρίζει, μόνον δὲ τὸ ἰδίωμα τῆς τοῦ Υἱοῦ παρίστησιν ὑποστάσεως, οὐδὲ τὸ σαρκωθῆναι καὶ ἐκ Παρθένου τεχθῆναι χωρίσει Πατρὸς ἢ Πνεύματος, ἰδίωμα δὲ μόνον τῆς τοῦ Υἱοῦ συνθέτου ὑποστάσεως παραστήσει· ὁ σίδηρος γὰρ τυπτόμενος καὶ πάσχων κατά τινα τῶν ἐν αὐτῷ ποιοτήτων, οὐ πάσχει κατὰ βαρύτητα.

A sona? Si quidem persona, quippe quæ est non apparens, scilicet Verbi persona, duo ergo, quod absurdum. Si vero natura, absurdum accrescit, nec jam totum hoc inspicere possunt oculi (intelligitur enim circa plura); ecquid, num in utero gestatur, num gignitur natura? et sexcenta alia. Neque natura, nequepersona, sed personæ coadunatæ Verbi pars quæ est personificata. Quæ vero si quis non aliud esse quam Verbi personam, responso ampliori revelet, nec male etiam ad Nestorianos responderit. Anne indivisibilis est in se *Trinitas*, aut proprietatibus, aut actionibus tantum dividitur; nec est quidquid exsistens in quo stet *Patris* persona, absit autem *Filii*, vel *Spiritus* persona; sed, quæ replet *Patris*, ea replet etiam alterutrius aliorum perso-
B na et reciprociter? Num dicimus: Persona *Filii* caro facta et genita, aut sine *Patris* et *Spiritus* persona aut illas quoque carnem factas et genitas concedimus? In creaturis et corruptis ostendere possumus quia sunt persona indivisibilis, et, ex eis uno agente, vel patiente, cæterorum nihil idem agit vel patitur; atqui multo facilius est impassibilibus et incorruptis personis illud concedere. Exemplum sit in igne lucens et urens qualitas: utraque enim earum agit indivise ab altera, nec alterutra agit in actione alterius agentis. Alio modo si quod Filius a Patre gignitur, non ideo indivisa eorum personæ exsistentia dividitur vel loco, vel tempore, vel virtute, sed sola personæ Filii significatur pro-
C prietas; sic quod caro factus est et e Virgine natus, non ideo a Patre, vel Spiritu dividitur, sed sola Filii coadunatæ personæ significatur proprietas. Ferrum enim cum cuditur et in aliqua suarum qualitatum affectatur, in gravitate non affectatur.

QUÆSTIO CCXXIX.

Hujus quæstionis pars prior jam exstat supra col. 1023.

β'. Τινὲς δὲ τῶν ἀρχαίων οὐδὲ σύνθετον ὑπόστασιν, ὥσπερ οὐδὲ σύνθετον φύσιν, εἰρήκασιν, ἀλλὰ σεσαρκωμένην μὲν τοῦ Λόγου ὑπόστασιν καὶ ἄσαρκον, σύνθετον δὲ οὐκέτι. Οἱ δὲ νεώτεροι καὶ σύνθετον, οἶμαι, ἀντὶ τοῦ σεσαρκωμένου καὶ μόνου τοῦτο λαμβάνοντες. Ἀλλά φασί τινες· Πῶς οὖν τὸ σύνθετον ταὐτὸν τῷ ἁπλῷ; καὶ γὰρ οὔτε τὸ ἁπλοῦν, ὅπερ τὸ σύνθετον, οὔτε τὸ σύνθετον, ὅπερ τὸ ἁπλοῦν· ἄτοπα δὲ ταῦτα. Οὕτως καὶ ἐν τῇ ἁπλῇ τοῦ Λόγου ὑποστάσει τὸ πρόσκαιρον καὶ ἠργμένον, ὥσπερ ἐν τῇ συνθέτῳ· καὶ ἄλλα μυρία. Καὶ ἐν τῇ συνθέτῳ πάλιν τὸ μηδὲν ἠργμένον ὁρᾶσθαι, καὶ τέλος μηδὲ σεσαρκῶσθαι· ταῦτα γὰρ ἡ ἁπλῆ· καὶ διὰ ταῦτα καὶ τὰ τοιαῦτα οἱ παλαιοὶ τὸ σύνθετον παρῃτοῦντο. Ἢ καὶ μὴ σύνθετον λέγομεν, ἀλλ' ἁπλῆν ἀεὶ, ἄσαρκον δὲ καὶ σεσαρκωμένην λαμβάνοντες, ταὐτὰ ἕψεται· εἰ γάρ ἐστιν ἡ αὐτὴ ὑπόστασις καὶ μία ἡ ἄσαρκος τῇ σεσαρκωμένῃ, ἢ τὰ τῆς ἀσάρκου, τῆς σεσαρκωμένης, καὶ τὰ τῆς σεσαρκωμένης τῆς ἀσάρκου ἔσται, ἤ, εἰ καὶ ἡ αὐτὴ καὶ μία ἐστὶν ὑπόστασις ἥ τε ἄσαρκος καὶ ἡ σεσαρκωμένη,

2. Sunt veterum quidam qui neque compositam hypostasim, neque compositam naturam esse, sed incarnatam Verbi hypostasim et non incarnatam, non vero compositam esse dixerunt. Recentiores autem compositum, ut videtur, pro incarnato
D solummodo habuerunt. At dicunt nonnulli: Quonam modo compositum unum et idem ac simplex? Namque neque simplex composito consimile, neque compositum simplici: quæ plane absurda. Similiter in simplici Verbi hypostasi exsistit contingens et creatum, ut in composito; et sexcenta alia. Et in composito, neque ullum creatum invenitur, neque incarnatum videtur: sunt autem hæc in simplici; talia sunt similiaque multa argumenta quibus veteres compositum repudiarunt. Visne non compositam dicamus, sed simplicem semper, incarnatam et non incarnatam ponentes? sequentur eádem: namque si non incarnata et incarnata hypostasis sunt unum et idem, aut non incarnatæ propria inerunt incarnatæ, et incarnatæ

Digitized by Google

propria non incarnata ; aut, si substantia incarnata et non incarnata unum sunt et idem, minime propositum sequi necesse est. Enimvero quia Petrus crucifixus et non crucifixus eadem est substantia et una, non inde sequitur non crucifixum crucifixo similem esse, vel non crucifixo crucifixum. Aut, si tibi placet, quia qui negavit et qui suo sanguine testatus et confessus est, sunt substantia una et eadem, num ideo dices confiteri et negare similia esse, aut quæ in testante homine observantur inveniunturque, hæc eadem in negante observari et inveniri ? neque enim idem est dicere hypostasim unam et eamdem esse, et quæ in hypostasi diversa videntur, unum et idem esse; qualia quidem sexcenta sunt argumenta. Sic Petrus indutus, si esset, et nudus, Socrates philosophus et non philosophus, Paulus antea persecutor, posthac prædicator, et complura alia quorum una est et contingentia, dissimilia.

A οὐκ ἀνάγκη ἕπεσθαι τὰ εἰρημένα. Οὐ γὰρ ἐπειδὴ ὁ Πέτρος καὶ ἐσταυρωμένος καὶ ἀσταύρωτος, ἡ αὐτὴ καὶ μία ἐστὶν ὑπόστασις, ἢ ὁ ἀσταύρωτος τῷ ἐσταυρωμένῳ, ἢ ὁ ἐσταυρωμένος τῷ ἀσταυρώτῳ (3). Ἤ, εἰ βούλει, ἐπειδὴ ὁ ἀρνησάμενος καὶ ὁ δι' αἵματος ὁμολογήσας καὶ μαρτυρήσας ἡ αὐτὴ [καὶ] μία ἐστὶν ὑπόστασις, διὰ τοῦτο ταὐτὸν φήσεις καὶ τὸ μαρτυρεῖν τῷ ἀρνεῖσθαι, ἢ τὰ ἐν τῷ μαρτυροῦντι ὁραθέντα καὶ εὑρεθέντα ὁρᾶσθαι καὶ εὑρίσκεσθαι ἐν τῷ ἀρνουμένῳ. Οὐ γάρ ἐστι ταὐτὸν τὸ λέγειν τὴν ὑπόστασιν μίαν καὶ τὴν αὐτὴν εἶναι, καὶ τὸ τὰ περὶ τὴν ὑπόστασιν ὁρώμενα διαφόρως ἓν καὶ ταῦτα εἶναι· μυρία δέ ἐστι παραδείγματα. Ὁ ἐνδεδυμένος Πέτρος, εἰ τύχοι, καὶ ὁ γυμνὸς, ὁ φιλόσοφος Σωκράτης καὶ ὁ μὴ φιλόσοφος, ὁ πρότερον διώκτης Παῦλος, καὶ ὁ κῆρυξ, καὶ ἄλλα B ἄπειρα, ὧν μία μέν ἐστιν ἡ ὑπόστασις καὶ ἡ αὐτὴ, τὰ δὲ περὶ τὴν ὑπόστασιν οὐχὶ ταὐτά.

QUÆSTIO CCXXX. [*Coisl. Taur.* LXXXVIII.]

De divinitate.

1. Utrum divinitas et Deus unum an differens? Et si differens, quid est hoc, et quid extra Deum divinitas? Si unum, hypostasium quæque Deus est et divinitas. Errant maxime qui vocabuli formam arguunt quia divinitas feminina est vox, non autem hypostases : ita enim non justum erat Spiritum Deum dici : quippe alterum neutri generis, alterum masculini; neque *Patrem*, *Filium* et *Spiritum* unam hypostasim : quippe quorum absimilia sunt vocabulorum genera; neque hominem animal vel ens appellari ; et sic alia multa. Non igitur generum distinctio causa est cur Patrem aut Filium aut Spiritum divinitatem nominari dubitemus. Recte dixeris hæc idem sonare, sicut homo et humanitas, aut sicut nuncupamus Socratem hominem non autem humanitatem ; idque etiam de Deo et divinitate patet? Nonne est hoc difficultatem non solventis, sed potius augentis? Nam si consonant homo et humanitas, cur non, cum homo adhibetur, humanitas quoque adhibeatur? Videtur quidem nonnullis nihil impedire, et idem esse homo et humanitas, Deus et divinitas, et alterius vice alterum adhiberi : quippe homo et hominis natura, et hominis species idem est; sed tamen homo in Socrate dicitur (nam homo est etiam Socrates), non autem natura vel species : neque enim hominis naturam sive speciem dicimus Socratem. Sed non prædictis simile est, namque natura, et species, et essentia, et alia consimilia, cum logica vocabula sint, nequaquam usque ad extrema adhiberi possunt, sed de iis solum quibus dicuntur inhærent; divinitas autem et humanitas non sunt logica, sed naturalium rerum vocabula.

ΕΡΩΤΗΣΙΣ ΣΛ'.

Περὶ θεότητος.

α'. Πότερον, ἡ θεότης καὶ τὸ Θεὸς ταὐτόν ἐστιν, ἢ ἕτερον; εἰ μὲν γὰρ ἕτερον, τί τοῦτο, καὶ τί παρὰ τὸν Θεὸν ἡ θεότης; εἰ δὲ ταὐτὸν, ἔστι δὲ ἑκάστη τῶν ὑποστάσεων τῶν τριῶν Θεὸς, καὶ θεότης ἄρα. Οἱ μὲν οὖν τὸ σχῆμα τῆς λέξεως αἰτιώμενοι, ὅτι ἡ μὲν θεότης θηλυκῶς προφέρεται, οὐχ οὕτως δὲ αἱ ὑποστάσεις, πλανῶνται· ἔδει γὰρ μηδὲ τὸ *Πνεῦμα* λέγεσθαι Θεόν· τὸ μὲν γὰρ οὐδέτερον, τὸ δὲ σχήματος ἀρσενικοῦ· ἔτι οὐδὲ τὸν *Πατέρα* καὶ τὸν *Υἱὸν* C καὶ τὸ *Πνεῦμα* μίαν οὐσίαν· ἀνομοιογενῆ γὰρ τὰ ὀνόματα· οὐδὲ τὸν ἄνθρωπον, ζῶον, ἢ οὐσίαν, καὶ ἄλλα ἄπειρα. Οὐκ ἄρα τὸ ἀνομοιογενὲς, αἴτιον τοῦ μὴ λέγεσθαι τὸν *Πατέρα*, ἢ τὸν *Υἱὸν*, ἢ τὸ *Πνεῦμα* θεότητα, ὥσπερ Θεόν. Ἤ ἔστιν εἰπεῖν, ὅτι ταὐτόν ἐστι ταῦτα, ὥσπερ τὸ ἄνθρωπος καὶ τὸ ἀνθρωπότης, ἀλλ' ὥσπερ λέγομεν τὸν Σωκράτην ἄνθρωπον μὲν, οὐκ ἀνθρωπότητα δὲ, οὕτως καὶ ἐπὶ τοῦ Θεὸς καὶ θεότης. Ἤ τοῦτο οὐ λύοντος, ἀλλ' αὔξοντός ἐστι τὴν ἀπορίαν; εἰ γὰρ ταὐτὸν ὁ ἄνθρωπος καὶ ἀνθρωπότης, πῶς μὴ, ἐφ' ὧν τὸ ἄνθρωπος λέγεται, ἐπ' ἐκείνων ῥηθείη καὶ ἡ ἀνθρωπότης; Φασὶν οὖν τινες, ὅτι οὐδὲν κωλύει καὶ ταὐτὸν εἶναι τὸ ἄνθρωπος καὶ ἀνθρωπότης, καὶ τὸ Θεὸς καὶ θεότης, καὶ μὴ, ἐφ' οὗ τὸ D ἕτερον, καὶ τὸ ἕτερον λέγεσθαι· αὐτίκα γὰρ ὁ ἄνθρωπος, καὶ ἡ τοῦ ἀνθρώπου φύσις, καὶ τὸ τοῦ ἀνθρώπου εἶδος ταὐτόν ἐστιν, ἀλλ' ὅμως ἄνθρωπος κατὰ τοῦ Σωκράτους κατηγορεῖται (ἄνθρωπος γάρ ἐστι ὁ Σωκράτης), οὐκέτι δὲ ἡ φύσις, ἢ τὸ εἶδος· οὔτε γὰρ ἀνθρώπου φύσιν, οὔτε εἶδός φαμεν τὸν Σωκράτην· ἀλλ' οὐκ ἔστιν ὅμοιον τοῖς προειρημένοις· ἡ μὲν γὰρ φύσις, καὶ τὸ εἶδος, καὶ τὸ γένος, καὶ τὰ ὅμοια, λογικὰ ὀνόματα ὄντα, οὐ δύναται διικνεῖσθαι μέχρι τῶν ἐσχάτων, ἀλλ' ἐπ' ἐκείνων ἵστανται, ἐφ' ὧν λέγονται· ἡ δὲ θεότης καὶ ἡ ἀνθρωπότης οὐκ ἔστι λογικὰ, ἀλλὰ φυσικῶν πραγμάτων ὀνόματα.

2. Sed etsi hoc verum est, nihilominus invenitur eadem esse homo et hominis natura, quorum unum pro Socrate dicitur, non vero alterum. Quid ergo impedit quin idem ad cætera argua-

β'. Ἀλλ' εἰ καὶ τοῦτο ἀληθὲς, οὐδὲν ἧττον εὑρηται ταὐτὰ ὄντα, ὁ ἄνθρωπος καὶ ἡ ἀνθρώπου φύσις, ὧν τὸ μὲν κατὰ τοῦ Σωκράτους λέγεται, τὸ δὲ οὐκέτι. Τί οὖν κωλύει καὶ ἐπ' ἄλλων ταὐτὰ ἑπακολου-

Digitized by Google

θεῖν τοῦτο; οὐ γὰρ ἔστιν εἰπεῖν ἴσως, ὡς ὁ ἄνθρωπος καὶ ἡ τοῦ ἀνθρώπου φύσις οὐχὶ ταὐτόν· ἔτι δέ φαμεν, ὡς ὁ ἄνθρωπος καὶ τὸ ζῶον λογικὸν θνητὸν ταὐτόν, ναὶ μὴν καὶ τὸ γελαστικὸν τῷ ἄνθρωπος ταὐτόν· καὶ οὐχ ὅσα λέγεται περὶ ἑνὸς, ταῦτα καὶ περὶ τῶν λοιπῶν ῥηθήσεται· τὸ μὲν γὰρ γελαστικὸν, ἴδιον τοῦ ἀνθρώπου, οὐκέτι δὲ ὁ ἄνθρωπος, ἴδιον τοῦ ἀνθρώπου· καὶ τὸ μὲν ζῶον λογικὸν θνητὸν, ὅρος ἀνθρώπου, οὐκέτι δὲ ὁ ἄνθρωπος ὅρος ἀνθρώπου· καίτοι κατὰ τὸ μάλιστα ταὐτά εἰσι ταῦτα. Εἰ δέ τις κἀπὶ τούτων τὰς λογικὰς φωνὰς αἰτιάσαιτο, οἷον τὸ ἴδιον καὶ τὸν ὁρισμὸν (τούτων γὰρ ἀφαιρούμενα, ὅπερ ἐστὶ τὸ ἕτερον, ἔστι καὶ τὸ λοιπὸν), ἀλλ' οὖν ἐπὶ τούτων, τί ἂν αἰτιάσαιτο; Ὁ μὲν γὰρ ἄνθρωπός ἐστιν οὐσία καὶ ζῶον, τὸ δὲ γελαστικὸν οὔτε οὐσία, οὔτε ζῶον· ἐπεὶ πολλαὶ ἂν εἶησαν ὁ ἄνθρωπος οὐσίαι καὶ ζῶα. Ἢ εἰ καὶ ταῦτα μὲν ἀληθῆ, οὐχ ὅμοια δὲ τοῖς ἐξ ἀρχῆς προκειμένοις· ὁ γὰρ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης καὶ τὸ Θεὸς καὶ θεότης, εἴπερ ἐστὶ ταὐτὰ, οὐκ ἔστι κατὰ ὁμοιότητα τῶν εἰρημένων ταὐτά· οὔτε γὰρ ἴδιον θάτερον θατέρου, οὔτε ὅρος, ἀλλ' ὥσπερ ἂν εἴποι τις, ὀνόματα δύο περὶ ἓν ὑποκείμενον, καὶ ὡς λώπιον καὶ ἱμάτιον· πῶς οὖν οὐκ ἐφ' ὧν τὸ ἕτερον, καὶ τὸ ἕτερον, ἢ ὅσα τῷ ἑτέρῳ, οὐχὶ καὶ θατέρῳ; Φαμὲν οὖν, ὅτι ταὐτὰ μέν εἰσι τὸ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης, ὡς ταὐτὸ ὑποκείμενον καὶ πρᾶγμα δηλοῦντα, οὐχ ὡσαύτως δὲ λαμβάνονται· ἀλλ' ἡνίκα μὲν ἄνθρωπός φαμεν, τὴν ἀνθρώπου φύσιν ἐννοοῦμεν ὡς ἐγκατατεταγμένην ταῖς ὑποστάσεσιν· ἡνίκα δὲ ἀνθρωπότητα, τὴν αὐτὴν μὲν ἀνθρώπου φύσιν, οὐχ ὡσαύτως δὲ, ἀλλ' ἐξῃρημένην τῶν ἀτόμων, καὶ καθ' ἑαυτὴν λαμβανομένην ἀφορίζοντες. Ταὐτὰ μὲν οὖν ὁ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης, οὐχ ὡσαύτως δὲ λαμβανόμενα. Διὸ οὐκ ἐφ' ὧν τὸ ἕτερον καὶ τὸ ἕτερον, ἢ ἐφ' ὧν μὲν τὸ ἕτερον καὶ τὸ ἕτερον, οὐχ ὡσαύτως δέ. Αὐτίκα ἐπὶ τοῦ Σωκράτους καὶ ὁ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης λέγεται, οὐχ ὡσαύτως δέ· ἄνθρωπον γάρ φαμεν εἶναι τὸν Σωκράτην, ἀνθρωπότητα δὲ οὐκ εἶναι, ἀλλ' ἔχειν· καὶ τὴν ἀνθρωπότητα δὲ πάλιν φύσιν εἶναι τοῦ Σωκράτους φαμὲν, καὶ τῶν ἄλλων ἀνθρώπων, καὶ περιεκτικὴν εἶναι τῶν καθ' ἕκαστα· οὐδὲ γάρ τι τούτων ἔξω ταύτης πίπτει. Ὥστε εἰ καὶ μὴ ἀεὶ ὡσαύτως, ἀλλ' ἐφ' οὗ λέγεται ὁ ἄνθρωπος, δύναται καὶ ἡ ἀνθρωπότης ἁρμόσαι. Εἰ οὖν ἐστιν ἀληθὴς ὁ λόγος, ἴσως ἡμῖν καὶ ἐπὶ τοῦ Θεὸ, καὶ θεότης (ὅσον ἐν ἀνθρωπίνοις παραδείγμασι φαντασθῆναι τὰ θεῖα) εὐπορίαν τῶν ἠπορημένων ποιήσει.

mus? Nam non dicere licet homo et hominis natura non est simile: hoc etiam dicimus, scilicet homo et animal rationale mortale, idem est; et, ridens animal mortale, idem est atque homo: at non, quodcunque de uno, de aliis idem dicetur; namque risus hominis proprium, non autem homo hominis; item: animal rationale mortale, hominis est discretiva, non autem homo hominis discretivum: verumtamen sunt eadem plerumque similia. Sed si quis in his materiis logicas voces exposcat, qualia sunt speciale et discretivum (his enim sublatis, alterum reliquis consimile est), quid ergo in his exposceret? quippe homo est ens et animal, sed risus non ens vel animal, quod plurima essent entia aut animalia homo. Tametsi vero hæc vera sunt, non tamen sunt præmissis similia: namque homo et humanitas, Deus et divinitas, quamvis eadem sint, non sunt eadem quatenus prædicta; neque enim alterum alterius proprium, neque distinctivum, ut si quis duo vocabula pro uno subjecto adhibeat, quasi pannum et vestem. Cur itaque non quo loco alterum, aliud pariter nuncuparetur, et quæcunque unius non etiam alterius essent? Dicimus ergo eadem esse homo et humanitas, quatenus idem subjectum eamdemque rem declarantia, non autem æqualiter nuncupantur; quippe cum homo dicimus, hominis naturam complectimur ut hypostasibus incorporatam; cum vero humanitas dicimus, naturam ipsam hominis, non quidem omnino consonanter, sed atomis distinctam, et in seipsa definitam intelligimus. Sunt ergo idem homo et humanitas, nec tamen consonanter nuncupata. Ideo non aliud pro alio dicitur, si vero dicatur, non plane quidem. Tali modo in Socrate homo atque humanitas dicitur, non vero consonanter, quippe hominem Socratem dicimus, non autem humanitatem esse, sed habere; humanitatem vero dicimus esse naturam Socratis et cæterorum hominum, et singulos quosque complectentem; nam nihil eorum extra eam exsistit; ita ut, si non semper consonanter, at quidem quo loco homo dicitur, potest humanitas adoptari. Nunc si hoc jure arguitur, forsan nobis licebit etiam de Deo et divinitate (quantum in humanis possunt figurari divina) difficultatem solvere.

γ'. Εἰ τῇ ψυχῇ καὶ τῷ σώματι τοῦ Χριστοῦ, ἤτοι τῷ Κυριακῷ ἀνθρώπῳ, ἡ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος παρῆν ὑπόστασις (οὐδὲν γὰρ τῶν ὄντων, οἷς μὴ πάρεστιν ἐπιστατοῦσα καὶ προνοοῦσα ἡ Τριὰς), λέγεται δὲ ὁ Υἱὸς τῷ παρεῖναι πάντως σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι, πῶς οὐχὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα ταῦτα ῥηθείη ἄν; Ἢ τὸ παρεῖναι, διττόν· τὸ μὲν, ὡς προνοοῦν (καθὼς εἴρηται), καθ' ὃ σημαινόμενον ἡ Τριὰς παρεῖναι τῷ Κυριακῷ ἀνθρώπῳ, ὥσπερ καὶ τοῖς οὖσιν ἅπασι λέγεται, ἀλλ' ὥσπερ οὐδὲν τῶν ὄντων, διὰ τὸ παρεῖναι τούτοις, γεγενῆσθαι λέγεται, οὕτως οὐδὲ σαρκωθῆναι, ἢ ἐνανθρωπῆσαι. Λέγεται

3. Si inerat Christi animæ et corpori, id est homini Dominico, Patris et Spiritus hypostasis (nihil enim entium est, cui non adest præfecta et providens Trinitas), si vero dicitur *Filius* præsente Trinitate incarnatus fuisse et homo factus, cur non idem Pater et Spiritus fuisse dicerentur? Dicitur autem, quod adest, duplici modo: primum providens (ut supra diximus), secundum quam significationem Trinitas dicitur adesse Dominico homini, sicut dicitur etiam omnibus entibus; sed quemadmodum ex eo quod omnibus adest, Trinitas non dicitur ullum entium facta sic nec incarnata vel homo facta. Dicitur autem

Digitized by Google

adesse unum alteri, ut anima corpori, quoniam ambo in unam hypostasin convenerunt; secundum quam significationem *Filium* tantummodo Dominico homini adesse dicimus, minime vero *Patrem* aut *Spiritum*. Præterea, secundum primam significationem, omnibus aderat, ut diximus, hominibus, et generaliter omnibus entibus Verbi hypostasis, sed secundum significationem alteram minime; sed soli Dominico, perinde ac mens quæ nobis omnibus inest, omnia obvia complectens illisque attendens, nihilominus in encephalo residet, vel, si hoc tibi displicet, in quadam alia corporis parte; neque est præsentia similis; quippe altera est secundum contingens et materiam, scilicet in parte quadam corporea definita, altera secundum solam mentem per anticipationem.

4. Utrum Verbi hypostasis, scilicet Christus idem est atque ejus duæ naturæ, an differens? Utrumque obscurum: nam si idem, cum sint duæ naturæ, erunt ergo duæ hypostases; et cum una composita hypostasis, erit ergo una composita natura; si vero differens, hæc alia sunt Deus et homo; ergo hypostasis et natura non sunt idem; quod quidem etiam absurdius esset; ex utraque enim hypothesi plura alia absurda nascuntur. Dicimus ergo concludentes, non omnino idem esse, neque omnino differens, sed quodam modo idem, quodam modo differens; nam secundum essentiales rationes naturarum, Christus idem est atque duæ naturæ; sed secundum quæ sunt atomi, et quæ tum plurali dici possunt (et quæcunque his similia), differens. Non solum mysterio Christi, si quis ejusmodi quæstionem proponat, solutio prædicta conveniet, sed etiam generaliter omnibus in quibus adhiberi possunt vocabula natura et hypostasis: quasi Socrates et equus sua natura non omnino sunt idem, nec omnino differens, sed quodam modo idem, sicut diximus, quodam modo differens.

QUÆSTIO CCXXXI. [*Coisl. Taur.* LXXIX.

Utrum Christus in universum hominem accepit vel singulatim?

1. Dicimus neque in universum, neque singulatim; neque enim alterutrum ex istis esse ex necessitate debet; non enim secundum contradictionem quæstio illa. Enimvero si in universum accepit hominem Christus, puta non in essentiam, neque fieri hominem in sensu, sed in intellectu tantum et imaginatione (hæc est enim universi essentia), alioque modo et illum non esse in loco circumscriptum secundum humanitatis naturam; nihil enim rerum in universum ratione loci circumscribitur. Insuper et si in universum hominem accepit *Christus*, cum in universum, id est in multis personis consideratum, erit Christus (ut in universum acceperit hominem) personæ multæ vel potius infinitæ. Concludas autem et illum nobis non esse consubstantialem; cum enim in universum hominem Deus Verbum accepisset, nec jam nos

A δὲ παρεῖναι ἕτερον ἑτέρῳ, ὡς ἡ ψυχὴ τῷ σώματι, ἡνίκα ἄμφω εἰς μίαν συνῆλθεν ὑπόστασιν· καθ' ὃ σημαινόμενον μόνον τὸν Υἱὸν τῷ Κυριακῷ φαμεν ἀνθρώπῳ παρεῖναι, οὐκέτι δὲ τὸν Πατέρα, ἢ τὸ Πνεῦμα. Καὶ κατὰ μὲν τὸ πρῶτον σημαινόμενον πᾶσι παρῆν, ὥσπερ ἔφημεν, ἀνθρώποις, καὶ ἁπλῶς τοῖς οὖσιν ἡ τοῦ Λόγου ὑπόστασις· κατὰ δὲ τὸ δεύτερον οὐκέτι, ἀλλὰ μόνῳ τῷ Κυριακῷ· ὥσπερ καὶ ὁ νοῦς ὁ ἐν ἡμῖν πάρεστι μὲν πᾶσιν, οἷς ἐπιβάλλων, τούτων ἀντιλαμβάνεται καὶ νοεῖ, πάρεστι δὲ καὶ τῷ ἐγκεφάλῳ, ἢ, εἰ μὴ βούλει, ἄλλῳ τινὶ μορίῳ τῷ σωματικῷ· καὶ οὐκ ἔστιν ὁμοία ἡ παρουσία· ἡ μὲν γὰρ κατ' οὐσίαν καὶ ὕπαρξιν, ἡ ἐν τῷ ἀφωρισμένῳ μορίῳ σωματικῷ, ἡ δὲ κατὰ μόνην νόησιν καὶ ἀντίληψιν.

B

δ'. Πότερον, ἡ τοῦ Λόγου ὑπόστασις, ἤγουν ὁ Χριστὸς, ταὐτόν ἐστι ταῖς αὐτοῦ φύσεσιν, ἢ ἕτερον; ἑκατέρωθεν γὰρ ἄπορον εἶναι ποιεῖ· εἰ μὲν γὰρ ταὐτόν, εἰσὶ δὲ δύο φύσεις, καὶ ὑποστάσεις ἄρα δύο· ἢ ἀνάπαλιν, ἔστι δὲ μία σύνθετος ὑπόστασις, καὶ μία ἄρα σύνθετος φύσις· εἰ δ' ἕτερον, ἔστι δὲ ἐκεῖνα Θεὸς καὶ ἄνθρωπος· οὐκ ἄρα ὑπόστασις [καὶ φύσις] ταυτά, ὅ καὶ ἀτοπώτερον· ἀκολουθεῖ δ' ἑκατέρᾳ τῶν ὑποθέσεων καὶ ἄλλα πλείονα ἄτοπα. Φαμὲν οὖν, ἐπιλυόμενοι, ὡς οὔτε ταὐτὸν ἁπλῶς, οὔτε ἕτερον, ἀλλὰ τρόπον μέν τινα ταὐτὸν, τρόπον δέ τινα ἕτερον· κατὰ μὲν γὰρ τοὺς οὐσιώδεις λόγους τῶν φύσεων, ταὐτὸν ὁ Χριστὸς ταῖς ἑαυτοῦ φύσεσι· καθ' ὃ δὲ τὸ μὲν, ἄτομον, τὰ δὲ κατὰ πλειόνων δύνανται λέγεσθαι (καὶ ὅσα τούτοις ὅμοια), ἕτερον. Οὐκ ἐπὶ τοῦ κατὰ Χριστὸν δὲ μυστηρίου, εἴ τις τὸ τοιοῦτον ἐρώτημα προκομίζει, ἡ ἀπόκρισις ἡ εἰρημένη ἁρμόσει, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ πάντων, ἐφ' ὧν δύναται λέγεσθαι φύσις καὶ ὑπόστασις· καὶ γὰρ ὁ Σωκράτης τῇ αὐτοῦ φύσει καὶ ὁ ἵππος οὔτε ταὐτόν ἐστιν ἁπλῶς, οὔτε ἕτερον, ἀλλὰ τρόπον μέν τινα ταὐτὸν, ὥσπερ εἴρηται, τρόπον δ' ἄλλον ἕτερον.

C

ΕΡΩΤΗΣΙΣ ΣΛΑ'.

Πότερον, ὁ Χριστὸς τὸν καθόλου ἄνθρωπον ἀνελάβετο, ἢ τὸν ἐπὶ μέρους;

α'. Φαμὲν οὔτε τὸν καθόλου, οὔτε τὸν ἐπὶ μέρους· οὐδὲ γὰρ ἐξ ἀνάγκης θάτερον τούτων ὑπάρχειν δεῖ· οὐ γὰρ κατὰ ἀντίφασιν ἡ ἐρώτησις. Εἰ μὲν γὰρ τὸν καθόλου ἄνθρωπον ἀνελάβετο ὁ Χριστὸς, συμβαίνει αὐτὸν μὴ καθ' ὕπαρξιν, μηδ' ἐν αἰσθήσει γενέσθαι ἄνθρωπον, ἀλλ' ἐπινοίᾳ μόνῃ καὶ φαντασίᾳ (αὕτη γὰρ ἡ τοῦ καθόλου ὕπαρξις, ἄλλως τε δὲ καὶ μὴ εἶναι αὐτὸν ἐν τόπῳ περιγραφόμενον κατὰ τὴν τῆς ἀνθρωπότητος φύσιν· οὐδὲν γὰρ τῶν καθόλου τοπικῶς περιγράφεται. Ἔτι δὲ καὶ εἰ τὸν καθόλου ἄνθρωπον ἀνελάβετο ὁ *Χριστὸς*, τὸ δὲ καθόλου τοῦτό ἐστι, τὸ ἐν πολλαῖς ὑποστάσεσι θεωρούμενον, ἔσται ὁ Χριστὸς (ἐπεὶ τὸν καθόλου ἀνεῖληφεν ἄνθρωπον) ὑποστάσεις πολλαὶ, μᾶλλον δὲ, ἄπειροι. Συμβαίνει δὲ καὶ μὴ εἶναι ἡμῖν αὐτὸν ὁμοούσιον· ἀναληφθέντος γὰρ τοῦ καθόλου ἀνθρώπου ἐν τῷ Θεῷ Λόγῳ, οὐκέτι ἡμεῖς ἄνθρωποι λεχθείημεν· πόθεν γὰρ τοῦτο ὑπάρξει

D

Digitized by Google

ἡμῖν, καὶ κατὰ τί κοινωνήσομεν τῷ Χριστῷ; Πρὸς δ' αὖ τοῖς εἰρημένοις καὶ ἕτερον ὑπάρξει ἀτόπημα, τὸ τῶν ἀνθρώπων ἕκαστον καὶ ἄνθρωπον εἶναι καὶ μὴ ἄνθρωπον· ἕκαστος γὰρ ἡμῶν κατὰ τὸν ἀληθῆ λόγον ἄνθρωπός ἐστί τε καὶ ὀνομάζεται· τοῦ δὲ καθόλου, καθ' ὃ πάντες ἄνθρωποι εἶναι ἐλέγοντο, παρὰ τοῦ Θεοῦ Λόγου ἀναληφθέντος, πῶς ἐσόμεθα ἄνθρωποι; Διὰ οὖν ταῦτα πάντα καὶ ἕτερα πλείονα οὐ λέγομεν ἀνειληφέναι τὸν Χριστὸν τὸν καθόλου ἄνθρωπον. Ἀλλ' οὐδὲ τὸν ἐπὶ μέρους ἄνθρωπον δίκαιον, ἂν εἴη λέγειν τὸν Χριστὸν ἀνειληφέναι· εἰ γὰρ τοῦτο δοθείη, οὐ μία ἔσται ὁ Χριστὸς ὑπόστασις, ἀλλὰ δύο· τότε γὰρ ἀναλαβεῖν ἐλέγετο ὁ *Χριστὸς* τὸν ἐν μέρει ἄνθρωπον, εἴ γε τὴν φύσιν μετὰ τῶν ἰδιωμάτων ἀνέλαβεν· αὐτὴ δὲ οὐδὲν ἕτερόν ἐστιν, ἢ ὑπόστασις. Τί οὖν ἀνελάβετο ὁ Χριστός, ἐρεῖ τις, εἴπερ οὔτε τὸν καθόλου ἄνθρωπον, οὔτε τὸν ἐν μέρει ἀνείληφε; Λέγομεν, ὅτι ἀνελάβετο μὲν τὴν ἀνθρωπείαν φύσιν, ἐξ ἑαυτοῦ δὲ ὁ Λόγος παρέσχε τὰ ἰδιώματα, καὶ οὕτως οὐδεμία ἀτοπία παρακολουθήσει.

β'. Τὸ *Χριστὸς* ὄνομα ὅρου δύναμιν ἔχει, ἢ οὐσίας ἐστὶ σημαντικόν, καθάπερ ἄνθρωπος ἢ ἵππος; Οὔτε ὅρου δύναμιν ἔχει, οὔτε οὐσίας ἐστὶ σημαντικόν, πράγματος δέ τινος δηλοῦντος ἐνέργειαν· τὸ γὰρ *Χριστὸς* ὄνομα μίαν ὑπόστασιν σημαίνει, ἀλλ' οὐ μίαν φύσιν· *Χριστὸς* γὰρ μονοτρόπως οὐ λέγεται, ἀλλ' ἐν αὐτῷ τῷ ὀνόματι, ἐνὶ ὄντι, ἑκατέρων πραγμάτων δείκνυνται σημασία, θεότητος καὶ ἀνθρωπότητος· διὸ καὶ Θεὸς λέγεται ὁ *Χριστὸς* καὶ ἄνθρωπος, καὶ εἷς ἐστιν ὁ *Χριστός*.

A dicti essemus homines; unde enim hoc esset nobis, et in quo communes Christo redditi essemus? Rursum in dictis subest et alia absurditas, scilicet unumquemque hominum et hominem esse et non hominem; unusquisque enim nostri secundum verum sermonem et homo est et dicitur; sed homine in universum secundum quem omnes homines esse dicebantur apud Deum Verbum accepto, quomodo erimus homines? Propter hæc igitur omnia et alia plurima non dicimus accepisse Christum hominem in universum. Sed neque singulatim hominem justum est dicere Christum accepisse; hoc enim si concederetur, non una esset Christus persona, sed duo; tunc enim diceretur *Christus* accipere hominem sigillatim, si naturam cum proprietatibus acciperet, quæ nihil aliud est quam persona. Quid ergo accepit Christus, dicet aliquis, si quidem neque in universum hominem, neque singulatim accepit? Dicimus, quia quidem accepit humanam naturam, ex ipsa autem Verbum præbuit proprietates et sic nulla sequetur absurditas.

B

2. Nomen *Christus* num termini virtutem, vel essentiæ significandæ vim habet, sicut homo vel equus? Neque termini virtutem, neque essentiæ significandæ vim habet, sed alicujus rei demonstrandæ facultatem; nomen enim *Christus* unam personam significat, non autem unam naturam; Christus enim non simpliciter dicitur, sed in ipso nomine, cum unum sit, duarum rerum ostenditur significatus, divinitatis et humanitatis; idcirco et Deus dicitur Christus et homo, et unus est Christus (1).

C

ΕΡΩΤΗΣΙΣ ΤΙΘ'.

Τί σημαίνει ἡ τοῦ Ἀβεσσαλὼμ τῷ πατρὶ ἐπανάστασις;

Ἢ τὴν τῶν Ἰουδαίων εἰκονίζει κατὰ τοῦ Σωτῆρος ἐπανάστασιν (καὶ γὰρ *Υἱὸς πρωτότοκος ὁ Ἰσραὴλ*, καὶ, *Υἱοὺς ἐγέννησα καὶ ὕψωσα* καὶ τὸν).... οὗτοι ἐπαναστάντες διήνεγκαν θάνατον, Ῥωμαϊκῆς μαχαίρας, εἰ καὶ μετὰ πολλὴν μακροθυμίαν, γεγονότες παρανάλωμα. Ὅτι Δαυὶδ κωλύεται τὸν ναὸν οἰκοδομῆσαι, ταμιεύεται δὲ τὸ ἔργον εἰς τὸν ἐξ αὐτοῦ γεννηθέντα Σολομῶντα, ὃς ἑρμηνεύεται *εἰρηνικός*, διότι ὑπὸ ἡ ἐνυπόστατος εἰρήνη, Χριστὸς ὁ Θεὸς ἡμῶν, ἔλλειν οὐ τῷ Ἰουδαίων ἔθνει μόνον, ἀλλὰ καὶ παντὶ τῷ γένει ναὸν οἰκοδομῆσαι ἁγιωσύνης, οὗ οἱ καταξιούμενοι ὧν τε δέονται τυγχάνουσι, καὶ κάθαρσιν τῶν πλημμελημάτων εὑρίσκουσιν. Ἐπεὶ κυρίως καὶ οὐχὶ τῶν αἱμάτων χάριν κεκώλυται, εἰ καὶ εἴρηται, ἀλλ' ὅτι τῷ τύπῳ ἐφυλάττετο καὶ ὅλῃ τῷ τύπῳ συμπεριείληπτο.

Aut Judæorum figurat in Salvatorem rebellionem (etenim: *Filius primogenitus Israel* [11]; et *Filios genui et exaltavi* [12]; et (2) ..... hi rebellantes mortem subierunt, Romano districto gladio, etsi quidem post multam superbiam perierunt. Quia David prohibetur a templo ædificando, conservatur opus nato ejus Salomoni [13], quod interpretatur *pacificus*, quia personificata pax Christus Deus noster debebat ædificare non tantum Judaicæ genti, sed etiam omni genti sanctitatis templum; cujus qui sunt digni et quibus indigent obtinent, et delictorum purificationem inveniunt. Quoniam principaliter et (3) non sanguinum gratia impedimentum exstitit, etsi dicatur, sed quod in figura conservabatur et in figura comprehensum fuit.

D

ΕΡΩΤΗΣΙΣ ΤΚ'.

Τί ἐστι τὸ φοιβήσασθαι καὶ φιλάκρωμα περιθεῖναι;

Τὸ μὲν *φοιβήσασθαι* λέγει ἀντὶ τοῦ μὴ μαντείαις

QUÆSTIO CCCXX [*Coisl. Taur.* XCVII].

Quid est phœbizare et calvitiem induere?

Phœbizare dicit pro, divinatione uti. *Calvitiem*

[11] Exod. IV, 22. [12] Isa. I, 2. [13] II Reg. XXIII, XXIV seqq.

(1) *Vide etiam* S. Damasc. *Orthod. fid.* III, 51-55.

(2) Læsio codicis.

(3) Aliquid deest.

Digitized by Google

non induere, quia gentibus hic mos erat circa defunctos. Tonsi enim afferebant crines mortuis. Crines autem tondebantur non tantum juxta sinciput sed etiam quique natura producuntur in occipite; omniaque ea gentilia erant consueta et legalia.

χρῆσθαι. Τὸ δὲ *φαλάκρωμα μὴ περιτιθέναι*, διότι τοῖς ἔθνεσι τοῦτο ἐπὶ τοῖς τεθνεῶσιν ἐπράττετο· ἀποκειράμενοι γὰρ τὰς τρίχας προσέφερον τοῖς τετελευτηκόσιν· αἱ δὲ τρίχες ἐκείροντο οὐχ αἱ κατὰ τοῦ ἰνίου μόνον, ἀλλ' ὅσαι καὶ κατὰ τὸ βρέγμα πεφύκασι φύεσθαι· ταῦτα δὲ πάντα ἐθνικὰ ἦν ἔθιμά τε καὶ νόμιμα.

QUÆSTIO CCCXXI [*Coisl. Taur.* CVIII].

Cur corvus qui impurus est ministrarit prophetæ?

Corvus qui impurus est prophetæ alimenta ministrabat ut leniretur quod in moribus suis difficile et durum habebat prophetica austeritas. Etenim œconomia divina hoc habet quod in sua miseratione non deterreat a connaturali, immo plerumque exsecrans ministerium impuri animalis dissolvet communem alimentorum penuriam. Numen utens infandis misericordiis providebat populo perverso in suam gratiam accipiendo, et prophetæ non auxit in mœrorem ut qui, cupiditatibus minime obnoxius, rorem tamen cœlestem precibus suis regebat. Minime ergo absurdum fuerit dicere quod præ se ferebat corvus figuram gentium quas, cum videbantur aliquid impurum contemnendumque esse, legi divinæ et gratiæ attribuerit.

ΕΡΩΤΗΣΙΣ ΤΚΑ'.

Διὰ τί ὁ κόραξ ἀκάθαρτος ὢν ὑπηρέτει τῷ προφήτῃ;

Ὁ δὲ κόραξ ἀκάθαρτος ὢν ὑπηρετεῖται τῷ προφήτῃ τροφήν, τὸ δυσπειθὲς καὶ σκληρὸν τῆς προφητικῆς καταμαλάσσων αὐστηρίας· οἰκονομεῖ γὰρ τοῦτο τὸ Θεῖον, ὡς ἂν εἰ καὶ μὴ οἰκοθεν ἐπ' ἔλεον τρέποιτο τοῦ ὁμοφυοῦς, ἀλλ' οὖν μυσαττόμενος τὴν τοῦ ἀκαθάρτου ζώου ὑπηρεσίαν, τὴν κοινὴν τῆς τροφῆς διαλύσει ἀπορίαν· οἰκτιρμοῖς γὰρ ἀφράστοις τὸ θεῖον καλυπτόμενον, καὶ τὸν κακούμενον λαὸν εἰς ἔλεον ἀναλαβεῖν προενόει, καὶ τὸν προφήτην μὴ ἀπαγαγεῖν εἰς λύπην, ἅτε δὴ μὴ πάθει δουλεύοντα, ζήλῳ δὲ θείῳ τὰς οὐρανίους σταγόνας στειρώσαντα. Οὐδὲν δ' ἀπεικὸς ἐννοεῖν, ὅτι καὶ τύπον ἔφερεν ὁ κόραξ τῶν ἐθνῶν, ἃ τῶν ἀκαθάρτων καὶ ἐβδελυγμένων εἶναι δοκοῦντα, τῷ νόμῳ τοῦ Θεοῦ καὶ τῇ χάριτι ἐξυπηρετούμενα, προστεθήσεται.

FINIS SUPPLEMENTI.

Parisiis. — Ex Typis L. MIGNE.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Acme
Bookbinding Co., Inc.
300 Summer Street
Boston, Mass. 02210

Digitized by Google

3 2044 018 872 879

THE BORROWER WILL BE CHARGED AN OVERDUE FEE IF THIS BOOK IS NOT RETURNED TO THE LIBRARY ON OR BEFORE THE LAST DATE STAMPED BELOW. NON-RECEIPT OF OVERDUE NOTICES DOES NOT EXEMPT THE BORROWER FROM OVERDUE FEES.

STANFORD-STUDY CENTER

JUN 17 1995

Digitized by Google

Digitized by Google